UNIVERSITY OF TORONTO
3 1761 00495555 5

Digitized by the Internet Archive
in 2008 with funding from
Microsoft Corporation

https://archive.org/details/commentariainari04akaduoft

21

Aristotle
~~LGII~~
~~A717~~
~~Yes~~

COMMENTARIA IN ARISTOTELEM GRAECA

PA
3902
A25
1882
v. 4
pars. 2-6

EDITA CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

VOLUMINIS IV

PARS II DEXIPPUS IN CATEGORIAS

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMERI
MDCCCLXXXVIII

DEXIPPI

IN ARISTOTELIS CATEGORIAS COMMENTARIUM

CONSILIO ET AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

EDIDIT

ADOLFUS BUSSE

199889
15/1/26

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMERI
MDCCCLXXXVIII

PRAEFATIO

Dexippi philosophi Platonici[1]) in Aristotelis Categorias commentarium quibus nunc continetur codicibus, ex uno omnes derivatos esse exemplo, vel inde apparet, quod opus aeque mutilatum[2]) in omnibus nunc exstat. atque cum illud exemplum postremis aetatis mediae temporibus[3]) exaratum fuisse videatur, non mireris, quod quae servata est commentarii pars omni genere macularum adspersa est, ut campus satis latus arti criticae exercendae pateat. codices autem quattuor digni videbantur, qui huic editioni substruerentur. eos facile est cognitu in duas discedere familias, quarum quae memoriam archetypi fidelius servavit, constat codicibus C et R, deterior codices A et M CR
complectens cum alias correctiones experta est tum in ordine verborum saepissime ex libidine mutato deprehenditur. itaque ab auctoritate codicum CR non recessi, nisi familiae AM lectiones aut aliorum ma- AM
ximeque Simplicii testimonio firmatae aut iusta causa probatae videbantur. ubi C et R inter se discrepant, codex C, cuius librarius a divinando non omnino abstinuerit, codicis R sinceritati cedit.

Impressus est primum[4]) Dexippus Leonardo Spengelio editore, qui, ut solebat, scriptoris verba sagaciter nonnullis locis adiuvit.

---

[1]) De vita eius vide, quae exposui in Hermae tomo XXIII (1888) p. 402—409 *Der Historiker und der Philosoph Dexippus.*

[2]) primi duo libri et tertii libri minima pars, quibus exhibetur commentarium in Aristotelis Categorias p. 1 a 1 — 4 b 23, aetatem tulerunt; quae perierunt, haud dubie multo erant ampliora. quod detrimentum post Iustiniani aetatem opus accepisse, ex eo conicere licet, quod Simplicius (cf. p. VI nota 4) commentarium legisse videtur integrum. ac quoniam index tertii libri plenus nunc exstat, indicis auctorem tertium librum accepisse incolumem certum est, totum opus verisimile. quamquam quia de aetate illius indicis non constat, hac re nihil proficimus.

[3]) codicum qui ad nos pervenerunt antiquissimus saeculo XIV exaratus est.

[4]) in Monumentis Saecularibus Acad. Bavar. Monachii 1859. censura huius editionis

ab ea editione quatenus nostra discedat, ut primo oculorum obtutu
s perspicias, omnes discrepantias littera s signatas apposui. Spengelius duos codices in usum suum vertit, Parisinum 1942 (R)[1]) et Coislinianum (Sang.) 332 (S). illius quae in nostra editione exhibentur varias lectiones haud raro videbis ab editione Spengeliana dissentire, quibus locis persuasum habeas, codice cum ipsa Spengelii editione denuo qua opus erat sollicitudine collato a nobis lectiones praeberi rectiores. codex
S S dubium non est quin ex codice Laurentiano 71,33 (A) fluxerit[2]), quam ob rem illum neglegendum esse censui.

Feliciani versio Multo ante Graecam editionem in lucem prodiit Feliciani versio Latina (cum Porphyrii in Categorias commentarii versione Venetiis apud Hieronymum Scotum 1546 edita), quae quamquam confecta est ex deterrimo codice, Coisliniano 332 (S), id quod declarat defectuum quaedam congruentia[3]), tamen quibusdam locis depravatae scripturae medelam nobis suppeditavit.

Simplicius Restat Simplicius, qui quasi ultro auxilium nobis offert, cum dicto nomine Dexippi librum inter fontes suos refert[4]). quamquam ex ipso

---

(Zarnckei *Litterar. Centralblatt* 1860 p. 124. 125) ab Usenero profecta est, cui probabiles emendationes quaedam debentur. ante Spengelium excerpta huius commentarii in ed. Acad. Berol. Aristotelis operum vol. IV (Berol. 1836) Brandisii opera prodierunt, cuius viri doctissimi emendationes adnotatas a me aut receptas invenies.

[1]) is in praefatione editionis Spengelianae (p. IV) falso Paris. 1941 significatur.

[2]) argumenta haec sunt: primum in eadem verba (ποσὸν ἂν εἴη p. 71,9) A et S exeunt, M congruit cum codicibus CR, tum multa verba omittit S, quae habet A, nullum habet S, quod A omittat, denique hos percenseas locos: p. 2,1 atque in ceteris capitibus Ἔτι pro Ὅτι rubricatoris culpa A, iisdem locis Ἔτι S; p. 11,34 ὂν A (sed ita exaratum ut primo obtutu legas ἓν), ἓν S; p. 23,1 et 25,16 τι (pro ἔτι, littera ἔ rubro addenda) A, ὅτι S; p. 31,15 εἰς A (sed ει ita exaratum, ut nihil differat ab α littera), lacuna S; p. 47,5 παρεῖται A (sed in exitu versus ται lineola signatum), παρεῖ (ται in lacuna omissum) S. si varietas codicis S a Spengelio notata interdum mirum in modum a lectionibus codicis A discrepat, Spengelii adnotatio aut collatoris aut typographi culpa saepius falsa est, id quod quibusdam locis codice a Torstrikio inspecto coargui potest, aliis licet divinare, velut p. 7,2 (= 7,17 Sp.) καὶ om. R adn. Speng., potius om. S; p. 17,1 (= 20,5) τῶν πυθαγορικῶν R adn. Speng., potius S; p. 20,10 (= 24,8) γὰρ] δὲ S adn. Speng., potius p. 20,8 (= 24,6); p. 30,20. 21 (= 36,25) verba a Spengelio inclusa etiam in S desunt.

[3]) velut p. 8,30. 31 οὐδ' ἂν—ἄλλο τι om. S Felic.; p. 53,27. 28 οὐσία—μᾶλλον om. S Felic., ceteri codices utrobique integri sunt.

[4]) *Comment. in Categ.* (ed. Basileae apud Michaelem Isingrinium 1551) f. 1r2 καὶ Δέξιππος δὲ ὁ Ἰαμβλίχου καὶ αὐτὸς μὲν τὸ τοῦ Ἀριστοτέλους βιβλίον συντόμως ἐξηγήσατο· προηγουμένως δὲ τὰς Πλωτίνου ἀπορίας ὡς ἐν διαλόγῳ προτεινομένας αὐτῷ διαλύειν προτίθεται· οὐδὲν δὲ οὐδὲ οὗτος σχεδὸν τοῖς Πορφυρίου καὶ Ἰαμβλίχου προστεθεικώς. ceterum si qua lectio ex Simplicio a me citata ab adnotatione Spengeliana abhorreat, scito eam

Dexippi commentario Simplicius non ita multa hausisse videtur, et profecto res male se haberet, si iis tantum locis, ubi Simplicius hoc commentarium exscripsit, adiumentum inde quaerere liceret. sed ad emendandum Dexippum opportune accidit, quod is admodum pauca suo Marte temptavit, plura ex aliis interpretibus, maximeque ex Porphyrio et Iamblicho[1]), scite congessit et ad suum usum transtulit[2]). eosdem igitur fontes cum Simplicius adiisset, et is quidem diligentius in singulis quaestionibus scriptorum nomina apponens, factum est, ut multo saepius cum Dexippo consentiat Simplicius, quam ab illo pendeat.

Ammonius et qui ab illo profecti sunt scriptores Dexippi commentarium prorsus neglexisse videntur, ut subsidium eius emendandi frustra ab illis quaeras.

In orthographicis rebus codicem R, ut par erat, secutus sum.

---

niti illis Simplicii codicibus, quos laudavi in editione *Porph. Isag. et in Aristot. Categ. Comment.* p. LIII not. 1.

[1]) hos ipse p. 5,9 laudat atque etiam Simplicius nihil fere eum cogitatis illorum addidisse dicit, quod sane facile est demonstrare, si Dexippi commentarium cum Simplicii conferas. ceterum Porphyrii non tam quod servatum est commentarium adiisse videtur quam maiorem librum ad Gedalium missum, quo Porphyrium cum omnes Categoriarum adversarios tum Plotinum refutasse Simplicius testatur (f. 1r2).

[2]) etiam ea, quae ex aliis Aristotelis libris simulat se ad solvendas quaestiones deprompsisse, plerumque ex commentatoribus fluxisse videntur, cuius rei exemplum insigne invenitur p. 41,7 οὐκοῦν πρὸς ταύτην τὴν ζήτησιν τοῖς εἰρημένοις ἐν τῇ Μετὰ τὰ φυσικὰ πραγματείᾳ χρήσομαι κ. τ. λ., quibuscum conferas quae Simplicius (f. 20r3) ex Archytae libro Περὶ τοῦ παντός affert καὶ Ἀρχύτας δὲ τὴν πᾶσαν οὐσίαν φυσικήν τε καὶ αἰσθητικὴν καὶ κινητικὴν ἀποκαλεῖ, φυσικὴν μὲν τὴν κατὰ τὴν ὕλην καὶ τὸ εἶδος λέγων, αἰσθητικὴν δὲ τὴν σύνθετον, κινητικὴν δὲ τὴν νοερὰν καὶ ἀσώματον ὡς αἰτίαν οὖσαν κινήσεως τῆς κατὰ ζωὴν εἰδοποιουμένης. καὶ δῆλον ὅτι καὶ αὐτὸς τὰς πολλὰς οὐσίας εἰς μίαν σύνταξιν συνέλαβεν.

Scr. Berolini
Kal. Iun. 1888. Ad. Busse.

SUPPLEMENTUM PRAEFATIONIS

CONSPECTUS LIBRORUM MANU SCRIPTORUM.

A Laurentianus 71,33 [Bandini III, 21] chartaceus, forma quadrata, saeculo XIV, ut Bandinio, saec. XV ut Vitellio visum exaratus, Dexippum exhibet f. 77—108. litterae initiales tunc rubro atramento (interdum perverse, cf. p. 2,1 nota) scriptae sunt, tunc rubricatori relictae. ab altera manu quae correctiones sunt additae, ex alio exemplo, ut videntur, fluxerunt. librarium et neglegenter descripsisse neque abstinuisse a divinando ex multis locis (cf. p. 16,4. 17,1. 42,14 alios) intellegitur, ut hic codex gemino M fide haud dubie cedat. contulit Hieronymus Vitelli.

C Laurentianus 72,21 [Bandini III, 37] chartaceus, forma parva, saeculo XV nitidissime scriptus. Dexippi commentarium legitur f. 1—38. tituli et litterae initiales rubro additae sunt. librarius satis diligenter officio functus est, sed coniecturas scriptori inculcavit ex parte futilissimas (cf. p. 20,24. 25,20. 28,21. 29,23. 40,22. 45,21. 46,6. 15. 56,6. 57,32). contulit Hieronymus Vitelli.

M Matritensis 76 [Iriarte p. 273] chartaceus, forma quadrata, saeculo XIV scriptus, f. 31—75 commentarium continet. deterioris familiae sine dubio fidelissimus testis est. correctiones quas expertus est satis multas, ex melioris generis exemplo videntur esse depromptae (cf. p. 2,16. 17,1. 22,8. 25,18. 21. 23. 44,26). contulit R. Beer Vindobonensis.

N Matritensis 34 [Iriarte p. 134] chartaceus, forma magna, Constantini Lascaris manu anno 1490 exaratus. Dexippi commentarium incipit f. 54 et sicut CMR explicit μικρότης (f. 87), eadem Lascaris manu subscriptum est ἀτελές. specimen quod debetur R. Beerii comitati, docet eum generis deterioris esse atque codici M consimilem.

p. 39, 4 τὰς Πλωτίνου || 7 ἀπὸ om. || 8 περὶ] ἀπὸ || 9 διῃρημένων] διαιρουμένων || 13 ἀνωτάτω || 18 ἐνταῦθα om. || 21 διεστηκότων || φατριῶν || 21. 22 συναγομένοις (supersc. ἢ συγκειμένοις) || **p. 40,** 1. 2 ἑκάστης τὸν λόγον || 2 διεστάναι || 9 διαλήψεσι || 10 περὶ om. || 11 εἴληφε τάξιν || 13. 14 σκεψώμεθα || 16. 17 τούτων ἄλλο τούτων || 21 γὰρ om. ||

23 αὐτῷ νῦν ἐστιν || 26 διέξοδον τοῦ λόγου || 31 τάξις || 32 πρώτων, δευτέρων καὶ τριτῶν **p. 41,**4 ταῖς αὐταῖς] τούτοις (sic) || 6 προλαβών || 9 ἡ (ante αἰσθητή) om. || 13 τῷ om. || 25 ὡς] καὶ || ὄντων] ὄντως || 27 τὰ εὖ ἀκατάληπτα || 28 ταύτη || 29 συνώνυμος om. 30 σῶμα om. || **p. 42,**3 κἀκείνας.

Ottobonianus 366 [Brandis *Abhandl. d. Berl. Akad.* 1831 p. 58 not. 52] O chartaceus, saeculo XV exaratus. suppar est codici A, quocum mirifice congruunt eae varietates, quas Torstrikius nobis suppeditavit:

p. 6,8 φύσιν τε || σημαινόμενα || 13. 14 συμβολικὰ σημεῖα || 15 ἤδη om. || 18 αὐτήν || 19 καὶ παραστατικά] litura unius verbi || 20 φέρει || **p. 28,**23 ποηφάγα in lac. om. || 24 ἐστιν] εἶσιν || **p. 35,**21 ὁμώνυμον om. || **p. 41,**11 ἀνωτέρα || 13 τῷ om. || 16 ἡ (ante οὐσία) om. || 17 πρὸς] εἰς || 20. 21 ὁμονύμως et συνονύμως || 25 τε om. || ὁρῶν 26 μεταφορὰ || 27 γνωρίζῃ (ζων in exitu versus parum dilucide A) || **p. 43,**10. 11 εἰπεῖν ante αὐτὴν transp. || **p. 71,**8 τὸν μετρητὸν || 9 expl. ποσὸν ἂν εἴη.

Bodleianus Misc. 196 [Coxe I, 755] chartaceus, saeculo XVI scriptus, P f. 1—47 Dexippum exhibet. hunc descriptum esse ex codice R eo comprobatur, quod et scholia codicis R in marginibus praebet (velut ad p. 5,1 ὅρα τὸ ἐπιεικὲς τοῦ φιλοσόφου. ad p. 5,6 περὶ Διομήδους ταῦτα φησί) et litteras in R evanidas in lacunis omittit (ut p. 5,5 δαίμονά περ] μονά περ in lacuna om. || 7 μέρος] ἕρος in lac. om.) ceterum paucae varietates a Torstrikio datae ostendunt, eum descriptum esse neglegentissime.

Escurialensis T—II—1 [Miller p. 115] chartaceus saeculo XVI exaratus f. 200—235. specimen deest, tamen codici A eum parem esse inde conicias, quod Torstrikio docente p. 71,9 verbis ποσὸν ἂν εἴη explicit. Q

Parisinus graec. 1942 [Catal. bibl. Paris. II, 423] bombycinus, saeculo XIII secundum catalogum, saec. XIV Dielsio teste exaratus. Dexippi commentarium exhibet f. 123ᵛ—142ᵛ (dimidiato folio vacuo). ἰῶτα neque subscriptum neque adscriptum, ut aetas fert, invenitur. initio operis saepius litterae situ evanuerunt, quas maculas iam inde a saeculo XVI repetendas esse, docet codex Bodleianus (P). huius codicis proles, scholia quae in marginibus paucissima initio reperiuntur, suis locis subnotata invenies. quae ab altera manu correcta ac rescripta sunt, ex eodem exemplo aut consimili fluxerunt. codicem contulit H. Diels, non multos qui dubii erant locos iterum H. Omont summa qua excellit humanitate inspexit. R

Coislinianus (olim Sangermanensis) 332 [Catal. bibl. Coisl. p. 447] S membranaceus, forma quadrata, saeculo XV vel XVI scriptus. Dexippum habet f. 82—124.

Reginensis 112 [Brandis *Abhandl. d. Berl. Akad.* 1831 p. 57 not. 41] V chartaceus, Torstrikio teste recentissimus est litterisque deformibus scriptus.

DEXIPPI
PHILOSOPHI PLATONICI
IN ARISTOTELIS CATEGORIAS
DUBITATIONES ET SOLUTIONES

SIGLA

A = Laurentianus 71,33
C = Laurentianus 72,21
M = Matritensis 76
R = Parisinus 1942

ΔΕΞΙΠΠΟΥ ΦΙΛΟΣΟΦΟΥ ΠΛΑΤΩΝΙΚΟΥ ΤΩΝ ΕΙΣ ΤΑΣ ΑΡΙΣΤΟΤΕΛΟΥΣ ΚΑΤΗΓΟΡΙΑΣ ΑΠΟΡΙΩΝ ΤΕ ΚΑΙ ΛΥΣΕΩΝ ⟨ΠΡΩΤΟΝ⟩ 1 Spengel

Κεφάλαια τοῦ πρώτου βιβλίου.

α. Διὰ τί πολλοὶ εἰς τὰς Ἀριστοτέλους κατηγορίας ἠπόρησαν;
β. Διὰ τί κατηγορίας ἐπέγραψεν τὸ βιβλίον;
γ. Τίνος ἐστὶν ἡ κατηγορία σημαντική, πότερον φωνῆς ἢ πράγματος ⟨ἢ νοήματος⟩;
δ. Πῶς χρὴ τὰς κατηγορίας εὑρίσκειν καὶ μὴ ὑπάγεσθαι ταῖς τῶν Στωϊκῶν ἀπορίαις;
ε. Διὰ τί περὶ τῶν κατηγοριῶν λέγειν ἐπαγγειλάμενος οὐκ ἀπ' ἐκείνων ἄρχεται, ἀλλὰ τῶν ὁμωνύμων καὶ συνωνύμων;
ς. Διὰ τί Ἀρχύτας ἐν τοῖς καθόλου λόγοις περὶ ὁμωνύμων καὶ συνωνύμων καὶ παρωνύμων οὐκ εἴρηκεν;
ζ. Διὰ τί οὐ πάντα τὰ χρήσιμα προέγραψεν, ἀλλὰ καὶ ἕτερα μετὰ τὴν τῶν κατηγοριῶν ἀπόδοσιν ἐπήνεγκεν;
η. Διὰ τί περὶ πρώτων τῶν ὁμωνύμων εἶπεν;
θ. Διὰ τί περὶ ὁμωνυμίας μᾶλλον οὐκ εἴρηκεν;
ι. Διὰ τί προσέθηκε τὸ μόνον λέγων ὧν ὄνομα μόνον κοινόν;
ια. Πῶς πολλῶν τοῖς ὁμωνύμοις ὄντων κοινῶν ἐπὶ τοῦ ὀνόματος εἶπε μόνον τὸ κοινόν;

---

1 Tit. exhibent ACMRs ante Πλατωνικοῦ additum τοῦ del. A 2 πρῶτον add. Spengel (cf. p. 43,2. 75,2 Sp.): om. libri 3 κεφάλαια τοῦ πρώτου βιβλίου C (ut coni. Spengel): κεφάλαια AMR: om. s 4 α.] numeros exhibent CR: om. AM τὰς Ἀρ. κατηγορίας CR: τὰς κατηγορίας τοῦ Ἀρ. AM 6 σημαντική, πότερον AMR: σημαντικὸν τὸ περὶ C 7 ἢ νοήματος add. Spengel (cf. p. 6,31): om. libri 11 an ἀλλ' ἀπὸ? (cf. p. 16,15) post συνωνύμων adde καὶ παρωνύμων (cf. v. 13 p. 16,15. 25) 14 μετὰ CMR: προτὰ (sic) A 15 ἐπ μετήνεγκεν A 18 ὧν supra scr. C 20 τὸ abundare putat Spengel

ιβ. Ὅτι οὔτε κατὰ τὸ ἀδιαίρετον κοινὸν οὔτε κατὰ τὸ διῃρημένον κοινὸν ὑπάρχει τὸ ὄνομα τοῖς ὁμωνύμοις.
ιγ. Ἄλλη ἀπορία πρὸς τὸ κοινόν.
ιδ. Ἄλλη ἀπορία πρὸς τὸ κοινόν.
ιε. Ὅτι περιττῶς προσέθηκε τὸ ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος.
ιϛ. Διὰ τί οὐκ εἶπεν ὅρος τῆς οὐσίας ἀλλὰ λόγος;
ιζ. Ὅτι δύναται τὰ ὁμώνυμα εἶναι συνώνυμα.
ιη. Πῶς τοῦ ὁμωνύμου ἐν πάσαις ταῖς κατηγορίαις θεωρουμένου ὁ λόγος αὐτῶν τὰ ἐν τῇ οὐσίᾳ μόνῃ ὁμώνυμα περιορίζει;
ιθ. Διὰ τί μετὰ τὰ ὁμώνυμα τὰ συνώνυμα ἔταξεν;
κ. Ὅτι ἡμάρτηται τὰ κατὰ συμπλοκὴν καὶ ἄνευ συμπλοκῆς λεγόμενα.
κα. Ὅτι κατὰ τὴν ἐνυπογραφὴν τοῦ ἐν ὑποκειμένῳ δύναται τὸ σῶμα εἶναι ὡς ἐν ὑποκειμένῳ τῷ χρόνῳ ⟨καὶ τόπῳ⟩.
κβ. Ὅτι εὑρίσκεται τὰ ἐν ὑποκειμένῳ μέρη τῆς οὐσίας.
κγ. Ὅτι ὁ λόγος ὁ τῶν ἐν ὑποκειμένῳ κοινός ἐστι καὶ τῶν μὴ ἐν ὑποκειμένῳ.
κδ. Ὅτι αἱ εὐωδίαι ποιότητες οὖσαι καὶ ἐν ὑποκειμένῳ χωρισταί εἰσιν.
κε. Ἀπορίαι πλείονες πρὸς τὴν ἰδιότητα τῶν καθ' ὑποκειμένου φερόμεναι, καὶ τούτων δὲ λύσεις.
κϛ. Ὅτι οὐχ ὡς καθ' ἑτέρου λέγεται τὸ γένος τοῦ εἴδους.
κζ. Διὰ τί ὁ μὲν ἄνθρωπος κατὰ Σωκράτους, τὸ δὲ εἶδος οὐκέτι;
κη. Πῶς ἐνίας καὶ πῶς πάσας καὶ ποίας ἑκατέρως λέγει κατηγορεῖσθαι τὰς τοῦ κατηγορουμένου διαφορὰς καὶ τὰς τοῦ ὑποκειμένου;
κθ. Ὅτι τινὰ ὄντα γένη ἕτερα ταῖς αὐταῖς διαφοραῖς χρῆται.
λ. Ἀπορίαι καὶ περὶ τοῦ ἑτερογενοῦς.
λα. Τί εἶδος, τί διαφορά, καὶ πῇ διέστηκε ταῦτα ἀπ' ἀλλήλων;
λβ. Πόθεν ἡ εὕρεσις τοῦ εἴδους καὶ γένους καὶ διαφορᾶς;
λγ. Πῶς εἶπεν ἕτεραι τῷ εἴδει καὶ αἱ διαφοραί;
λδ. Πῶς τὸ ἄτομον καὶ ἓν ἀριθμῷ λέγεται;
λε. Πῶς δύναται ὁ εἷς καὶ ἄτομος τοῦ ἑνὸς καὶ ἀτόμου ἀριθμῷ διαφέρειν;

---

1 Ὅτι CMR: Ἔτι (etiam in ceteris capitibus rubricatoris culpa) A 4 Ἄλλη — κοινόν CMR: om. A 5 post λόγος add. ἔτι εὑρίσκεται τὰ ἐν ὑποκειμένῳ μέρη (cf. cap. 22) A 7 post λόγος add. titulum capitis 22 (suo loco repetitum) M 11 μετὰ supra scr. A 14 τῷ χρόνῳ καὶ τόπῳ scripsi: *loco et tempore* Felic.: τῷ χρόνῳ codd. s (cf. p. 27,11 sq. Sp.) 16 τῶν ἐν ὑποκειμένῳ CM²R: τῶν ἐν ὑποκειμένων AM¹ 16. 17 τῶν μὴ ἐν ὑποκειμένῳ AM: τῶν μὴ ἐν ὑποκειμένων (sed ἐν eras.) C: τῶν μὴ ὑποκειμένων R 19 ante πρὸς add. τῶν AM: om. CR 20 δὲ λύσεις MR¹: δὴ λύσεις A: διαλύσεις CR² 23 ἑκατέρως] ἑκατέρας coni. Spengel post λέγει additum τὰς (ut videtur) eras. A 24 τὰς (ante τοῦ ὑποκειμένου) eicias 25 ὄντα γένη CR: ὄντα γένει M: ὄντα γένει ὄντα A 27 ταῦτα CR: αὐτὰ AMs 28 γένους καὶ εἴδους colloc. AM διαφορᾶς CR: τῆς διαφορᾶς AMs (cf. p. 34,21 Sp.)

λς. Ὅτι οὐ πλεονάζει ἡ τῶν κατηγοριῶν τομή.
λζ. Ὅτι οὐκ ἐλλείπει ἡ τῶν κατηγοριῶν τομή.
λη. Ὅτι ἄλλα ἀντὶ ἄλλων οὐκ εἰσάγει τὰ τῶν κατηγοριῶν γένη.
λθ. Ὅτι τὸ ὂν οὐχ ὁμώνυμον ἀλλὰ συνώνυμον.
μ. Ὅτι τὸ ἔστιν ἤτοι ἑκάστης κατηγορίας κατηγορούμεν καὶ οὕτως ἐπ' ἄπειρον προβησόμεθα, ἢ εἰ ἐγκέκλιται ἀπὸ τοῦ ὄντος, γένος ἂν εἴη τὸ ὄν. |

6 ἐγκέκλιται corr. Sahune: ἐγκέκλεισται AM: ἐγκέκληται C: ἐγκέκληται R (cf. p. 42,22 Sp.)

Δεξίππου Πλατωνικοῦ φιλοσόφου τῶν εἰς τὰς Ἀριστοτέλους κα- 4
τηγορίας ἀπορι̃ων τε καὶ λύσεων τὸ πρῶτον. ἔστι δὲ διαλογικὸν
τὸ σύγγραμμα καὶ τὰ τοῦ διαλόγου πρόσωπα αὐτὸς οὗτος Δέξιπ-
πος καὶ Σέλευκος.

Ὄκνος τις ἔχει με μάλα καλὴν καὶ γενναίαν χάριν αἰτῆσαι προθυμού- 5
μενον, ὦ τῶν καλῶν ἐμοὶ καθηγητὰ Δέξιππε, ἐπεὶ δὲ Ἡσιόδῳ λέγοντι
πείθομαι

αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,

θαρσῶν διαλεχθῆναι περὶ αὐτῆς βούλομαι.

Ἀλλ' ἔγωγε καὶ πάλαι μὲν ἐθαύμαζον. ὦ καλὲ κἀγαθὲ Σέλευκε, ὅτι 10
τηλικοῦτος ὢν εὐμαθίᾳ καὶ πραότητι διαφερόντως ἐκλάμπεις, ἐμβριθῶς τε
πρὸς τὰς μαθήσεις ἀπαντᾷς ἀσφαλῶς τε καὶ ἀπταίστως ταύτας φυλάττεις,
ὑπὸ δὲ ἀγχινοίας καὶ ὀξύτητος κινούμενος πολὺ τοὺς ἄλλους ὑπερπηδᾷς
ταῖς ἐρωτήσεσι, καὶ νῦν δὲ ἕτοιμός σοι πείθεσθαι σπουδαίως ἔχοντι περὶ 15
τὰ μαθήματα. οὐδενὸς μὲν γὰρ τῶν ἐκ τῆς ἀγαθῆς τύχης ἐνδεῶς ἔχεις.
ἀλλὰ καὶ τὰ ἐκ γένους καὶ δόξης ὑπάρχει σοι, ὅσα μηδενὶ τῶν καθ' ἡμᾶς.
ἐπαινῶ δέ σου τήν τε τῆς φύσεως ἐπιτηδειότητα πρὸς πάντα ἀνηγμένην
τὰ καλά, καὶ ὅτι τῶν μὲν ἄλλων, τῶν ἔξωθεν ὑπαρχόντων, ὑπερφρονεῖς.
παιδείας δὲ ἐρᾷς καὶ τοῦ μανθάνειν ἀκορέστως ἔχεις· ὥστε ὅτι βούλει 20
τῶν εἰς λόγους ἡκόντων, ἐπίταττε.

Διαίτησον δὴ τοῖς εἰς τὰς Ἀριστοτέλους κατηγορίας ἠπορημένοις καὶ 5
τὰ ἀμφισβητούμενα διαλῦσαι πειράθητι.

Μέγα μὲν τὸ ἐπίταγμα, ὦ φίλη καὶ τιμιωτάτη κεφαλή, καὶ οὔτι μοι
νῦν ἐπιτελεσθῆναι ῥᾴδιον· ἥ τε γὰρ ἐπὶ Διϊφίλῃ τῇ θυγατρὶ συμφορὰ τῇ 5
σοφῇ τε καὶ καλῇ βαρεῖά μοι καὶ χαλεπὴ φαίνεται (τί γὰρ οὐ δεῖ τἀληθῆ

1—4 tit. exhib. CR: om. AM in summo marg. ἀγαθῇ τύχῃ C 1 φιλοσόφου Πλατωνικοῦ colloc. C τῶν C: om. Rs 2 ἔστι C: ἔτι R 3 οὗτος R: οὗτος ὁ C 6 Ἡσιόδῳ] op. et d. 317 9 θαρσῶν περὶ αὐτῆς διαλεχθῆναι (sed διαλεχθῆναι del.) colloc. A 10 καὶ CR: om. AM ὅτι ACM: ὅστις R 12 μαθήσεις A^2CMR: προμαθήσεις A^1 14 ἕτοιμός] κατὰ ἔλλειψιν τοῦ εἰμί in marg. add. R πείθεσθαι σπουδαίως iterata del. R 16 ὑπάρχοι A 17 ἀνεγμένην A 24 διϊφίλη AM: δῖϊ φίλη CR: Διφύλλῃ coni. Spengel: an Διφίλῃ? 25 τε CR: om. AM

λέγειν;) καὶ τὸ σῶμά μοι νόσοις ἐκτέτηκεν. ἡδέως μὴν σοι πείθομαι, πόρρωθεν δὲ ὥσπερ οἱ δειλοὶ τῶν ἀγωνιστῶν ὁμολογεῖν ἔγνωκα, ὅτι Πλωτίνῳ τῷ Πλατωνικῷ φιλοσόφῳ ἀντιλέγειν χαλεπὸν οὕτω βαθέως ἠπορηκότι. οὐ μὴν ἀλλὰ

καὶ πρὸς δαίμονά περ

κατὰ τὸν Ὁμηρικὸν ἥρωα σὴν χάριν ὁρμᾶν οὐκ ἀνῶ, σὺ δέ μοι ξυλλαμβάνου τοῦ λόγου τὰς κατὰ μέρος ἐξηγήσεις μηδαμῶς ἀπαιτῶν· πολλὰς γὰρ καὶ ἀπείρους ξυγγραφὰς εἰς τὸ βιβλίον τοῦτο ἄλλοι τε πολλοὶ καὶ μάλιστα Πορφύριος εἶθ' ὕστερον Ἰάμβλιχος καταβέβληνται καὶ τῷ πλήθει δυσλήπτους. ἵν' οὖν μὴ ταὐτὸν ἐκείνοις πάθωμεν, μόνα τὰ ἀπορούμενα ἐρώτα· οὐ γὰρ ὥσπερ λεῖπόν τι προσθήσων διανοοῦμαι (οὐχ οὕτω τετύφωμαι), ἀλλὰ ταχείας καὶ συντόμους καὶ σαφεῖς τὰς λύσεις ἀποδοῦναι βούλομαι. δεῖ δὲ τὸν μέλλοντα τὰς ἀπορίας ταύτας ἀναγνώσεσθαι τῶν κατηγοριῶν νενοηκέναι πρῶτον τὰ ἐδάφια ἀκριβῶς τὰ κατὰ λέξιν, ἐπεὶ οὐδὲν τῶν ἐνταῦθα λεγομένων εἴσεται.

α. Τί οὖν ποτε ἦν ἄρα τὸ ποιῆσαν τοὺς παλαιοὺς φιλοσόφους ποικίλας καὶ παντοδαπὰς ἐσχηκέναι πρὸς ἀλλήλους ἔριδας περὶ τούτου τοῦ Ἀριστοτελικοῦ συγγράμματος, ὃ δὴ καλοῦμεν Κατηγορίας: σχεδὸν γὰρ κατανενόηκα. ὡς οὔτε πλείους ἀντιλογίαι εἰς ἑτέραν ὑπόθεσιν γεγόνασιν οὔτε μείζους ἀγῶνες κεκίνηνται οὐ μόνον τοῖς Στωϊκοῖς καὶ Πλατωνικοῖς σαλεύειν ἐπιχειροῦσι ταύτας τὰς Ἀριστοτέλους κατηγορίας, ἀλλὰ | καὶ αὐτοῖς γε τοῖς 6
Περιπατητικοῖς πρὸς ἑαυτούς, τοῖς μὲν μᾶλλον ἐφικνεῖσθαι τῆς διανοίας τἀνδρὸς ὑπειληφόσι, τοῖς δ' εὐπορώτερον λύειν οἰομένοις τὰ παρ' ἑτέρων ἀπορούμενα.

Ὅτι, ὦ φιλομαθέστατε Σέλευκε, περὶ τῶν πρώτων καὶ ἁπλῶν λέξεων, 5
ὧν αὗται σημαίνουσι, σκοπός ἐστιν ἐν τούτῳ τῷ βιβλίῳ· ἐπειδὴ τοίνυν ὁ λόγος πᾶσι τοῖς εἴδεσι τῆς φιλοσοφίας χρήσιμος, τούτου δὲ ἀρχαὶ αἱ ἁπλαῖ λέξεις καὶ τὰ ὑπὸ τούτων σημαινόμενα, εἰκότως πολλὴ γέγονεν ἀμφισβήτησις περὶ τοῦ καλῶς ἢ μὴ καλῶς Ἀριστοτέλη διειληφέναι περὶ αὐτῶν.

β. Ἀλλὰ δή τί βούλεται αὐτῷ ἡ ἐπιγραφὴ καὶ τὸ τῶν κατηγοριῶν 10
ὄνομα; οὐ γὰρ δήπου παραστῆσαι ἐθέλει, πῶς ἐν τοῖς δικαστηρίοις ἄνθρω-

1 ἡδέως] ὅρα τὸ ἐπιεικὲς τοῦ φιλοσόφου in marg. add. R 5 —μονά περ oblitt. R 6 κατὰ τὸν Ὁμηρικὸν ἥρωα i. e. Menelaum. cf. P 104 (περὶ Διομήδους ταῦτα φησί falso adn. in marg. R) 7 μέρος oblitt. R 8 καὶ ἀπείρους CR: om. AM τε πολλοὶ καὶ oblitt. R 10 —πτους. ἵν' οὖν oblitt. R μόνα CMR: μόνον A 11 λεῖπόν τι coni. Spengel (*deficiens aliquid* Felic.): λείπονται codd. προσθήσων C: προσθῆσαι AM: προσθεῖναι coni. Spengel: an προσθήσειν? —σθήσων διανοοῦμαι oblitt. R οὐχ οὕτω τετύφωμαι] cf. Demosth. de cor. §. 11 p. 229 12 ταχεῖς καὶ συντόμους colloc. AM βούλομαι oblitt. R 14 —φια ἀκρι— oblitt. R ἐπεί, εἰ δὲ μὴ vel ἐπεὶ ἄλλως coni. Spengel (non recte) 16 numeros capitum exhib. in marg. CR: om. AM τὸ oblitt. R 20. 21 ταύτας ἐπιχειροῦσι colloc. AM 22 ταῖς διανοίαις (errore typogr.) Brandis (p. 40a4) 23 ὑπειληφόσι A^2MR: ὑπηλειφόσι C: ἀπειληφόσι A^1 25 ἁπλῶν λέξεων oblitt. R 27 πᾶσι τοῖς εἴδεσι oblitt. R 28 εἰκότως πολλὴ oblitt. R 29 ἀριστοτέλη AM: ἀριστοτέλει CR 30 ἀλλὰ δή τί oblitt. R 31 ἐθέλει C: ἐ(θέλει—τοῖς oblitt.) R: θέλει AM

ποι μέμφονται· τῇ γὰρ κατηγορίᾳ, ᾗ ἀντίκειται ἡ ἀπολογία, τοῦτο ὄνομα τέταγεν ἡ τῶν Ἑλλήνων διάλεκτος, ὥστε εἰκότως ἄν τις αὐτὸν αἰτιάσαιτο ὅτι ξενίζει τοῖς ὀνόμασι.

Πολλαὶ μὲν οὖν, ὦ Σέλευκε, πρὸς ταύτην τὴν αἰτίαν ἀπαντήσεις φέ- 15
5 ρονται ὑπὲρ Ἀριστοτέλους, καὶ ταύτας ἔξεστιν ἀναλέγεσθαι ἔκ τε τῶν Ἀλε-
ξάνδρου καὶ Πορφυρίου. ἐγὼ δὲ τὰς μὲν πλείους παρήσειν ἔοικα, τὴν δὲ
φαινομένην εἶναί μοι βαθυτέραν ἐκθήσομαι· οὐ γὰρ συνεξισάζει τοῖς πράγ-
μασι τὰ ὀνόματα οὐδὲ τὴν αὐτὴν ἔχει φύσιν καὶ τάξιν τὰ σημαίνοντα τοῖς 20
σημαινομένοις, ἀλλὰ πάμπολυ τῶν πραγμάτων ἐλαττοῦται ἡ τῶν ὀνομάτων
10 σημασία. ἀνάγκη δὴ πᾶσα τοῖς φιλοσόφοις ἢ χρῆσθαι ξέναις λέξεσι καὶ
τῶν συνήθων ὀνομάτων ἀπηλλοτριωμέναις. ἐπειδὴ καὶ τῶν τοῖς πολλοῖς
ἀγνώστων πραγμάτων εἰσὶν ἐξηγηταί, ἢ τῇ προχείρῳ χρῆσθαι συνηθείᾳ
καὶ τὰ ἐπ' ἄλλων κείμενα ὀνόματα μεταφέρειν· ἐπεὶ γὰρ σύμβολα καὶ σή- 25
μεῖα τῶν πραγμάτων τέθειται τὰ ὀνόματα, τοῖς μὲν πᾶσι γνωρίμοις ἀνάγκη
15 ἦν ἤδη κεῖσθαι ὀνόματα ἃ ταῦτα σημαίνει, ὅσα δ' ἐπιστημονικὰ τῶν πραγ-
μάτων, παρὰ τῶν ἐπιστημόνων ἀπῄτει τὴν θέσιν. οὕτως οὖν καὶ ὁ | Ἀρι- 7
στοτέλης ὁτὲ μὲν ξενοφωνεῖ τῇ θέσει τῶν ὀνομάτων, ὥσπερ ἐπὶ τῆς ἐν-
τελεχείας αὐτὸς ὀνοματοποιήσας ταύτην, ὁτὲ δὲ ἐκ τῶν κατὰ τὴν συνήθειαν
παρακειμένων τὰ σημαντικὰ καὶ παραστατικὰ τοῦ προκειμένου εἰς διδασκα-
20 λίαν πράγματος μεταφέρει, ὥσπερ δὴ καὶ νῦν ἐπὶ τοῦ τῆς κατηγορίας ὀνό- 5
ματος πεποίηκε· τοῦ γὰρ κατηγορεῖν ἐπὶ τοῦ μετ' αἰτίας ἐγκαλεῖν παρὰ
τοῖς πολλοῖς κειμένου μετήνεγκεν ὁ φιλόσοφος τοῦτο ἐπὶ τοῦ κατά τινος
ἁπλῶς σημαίνοντός τι διὰ τῆς λέξεως. δείκνυσι τοίνυν ἡ τῆς κατηγορίας
ἐπιγραφή, ὅτι καὶ τὰ γένη καὶ τὰ εἴδη καὶ πάντα τὰ καθόλου κατηγορεῖ-
25 ται κατὰ τῶν ὑφ' ἑαυτοῖς ὄντων καὶ αἱ σημαντικαὶ λέξεις αἱ κοιναὶ κατα- 10
γορεύονται κατὰ πασῶν τῶν ὑποτεταγμένων μερικῶν λέξεων.

γ. Ἀλλ' ὅτι μὲν αἱ κατηγορίαι ὠνομάσθησαν ἀπὸ τοῦ καταγορεύεσθαι, ὅπερ ἐστὶ λέγεσθαι κατά τινος ὑποκειμένου, καλῶς ἅμα καὶ βραχέως ἐδίδαξας· καὶ γὰρ εἴπερ ἄλλου τινὸς καὶ τῆς συντομίας φροντιστέον, ἵνα μὴ 15
30 εἰς τὴν αὐτὴν τοῖς προειληφόσιν ἀπειρίαν ἐμπέσωμεν· ἐπεὶ δὲ ἄπορον φαί-
νεταί μοι, τί ποτέ ἐστι τὸ λεγόμενον, πότερον φωνὴ ἢ πρᾶγμα ἢ νόημα,
τοῦτό μοι σαφῶς ἐπιδεῖξαι πειράθητι.

2 τῶν ἑλλήνων ACM: om. R αἰτηάσαιτο C 4 —λλαὶ μὲν οὖν ὦ oblitt. R
5 ἀναλέγεσθαι AM: ἀνάγεσθαι C: oblitt. R 8 post φύσιν add. τε AM: om. CR
σημαίνοντα CM, in litura R¹ (coni. Spengel): σημαινόμενα As 10 σημασία ex ὀνομα-
σία corr. A 12 ἀγνώστων iterat del. R 13 μεταμεταφέρειν A 13. 14 σύμ-
βολα καὶ σημεῖα CR: συμβολικὰ σημεῖα AM 15 ἃ oblitt. R 16 θέ— oblitt. R
17 ὁτὲ ACM: ὅτε R 17. 18 —λεχείας oblitt. R 18 ταύτην CR: αὐτὴν AM
ὁτὲ AM: ὅτὲ C: ὅτε R τὴν AMR: om. C 19 καὶ παραστατικὰ CM: —στατικὰ
post litteras oblitt. R: καὶ στατικὰ s: om. A 20 μεταφέρει CR: φέρει AM
22 τοῦτο ex τούτων corr. A 22. 23 ἐπὶ τὸ—σημαῖνόν τι coni. Spengel 25 κατὰ
CR: om. AM 25 σημαντικαὶ λ— oblitt. R 27 ἀλλ' ὅτι μὲν oblitt. R ἀπὸ
CMR: ὑπὸ A 30 ἀπειρίαν CMR: ἀπορίαν A 30. 31 φαίνεταί μοι CR: μοι φαί-
νεται εἶναι AM 31 τί—τὸ λεγόμενον] τίνα—τὰ λεγόμενα coni. Spengel

Ἔδει μὲν συντόμως ἀποκρίνασθαί με πρὸς τὴν ἐρώτησιν, ὅτι προηγουμένως σημαίνεται τὰ νοήματα, κατὰ συμβεβηκὸς δὲ καὶ τὰ πράγματα· ἐπεὶ δὲ πολλὴ περὶ τῶν λεγομένων ἐστὶν ἡ ζήτησις, πλείονα κἀγὼ περὶ τῶν λεγομένων εἰπεῖν βούλομαι· καὶ γὰρ Σωσιγένης ὁ Περιπατητικὸς παραλλήλους ἐπιχειρήσεις περὶ τῶν λεγομένων ἀντεξήτασεν, οὐ μὴν περὶ μιᾶς γε αὐτοτελῶς ἀπεφήνατο, ἀλλ' ἰσομαχοῦντας ἀφῆκε τοὺς λόγους. βούλομαι δὴ καὶ τὰ ἐκείνου ἐπισκέψασθαι καὶ τελευταίαν τὴν ἐμαυτοῦ δόξαν ἐπαγαγεῖν. ἐπιχειρῶν δὴ περὶ τῶν πραγμάτων καὶ βουλόμενος ταῦτα εἶναι τὰ λεγόμενα ἐφόδῳ τινὶ τοιαύτῃ | κέχρηται· εἰ γὰρ τοῦ λέγειν καὶ τοῦ μὴ 8
λέγειν κύριά πώς ἐστι τὰ πράγματα, καὶ μὴ ὄντων μὲν οὐδὲν λέγομεν ὄντων δὲ ἀποφαινόμεθα, ταῦτα ἂν εἴη τὰ λεγόμενα. πρὸς δὴ τοῦτο εἴποιμ' ἂν ὡς οὐδὲν κωλύει αἴτια εἶναι τοῦ λέγειν τὰ πράγματα, μὴ μέντοι προσεχῶς, ὅπερ νῦν ζητοῦμεν. ταῦτα εἶναι τὰ λεγόμενα· καὶ γὰρ τοῦ πυρέττειν φέρε αἰτία ἐστὶν ἡ ἡλίωσις καὶ τοῦ ὀδυνᾶσθαι ἡ τῆς βελόνης νύξις. ἀλλ' οὔτε ἡ βελόνη ἐστὶν ἐν τῇ ὀδύνῃ οὔτε ἡ ἡλίωσις ἐν τῷ πυρέσσειν. τῶν γὰρ αἰτίων ἃ μέν ἐστιν ἔξω χωριστά, ἃ δὲ συμπάρεστιν· ὥστε δύναται μὲν καὶ τὰ πράγματα αἴτια εἶναι τοῦ λέγειν, οὐ μὴν αὐτὰ εἶναι τὰ λεγόμενα· καὶ γὰρ καὶ περὶ μὴ παρόντων πραγμάτων λέγομεν καὶ περὶ γεγενημένων καὶ περὶ μελλόντων, ἔδει δὲ τοῦ λόγου ὄντος τοῦ περὶ αὐτῶν καὶ τὰ πράγματα εἶναι. εἰ δὲ οὐ συνυφέστηκε τῷ λόγῳ τὰ πράγματα, οὐκ ἂν εἴη ταῦτα τὰ λεγόμενα· καὶ γὰρ ἔστι λέγειν καὶ ἀνύπαρκτα οἷον ἱπποκενταύρους καὶ τραγελάφους, λέγουσι δὲ λόγους καὶ οἱ μαινόμενοι καὶ οἱ παράφρονες, ὥστε εἴπερ τὰ λεγόμενα ἦν τὰ πράγματα, κἀκεῖνοι ἂν κατὰ πραγμάτων ἔφερον τὸν λόγον καὶ οὐδὲν ἂν μὴ ὑφεστηκὸς ὠνομάζομεν. ἔτι φησίν, εἰ ἀληθὴς ὁ λόγος καὶ ψευδὴς ἐκ τῶν πραγμάτων, οὐκ ἂν δύναιτο ἄλλο μὲν εἶναι τὸ λεγόμενον, ἄλλο δὲ τὸ ποιοῦν τὸ ψεῦδος καὶ τὸ ἀληθές, ὥστε ταῦτα ἂν εἴη τὰ λεγόμενα, ἅπερ αἰτιά ἐστι τοῦ αὐτοτελοῦς λόγου. τούτῳ τῷ ἐπιχειρήματι χρώμενος ὁ Σωσιγένης θαυμάζω πῶς οὐ συνεῖδεν, ὡς εἰ μὲν πᾶς λόγος ἀληθὴς ἦν ἢ ψευδής, ἔδοξεν ἄν τι λέγειν κατασκευάζων ὅτι τὰ πράγματά ἐστι τὰ λεγόμενα· εἰ δέ ἐστί τις λόγος μήτε ἀλη-

1 πρὸς τὴν ἐρώτησιν CR: om. AM 2 καὶ CR: om. AM 3 πλείονα CR: πλείω AMs 4 λεγομένων ex βουλομένων corr. M 5 ἀντεξέτασεν A 6 γε s (ex coniect.): τε codd.: τινος fort. rectius Brandis (p. 30b nota 1, quae Porphyrio falso adscribitur) 7 δὴ CR: δὲ AMs ἐκείνου ex ἐκείνων corr. A 10. 11 ὄντων CR: ὄντος AM utrobique 12 κωλύει CR: κωλύει A: κωλύει sic M πράγματα CMR: om. A 14 ἡ ἡλίωσις] ἡ ἀλοίωσις supra scr. M 15 οὔτε (ante ἡ ἡλίωσις) oblitt. R πυρέσσειν CR: πυρέττειν AMs. 16 ἔξω supra scr. A χωριστά eicias (τῶν αἰτίων τὰ μὲν χωριστά, τὰ δὲ οὐ χωριστά scholion mrg. R) 17 καὶ τὰ πρ— oblitt. R 18 —μάτων λέγομεν oblitt. R 18. 19 γενημένων R 19 τοῦ περὶ αὐτῶν scripsi: τοῦ παρ' αὐτῶν CR (cf. p. 14,7. 32,18. 21 Sp.): περὶ αὐτῶν AMs 20 δὲ οὐ συν— oblitt. R 24 μὴ supra scr. A ὀνομάζομεν A 25 δύναιτο AM: δύναται C: δύναται τὸ (τὸ m.² del.) R 28 θαυμάζω iter. A 29 ἄν τι λέγειν corr. Usener: ἀντιλέγειν ACMRs 30 τὰ (ante πράγματα) AM: om. CR (cf. v. 17. p. 8,6. 17)

θὴς μήτε ψευδής, ἔστι δὲ λέγειν καὶ κατὰ μηδενὸς ὑποκειμένου φερόμενον, πῶς ἔστι τούτῳ τῷ ἐπιχειρήματι διϊσχυρίζεσθαι; ἔπειτα ἄλλο μέν ἐστι τὸ περὶ πράγματος λέγειν καὶ ποιεῖν περὶ αὐτοῦ | ἀληθῆ ἢ ψευδῆ λόγον. νῦν δὲ ζητοῦμεν, τίνα ἐστὶ τὰ λεγόμενα. πρὸς τούτοις ἔστω καὶ τὸ πρᾶγμα αἴτιον τοῦ ἀληθοῦς καὶ ψευδοῦς λόγου, ἀλλ' οὐ διὰ τοῦτο ἐξ ἀνάγκης ἀκολουθήσει τὸ τὰ πράγματα εἶναι τὰ σημαινόμενα· δύναται γὰρ καὶ γίνεσθαι μέν τις, εἴ γέ τις συγχωρήσειεν, ἀληθὴς ἢ ψευδὴς λόγος διὰ ταῦτα, ἄλλα δέ τινα εἶναι τὰ ὑπὸ τοῦ λόγου σημαινόμενα· οὐ γὰρ ἐπεὶ δεκτικός ἐστι τοῦ ἀληθοῦς ἢ ψευδοῦς ὁ λόγος, διὰ τοῦτο ἐκ τῶν πραγμάτων ἢ ἀληθὴς ἢ ψευδὴς γεγένηται· κατὰ συμβεβηκὸς μὲν γὰρ αὐτῷ ὑπάρχει τὸ ἀληθεῖ εἶναι ἢ ψευδεῖ, κατ' οὐσίαν δὲ τὸ σημαίνειν τόδε τι προηγουμένως. ἀλλ' ἔστι, φησί, καὶ μετὰ τὸ λεχθῆναι τὰ πράγματα οἷον ἵππος φέρε ἢ βοῦς ἢ λίθος, εὔδηλον ὅτι ταῦτά ἐστι τὰ σημαινόμενα· οὐ γὰρ ἂν ἦν παυσαμένου τοῦ λόγου. καίτοι τὸ ἐναντίον εἴποιμ' ἄν, ὅτι οὕτως οὐκ ἔστι τὰ λεγόμενα τὰ πράγματα, οὐδὲ πρὸς πρῶτα αὐτὰ ὁ λόγος ἔχει σχέσιν. ὁ μὲν γὰρ λόγος ὁ περὶ αὐτῶν λέγων παρῆλθε, τὰ δὲ πράγματα μένει· εἰ δὲ ἦν τὰ σημαινόμενα τὰ πράγματα, ἔδει κἀκεῖνα μὴ εἶναι τοῦ λόγου παρελθόντος. νῦν δὲ ὁ μὲν λέγων ἔστι καὶ ἀκούων, ἐὰν οὕτω τύχῃ, τὰ δὲ πράγματα, περὶ ὧν ὁ λόγος, οὐκ ἔστι. καίτοι εἰ τὸ ποιοῦν ἀναγκαῖον εἶναι τότε, ὅτε καὶ τὸ πάσχον πάσχει, ἀνάγκη καὶ τὸ λεγόμενον εἶναι τότε, ὅτε καὶ τὸ ἀκοῦον ἀκούει· εἰ δὲ ἔστι μὲν ὁ λέγων καὶ ὁ ἀκούων, τὰ δὲ πράγματα οὐκ ἔστιν, ὅταν περὶ τῶν γεγενημένων ὁ λόγος ᾖ, πῶς οἷόν τε τὰ πράγματα εἶναι τὰ σημαινόμενα; περὶ μὲν δὴ τῶν πραγμάτων οὕτω διειλήφαμεν· ἂν δὲ λέγῃ τις ὅτι ἡ λέξις ἐστὶν ἡ λεγομένη (καὶ γὰρ καὶ πλείους δύνανται ταύτης ἀκούειν καὶ δύναται καὶ ὄντων καὶ μὴ ὄντων πραγμάτων εἶναι καὶ λέγεσθαι), ἐροῦμεν ὅτι ἄλλο μέν ἐστι τὸ διὰ ταύτης σημαίνεσθαί τι, ἄλλο δὲ τὸ αὐτὴν ταύτην ὑπό τινος σημαίνεσθαι· εἰ μὲν γὰρ τὸ τῇ | φωνῇ προφέρειν τοῦτο ὑπειλήφαμεν εἶναι τὸ λέγειν, αἱ λέξεις λέγονται, ἐπεὶ διὰ φωνῆς προφέρονται· εἰ δὲ τὸ ὀνομάζειν τὸ ὄνομα οὐκ ἔστι λέγειν, ἀλλὰ διὰ τοῦ ὀνόματος ἄλλο τι, οὐδ' ἂν τὸν λόγον εἴη λέγειν, ἀλλὰ ἄλλο τι διὰ τοῦ λόγου, ὥστε νῦν ζητοῦμεν τί ἐστὶ τὸ σημαινόμενον διὰ

---

1 ἔστι δὲ oblitt. R 2 ἔπειτα] ἐπ— oblitt. R 3 post ποιεῖν add. τι AM: om. CR

ἢ] ἢ εἴτε C: εἴτε R: ἢ καὶ AM λόγον] ἄλλο δέ ἐστιν αὐτὸ τὸ πρᾶγμα λέγειν· οὐ γὰρ ποιεῖ τοῦτο ἀληθῆ ἢ ψευδῆ λόγον in mrg. add. R 3. 4 νῦν δὲ oblitt. R 4 ἔστω AMR: ἔσται C 5 ἀλλ' οὐ oblitt. R 6 δύναται γὰρ oblitt. R γίνεσθαι ex δύνασθαι corr. C 8 τὰ AM: om. CR 9. 10 ψευδὴς ἢ ἀληθὴς colloc. AM 10 τὸ] τῷ A 11 ἢ ψευδεῖ εἶναι colloc. AM 12 φέρε CR: om. AM 13 an εὔδηλον ⟨οὖν⟩? ἂν CR: om. AM 13. 14 παυσαμένου AM: παυσάμενος CR 18 corrigas ⟨ὁ⟩ ἀκούων (cf. v. 21 p. 10,14) 21 ἀκούει CMR: ἀκούειν A ὁ (ante ἀκούων) CR: om. AM 23 τῶν CR: om. AMs 23. 24 διειλήφομεν M 24 ἐστὶν AMR: ἦν C 25. 26 ante πραγμάτων addendum τῶν coni. Spengel (fort. recte) 26 εἶναι καὶ CR: εἶναί τε καὶ AM ταύτης CMR: ταύτη A 27 τὸ (ante αὐτὴν) CR: om. AM 28 προφέρειν M: προσφέρειν ACR (cf. v. 29 p. 9,1. 14) 29 προφέρονται AM: προσφέρονται CR τὸ ὀνομάζειν iterat. del. R² 30 ἂν—ἀλλὰ om. in mrg. suppl. M²

τοῦ λόγου, οὐ τί διὰ τῆς φωνῆς προφερόμεθα. ἀλλ' ὥσπερ, φησί, τὸ βα-
δίζειν τοῦ βαδίζοντός ἐστιν ἐνέργεια καὶ τὸ γράφειν τοῦ γράφοντος, οὕτω
καὶ τὸ λέγειν τοῦ λέγοντος, ὁ δὲ λέγων λόγους καὶ μόρια τοῦ λόγου διέρ-
χεται, καὶ ταῦτα ἂν εἴη τὰ λεγόμενα. ἀλλὰ φήσαιμ' ἂν ὡς ἄλλο ἐστὶν
5 ἐνέργεια, ἄλλο τὸ ὑπὸ τῆς ἐνεργείας ἀποτελούμενον· οὐ γὰρ τὸ οἰκοδόμημα 10
ταὐτόν ἐστι τῇ ἐνεργείᾳ τοῦ οἰκοδόμου οὐδὲ τὸ ζωγράφημα ταὐτὸν τῇ
ἐνεργείᾳ τοῦ ζωγράφου, ἀλλ' ἕτερα τὰ ἀποτελέσματα· ὥστε καὶ τὸ λέγειν
ἐνέργημα ὂν τοῦ λέγοντος ἄλλο ἔχει τὸ ὑπὸ τοῦ ἐνεργήματος σημαινόμενον.
πάλιν φησὶν ὅτι τὸ λέγειν ἀπὸ τῆς λέξεως καὶ τοῦ λόγου παρωνύμως εἴ-
10 ρηται, ὥστε καὶ οὕτω συμβαίνοι ἂν τὰς λέξεις εἶναι τὰ λεγόμενα. καὶ 15
ἀπ' αὐτοῦ δὲ τούτου ἐλέγχοιτ' ἂν τὸ νῦν ζητούμενον· εἰ γὰρ παρωνύμως
ἀπὸ τοῦ λόγου τὸ λέγειν εἴρηται, οὐκ ἂν τοὺς λόγους λέγοιμεν, εἴπερ μήτε
τὴν βάδισιν βαδίζομεν μήτε τὴν ὑγίειαν ὑγιαίνομεν μήτε τὰς πράξεις ἢ τὰς
ποιήσεις πράττομεν ἢ ποιοῦμεν. πάλιν οἱ τὰ ἀμφίβολα προφερόμενοι καὶ 20
15 τὰ ὁμώνυμα ἕνα μὲν λόγον λέγουσι, πλείονα δὲ σημαίνουσιν, ὥστ' οὐκ ἂν
εἶεν αἱ λέξεις αἱ σημαινόμεναι. ἔτι ὅταν ἀσαφῶς τις εἴπῃ, τῶν μὲν ὀνο-
μάτων ἀκούομεν, ἃ δὲ λέγει, φαμὲν μὴ συνιέναι, ὥστε οὐκ ἂν εἴη τὰ ὀνό-
ματα τὰ λεγόμενα καὶ σημαινόμενα ἀλλὰ ἄλλο τι. τί δ' ἂν εἴποιμεν περὶ
τῶν ἀσήμων φωνῶν, ὁπότε ἡ μὲν λέξις λέγεται, οὐδὲν δὲ σημαίνει; πάλιν 25
20 ἐπὶ τῶν πολυωνύμων πλείω μὲν τὰ ὀνόματα, ἓν δὲ τὸ πρᾶγμα, ὥστε εἰ
μὴ τὸ αὐτό | ἐστι ταῖς λέξεσι τὸ πρᾶγμα, ἄλλο τι ἂν εἴη παρ' αὐτὰ τὰ 11
λεγόμενα. ταῦτα μὲν δὴ οὕτως ἑκατέρωθεν γεγύμνασται· μόνα δὲ σημαι-
νόμενα οἱ ἀρχαῖοι λέγουσι τὰ νοήματα, ἐπειδὴ περὶ τῶν πραγμάτων ἐστὶ
ταῦτα καὶ ἀπὸ τῶν πραγμάτων. προηγουμένως μὲν τὰ νοήματα, κατὰ 5
25 δεύτερον δὲ λόγον καὶ τὰ πράγματα σημαίνεται· οὐ γάρ ἐστι τὸ ἀληθὲς ἢ
ψεῦδος ἐν τοῖς πράγμασιν, ἀλλ' ἐν διανοίᾳ καὶ ἐν ταῖς διεξόδοις τοῦ νοῦ.
λέγει γοῦν αὐτὸς Ἀριστοτέλης ἐν τῷ τρίτῳ τῶν Περὶ ψυχῆς οὕτως· ἡ μὲν
τῶν ἀδιαιρέτων νόησις οὔτε ἀληθὴς οὔτε ψευδής, ἐν οἷς δὲ ἤδη τὸ ψεῦδος

---

1 προφερόμεθα AM: προσφερόμεθα CR 3 λόγου iterat. del. R² 5 post ἐνέργεια add. καὶ AM: om. CR ἀποτελούμενον] ἀποκαλούμενον ex ἀπὸ τοῦ τελουμένου corr. A 7 τοῦ ζωγράφου AM: τῶν ζωγράφων C: τῶν ζωγράφων ex τῷ ζωγράφῳ corr. R¹ καὶ CR: om. AM 8 ἐνέργημα ὂν τοῦ λέγοντος post σημαινόμενον colloc. AM ἄλλο CR: ἕτερον AM 9 φησὶν ὅτι partim oblitt. refecit R² 10 καὶ οὕτω CR: om. AM συμβαίνοι C: συμβαίνει AMR 17 ἃ CR: ὃ AM 19 δὲ CMR: om. A 22 γεγυμνάσθω coni. Spengel 22. 23 μόνα δὲ σημαινόμενα] ὁ δὲ Βοηθὸς μόνα λεγόμενα καὶ σημαινόμενα τὰς νοήσεις εἶναί φησι παρὰ τοῖς ἀρχαίοις Simpl. f. 10r3, unde Spengel coniecit ⟨λεγόμενα καὶ⟩ σημαινόμενα (haud recte, cf. p. 8, 13. 17. 23 p. 10, 13. 18) 23 νοήματα ex ὀνόματα corr. M 26 ἐν διανοίαις καὶ ταῖς τοῦ νοῦ διεξόδοις Simpl. 27 λέγει γοῦν CR: λέγει οὖν A: λεγοῦν M τρίτῳ τῶν AM: τρίτῳ C: τρίτων (sed ultima littera m.² del.) R Περὶ ψυχῆς] III, 6. 430a26 27. 28 ἡ μὲν τῶν ἀδιαιρέτων νόησις ἐν τούτοις, περὶ ἃ οὐκ ἔστι τὸ ψεῦδος· ἐν οἷς δὲ ... Arist. 28 ἤδη τὸ ψεῦδος] καὶ τὸ ψεῦδος (καὶ τὸ ψεῦδος ἤδη deteriores codd. et Themist.) Arist. 28 p. 10, 1 τὸ ψεῦδος καὶ τὸ ἀληθές] τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἐν τοῖς νοήμασιν ὁρᾶται in mrg. add. R

καὶ τὸ ἀληθές, σύνθεσίς τις ἤδη τῶν νοημάτων'. τὰ νοήματα ἄρα ἐστὶ τὰ πρώτως σημαινόμενα καὶ λεγόμενα· περὶ γὰρ τῶν γεγονότων καὶ τῶν μὴ ὄντων νοήσεις ἡμῖν γίνονται, ἃς ἑρμηνεύοντες λέγομεν. καὶ ψευδὴς καὶ ἀληθὴς λόγος οὐκ ἂν γένοιτο. εἰ μὴ ἐκ τῶν νοημάτων τὸ ἀληθὲς ἢ ψευδος ὁ λόγος δέξαιτο· πρῶτος γὰρ λόγος ὁ ἐν τῇ διανοίᾳ, ἀφ' οὗπερ εἰκὸς καὶ τὸ λέγειν αὐτὸ καὶ τὸν ἐν τῇ φωνῇ λόγον προσαγορεύεσθαι. πάλιν αἱ ἀμφιβολίαι καὶ ὁμωνυμίαι καὶ πᾶσαι ὅσαι περὶ τὴν λέξιν ἀπάται γίνονται τῷ νοήματα πλείω γίνεσθαι συμβαίνουσιν, ἐπειδὴ ἐπ' ἄλλο καὶ ἄλλο ἡ διάνοια πίπτει· εἰ οὖν ἓν μὲν τὸ ὄνομα, νοήσεις δὲ τούτου πλείους, καὶ τὰ λεγόμενα πλείω. ἔστι δὲ τὸ αὐτὸ καὶ ἐκ τοῦ ἐναντίου ἀποδεῖξαι· κἂν γὰρ μέθυ καὶ οἶνον εἴπω, κατ' ἄμφω μία ἐπίνοια, καίτοι ἕτερα τὰ ὀνόματα καὶ οὐ τὰ αὐτά. αἵ γε μὴν ἄσημοι φωναὶ ἄντικρυς διαρρήδην δεικνύουσιν, ὅτι τὰ νοήματά ἐστι τὰ σημαινόμενα· λέγομεν γὰρ τὸν τοιοῦτον μηδὲν λέγειν. ἐπειδὴ οὐδὲν νοεῖν ἐνδέχεται οὔτε τὸν λέγοντα οὔτε τὸν ἀκούοντα κατὰ τὰς τοιαύτας φωνάς. τούς γε μὴν τερετίζοντας οὐδέν φαμεν λέγειν τῷ μηδὲν εἶναι νοεῖν. ὅλως δὲ τὰ ἄλλα ζῷα οὐδεὶς ἂν εἴποι λέγειν δηλονότι τῷ διανοίας μὴ κοινωνεῖν· ὥστε ἡμῖν γε ἐκ πάντων τούτων εὔδηλον | εἶναι, ὅτι τὰ νοήματά ἐστι τὰ σημαινόμενα πρώτως, δευτέρως δὲ τὰ πράγματα. ἔστι γὰρ ἡ κατηγορία ἡ σημαίνουσα λέξις τὸ Σωκράτους φέρε νόημα. οὐκ ἄλλως μέντοι τῆς Σωκράτους φαντασίας ἢ ὡς Σωκράτους τοῦ μὲν νοήματος κινήματος ὄντος ἀμεροῦς καὶ ἁπλοῦ τῆς † ψυχικῆς καὶ ἐνεργείας οὐκ ἐν πάθει θεωρουμένης, τῆς δὲ φαντασίας ἐν πάθει φανείσης, διεξόδου τινὸς οὔσης καὶ διανύσεως αὐτοῦ. οὐ λέγω δ' ὅτι ἡ διανόησίς ἐστι φαντασία (περὶ γὰρ τῶν ἀσωμάτων νοήσεις μέν εἰσιν, οὐκ εἰσὶ δὲ φαντασίαι), ἀλλ' ὅτι ὑποτρέχει ἡ φαντασία τὴν νόησιν. οὐκ αὐτὰ οὖν τὰ ὄντα αἱ κατηγορίαι, ἀλλ' αἱ σημαίνουσαι λέξεις τὰ νοήματα καὶ τὰ πράγματα. ὅταν γὰρ λέγωσι, τὸ ζῷον κατὰ τοῦ ἀνθρώπου κατηγορεῖται, λέγουσιν ὅτι ἡ σημαντικὴ λέξις τοῦ ζῴου, ἥτις ἐστὶ τὸ ζῷον ὄνομα, κατὰ τοῦ σημαινομένου νοήματος ὑπὸ τῆς ἄνθρωπος λέξεως καὶ τοῦ ὑποκειμένου τούτῳ πράγματος κατηγορεῖται· τὸ γὰρ κατηγορεῖσθαι τῶν σημαντικῶν φωνῶν ἦν ἴδιον, αἳ σημαίνουσι τὰ νοήματα καὶ τὰ πράγματα.

---

1 τὸ AM Arist.: om. CR τις CR Arist.: om. AM τῶν om. Arist. 2 γεγονότων ex λεγονότων corr. C 5 ὁ λόγος R: om. ACM (fort. recte) 6 προσηγορεῦσθαι A: προσηγορεύεσθαι M 9 ἐν CMR: om. A 11 μέθυ M: *temetum* Felic.: μέθην ACRs 15 τεριτίζοντας C: τερεττίζοντας M 16 τῷ] τὸ C νοεῖν] ἐννοεῖν coni. Usener (sed cf. v. 14 p. 41,17 Sp.) 17 ἡμῖν ex εἰμέν corr. A 18 δευτέρως CR: δεύτερα AM 19 post σημαίνουσα additum πρώτως del. R[1] ante Σωκράτους add. τοῦ AMs: om. CR 20 νόημα] ὄνομα M μέντοι ex μέντοις corr. R[1] 21 τῆς ψυχικῆς καὶ ἐνεργείας CR: τῆς ψυχῆς καὶ ἐνεργείας AM: τῆς ψυχικῆς ἐνεργείας s (ex Sahunii coniect.): fort. corrigas τῆς ψυχικῆς ἐνεργείας καὶ οὐκ ἐν πάθει θεωρουμένου 23 αὐτοῦ CR: αὐτῶν AM 25 οὐκ αὐτὰ AM: οὐ κατὰ CR 25. 26 οὐ κατὰ (οὖν om.) τὰ ὄντα — πράγματα in mrg. repet. R 30 τοῦ ὑποκειμένῳ A

δ. Ἀλλὰ δὴ πῶς μέλλομεν διαγινώσκειν τὰς προτάσεις τίνας πότερον ὑπὸ τὰς κατηγορίας πίπτουσιν ἢ οὔ; δὸς οὖν τι κριτήριον, ἵνα τὰ μὴ ὑποπίπτοντα τῇ τῶν κατηγοριῶν διαιρέσει διακρίνωμεν.

Φημὶ δὴ ὅτι τὸ σημαντικὸν πᾶν γένος προὐπάρχειν δεῖ ὡς ὑποκειμένον καὶ ἐν ἀρχαῖς τάξαι ἐν τῇ τοιαύτῃ διαιρέσει· οὐ γὰρ οἷόν τέ ἐστιν οὐδέποτε ἄνευ τοῦ τοιούτου τρόπου τῆς φωνῆς κατηγορεῖσθαί τι ὡς ἕτερον καθ' ἑτέρου. οὐκοῦν εἴ τι ἄσημόν ἐστι μόριον καθ' αὑτὸ οἷον τὸ βλίτυρι ἢ κατὰ ἀναφορὰν ἐφ' ἕτερον σημαντικόν ὡς αἱ οὕτως καλούμεναι ἐπαναφοραί, αἵτινες κατὰ τὴν ἐπὶ τὰ ἀόριστα μόρια ἀναφορὰν δηλοῦσί τι ὡς ἡ ἐκεῖνος φωνὴ ἐπὶ τὸ τὶς ἀναγομένη, ἢ εἴ τι συσσημαντικὸν εἴη μεθ' ἑτέρου ὡς τὰ ἄρθρα καὶ αἱ σύνδεσμοι. οὐδαμῶς τὰ τοιαῦτα ἐν ταῖς κατηγορίαις θείη ἄν τις δικαίως. | πάλιν τοίνυν μετὰ τῆς πρὸς τὸ πρᾶγμα σχέσεως καὶ τῆς κατὰ τὰ πράγματα διαφορᾶς βούλεται ἡ κατηγορία κυρίως εἰδοποιεῖσθαι, ἐπειδὴ προηγουμένως ἡ σημαντικὴ λέξις τῆς πρώτης ἔχεται χρείας τοῦ λόγου, καθ' ἣν τὰ πράγματα δηλοῦν ἀλλήλοις ἐφιέμεθα. οἷον ἡ μὲν ἄνθρωπος λέξις πρὸς οὐσίαν ἔχει τὴν σχέσιν, ἡ δὲ λευκότης πρὸς ποιότητα, καὶ αἱ ἄλλαι ὁμοίως. ἐὰν οὖν λέξις οὕτως σχηματισθῇ, ὡς μὴ τῆς πρώτης εἶναι σημασίας τοῦ λόγου, ἀλλὰ τοῖς οἰκείοις μέρεσι τὸν ἐπιβάλλοντα χαρακτῆρα ἀφορίζειν, ὡς διόθεν, οἴκοθεν, κάλλιστα, ὀρθότατα, σοφώτατα, ποιητικώτατα, ἢ κατὰ τὴν τῶν νοημάτων πρὸς ἄλληλα ἐπιπλοκήν, ὥσπερ ἐπὶ τῆς ἀκολουθίας τοῦ ὑποθετικοῦ οἷον τοῦ 'εἰ ἡμέρα ἐστί', καὶ τῆς μάχης τοῦ διαιρετικοῦ οἷον 'ἤτοι ἡμέρα ἐστίν', οὐκ ἂν γένοιτο λέξις οὐδ' ἡτισοῦν τούτων προσήκουσα ταῖς κατηγορίαις· ἅπασαι γὰρ αἱ τοιαίδε χρεῖαι τοῦ λόγου παντάπασιν ἀφίστανται τῆς τῶν κατηγοριῶν προηγουμένης πρὸς τὰ πράγματα συντάξεως. πάλιν εἴ τις ἄρρητος εἴη κίνησις τῆς διανοίας ὡς ἐπὶ τῶν στεναγμῶν καὶ βρυχημάτων, ἢ εἴ τις ἄναρθρος ψόφος ὡς ἐπὶ τῶν ποππυσμάτων, ἢ εἴ τις ἀφάνταστος φωνὴ ὡς ἐπὶ τῶν τερετισμάτων, ἢ εἴ τι ὄνομα μηδὲν πρᾶγμα δηλώσειεν, οὐδαμῶς οὐδὲν τούτων ἐστὶ κατηγορία· οὐδαμῇ γὰρ διασώζουσι τὴν ἰδιότητα τῆς κατηγορικῆς οὐσίας. ἔτι τοίνυν αἱ ἀνωτάτω τῶν γενῶν διαστάσεις ἢ εἰ οὕτω τις βούλοιτο λέγειν τῶν γενικωτάτων λέξεων οὐδὲν ἔχουσι κοινὸν πρὸς ἀλλήλας· οὔκουν οὐδὲν ἕξουσιν οὐσιῶδες ἐφ' ἑαυτῷ ὂν ἢ λεγόμενον κατηγόρημα ἕτερον ἀνωτέρω. κατὰ δὴ τοῦτον τὸν διορισμὸν δεῖ τοὺς ὀρθῶς θηρεύοντας τὰς κατηγορίας μήτε τὸ ὂν ὡς κοινὸν καθ' ὅλων ἀποδεικνύναι (εἰ δὲ

2 πίπτουσιν AM: πιστοῦσιν CR 5 τάξαι om. C γὰρ CR: om. AM 7 οὐκοῦν κ. τ. λ.] αἱ ἄσημοι φωναὶ καὶ αἱ ἐπαναφοραὶ καὶ αἱ συσσημαίνουσαι λέξεις οὐκ ἀνάγονται ὑπὸ κατηγορίας in mrg. add. R βλίτυρι AM: βλίτιρι C: βλίτρι Rs 10 συσσημαντικὸν A 11. 12 ἐν ταῖς κατηγορίαις post τις colloc. C 16 ἡ . . . λέξεις C 17 λέξις ex λέξεις corr. C, an λέξις ⟨τις⟩? σχηματιστῇ CR 19 κάλλιστα AMR: om. C ὀρθότατα AM 20 σοφώτατα CR: om. AM 22 μάχης] ἀλλαγῆς coni. Usener ἤτοι R, ex εἴτοι corr. C: εἴ τι AM 27 ποππυσμάτων R: ποπυσμῶν C: ποππυσμῶν M: ποπτυσμῶν ex ποπτυσμάτων corr. A 28 εἴ τις ὄνομα C οὐδαμῶς CR: οὐδαμοῦ AM 32 οὐκοῦν AC 33 ὀρθῶς CMR: ὄρθους (sic) A 34 τὸ AM: om. CR

μή, οὕτω οὐκέτι ἔσονται δέκα, ἀλλ' εἰς ἓν γένος συναχθήσονται), μήτε τὴν κίνησιν κατὰ τοῦ ποιεῖν καὶ πάσχειν ὡς κοινὸν κατηγορεῖν· οὐ γὰρ ἔτ' ἔσται δύο γένη ταῦτα, ἀλλ' ἓν τὸ συναμφότερον ἡ κίνησις. καὶ τὸ ἁπλοῦν καὶ ἀσύνθετον, ἐάν τέ τις ἐν τοῖς τῶν ὄντων γένεσιν αὐτὸ ἐπισκοπῇ, ἄν τ' ἐπὶ τῶν γενικωτάτων σημαντικῶν λέξεων. ἐάν τε καὶ συναμφοτέρως. 14 πανταχῇ οὕτωσὶ τὸν χαρακτῆρα ἀφορίζει τῶν κατηγοριῶν· οὔτε οὖν τὰ σύνθετα οἷον Διων περιπατεῖ οὔτε τὰ ὑποσύνθετα οἷον ἡ ξυστρόπων οὔτε τὰ κατὰ συγκοπὴν ἢ ἀποκοπὴν λεγόμενα οὔτε τὰ πεποιημένα ὀνόματα οὔτε τὰ παρεσχηματισμένα οὔτε τὰ ἐπίθετα οὔθ' ὅσα ποιητικῆς ἢ ῥητορικῆς ἴδια θεωρεῖν, οὐδαμοῦ προσήκει τι ταῖς κατηγορίαις· ἄλλης γὰρ θεωρίας τῆς περὶ τὴν λέξιν καὶ δευτέρας τὰ τοιαῦτα γινώσκειν. ἡ δὲ κατηγορία τὴν προηγουμένην σημασίαν βούλεται θηρεύειν τῶν λέξεων καὶ τὰς προηγουμένας οὐσιώδεις κοινότητας τῶν ὄντων, αἵτινες ἐν τοῖς ἀνωτάτω γένεσι θεωροῦνται, ἀλλ' οὐχὶ τὰς κατὰ συμβεβηκὸς ἄλλως θεωρουμένας δευτέρας κοινὰς ἐπινοίας. οἱ μὲν σχηματισμοὶ καὶ αἱ ἐπίνοιαι ἐπ' ἄπειρον δυνάμεναι προιέναι ἄχρηστοί εἰσι πρὸς ἐπιστήμην. αἱ δὲ γενικαὶ σημαντικαὶ λέξεις ἢ αἱ τῶν πρώτων γενῶν περιλήψεις ἐν ἀπείρῳ τὸ πεπερασμένον παραδιδοῦσαι ἐμποιοῦσιν εἴδησιν ἀκριβῆ τοῦ τε λόγου ἐν ταὐτῷ καὶ τῶν ὄντων. διόπερ ταύταις χρηστέον ταῖς ἀφορμαῖς ὡς εἰκότως μάλιστα σπουδαζομέναις ὑπὸ τῶν τοῦ λόγου τε καὶ τῆς οὐσίας φιλοθεαμόνων. οὔτε ἄρα τὸ τροπικὸν ἢ μεταφορικὸν ὄνομα ὡς τὸ 'ἀνεχαίτισεν' ἢ 'πόδα νείατον Ἴδης', ἀλλ' οὐδὲ οἱ τρόποι οἷον τὸ ἐξ ἀνάγκης καὶ ἐνδέχεσθαι καὶ ὑπάρχειν, οὔτε οἱ προσδιορισμοὶ ὥσπερ τὸ πᾶς ἢ οὐδεὶς ἢ τὸ τὶς ἢ οὐχί τις ὑπὸ τὰς κατηγορίας ταχθήσεται· οὐδὲν γὰρ ὅ τι τῶν τοιούτων ἀφωρισμένην ἰδίαν πραγμάτων ἔχει φύσιν· διόπερ ἄν τις αὐτὰ εὐλόγως ἀποδοκιμάσειεν ὡς οὐκ ἐφαρμόζοντα τῷ τῶν νῦν προειρημένων σκοπῷ τῶν κατηγοριῶν. οἶμαι τοίνυν καὶ τὸ πρὸς ἀλήθειαν βλέπον τοῦ λόγου καὶ ἐν ᾧ κυρίως τὸ ἀληθεύειν ἢ ψεύδεσθαι περιέχεται, τοῦτο προηγουμένως συναρμόζειν ταῖς κατηγορίαις. ὅσα δὴ οὖν δύναται μόρια τῆς σημαντικῆς φωνῆς εἰς κατηγορικὴν ἁπλῆν πρότασιν ληφθέντα τοὺς ὅρους, ἐξ ὧν | συνέστηκε, κυρίως 15 ἀποτελεῖν, ταῦτ' ἂν εἴη τῶν κατηγοριῶν ἐχόμενα. ποιησώμεθα δὲ ὑπὲρ σαφηνείας κατ' ἐρώτησιν καὶ ἀπόκρισιν τὸν λόγον· πολλῆς γὰρ

3 ἓν ACM: ἐνὶ R 4 τε supra ser. M 5 καὶ CMR: om. A συναμφοτέρως CR: συναμφοτέρων AM 6 ἀφορίζει AM: ἀφορίζῃ CR 7 ξυστρόπων] multijidus Felic., conicias ξυστροποιεῖ (cf. Simpl. f. 17v43 οὐδὲ τὰ ὑποσύνθετα λεγόμενα . . . ὡς τὸ λιθοβολεῖ, ψευδοδοξεῖ, βουκολεῖ) 10 τι AMR: om. C 11 περὶ AM: παρὰ CR (cf. p. 9,17) 15 post κοινὰς II litterae erasae A ἐπίνοιαι CR: om. AM 17 παραδιδοῦσιν AM 19 post χρηστέον add. μάλιστα AM: om. CR: inclus. s σπουδαζομέναις CR: σπουδαμέναις A: σπουδασμέναις M 21 ὄνομα supra ser. C ἀνεχαίτισεν] Demosth. II, 9 p. 20,27 πόδα νείατον Ἴδης] Hom. B 824 22 καὶ ἐν— supra ser. M καὶ (ante ὑπάρχειν) CR: om. AMs 23 ἢ οὐδεὶς CR: ἢ τὸ οὐδεὶς M: καὶ τὸ οὐδεὶς A 24 ἀφορισμένην R et ante correct. C 26 τῷ τῶν νῦν προειρημένων] τῷ τῶν νῦν προκειμένων coni. Usener, quod reponas, nisi malis τῷ [τῶν νῦν] προειρημένῳ σκοπῷ τῶν κ. 29 δὴ CR: om. AM

οὔσης περὶ τούτων ζητήσεως κάλλιον ἐνδιατρῖψαι τῷ προκειμένῳ· ἐρώτα τοίνυν εἰ βούλει.

Τὸ ὂν ποίας ἐστὶ κατηγορίας;

Οὐδεμιᾶς.

Διὰ τί;

Ὅτι ὁμώνυμόν ἐστι κατὰ τῶν δέκα.

Τί δαί, τὸ ἓν ποίας ἐστὶ κατηγορίας;

Καὶ τοῦτο οὐδεμιᾶς.

Διὰ τί;

Ὅτι καὶ τοῦτο δεκαχῶς λέγεται, ὁσαχῶς τὸ ὄν.

Τῷ δὲ ἑνὶ τὸ ἐναντίον πλῆθος, τίνος οὖν κατηγορίας τὸ πλῆθος;

Οὐδεμιᾶς.

Διὰ τί;

Ὅτι καὶ τὸ πλῆθος δεκαχῶς, οὐσία οἷον ἄνθρωποι, ποσὸν οἷον τριπήχεις, ποιὸν οἷον λευκοί, πρός τι οἷον πατέρες, καὶ ἐπὶ τῶν λοιπῶν.

Πάλιν τὸ μὴ ὂν ποίας κατηγορίας ἐστί;

Διττῶς λέγεται τὸ μὴ ὄν. τὸ μὲν πάσης τῆς φύσεως ἄρσις, ὅπερ ἐστὶ πάντῃ μὴ ὄν. οὔτε οὐσία οὔτε ποιὸν οὐδέ τι τῶν λοιπῶν. ἢ τὶ δὲ μὴ ὄν, οἷον μὴ ποιόν, μὴ οὐσία, ἀλλ' ἄλλο τι οἷον πρός τι.

Ποίας οὖν ἑκάτερον μὴ ὂν κατηγορίας ἐστί;

Τὸ μὲν πάντῃ μὴ ὂν οὐδεμιᾶς· ἀνύπαρκτον γάρ ἐστι· τὸ δὲ τὶ μὴ ὂν δεκαχῶς καὶ αὐτὸ λέγεται, τὸ μὲν ὡς μὴ οὐσία, τὸ δὲ ὡς μὴ ποιόν, καὶ ἐπὶ τῶν λοιπῶν.

Τὸ δὲ ἔστι ποίας ἐστὶ κατηγορίας;

Καὶ τοῦτο οὐδεμιᾶς.

Διὰ τί;

Ὅτι ὁμώνυμόν ἐστι κατὰ τῶν δέκα.

Τὸ δὲ ταὐτὸν καὶ τὸ ἕτερον τίνος κατηγορίας ἐστί;

Καὶ τούτων ἑκάτερον δεκαχῶς λέγεται· ταὐτὸν γὰρ ἡ οὐσία πρὸς οὐσίαν ἢ ποιὸν πρὸς ποιὸν ἢ ποσὸν πρὸς ποσὸν καὶ ἐπὶ τῶν λοιπῶν. ἐὰν δὲ ἐναλλὰξ λαμβάνηται. πλείω ἔσται. οὐσία πρὸς ποσὸν καὶ οὐσία πρὸς πρός τι καὶ ἐπὶ τῶν λοιπῶν, ἄλλα δέκα ταῦτα γίνεται σημαίνομενα, καὶ ἐὰν ἀπὸ τοῦ ποιοῦ, ἐννέα ἄλλα, ποιὸν πρὸς ποσὸν καὶ ποιὸν πρὸς πρός τι, καὶ ἀπὸ τοῦ ποσοῦ ὀκτώ. καὶ ἀπὸ τοῦ πρός τι ἑπτὰ καὶ ἤδη ἐπὶ τῶν λοιπῶν κατὰ τὸ ἀνάλογον. ὁμοίως δὲ καὶ τὸ ἕτερον δεκαχῶς, ἢ οὐσία πρὸς οὐσίαν ἢ

---

7 δαί R: δὲ ACM 16 post πάλιν add. δὴ Ss: om. ACMR 17 διττῶς CR: διττὸν AM ἄρσις] ἄρνησις s (ex coniect.) 18 οὐδέ τι CR: οὔτε ἄλλο τι AMs 19 τὶ δὲ R: τόδε C: τόδε τι AMs: an τί γε? (cf. v. 21) 22 ante αὐτὸ add. τὸ R: supra scr. C: om. AM 23 λοιπῶν CMR: ἄλλων A 24 δὲ AM: om. CR 27 ὅτι CR: διότι AM 29 ἢ CR: ἡ AM 30 ἢ (ante ποιὸν) CR: καὶ AM καὶ ἐπὶ — πρὸς ποσὸν (31) om. A 31 ἔσται CR: ἐστὶν M 22 ἄλλα AC: ἀλλὰ MRs ταῦτα supra scr. C 34 ποσοῦ scripsi: ποιοῦ libri post ἤδη add. καὶ del. C 35 ἢ (ante οὐσία) ACR: ἡ Ms

ποιὸν πρὸς ποιὸν ἢ ποσὸν πρὸς ποσὸν καὶ ἐπὶ τῶν λοιπῶν. τὰ δὲ ἐναλλὰξ κατὰ τὴν αὐτὴν ἀναλογίαν πλείω.

Ἑκάστη δὲ τῶν κατηγοριῶν τί ἐστί;

Ναί.

Πῶς οὖν ἑκάστη τί;

Δεκαχῶς, τὸ μὲν ὡς οὐσία τί, τὸ δὲ ὡς ποιὸν τί, ἢ δὲ ὡς ποσόν, ἢ δὲ ἐπὶ τῶν ἄλλων.

Ὁ δὲ ὅρος τὸ τί ἐστι δηλοῖ;

Καὶ μάλα.

Ποῖον δή τι;

Δηλοῖ ὁ ὅρος τὴν ὡς ἰδιότητα.

Ποίαν ἰδιότητα;

Καὶ αὕτη δεκαχῶς, ἢ μὲν ὡς οὐσίας ἰδιότης, ἢ δὲ ὡς ποσοῦ, ἢ δὲ ὡς πρός τι, ἢ δὲ ὡς ποιοῦ καὶ ἐπὶ τῶν λοιπῶν.

Εἷς οὖν ἐστιν ὁ ὅρος;

Οὔ· ἀλλὰ καὶ οὗτος δεκαχῶς ὁσαχῶς καὶ τὸ ὄν.

Διὰ τί; |

Εἰ γὰρ ὁ ὅρος τὴν ἑκάστου ἰδιότητα παρίστησι, δεκαχῶς δὲ τὸ ὄν, 17
δεκαχῶς καὶ ἡ ἰδιότης.

Ὁ δὲ ὅρος ἐκ γένους ἐστὶ καὶ ἰδίου, καὶ ποίου γένους καὶ ποίου ἰδίου;

Δεκαχῶς πάλιν καὶ τὸ γένος καὶ τὸ ἴδιον. ὅσαι γὰρ αἱ κατηγορίαι, τοσαῦτα γένη, καὶ ὅσαι κατηγορίαι τοσαῦτα ἴδια.

Διαφέρει δὲ γένος κατηγορίας;

Τῇ μέν, τῇ δὲ οὔ.

Πῇ μὲν διαφέρει καὶ οὐ διαφέρει;

Τῇ μὲν ἐπὶ ὑποκειμένον ἀναφορᾷ οὐ διαφέρει (τὰ γὰρ ὑποκείμενα δέκα εἰσί), καθόσον δὲ αἱ μὲν κατηγορίαι φωναί εἰσι, τὰ δὲ γένη φύσεις, διαφέρει. ὡσαύτως δὲ καὶ ἡ διαφορά· ἑκάστου γὰρ γένους ἐστὶ διαφορά. δεκαχῶς δὲ τὸ γένος. καὶ ἡ διαίρεσις δὲ γένους οὖσα εἰς εἴδη τομὴ δεκαχῶς ἂν εἴη, ὁσαχῶς καὶ τὸ γένος τέμνεται. καὶ τὸ εἶδος εἰς ἴσα τέμνεται.

Πῶς οὖν, εἰ πολλαχῶς λέγεται τὸ γένος, ὅρον Ἀριστοτέλης δίδωσιν αὐτοῦ 'τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον'; 15

Ὅτι οὐδὲν κωλύει τῶν πολλαχῶς λεγομένων πολλαχῶς ὅρον

5 πῶς] ποσαχῶς coni. Spengel 7 post ἢ δὲ inseras ὡς πρός τι καὶ 13 αὕτη AMR: αὐτὴ C 14 ἢ δὲ ὡς ποιοῦ, ἢ δὲ ὡς πρός τι colloc. C 18 ὂν ex ἓν corr. A 22 post τοσαῦτα (utrobique) addendum τὰ et post ὅσαι addendum αἱ coni. Spengel (fort. recte) 25 μὲν CR: om. AM 27 μὲν ACRM: om. Ss φωναί CR: om. AM 28 ὡσαύτως δὲ—εἰς ἴσα τέμνεται (31) scholiastae deberi videntur, certe post ἴδια (v. 22) transponenda sunt 29 ἡ διαίρεσις—τομή] cf. Porph. in Categ. p. 86,10 γένους CRM: γένος A 32 ὅρον Ἀρ. δίδωσιν] cf. Top. A 5 p. 102ᵃ31 33 αὐτοῦ AM: αὐτὸ CR 35 κωλύει CR: κωλύει M: κωλύοι A πολλαχῶς (alterum) CR (coni. Spengel): πολλαχοῦ AMs

λεγόμενον ἀποδοῦναι· ὡς γὰρ τὸ γένος δεκαχῶς, καὶ τὸ ἓν τῷ τί ἐστι κατηγορούμενον πολλαχῶς.

Ἀλλ' εἰ τριχῶς τὸ ταὐτὸν εἴρηκεν Ἀριστοτέλης (ταὐτὸν γὰρ ἢ γένει ἢ εἴδει ἢ ἀριθμῷ), πῶς δεκαχῶς εἴρηται τὸ ταὐτό:

Ὅτι καὶ τὸ γένει ταὐτὸ δεκαχῶς. οἷον οὐσίᾳ μὲν ταὐτὸν ὡς ἄνθρωπος, ἵππος (γένει γάρ, τῷ ζῴῳ, ταὐτά, οὐσία δὲ τὸ ζῷον), ποσῷ δὲ οἷον γραμμή, ἐπιφάνεια (μεγέθει γὰρ ταὐτά ἐστι ποσά), ἢ πρός τι δὲ διπλάσιον, ποιῷ δὲ οἷον λευκόν, μέλαν (χρῶμα γὰρ ἑκάτερον [τὸ αὐτό]). καὶ ἐπὶ τῶν λοιπῶν. ὁμοίως δὲ τὸ εἴδει ταὐτὸν δεκαχῶς, ἢ τῇ οὐσίᾳ ἢ τοῖς λοιποῖς, καὶ τὸ ἀριθμῷ δὲ ὁμοίως. ὡσαύτως δὲ καὶ τὸ ἕτερον δεκαχῶς. εἰρηκότος δὲ αὐτοῦ εἶναί τι τριχῶς γένει, εἴδει, ἀριθμῷ, λέγω ὅτι καὶ τὸ γένει ἕτερον καὶ τὸ εἴδει καὶ τὸ ἀριθμῷ δεκαχῶς. τὰ δὲ ὑποδείγματα δῆλα.

Τὸ διχῶς καὶ τριχῶς καὶ τὸ διχθά, τριχθά, τετραχθὰ εἰς ποίαν κατηγορίαν ἀνάξομεν;

Ἤδη πολλάκις εἰρήκαμεν, ὅτι τῶν λέξεων αἱ μὲν τῆς πρώτης ἔχονται σημασίας, αἱ δὲ εἰς τὴν δευτέραν ἀνάγονται χρείαν τοῦ λόγου, ἃς οὐκέτι προσποιεῖται ἡ τῶν κατηγοριῶν πρόθεσις. διὸ εἰ μέν τις καὶ ταύτας εἰς τὰς πρώτας ἀνάγοι νοήσεις, ἀφ' ὧν ὁρμηθεῖσα ἡ διάνοια κινήματα τοιαῦτα ἀπεγέννησε, τοῦ ποσοῦ λέγοι ἂν εἶναι ταῦτα· εἰ δὲ ἀποτέμνοιτο ταῦτα τῶν πρώτων νοήσεων, αἳ τοῖς πράγμασι συνήρτηντο, οὐκ ἀπαιτητέον, τίνος ἂν εἶεν γένους τῶν κατηριθμημένων κατηγοριῶν.

Τὸ ὅλον καὶ τὸ μέρος εἰς ποίαν κατηγορίαν τάξομεν;

Τῆς δευτέρας τοῦ λόγου χρείας ἔχεται καὶ ταῦτα. χεὶρ μὲν γὰρ καὶ κεφαλὴ πρῶτα ὀνόματα, ὅτι δὲ ἡ χεὶρ καὶ ἡ κεφαλὴ μέρη ἐστὶν ὅλου καὶ ὡς μέρη ὀνομάζονται. δευτέρα κίνησις λεκτικῆς μηνύσεως· Σωκράτης μὲν γὰρ τῆς οὐσίας προσηγορία, ὅτι δὲ τὸ Σωκράτης ὄνομα. δευτέρα θέσις ὀνόματος ἐπὶ τῇ πρώτῃ. οὕτως οὖν ἔχει καὶ τὸ ὅλον καὶ τὸ μέρος, καὶ διὰ τοῦτο παραιτητέον εἰς τὰς κατηγορίας αὐτὸ ἀνάγειν· εἰ δ' ἄρα, πρός τι τοῦτο τάξομεν· ὅλου γὰρ μέρος τὸ μέρος καὶ τὸ ὅλον ἐκ τῶν μερῶν ὅλον.

Τὸ καθόλου καὶ τὸ καθάπαξ καὶ τὸ ἄρδην εἰς ποίαν κατηγορίαν ἀνάξομεν;

1 δεκαχῶς CR: om. AM (recte, nisi malis πολλαχῶς v. 2 inducere) 3 τὸ ACR: om. Ms εἴρηκεν Ἀρ.] cf. Top. H 1 p. 151ᵇ28, 152ᵇ31 5 τὸ γένει scripsi: τῷ γένει ACMRs 6 τὸ ζῴῳ s 7 ταὐτά ἐστι ποσά coni. Usener. malim ποσά eicere 7. 8 πρός τι δὲ διπλάσιον] *item in iis quae sunt ad aliquid, duplum et triplum, quippe cum multiplicia utraque sint* Felic., sed cum etiam ante διπλάσιον requiri videatur οἷον, nescio an illa inducenda sint 8 οἷον AM: om. CR τὸ αὐτό eiecit Usener 9 δὲ CMR: δὲ καὶ A τὸ MR: τῷ (superscr. ὀ) A: τῷ ex τὸ corr. C 10 τὸ ἀριθμῷ corr. Sahune: τῷ ἀριθμῷ codd. 12 τὸ ἀριθμῷ καὶ τὸ εἴδει colloc. AM τὸ (ante ἀριθμῷ) ex τῷ corr. AR 14 διχθᾶ, τριχθᾶ, τετραχθᾶ CR: διχθὰ καὶ τὸ τριχθὰ AMs 19 ἀνάγει (superscr. οι) M 20 ἀπεγέννησε A 23 εἰς] εἰ R 26 μηνύσεως ex κινήσεως corr. A 27 ante τὸ Σωκράτης add. καὶ AMs: om. CR 27. 28 δευτέρα θέσις ὀνόματος iter. M 28 καὶ (tertium) om. C

Ταῦτα τῶν κατηγοριῶν ἐξήρηται· κατὰ μετοχὴν γὰρ πρώτων τινῶν καὶ ἀρχετύπων κατηγοριῶν ἀναφέρεται.

Τὸ ταὐτὸν καὶ τὸ ἕτερον καὶ τὸ ἴδιον καὶ τὸ ἀλλότριον καὶ τὸ | κοινὸν καὶ τὴν ἀδιαφορίαν τήν τε ἀμφιβολίαν καὶ τὴν συνωνυμίαν ποῦ 19
τάξομεν;

Εἴρηται μὲν ὅτι κατὰ πάσας ἕκαστον τούτων λέγεται· ἐπεὶ δὲ ὀνομάτων ἐστὶ καὶ τῆς δευτέρας ὄντα θέσεως τῶν ὀνομάτων φαίνεται, τῶν κατηγοριῶν ἐκπίπτει. ἤδη γὰρ πολλάκις εἰρήκαμεν, ὅτι αἱ κατηγορίαι κατὰ τὸ σημαντικὸν τῶν ἐν τοῖς οὖσι διαφορῶν ὑφίστανται· διὸ καὶ μᾶλλον ἀξιοῦμεν τὰ ἄτομα καὶ ἔχοντα δεῖξιν θεωρεῖν ὡς κυριώτερα ἐν ταῖς κατηγορίαις καὶ μᾶλλον ἀποπληροῦν αὐτῶν τὴν ἐπαγγελίαν δυνάμενα. τούτων τοίνυν διωρισμένων ἄξιον ἐπιστῆσαι πρὸς τὴν τελεωτάτην ἐπιστήμην ἀναφέροντας αὐτῶν τὴν εἴδησιν.

ε. Τί δήποτε περὶ τῶν κατηγοριῶν εἰπεῖν προθέμενος οὐ περὶ τούτων λέγειν ἄρχεται, ἀλλὰ περὶ ὁμωνύμων καὶ συνωνύμων καὶ παρωνύμων, καίτοι ἐν ταῖς ἄλλαις συγγραφαῖς εἰωθὼς ἀεὶ τοῦ σκοποῦ ἔχεσθαι καὶ μηδὲν περαιτέρω τῶν εἰς τὴν ὑπόθεσιν τεινόντων λέγειν;

Ἐροῦμεν ὅτι οὐ συμμετρεῖται τῷ πλήθει τῶν πραγμάτων τὰ ὀνόματα, οὐδ' ὅσα τὰ πράγματα, τοσαῦται καὶ αἱ ἐπ' αὐτοῖς σημαντικαὶ λέξεις οὔτε καθ' ἕκαστον οὔτε κοινῶς κατὰ γένος, ἀλλ' ὅπου μὲν ὑπερβάλλει, ὅπου δὲ ἐνδεῖ τὰ ἕτερα τῶν ἑτέρων· καὶ γὰρ ἑνὸς πράγματος πολλάκις εὑρίσκεται πλείω τὰ ὀνόματα καὶ πραγμάτων πλειόνων ἓν ὄνομα κατ' οὐδὲν κοινὸν καὶ ταὐτὸν κείμενον, ὥστε ἐπὶ τὴν προτεθεῖσαν λέξιν τὴν ἁπλῆν καὶ ἀσύνθετον χρὴ σκοπεῖν, εἰς ποίαν κατηγορίαν ἀνάγεται. διὰ τοῦτο περὶ ὁμωνύμων, συνωνύμων καὶ παρωνύμων διαλαμβάνει διδάσκων ἡμᾶς πανταχόθεν ἐπισκοπεῖν, μή τι ταῖς λέξεσι τοιοῦτο συμβέβηκεν, ὥστε τὰ οἰκείως προτετάχθαι ὀφείλοντα πρῶτον παραδίδωσι τοῖς μέλλουσιν ἀκριβῶς τὰς κατηγορικὰς λέξεις γνώσεσθαι. ὥσπερ γὰρ ἐν ταῖς ἄλλαις ἐπιστήμαις προλαμβάνομέν τινα. ὧν ἄνευ χαλεπὸν καὶ ὅλως ἀδύνατον ἦν γνῶναι τὸ προκείμενον, οὕτως κἀνταῦθα | πρὸ τῆς εἰς τὰς κατη- 20
γορίας διαιρέσεως προλαμβάνομέν τινα συντελεῖν μέλλοντα εἰς τὴν σαφήνειαν τῶν ἑξῆς.

ς. Οὔκουν ἔδει πρὸ τοῦ περὶ τῶν καθολικῶν λέξεων καὶ Ἀρχύταν λέγειν, ἃς ἡμεῖς κατηγορίας ὀνομάζομεν, ταῦτα προειληφέναι;

---

1 τῶν CR: om. AM ἐξήρηται CMR: ἐξήρτηται A 2 ἀναφέρεται CR: προέρχεται AM 4 ἀδιαφορίαν CR: διαφορίαν M: διαφοράν A post ἀδιαφορίαν add. καὶ del. M καὶ τὴν (ante συνωνυμίαν) CMR: τήν τε A συνωνυμίαν ex ὁμωνυμίαν corr. A 7 ὀνομάτων prius] ὀνόματα coni. Sahune 9 ὑφίστανται CR: ἐφίστανται AM 12 τελειωτάτην A 14 προθέμενος Simpl. (f. 5 v 1): προέμενος AM: προιέμενος CRs 22 οὐδεὲν A 24 χρὴ δεῖ A 25 συνωνύμων καὶ in mrg. suppl. M 26 μή τι] μήτι AM: μήτε CR τοιοῦτον A 28 λέξεις AM: om. CR 33 οὔκουν scripsi: οὐκοῦν libri 33. 34 καὶ Ἀρχύταν post ὀνομάζομεν transponi iubet Usener (recte)

Ἢ μήποτε οὐδὲ κατὰ νοῦν γίνεται τὸν Πυθαγορικὸν ἡ τοιαύτη διαί- 5
ρεσις· ἐπεὶ γὰρ φύσει διορίζονται τὰ ὀνόματα κεῖσθαι τοῖς πράγμασι,
πᾶσαν τὴν ἀνωμαλίαν τὴν περὶ τὰς λέξεις παραιτοῦνται.

ζ. Ἀλλὰ ταῦτα μὲν ὑπερθώμεθα, ἐπειδὴ τὸ τοιοῦτο γένος τῶν
5 ζητήσεων παρὰ τῶν τὰς Πυθαγορικὰς ὑποθέσεις θαυμαζόντων ἀπαι-
τεῖν προσῆκεν· εἴπερ δὲ τὰ χρήσιμα προλαμβάνειν ἔδει, τί βουλόμενος 10
μετὰ τὴν τῶν κατηγοριῶν παράδοσιν ἐπήγαγε περὶ ἐναντίων καὶ ἀντικει-
μένων καὶ κινήσεων καὶ τῶν ἄλλων;

Ὅτι, ὦ γενναῖος, τῶν μὲν ἄλλων, ὅσων ἔννοιαν οὐκ ἔχομεν, παρὰ
10 τῶν ἐπιστημόνων εἰκότως προδιδασκόμεθα, τοιαῦτα δέ γε ἢν τὰ ὁμώνυμα
καὶ τὰ συνώνυμα καὶ τὰ παρώνυμα· τούτων γὰρ πρόληψιν οὐκ ἔχομεν καί 15
που πάντως ἔδει παρὰ τοῦ ἀκριβῶς τοῖς ὀνόμασι χρωμένου εἰς τὴν ἐπί-
νοιαν ἡμᾶς προαχθῆναι· ὧν δὲ φυσικὴν ἔχομεν τὴν ἐπιβολήν, οὐ μήν πω
ταύτην διηρθρωμένην, τούτων ἔδει μὲν τῇ κοινῇ ἐννοίᾳ χρήσασθαι, ἵνα μὴ
15 τὸ συνεχὲς τῆς διδασκαλίας διακοπῇ, μετὰ ταῦτα δὲ ἀκριβῶς διαρθρῶσαι 20
ἕκαστα, αὐτὰ τὰ πράγματα διαλαμβάνοντα, ἀλλ' οὐχὶ τῇ φυσικῇ θεωρίᾳ
ταῦτα σκοπούμενον. αὐτίκα ὥσπερ εἰς γένη μέν τινα τὴν διδασκαλίαν
ἀνάγει περί τε ἐναντίων καὶ ἀντικειμένων καὶ τῶν ἄλλων, ἔτι τε περὶ κι-
νήσεως καὶ τοῦ ἅμα παχυτέραις ταῖς ἐπιβολαῖς χρώμενος, τὴν ⟨δ'⟩ ἀκριβε-
20 στέραν θεωρίαν ἐν τοῖς Φυσικοῖς ἐκδιδάσκει. 25

η. Τίς οὖν αἰτία τοῦ περὶ πρώτων τῶν ὁμωνύμων αὐτὸν ἀλλ' |
οὐχὶ τῶν συνωνύμων μνημονεῦσαι, καίτοι τὰ μὲν ὁμώνυμα καθ' ἓν μόνον 21
ὄνομα κοινωνεῖ, τὰ δέ γε συνώνυμα κατ' ἀμφότερα, τό τε ὄνομά φημι
καὶ τὸν λόγον;

25 Λέγω δὴ τὸ αἴτιον εἰς αὐτὰς ἀναφέρεσθαι τὰς κατηγορίας· ἐπεὶ
γὰρ ὁμώνυμοι τυγχάνουσιν αὗται, τὸ προηγουμένως κοινῇ πάσαις ὑπάρχον 5
τοῦτ' εὐλόγως προέταξεν· ἑκάστη μὲν γὰρ τῶν ὑφ' ἑαυτὴν εἰδῶν κατὰ τὸ
οἰκεῖον ἑαυτῆς γένος συνωνύμως κατηγορεῖται, ἁπλῶς δὲ πᾶσαι ὁμωνύμως
κατηγορίαι λέγονται.

30 θ. Ἀλλ' εἰ πρόκειται αὐτῷ περὶ τῶν λέξεων εἰπεῖν τῶν τε ἄλλων
καὶ τῶν ὁμωνύμως ἐχουσῶν, διὰ τί περὶ μὲν ὁμωνυμίας οὐδὲν λέγει, περὶ 10

---

1 μήποτε CMR: μηδέποτε A τὸν Πυθαγορικὸν CR: τῶν Πυθαγορικῶν A: τῶν Πυθαγορικῶν M 3 τὴν (post πᾶσαν) CR: om. AM περὶ λέξεων Brand. (p. 43b39) 4 ὑπερτιθέμεθα Brand. 5 παρὰ supra scr. M τῶν CMR: om. A τὰς supra scr. R 6 προσῆκεν] προσήκει coni. Spengel 9 ἔννοιαν CMR: εὔνοιαν A 11 τὰ παρώνυμα καὶ τὰ συνώνυμα colloc. M τὰ (ante παρώνυμα) ACM: om. R 12 που AM: om. CR ἀκριβῶς S: ἀκριβοῦς ACMR χρωμένου CR: χρωμένους AM 14 διηρθρωμένην CMR: διηρθωμένην A 15 διαρθρῶσαι CMR: διαρθῶσαι A 16 οὐχὶ CMR: οὐ A 19 ταῖς ἐπιβολαῖς παχυτέραις C τὴν δ' scripsi: τὴν ACMRs 20 ἐν τοῖς Φυσικοῖς] cf. Γ 1 200b12 sq. 21 αὐτὸν AMR: om. C 23 γε CR: om. AM 26 προηγουμένως CR: προηγουμένον AM 27 ἑκάστη CR: ἕκτη AM 31 ὁμωνύμως CMR: ὁμωνύμων A περὶ μὲν ὁμωνυμίας MR: περὶ ὁμωνυμίας μὲν A: περὶ ὁμωνυμίας (μὲν om.) C

ὁμωνύμων δὲ διδάσκει τῶν κατὰ τὴν σχέσιν τῶν πραγμάτων ἐπινοουμένων ἔχειν τὸ διττὸν τῆς σημασίας;

Ὅτι ἀπὸ τῶν πραγμάτων διαφόρως ἐχόντων διακρίνεται ὁδῷ προϊόντων ἡμῶν καὶ ἡ ὁμωνυμία. ἀφ' ὧν οὖν πρώτως λαμβάνει τὴν σύστασιν καὶ ἅπερ ἐστὶ κυριώτατα αὐτῆς αἴτια καὶ ἐν οἷς ἔχει τὸ εἶναι ἡ ὁμωνυμία, ταῦτα προηγουμένως ἀναδιδάσκει, ὧν νοουμένων ὁμοῦ καὶ ἡ λέξις ὡς οὖσα ὁμώνυμος συνθεωρεῖται· ὅταν γὰρ ᾖ πλείονα ταῦτα, εὐθὺς συναποδείκνυται καὶ τὰ ὀνόματα ὥσπερ πλεοναχῶς λεγόμενα. δι' ὧν οὖν ἡ εὕρεσις ῥᾴστη καὶ ἀνυσιμωτάτη γίνεται. ταῦτα προὔθηκεν εἰκότως. ταῦτα δέ ἐστι τὰ πράγματα κύρια ὄντα τοῦ ποιεῖν τὴν ὁμωνυμίαν, ὥστε κατὰ τὰς διαφορὰς τῶν πραγμάτων παραστήσας τὰ ὁμώνυμα συνακολουθοῦντα τούτοις ἔχει καὶ τὸν περὶ τῆς ὁμωνυμίας λόγον.

ι. Ἀλλ' εἰ τὸ μόνον διχῶς λαμβάνεται, ἢ ὡς ἓν ὥσπερ 'μόνος ὁ ἥλιος' ἢ ὡς πρὸς ἀντιδιαστολὴν ἑτέρων ὡς 'τὸ χιτῶνα μόνον ἔχειν', ὅταν λέγῃ· ὁμώνυμα λέγεται ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος, ἤτοι τὸ μόνον σημαίνει αὐτῷ τὴν πρὸς τὸν λόγον ἀντιδιαστολὴν ἢ οὐ σημαίνει. ἀλλ' εἰ μὲν σημαίνει, περιττὰ τὰ λοιπά, εἰ δὲ οὐ σημαίνει, περιττὸν τὸ μόνον.

Φημὶ δὴ οὖν τὰς προσθήκας σαφηνείας χάριν λαμβάνεσθαι, ἧς μάλιστα χρὴ φροντίζειν τοὺς λέγοντας. κἀνταῦθα τοίνυν τὸ ἀμφίβολον τοῦ μόνου σαφηνίζει τὸ ἐπαγόμενον· ὡς γὰρ ὁ εἰπὼν 'οὗτος χιτῶνα μόνον ἔχει' σαφέστερον ἐποίησε τὸ λεγόμενον ἐν τῷ προσθεῖναι 'ἱμάτιον δὲ οὐκ ἔχει', οὕτως καὶ ὁ τῷ μόνῳ προσθεὶς τὸ ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος οὐκ ἀτόπως τοῦ σαφοῦς ἐφρόντισεν.

ια. Ἀλλ' εἴποιμ' ἂν ὅτι οὐ μόνον τὸ ὄνομα τῶν ὁμωνύμων κοινὸν ἀλλὰ καὶ ἄλλα πλείω (τοῖς γοῦν Αἴασιν οὐ μόνον τὸ ὄνομα κοινὸν ὑπάρχει, ἀλλὰ καὶ τὸ Ἕλλησιν εἶναι καὶ στρατηγοῖς καὶ φίλοις)· πῶς οὖν εἶπεν ὧν ὄνομα μόνον κοινόν καίτοι τοῖς ὁμωνύμοις πολλῶν κοινῶν ὑπαρχόντων;

Ὅτι οὐ, τί πρόσεστι τοῖς Αἴασι κοινόν, σκοπούμεθα κατὰ τὰς λέξεις ἢ κατὰ τὸ γένος, ἀλλὰ καθόσον ἀλλήλοις ὁμώνυμοι μόνον, ὥστε ἡ προσθήκη ἀναγκαία ἡ τοῦ μόνου· κατὰ γὰρ τὸ ὄνομα μόνον ὁμώνυμον τὸ ὁμώνυμον.

ιβ. Ἀλλ' εἰ τὸ κοινὸν τῶν πολλαχῶς λεγομένων· καὶ γὰρ τὸ εἰς μέρος ἀδιαίρετον ὡς ὁ ἵππος καὶ ὁ οἰκέτης κοινός, καὶ τὸ διαιρούμενον,

---

1 τῶν κατὰ τὴν σχέσιν iter. m.² del. R 4 καὶ CR: om. AM 5 κυριώτατα] υ ex αι corr. R ἐστὶν αὐτῆς κυριώτατα colloc. AM 6 ἀναδιδάσκει MR: διδάσκει (ἀνα superscr.) A: ἐκδιδάσκει C 14 an ὡς πρὸς ἕτερον ἀντιδιαστολή? χειτῶνα M 17 ἀντιδιαστολὴν CR: διαστολὴν AM 19 μάλιστα CR: κάλλιστα A: μάλλιστα M 21 χειτῶνα M 22 προσθῆναι R 23 ὁ (ante τῷ μόνῳ) supra scr. C τῷ μόνω CR: τὸ μόνω AM 27 ὑπάρχει A²CMR: ὑπάρχειν A¹ 30 κοινὸν τοῖς Αἴασι colloc. AM 32 ἡ supra scr. M μόνου] μόνον coni. Spengel (sed cf. v. 23) μόνον CR: κοινόν AM 35 κοινός] κοινόν coni. Spengel (sed cf. Porph. in Cat. p. 62,23)

τοῦτο δὲ διαφόρως, ἢ τὸ ἐν προκαταλήψει ἑκάστου † τὸ ἠγνοημένον, μετὰ δὲ τὴν χρῆσιν ἀναπεμπόμενον ⟨εἰς τὸ⟩ κοινόν. οἷον δή ἐστι τὸ βαλανεῖον καὶ τὸ θέατρον, καὶ τὸ μετὰ τὴν νέμησιν ἑκάστου ἴδιον γιγνόμενον, ὡς τὰ λάφυρα τῶν πολεμίων τοῖς στρατιώταις. ὧν δὴ τρόπων τῆς κοινότητος κατ' οὐδένα τοῖς ὁμωνύμοις προσεῖναι δυναμένων ἀναγκαίως ἡ ὕπαρξις αὐτῶν ἀναιρεῖται· οὔτε γὰρ ὡς ἀδιαιρέτου μετέχει τοῦ ὀνόματος τὰ ὁμώνυμα ὡς ἵππου καὶ ἀνθρώπου, ἃ παρὰ μέρος εἰς χρῆσιν ἔρχεται (οὐδὲν γὰρ κωλύει πολλοὺς ἅμα τῷ αὐτῷ ὀνόματι χρῆσθαι), οὔτε ὡς διαιρουμένου (οὐ γὰρ κατὰ συλλαβὰς ἡ | μετοχὴ τοῦ ὀνόματος)· εἰ δὲ μήτε ὡς ἀδιαιρέτου 23 μήτε ὡς διῃρημένου, πῶς οἷόν τε κοινὸν εἶναι τὸ ὄνομα;

Ἀλλ' ὁ ταῦτ' ἀπορῶν ἠγνόηκεν ὅτι τοῦ ἀδιαιρέτου τὸ μὲν παρὰ μέρος εἰς χρῆσιν λαμβανόμενον λέγουσιν ὥσπερ τὸν ἵππον καὶ τὴν λύραν, τὸ δὲ ἀθρόως καὶ ἀμερίστως πλείοσιν ὑπάρχειν δυνάμενον ἀδιαίρετον παραλείπουσιν, ὅπερ ἐστὶ τρόπος τῆς ἐπὶ τοῦ ὀνόματος κοινωνίας· αὐτῷ γὰρ τῷ μὴ διαιρεῖσθαι τούτῳ καὶ πάρεστι πᾶσι τοῖς μετέχουσιν αὐτοῦ.

ιγ. Ἀλλ' εἰ τὸ ὄνομα σημαντικόν ἐστιν ἀπροσδεῶς, οὗπερ ἐστὶν ὄνομα (εἰ γὰρ προσδέοιτό τινος ἑτέρου πρὸς τὸ σημῆναι, οὐδ' ἂν ὄνομα εἴη), τὸ δὴ κοινὸν πλειόνων οὐχ ἑνός ἐστι σημαντικόν. ἄδηλον γάρ ἐστι, τί τῶν πολλῶν βούλεται σημῆναι· ὁ γὰρ εἰπὼν κύνα, ὅτι μὲν οὐ βοῦς οὐδ' ἵππος οὐδ' ἄνθρωπος τὸ σημαινόμενον ἐδήλωσεν, τίνα δὲ κύνα βούλεται δηλοῦν, οὐ σημαίνει. τὸ δὲ ὄνομα τὸ σημαντικόν ἐστιν, ὥστε οὐκ ἂν εἴη ὄνομα κοινὸν πλειόνων· εἰ δὲ τοῦτο, οὐδὲ ὁμώνυμον ὅλως ἔσται τι πρᾶγμα· τὰ γὰρ ὁμώνυμα βούλεται ὑπὸ κοινοῦ τινος σημαίνεσθαι ὀνόματος πλείω ὄντα πράγματα. εἰ δὲ προσθήκης δεῖται τὸ ὄνομα πρὸς τὸ σημῆναι ἓν ἐκ τῶν πολλῶν ὃ βούλεται, πάλιν ὁ τοῦ ὁμωνύμου λόγος ἀνατρέπεται· οὐκέτι γὰρ διαμένει κοινόν, ὅταν τῇ προσθήκῃ τῆς διαφορᾶς ἰδιόν τινος γένηται, οἷον ὅταν τῷ κυνὶ προσθῶμεν τὸ χερσαῖον ἢ θαλάττιον, ὥστε οὐ μόνον οὐ διαμένει τὸ ὄνομα κοινόν, ἀλλ' οὐδὲ ὅλως ἐστὶν ὄνομα διαφορὰν προσλαβόν.

Τὸ μὲν περίεργον τῆς ἀπορίας φευκτόν, λυτέον δὲ ὅμως αὐτὴν καὶ οὐκ ἀρνητέον. τὸ γὰρ κοινὸν τοῦ ὀνόματος κακῶς εἴληπται· οὐ γὰρ

---

1 τὸ ἠγνοημένον] τὸ ἰδιούμενον coni. Spengel, malim μὲν γιγνόμενον (τὸ ἐν προκαταλήψει τινὸς γινόμενον Porph. p. 62,23, τὸ ἐν προκαταλήψει μὲν ἰδιούμενον Simpl. f. 6v9) 2 εἰς τὸ κοινόν Porph. Simpl.: κοινόν libri βαλανεῖον CR: βασιλεῖον AM 3 καὶ] ἢ coni. Spengel 4 post στρατιώταις add. τὰ λάφυρα del. M ὧν CR: ὃν AM τρόπων s: τρόπον codd. 5 ὁμωνύμοις M an δυναμένου ⟨τοῦ ὀνόματος⟩? 7 ἵππου καὶ ἀνθρώπου, ἃ CR: ἵππος ἀνθρώπου, ἃ AM: an ἵππου οἱ ἄνθρωποι, ὅς? post μέρος add. ἀνθρώπου del. A 8 διαιρουμένου CMR: διαιρουμένας A 11 παρὰ] περὰ R 12 καὶ τὴν CR: πρὸς τὴν AMs (πρὸς inclus.) cf. p. 20,1 14 an ὅσπερ? 17 οὗπερ CMR: οὗ A 22 τὸ (post ὄνομα) delendum coni. Sahune, om. Simpl. (f. 6v10 τὸ γὰρ ὄνομα σημαντικὸν εἶναι βούλεται) 26 τοῦ ὁμωνύμου CR: τῶν ὁμωνύμων AMs (cf. p. 21,1. 15) 28 τινι M 32 οὐ CMR: εἰ A

οὕτως εἶπεν Ἀριστοτέλης τὸ κοινόν, ὡς τὴν λύραν καὶ τὸν ἵππον, ἀλλ' ὡς τὴν κοινὴν φωνὴν τὴν ἐν τῷ θεάτρῳ, ἥτις ἡ αὐτὴ καὶ μία οὖσα εἰς διαφόρων ἀκοὰς ἀφικνεῖται ὅλη· καὶ γὰρ ἐνταῦθα τοὔνομα ἓν καὶ 24
ταὐτὸν ὂν κατὰ διαφόρων πραγμάτων τέτακται.

ιδ. Εἰ δέ τις λέγοι πᾶν αἰσθητὸν τρεπτόν, πᾶν τρεπτὸν ἀλλοιωτόν, πᾶν ἀλλοιωτὸν οὐδέποτε μένει ταὐτόν, ἀλλ' ἄλλοτε ἄλλο γίνεται, ἐάν τε ἐν πλείοσιν ἐάν τε ἐν ἑνὶ τὴν ἀλλοίωσίν τις λαμβάνῃ, τὸ δὲ ἀλλοιούμενον 5
κοινὸν εἶναι ἀδύνατον (διαμένειν γὰρ δεῖ τὸ κοινόν· εἰ γὰρ μὴ διαμένοι, ἴδιον ἑκάστου γίνεται τὸ καθῆκον εἰς ἕκαστον), τὸ δὲ ὄνομα αἰσθητόν, αἰσθητὴ γὰρ ἡ φωνή· ὥστε οὐδὲ κατὰ τοῦτ' ἂν εἴη κοινὸν ὄνομα· εἰ δὲ μὴ τοῦτο, οὐδὲ ὁμώνυμων. αἰσθάνομαι μὲν οὖν καὶ αὐτός, ὡς σοφισμα- 10
τώδης ἐστὶν ἡ τοιαύτη ἀπορία, ὅμως δὲ λύσιν αὐτῆς δοθῆναι βούλομαι.

Φημὶ δὴ ἠγνοηκέναι αὐτούς, ὅτι τὸ κοινὸν οὐχ οὕτως ἐρρέθη, ὡς τὸ μεριστὸν εἰς πλείω, ἀλλ' ὡς ὅλον ἑκάστου ταὐτόν, καὶ οὐχ ἕτερον μὲν τοῦ-
15 του ἄλλο δὲ τούτου, ὡς ἰδίαν εἶναι περιοχὴν σχημάτων τὴν τῆς ὁμωνυμίας 15
κοινότητα. καὶ ᾧ λόγῳ μένει τὸ ἴδιον ἑκάστου ὄνομα, καὶ τὸ κοινὸν διαμένει. ἔπειτα καὶ τὸ τρεπτὸν εἰ καὶ κατὰ τῆς φωνῆς ὡς σώματος ἐλήφθη, ἀλλ' οὐ κατά γε τοῦ ὀνόματος καλῶς ἂν λαμβάνοιτο· ἀμετάβλητον γὰρ δεῖ τοῦτο μένειν.

20 ιε. Ἐπεὶ δὲ οὐ μόνον τούτοις μέμφονται, ἀλλὰ καὶ περιττότητα ἐγκαλοῦσι τῇ ὑπογραφῇ, ἄξιον καὶ τοῦτο ἐπισκέψασθαι. ἤρκει γάρ φασιν 20
εἰπεῖν· ὁμώνυμα λέγεται ὧν ὄνομα μόνον κοινόν, οἱ δὲ ὅροι ἕτεροι.

Ἀλλ' εἰ μὴ προσετέθη ὁ δὲ κατὰ τοὔνομα τῆς οὐσίας λόγος,
25 ἐνῆν τὰ αὐτὰ ὁμώνυμα καὶ συνώνυμα ἀποφαίνειν ὡς τοὺς Αἴαντας· μὴ 25
γὰρ ἀποδιδομένου τοῦ ὅρου κατὰ τὸ ὄνομα εἷς καὶ ὁ αὐτὸς ὅρος ὡς ἀνθρώπων ἐγίγνετο, ὥστε ἐφαίνοντο συνώνυμοι.

ις. Ἀλλὰ τί δήποτε οὐκ εἶπεν ὁ δὲ κατὰ τοὔνομα ὅρος ὁ αὐτός, ἀλλ' ὁ λόγος τῆς οὐσίας; |

30 . Ὅτι οὐ πάντα ὅροις δηλοῦται τὰ πράγματα ἀλλὰ καὶ ὑπογραφαῖς, 25
διόπερ ἀκριβῶς λόγον τῆς οὐσίας ἀντὶ ὅρου παρέλαβεν.

ιζ. Ἐπεὶ δὲ βιάζονταί τινες τὰ ὁμώνυμα συνώνυμα ἀποδεικνύναι, φέρε καὶ τοῦτο διάρθρωσον· φασὶ γὰρ ὡς εἰ συνώνυμά ἐστιν ὧν τό τε ὄνομα καὶ ὁ κατὰ τοὔνομα λόγος ὁ αὐτός, τὰ δὲ ὁμώνυμα καὶ ὄνομα 5

---

2 τῷ CMR: om. A 3 τὸ ὄνομα AM 5 λέγοι CR: λέγει AM 7 λαμβάνῃ CR: λαμβάνοι AM λαμβάνῃ τις τὴν ἀλλοίωσιν colloc. s (culpa collatoris codicis R)
8 γὰρ (ante μὴ) CR: δὲ AM διαμένει A 11 ὡς AMR: εἰ C 13 ἐρέθη C
19 τοῦτο δεῖ colloc. Rs 20 τούτοις μόνον colloc. AM 21 ὑπογραφῇ] ὑπο supra ser. A φασιν ex φησιν corr. C 22 ὁμώνυμον Brand. p. 42a20 (errore typogr.)
24 ἀλλ' εἰ] εἰ δὲ C λόγος τῆς οὐσίας R post λόγος add. ἕτερος AMs: om. CR 25 αὐτὰ AMR: om. C 26 εἷς CR: ἧς AM ὁ supra ser. C 28. 29 ὅρος ὁ αὐτός, ἀλλ' ὁ λόγος τῆς οὐσίας CR: ὅρος τῆς οὐσίας, ἀλλ' ὁ λόγος (ὁ αὐτός om.) AMs
30 δηλοῦται CR: δηλοῦνται AMs 31 ὅρου CR: τοῦ ὅρου AM

ἔχει ταὐτὸν (καλεῖται γὰρ ὁμώνυμα) καὶ λόγον ἐπιδέχεται τὸν τοῦ ὁμωνύμου, συνώνυμα ἔσται τὰ ὁμώνυμα. ἀλλὰ μὴν καὶ τὰ συνώνυμα πολὺ πρότερόν ἐστι συνώνυμα· πάντα ἄρα ἔσται συνώνυμα.

Ἔδει μὲν πρὸς τοὺς οὕτως ἐπιτηδευομένους λόγους μηδὲ ἐπιχειρεῖν, πλὴν ἵνα μὴ δοκῶσί τι λέγειν, οὕτως αὐτοῖς ἀπαντήσωμεν. οὐδὲν γὰρ κωλύει τὰ πράγματα κατὰ ἄλλο μὲν εἶναι ὁμώνυμα, κατ' ἄλλο δὲ συνώνυμα· ὥσπερ οὖν καὶ ἐνταῦθα πάντα γε τὰ ὁμώνυμα καλεῖται ὁμώνυμα. οἷον οἱ Αἴαντες· ἑκάτερός τε γὰρ αὐτῶν Αἴας καὶ ἑκάτερος ὁμώνυμος, καὶ καθὸ μὲν Αἴαντες οὐδὲν ἔχοντες πρὸσὸν αὐτοῖς πρᾶγμα κοινόν, ὁμωνύμως λέγονται, καθὸ δὲ ὁμώνυμοι κοινὸν ἔχοντες λόγον συνώνυμοι γίνονται.

ιη. Ἀλλὰ δὴ τοῖς ἐλλιπῶς ἔχειν τὴν ὑπογραφὴν τῶν ὁμωνύμων λέγουσι πῶς ἂν ἀπαντήσαιμεν; φασὶ γὰρ ὡς εἰ τὸ ὁμώνυμον οὐκ ἐν μόνῃ τῇ οὐσίᾳ ἐστὶν ἀλλὰ καὶ ἐν ποιῷ καὶ ἐν ποσῷ καὶ τοῖς ἄλλοις γένεσι (καὶ γὰρ ἐπ' ἐκείνων ὁμώνυμως ἔστιν εἰπεῖν), πῶς ἐν τῷ λόγῳ τοῦ ὁμωνύμου εἶπεν ὁ δὲ κατὰ τοὔνομα τῆς οὐσίας λόγος; φαίνεται γὰρ ἐλλιπῶς εἰρηκώς, εἴ γε ἐν ἅπασι τοῖς γένεσι τῆς ὁμωνυμίας οὔσης ὁ λόγος οὗτος τὰ ἐν τῇ οὐσίᾳ μόνῃ ὁμώνυμα περιορίζει.

Πρῶτον μὲν οὖν οὐκ ἐν ἅπασι τοῖς ἀντιγράφοις τὸ ὁ δὲ λόγος τῆς οὐσίας πρόσκειται, ὡς καὶ Βόηθος μνημονεύει καὶ Ἀνδρόνικος. εἰ δὲ καὶ προσκείμενον εἴη τὸ ὁ δὲ λόγος τῆς οὐσίας ἕτερος, | διότι 26
παρὰ τοῖς πλείστοις οὕτως εὑρίσκεται γεγραμμένον, ἀλλ' ὀρθῶς γε ἔχει προσκείμενον. εἰ γὰρ ὁ λόγος ὁμώνυμον (λόγος γάρ τις καὶ ὁ συλλογισμὸς καὶ ἡ ἐπαγωγή, διαφέρει δὲ τούτων ὁ τῆς οὐσίας δηλωτικὸς λόγος), καλῶς ἐποίησε προσθεὶς τὸ ὁ δὲ λόγος τῆς οὐσίας ἕτερος. πρὸς δὲ τούτοις οὐ τῆς οὐσίας μόνον εἶναι λεγομένης ἀλλὰ καὶ τῶν συμβεβηκότων ὄντων λεγομένων εἰκότως λόγον τῆς οὐσίας εἶπεν, οὐκ οὐσίας μόνον μνημονεύων ἀλλὰ καὶ τῶν ἄλλων γενῶν, καθὸ καὶ ταῦτα ὄντα λέγεται· ὁ γὰρ τὴν ἑκάστου τῶν συμβεβηκότων ὕπαρξιν δηλῶν λόγος τῆς οὐσίας ὀρθῶς ἂν λέγοιτο λόγος. ἔπειτα καὶ λόγον οὐσίας τὴν ὑπόστασιν τῶν ὁμωνύμων ἀκούειν προσῆκε.

ιθ. Καὶ μὴν εἰ τὰ συνώνυμα καὶ λόγου τοῦ αὐτοῦ καὶ ὀνόματος μετέχει, τί δήποτε περὶ τούτων προτέρων εἰπεῖν παρῆκε, τῶν δὲ ὁμωνύ-

---

1 τὸν supra scr. A 1. 2 τοῦ ὁμωνύμου CR Simpl. (f. 7v15): τῶν ὁμωνύμων AMs (cf. v. 15 p. 19,26) 2 ἔσται CR: ἐστί AM μὴν AMR: μὴ C 3 πάντα C Simpl.: ταῦτα AMRs ἔσται CR: ἐστὶ AMs 6 κατὰ ἄλλο δὲ C 8 τε CR: om. AM

10 λέγεται A 11 ἐλλιπῶς M: ἐλλειπῶς ACR (cf. v. 16) τῶν ὁμωνύμων τὴν ὑπογραφὴν colloc. AM 12 ἂν ἀπαντήσωμεν Brand. (p. 42a24) 13 ἐν (ante ποσῷ) om. Brand. ποσῷ] ποσοῖς C 16 ἐλλιπῶς R: ἐλλειπῶς ACM γένεσι μέρεσι M 17 μόνῃ CR: μόνον Brand.: om. AM 19 post οὐσίας addendum ἕτερος coni. Spengel πρόσκειται AM Porph. (p. 64,25) Simpl. (f. 7r14): πρόκειται CR καὶ (post ὡς) CR: om. AM 20 προσκείμενον A: προκείμενον CMR 21. 22 προσκείμενον ACR: προκείμενον M 23 διαφέρειν A 25 μόνον ex μόνης fort. corr. C ὄντων CR: εἶναι AMs (cf. v. 27) 29 λόγον A²CMR²: λόγος A¹R¹ 31 δήποτε CR: δὴ AM προτέρων CR: πρότερον AMs (cf. p. 17,21)

μων ἐμνημόνευσεν; ἔτι δὲ εἰ περὶ τῶν ἀνωτάτω γενῶν μέλλει ποιεῖσθαι τὸν λόγον, τοῖς δὲ γένεσιν ὑπάρχει τὸ συνωνύμως τῶν ὑπ' αὐτὰ κατη- 15 γορεῖσθαι, ὁμωνύμως δὲ οὔ, ὑπάρχει μὲν αὐτοῖς τὸ συνώνυμον, τὸ δ' ὁμώνυμον οὔ· προηγεῖται δὲ πανταχοῦ τὸ ὑπάρχον τοῦ μὴ ὑπάρχοντος, ὥστε πρότερον ἐχρῆν περὶ τῶν συνωνύμων δεῖξαι, εἶτα περὶ τῶν ὁμωνύμων.

Ὅτι τὸ ὂν οὐχ ὥσπερ ἄλλοις δοκεῖ συνώνυμον, ἀλλ' ὁμώνυμον κατὰ Ἀριστοτέλην. εἰ οὖν αὐτὸ τὸ ὂν ὁμώνυμον, προηγεῖται κατ' αὐτὸν 20 ἡ τοῦ ὁμωνύμου διδασκαλία καὶ ἡ τοῦ μὴ ὑπάρχοντος ἐπίδειξις· δεῖ γὰρ διαστείλασθαι πρῶτον τὴν ὁμωνυμίαν, εἶθ' οὕτως εἰς ἀριθμὸν ἀγαγόντα καὶ ὁρισάμενον τὰ γένη καθ' ἕκαστον λοιπὸν ἐπιδεικνύναι, πῶς τῶν ὑπ' αὐτὸ συνωνύμως κατηγορεῖται.

κ. Εἰσί τινες τοίνυν οἳ μέμφονται τῇ τῶν κατὰ συμπλοκὴν καὶ 25 ἄνευ συμπλοκῆς διαιρέσει. οὐ γὰρ πάντως ἄνευ συμπλοκῆς ἢ μετὰ συμπλοκῆς τὰ λεγόμενα· τὸ γὰρ 'ἄνθρωπος περιπατεῖ' οὐ μετὰ συμπλοκῆς (οὐ γὰρ μετὰ συμπλεκτικοῦ συνδέσμου), τὸ δὲ 'ἄνθρωπος' ἢ | 'βοῦς' οὐκ 27 ἄνευ συμπλοκῆς· σύνθεσιν γάρ τινα συλλαβῶν καὶ στοιχείων ἔχειν καὶ τὰ ὀνόματα.

Φαμὲν δὴ ὅτι οἱ μόνην συμπλοκὴν τὴν μετὰ συμπλεκτικοῦ συνδέσμου προφορὰν λέγοντες, τοῖς Στωϊκοῖς ἐπακολουθοῦσιν, ὧν ἀρχαιότερος Ἀριστοτέλης καὶ τῇ τῶν πρεσβυτέρων συνηθείᾳ χρώμενος, οἵτινες 5 τὴν τῶν πλειόνων μερῶν τοῦ λόγου σύνοδον συμπλοκὴν ὠνόμαζον. τὸ δὲ λέγειν ὅτι μετὰ συμπλοκῆς ὁ ἄνθρωπος ἢ ὁ βοῦς, διότι σύνθεσις ἐπ' αὐτῶν ἐστι συλλαβῶν καὶ στοιχείων, καὶ αὐτὸ οὐ καλῶς λέγεται· οὐ γὰρ τὴν τῶν στοιχείων σύνθεσιν, ἀλλὰ τὴν τῶν μερῶν τοῦ λόγου οἱ παλαιοὶ 10 συμπλοκὴν ὀνομάζουσιν.

κα. Ἀλλ' εἰ καὶ ἐν ὑποκειμένῳ ἐστὶ τὸ ἕν τινι μὴ ὡς μέρος ὑπάρχον (ἀδύνατον γὰρ χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστὶν), ἀδύνατον δὲ τὸ σῶμα τόπου χωρισθῆναι, ἔσται τὸ σῶμα ἐν ὑποκειμένῳ τῷ τόπῳ. ὁμοίως δὲ καὶ τὰ ἐν χρόνῳ· οὔτε γὰρ μέρη ἐστὶν αὐτοῦ, οὔτε ἄνευ χρόνου εἶναι δύναται· καὶ γὰρ εἴ τις λέγοι τοῦ ἐν μέρει τόπου καὶ χρόνου χωρί- 15 ζεσθαι αὐτά, ἀλλὰ τοῦ τε ἁπλῶς χρόνου καὶ τόπου οὐ χωρίζεται.

Ἀλλὰ καὶ πρὸς τοῦτο ἐροῦμεν ὅτι οὐδὲν τῶν κοινῶν οὔτε τόδε οὔτε τὶ ὑπάρχει, οὐδ' ἕν τινι οὖν ἔσται τὸ ἐν τῷ γενικῷ ὂν τόπῳ ἢ χρόνῳ.

---

1 ἔτι CMR: τι (ἔ rubro addendum om.) A εἰ περὶ refecit R² 6 ὥσπερ Felic., coni. Spengel: ὡς παρ' libri 7 αὐτὸν s Felic.: αὐτὸ codd. 8 ἐπίδειξις CR: ἀπόδειξις As: ἐπὶ ἀπόδειξις M 10 ὡρισάμενον C¹R¹ (corr. m.²) 12 οἳ CR: οἵτινες AM 13. 14 μετὰ συμπλοκῆς AM: μετὰ συμπλοκὴν CR 15 ante συμπλεκτικοῦ add. τοῦ AM: om. CR 16 γὰρ refecit R² καὶ (alterum) CMR: om. A 17 ὀνόματα C: ῥήματα AMRs 18 ὅτι CR: om. AM 21 σύνοδον] σύνθεσιν Brand. (p. 44ª12) 23 καλλῶς R 27 γὰρ CR: om. AM 28 ἔσται ex ἔχει corr. A τῷ τόπῳ CMR: τόπῳ A 29 τὰ fort. delendum coni. Spengel (haud recte) 30 λέγοι CR: λέγει AM 31 τόπου καὶ χρόνου colloc. AM 33 οὐδ' ἕν] οὐδέν C τὸ AM: τῷ R: τῷ ex τὸ corr. C

ἔτι τὸ μὲν καθ' αὑτό ἐστιν ἐν χρόνῳ τὸ κινούμενον καὶ μεταβάλλον, συμ- 20
πορεύεται γὰρ τῷ χρόνῳ καὶ συμμεταβάλλεται· εἰ δ' ἦν τι ἀίδιον, κατὰ
συμβεβηκὸς ἂν ἦν ἐν χρόνῳ ἀκίνητον ὂν καὶ ἀμετάβλητον· χρόνου γὰρ
ὄντος εἶναι λέγεται. τούτων δὴ οὕτω διῃρημένων εἰ τὸ κινούμενον ἢ
5 κινεῖται συμπαραμείβει τῷ χρόνῳ, οὐκ ἂν εἴη ἔν τινι κυρίως οὐδὲ ἐν
χρόνῳ. εἰ γὰρ μηδ' ἐν τόπῳ κινούμενον, οὐδὲ ἐν χρόνῳ ἂν εἴη· ὅμοιον 25
γὰρ ὡς ἂν εἰ ἐκινεῖτο. τότε γὰρ πολὺ μᾶλλον οὐκ ἂν εἴη ἐν τόπῳ
ἀμφοτέρων καθ' αὑτὰ κινουμένων. τοιοῦτον οὖν πέπονθε καὶ πρὸς τὸν
χρόνον· οὐδέτερον γὰρ ὑπομένει, ὥστε οὐκ ἔσται τὸ ἕτερον ἐν τῷ
10 ἑτέρῳ, οὔτε ἐν τῷ | κατὰ μέρος οὔτε ἐν τῷ γενικῷ. εἰ δὲ καὶ ἐν 28
χρόνῳ ῥητέον, κοινότερον, ἀλλ' οὐκ ἐν τῷ ὡρισμένῳ ῥηθήσεται·
οὔτε γὰρ κινήσεως οὔτε χρόνου ἐστὶ δεῖξις ἀμφοτέρων ἐν πλάτει θεω-
ρουμένων καὶ κατὰ διέξοδον ὑφισταμένων καὶ κατὰ συνεχῆ τῶν μερῶν
γένεσιν· τὸ μὲν γὰρ παρελήλυθεν, τὸ δὲ μέλλει. εἰ δ' ἄρα εἴη, ἄλλο 5
15 ληπτέον τὸ ἐν τῷ τόπῳ καὶ χρόνῳ, ἄλλο τὸ ὡς ἐν ὑποκειμένῳ τὸ ἐπὶ
τοῦ χρώματος.

κβ. Εἰ τὰ συμπληροῦντα τὴν ἑκάστου οὐσίαν μέρη ἐστίν (αὕτη
γὰρ μέρους ἔννοια τὸ συμπληρωτικὸν εἶναι τὸ μέρος τῆς οὐσίας), συμ-
πληροῖ δὲ τοῦ μὲν ἁπλῶς λεγομένου σώματος τὴν οὐσίαν χρῶμα καὶ σχῆμα
20 καὶ ποσότης (οὐδὲν γὰρ ἄχρουν ἢ ἀσχημάτιστον ἢ ἄποσον σῶμα), τοῦδε 10
δὲ τοῦ σώματος οἷον τοῦ πυρὸς ἢ τῆς χιόνος ἡ ψυχρότης ἢ ἡ θερμότης
καὶ ἡ λευκότης ἢ ἡ λαμπρότης συμπληροῦσι τὴν οὐσίαν, ἤτοι μέρη αὐτῶν
ἔσται τὰ εἰρημένα καὶ εὑρίσκεται τὰ ἐν ὑποκειμένῳ ὡς μέρη ὑπάρχοντα,
ἢ οὐκ ἔσται μέρη καὶ οὐ συμπληροῖ τὴν οὐσίαν.

25 Πρὸς τοῦτο τὸ ἀπόρημα ἐκεῖνο χρὴ προσειπεῖν. ὡς ἔστι τὸ ὑποκεί- 15
μενον διττὸν καὶ κατὰ τοὺς ἀπὸ τῆς Στοᾶς καὶ κατὰ τοὺς πρεσβυτέρους·
ἓν μὲν τὸ λεγόμενον πρῶτον ὑποκείμενον ὡς ἡ ἄποιος ὕλη, ἣν δυνάμει
σῶμα Ἀριστοτέλης φησί, δεύτερον δὲ ὑποκείμενον τὸ ποιόν, ὃ κοινῶς ἢ
ἰδίως ὑφίσταται· ὑποκείμενον γὰρ καὶ ὁ χαλκὸς καὶ ὁ Σωκράτης τοῖς 20
30 ἐγγινομένοις ἢ κατηγορουμένοις κατ' αὐτῶν. τὸ γὰρ ὑποκείμενον κατὰ
πρός τι λέγεσθαι ἐδόκει (τινὶ γὰρ ὑποκείμενον), ἤτοι δὲ ἁπλῶς τῶν γινο-
μένων ἐν αὐτῷ καὶ κατηγορουμένων αὐτοῦ ἢ ἰδίως· ἁπλῶς μὲν γὰρ ὑπο-
κείμενον πᾶσι τοῖς γινομένοις καὶ κατηγορουμένοις ἡ πρώτη ὕλη, τισὶ δὲ

---

1 ἔτι CMR: τι A (cf. p. 22, 1) 5 ἔν τινι — οὐκ ἂν εἴη (7) CR: om. AM; quae si non subditiva sunt, certe mutilata et alieno loco inserta esse videntur (cf. Simpl. f. 12v12) 7 τόπῳ ex χρόνῳ corr. A 14 γένεσιν ex κίνησιν corr. A εἰ δ' ἄρα, εἴη ⟨ἀν⟩ coni. Spengel: εἰ δ' ἄρα [εἴη] Diels ἄλλω ληπτέον AM: om. CR 15 τῷ (ante τόπῳ) AMR: om. C 17 εἰ τὰ CR: εἶτα AM 20 ἢ (prius) CR: καὶ AM 21 τῆς CR: om. AM ἡ θερμότης ἢ ψυχρότης (ἡ om.) colloc. AM 22 ἡ (ante λαμπρότης) CR: om. AM 24 μέρη AMR: μέρους C 25 προσειπεῖν AM: προειπεῖν CR 26 ἀπὸ τῆς στοᾶς CR: στωϊκοὺς AM 27. 28 δυνάμει σῶμα] vix sanum (cf. Bonitz, Ind. Arist. p. 207b28 sq. p. 742a60), fort. secundum Simpl. (f. 12v9 ἥ τε γὰρ ἄποιος ὕλη, ἣν δυνάμει καλεῖ ὁ Ἀριστ.) σῶμα inducas 28 ὁ Ἀριστ. Brand. (p. 45a23) 33 an ἐγγινομένοις?

ὑποκείμενον γιγνομένοις ἐπ' αὐτοῦ καὶ κατηγορουμένοις ὁ χαλκὸς καὶ ὁ Σωκράτης. δύο τοίνυν ὑποκειμένων ὄντων πολλὰ τῶν ἐγγινομένων ὡς πρὸς τὸ πρῶτον ὑποκείμενον ἐν ὑποκειμένῳ ὄντα ὡς πρὸς τὸ δεύτερον οὐκ ἦν ἐν ὑποκειμένῳ ἀλλὰ μέρη αὐτοῦ. διότι μὲν γὰρ πᾶν χρῶμα καὶ πᾶσα ποιότης καὶ | πᾶν σχῆμα τῆς πρώτης ὕλης ἐστὶν ἐν ὑποκειμένῳ (ἐν γὰρ 29 ταύτῃ ὑφίσταται οὐχ ὡς μέρη αὐτῆς ὄντα καὶ ἀδύνατα χωρὶς αὐτῆς εἶναι), διότι δὲ οὐ πᾶν χρῶμα οὐδὲ πᾶν σχῆμα ἐπὶ τοῦ δευτέρου ὑποκειμένου ἐν αὐτῷ ἐστιν, ⟨ἀλλ'⟩ ὅταν μὴ συμπληρωτικὰ ᾖ τῆς οὐσίας, τότε ἔσται ἐν ὑποκειμένῳ. * * * ἐπὶ δὲ τῆς χιόνος οὐχ ἐν ὑποκειμένῳ ἀλλ' ὑποκείμενον. ἡ γὰρ τῆς χιόνος λευκότης οὔτε καθ' ὑποκειμένου λέγεται ἄλλου σώματος οὔτε ἐν ὑποκειμένῳ ἐστὶ τῷ σώματι τῆς χιόνος, ἀλλὰ συμπληροῖ τὴν οὐσίαν ὡς μέρος. Ἀριστοτέλης οὖν τὸ δεύτερον ὑποκείμενον εἰς τὴν διδασκαλίαν παραλαμβάνων πᾶν τὸ μὴ οὐσιωδῶς ὑπάρχον τινὶ ἐν ὑποκειμένῳ φησὶν εἶναι. τὰ μὲν οὐσίαν συμπληροῦντα τιθεὶς ὄντα. τὰ δὲ μὴ τοιαῦτα μέρη μὲν οὐ λέγων, συμπτώματα δὲ καὶ παθήματα, ὡς εἶναι τοῦ μὲν πρώτου ὑποκειμένου τὰς ποιότητας συμπτώματα καὶ παθήματα καὶ τὰς ποσότητας, τοῦ δὲ δευτέρου ὡς μέρη, ὅταν συμπληρῶσιν αὐτοῦ τὴν οὐσίαν.

κγ. Ἀλλ' εἴ τις καὶ δοίη μὴ εἶναι μέρη τὰ ἐν ὑποκειμένῳ, ἀλλ' ἐκεῖνό γε ἄτοπον τὸ ἐν τῷ ὅρῳ τοῦ ἐν ὑποκειμένῳ δύνασθαι πολλάκις εὑρίσκεσθαι καὶ τὰ ὡς ἐν εἴδει καὶ τὰ ὡς ἐν γένει καὶ τὰ ὡς ὅλα ἐν μέρεσι· κοινὸν γὰρ εἶναι καὶ πρὸς ταῦτα τὸν εἰρημένον λόγον τοῦ ἐν ὑποκειμένῳ. οὔτε γὰρ τὸ εἶδος μέρος τοῦ γένους (δύναται γὰρ καὶ ἐξαιρεθέντος εἴδους σώζεσθαι τὸ γένος ὡς τὸ ζῷον ἐξαιρεθέντος τοῦ ἀνθρώπου), οὔτε δύναται ἄνευ τοῦ ζῴου εἶναι, πῶς γὰρ ἂν εἶδος εἴη γένους μὴ ὄντος; ἀλλὰ καὶ τὸ ὅλον ἐν τοῖς ἑαυτοῦ μέρεσιν ὂν οὔτε μέρος ἐστὶν αὐτῶν (ἄτοπον γὰρ τὸ ὅλον τῶν μερῶν λέγειν μέρος), οὔτε δύναται χωρὶς αὐτῶν εἶναι. πέφηνεν οὖν ὁ λόγος κοινὸς οὐ μόνον τῶν ἐν ὑποκειμένῳ, ἀλλὰ καὶ τῶν μὴ ἐν ὑποκειμένῳ.

Καὶ μὴν παντὶ πρόδηλον τὸ εἶδος ὅτι μέρος μὲν οὐκ ἔστιν, ὥσπερ ἡ χεὶρ τοῦ ὅλου σώματος, ὡς μέρος δὲ θεωρεῖται. ὁ δὲ Ἀριστο|τέλης 30 οὐκ εἶπεν ὃ ἔν τινι μὴ μέρος ὑπάρχον, ἀλλὰ μὴ ὡς μέρος ὑπάρχον,

---

1 post ὑποκείμενον add. μὲν As, supra scr. M: om. CR ἐπ' AMR: ὑπ' C
1. 2 σωκράτης καὶ ὁ χαλκός colloc. C (numeris superscr. corr.) 5 ἐστὶν CR: om. AM 8 ἀλλ' Simpl.: om. ACMRs οὐσίας AM Simpl.: ἐξουσίας CR 9 ante ἐπὶ δὲ τῆς χίονος defectum significavi, ex Simplicio suppleveris τὸ γοῦν λευκὸν ἐπὶ μὲν τοῦ ἐρίου ἐν ὑποκειμένῳ 11 ἀλλὰ συμ— iter. M 14 συμπληροῦντα AM: ἀναπληροῦντα CR 15. 16 τὰς—πρώτας M (corr. m.[1]) 16 παθήματα CMR: τὰ παθήματα A 17 συμπληρῶσιν AM: συμπληροῦσιν CR αὐτοῦ CR: αὗται AM 19 τις AMR: τι C 20 τοῦ ἐν ὑποκειμένῳ CR, (τοῦ ex τῶν corr.) M: τῶν ἐν ὑποκειμένῳ (νω ex νων corr.) A 21 ὡς (ante ἐν εἴδει) supra scr. A ὡς (ante ὅλα) supra scr. C 22 τὸν AM: om. CR 25 ζῴου] γένους coni. Spengel; malim ante ἄνευ inserere ἄνθρωπος εἶναι CR: om. AM μὴ ὄντος γένους colloc. AM 26 καὶ ACRM: om. s ἐστὶν CR: om. AM 32 μὴ (ante μέρος) AMR: om. C

ὥστε καὶ τὸ ὡς εἶδος ὑπάρχον ἀνῄρηκε διὰ ταύτης τῆς προσθήκης. τὸ δὲ ὅλον οὐκ ἔστιν ἔν τινι τῶν αὐτοῦ μερῶν, ἀλλ' ἐν ἅπασι τοῖς ἑαυτοῦ θεωρεῖται μέρεσιν, ἐκεῖνος δὲ ἔφη ὃ ἔν τινι μὴ ὡς μέρος ὑπάρχον. τὸ ὅλον οὖν περιγράφεσθαι ὑπακουστέον ἀπὸ κοινοῦ τοῦ μὴ ὡς μέρος· οὐ γὰρ μόνον τὸ ἐπὸν οὐ δεῖ εἶναι μέρος, ἀλλὰ καὶ τὸ ὑποκείμενον μὴ μέρος εἶναι τοῦ ἐπόντος· τὸ γὰρ ὅλον ὡς ἐν πᾶσι τοῖς μέρεσι καθ' ὑποκειμένων αὐτῶν λέγεται.

κδ. Καὶ πῶς οὐκ ἄτοπον τὸ λέγειν ἄνευ τοῦ ἐν ᾧ ἐστι μὴ δύνασθαι εἶναι τὸ ἐν ὑποκειμένῳ, τῆς εὐωδίας χωριζομένης καὶ τοῦ μήλου καὶ τῶν ῥόδων; πολλάκις γὰρ αἱ ποιότητες διαμένουσι τῶν πρώτως αὐτὰς δεδεγμένων μηκέτ' ὄντων, ὥσπερ καὶ τοῦ οἴνου ποθέντος ἢ τοῦ σκορόδου βρωθέντος ἡ ὀσμὴ διαμένει.

Ἀλλ' οὐκ εἶπεν ἀδύνατον χωρίζεσθαι τὰ ἐν ὑποκειμένῳ τῶν ἐν οἷς ἐστιν, ἀλλὰ χωρὶς εἶναι. ἡ γὰρ εὐωδία χωρίζεσθαι μὲν δύναται τῶν ῥόδων, χωρὶς δ' εἶναι οὐ δύναται, ἀλλ' ἢ φθείρεται ἢ μεταδίδοται εἰς ἄλλα ὑποκείμενα. ὁ δὲ καὶ τοῦδε ἔτι ἀκριβέστερον τὸ ἐφεξῆς προστίθησιν· οὐ γὰρ ἐκείνου μόνου εἶπε μὴ δύνασθαι χωρὶς εἶναι τοῦ ἐν ᾧ ἦν, ἀλλ' ἁπλῶς παντὸς ἐν ᾧ ἔστιν. ὥστε εἰ καὶ μεταλλάττοι τὰ ὑποκείμενα ἡ πρὶν ἐν τῷ μήλῳ εὐωδία ἐγγιγνομένη ἐν τῷ ἀέρι, ὅμως ἐν ὑποκειμένῳ τινὶ ἔσται, ἄλλοτε μέντοι ἐν ἄλλῳ, καὶ οὐδαμῶς οὐδέποτε οὐδὲν διαφεύγει τὸν ὁρισμὸν τῶν συμβεβηκότων.

κε. Ἀλλὰ δὴ πῶς ἀπαντήσωμεν τοῖς ἐριστικοῖς, οἳ τὰ μὴ ὑπάρχοντα τῷ κατηγορουμένῳ λαμβάνοντες ὡς λεγόμενα κατ' αὐτοῦ ποιοῦσι πρὸς τῷ ὑποκειμένῳ τὸν τῆς ἀποφάσεως συλλογισμόν; οἷον ὁ ἄνθρωπος | 31
τοῦ Σωκράτους καθ' ὑποκειμένου κατηγορεῖται, κατὰ δὲ τοῦ ἀνθρώπου λέγεται τὸ μὴ εἶναι Σωκράτην· οὐκοῦν καὶ κατὰ Σωκράτους ῥηθείη ἂν τὸ μὴ εἶναι Σωκράτην.

Πάλιν γὰρ καὶ πρὸς τούτους ὑπολογιζόμεθα, οὐχ ὡς οἱ Στωϊκοὶ λέγουσι, τὴν τῶν ἀποφατικῶν ὑπεξαίρεσιν. ἀλλ' ὡς Ἀριστοτέλης διδάσκει, τὴν τῶν κατ'

2 αὐτοῦ M: αὐτοῦ A: αὐτῶν CR 3 μέρεσι θεωρεῖται colloc. AM ὃ ἔν] ὅτ' A^1C^1 4 ὑπακουστέον CR: προσακουστέον AM μέρος AM: μέρους CR 9 τὸ CR: om. AM 10 διαμένουσι] δια supra scr. A πρώτως CR: πρώτων AM 11 δεδεγμένων CR: δεδειγμένων AM σκορόδου ACM Simpl.: σκόρδου Rs 16 ὁ δὲ καὶ τοῦδε CR: om. AM ἔτι CMR: τι A (cf. p. 22, l. 23, 1) 18 παντὸς ἐν ὧ ἐστιν CMR: παντός ἐστιν A μεταλλάττοι C: μεταλλάττει A: μεταλλάττει M: μεταλάττοι R 19 ἡ ACM: om. R ἐγγιγνομένη A: ἐγγίγνοιτο CMR; fort. scribas τὰ ὑποκείμενα ⟨καὶ⟩ ἡ—εὐωδία ἐγγίγνοιτο 20 διαφεύγει AMR: ἀποφεύγει C 21 τῶν συμβεβηκότων CR: τοῦ συμβεβηκότος A: τοῦ συμβεβηκότος M 22 ἀπαντήσωμεν] ὑπαντήσομεν coni. Spengel (sed cf. p. 21, 12. 26, 7) ἐριστικοῖς ACR: ὁριστικοῖς Ms 23 τῷ κατηγορουμένῳ CM^2R: τῶν κατηγορουμένων AM^1 24 ἀποφάσεως CR: ἀντιφάσεως AM 25 τοῦ ἀνθρώπου CMR: ἀνθρώπου A 26 ἂν ῥηθείη colloc. A τὸ (alterum) CR: om. AM 28 ὡς οἱ Στωικοὶ λέγουσι] cf. Prantl, *Gesch. d. Log.* (1855) I p. 491 sq. 29 ἀποφατικῶν ACR: ἀποφαντικῶν Ms: ἀποφάσεων Brand. (p. 45b36)

οὐσίαν ὑπαρχόντων λῆψιν, ἣν ἐκεῖνοι οὐ παρασωσάμενοι παραλογίζονται, τὰ μὴ ὑπάρχοντα ὡς κατ' καθ' ὑποκειμένου λεγόμενα οὐσίαν προσλαμβάνοντες.

κε. Εἰ δέ τις μηδ' ὅλως καθ' ἑτέρου λέγεσθαι τὸ γένος τοῦ εἴδους διαμφισβητήσειεν, ἐπεὶ κατὰ τὸν αὐτοῦ λόγον κατηγορεῖται τοῦ ὑπο- 10
5 κειμένου καὶ καθόσον κοινωνεῖ πρὸς αὐτὸ τῆς αὐτῆς οὐσίας (τὰ γὰρ γένη τῶν εἰδῶν ἐπινοίᾳ χωρίζομεν, αὐτὰ δὲ καθ' αὑτὰ οὐχ ὑφέστηκεν, ἀλλ' ἐν τοῖς εἴδεσι τὸ εἶναι ἔχει), πῶς ἀπαντήσωμεν;

Ἢ ὅτι τὸ δοκοῦν εἶναι τούτων ταὐτὸ παραλλάττει τῇ σχέσει, ᾗ τὸ ἀκατάτακτον τοῦ κατατεταγμένου διέστηκε· καὶ ἔστι τὸ μὲν γένος μηδέπω 15
10 καταταχθέν, ὥσπερ εἴ τις τὸν ἄνθρωπον αὐτὸν καθ' αὑτὸν νοήσειε, τὸ δὲ εἶδος ἤδη κατατεταγμένον εἰς τὰς κατὰ μέρος διαφοράς, ὥσπερ τὸν πολίτην φυλέτην ἐπινοοῦμεν.

κζ. Πῶς οὖν ὁ μὲν ἄνθρωπος κατὰ τοῦ Σωκράτους λέγεται, τὸ δὲ εἶδος κατὰ τοῦ ἀνθρώπου, οὐκέτι δὲ κατὰ τοῦ Σωκράτους τὸ εἶδος, καὶ 20
15 κατὰ μὲν τοῦ ἀνθρώπου τὸ ζῷον, κατὰ δὲ τοῦ ζῴου τὸ γένος, οὐκέτι δὲ κατὰ τοῦ ἀνθρώπου τὸ γένος κατηγορεῖται;

Ὅτι κατὰ τοὔνομα, οὐ μέντοι κατὰ τὸν λόγον κατηγορεῖται τὰ ἀνωτέρω κατὰ τῶν ὑποκειμένων· οὔτε γὰρ ἐάν τις ἀποδιδῷ, τί ἐστιν ἄνθρωπος, ἐρεῖ ὅτι τὸ εἶδος, οὔτε ὁ λόγος τοῦ εἴδους ἐφαρμόττει κατὰ τοῦ ἀνθρώπου. 25
20 καὶ περὶ τοῦ γένους δὲ ὁ αὐτὸς λόγος. ἔτι τὸ μὲν εἶδος καὶ τὸ γένος ἄλλοις συμβέβηκε καὶ ἀντιδιαιρεῖται, τὸ μὲν πρὸς τὸ μὴ τῶν εἰδῶν εἶναι, τὸ δὲ πρὸς τὸ μὴ τῶν ἀτόμων εἶναι, | τὰ δὲ καθ' ὑποκειμένου λεγόμενα 32
συμπληρωτικὰ τῆς οὐσίας ἦν. ἔτι τὰ μὲν κατὰ παντὸς λέγεται· πᾶς γὰρ ἄνθρωπος ζῷον εὐλόγως ἂν ῥηθείη, διότι οὐδέν ἐστι τῶν ὑπὸ τὸν ἄνθρω-
25 πον, καθ' οὗ οὐ λέγεται τὸ ζῷον· πᾶς δὲ ἄνθρωπος εἶδος ψευδῶς ἂν ῥηθείη, καὶ πᾶν ζῷον γένος οὐχ ὑγιῶς λέγεται· ὁ γὰρ τὶς ἄνθρωπος ἄνθρω- 5
πος, οὐ μὴν εἶδος, καὶ τὸ τὶ ζῷον ζῷον μέν, οὐ μὴν γένος. οὐκ ἄρα κατὰ παντὸς λέγεται ταῦτα, ἀλλ' ὅτι κοινότητές εἰσιν, οὕτω κατ' αὐτῶν ῥηθήσονται. καὶ ὅτι τὸ μὲν συμπληρωτικὸν ἦν τῆς οὐσίας, τὸ δὲ ἐνδεικτικὸν
30 τῆς τοῦ ὀνόματος κατὰ κοινὴν σχέσιν θέσεως (οὐ γάρ ἐστιν ὁ ἄνθρωπος 10
ἢ ὁ Σωκράτης αὕτη ἡ κοινότης ἡ κατηγορουμένη), μᾶλλον οὖν ἔοικεν αὕτη τοῦ ὀνόματος εἶναι παραστατική, παρὰ ποίαν σχέσιν ὠνόμασται ὁ ἄνθρωπος ἤτοι ζῷον, καὶ ἔστιν ὀνόματα ὀνομάτων δεύτερα προτέρων, ἀλλ' οὐχὶ τῆς προηγουμένης ἔχεται τῶν λέξεων σημασίας, οὐδὲ τὴν φύσιν αὐτὴν σημαίνει

---

1 παρασωσάμενοι Brand.: παρωσάμενοι ACMRs 2 καθ' ὑποκειμένου λεγόμενα AM: om. CR 4 αὐτοῦ libri τοῦ] τούτου C 6 ἐπινοίᾳ CR: τῇ ἐπινοίᾳ AMs καθ' αὑτὰ R 7 ἀπαντήσωμεν C^1R: ἀπαντήσομεν AC^2Ms 8 ἢ ACR: ἢ Ms 9 μηδέπω] δέ supra scr. A 19 post ἐφαρμόττει add. καὶ AMs: om. CR 20 ἔτι] τι A 21 ἄλλοις AM: ἄλλου CR 23 ἔτι] τι A 24. 25 τῶν ἄνθρωπον (sic) A 26. 27 ἄνθρωπος AM: om. CR; an ἄνθρ. ⟨μέν⟩? 28 ante εἰσιν add. τε AM: om. CR 29 ἦν CMR: om. A ἐνδεικτικὸν CR: δεικτικὸν AM 30 οὐ γάρ ἐστιν— ἡ κατηγορουμένη (31) abhorrent a Porph. p. 81,18 (διαφέρει δὲ ὁ ἄνθρωπος τοῦ Σωκράτους, ὅτι ὁ μὲν κατὰ κοινότητα λέγεται, ὁ δὲ Σωκράτης οὐ κατὰ κοινότητα, ἀλλὰ ἀτόμως sq.), sed sana esse videntur 33 καὶ ἔστιν — πρότερων nescio an eicias

τῶν ὀνομαζομένων πραγμάτων, ἀλλὰ κατὰ ποῖον ὠνόμασται χαρακτῆρα ἐν- 15
δείκνυται.

κη. Ἀλλὰ δοκεῖ πως ἐναντίωσίν τινα ἡ παροῦσα διάταξις ἔχειν· ὅταν μὲν γὰρ λέγῃ τῶν ὑπ' ἄλληλα γενῶν μηδὲν κωλύειν τὰς αὐ-
5 τὰς εἶναι διαφοράς, ὡς περὶ ἐνίων ἀποφαίνεται, καὶ οὐχ ἁπλῶς περὶ ἁπασῶν· ὅταν δὲ προσδιορίζῃ τὰ ἐπάνω τῶν ὑπ' αὐτὰ κατηγορεῖσθαι καὶ ὅσαι τοῦ κατηγορουμένου διαφοραί εἰσι, τοσαύτας εἶναι καὶ 20
τοῦ ὑποκειμένου, ὡς περὶ πασῶν καθόλου ἀποφαίνεται μηδεμίαν αὐτῶν ὑπεξαιρούμενος.

10 Δῆλον μὲν οὖν ὅτι οὐχ ὡσαύτως διορίζεται τὸ ἐπί τινων καὶ τὸ ἐπὶ πασῶν, ἀλλὰ διαφόρως· οὐσῶν γὰρ τῶν μὲν εἰδοποιῶν διαφορῶν, καθ' ἃς εἰδοπεποίηται καὶ πεποίωται τὸ γένος, οἷον τὸ ζῷον κατὰ τὸ ἔμψυχον καὶ 25
αἰσθητικόν, ἅπερ αὐτοῦ καὶ συμπληροῖ τὴν οὐσίαν, οὐσῶν δὲ καὶ ἄλλων διαιρετικῶν, καθ' ἃς διαιρεῖται τὸ γένος εἰς τὰ ὑπ' αὐτὸ εἴδη οἷον τὸ ζῷον
15 εἰς τὸ λογικὸν καὶ ἄλογον, φανερὸν γέγονεν, ὅτι αἱ μὲν κατ' οὐσίαν ὑπάρχουσαι τῷ ζῴῳ διαφοραὶ πολὺ πρότερον ὑπάρξουσι καὶ τῷ ὀρνέῳ, αἱ δὲ 33
τέμνουσαι αὐτὸ εἰς τὰ περιεχόμενα ὑπ' αὐτοῦ αὗται ἐνίοτε μὲν τῷ ὀρνέῳ ὑπάρξουσιν, ὅταν πρὸς αὐτὸ κοινωνῶσιν, ἐνίοτε δὲ οὐχ ὑπάρξουσι, ὅταν μὴ κοινωνῶσι πρὸς αὐτό, ὡς ἡ τοῦ λογικοῦ. ἀληθὲς ἄρα τὸ καὶ ἐνίας καὶ
20 πάσας εἶναι ταύτας διαφορὰς τοῦ κατηγορουμένου καὶ ὑποκειμένου, καὶ 5
ποίας ἑκατέρας, διεκρίναμεν. οὐκ ἄρα διορθωτέον τὴν λέξιν μεταστρέφοντας ἐπὶ τἀναντία τὴν ἀπόφασιν οὕτως· ὥστε ὅσαι τοῦ ὑποκειμένου, τοσαῦται καὶ τοῦ κατηγορουμένου. ἡμάρτηται γὰρ ἡ διόρθωσις· οὐχ ὅτι γὰρ ἡ τοῦ ἀνθρώπου διαφορὰ λέγοιτ' ἂν κατὰ τοῦ ζῴου, τὸ δίπουν
25 φημὶ καὶ τὸ διαλεγόμενον καὶ τὰ ἄλλα, ἀλλὰ δῆλον ὅτι τὸ μὲν οὐδὲν 10
κωλύει καὶ τὸ μὴ πάσας κατηγορεῖσθαι ταῖς διαιρετικαῖς προσήκει, τὸ δὲ πάσας κατηγορεῖσθαι ταῖς εἰδοποιοῖς. δοκεῖ δ' ἐμοί γε καὶ αὐτὸς ἐνδείκνυσθαι ταῦτα, δι' ὧν ἀντιδιαιρεῖ τὸ ἐπάνω τῷ ὑποκάτω. οὐκ ἐπὶ τῶν γενῶν μόνον τῷ τοιούτῳ διορισμῷ χρώμενος, ἀλλὰ καὶ ἐπὶ τῶν δια-
30 φορῶν. ἐπάνω μὲν οὖν ταύτας θήσομεν διαφορὰς τὰς συμπληρωτικὰς αὐ- 15
τῶν τῆς οὐσίας, ὅσας καὶ οἷόν τε κατηγορεῖν ἐπὶ τῶν ὑποκειμένων, ὑποκάτω δέ, ὅσαι περιέχονται ἐν τοῖς προτέροις αὐτῶν γένεσιν, ἃς ἐνίοτε οὐχ οἷόν τε κατηγορεῖσθαι. διέλοι δ' ἄν τις καὶ τὰς μὲν γενικὰς προσαγορεύων

---

3 πως AM: πρὸς CR ἡ παροῦσα διάταξις ἐναντιωσίν τινα (ἐναντίτινα A) ἔχειν colloc. AM 5 ὡς περὶ Simpl. (f. 14v26): ὥσπερ ACMRs περὶ (post ἁπλῶς) AM Simpl.: παρὰ CR (cf. p. 7, 19) 6 ἁπασῶν] πασῶν Simpl. προσδιορίζηται Simpl. 8 περὶ AM Simpl.: παρὰ CR ἀποφαίνεται AM Simpl.: ὑποφαίνεται CR 10 post διορίζεται add. μηδεμίαν αὐτῶν ὑποκειμένου del. M 13 καὶ ἄλλων CR: ἄλλων AM 15 κατ' οὐσίαι A 16 ζῴω CR: supra scr. M: εἴδει A 18 ὅταν πρὸς αὐτὸ — ὑπάρξουσιν CMR: om. As 20 τὰς κατηγορούμενας καὶ ὑποκειμένας AM 21 post ἑκατέρας addendum λέγει coni. Spengel 22 ὅσαι — τοσαῦται (23) CR: ὅσα — τοσαῦτα AM 25 τὸ (ante διαλεγόμενον) AM: om. CR 27 δ' ἐμοί γε] δὲ μοί γε libri 29 μόνον ex μόνων corr. C 30. 31 αὐτῶν CR: αὐτῆς AMs 31 ἐπὶ CR: ἐστὶ AM 32 ὅσαι scripsi: ὅσα CRs: ὅσον AM 33 οἷόν τε ἐστὶ AM γενικὰς in mrg. suppl. A προσαγορεύειν (ω superscr.) M

διαφοράς. τὰς δὲ εἰδικάς· εἰδικὰς μὲν ὅσαι τέμνουσι τὸ γένος, καθ' ἃς καὶ εἰδοποιεῖται τὰ ὑπὸ τὰ γένη εἴδη, γενικὰς δὲ αὖ τὰς τῶν γενῶν συμπληρωτικὰς διαφοράς, αἷς εἰδοποιεῖται τὰ γένη. εἰσὶ μέντοι τινὲς καὶ τῶν διαιρετικῶν, ἃς οἷόν τε ὑπάρχειν τοῖς αὐτοῖς, ὡς ἐπὶ τῶν ὑπαλλήλων ἐπιδέδεικται.

κθ. Τί δ' ἂν εἴποις περὶ τοῦ τὰ ἕτερα γένη ταῖς αὐταῖς διαφοραῖς χρῆσθαι; ἰσόπλευρα γὰρ καὶ ἀνισόπλευρα ἐπίσης ἑκάτερα σχήματα λέγεται καὶ ἓν κατ' αὐτῶν κοινὸν ὄνομά ἐστι τὸ σχῆμα. καὶ τῶν | ἀρετῶν 34
καὶ κακιῶν διαφερουσῶν τῷ γένει τὰς αὐτὰς εἶναι διαφοράς· αἱ μὲν γὰρ λογικαὶ αἱ δὲ ἄλογοι κατηγοροῦνται ἐπ' ἀμφοτέρων.

Οἱ δὴ ταῦτα ἀποροῦντες διημαρτήκασι παρὰ τὴν ἄγνοιαν τοῦ ἑτέρου γένους. ταῦτα γὰρ εἰ καὶ μὴ ὑπάλληλά ἐστιν, ὅμως οὐκ ἔστιν ἕτερα, εἴ γε ὑπὸ ἓν κοινὸν γένος ὑποτάττεται, ὥσπερ ἐπὶ τοῦ εὐθυγράμμου καὶ ὑπὸ τὸ σχῆμα· καὶ ἡ ἀρετὴ τοίνυν καὶ ἡ κακία ὑπὸ τὴν ἕξιν ταχθήσεται, καὶ οὐκ ἔσται ἕτερα ἀλλήλων τὰ τοιαῦτα γένη.

λ. Τούτοις δέ ἐστιν ὅμοια καὶ τὰ τοιαῦτα ἀπορήματα· τὸ γὰρ πεζόν φασι καὶ τὸ πτηνὸν καὶ τὸ ζῷον καὶ τὸ ὄρνεον τὰς αὐτὰς ἔχει διαφορὰς ἐνίας, οὐ μόνον ἄρα ἐπὶ τῶν ὁμογενῶν καὶ τῶν ὑπαλλήλων, ἀλλὰ καὶ τῶν διεστηκότων αἱ αὐταὶ ἐνίοτέ εἰσι διαφοραί· καὶ οὕτως ψεῦδος ἔσται τὸ νυνὶ λεγόμενον. ἔστι δὲ καὶ πρὸς τούτους ἡ αὐτὴ ἀπάντησις· ἐροῦμεν γὰρ ὅτι κακῶς λαμβάνετε τὰ ἕτερα γένη, οὐ γὰρ τὰ ἐπὶ βραχὺ παραλλάττοντα ἀλλὰ τὰ πάντῃ διεστηκότα ἐστὶν ἕτερα. πάλιν ὅταν λέγωσι τὸ ζῷον πεζὸν καὶ τὸ ζῷον πτηνὸν τὰς αὐτὰς ἔχειν διαφοράς· ποηφάγα γὰρ καὶ σαρκοφάγα καὶ σπερμοφάγα ἐστὶν ἀμφότερα καίτοι μὴ ὄντα ὑπάλληλα ἀλλ' ἀντιδιαιρούμενα· ὥστε ῥᾴδιον καὶ πρὸς τοῦτο τὸ ἀπόρημα ἀντιθεῖναι τὸ αὐτό· τὸ γὰρ πεζὸν καὶ τὸ πτηνὸν ἄμφω κοινωνεῖ τοῦ ζῴου καὶ οὐ πάντῃ ἕτερα εἴληπται τὰ γένη.

λα. Ἀλλὰ δὴ συντόμως ἔπελθέ μοι τὸν περὶ τοῦ εἴδους καὶ διαφορᾶς λόγον.

Τὸ μὲν οὖν εἶδος κοινοῦ ἔχεται λόγου, χωριστὸν δέ ἐστι τοῦ οἰκείου γένους ταῖς εἰδοποιοῖς διαφοραῖς, ἴδιον δὲ πρὸς διορισμὸν ἔχει τὸ κατὰ

---

1 ὅσαι CR: ὅσον AM καὶ CR: om. AM 4 τοῖς αὐτοῖς] an τοῖς ὑποκειμένοις? (cf. Porph. p. 86,3): τὰς αὐτὰς coni. Diels 6 εἴποις AMR: εἴπης C 11 παρὰ CR: περὶ AM 13 γένος κοινὸν colloc. C (corr. litt. superscr.) 13. 14 ἐπὶ τοῦ εὐθυγρ. καὶ ὑπὸ τὸ σχῆμα corrupta sunt: ὃ (pro καὶ) coni. Diels 15 οὐκ ἔσται CR²: οὐκ ἔστι R¹: οὐκέτι A: οὐκ ἔτι M 19 τῶν διεστ. CR: ἐπὶ τῶν διεστ. AMs 20 ἔσται CR: ἐστὶ AM ante ἔστι δὲ (v. 20), πάλιν (v. 22), ὥστε (v. 25) fort. vices indicare debebam. (cf. p. 63,8 Sp.) 21 post γὰρ add. πρὸς αὐτοὺς AMs: om. CR κακῶς CMR: καλῶς A λαμβάνετε MR: λαμβάνεται A: λαμβάνεται C ἕτερα AMR: τοιαῦτα C 22 παραλλάττοντα in lit. refecit R² πάντῃ in lit. refecit R² 23 ποηφάγα CR (ι post ο eras.) Porph. (p. 84,12) Simpl. (f. 14v26): πο φάγα (sic) M: in lac. om. A: ποιηφάγα s 24 ἐστὶν AR: εἰσὶν AM 25 ὥστε] an ἔστι? 26 πτηνὸν καὶ τὸ πεζὸν coll. AM 27 τὰ CR: om. AMs 28 περὶ CR: om. AM 28. 29 διαφορᾶς CR: τῆς διαφορᾶς AM 30. 31 τοῦ οἰκείου γένους iter. M

ἀτόμων ἔχειν τὴν κοινωνίαν τοῦ λόγου, ὥσπερ τὸ γένος τὸ κατὰ εἰδῶν ἔχειν τὸ κοινόν. διαφορὰ δέ ἐστι τὸ χωρίζειν πεφυκὸς ἀπὸ τῶν ὑπὸ τὸ γένος τὰ ὑπ' αὐτὸ τεταγμένα, καὶ ὅτῳ διαφέρει | ἕκαστον τῶν εἰδῶν· κατὰ 35
γὰρ τὸ γένος οὐ διενήνοχεν. οὐ μέντοι ἁπλῶς τὸ χωρίζον ἐστὶ διαφορά,
5 ἀλλὰ τὸ ἐν τῷ εἶναι χωρίζον· οὐ γὰρ εἰ τὸ πλεῖν χωρίζει ἡμᾶς ἀπὸ τῶν ἄλλων ζῴων, ἔσται διαφορὰ τοῦ ἀνθρώπου ἡ τοῦ πλευστικοῦ· οὐ γὰρ κατ' οὐσίαν τὸν χωρισμὸν αὕτη ποιεῖται, κατὰ συμβεβηκὸς δὲ ἄλλως. βούλεται 5
οὖν ἡ διαφορὰ γίγνεσθαι οὐσίας μέρος· περὶ γὰρ τὴν οὐσίαν τὴν ἰδιότητα ἀφορίζει τῶν κεχωρισμένων. διαφορὰ δὲ καὶ εἶδος διαφέρει ὡς ὅλον καὶ
10 μέρος· ὥσπερ γὰρ τὸ ὄνομα τὸ λογικὸν ἔχει πρὸς τὸν ὅρον, οὕτω καὶ τὸ πρᾶγμα τῆς διαφορᾶς περιέχεται ὑπὸ τοῦ εἴδους.

λβ. Ἐπεὶ δὲ ἐν πᾶσιν ἀναγκαιότατόν ἐστιν εἰδέναι τὰς εὑρέσεις 10
τῶν προτιθεμένων θεωρημάτων, καὶ ἐνταῦθα πειραθῶμεν ἐπὶ τῶν παρόντων διά τινος μεθόδου τεχνικῆς τὴν εὕρεσιν αὐτῶν παραδοῦναι.

15 Ὅτι μὲν οὖν ἀπὸ τῆς κοινότητος τῆς οὐσιώδους τὸ γένος καὶ τὸ εἶδος εὑρίσκεται φανερόν. καὶ τοῦτο δὲ πρόδηλον ἤδη ἐκ τῶν προδιωρισμένων. ὅτι τὸ μὲν εἶδος τῇ κοινότητι διατείνει περὶ τὰ καθ' ἕκαστα, τὸ δὲ γένος 15
περὶ τὰ εἴδη καὶ ἔστι καθολικώτερον μᾶλλον. τὴν δὲ διαφορὰν εὑρίσκομεν ἀπὸ τῆς κατ' εἴδη ἑτερότητος χαρακτηριστικῆς. ἔχει μὲν οὖν τὸ μέσον
20 οὐσίας καὶ ποιότητος ἤτοι ἐξ ἀμφοῖν συνεστηκὸς ἢ τῆς οὐσίας συλλαβούσης τὸ ποιὸν ἢ ἀνάπαλιν τῆς ποιότητος τὴν οὐσίαν ἢ μεταξὺ τῆς διαφορᾶς 20
οὔσης τῶν ποιῶν τε καὶ τῆς οὐσίας, ὡς ἐκβεβηκέναι αὐτὴν ἀμφότερα τὰ ἄκρα. δεῖ τοίνυν τὸν λόγον τῆς διαφορᾶς μηδαμοῦ ἀπέχεσθαι τῆς οὐσίας τῶν εἰδῶν (εἰ δὲ μή, γίνεται κατὰ συμβεβηκός), ἀλλ' ὥσπερ εὑρίσκεται
25 τὸ γένος ἀπὸ τῆς τῶν εἰδῶν καὶ τῆς οὐσίας κοινωνίας, τὰ δὲ εἴδη, ἡνίκα ἂν τὰ ἀριθμητὰ κοινωνῇ τοῦ εἶναι, οὕτως δὴ καὶ τὰς διαφορὰς ἀπὸ τῆς 25
ἑτερότητος τῆς θεωρουμένης κατὰ τὰς ἰδιότητας τῆς οὐσίας περιλαμβάνεσθαι· οὕτω γὰρ ἂν εὔληπτος αὐτῶν γένοιτο ἡ εὕρεσις.

λγ. Ἐξήγησαι τὸ ἐδάφιον, ὅπου φησὶ τῶν ἑτέρων γενῶν ἑτέρας
30 εἶναι τῷ εἴδει τὰς διαφοράς. |

Τῷ εἴδει εἶπεν ἀντὶ τοῦ τῷ λόγῳ, ὥσπερ καὶ ἐν τοῖς Τοπικοῖς σύν- 36
ηθες αὐτῷ ταῦτα ἐπαλλάττειν ἀντὶ ἀλλήλων, βούλεται δὲ διὰ τούτου ἀκριβολογεῖσθαι περί τινος μείζονος· ἵνα γὰρ μὴ τῷ ὀνόματι προσέχοντες τὰς

1 ἔχειν] ἔχει coni. Spengel 3 αὐτὸ scripsi: αὐτῶ libri (cf. p. 28,13. 14) διαφέρει CMR: διαφέρειν A 4 ἐστι τὸ χωρίζον colloc. AM 5 πλεῖν] εἶν in lit. refecit R² 7 τὸν ex τὸ corr. A 8 γίνεσθαι A 11 περιέχεται CR: ἐπέχεται AM 13 προτιθεμένων CR (coni. Spengel): προστιθεμένων AMs 13. 14 τῶν παρόντος A 16 δὲ CR: δὴ AM προσδιορισμένων (sic) ex προσδιορισμῶν corr. A 17 ἕκαστα ον C 20 συνεστηκὸς CMR: συνεστὸς A συλλαβούσης CMR: λαμβανούσης A 23 μηδαμοῦ AMR: μηδαμῶς C 26 κοινωνῇ τὰ ἀριθμητὰ colloc. AM δὴ] δεῖ s ex coniect. 27 περιλαμβ. AMR: παραλαμβ. C 29 ἑτέρων γενῶν CR: ἑτερογενῶν AM Arist. (cf. p. 30,4) 31 ἐν τοῖς Τοπικοῖς] cf. A 7 103a8 sq. 32 ἐπαλλάττειν coni. Spengel: ἐπαλλάττει libri

αὐτὰς λέγωμεν διαφορὰς σκεύους καὶ ζῴου, οἷον τὸ ὑπόπουν καὶ ἄπουν. διὰ τοῦτο προσέθηκε τῷ λόγῳ· ταῦτα γὰρ ὀνόματι μόνῳ δοκεῖ τὰς αὐτὰς διαφορὰς ἔχειν. ἢ καὶ οὕτως ἂν εἴποιμεν· ὡς ἕτεραι τῷ εἴδει εἰσὶν αἱ λαμβανόμεναι ὡς ἐν τῷ εἴδει ἑκάστου τῶν ἑτέρων γενῶν, ἐν μὲν τῷ ζῴῳ τοῦ ἀνθρώπου, ἐν δὲ τῇ ἐπιστήμῃ τῆς μουσικῆς λαμβανομένης, δύναται τὸ ἕτεραι τῷ εἴδει καὶ τὰς εἰδοποιοὺς σημαίνειν διαφοράς, ἵνα μὴ λάβῃ τις τὰς κατὰ συμβεβηκὸς ὡς τὸ πλεῖν τοῦ ἀνθρώπου· οὐ γὰρ αἱ ὁπωσοῦν χωρίζουσαι διαφοραί, ἀλλ' αἱ κατὰ τὸ εἰδοποιεῖν καὶ τὸ εἶναι αὗται κυρίως εἰσὶν ἕτεραι τῷ εἴδει.

λδ. Λοιπὸν τοίνυν ἐστὶν ἀκριβῶς διελέσθαι, τί ποτέ ἐστι τὸ ἄτομον καὶ ἓν ἀριθμῷ.

Ἄτομον μὲν οὖν λέγεται οὐχ ὡς τὸ ἀδιαίρετον καὶ ἀμέριστον, ἀλλ' ὡς τὸ μὴ δεχόμενον τομὴν γένους εἰς εἴδη μηδὲ εἴδους εἰς τὰ καθ' ἓν ἀριθμῷ διωρισμένα. ἓν δὲ ἕκαστον τῶν αἰσθητῶν λέγεται οὐ κατὰ μίαν δύναμιν, ἀλλ' ὅτι πάντα εἰς μίαν νεύει οὐσίαν. ἐπεὶ δὲ πολλαχῶς τὸ ἓν λέγεται καὶ γένει καὶ εἴδει καὶ κατ' ἄλλους τρόπους πλείονας, ἀφορίζει νῦν ἓν τὸ κατ' ἀριθμὸν λαμβάνων οὐ μόνον ᾧ ἀριθμοῦμεν, ὡς συκοφαντοῦσί τινες, ἀλλὰ καὶ τὸ ἀριθμούμενον. οὕτω γὰρ καὶ τοὺς πέντε ἵππους ἓν ἀριθμῷ τινι λέγομεν.

λε. Ἀλλ' εἰ εἶδός ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἓν τῷ τί ἐστι κατηγορούμενον, τίνι διαφέρει ὁ ἄτομος καὶ εἷς τοῦ ἀτόμου καὶ ἑνός· ἓν γὰρ ἀριθμῷ ἐστι καὶ οὗτος κἀκεῖνος.

Οἱ μὲν οὖν λύοντες τὴν ἀπορίαν ταύτην κατὰ τὸ ἰδίως ποιόν, | τοῦτ' 37
ἔστιν ὅτι ὁ μὲν φέρε γρυπότητι ἢ ξανθότητι ἢ ἄλλῃ συνδρομῇ ποιοτήτων ἀφώρισται, ἄλλος δὲ σιμότητι ἢ φαλακρότητι ἢ γλαυκότητι, καὶ πάλιν ἕτερος ἑτέραις, οὐ καλῶς μοι δοκοῦσι λύειν· οὐ γὰρ ἡ συνδρομὴ τῶν ποιοτήτων ἀριθμῷ ποιεῖ διαφέρειν. ἀλλ' εἴπερ ἄρα ποιότης, μᾶλλον οὖν ἐκείνως ἀπαντητέον, ὅτι τὰ τῷ ἀριθμῷ ἕτερα οὐ διαφέρει ἀλλήλων τῇ φύσει καὶ τῇ οὐσίᾳ, ἀλλ' ἔχει τὸ ἕτερον κατὰ τὸ ἀριθμεῖσθαι· ἕτερα οὖν ὡς ἀριθμητά· ἐν γὰρ τῷ καθ' ἓν ἀριθμεῖσθαι ἕκαστον ἐπέρχεται ὁ ἀριθμός. διαφέροντα οὖν τῷ ἀριθμῷ δοκεῖ μοι λέγειν τοῦτ' ἔστι διεστηκότα ὡς ἀριθμητά, ἵν' ᾖ τὸ λεγόμενον ἐπὶ τοῦ εἴδους τοιοῦτον, ὅτι τὸ κατὰ πλειόνων καὶ διεστηκότων τῷ ἀριθμεῖσθαι εἶδός ἐστιν, ἵνα τὸ διαφέρειν ἀντὶ τοῦ διεστηκέναι λαμβάνωμεν.

λς. Ἀκήκοα δέ τινων πλεονασμὸν ἐγκαλούντων τῇ τομῇ ταύτῃ, ὡς οὐ

---

5 fort. λαμβανόμεναι, nisi malis eicere 6 ἕτεραι AM: ἕτερα CR λάβῃ AM: λάβοι CR 8 τὸ εἰδοποιεῖν CMR: εἰδοποιεῖν A 9 εἴδει] ει (alterum) refecit R^2 14 ὡρισμένα M^1 (ὀι superscr.) 16 πλείονας] πλείονα Brand. (45a48) 18 καὶ (ante τοὺς) supra scr. M 19 τινι supra scr. A 20 τὸ κατὰ—τί ἐστι (21) transcriptoris culpa iter. (uncinis inclus.) s 21 καὶ om. ACRs: superscriptum del. M: inserendum coni. Spengel (cf. v. 10. 11 p. 2, 30) 23 λύοντες AM: λέγοντες CR 29 ἔχει R: ἔχειν ACM 30 τῷ ex τὸ corr. R^2 ἕκαστον in mrg. suppl. A 33 διεστηκότων CR: διαφερόντων AM τῷ CR: τὸ AM 33. 34 ἵνα—λαμβάνωμεν eicias (cf. v. 31)

καλῶς τῷ ποιεῖν τὸ πάσχειν ἀντέταξεν· ἐχρῆν γὰρ ἀμφότερα ὑφ' ἓν γένος εἶναι τὸ κινεῖσθαι.

Ἔστι δ' ἡ τούτου λύσις τοιαύτη· οὔτε τὸ ποιοῦν ᾗ ποιεῖ πάσχει οὔτε τὸ πάσχον ᾗ πάσχει ποιεῖ, οὐδὲ τοῖς συνθέτοις συνέρχεται τὰ δύο εἰς ταὐτὸ ὑπὸ τοῦ τὰς δύο ἀρχὰς εἰς ταὐτὸ συμπίπτειν. τὸ μὲν οὖν κινεῖσθαι ἐν τῷ πάσχειν ἐστί. τὸ δὲ ποιοῦν κινεῖ ἀκίνητον ὄν. ἔνια δὲ τῶν ποιούντων ἐν τοῖς αἰσθητοῖς κατὰ συμβεβηκὸς κινεῖται ἀπὸ τοῦ τὰς δύο ἀρχὰς ἐν αὑτοῖς ἔχειν, καὶ εἶναι μέν τι αὐτῶν κινοῦν, εἶναι δὲ κινούμενον ἕτερον. ἀντιδιειλέν οὖν τῷ ποιοῦντι τὸ πάσχειν κατὰ τὰ ἑαυτῷ περὶ τῶν αἰτίων δοκοῦντα.

Ἄλλη πάλιν αἰτία καθ' ἕτερον τρόπον τὴν περιττότητα αἰτιᾶται· τὰ μὲν γὰρ καθ' αὑτά, τὰ δὲ πρός τι διαιροῦνται, καὶ ἐν τούτοις περιλαμβάνειν δοκοῦσι πάντα τὰ γένη. ἄλλοι δὲ εἰς οὐσίαν καὶ συμβεβηκὸς διατέμνοντες αὐτὰ ἡγοῦνται ἀρκούντως διαιρεῖσθαι.

Οὐκ ὀρθῶς οἰόμενοι· οἱ μὲν γὰρ εἰς ὑποκείμενον καὶ συμβεβηκὸς διχοτομοῦντες τὰς κατηγορίας ἐφάπτονται μέν πως τῆς Ἀριστοτέλους πρώτης καὶ εἰς ἐλάχιστα τῶν γενῶν τομῆς. καὶ ταύτῃ γε οὐχ ἁμαρτάνουσιν· ᾗ δὲ παραλείπουσι τὰ καθόλου καὶ ἐν μέρει, ταύτῃ δὲ κακῶς χρῶνται καὶ ἀτελῶς τοῖς Ἀριστοτελικοῖς. οἱ δ' αὖ εἰς οὐσίαν καὶ πρός τι ἀντιδιαιροῦντες, ἐπειδὴ τὰ συμβεβηκότα ἄλλου ἐστί, καὶ οὕτω δύο μόνα ποιοῦντες γένη τὰς ὅλας κατηγορίας, οὗτοι δὲ ἐπιτίθενται τῇ ἐνδείᾳ τῶν ὀνομάτων· ᾗ γὰρ συμβεβηκότα οὐ πάντα ἐστὶν ἄλλου, ἀλλὰ ἓν μόνον τὸ αὐτῷ λεγόμενον πρός τι. δοκεῖ δὲ πρός τι εἶναι πάντα τὰ συμβεβηκότα διὰ τὸ ἡμᾶς ἀφαιρεῖν τὰ ὀνόματα τῶν πεφυκότων συσσημαίνεσθαι διὰ τὸ γνώριμον· οὕτως ἡ λευκότης δοκεῖ τινος εἶναι οὐκ οὖσα καθ' αὑτήν τινος. ἐπὶ τούτῳ γε τῷ λόγῳ καὶ τὰ προηγουμένως καθ' αὑτὰ πρός τί ἐστι. Σωκράτης γὰρ Σωφρονίσκου λέγεται οὐχ οὕτως, ᾗπέρ ἐστι Σωκράτης, ἀλλὰ παραλείπομεν ὡς γνώριμον τὸ υἱός, ἐπεὶ ᾗ Σωκράτης οὐδενός. καὶ τὸ συμβεβηκὸς εἰ μὲν ἀναφέροιμεν εἰς τὸ ὑποκείμενον, πρός τι, ὥσπερ ὁ ἀγρὸς ὡς κτῆμα πρός τι, αὐτὸ δὲ καθ' αὑτὸ τὸ συμβεβηκὸς φύσις τις ἰδία. καὶ ἡ ὕλη δὲ καὶ τὸ ὑποκείμενον καθὸ μὲν τυγχάνει τούτων τῶν προσηγοριῶν, πρός τί

1 τὸ πάσχειν CMR: καὶ τὸ πάσχειν A 2 εἶναι] an θεῖναι? 3 δ' ἡ CR: δὴ AMs τούτου supra scr. A 6 ἀκίνητον CR: ἀεικίνητον AM 7 κινεῖται Simpl. (f. 15v33): κεῖται ACMRs τοῦ τὰς AM: τούτου CR 8 αὑτοῖς MR: αὐτοῖς AC μέν τι CR: μέντοι AM αὐτῶν—πάσχειν (9) om. AM 9 τὸ in lit. R² περὶ AM: παρὰ CR (cf. p. 7,19) 11 αἰτία AM: ἀπορία CRs 12. 13 περιλαμβάνειν AM Simpl. (f. 15v33): παραλαμβάνειν CR 13 ante συμβεβηκὸς add. εἰς M: om. ACR Simpl. 15. 16 ante διχοτομοῦντες add. διατέμνοντες ταῦτα ἡγοῦνται ἀρκούντως διαιρεῖσθαι (cf. v. 13. 14) statim del. R 16 πως CR: που AM 19. 20 ἀντιδιεροῦντες R 20 ποιοῦντες ACR: ποιοῦνται Ms 22 οὐχ ὅλα πάντα (sed ὅλα del.) M ἄλλου CR: ἄλλα AM 23 δοκεῖ AMR: δοκοῦν C 24 διὰ supra scr. M 25 οὕτως R: οὕτω CM²: οὔτε AM¹ καθ' αὑτήν ACR: κατ' αὑτήν M 26 κατ' αὐτὰ M 28. 29 εἰ μὲν AMR: εἴπερ C 29 ἀναφέροιμεν AMR: ἀναφέρομεν C 30 ἡ AMR: om. C

ἐστι (τινὶ γὰρ ὑπόκειται), καθὸ δὲ ἀρχή, κατὰ διάστασίν ἐστι καὶ καθ' 20
ἑαυτό. δεῖ τοίνυν μὴ ῥημάτων συνηθείας ἀλλὰ τῆς τῶν πραγμάτων φύσεως
ἐξεταστὰς γίνεσθαι, μηδὲ τῇ ἐνδείᾳ τῶν ὀνομάτων ἐπιτίθεσθαι, ἀλλὰ ταῖς
διαφόροις ἰδιότησι τῶν πραγμάτων συνακολουθεῖν. οὕτω γὰρ οὐχ εὑρεθή-
5 σεται τὰ γένη ἐλάττονα ὄντα τῶν δέκα. εἰ δέ τις εἰς ὑποκείμενον ⟨καὶ τὰ
περὶ τὸ ὑποκείμενον⟩ διαιρούμενος ὡς περιττεύουσαν εὐθύνει τὴν εἰς δέκα 25
διανομήν, καὶ οὗτος ἀορίστως ἀντιδιαιρεῖ τὰ περὶ αὐτὸ πρὸς ἓν καὶ ὡρισ-
μένον τὸ ὑποκείμενον.

λζ. Ταῦτα μὲν οὖν ἐν τῷ παρόντι ἀρκεῖ μετρίως ἀντιρρηθέντα πρὸς
10 τοὺς περιττεύειν λέγοντας τὴν τῶν κατηγοριῶν διάταξιν, ἀπάντησον δὲ 39
καὶ πρὸς τοὺς ἐλλείπειν αὐτὴν ἀποφαινομένους· διὰ τί γάρ φασι τῷ μὲν
ποιεῖν τὸ πάσχειν ἀντέταξεν, οὐκέτι δὲ τῷ ἔχειν τὸ ἔχεσθαι;

Οὗτοι παραλείπων αὐτήν, ὡς ἡμεῖς ἂν εἴποιμεν δικαιολογούμενοι, ἀλλ'
ὅτι ἐνέπιπτεν εἰς τὴν τοῦ κεῖσθαι κατηγορίαν τὴν ἤδη προωρισμένην. ἔχει 5
15 μὲν γάρ τις τὴν ἀσπίδα, ἔχεται δὲ ἡ ἀσπὶς ἐν τῷ οὕτωσὶ περικεῖσθαι·
οὐκ ἄλλο τι οὖν ἔσται ἡ θέσις ἢ τάξις τῶν ἐχομένων.

Ἀλλὰ διὰ τί τοὺς συνδέσμους παρέλιπεν, ἀποροῦσιν.

Ἐπειδή, φαμὲν ἡμεῖς, οὔτε προηγουμένη ἐστὶν αὐτῶν ἡ χρεία τοῦ
λόγου ἀλλὰ δευτέρα, οὔτε τελεία ἀλλ' ἀτελής, οὔτε λεκτικὴ συμβολικὴ δὲ 10
20 μᾶλλον, ἀλλ' οὐδὲ σημαίνει προηγουμένως συσσημαίνει δὲ μᾶλλον, ὥσπερ
τὰς διπλᾶς εἰώθαμεν παραγράφειν, αἵτινες μετὰ τῶν γεγραμμένων μὲν
συσσημαίνουσι τὸ ἀπαρτίζον τῆς διανοίας αὐταὶ δὲ καθ' ἑαυτὰς οὐδὲν δη-
λοῦσι. καὶ οἱ σύνδεσμοι τοίνυν συσσημαίνουσι μετὰ τῶν ἄλλων μερῶν τοῦ 15
λόγου, αὐτοὶ δὲ καθ' ἑαυτοὺς οὐκ εἰσὶ σημαντικοί, ἀλλ' ἐοίκασι τῇ κόλλῃ·
25 διόπερ οὐδὲ λόγου στοιχεῖα αὐτοὺς τιθέμεθα. ἀλλ' εἴπερ ἄρα μέρη λέξεως.
κἂν σημαίνωσι δὲ οὗτοι, κατὰ σύνταξιν σημαίνουσιν, ὥσπερ ἡ βα συλλαβή,
τὸν δὲ λόγον εἶναί φαμεν περὶ τῶν ἄνευ συντάξεως καὶ καθ' αὑτὰς ση-
μαινουσῶν λέξεων καὶ κατὰ τὰς προηγουμένας χρήσεις τοῦ λόγου, οὐ μέντοι 20
κατὰ τὰς ἑπομένας.

30 Πάλιν τινὲς ἐπιζητοῦσι τὰ ἄρθρα ποῦ ταχθήσεται.

---

1. 2 καθ' ἑαυτό Simpl.: καθ' ἑαυτήν ACMR 4 τῶν πραγμάτων ἰδιότησι colloc. C ἰδιότησι A^2CMR: ἰδιότητι A^1 5 εἰς CR: ὡς A: ὡς εἰς M 5. 6 καὶ τὰ περὶ τὸ ὑποκείμενον ex Simpl. inserui: καὶ συμβεβηκὸς coni. Spengel 6 ὡς AMR: ὥσπερ C 7 ἀντιδιερεῖ R 9. 10 ante ταῦτα vicem pers. signif. C: ante ἀπάντησον AMRs ἀρκεῖ ἐν τῷ παρόντι colloc. A ἀντιρηθέντα CR 10 ἀπάντησιν C 11 μὲν AM: Simpl. (f. 15v34): μὲν τὸ C: μέντοι R 12 ante τὸ πάσχειν add. καὶ CR: om. AM Simpl.: inclus. s τῷ ἔχειν τὸ ἔχεσθαι AM Simpl.: τὸ ἔχειν τῷ ἔχεσθαι CR 13 οὗτοι CR: οὔτι AM 14 τὴν (prius) CR Simpl.: om. AM ἤδη AM Simpl.: om. CR προωρισμένην A^2CRM: προωριζομένην A^1: διωρισμένην Simpl. (fort. rectius) 16 ἄλλο τι οὖν CR: ἀλλ' ὅτιοῦν AM ἔσται CR: ἐστιν AM θέσις CMR Simpl.: σύνθεσις A 21 παραγράφειν AM Simpl.: παρεγγράφειν CR τῶν γεγραμμένων AM Simpl.: τὸ γεγραμμένον CR 22 αὐταὶ S Simpl.: αὗται ACRM (cf. v. 24) 26 βᾱ CR: κᾱ AM 27 τὸν ex τῶν corr. M 28 καὶ AMR: οὐ C 30 ἄθρα R

Ἔστι δὲ καὶ περὶ τούτων ὁ αὐτὸς λόγος· συνδέσμων γὰρ ἔχει δύναμιν ἐπὶ ἀρρένων καὶ θηλέων μετὰ τοῦ καὶ τὸ ὑποκείμενον συμπαραδηλοῦν ἀο- 25
ρίστως, διὸ καὶ ἀόριστά τινες αὐτὰ καλοῦσι· τὸ μὲν γάρ τι ὑποκείμενον
παρίστησι, μετὰ δὲ τοῦ ἄρρενος συνταττόμενον ἄρρεν τι δηλοῖ, μετὰ δὲ τοῦ
5 θήλεος θῆλύ τι. παρῆκται δὲ τὸ τόδε | ἀπὸ τοῦ τινός, συνεκφαίνει δὲ 40
ὁποτερονοῦν τῶν ἄρθρων τὸ ἄρρεν ἢ τὸ θῆλυ ἐν τῇ συντάξει, αὐτὸ δὲ καθ'
αὑτό ἐστιν ἄσημον.

Ἀλλ' αἱ ἀποφάσεις φασὶ καὶ αἱ στερήσεις τά τε ἀόριστα καὶ αἱ ἐγ-
κλίσεις καθ' ἑκάστην κατηγορίαν ἐν τίνι ταχθήσονται;

10 Περὶ δὴ τούτου βέλτιον αὐτὸς Ἀριστοτέλης ἐν τοῖς Ὑπομνήμασιν ἀν- 5
εδίδαξε· προσθεὶς γὰρ τὰς κατηγορίας σὺν ταῖς πτώσεσιν αὐτῶν καὶ ταῖς
ἀποφάσεσι καὶ ταῖς στερήσεσι καὶ τοῖς ἀορίστοις ὁμοῦ συνέταξεν αὐτῶν τὴν
διδασκαλίαν πτώσεις τὰς ἐγκλίσεις ὀνομάζων. ἔσται δὴ οὖν τὸ ἀνυποδε-
τεῖν τῆς αὐτῆς κατηγορίας, ἧς καὶ τὸ ὑποδεδέσθαι, καὶ τὸ ἀναπνεῖν τῆς 10
15 τοῦ ἔχειν κατηγορίας, ὥστε καὶ τὸ ὠπλίσθαι. καὶ αἱ ἀποφάσεις οὖν τού-
των ἔσονται ὧν καὶ αἱ καταφάσεις, καὶ τὰ ἀόριστα τούτων ὧν καὶ τὰ
ὡρισμένα· καθόλου γὰρ ἐν τούτῳ ἔχουσι τὸ εἶναι αἱ ἀποφάσεις καὶ στε-
ρήσεις ἐν τῷ τὰ ἀναιρούμενα μὴ εἶναι, εἰκότως ἄρα ἐπ' ἐκεῖνα ἀναπέμ-
ποιτο τὰ ἐν ἕξει ὄντα καὶ καταφασκόμενα. καὶ ὁ νεκρὸς οὖν τούτου ἔσται 15
20 οὗ καὶ τὸ ζῷον, καὶ ἡ τυφλότης τοῦ αὐτοῦ οὗ καὶ ἡ ἕξις καὶ ἐπὶ τῶν
ἄλλων ὁ αὐτὸς λόγος. περὶ δὲ τοῦ ἑνός, ὡς οὐκ ἔστιν ἔξω πῖπτον τῶν
κατηγοριῶν, πολλαχοῦ ἄν τις ἀποδείξειε· καὶ γὰρ ὡς ἀρχὴ τῶν ἀριθμῶν
καὶ ὡς μέτρον ὑπάρχον τοῖς πρός τι συνταχθήσεται, καὶ εἴ τις ἀσώματον
καὶ καθ' ἑαυτὸν τὸν ἀριθμὸν τιθείη, οὐσία ἂν εἴη ἡ μονάς, εἰ δέ τις διτ- 20
25 τὸν ἀριθμὸν ὑπόθοιτο, ἔσται καὶ ἡ μονὰς ἐν δύο γένεσιν, ἐπὶ μὲν τῶν κατὰ
σύνθεσιν ἀριθμητῶν ἐν τοῖς πρός τι, ἐπὶ δὲ τῶν νοητῶν ἐν οὐσίᾳ ταττο-
μένη. εἰ δέ τις αὐτὴν καὶ μέρος ποσοῦ νομίζοι, ὥσπερ καὶ ὁ Ἀλέξανδρος,
ἔσται καὶ ἐν τῷ ποσῷ ἅμα. τοῦτο μέντοι ὅλον παρακρούεται ἡμᾶς· παν- 25
ταχοῦ γὰρ ἕτερόν ἐστι τὸ πέρας καὶ τὸ ὁριζόμενον ὑπὸ τοῦ πέρατος. καὶ
30 ἡ μονὰς οὖν ἀρχὴ καὶ πέρας οὖσα τοῦ ποσοῦ οὐκ ἂν εἴη ποσόν. ἴσως
δὲ βέλτιον ὁμώνυμον καὶ τὸ ἓν ἀπολιπεῖν, πολ|λαχῇ μὲν καὶ ἄλλῃ, ἀτὰρ 41

---

1 δὲ CR Simpl.: δὴ AM 2 θηλέων Brand. (p. 48a39): θηλειῶν codd. s συμπαραδηλοῦν] παραδηλοῦν Brand. 3 τι CMR: τὸ As 5 θήλεος Brand.: θήλεως codd. s τοῦ supra scr. M 10 τούτου] τούτων Brand. ἐν τοῖς Ὑπομνήμασιν] cf. Rose, Arist. Pseudep. (Lipsiae 1863) p. 128 Arist. Fragm. (Lipsiae 1886) p. 108 11 προσθεὶς C Simpl. (f. 16r34): προθεὶς AMRs 12 αὐτῶν ante ὁμοῦ transp. AM 13 ἔσται CR: ἔστι AM Simpl. (cf. v. 16) δὴ om. Simpl. 14 ἀναπνεῖν] *exarmatum esse* Felic.; fort. secundum ἀνυποδετεῖν scriptor ἀνοπλεῖν finxit 15 ὥστε] an ὥσπερ? 17 αἱ στερήσεις Simpl. 18 ἐπ' ἐκεῖνα Simpl.: ἐπέκεινα codd. 18. 19 ἀναπέμποιτο] ἀναπέμπονται Simpl.: ⟨ἂν⟩ ἀναπέμποιτο coni. Spengel (sed cf. Porph. p. 82.14 not.) 20 καὶ (ante ἡ ἕξις) AM: om. CR 22 ἀποδείξειε CR: δείξειε AM 23 μέτρον CR Simpl.: μέρος AMs συνταχθήσεται CR: ταχθήσεται AM 25 τὸν iter. C ὑποθοῖτο ACM 26 ἀριθμητῶν ex ἀριθμῶν corr. C 27 νομίζοι CR: νομίζει AMs 28 ὅλως Brand. (p. 48a34) 29 πέρατος AM: περάματος CR

δὴ καὶ ὡς νυνὶ λέγομεν, οὐκ ἂν εἴη διαίρεσις προηγουμένη εἰς τὰς κατη-
γορίας οὐδὲ θέσις αὐτῶν ἀφωρισμένη εἰς ἓν γένος.

λη. Τοσαῦτα μὲν καὶ πρὸς τοὺς ἐλλείπειν λέγοντας τὴν διάστασιν
ταύτην ἐδικαιολογήσω. πρὸς δὲ τοὺς ἄλλα ἀντ' ἄλλων ἀντεισάγειν τῶν
5 κατηγοριῶν γένη τὸν Ἀριστοτέλην λέγοντας πῶς ἂν διαπραγματεύσοιο; λέγουσι 5
τοίνυν τινές, ὡς δεῖ τὴν κίνησιν γένος εἶναι (ἀντὶ) τοῦ ποιεῖν καὶ πάσχειν·
οὔτε γὰρ εἰς ἄλλο γένος αὐτὴν προσήκει ἀνάγειν, οὔτε ἄνωθέν τι αὐτῆς
ἐν τῷ τί ἐστι κατηγορεῖται, οὔτε εἰς τὸ ποιεῖν οἷόντε αὐτὴν τάττειν (καὶ
γὰρ ἐν τῷ πάσχειν πολλαὶ κινήσεις), οὐδ' αὖ ἐν τῷ πάσχειν, ὅτι πολλαὶ 10
10 κινήσεις ποιήσεις.

Πρὸς δὴ ταῦτα ἄνωθεν διοριζόμεθα τὸ δυνάμει καὶ ἐνεργείᾳ θεωρεῖ-
σθαι κατὰ τὰς δέκα κατηγορίας ὁμωνύμως. διόπερ οὔτε τὴν δύναμιν οὔτε
τὴν ἐνέργειαν θήσομεν ἐν ταῖς κατηγορίαις· τῶν γὰρ ὁμωνύμων καὶ κατ'
οὐσίαν πάντῃ διαλλαττόντων οὐχ οἷόν τε ἦν ἓν εἶναι κοινὸν γένος. διόπερ 15
15 καὶ τῆς κινήσεως εἰς ἐντελέχειαν ἀπὸ τῆς δυνάμεως ὁδευούσης ἄλλως μὲν
ἐν τῷ ποιῷ, ἄλλως δὲ ἐν τῷ ποσῷ, ἄλλως δὲ ἐν ταῖς ἄλλαις κατηγορίαις,
οὐχ οἷόν τέ ἐστι νοεῖν μίαν κατηγορίαν διὰ τὴν ὁμωνυμίαν. καὶ τὴν στάσιν
δὲ εἴ τις ἀντεισάγοι, ταὐτὰ πρὸς αὐτὸν ἀντεροῦμεν, καὶ ἔτι προσήκειν λέ-
γοντες οὐ τοῖς ἐν γενέσει ἀλλὰ μᾶλλον τοῖς νοητοῖς τὴν στάσιν. εἰ δέ τις 20
20 εἰς τὸ πῶς ἔχον συντάττοι τὰς πλείστας κατηγορίας, ὥσπερ οἱ Στωικοὶ
ποιοῦσιν, ἐπιδεικτέον αὐτοῖς, ὅτι πλεῖστα παραλείπουσι τῶν ὄντων τά τε
ἐν τόπῳ καὶ τὰ ἐν χρόνῳ καὶ κατ' ἀριθμὸν ποσὰ καὶ κατὰ πηλίκον καὶ
τὸ ὑποδεδέσθαι καὶ ἄλλα τοιαῦτα· οὐδὲν γὰρ ὅτι τῶν τοιούτων περιέχεται 25
ἐν τῷ πῶς ἔχοντι.

25 λθ. Ἀλλ' εἴποι τις ἂν συνώνυμον εἶναι τὸ ὄν· καὶ γὰρ ὁ λόγος καὶ
τὸ ὄνομά φασιν ἐφαρμόζει τοῖς οὖσιν· ἔστιν ἄρα ἕκαστον τῶν ὄντων ἢ ποι-
οῦν ἢ πάσχον ἢ ἀμφότερα, ὥστε εἰ καὶ ὀνόματος καὶ λόγου τοῦ αὐτοῦ
μετέχει τὸ ὄν, πᾶν εἴη ἂν συνώνυμον. |

Ἢ καὶ πρὸς τοῦτο ἀντειπεῖν ῥᾴδιον, ὅτι οὐχ οὗτος ὅρος ἐστὶ τοῦ ὄντος 42
30 τὸ ἢ ποιεῖν αὐτὸ ἢ πάσχειν ἢ ἀμφότερα· περιλαμβάνει μὲν γὰρ τὰ δηλού-
μενα ὡς ὄντα αὕτη ἡ ἀπόδοσις τοῦ λόγου, τίνα δέ ἐστιν οὐ σημαίνει. ὡς
γὰρ οὐκ ἔστι λόγος κυνὸς τὸ ζῷον χερσαῖον ἢ θαλάττιον ἢ οὐράνιον, ἀλλ' 5
ὁ δηλῶν τὴν οὐσίαν αὐτοῦ, οὕτως οὐδὲ ὁ εἰρημένος λόγος ἂν εἴη τοῦ ὄν-
τος, ἄλλως τε ὅτι οὐδὲ ἀληθεύεται οὗτος ὁ λόγος κατὰ τῶν εἰδῶν τοῦ
35 ὄντος. χρὴ γὰρ τὸν ὅρον τοῦ γένους ἐφαρμόζειν καὶ τῷ εἴδει· ὥσπερ οὖν

---

2 αὐτῶν AM: om. CR; conicias τῶν ὁμωνύμων (cf. Simpl. f. 16r34) εἰς ἓν γένος ἀφωρισμένη colloc. AM 3 post μὲν una littera erasa R 4 ταύτην ἐδικαι— in lit. refecit R² 5 ἀριστοτέλη C 6 ἀντὶ Simpl. (f. 16r35): om. codd. s 9 οὐδ' αὖ— κινήσεις (10) CR: om. AM 10 καὶ ποιήσεις AM 15 εἰς ἐντελέγειαν post δυνάμεως transp. AM 17 ἐστι CMR: om. A 18 ταὐτὰ M: ταῦτα ACR 20 ἔχων AM ὥσπερ] ὅπερ Brand. (48b20) 26 ante ἔστιν add. ἕτερα M 29 οὗτός ἐστιν ὅρος colloc. AM 30 ἢ πάσχειν αὐτὸ colloc. AC¹ (corr. litt. superscr.) M ἐν (sic) ἀμφότερα A 33 εἰρημένος] ὡς superscr. del. M

ὁ τοῦ ζῴου λόγος ἐφαρμόζει καὶ τῷ ἀνθρώπῳ, οὕτως ἔδει καὶ τοῦτον τὸν λόγον ἐφαρμόζειν ἑκάστῳ τῶν εἰδῶν τοῦ ὄντος, οἷον κυνὶ ἢ ἀνθρώπῳ ἢ ἵππῳ. οὐδεὶς δὲ ὅρον ἀποδιδοὺς ἵππου φησὶν αὐτὸν ἢ ποιεῖν ἢ πάσχειν ἢ ἀμφότερα.

μ. Ἀπορήσειε δ' ἄν τις τὸ ἔστι καθ' ἑκάστην τῶν κατηγοριῶν λεγόμενον πῶς χρὴ ἐκδέχεσθαι· ἤτοι γὰρ τὸ αὐτὸ σημαίνει τῷ καθ' οὗ κατηγορεῖται ἢ ἕτερον. ἀλλ' εἰ μὲν τὸ αὐτό ἐστιν ἡ οὐσία καὶ τὸ ἔστι, περιττὸν τὸ κατηγορεῖν αὐτῆς τὸ ἔστι· δυνάμει γάρ ἐστι ἡ οὐσία οὐσία καὶ τὸ ποιὸν ποιόν. ἢ εἰ μὴ ἀδολεσχοῦμεν κατηγοροῦντες αὐτῶν τὸ ἔστιν, ἕτερον αὐτῶν ἔσται τὸ ἔστιν. εἰ δὲ ἕτερον, καὶ καθ' ἕκαστον ἕτερον, ὥστε οὐ δέκα μόνον αἱ κατηγορίαι, ἀλλὰ καὶ ἄλλαι δέκα καθ' ἃς τὸ ἔστι περὶ ἑκάστης αὐτῶν λέγομεν. καὶ πάλιν εἰ ἑκάστου τούτων ἄλλο τὸ ἔστι κατηγορήσομεν, ἐπ' ἄπειρον ἀναβησόμεθα. εἰ δὲ ἓν εἴη καὶ κοινὸν ἐπὶ πασῶν τὸ ἔστι κατηγορούμενον καὶ ἐγκέκλιται τὸ ἔστι ἀπὸ τοῦ ὄντος, εἴη ἂν γένος τὸ ὄν.

Φανερὸν μὲν οὖν τὸ σόφισμα, κωλύει δὲ οὐδὲν ἀπαντῆσαι πρὸς τὴν τούτου λύσιν. τὸ γὰρ ἔστιν ὅταν κατηγορῶμεν ἐφ' ἑκάστου, τὴν ὕπαρξιν προσκατηγοροῦντες αὐτοῦ τοῦτο λέγομεν· ἡ δὲ ὕπαρξις καὶ τὸ ὑπάρχειν τὸ ὑποκείμενον οὐ κεχωρισμένον τι δηλοῖ τοῦ ὑποκειμένου, ἀλλὰ καθ' ἕκαστον τῶν δέκα μαρτυρεῖ τῇ ὑποστάσει τὸ μὴ εἶναι ἀνυποστάτῳ αὐτῇ ἀλλ' ὑφεστηκέναι. καὶ τὸ εἶναι οὖν ὁμώνυμον ἔσται καὶ δεκαχῶς ῥηθήσεται, ὁσαχῶς καὶ τὰ ὄντα. |

3 ἵππου CR: ἵππον AM αὐτὸν CMR: om. A 5 τῶν κατηγοριῶν CR: κατηγορίαν AM 8 ἔστι (alterum) CR: ἔσται AM 9. 10 αὐτῶν ex αὐτῷ utrobique corr. R² 10 ἔσται AMR: ἐστὶ C 12 τούτων A: τουτούτων (sic) M: τούτου CR 13 κοινὸν ex κοινῶν corr. A 14 ἐγκέκλιται corr. Sahune: ἐγκέκλησται codd. 18 ἡ AM: εἰ CR 19 δηλοῖ ex δηλῷ corr. R² 20 post δέκα add. κατηγοριῶν del. A μαρτηρεῖ R αὐτῇ AM: αὐτῷ CR 21 ὁμώνυμον CR: del. M: om. A

ΔΕΞΙΠΠΟΥ ΦΙΛΟΣΟΦΟΥ ΠΛΑΤΩΝΙΚΟΥ ΤΩΝ ΕΙΣ ΤΑΣ ΑΡΙΣΤΟ- 43
ΤΕΛΟΥΣ ΚΑΤΗΓΟΡΙΑΣ ΑΠΟΡΙΩΝ ΤΕ ΚΑΙ ΛΥΣΕΩΝ ΔΕΥΤΕΡΟΝ

Κεφάλαια τοῦ δευτέρου βιβλίου.

α. Πότερον διαίρεσίς ἐστιν ἢ καταρίθμησις εἰς τὰς κατηγορίας.
β. Πλωτίνου ἀπορία, ὅτι τὸ αὐτὸ οὐ σημαίνει ἡ οὐσία ἐπί τε τῶν πρώτων ὄντων καὶ ὑστέρων οὐκ ὄντος γένους κοινοῦ ἐν οἷς τὸ πρῶτον καὶ ὕστερον.
γ. Ὅτι κατὰ τὰς Πλατωνικὰς ὑποθέσεις δύναται εἶναι αὕτη ἡ ἀπάντησις, κατὰ δὲ τὰς Ἀριστοτέλους χρὴ λῦσαι τὸ ἀπορούμενον.
δ. Πλωτίνου ἀπορία, εἰ τὰ αὐτά ἐστι γένη τῶν ὄντων ἔν τε τοῖς νοητοῖς καὶ τοῖς αἰσθητοῖς.
ε. Ἀπορία Πλωτίνου πρὸς Ἀριστοτέλην, τί κοινὸν ἐπὶ τῆς ὕλης καὶ τοῦ εἴδους καὶ τοῦ ἐξ ἀμφοῖν συνεωρακὼς πάντα οὐσίας εἶναι λέγει.
ς. Ἀπορία Πλωτίνου περὶ τῆς οὐσίας, τίς αὐτῆς ἡ πρώτη καὶ ἁπλουστάτη ἔννοια καὶ πῶς ἔνεστιν αὐτὴν ἐξηγεῖσθαι.
ζ. Ἀπορία Πλωτίνου, διὰ τί ἡ οὐσία προτάττεται τῶν ἄλλων.
η. Ὅτι ὁ ἀποδοθεὶς περὶ αὐτῆς λόγος οὐ διδάσκει, τί ἐστιν ἡ οὐσία.
θ. Ὅτι τὸ ἴδιον τῆς οὐσίας πᾶσιν ἐφαρμόζει.
ι. Πῶς νῦν μὲν προτάττει τὴν οὐσίαν τὴν αἰσθητὴν τῶν ἄλλων καὶ πρώτην λέγει, ἀλλαχοῦ δὲ μετὰ τὴν ἀσώματον ταύτην τάττει;

1. 2 tit. hic exhibent CR: ante huius libri caput primum (p. 39,1) transp. AMs 2 δεύτερον] β′ AM: oblitt. R: βιβλίον β′ C: τὸ δεύτερον s ex Sahunii coni. (cf. p. 1. 75 Sp.) 3 βιβλίου CR: λόγου AM 4 εἰς τὰς κατηγορίας CR: ἐν ταῖς κατηγορίαις AM 5 ἡ AMR: om. C 6 ὑστέρων AM: ὑστέρου CR 7 πρῶτον καὶ ὕστερον CR: πρότερον καὶ τὸ ὕστερον AM 8 ἡ AM: om. CR 8. 9 post ἀπάντησις add. εἶναι AM: om. CR 12 πλωτίνου ex πρωτίνου corr. C 13 συνεωρακὼς CR: ἑωρακὼς AM εἶναι CR: om. AM 15 πῶς AM: ποῦ CR 16 πλωτίνου ἀπορία colloc. AM προτάττεται CR: προτέτακται AM 17 περὶ CR: ὑπὲρ M: om. supra scr. A ἡ AMR: om. C (cf. v. 5) 19 μὲν supra scr. A προττάττει C 20 ταύτην CR: αὐτὴν AMs τάττει coni. Spengel (cf. p. 44,33): ἄγει CR: λέγει AMs

ια. Ὅτι δοκεῖ ὑπεναντία λέγειν ἑαυτῷ ἐν μὲν τοῖς Φυσικοῖς τὰ κοινὰ 44
προτάττων ὡς πρῶτα, ἐνταῦθα δὲ τὰ καθ' ἕκαστα.

ιβ. Περὶ τῶν κοινῶν πρὸς Ἀλέξανδρον ἀντιλογία.

ιγ. Ὅτι πρῶτον ἔδει τὴν αἰτίαν εἰπεῖν, δι' ἣν δεύτεραι λέγονται οὐσίαι. 5

ιδ. Ὅτι μὴ δείξας τὴν πρώτην οὐσίαν μὴ οὖσαν μᾶλλον καὶ ἧττον τὰ εἴδη μᾶλλον καὶ ἧττον λέγει.

ιε. Εἰ οὐδεμία οὐσία μᾶλλον καὶ ἧττον, πῶς τὸ εἶδος τοῦ γένους μᾶλλον οὐσία.

ις. Ὅτι εἰ τὸ αἴτιον τῆς αἰσθητῆς οὐσίας λαμβάνει, τὴν ἧττον οὐσίαν 10
λαμβάνει.

ιζ. Ὅτι τὴν γενικὴν οὐσίαν οὐχ ὡρίσατο.

ιη. Ὅτι οὐ διήρηκε τὰς οὐσίας.

ιθ. Ὅτι τὸ φανερὸν δὲ ἐκ τῶν εἰρημένων οὐκ ἔχει δῆλον ποίων 15
εἰρημένων.

κ. Ὅτι χρήσιμος ἡ περὶ τῶν διαφορῶν θεωρία.

κα. Ἀπορία περὶ τῆς διαφορᾶς ποῦ αὐτὴν χρὴ τάττειν.

κβ. Ἀπορία περὶ τοῦ μὴ λέγεσθαι τὰς διαφορὰς καθ' ὑποκειμένου.

κγ. Πῶς εἰπὼν δοκεῖ πάσῃ οὐσίᾳ ὑπάρχειν τὸ τόδε τι λέγεσθαι 20
ἐπήγαγεν ἑξῆς οὐ μὴν ἀληθές γέ ἐστι τοῦτο;

κδ. Εἰ μηδέν ἐστι τῇ οὐσίᾳ ἐναντίον, πῶς τὸ λογικὸν ζῷον τῷ ἀλόγῳ ἐναντίον ἐστί;

κε. Πῶς, εἰ μηδέν ἐστι τῇ οὐσίᾳ ἐναντίον, τὸ πῦρ τῷ ὕδατι καὶ τὰ ἄλλα στοιχεῖα ἐναντία λέγει Ἀριστοτέλης;

κς. Ὅτι δύναται ὁ ἄνθρωπος τῷ ἵππῳ εἶναι ἐναντίον ἢ ὁ τὶς ἄνθρωπος 25
τῷ τινὶ ἀνθρώπῳ. |

κζ. Πῶς, εἰ μηδέν ἐστι τῇ οὐσίᾳ ἐναντίον, τὸ εἶδος τῇ στερήσει λέγει 45
ἐναντίον ἐν τοῖς Φυσικοῖς καὶ τὴν ὕλην τῷ εἴδει;

κη. Ὅτι τὸ μηδὲν τῇ οὐσίᾳ ἐναντίον ἐπὶ μὲν τῶν καθ' ἕκαστα δέδεικται, ἐπὶ δὲ τῆς οὐσίας οὐ δέδεικται.

κθ. Πῶς προειπὼν τὸ εἶδος μᾶλλον οὐσίαν τοῦ γένους νῦν φησιν οὐκ 5
ἐπιδέχεσθαι τὴν οὐσίαν τὸ μᾶλλον καὶ τὸ ἧττον;

λ. Ὅτι ὁ μᾶλλον λογικὸς μᾶλλόν ἐστιν ἄνθρωπος.

---

2 προτάττων AM: προστάττων CR ὡς scripsi: καὶ libri (cf. p. 45,4) 4 ὅτι om. C ante πρῶτον III litt. eras. R 5 τὴν CR: om. AM (cf. p. 45,33)

7 τὸ εἶδος τοῦ γένους CR: τὸ τοῦ εἴδους γένος A: τὸ γένος τοῦ εἴδους M (cf. p. 46,18) 12 οὐ AM: om. CR 13 δὲ CMR: om. A 16 αὐτὴν AM: αὐτῶν CR 18 ὑπάρχειν AM: ὑπὸ CR τὸ CR: om. AM 19 ἑξῆς CR: ἐφεξῆς AM τοῦτό ἐστιν colloc. A 22 πῶς ante τὸ πῦρ transp. AM 23 ante Ἀριστ. add. ὁ A: om. CMR 24 ἐναντίος C τὶς] τὶ R[1] (corr. m.[2]) 26 πῶς ante τὸ εἶδος transp. AM τῇ (alterum) AM: om. CR (cf. p. 63,15 Sp.) 28 ὅτι CR: om. AM ante τῇ οὐσίᾳ add. οὐ CR: om. AM: conicias εἶναι (cf. p. 64,7 Sp.) 29 ἐπὶ δὲ τῆς οὐσίας οὐ δέδεικται CR[2]: ἐπὶ δὲ τῶν καθ' ἕκαστα οὐ .....κται (δέδει oblitt.) R[1]: ἐπὶ δὲ τῶν καθόλου οὐ As: ἐπὶ δὲ τῶν καθόλου οὐ δέδεικται M

λα. Πῶς ἡ ὕλη μᾶλλον καὶ ἧττον λέγεται;

λβ. Τίς ἡ αἰτία τοῦ τὴν μὲν οὐσίαν μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, τὰς δὲ ποιότητας ἐπιδέχεσθαι;

λγ. Διὰ τί προσέθηκε τὸ δοκεῖ τὸ ἴδιον τῆς οὐσίας ἀποδιδούς;

λδ. Διὰ τί προσέθηκε τὸ ἓν ἀριθμῷ τῷ τῆς οὐσίας ἰδίῳ;

λε. Ὅτι βουλόμενοι κατασκευάσαι πάσῃ τῇ οὐσίᾳ ὑπάρχον τὸ τῶν ἐναντίων ἀνὰ μέρος αὐτὴν εἶναι δεκτικήν, λανθάνομεν κατασκευάζοντες ἕτερον χεῖρον τὸ μὴ μόνῃ αὐτῇ ὑπάρχειν.

λς. Ὅτι ὁ πατὴρ δέχεται τὰ ἐναντία οὐσία ὤν· νοσεῖ γὰρ καὶ ὑγιαίνει.

λζ. Ὅτι ἐπὶ τῶν ἀιδίων οὐσιῶν οὐχ ἁρμόζει τοῦτο τὸ ἴδιον.

λη. Εἰ ὥσπερ τὸ γένος καὶ τὸ εἶδος αὐτὸ καθ' αὑτὸ οὐκ ἐπιδέχεται ἐναντία, οὕτως οὐδὲ αἱ ἕξεις καὶ διαθέσεις ἀλλὰ τὰ ὑπ' αὐτὰ αἰσθητά, οὐκ ἂν εἴη ἴδιον τῆς οὐσίας τὸ τῶν ἐναντίων ἀνὰ μέρος εἶναι δεκτικόν· ὅπερ γὰρ ἐπὶ τῆς ἕξεως καὶ διαθέσεως τῆς γενικῆς, τοῦτο καὶ ἐπὶ τῶν γενικῶν οὐσιῶν θεωρεῖται, καὶ | οὕτως 46
κοινὸν ἔσται καὶ πρὸς ἄλλα τὸ μὴ εἶναι τῶν ἐναντίων ἀνὰ μέρος δεκτικά.

λθ. Πλωτίνου ἀπορία, ὅτι τὸ εἶναι τῶν ἐναντίων ἀνὰ μέρος δεκτικὸν ὡς συμβεβηκὸς τῇ οὐσίᾳ ὑπάρχει.

μ. Πλωτίνου ἀπορία, ὅτι εἰ κατὰ τὸ σύνθετον θεωροῦμεν τὴν οὐσίαν, εὑρίσκεται ἡ ὕλη μᾶλλον οὐσία.

μα. Ὅτι οὐ μόνον τῆς οὐσίας ἴδιον τοῦτο, ἀλλὰ καὶ τοῦ λόγου καὶ τῆς δόξης.

μβ. Ἀπορία Πλωτίνου, ὅτι αὐτὴν τὴν οὐσίαν τίς ἐστιν οὐ παρίστησι τὸ λεγόμενον αὐτῆς ἴδιον.

---

2 τοῦ CR: om. AM 2. 3 τὸ ἧττον AMR: ἧττον C 3 ἐπιδέχεσθαι CMR: δέχεσθαι A 4 δοκεῖ AMR: δοκεῖν C ἴδιον CR: ῥάδιον AM 5 τὸ ἓν ἀριθμῷ coni. Spengel; τὸ τῶ ἀριθμῶ libri (cf. p. 67,19) post ἰδίῳ; add. Διὰ τί προσέθηκε τὸ (τὸ om. A) τῷ ἀριθμῷ τῷ τῆς οὐσίας εἴδει; AM, nota γράφεται appicta CR: uncinis inclus. s 6 ὅτι βουλόμενοι CR: ἑλόμενοι AM 7 αὐτὴν εἶναι δεκτικήν CR: αὐτῇ δεκτικόν AM: αὐτὴν δὲ δεκτικήν s 8 μόνῃ AM: μόνον CR 9 τὰ ἐναντία CR: τὸ ἐναντίον AM 10 ὅτι CR: om. AM 11 οὐκ CMR: om. A 12 ἐναντία CMR: ἐναντίον A: an ⟨τὰ⟩ ἐναντία? 13 ἴδιον CR: om. AM 14 δεκτικόν AMR: δεκτικήν C 16 καὶ πρὸς iter. M 18 post ἀπορία add. εἰ κατὰ σύνθετον (cf. v. 20) del. A δεκτικὸν M^2R: δεκτικὰ M^1: δεκτικὴν AC 19 συμβεβηκὸς τῇ οὐσίᾳ ὑπάρχει del. M 20 ὅτι CR: om. AM τὴν οὐσίαν θεωροῦμεν colloc. AM

Μέχρι μὲν τούτων, ὦ φιλομαθέστατε Σέλευκε, τὰ μέν τινα τοῖς 47
παλαιοῖς ἀνδράσιν ἠπορημένα προβέβληκας, τὰ δὲ καὶ αὐτὸς ἐξεύρηκας· τὸ δὲ ἐντεῦθεν ἐπ' αὐτὰ μέλλω ἔρχεσθαι τὰ γένη τῶν κατηγοριῶν. πό- 5
τερον χωρίσαι βούλει τὰς ἀπορίας τοῦ Πλωτίνου καὶ τελευταίας τάξαι ἢ
5 κατὰ τὴν ἐφεξῆς τῶν ἐδαφίων ἀκολουθίαν κἀκείνας παρατιθέναι;

α. Ἀλλ' ἔμοιγε δοκεῖ μηδαμῶς τὴν συνέχειαν διακόπτειν, ἀλλ' ἐφεξῆς ἐξετάζειν τὰ συμπίπτοντα. μέλλων τοιγαροῦν ἀπὸ τῆς οὐσίας ἄρχεσθαι 10
περὶ τῶν κατειλεγμένων τούτων κατηγοριῶν πρῶτον ἐρωτῶ, πότερον ὡς διῃρημένων αὐτῶν ἢ ὡς ἀριθμουμένων διανοῇ.

10 Διῃρῆσθαι μὲν αὐτὰς οὐ νομιστέον· οὐδὲ γάρ ἐστι τομὴ γένους εἰς εἴδη. οὔτε γάρ ἐστί τι κοινὸν γένος τῶν δέκα κατηγοριῶν, ὁποῖον εἰσάγουσί τινες τὸ ὂν ἢ τὸ τί, οὔτε μὴ ὄντος τοῦ διῃρημένου γένους εἴη 15
ἂν τὰ διαιροῦντα. εἰ δὲ μήτε γένος κοινὸν ἐπὶ τῶν ἀνωτάτων γενῶν οἷόν τέ ἐστι λαβεῖν μήτε τὰς διαιρετικὰς διαφοράς, οὐκ ἔστι διαίρεσιν καλεῖν
15 τὴν τοιαύτην ἀπαρίθμησιν.

Ἆρ' οὖν τοῖς ἐπὶ στρατιᾶς ἔοικεν ἡ διαίρεσις οἷον τοῖς κατὰ λόχους συντεταγμένοις; καὶ γὰρ ἐκεῖ ἑκάστου λόχου ἕκαστος λοχαγὸς | 20
ἐξηγεῖται, καὶ ἐνταῦθα ἡ μὲν οὐσία τῶν οὐσιῶν, αἱ δ' ἄλλαι κατηγορίαι 48
τῶν ὑφ' ἑαυτὰς τὸ κῦρος τῆς ἡγεμονίας προειλήφασιν;

20 Ἀλλ' ἐὰν τοῦτο λέγωμεν, διεσπαρμένον τι πλῆθος ἔσται τὸ τῶν ὄντων καὶ ἐοικὸς τοῖς ἐκ διεστηκυιῶν φυλῶν καὶ φρατριῶν συναγο- 5
μένοις εἰς ἓν δήμοις. τοῦτο δὲ τὴν συνέχειαν καὶ ἀλληλουχίαν ἀναιρεῖ τῆς διακοσμήσεως. βέλτιον οὖν ἀφορίζεσθαι μὲν τὰ γένη κατά τινας πρώ-

3. 4 πότερον CR, ex πρότερον corr. M: πρότερον A 4 χωρίσαι AM: χωρῆσαι CR τοῦ Πλωτ. ACR: τὰς Πλωτ. M τελευταίας AMR: τελευταῖον C 5 παρατιθέναι CMR: περιτιθέναι A 7 ἀπὸ CR: om. AM 8 περὶ CR: ἀπὸ AM 9 διῃρημένων CR: διαιρουμένων AM 10 οὐδὲ] οὔτε coni. Spengel τομὴ] τὸ μὴ CR 11 οὔτε] οὐ coni. Spengel, sed οὔτε tuetur Simpl. (f. 15r31) 13 κοινὸν γένος colloc. A ἀνωτάτων CR: ἀνωτάτω AMs (cf. Porph. p. 121,24. 128,12) 16 στρατιᾶς R Simpl.: στρατείας ACM 16. 17 κατὰ λόχου C 18 ἐνταῦθα CR: om. AM 20 διεσπαρμένον CR: διεσπασμένον AM τὸ] τὲ A 21 διεστηκυιῶν scripsi: διεστηκότων codd. s φατριῶν M 21. 22 συναγομένοις CR mrg. A mrg. M: συγκειμένοις AM 22 εἰς ἓν δήμοις CMR: ἐνδήμοις A

τας ἰδιότητας τῶν κατηγοριῶν καὶ περιγράφειν αὐτῶν τῆς ὑποστάσεως τὸν λόγον ἑκάστης καθ' ἑαυτὴν καὶ ταύτῃ διιστάναι αὐτὰς χωρίς. πάλιν γε μὴν καθόσον περὶ τὴν οὐσίαν εἰσὶ τὰ συμβεβηκότα καὶ ἐν τῇ οὐσίᾳ καὶ συντάττεται πρὸς αὐτὴν ὁμολογουμένως, κατὰ τοσοῦτον ἀφομοιωτέον αὐτὰ τοῖς ἀφ' ἑνὸς καὶ περὶ ἓν συνταττομένοις.

Τί οὖν, μερισμῷ προσέοικεν ὡς ὅλου;

Οὐδαμῶς· οὐ γὰρ περιγράφει τὸ τοῦ οἱονεὶ συγκρίματος σύστημα κατά τινα ἴδια μέρη, ἀλλὰ ἀναλύει ἐπὶ τὰ ἁπλούστερα καὶ στοιχειώδη ταῖς ἀποδιαλήψεσι τῶν ἐπινοιῶν στοιχειωδεστέραις ἀεὶ χρωμένη. τάξιν μέντοι διασώζει τὴν πρὸς ἓν καὶ ⟨περὶ⟩ ἓν καὶ ἀφ' ἑνός, ὥσπερ καὶ ἐν τοῖς οὖσιν ἡ οὐσία τὴν πρώτην καὶ κυριωτάτην τάξιν εἴληφε, περὶ δὲ αὐτὴν τὰ συμβεβηκότα ὑφέστηκε.

β. Περὶ μὲν δὴ τούτων οὕτως· ἃ δὲ πρῶτον ἀπορεῖ Πλωτῖνος, ἐπισκεψώμεθα. ἀπορεῖ γὰρ διττῆς οὐσίας ὑπαρχούσης νοητῆς τε καὶ αἰσθητῆς πῶς γένος δύναιτ' ἂν γενέσθαι τὸ αὐτό· τί γὰρ κοινὸν ἐν ἀμφοτέροις τούτοις ἐν τῷ εἶναι ὑπάρχει; εἰ δὲ καὶ ἔστιν, ἔσται πρότερον ἄλλο τούτων, ὅπερ οὔτε σῶμά ἐστιν οὔτ' ἀσώματον· ἔσται γὰρ ἢ τὸ ἀσώματον σῶμα ἢ τὸ σῶμα ἀσώματον.

Ἔστι μὲν οὖν πρὸς ταῦτα ῥᾴδιον ἀντειπεῖν, ὅτι παρὰ τὴν πρό|θεσιν 49 τὰ ἀπορήματα ταῦτα προσάγεται. οὔτε γὰρ περὶ τῶν ὄντων οὔτε περὶ τῶν γενῶν τῆς πρώτης οὐσίας νῦν αὐτῷ πρόκειται λέγειν· στοχάζεται γὰρ τῶν νέων τοῖς ἁπλουστέροις ἐπακολουθεῖν δυναμένων. ὥστ' ἐπεὶ περὶ λέξεώς ἐστιν αὐτῷ νῦν ἡ σπουδή, αἷς τὸ κατ' οὐσιῶν λέγεσθαι ὑπάρχει, μάτην ἐν τῇ περὶ τούτων σκέψει ἐπεισάγει τὰς περὶ τῶν ὄντων ζητήσεις ὁ Πλωτῖνος. οὐ μὴν ἔμοιγε δοκεῖ διακρούεσθαι οὕτωσὶ τὴν πρὸς τὸ παρὸν εὖ τιθεμένην μόνον τοῦ λόγου διέξοδον, ἀλλ' ἀπ' αὐτῆς ἄρχεσθαι τῆς Πλωτίνου φιλοσοφίας καὶ πρὸς τὴν ὅλην αὐτοῦ θεωρίαν ἀναφέρειν καὶ τὴν τῶν παρόντων λόγων διέξοδον. ἓν γὰρ δὴ γένος τὴν οὐσίαν ἐν τοῖς νοητοῖς οὗτος τίθεται ὡς κοινῇ τὸ εἶναι παρέχουσαν τοῖς ἀσωμάτοις εἴδεσι καὶ ὡς τοῖς αἰσθητοῖς ἅπασι καὶ τοῖς ἐνύλοις εἴδεσι τὸ εἶναι ἐνδιδοῦσαν. εἰ δὲ τοῦτο οὕτως ἔχει καὶ διατείνει δι' ὅλων ἡ τῆς οὐσίας ἀρχὴ ἡ αὐτὴ τάξιν ἔχουσα πρώτην καὶ δευτέραν καὶ τρίτην, καθ' ἃς τοῖς μὲν πρώτως τοῖς δὲ

---

1 τὸν ex τῶν corr. R^2 1. 2 ἑκάστης τὸν λόγον colloc. AM 2 καθ' ἑαυτὴν ex περὶ αὐτὴν corr. M διιστάναι coni. Spengel: διεστάναι libri 3 εἰσὶ] ἐστὶ Simpl. (fort. recte) 3. 4 καὶ ἐν τῇ οὐσίᾳ ὑφίσταται Simpl. (fort. recte) 4 ἀφομοιοτέον M 7 περιγράφει AM: παραγράφει CR (cf. p. 7, 19) 9 ἀποδιαλήψεσι CR: διαλήψεσι AMs 10 περὶ inserui (cf. v. 5) 11 εἴληφε τάξιν colloc. AM 13 ἀπορεῖ Πλωτῖνος] cf. Enn. VI lib. I, 2 (p. 567) lib. III, 2 (p. 617) 13. 14 ἐπισκεψώμεθα CR: σκεψώμεθα AM 14. 15 αἰσθητῆς ex αἰσθητοῖς corr. A 16. 17 τούτων ἄλλο colloc. AM 17 γὰρ om. M 21 γὰρ CR: om. AM 22 ante δυναμένων add. οὐ C: om. AMR 23 αὐτῷ νῦν ἐστιν colloc. AM 26 τιθεμένην] τιθεμένῳ coni. Spengel; id aut τιθέμενον reponas διέξοδον τοῦ λόγου colloc. AM 30 ἅπασι ex εἴδεσι corr. A εἴδεσι in ras. C 31 τάξιν s Felic.: τάξις codd. 32 πρώτων, δευτέρων καὶ τρίτων AM πρώτως AMR: πρώτοις C

ἄλλον τρόπον παρέχει τὸ εἶναι· ὥστε εἰ πάντα ἀνήκει εἰς αὐτὴν ὡς ἀπ' αὐτῆς ἠρτημένα, δύναται ἡ ταύτης ὑπογραφὴ ἐμφαίνειν καὶ τὴν πρώτην ἀρχήν, ἀφ' ἧς εἰς τὴν ἐσχάτην ὕφεσιν αὕτη πέπτωκεν.

γ. Ἀλλ' εἰ ταῖς αὐταῖς ὑποθέσεσιν Ἀριστοτέλης ἐχρῆτο, αἷς καὶ Πλωτῖνος, εἶχεν ἄν τινα δοκοῦντα τὰ εἰρημένα λόγον· νῦν δὲ τὰ ἐκείνῳ δοκοῦντα ὡς ὁμολογούμενα προσλαβὼν διαγωνίζει ὑπὲρ Ἀριστοτέλους.

Οὐκοῦν πρὸς ταύτην τὴν ζήτησιν τοῖς εἰρημένοις ἐν τῇ Μετὰ τὰ φυσικὰ πραγματείᾳ χρήσομαι. εἰσὶ γὰρ δύο οὐσίαι κατ' Ἀριστοτέλην αὗται, ἡ νοητὴ καὶ ἡ αἰσθητή, καὶ μέση τούτων ἡ φυσική· αἰσθητὴ μὲν ἡ σύνθετος, φυσικὴ δὲ ἡ κατὰ τὸ εἶδος καὶ τὴν ὕλην, ἡ δὲ τούτων ἀνωτέρω ἡ νοερὰ καὶ ἀσώματος, ἣν ἀκίνητον μὲν κινητικὴν δὲ καλεῖ πολλάκις ὡς τῆς εἰδοποιουμένης κατὰ τὴν ζωὴν κινήσεως αἰτίαν οὖσαν. ταῦτα γὰρ περὶ τούτων τῶν οὐσιῶν Ἀριστοτέλης ἀποδείκνυσιν ἐν τῷ | A τῶν Μετὰ τὰ φυσικά, καὶ τούτῳ συνείληφε τὰς πολλὰς οὐσίας εἰς τὴν ὅλην οὐσίαν. ὑπέθηκε δὲ αὐτὰς ὁμοῦ πρὸς μίαν σύνταξιν καὶ πρὸς μίαν ἀρχὴν ἀνήγαγε. κομιδῇ γὰρ ἄλλο γέ τι τοῦ ἑνὸς μεθέξει, εἰ αὐτὴ ἡ οὐσία ἡ τὸ εἶναι ἐν τῷ ἑνὶ ἔχουσα ἀποστερηθήσεται τῆς πρὸς τὸ ἓν ἀναγομένης συντελείας. ἀρρήτων τοίνυν ὄντων τῶν νοητῶν κατὰ μεταφορὰν καὶ ἀναλογίαν ἀπὸ τῶν κατ' αἴσθησιν γνωρίμων χρῆται τῷ τῆς οὐσίας ὀνόματι. τριχῶς γὰρ τοῦ αὐτοῦ ὀνόματος πάντα μετέχει, ἢ ὁμωνύμως ἢ συνωνύμως ἢ τοῦ μὲν κυρίως τοῦ δὲ κατὰ μεταφοράν, καὶ ὁμωνύμως μὲν ὡς ὁ πους τοῦ ὀργάνου πρὸς τοὺς ἄλλους τῶν ὀργάνων πόδας, συνωνύμως δὲ ὡς μάχαιρα μαχαίρας ὀξυτέρα λέγεται καὶ φωνὴ φωνῆς (μάχαιρα δὲ φωνῆς ὀξυτέρα οὐ λέγεται, ἐπειδὴ ἄλλο τὸ ὀξὺ ἐν ἑκατέρᾳ), κυρίως δὲ καὶ κατὰ μεταφορὰν ὡς ἐπὶ τοῦ ποδὸς τοῦ τε ἡμετέρου καὶ τῶν ὀρῶν· ἀρρήτων οὖν ὄντων ὥσπερ μεταφορᾷ κέχρηται τῷ τῆς οὐσίας ὀνόματι, ἀπὸ τῶν αἰσθητῶν καὶ τῶν κατειλημμένων ἡμῖν τὰ ἀκατάληπτα γνωρίζων. ὡς μὲν γὰρ πρὸς τὴν νοητὴν ἔσται ὁμώνυμος αὕτη τῇ ἀναλογίᾳ μόνῃ τὴν ἔμφασιν αὐτῆς παρέχουσα. ὡς δὲ πρὸς τὴν φυσικὴν συνώνυμος τῷ ἑαυτῆς συνθέτῳ ἐκείνην ἐμφαίνουσα. ὥσπερ γὰρ ἐν τοῖς Μετὰ τὰ φυσικὰ σῶμα ἀσώματόν τινα λέγει οὐσίαν, διότι μὲν ἀπὸ τῆς νοερᾶς προελήλυθεν, ἀσώματον αὐτὴν ὀνομάζων, διότι δὲ εἰς αἰσθητὴν ἤδη κεκίνηται, τὸ σῶμα εἶναι αὐτῇ προσμαρτυρῶν, οὕτω καὶ ταύτην τὴν οὐσίαν πρὸς μὲν τὴν φυσικὴν συνώνυμον,

---

2 πρώτην CMR: ταύτης A 3 εἰς] εἰ R ταῖς αὐταῖς Brand. (50a25): ταύταις ACMRs 4 ὑποθέσεσιν AM: ὑπόθεσιν CR 6 προσλαβὼν CR: προλαβὼν AM διαγωνίζεται Brand. 7. 8 ἐν τῇ Μετὰ τὰ φ. πρ.] cf. Λ 1 p. 1069a18 8 δύο] τρεῖς ex Aristotele coni. Spengel, sed δύο tuetur Simpl. f. 19v3 (ὁ Ἀρ..... δύο οὐσίας εἰπών, τήν τε νοητὴν καὶ τὴν αἰσθητήν, καὶ τρίτην τὴν μαθηματικὴν ἢ τὴν ψυχικήν) neque abhorret ab Aristotele 9 ἡ αἰσθητή (prius) AM Simpl.: αἰσθητή CRs 11 ἀνωτέρω CR ex ἀνωτέρα corr. M: ἀνωτέρα A 11. 12 πολλάκις καλεῖ colloc. C 13 τῷ CR: om. AM 17 ἓν ex ὄν corr. A 25 ὀρῶν A 26 μεταφορὰ AM 28 μόνῃ s 29 συνώνυμος C: συνώνυμον Rs: om. AM 30 ἐν τοῖς Μετὰ τὰ φ.] locum non inveni σῶμα CMR: om. A 31 ἀσώματον CMR: om. A 32 ⟨τὴν⟩ αἰσθητὴν coni. Diels (recte)

πρὸς δὲ τὴν νοητὴν ὁμώνυμον λέγων διὰ ταύτης κἀκείνας διδάσκει. καὶ μάλισθ' ὅτι ἡ περὶ αὐτῆς ὑπογραφή, τὸ μήτε καθ' ὑποκειμένου μήτε ἐν ὑποκειμένῳ, δύναται κἀκείναις ἐφαρμόσαι. ἐγὼ μὲν οὖν, ὦ καλὲ κἀγαθὲ Σέλευκε, δογματικώτερον πρὸς Πλωτῖνον ἀπαντῶ, σὺ δὲ ἐπεὶ βαθύτεραί πώς εἰσιν αἱ λύσεις αὗται, πρὸς μὲν τοὺς ἐκ φιλοσοφίας ὁρμωμένους ταῖς τοιαύταις ἀπαντήσεσι χρῶ, πρὸς δὲ τοὺς ὀλίγα ἐπισταμένους τῶν δογμάτων ταῖς προχείροις χρῶ διαλύσεσιν, ἐκεῖνο λέγων, ὅτι περὶ πόδα ποιεῖσθαι ἔθος τὰς ἀκροάσεις Ἀριστοτέλει. διὸ καὶ νῦν οὐδὲν ἔξωθεν ἐπεισάγει τῶν 51 ἀνωτέρω κειμένων φιλοσοφημάτων, ἀλλ' ὡς ὁμωνύμῳ χρῆται τῇ οὐσίᾳ προηγούμενον μὲν ἔχων τὸν σκοπὸν περὶ τῶν λέξεων, κατὰ συμβεβηκὸς δὲ καὶ ταῦτα καὶ τὰ ὑπ' αὐτῶν σημαινόμενα πράγματα συνεκδιδάσκων, ὥστ' οὐ χρὴ τὰς περιττὰς περὶ τούτων ἐπεισάγειν ζητήσεις.

δ. Τοῖς αὐτοῖς οὖν χρησόμεθα λόγοις καὶ ὅταν ἀπορῇ Πλωτῖνος, πότερον τὰ αὐτά ἐστι γένη τῶν κατηγοριῶν ἐπὶ τῶν πρώτως ὄντων καὶ ἐπὶ τῶν ὑστέρων, ἢ ἐν μὲν τοῖς νοητοῖς πλείω ἐν δὲ τοῖς αἰσθητοῖς ἐλάττω ἢ ἀνάπαλιν.

Ὅμοιον μέν, ὦ Σέλευκε, τὸ ἀπόρημα τῷ περὶ τῆς οὐσίας, ὥστε καὶ τὴν λύσιν ἀπὸ τῆς προθέσεως τῶν κατηγοριῶν ἀπολογίζου. γένοιτο δ' ἂν καὶ ἑτέρα διάλυσις ἑπομένη τῇ δόξῃ, ἣν ἐν τῇ Μετὰ τὰ φυσικὰ Ἀριστοτέλης ἐκτέθειται. δέκα γὰρ ὄντων τῶν ὅλων γενῶν ἐν μὲν τοῖς συνθέτοις πάντα εἶναι ἀποφαίνεται, οὐχ ἥκιστα καὶ ἐν αὐτῷ τούτῳ τὴν σύνθεσιν παρεχομένοις τῷ καὶ ἐν τοῖς κατὰ μέρος ἅπαντα ἐνεῖναι (προσθήκη γὰρ καὶ πλεονασμὸς ἐν τοῖς σώμασιν ἀεὶ συνεμφαίνεται)· ὥστ' ἐν μὲν τοῖς αἰσθητοῖς εἰσιν αἱ δέκα κατηγορίαι, διόπερ δὴ καὶ ἐν τῷ Σωκράτει ταύτας ἄν τις δείξειεν, ἐπὶ μέντοι τῶν νοητῶν οὐ πάντα ὑπάρχει, ἀλλὰ τὰ τοῖς ἁπλουστάτοις καὶ τελειοτάτοις προσήκοντα γένη. καὶ οὐκ ἔσται διὰ τοῦτο ἐλλείπουσα ἡ διαίρεσις τῶν γενῶν· οὐ γὰρ εἰ μὴ πάντ' ἔστιν ἐκεῖ, ἀτελῶς ἔχει τὰ ὧδε διῃρημένα γένη, ἀλλ' ἐπείπερ καὶ ἐν τοῖς νοητοῖς τὰ πεφυκότα ὑπάρχει καὶ ἐν τοῖς αἰσθητοῖς, πλείονα διὰ τὴν σύνθετον οὐσίαν φαίνεται. διὰ τοῦτο οὐκ ἔστιν ὁ καθόλου τῶν κατηγοριῶν λόγος ἐνδεής.

ε. Πάλιν τοίνυν ὁ Πλωτῖνος τοιαῦτα προσαπορεῖ· ὡς τριχῶς λεγομένης τῆς οὐσίας καὶ ἄλλης ἄλλως τίνα ὑποβάλλει τῇ νυνὶ κατηγορίᾳ, πότερον τὴν ὕλην ἢ τὸ εἶδος ἢ τὴν ἐξ ἀμφοῖν σύνθετον; ἅπασαι γὰρ | οὐ 52

3 κἀκείναις M: κἀκείνας CRs: κἀκείνως A κἀγαθὲ in mrg. suppl. A 5 τοῖς .. ὁρμωμένοις CR 13 καὶ supra scr. C Πλωτῖνος] Enn. VI lib. I, 1 (p. 566) 14 πότερον ἔστι τὰ γένη τῶν κατ. A: πότερον τὰ ἐστι γένη τῶν κατ. M πρώτως Plotin.: πρώτων libri 16 ἐλάττω] ὀλίγα del. et ἐλάττω superscr. M 17 τῷ] τὸ C 19 ἐν τῇ Μετὰ τὰ φ.] cf. Z 3 p. 1029ª 23 20 δέκα γὰρ iter. del. A ante ὅλων add. δέκα del. A 22 ἐνεῖναι ex ἐκεῖναι (?) corr. M 23 ἀεὶ ἐν τοῖς σ. colloc. A 25 τις supra scr. C 27 ἡ διαίρεσις ἐλλείπουσα colloc. AM γενῶν AM: om. CR 28 ὧδε in lit. R² 32 ὁ Πλωτῖνος] Enn. VI lib. I, 2 (p. 567) lib. III, 4 (p. 619) 33 νυνὶ AM: νῦν CRs

δύνανται ὑποτάττεσθαι τοῖς παροῦσι λόγοις· οὐ γὰρ μία οὐδὲ καθ' ἓν αἱ πᾶσαι λέγονται, ὥστε ἢν ἂν ὑποτάξῃ τις, τὰς ἄλλας ἐξ ἀνάγκης παραλείψει.

Ἀλλὰ ὁ τὴν μίαν εἰπὼν καὶ σύνθετον περιέλαβεν ἐν αὐτῇ καὶ τὰς ὡς μέρη περιεχομένας· καθόλου γὰρ μεθ' οὗ τι συναπαρτίζει. οὐκ ἂν εἴη τούτων θάτερον ἐν θατέρῳ· ὥστε κοινωνεῖ μὲν τὰ τρία, τὸ εἶδος λέγω καὶ ἡ ὕλη καὶ τὸ συναμφότερον, κατὰ τὸ μὴ εἶναι ἑτέρου ἀλλ' ἑαυτῶν καὶ κατὰ τὸ μὴ εἶναι ἐν ὑποκειμένῳ. οὐσίαι δέ εἰσιν αἱ τρεῖς ἀπὸ τῆς μιᾶς τῆς συνθέτου πᾶσαι σημαινόμεναι.

ς. Ἀλλὰ δὴ πάλιν ἀπορεῖ Πλωτῖνος οὐκ εἶναι ῥᾴδιον λέγων αὐτὴν τὴν οὐσίαν εἰπεῖν τίς ἐστιν.

Ἀλλ' εἰ βούλει τὴν ἔννοιαν αὐτῆς ἀνευρεῖν, πρόλαβε πρότερον τὴν διὰ τῶν ὀνομάτων διδασκαλίαν, διότι τὰ συγκεχυμένα καὶ ὅλα πρῶτα ἦν εἰς ἐπιβολήν, δεύτερα δὲ τοῦ λόγου καὶ διαρθρώσεως πλείονος δεόμενα. ταῦτα δὴ νυνὶ προστίθησι τὸ μήτε καθ' ὑποκειμένου τινὸς λέγεσθαι μήτε ἐν ὑποκειμένῳ εἶναι ἀποδιδοὺς τῇ οὐσίᾳ ὡς ἰδιότητα. τὸ μὲν οὖν μὴ ἐν ὑποκειμένῳ αὐτὴν εἶναι πρόδηλον (αὕτη γὰρ ὑπόκειται τοῖς ἄλλοις καὶ ἄνευ αὐτῆς τὰ ἄλλα τὸ εἶναι οὐκ ἔχει), τὸ δὲ μὴ καθ' ὑποκειμένου λέγεσθαι οἰκειότατόν ἐστι τῇ ἀτόμῳ οὐσίᾳ. διὰ γὰρ τὸ εἶναι ἀδιαίρετος εἰς εἴδη κατ' οὐδενὸς ὑποκειμένου λέγεται, καθ' ὑποκειμένου δὲ αὐτῆς αἱ δεύτεραι οὐσίαι κατηγοροῦνται. ἡ οὖν καὶ ταῖς οὐσίαις ὑποκειμένη προηγουμένως ἂν εἴη καὶ κυρίως οὐσία, ἐπεὶ μὴ οὐσῶν τούτων οὐδὲν τῶν ἄλλων δύναταί τι εἶναι. τριχῶς δὲ τῆς οὐσίας λεγομένης, ὥσπερ εἰρήκαμεν, νῦν τῆς συνθέτου μνημονεύει, ὕστερον δὲ καὶ περὶ τῶν ὑπολοίπων δύο ποιήσεται λόγον, ὅταν τὰ μέρη τῆς οὐσίας καὶ αὐτὰ εἶναι λέγῃ.

ζ. Ἄξιον δέ φησιν ὁ Πλωτῖνος ἐπιστῆσαι πρῶτον, διὰ τί ἡ οὐσία προτάττεται τῶν κατηγοριῶν. |

Δύο δὴ αἰτίας εὕροι τις ἂν τοῦ πρώτην εἶναι τὴν οὐσίαν· μίαν μέν, 53
διότι ὑπόκειται πᾶσι μόνη· ἄν τε γὰρ τὴν ὕλην λάβῃς, ὑπόκειται τοῖς εἴδεσι, ἄν τε τὸ εἶδος, ὑπόκειται τοῖς συμβεβηκόσι, πανταχοῦ δὲ οἷον ἡ ὑποβάθρα πρῶτον. ἄλλην δὲ αἰτίαν ἀποδίδομεν, ὅτι αὐτὴ μὲν καθ' ἑαυτὴν ὑφίστασθαι ἐπινοεῖται, τὰ δὲ ἄλλα ἐπὶ ταύτης ἢ οὐκ ἄνευ ταύτης. πρότερον δὲ

---

1 τοῖς παροῦσι iter. M 5 μεθ' οὗ γάρ τι ἀπαρτίζει ἕν τι, οὐκ ἔσται θάτερον ἐν θατέρῳ Plotin. (p. 619) 6 τούτων CR: om. AM 8 τὸ AM: τοῦτο CR 10 ἀπορεῖ Πλωτῖνος] ibidem 10. 11 εἰπεῖν ante αὐτὴν transp. A 13 τὰ συγκεχύμενα καὶ ὅλα πρῶτα] cf. Arist. Phys. A 1 p. 184ª21 14 τοῦ] an τὰ? πλείονος M (coni. Sahune): πλείονα ACR δεόμενα AM: om. CR 16 μὲν] μὴ C 21 κατηγοροῦνται CR Simpl. (f. 20v9): λέγονται AM ὑποκειμένη ex προηγουμένη corr. A 22 οὐσία καὶ κυρίως colloc. AM μὴ οὐσῶν ...] ταύτης μὴ οὔσης οὐδεμία τῶν ἄλλων εἶναι δύναται Simpl. (fort. recte) 24 post δύο add. συνθέτων del. A 25 καὶ AM: om. CRs; an καὶ αὐτὰ ⟨οὐσίας⟩? (cf. Porph. p. 88,21) λέγῃ εἶναι colloc. AM 27 ὁ Πλωτῖνος] cf. Enn. VI lib. I, 25 (p. 588) 27 an τῶν ⟨ἄλλων⟩? (cf. Porph. p. 88,4 Simpl. f. 19v2) 30 ἡ CR: om. AMs 31 αὐτὴ AM: αὕτη R: om. C 31. 32 ὑφίστασθαι CR: ὑφίσταται AM

τὸ καθ' ἑαυτὸ ἐξ ἀρχῆς τοῦ μετ' ἐκείνου καὶ οὐκ ἄνευ ἐκείνου· οὕτω καὶ μονὰς δυάδος προτέρα. ὅτι μονὰς καὶ ἄνευ δυάδος, δυὰς δὲ πάντως μετὰ μονάδος.

η. Ἀλλὰ μὴν κἀκεῖνο ἄξιον ἀπορῆσαι, ὡς οὐ διδάσκει, τί ἐστὶν ἡ οὐσία, ἀλλὰ τί οὔ, καὶ ὅτι ποιεῖ τὰ ἄλλα γιγνώσκειν ἥδε, ἑαυτὴν δὲ οὔ, ἐπεὶ καὶ εἴ τις τὸν ἄνθρωπον ἀποδιδοὺς μήτε ἵππον εἴποι μήτε κύνα, ὅ τι μὲν οὐκ ἔστιν εἴρηκεν, ὃ δέ ἐστιν οὐδὲν μᾶλλον ἀφώρισατο διὰ τῆς ἀποφάσεως ἢ ὅτε ἐξ ἀρχῆς ἀόριστος ἦν ὁ ἄνθρωπος· ἐπεὶ οὐδ' ἂν τὸ ἴδιον εἴπῃ τις, ἤδη ἐγνώκαμεν τί ἐστιν, οἷον τὸν ἄνθρωπον γελαστικόν.

Ἀλλὰ πρὸς ταῦτα λεκτέον, ὅτι οὐκ ἔστιν ὅρος ὁ προκείμενος ἀλλ' ὑπογραφή, καὶ ὅτι πολλοὶ ὅροι κατὰ ἀπόφασιν λέγονται, ὅταν γνώριμα ᾖ τὰ καταφασκόμενα· οὕτως γοῦν γνωρίμου γενομένου τοῦ ἀγαθοῦ καὶ κακοῦ τὸ ἀδιάφορον ὁρίζονταί τινες, ὃ μήτε ἀγαθόν ἐστι μήτε κακόν. καὶ ἐν- 20 ταῦθα δὴ οὖν διὰ τοῦτο προεῖπε περὶ τοῦ ἐν ὑποκειμένῳ καὶ καθ' ὑποκειμένου, ἵνα διὰ τῆς ἀποφάσεως αὐτῶν τὴν κυριωτάτην οὐσίαν δηλώσῃ. καὶ οὐκ ἠρκέσθη μόνῃ ἀποφάσει, ἀλλὰ καὶ παράδειγμα προσέθηκεν, ὥσπερ εἴ τις λέγων εἶναι τὸν ἄνθρωπον μήθ' ἵππον μήτε βοῦν προσθείη ἐφεξῆς 'οἷον Σωκράτης'.

θ. Ἀπορεῖ πάλιν ὁ Πλωτῖνος, ὅτι τὸ μίαν οὖσαν τῶν ἐναντίων ἀνὰ μέρος εἶναι δεκτικὴν οὐ πάσαις ἐφαρμόζει οὔτε ταῖς νοηταῖς οὔτε ταῖς φυσικαῖς.

Πρὸς τὸ ἀπόρημα τοῦτο εἴποιμεν ἂν ὅτι οὐ πάσης οὐσίας τὸ | ἰδίωμα 54 παρέθετο. καὶ τοῦτο γνώριμον ἐκ τοῦ ἀρχόμενον μὲν τῆς ὑπογραφῆς τὸ ἔστι προσθεῖναι (λέγει γὰρ οὐσία δέ ἐστιν ἡ μὴ καθ' ὑποκειμένου μήτε ἐν ὑποκειμένῳ), ἑξῆς δὲ ἐπενεγκεῖν ἡ λεγομένη οὐσία, τοῦτ' ἔστιν ἡ ἐν τῇ συνηθείᾳ καὶ περὶ ἧς ἄν τις κατηγορήσειε τουτὶ τὸ ὄνομα· παρὰ μὲν γὰρ τοῖς φιλοσόφοις ἄλλη λέγεται, παρὰ δὲ τοῖς πολλοῖς ἄλλη. περὶ ταύτης οὖν τῆς παρὰ τοῖς πολλοῖς λεγομένης τὸ ἰδίωμα παρέθετο, ὥστε πάσῃ ἂν αὐτῇ ἐφαρμόζοι τῇ συνθέτῳ καὶ τοῖς εἴδεσιν αὐτῆς καὶ γένεσιν.

ι. Ἀλλὰ διὰ τί ἐνταῦθα μὲν πρώτην οὐσίαν τὴν αἰσθητὴν λέγει, ἀλλαχοῦ δὲ δευτέραν ὡς μετὰ τὴν ἀσώματον τεταγμένην;

---

2 ἄνευ om. C 5 τί οὔ scripsi: ποῦ libri (cf. Simpl. f. 21r10 οὐ διδάσκει διὰ τούτων φασιν, τί ἐστιν ἡ οὐσία, ἀλλὰ τί οὐκ ἔστιν) γινώσκειν A 6 εἴποι AMR Simpl.: εἴπῃ C 7 οὐκ CR: om. AM 9 εἴπῃ CR: εἴποι AM 11 ὅρος οὐκ ἔστιν colloc. AM προσκείμενος A 12 ἀπόφανσιν A 13 γοῦν AMR: οὖν C 17 μόνῃ τῇ ἀποφάσει Simpl., quod reponas 18 προσθείην A σωκράτης CM²R Simpl.: σωκράτην A M¹ 19 ὁ Πλωτῖνος] Enn. VI lib. I, 2 (p. 567) extrem. 20 an οὖσαν ⟨τὴν οὐσίαν⟩? 21 εἶναι CMR: om. A 23 scribas ⟨περὶ⟩ πάσης (cf. v. 29) ἰδίωμα ex ἀξίωμα corr. CR 25 μὴ] corrigas μήτε 26 ἐπενεγκεῖν s: ἐπενέγκει CM²R: ἐπενέγκοι AM¹ 28 τοῖς (post γὰρ) CR: om. AM 30 αὐτῇ scripsi: αὕτη ACMR: αὐτῷ s ἐφαρμόζει A²CM²: ἐφαρμόζει A¹M¹R ante τῇ add. καὶ del. M 32 μὲν supra scr. AM post πρώτην add. μὲν del. M

Ὅτι οὐ πρόκειται αὐτῷ περὶ ἐκείνων εἰπεῖν, καὶ ὅτι οὐδὲ λέγονται ἐν τῇ συνηθείᾳ ἐκεῖναι οὐσίαι.

ια. Περὶ δὲ τὸ αὐτὸ ζήτημα κἀκεῖνο στρέφεται, διὰ τί ἐν μὲν τοῖς Φυσικοῖς τὰ κοινὰ προτάττει ὡς πρῶτα, ἐνταῦθα δὲ τὰ καθ' ἕκαστα.

Ὅτι αὐτῷ διχῶς λέγεται τὸ πρότερον καὶ δεύτερον, ἤτοι τῇ φύσει ἢ πρὸς ἡμᾶς. πρὸς ἡμᾶς μὲν οὖν τὰ καθ' ἕκαστα πρῶτα (πρώτοις γὰρ τούτοις προσβάλλομεν), τῇ φύσει δὲ τὰ κοινὰ πρότερον, ὑπὸ γὰρ τὰ καθόλου τὰ καθ' ἕκαστον τέτακται. εἰ μὲν οὖν ἀπὸ τῆς φύσεως ἄρχοιτό τις, τὰ ἁπλᾶ, τὰ αἴτια, τὰ καθ' αὑτὰ παρ' αὐτῶν ἔχοντα τὸ εἶναι, τὰ καθόλου, τὰ ἄυλα, τὰ ἀμέριστα καὶ τὰ τοιαῦτα προτάξει· εἰ δὲ ἀπὸ τῆς σημαντικῆς σχέσεως πρὸς τὰ ὄντα ἡ τάξις αὐτῶν ἐπινοοῖτο, ἐναντίως ταχθήσονται.

ιβ. Ἀλλὰ τί ἂν εἴποιμεν πρὸς τοὺς περὶ αὐτοῦ τούτου διαφισβητοῦντας, μήποτε οὐδὲ φύσει πρότερα ἢ τὰ καθόλου τῶν καθ' ἕκαστον ἀλλὰ ὕστερα;

Ἢ σκοποῦντες ἀκριβῶς εὕροιμεν ἂν τὰ ἀμφισβητούμενα ὡς ὁμολογούμενα αὐτοὺς λαμβάνοντας· ὅταν γὰρ ἑνὸς ἑκάστου πρῶτα φύσει λέγωσι τὰ καθόλου, πάντως δὲ πάλιν ὕστερα, ὑποτιθέμενοι τὰ καθ' ἕκαστα εἶναι καὶ τῇ φύσει πρότερα, οὐ καλῶς ὡς ἐν ἀρχῇ λαμβάνουσιν αὐτὸ ὅπερ δεῖται ἀποδείξεως. ἐπιπόλαια δέ ἐστι καὶ τὰ τοιαῦτα ἐπιχειρήματα· κοινοῦ μὲν ὄντος ἀνάγκη καὶ ἄτομον εἶναι (ἐν γὰρ τοῖς κοινοῖς τὰ ἄτομα περιέχεται). ἀτόμου δὲ ὄντος οὐ πάντως τὸ κοινόν, εἴ γε τὸ κοινὸν ἐπὶ πολλοῖς ὑπάρχει. δῆλον γὰρ ὅτι τὸ καθ' ἕκαστον καταταχθέντος εἰς αὐτὸ τοῦ κοινοῦ καὶ συμπληροῦντος αὐτοῦ τὴν οὐσίαν ἐστὶν ἄτομον· ὁ γάρ τις ἄνθρωπος καὶ ἄνθρωπός ἐστι. ψεῦδος δὲ καὶ τὸ λέγειν, ὡς ἀναιρουμένου τοῦ κοινοῦ οὐ πάντως τὸ ἄτομον ἀναιρεῖται· εἰ γὰρ ἐν τούτῳ ἔχει τὸ κοινὸν τὴν οὐσίαν ἐν τῷ διατείνειν ἐφ' ὅλα τὰ ὑπ' αὐτὸ τεταγμένα, ὁ ταύτην ἀναιρῶν ἀνῄρηκεν εὐθὺς καὶ τοῦ κοινοῦ τὴν ὅλην ὑπόστασιν. οὕτως μὲν οὖν τοῖς περὶ Ἀλέξανδρον καὶ Βόηθον τοῖς τε ἄλλοις Περιπατητικοῖς ἐπιχειροῦσιν ἀποκρίνεσθαι χρή, δεικνύναι δὲ ἐξηγουμένους τὰ Μετὰ τὰ φυσικὰ προσῆκεν, ὅτι τὰ κοινὰ Ἀριστοτέλης προτάττει καὶ ἐν τῇ τῶν αἰσθητῶν θεωρίᾳ.

ιγ. Δοκεῖ δέ τισι μὴ ὀρθῶς ἡ τάξις ἔχειν ἐνταῦθα· ἀκόλουθον γάρ, ὥς φασιν, ἦν πρῶτον εἰπεῖν τὴν αἰτίαν δι' ἣν δεύτεραί εἰσιν οὐσίαι

3. 4 ἐν τοῖς Φυσικοῖς] cf. A 1 p. 184ª23 4 προτάττει C^2MR^2: προστάττει AC^1R^1 5 καὶ τὸ δεύτερον C Simpl. 6 τὰ καθ' ἕκαστον πρότερα Simpl. 7 πρότερον] πρότερα Simpl., quod reponas 8 τὰ καθ' ἕκαστα Simpl. (sed cf. v. 6 not.) 9 αὐτῶν AC 10 ἄυλα C^2 Simpl.: αὐτὰ AMR: ἁπλᾶ C^1 12 τούτου CR: om. AMs 12. 13 ἀμφισβητοῦντας Brand. (p. 50ᵇ15) 13 τὰ καθόλου τῶν CR Simpl.: τῶν καθόλου τὰ AM 16 λαμβάνοντας αὐτούς colloc. AM πρῶτα] πρότερα coni. Spengel (sed cf. v. 4. 6) λέγωσι A^2CMR: λέγονται A^1 17 ἕκαστα ex ἕκαστον corr. M 21 πολλοῖς AMR Simpl.: πολλοῦ C Brand. 24 καὶ (ante τὸ) CR: ἐστὶ AMs 25 τὸ ἄτομον ἀναιρεῖται CR: ἀναιρεῖται καὶ τὸ ἄτομον AMs 28 τε] δὲ Brand. 30 τὰ supra scr. A προσῆκεν] προσήκει coni. Spengel καὶ om. Brand. 32 μὴ CMR: μὲν A 33 οὐσίαι supra scr. C

αἱ δεύτεραι, εἶθ' οὕτως τῶν δευτέρων οὐσιῶν τὴν σύγκρισιν ποιήσασθαι πρὸς ἀλλήλας.

Φαμὲν δὴ ἡμεῖς, ὡς ἔχει τοῦτο προειλημμένον ἐναργῶς ἀπὸ τῆς διαιρέσεως τῶν καθ' ὑποκειμένου καὶ ἀπὸ τοῦ κυριωτάτην δεδεῖχθαι εἶναι οὐσίαν τὴν μήτε καθ' ὑποκειμένου μήτε ἐν ὑποκειμένῳ· ἀπὸ γὰρ τούτου ἐξ ἀνάγκης συμβαίνει δευτέρας εἶναι οὐσίας τὰς καθ' ὑποκειμένου μὲν λεγομένας μὴ ἐν ὑποκειμένῳ δὲ οὔσας.

ιδ. Ἔτι προσαπορεῖ Πλωτῖνος περὶ τῆς τάξεως, ὡς ἀκόλουθον ἦν δεῖξαι τὴν πρώτην οὐσίαν μὴ οὖσαν μᾶλλον καὶ ἧττον οὐσίαν, εἶθ' οὕτως τῶν εἰδῶν τὸ μᾶλλον καὶ ἧττον.

Ἔστι δὲ καὶ πρὸς τοῦτο ἡ αὐτὴ ἀπολογία, ὡς ἤδη προειλημμένον εἶχε τὸ μὴ εἶναι μᾶλλον καὶ ἧττον τὴν πρώτην οὐσίαν, ὅτε πρώτως αὐτὴν καὶ μάλιστα καὶ κυριώτατα οὐσίαν εἶναι ἀπεφαίνετο· πάντα γὰρ τὰ τοιαῦτα ὥρισται καὶ οὐκ ἔχει τὴν τοῦ μᾶλλον καὶ ἧττον ἀπειρίαν. τὸ μὲν γὰρ μᾶλλον καὶ ἧττον πρόεισιν ἀεὶ ἀπαύστως, τὸ δὲ μάλιστα ἵσταται κατὰ τὴν ὑπερβολὴν καὶ τὸ πρώτως κατὰ τὴν ἀρχὴν καὶ τὸ κυριώτατα κατὰ τὴν προηγουμένην τῆς φύσεως ἰδιότητα.

ιε. Ἀλλ' εἰ οὐδεμία οὐσία μᾶλλον καὶ ἧττον, πῶς τὸ εἶδος τοῦ γένους μᾶλλον οὐσία λέγεται;

Ὅτι οὐ καθ' ὅσον οὐσίαι εἰσί, τὸ μᾶλλον καὶ ἧττον λαμβάνει, ἀλλὰ κατὰ τὴν τῆς αἰσθητῆς οὐσίας πλείονα ἢ ἧττονα ἀπόστασιν.

ιϛ. Ἀλλ' εἰ τὸ αἴτιον τῆς αἰσθητῆς οὐσίας λαμβάνει (τὰ γὰρ αἰσθητὰ γινόμενά ἐστι καὶ οὐκ ὄντα), οὐ τοῦτο λέγων ἀτόπως ἐπεισάγει τὸν περὶ τῶν πρώτων τῇ φύσει λόγον;

Ἡμεῖς δὲ νῦν οὐ τὰ τῇ φύσει πρῶτα ζητοῦμεν ἀλλὰ τὰ ὡς πρὸς ἡμᾶς πρῶτα καὶ τὰ ἐν τῷ λέγεσθαι πρῶτα. εἰ δὴ πρώτοις τοῖς εἴδεσιν ἐντυγχάνομεν, εἶθ' οὕτως τοῖς γένεσι, καὶ πρώτως τὰ εἴδη σημαίνομεν, δευτέρως δὲ τὰ γένη, εἰκότως ἂν καὶ μᾶλλον οὐσίαι λέγοιντο τὰ εἴδη τῶν γενῶν.

ιζ. Τοῦτο μὲν δὴ οὕτως· εἰπὼν δὲ δευτέρως οὖν οὐσίαι τὰ γένη καὶ τὰ εἴδη τῶν πρώτων οὐσιῶν λέγονται, ὥσπερ τομὴν γένους εἰς εἴδη πεποίηται, ἵν' ᾖ κοινὸν μὲν γένος ἡ οὐσία, εἴδη δὲ ἡ ἄτομος οὐσία καὶ ἡ δευτέρα οὐσία· ποῦ οὖν καὶ τὴν γενικὴν οὐσίαν ὡρίσατο;

Φημὶ δὴ ὅτι ὑπογράψας τὴν μὲν πρώτην οὐσίαν διὰ τοῦ εἰπεῖν

5 ante οὐσίαν add. τὴν del. M 6 ante δευτέρας add τὸ C 8 Ἔτι] τι A προσαπορεῖ Πλωτῖνος] locum non inveni 10 τῶν εἰδῶν CR Simpl. (f. 23r24): τοῦ εἴδους AM 13 καὶ (ante κυριώτατα) AM: om. CR 14 ἀπειρίαν AMR: ἀπορίαν C 15 ἵσταται AM: ὕσταται R: ὕστατον C 18. 19 τοῦ γένους μᾶλλον οὐσία τοῦ γένους λέγεται A 20 καὶ ἧττον CMR: καὶ τὸ ἧττον A 21 τῆς supra scr. C αἰσθητῆς οὐσίας ex Simpl. correxi (cf. v. 22): αἰσθήσεως libri ἧττονα CMR: ἐλάττονα A 23 οὐ AM: ὁ CRs 24 τῶν πρώτων AM: τὴν πρώτην CR 26 εἰ δὴ s: εἴδη codd. τοῖς supra scr. M 27 εἶθ' CR: εἶτα AM 28 γένη] εἴδη A 30 δὴ CR: οὖν AM δευτέρως οὖν] δεύτεραι δὲ οὐσίαι λέγονται, ἐν οἷς .... Arist. 34 μὲν CR: om. AM τοῦ CR: τὸ AM

μήτε καθ' ὑποκειμένου λέγεσθαι μήτε ἐν ὑποκειμένῳ εἶναι, τὴν δὲ δευτέραν μὴ ἐν ὑποκειμένῳ μὲν εἶναι καθ' ὑποκειμένου δὲ λέγεσθαι. | κοινὸν ἐπ' ἀμφοῖν τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι λαμβάνει· 57
εἰ δὴ τῆς πρώτης τὸ μὴ καθ' ὑποκειμένου λέγεσθαι ἴδιον, τῆς κοινῆς ἔσται τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι. καὶ οὐ παρεῖται οὐδὲ αὕτη.

ιγ. Ἀλλ' εἰ τομὴ εἰς εἴδη, οὐκ ἔστι δὲ εἶδος ἡ πρώτη οὐσία (μία γάρ ἐστι καὶ ἓν ἀριθμῷ. τὸ δὲ εἶδος πολλὰ ἀριθμῷ)· πῶς ἂν εἴη τὰ εἰρημένα οὐσίας διαίρεσις;

Ἐροῦμεν δὴ ὅτι τὸ μίαν εἶναι ἀριθμῷ κοινὸς λόγος ἐστὶ πάσης τῆς πρώτης οὐσίας, ὃ μάλιστα ἴδιον εἴδους ἐστί. κοινὸν δὲ καὶ τὸ μήτε καθ' ὑποκειμένου λέγεσθαι μήτε ἐν ὑποκειμένῳ εἶναι. ὁ μὲν οὖν τὶς ἄνθρωπος ἢ τὶς ἵππος οὐκ ἔστιν εἶδος, ὡς δὲ πρώτη τοιαύτη οὐσία πᾶσα εἶδος ἂν εἴη.

ιδ. Ἀλλ' ἐπεὶ εἴρηκε φανερὸν δὲ ἐκ τῶν εἰρημένων ὅτι τῶν καθ' ὑποκειμένου λεγομένων ἀναγκαῖον καὶ τοὔνομα καὶ τὸν λόγον κατηγορεῖσθαι, ἐκ ποίων εἰρημένων τὸ τῶν καθ' ὑποκειμένου λεγομένων, ἀναγκαῖον εἶναι καὶ τοὔνομα καὶ τὸν λόγον κατηγορεῖσθαι οὐ δείκνυσιν· ἀπὸ γὰρ τῶν περὶ τῆς οὐσίας εἰρημένων οὐδὲν φαίνεται τοιοῦτον. ἐρρήθη μὲν γὰρ ὅτι πρῶταί εἰσιν οὐσίαι αἱ ἄτομοι, δεύτεραι δὲ τὰ εἴδη αὐτῶν καὶ τὰ τῶν εἰδῶν τούτων γένη, ταῦτα δὲ οὐδὲν συντελεῖ πρὸς σαφήνειαν τοῦ τὸν λόγον καὶ τοὔνομα κατηγορεῖσθαι τοῦ ὑποκειμένου.

Οἱ ταῦτα κατηγοροῦντες εἰκῇ ταράττονται· ἐξ ἐκείνων γὰρ δῆλον ὧν προεῖπεν· ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται ὡς καθ' ὑποκειμένου, πάντα ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται. τούτῳ γὰρ ἕπεται τὸ δεῖν τὸ καθ' ὑποκειμένου κατηγοροῦμενον καὶ ὀνόματι καὶ λόγῳ ἀληθεύεσθαι κατὰ τοῦ ὑποκειμένου.

κ. Ἐπεὶ δὲ περὶ τῶν διαφορῶν λέγει ὡς κοινὸν ἐχουσῶν πρὸς τὰς οὐσίας τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι, ἀφ' οὗ κατασκευάζει ὅτι οὐκ ἴδιον τῆς οὐσίας τοῦτο, ἀναγκαῖον προλαβεῖν, ὅσα ἐστὶ χρήσιμα περὶ τῶν διαφορῶν. |

Δοκεῖ μὲν οὖν τὸ χωρίζειν πεφυκὸς τὰ ὑπὸ τὸ αὐτὸ γένος τοῦτο διαφορὰν εἶναι, καὶ κατὰ τὴν τοιαύτην διάκρισιν ὡς πρὸς τὸ γένος νοεῖται 58

---

1 εἶναι CR: om. AM 3 ἐπ' CMR: ἀπ' A 3. 5 εἶναι CR: om. AM 5 παρεῖται ACMR Simpl.: παρεῖναι s 6 εἰ AMS: ἡ CR 7. 8 an ⟨εἰς⟩ τὰ εἰρημένα? 10 εἴδους ἴδιον colloc. AM ἐστί ACM: om. Rs δὲ CMR: δὴ A 13 εἴη ex εἶδος corr. C 14 δὲ om. C 15 καὶ τοὔνομα CR: εἶναι κατὰ τοὔνομα A: εἶναι κατ' οὔνομα M 16 ἐκ ποίων — κατηγορεῖσθαι (17) CR: om. AMs 17 καὶ τοὔνομα C: κατ' οὔνομα R 18 περὶ AM: παρὰ CR (cf. p. 7, 19) 20 —δῶν τού— oblitt. R 23 προεῖπεν] c. 3 p. 1b10 κατηγορεῖται CR post ὡς add. κατηγορουμένου del. R 24 πάντα post λέγεται colloc. Arist. post λέγεται add. τοσαῦτα AMs: om. CR 26. 27 ἀληθεύεσθαι κατὰ τοῦ ὑποκειμένου om. C 32 τὸ supra scr. M τοῦτο CR: ὄντα AM (cf. Porph. Isag. p. 11, 18 Simpl. f. 24v39)

αὐτῆς ἡ διαίρεσις· κυριώτερον δ' ἄν τις εἴποι, ὅτι τῷ εἴδει τὴν διαφορὰν χρὴ συντάττεσθαι, διόπερ πολλάκις ἀντὶ τοῦ εἴδους παραλαμβάνονται. σύμπασαι μὲν γὰρ αἱ διαφοραὶ ὁμοῦ ῥηθεῖεν ἂν περὶ τοῦ γένους, καθ' ἑαυτὴν δὲ ἑκάστη κατὰ μὲν τῶν ὑφ' ἑαυτὴν ῥηθείη ἂν καθ' ὧν λέγεται κατὰ παντός, κατὰ δὲ τοῦ γένους οὐδαμῶς· οὐδὲ γὰρ μορφωτική ἐστιν ἑκάστη τοῦ γένους. διενήνοχε δὲ τοῦ εἴδους ἡ διαφορὰ ἢ ὅλον μέρους. ἔστι γὰρ ἡ διαφορὰ ποιότης συμπληρωτικὴ οὐσίας, καὶ οὐκ ἔστι μὲν ἐν ὑποκειμένῳ, ὅτι συμβάλλεται εἰς οὐσίαν τούτοις ἅπερ εἰδοποιεῖ, οὐκ ἔστι δὲ οὐσία, ὅτι οὐκ εἰς τὸ εἶναι ἀλλ' εἰς τὸ τοιόνδε εἶναι συμβάλλεται. χρὴ δὲ νοεῖν τὸ τοιόνδε οὐχ ὡς ἐπὶ τοῦ λευκοῦ φέρε λέγομεν· χωρίζεται γὰρ τοῦτο, ἡ δὲ διαφορὰ οὐ χωρίζεται, πλὴν εἰ μή τι συμφθαρείη τῷ ὑποκειμένῳ. ἂν δέ τις λέγῃ ὅτι καὶ τὸ οὐσιῶδες συμβεβηκὸς ἄνευ φθορᾶς οὐ χωρίζεται, ἀλλ' ἐροῦμεν πρὸς αὐτὸν τὴν παντελῆ διάστασιν τοῦ οὐσιώδους συμβεβηκότος καὶ τῆς διαφορᾶς σημαίνοντες. ἄνεσις μὲν γὰρ καὶ ἐπίτασις περὶ τὸ οὐσιῶδες συμβεβηκὸς θεωρεῖται, οἷον περὶ τὸν Αἰθίοπα μεταστάντα εἰς ἄλλους τόπους ἄνεσις ἂν τοῦ μέλανος σώματος γένοιτο καὶ ἡ τοῦ γάλακτος λευκότης ἧττόν ἐστι, μᾶλλον δὲ ἡ τῆς χιόνος· ἐπὶ δὲ τῆς διαφορᾶς τὸ μᾶλλον καὶ ἧττον οὐκ ἄν τις θεωρήσειεν· οὐ γάρ ἐστι δίπουν δίποδος οὐδὲ πεζὸν πεζοῦ μᾶλλον.

κα. Ἀλλ' εἰ μήτε οὐσία ἐστὶν ἡ διαφορὰ μήτε συμβεβηκός, ἄλλο δὲ οὐσίας καὶ συμβεβηκότος οὐδέν ἐστι διάφορον τρίτον (πάντα γὰρ τὰ ὄντα ἢ ἐν ὑποκειμένῳ ἐστὶν ἢ ⟨οὐκ⟩ ἐν ὑποκειμένῳ, ἢ γὰρ οὐσίαι εἰσὶν ἢ συμβεβηκότα)· εἰ οὖν ἐν μηδετέρῳ τούτων τακτέον τὴν διαφοράν, ποῦ κατατάξομεν αὐτήν; |

Εἰσὶ μὲν οὖν πολλαὶ πρὸς τοῦτο λύσεις, ἃς μικρὸν ὕστερον ἐρῶ, πρῶτον δὲ βούλομαι ὥσπερ ἀξίωμά τι προθεῖναι, ἀφ' οὗ τὰς ἀπορίας καὶ τὰς λύσεις κρίνειν δυνησόμεθα. δοκεῖ δὴ τοῖς δεινοῖς περὶ τὴν τῶν ὄντων ἱστορίαν ἄρρητος γίγνεσθαι ἡ τῆς φύσεως ἀφ' ἑτέρου γένους εἰς ἕτερον γένος μετάβασις ἀεὶ τοῦ μέσου διαλανθάνοντος ἡμᾶς, οἷον τὸ δυνάμει τὸ ἐπὶ τῶν οὐσιῶν, οἷον λέγω ἐπὶ τῶν ἀνθρώπων ἢ τῶν ἄλλων ζῴων ἐν τοῖς

---

3 αἱ διαφοραὶ AM: διαφοραί CRs; ceterum αἱ διαφοραὶ secundum Simpl. (f. 25r39) post παραλαμβάνονται transponas 4. 5 κατὰ παντός] κατὰ πάντων Simpl., quod fort. recipias 6 εἴδους] γένους C —ρους. ἔστι γὰρ oblitt. R 8 τούτοις εἰς οὐσίαν colloc. AM τούτοις] τούτων Simpl. τὸ (ante τοιόνδε) ACMR Simpl. (coni. Spengel): om. s 9. 10 νοεῖν τὸ τοιόνδε oblitt. R 10 τοῦτο CMR: τούτου A 14 μὲν γὰρ oblitt. R 16 γένοιτο AM: γένηται CR 18 ἧττον CR Simpl.: τὸ ἧττον AM 20 οὐσία iter. A 21 καὶ CMR: om. A οὐδὲν AM: οὐδὲ CR 22 ἢ ἐν ὑποκειμένῳ ἐστὶν ἢ οὐκ ἐν ὑποκειμένῳ ex Simpl. correxi: ἢ ἐν ὑποκειμένῳ ἐστὶν ἢ καθ' ὑποκειμένου AM: ἢ καθ' ὑποκειμένου ἐστὶν ἢ ἐν ὑποκειμένῳ CRs (cf. Porph. p. 73, 22) 23 μηδὲ ἑτέρῳ CR 24 κατατάξομεν AMR: τάξομεν C 25 πολλαὶ AMR: om. C μικρὸν CR: μικρῷ AM ἐρῶ CMR: ἐροῦμεν A¹: ἐρῶμεν A² 26 προθεῖναι ex προθῆναι corr. R² 27 τῆς—ἱστορίας (28) Brand. (p. 52b23) 28 γίνεσθαι A 29 διαλανθάνοντος AMR: λανθάνοντος C τὸ (post δυνάμει) om. Brand. 30 ἢ] ἢ ἐπὶ A ζῶν A¹

σπέρμασι θεωρούμενον, οὔτε οὐσία οὐδέπω ἐστίν (ἔτι γάρ ἐστιν ἀτελές) οὔτε τὸ ἐνεργείᾳ τῷ οὕτως δυνάμει συμβέβηκε (τελειότης γὰρ τοῦτο)· λείπεται τοίνυν μέσον τι ἄλλο εἶναι τῶν οὐσιῶν τοῦ τε ἐνεργείᾳ φέρε ἀνθρώπου καὶ τοῦ δυνάμει. ὁ αὐτὸς τοίνυν ἐστὶ λόγος καὶ περὶ τῆς διαφορᾶς· καὶ γὰρ αὕτη τὸ μέσον ἕξει ποιότητός τε καὶ οὐσίας· διὸ καὶ συντελεῖ εἰς τὸ εἶναι καὶ τὸ ποιὸν εἶναι, καὶ οὕτως ἔσται οὐκ ἐν ὑποκειμένῳ. διὸ δεῖ προστιθέναι εἰς τὸν ὅρον τοῦ ἐν ὑποκειμένῳ τὸ οὐδὲν συντελοῦντος εἰς τὴν οὐσίαν τοῦ ὑποκειμένου· τὸ γὰρ εἶδος συντελεῖ τι καὶ ἡ διαφορά. ἐπειδὴ τοίνυν ταῦτα προειλήφαμεν, ἀναλάβωμεν τὰς λύσεις τῶν παλαιῶν φιλοσόφων περὶ τῆς διαφορᾶς. μία μὲν δόξα γένοιτ' ἂν ἡ ποιότητα τιθεμένη τὴν διαφοράν, ποιότητα δὲ οὐσιώδη καὶ συμπληρωτικὴν τῆς οὐσίας· ἄλλη δ' ἡ μέσον ποιότητος καὶ οὐσίας τὴν διαφορὰν ὑπολαμβάνουσα, κοινόν τινα σύνδεσμον παρεχομένην ταῖς μὲν οὐσίαις πρὸς τὰ οὐσιώδη συμβεβηκότα, τοῖς δὲ συμβεβηκόσι πρὸς τὰς οὐσίας. ἡ γὰρ φύσις οὐκ εὐθὺς μεταβαίνει ἀπὸ τῶν ἐναντίων ἐπὶ τὰ ἐναντία, οἷον ἀπὸ τῶν ζῴων ἐπὶ τὰ φυτά. ἀλλὰ καὶ μεταξύ τινα μέσην ζωὴν τὴν τῶν ζωοφύτων συνέστησε συναγωγὸν ἀμφοτέρων τῶν ἄκρων καὶ συμπληρωτικὴν καὶ συνδετικὴν αὐτῶν πρὸς ἄλληλα. καὶ ἐνταῦθα τοίνυν τῶν διαφόρων γενῶν οἷον οὐσίας καὶ συμβεβηκότος μέσον τι ἔσται κατὰ μέν τινας ὡς μετέχον ἀμφοτέρων τούτων. κατ' ἄλλους δὲ ὡς κεχωρισμένον ἀμφοῖν. ἄλλη δ' ἂν γένοιτο δόξα τῶν λεγόντων μὴ μόνον συμπληρω|τικὴν εἶναι τῆς οὐσίας τὴν διαφοράν, ἀλλὰ καὶ μέρος αὐτῆς, ἤτοι τὴν κατὰ τὴν ἐμπερίληψιν τοῦ ὑποκειμένου θεωρουμένην, μέρος οὖσαν τῆς κατὰ τὸ εἶδος οὐσίας ἢ συναλλοιουμένην ταῖς περὶ τὸ ὑποκείμενον σχέσεσιν, ὡς περὶ αὐτὸ ἔχειν πως αὐτὴν καὶ διατίθεσθαι διαφόρως.

κβ'. Δοκεῖ δέ μοι μηδαμῶς ἀληθὲς εἶναι τὸ τὴν διαφορὰν καθ' ὑποκειμένου κατηγορεῖσθαι· οὔτε γὰρ τοὔνομα οὔτε τὸν λόγον ἔνεστι τῆς διαφορᾶς κατηγορεῖν τοῦ ὑποκειμένου. δῆλον δὲ ἐντεῦθεν· τὸ πεζὸν ἓν μὲν σημαίνει τὴν ἕξιν αὐτὴν οἷον τὴν πεζότητα, ἕτερον δὲ τὸ μετέχον τῆς ἕξεως ταύτης, ὅπερ οὐκ ἔστιν ἡ διαφορὰ ἀλλὰ τὸ διακείμενον κατ' αὐτήν. τούτων δὴ οὕτως ἐχόντων τὸ πεζὸν νῦν παρῶμεν (οὐ γὰρ τοῦτό ἐστιν ἡ

---

1 θεωρούμενον CR: θεωρουμένων AM ἐστίν] εἰσίν Brand. 2 τὸ] τι Brand. 5 τε CMR: om. A 6 καὶ τὸ ποιὸν εἶναι om. C 7 συντελοῦν Brand. 10 τῆς om. C 11. 12 ἄλλη δ' ἡ AM: ἀλλ' ἤδη CR 12 οὐσίας τὴν supra scr. C διαφορὰν] ἂν in lit. C 13 παρεχομένην C Simpl.: παρεχομένη AMRs 15 φυτά] ά in lit. R² 16 τὴν τῶν ζωοφύτων μέσην ζωὴν colloc. C (corr. numeris superscr.) τὴν CMR Simpl.: om. A 16 συνέστησε] ὑπέστησε Simpl. 17 συνδετικὴν καὶ συμπληρωτικὴν colloc. M (corr. numeris superscr.) συνδετικὴν CMR Simpl.: συνδεκτικὴν A: σύνδεσμον Brand. 22 τὴν (post ἤτοι) CR: om. AM Simpl. 23 ἢ μέρος Simpl. 24 σχέσεσιν A²CMR: σπέψεσιν A¹ ὡς] ὥστε Simpl. Brand. ante αὐτὸ add. τὸ Brand. 26 εἶναι ἀληθὲς colloc. C (corr. numeris superscr.) 28 μὲν AM Simpl. (f. 25v43): om. CR 29 σημαίνει AM Simpl.: σημαίνειν CR τὴν ἕξιν αὐτὴν CR Simpl.: om. AM post πεζότητα add. αὐτὴν AMs: om. CR Simpl. 30 ὅπερ coni. Spengel: ἅπερ libri 31 τοῦτό ... τὸ διακείμενον (p. 50,1)] conicias ταὐτό ... τῷ διακειμένῳ, nisi malis ⟨ἀλλὰ⟩ τὸ διακείμενον

διαφορὰ τὸ διακείμενον κατ' αὐτήν), αὐτὴν δὲ τὴν διαφορὰν λάβωμεν τὴν πεζότητα. ἆρ' οὖν οἷόν τέ ἐστι κατηγορῆσαι τοὔνομα κατὰ τοῦ ὑποκειμένου τῆς διαφορᾶς, ὥστε φάναι τὸ ὑποκείμενον εἶναι πεζότητα, ἢ τὸν λόγον αὐτῆς, ὥστε τὸ ὑποκείμενον εἰπεῖν ἕξιν εἶναι ἀφ' ἧς πεζοὶ γίνονται οἱ μετασχόντες; οὐκ ἔστιν εἰπεῖν. οὐχ ὑγιῶς τοίνυν εἴρηται τοὔνομα καὶ τὸν λόγον τῆς διαφορᾶς δύνασθαι κατηγορεῖσθαι τοῦ ὑποκειμένου. διὸ οὐδὲ συνωνύμως ἂν ῥηθείη διαφορὰ κατὰ τῶν ὑποκειμένων. οὐ καθ' ὑποκειμένου ἄρα, εἴπερ τὰ καθ' ὑποκειμένου συνωνύμως τῶν ὑπ' αὐτὰ ἀτόμων κατηγορεῖται.

Πρὸς δὴ τοῦτο τὸ ἀπόρημα οὕτως ἂν ἀπαντήσαιμεν. οὐ γάρ, ἅπερ ἐκεῖνοι βούλονται, τὸ ἔχον τὴν πεζότητα νῦν ἀφίημι ὡς μὴ ὄντος μὲν τούτου διαφορᾶς, τοὐναντίον δὲ τῆς πεζότητος, ὡς ἐκεῖνοι λέγουσιν· ἐπινοίᾳ γὰρ χωρίζοντες τὴν πεζότητα οὐ βούλονται τὸ μετὰ τοῦ ὑποκειμένου συνειλημμένον εἶναι διαφοράν. ἄλλο δέ ἐστι χωρίσαι τι τῇ ἐπινοίᾳ, ἄλλο ὡς συνυπάρχον τῷ ὑποκειμένῳ συλλαβεῖν. ἐπεὶ οὖν καὶ ὁ Ἀριστοτέλης περὶ τοῦ ὁριστικοῦ λόγου λέγει ἐνταῦθα καὶ | τὸ συνωνύμως κατηγορεῖσθαι 61
ἐπὶ τῶν διαφορῶν εἴρηκε τῶν συνειλημμένων μετὰ τῆς ὕλης, καὶ ἡμεῖς οὕτως ἐκδεχόμεθα· τὸ μὲν γὰρ πεζὸν καὶ τὴν πεζότητα ἔχει, ἡ δὲ πεζότης ἐπίνοιά τις οὖσα μόνον ψιλὴ τὸ πεζὸν οὐ συνείληφεν. οὐ χρὴ οὖν διαιρεῖν τὸν κατὰ τὸ ὑποκείμενον εἶδος λόγον καὶ τὸν ὁριστικόν· εἰ γὰρ ὁ ὁριστικὸς λόγος τὸ τί ἦν εἶναι δηλοῖ, τοῦτο δέ ἐστι τὸ εἶδος, οὐκ ἄλλος μὲν ἔσται ὁ κατὰ τὸ ὑποκείμενον λόγος, ἄλλος δὲ ὁ κατὰ τὸν ὅρον, ἐπεὶ καὶ ἄτοπον ἐν μὲν τῷ εἶναί τινι ὑπάρχειν, τὸ δὲ ὄνομα καὶ τὸν λόγον μὴ ἐπαληθεύεσθαι κατὰ τοῦ ὑποκειμένου. οὕτω μὲν οὖν ἡμεῖς ἀπηντήσαμεν· φαμὲν δὲ καὶ ἄλλην εἶναι λύσιν οὐκ ἀπόβλητον. ἐπεὶ γὰρ τὸ μάλιστα ποιοῦν τὸ εἶδος ἡ διαφορά ἐστιν, ἀληθεύεσθαι εἴρηκε τῷ λόγῳ τῷ τὸν τοῦ ὑποκειμένου λόγον ὑπὸ ταύτης συμπληροῦσθαι· καθ' ὑποκειμένου οὖν λέγεται, ὡς ἐκεῖνοι βούλονται, ὅτι συμπληρωτική ἐστι τοῦ κατὰ τὸ ὑποκείμενον λόγου· ἂν γὰρ εἴπω φησὶ πεζότητα, ἐπὶ γῆς διὰ σκελῶν εἴρηκα κίνησιν, ἡ δὲ ἐπὶ γῆς διὰ σκελῶν κίνησις καὶ τὸ πεζὸν καὶ τὸ οὕτως κινούμενον δηλοῖ. ταῦτα μὲν δὴ οὕτως. θαυμάζω δὲ τῶν Στωϊκῶν χωριζόντων τὰς ἕξεις ἀπὸ τῶν ἑκτῶν· ἀσώματα γὰρ μὴ παραδεχόμενοι καθ' ἑαυτά, ὅταν ἐρεσχελεῖν δέον ᾖ, ἐπὶ τὰς τοιαύτας διαλήψεις ἔρχονται. εἰ δὲ οὐδ' αἱ ποιότητες ἄνευ τῶν ποιῶν, οὐδ' αἱ ἕξεις ἄνευ τῶν ἑκτῶν οὐδ'

---

1 post αὐτήν add. τούτων δὴ οὕτως ἐχόντων del. M 2 κατὰ CMR: om. A 4 αὐτῆς in mrg. suppl. M 5 καὶ τοὔνομα Simpl., quod reponas καὶ CR Simpl.: om. AM 14 συνειλημένον AM ἄλλο (prius) CR: ἄλλως AM χωρῆσαι C ἄλλο (alterum) CR: καὶ ἄλλο AM 15 συλλαβεῖν] συλ supra scr. A 16 καὶ τὸ CR Simpl.: τῷ AM 18 ἔχειν (sed ν eras.) A 20 εἶδος abundare putat Spengel, sed tuetur Simpl. post λόγον VI litt. eras. R ὁ CR Simpl.: om. AM 21 εἶδος in lit. R² 25 δὲ AM: δὴ CR 29 an φασὶ? 30 κίνησιν Felic.: κινήσεως ACMRs 33 ἢ CM²R: ἦν AM¹ 34 οὐδ' (alterum) — οὐδ'] οὔθ' — οὔθ' coni. Spengel

αἱ διαφοραὶ ἄνευ τοῦ ὑποκειμένου θεωρηθήσονται, ἀλλὰ τῷ ὁριστικῷ ἑαυτῶν λόγῳ συμπληρώσουσι τὰ ὑποκείμενα.

κγ. Ἀλλὰ πῶς παραχρῆμα μετέθετο; εἰπὼν γὰρ τὸ δοκεῖν πάσῃ οὐσίᾳ ὑπάρχειν τὸ τόδε λέγεσθαι ἐπήγαγεν ἑξῆς· οὐ μὴν ἀληθὲς γέ ἐστι τοῦτο. 25

Ἡμεῖς δὴ πρὸς αὐτοὺς ἀποκρινούμεθα, ὡς ἡ μὲν πρώτη δόξα οὐκ αὐτοῦ ἦν, ἀλλὰ ἄλλοις ἀρέσκουσα· κατά τινας γὰρ τοῦτο δοξάζεται τοὺς ὑφεστάναι λέγοντας τὰ γένη καὶ τὰ εἴδη· ἡ δὲ δευτέρα | αὐτῷ ἐδόκει, 62
διόπερ προθεὶς τὴν λεγομένην ὑφ' ἑτέρων προσέθηκεν ὕστερον ἣν αὐτὸς ἐδοκίμαζε.

Πῶς οὖν τὸν τινὰ ἄνθρωπον λέγομεν καὶ ἄνθρωπον εἶναι καὶ ζῷον καὶ λογικὸν καὶ θνητόν, εἰ μὴ τάδε ἐστὶ πάντα ταῦτα.

Ὅτι τὰ εἴδη καταταχθέντα λέγομεν τάδε τινὰ εἶναι, ὁ δὲ λόγος ἦν περὶ τῶν καθ' αὑτὰ ἐπινοουμένων. 5

Ἀλλὰ κατὰ τί λέγομεν τόδε τι τὴν ἄτομον οὐσίαν, πότερον κατὰ τὸ εἶδος ἢ τὴν ὕλην ἢ τὸ ἐξ ἀμφοῖν.

Ἢ φήσομεν ὡς κατὰ πάντα, ἀλλὰ κατὰ μὲν τὴν ὕλην, καθόσον ὑπόκειται καὶ εἰς ἐνέργειαν ἥκει τοῦ δέχεσθαι τὸ εἶδος, κατὰ δὲ αὐτὸ τὸ εἶδος, καθόσον ὥρισται καὶ ἕν ἐστιν ἀριθμῷ. εἰ δέ τις τὴν ὕλην ἀόριστον οὖσαν μηδαμῶς τόδε τι εἶναι φήσει, ὑπομνήσομεν αὐτὸν ὡς οὐ περὶ τῆς ἀσχέτου ὕλης ἐστὶν ὁ παρὼν λόγος, περὶ δὲ τῆς σχέσιν ἐχούσης πρὸς τὸ εἶδος. 10

κδ. Ἀλλὰ πῶς τὸ λογικὸν ζῷον τῷ ἀλόγῳ οὐκ ἔστιν ἐναντίον; 15

Ὅτι ἡ ἔν τινι διαφορὰ τῇ ἐνυπαρχούσῃ διαφορᾷ ἐναντίον, τὸ δὲ ὅλον τῷ ὅλῳ οὐκ ἔστιν ἐναντίον· λόγος δὲ τούτου τοιοῦτος· τὸ ἐπιδεχόμενον τὰ ἐναντία οὐκ ἔστιν αὐτὸ ἐναντίον· εἰ γὰρ κατέχοιτο ὑφ' ἑνὸς τῶν ἐναντίων, οὐκ ἂν δύναιτο καὶ πρὸς τὴν τοῦ ἑτέρου ἐναντίου καταδοχὴν ἐπιτηδείως παρεσκευάσθαι, οἷον ψυχὴ ⟨ἢ⟩ σῶμα ἢ ἄτομος οὐσία ἢ δευτέρα οὐσία εἴπερ ἐπιδέχοιτο τἀναντία, αὐτὰ καθ' αὑτὰ οὐκ ἔσται ἐναντία· ἀλλ' οὐδὲ εἰ διαιροῖτό τι εἰς τὰ ἐναντία, ὥσπερ τὸ ζῷον, οὐδὲ οὕτως ἔσται 20 20 30

---

2 λόγῳ ἑαυτῶν colloc. AM ἑαυτῶν] ἑαυ in lit. R² 4 τὸ τόδε CR: τόδε AM: τόδε τι coni. Spengel (sed cf. Porph. p. 96,7 Simpl. f. 26r45) ἑξῆς CR: ἐφεξῆς AM 5 ἐστι τοῦτο om. Arist. 7 αὐτοῦ AMR: αὐτῶν C 9 προθεὶς AMR: προσθεὶς C post ὕστερον add. τὴν λεγομένην del. M 10 ἐδοκίμαζε CR: ἐδοκίμασε AMs 11 post λέγομεν add. εἶναι AM: om. CR εἶναι supra scr. C 12 τάδε Simpl. (f. 26v47): τόδε ACMRs: τόδε (l. τάδε) τινά coni. Spengel (cf. v. 13) 13 εἴδη an ἤδη dubium R καταταχθέντα] καταχθέντα Simpl. (sed cf. p. 56,5. 7) 14 περὶ AMR Simpl.: ἐπὶ C 16 τὴν ὕλην CMR Simpl.: κατὰ τὴν ὕλην A 18 αὐτὸ codd. Simpl.: αὖ coni. Spengel 19 ἕν ἐστιν AM Simpl.: ἔνεστιν CR 20 ὑπομνήσομεν AM: ὑπόμνησον μὲν CR: ἀναμνήσομεν Simpl. 25. 26 τὰ ἐπιδεχόμενα τὸ ἐναντίον M (corr. m.¹) 26 ἐναντίον αὐτό colloc. R (corr. numeris superscr.) 27 ἑτέρου in mrg. suppl. A ἐναντίου A²CMR Simpl. (f. 27r50): ἐναντίαν A¹ 28 ψυχὴ ἢ σῶμα ἢ ἄτομος οὐσία ἢ δευτέρα Simpl.: ψυχή, σῶμα, ἡ ἄτ. οὐσία, ἡ δευτ. codd. s 30 διαιροῖτο] αι in lit. R τι AMR: τις C: τί τις Simpl., quod reponas

ἐναντίον· ἐκεῖνο δὲ περιέχει τὴν τῶν ἐναντίων διαίρεσιν, ὥστε οὐδὲν τούτων ἔσται ἐναντίον. γνοίη δ' ἄν τις καὶ ἀπὸ τοῦ ὅρου τῶν ἐναντίων τοῦτο· πλεῖστον γὰρ κεχωρίσθαι αὐτὰ ἀπ' ἀλλήλων ἀφοριζόμεθα, ὡς δὲ νῦν λέγεται, περὶ τὴν αὐτὴν οὐσίαν τοῦ ζῴου ὑπάρχει.

κε. Ἀλλὰ πῶς τὸ πῦρ τῷ ὕδατι καὶ τὸν ἀέρα τῇ γῇ ἐναντία λέγει 63
Ἀριστοτέλης:

Κατὰ τὰς εἰδοποιοὺς δηλονότι διαφορὰς φήσομεν. αἵτινες οὐκ εἰσὶν οὐσίαι· τὸ μὲν οὖν ψυχρὸν καὶ θερμὸν καὶ ξηρὸν καὶ ὑγρὸν ἀλλήλοις ἐναντία ὑπάρχει, αἱ δ' ὅλαι οὐσίαι πρὸς τὰς ὅλας οὐσίας οὐκ ἔχουσιν ἐναντίωσιν, αἵ γε καὶ ἐπὶ τῆς αὐτῆς ὕλης συνυφεστήκασιν.

κς. Εἰ δέ τις τὸν ἄνθρωπον τῷ ἵππῳ λέγοι πως ἐναντίον εἶναι καὶ τὸν τινὰ τῷ τινί;

Πρὸς αὐτὸν ἡμεῖς ἀποκρινούμεθα, ὡς οὐδὲν μᾶλλον ὁ τὶς ἵππος ἢ ὁ τὶς βοῦς ἢ ἄλλο τι τῶν κατὰ τὴν πρώτην οὐσίαν συστοίχων ἐναντίον ἐστὶ πρὸς τὸν τινὰ ἄνθρωπον. εἰ δ' ἀδύνατός ἐστιν ἡ τῶν ἀορίστων πρὸς τὸ ὡρισμένον ἐναντίωσις (ἓν γὰρ ἑνὶ δεῖ ὡρίσθαι ἐξ ἀνάγκης ἐναντίον εἶναι), οὐκ ὀρθὸν ἂν εἴη οὐδὲ οὕτως τὰς ἀντιθέσεις λαμβάνειν.

κζ. Ἀλλὰ πῶς, εἰ τὸ εἶδος τῇ στερήσει λέγει ἐναντίον ἐν τοῖς Φυσικοῖς, ἀληθὲς τὸ νῦν ἀποφαίνεσθαι αὐτὸν μηδὲν εἶναι οὐσίᾳ ἐναντίον;

Ὅτι εἴωθε κοινότερον καὶ τὰ κατὰ στέρησιν ἀντικείμενα ἐναντία λέγειν, ὥστε ὅταν ἐν τοῖς Φυσικοῖς τὴν ἕξιν καὶ τὴν στέρησιν ἐναντία προσαγορεύῃ, οὐδαμῶς ἡμᾶς χρὴ ταράττεσθαι, ὅτι ἐν ταῖς Κατηγορίαις εἰρηκὼς οὐσίαν οὐσίᾳ μὴ εἶναι ἐναντίαν ἐν τοῖς Φυσικοῖς πάλιν δέχεται αὐτῶν τὴν ἐναντιότητα. κοινῷ γὰρ χρῆται τῷ τῆς ἐναντιώσεως ὀνόματι καὶ ἐπὶ τῶν ἄλλων ἀντιθέσεων. ἔστι μὲν οὖν καὶ αὕτη ἡ λύσις οὐκ ἀπόβλητος, ὡς ἔμοιγε δοκεῖ· κάλλιον δ' εἴη ἂν καὶ Ἀριστοτελικώτερον μᾶλλον οὕτω λύειν τὴν ἀπορίαν ταύτην, ὅτι τὸ εἶδος τῇ στερήσει οὐχ ὡς οὐσία οὐσίᾳ ἀντίκειται, ἀλλ' ὡς τὸ ὂν πρὸς τὸ μὴ ὂν τῷ εἴδει ἢ ὡς ἀρχὴ πρὸς τὸ ἔσχατον καὶ τὸ ἀγαθὸν πρὸς τὸ | κακὸν ἕξει κατὰ παντελῆ ἀπόστασιν ἢ ὕφεσιν 64
τελέαν τὴν ἐναντίωσιν. οὕτω γὰρ ἡμῶν διαιρουμένων οὐσιῶν μὲν ἐναντίωσις

---

1 δὲ] an γὰρ? 4 τὴν αὐτὴν AM Simpl.: ταύτην τὴν CR 5. 6 λέγει Ἀρ.] De gen. et corrupt. B 8 p. 335a3 sq. 7 διαφορὰς δηλονότι colloc. A 8 ὑγρὸν καὶ ξηρὸν colloc. AM 10 συνυφεστήκασιν CR: ὑφεστήκασιν AMs 11 τις ACM: τι R λέγοι CR: λέγει AM ἐναντίον CMR: ἐναντία A εἶναι CMR: om. A 15 εἰ CR: ἡ AM 16 τὸ ὡρισμένον CR: τὰ ὡρισμένα AMs ἓν AM: ἐν CR ὁρίσθαι A 17 λαμβάνειν ACMR: λαμβάνομεν S (?) s 18. 19 ἐν τοῖς Φυσικοῖς] cf. A 7 p. 190b27 A 9 p. 192a6 21 ἐν τοῖς Φυσικοῖς] cf. A 7 p. 190b30 sq. προσαγορεύῃ CR: λέγῃ AM 22 εἰρηκὼς CMR: om. A 23 οὐσίαν] οὐσίας C ἐναντίαν Arist. Phys. A 6 p. 189a32 (ἔτι οὐκ εἶναί φαμεν οὐσίαν ἐναντίαν οὐσίᾳ): ἐναντίον AMs: ἐναντία CR αὐτῶν τὴν CR: αὐτὴν τὴν M: αὐτὴν A 25 ἀπόβλητον AM ὡς ἔμοιγε CR: ὥς γέ μοι AM 26 εἴη ἂν scripsi: εἶναι libri, quod delendum coni. Spengel μᾶλλον CR: om. AM οὕτω post ταύτην (27) transp. AM 28 τῷ εἴδει om. Simpl. (fort. recte) 30 τελείαν Simpl. (fort. recte, cf. p. 53,9. 14)

οὐ θεωρεῖται. ἄλλος δὲ ἐπὶ τῶν ἀρχῶν ἐναντιώσεως διορισμὸς φανήσεται, ὃς οὐκ ἔστιν ὑπὸ τὸ αὐτὸ γένος· οὐ γὰρ ἐν ὑπάρξει ἀμφότερα τὰ ἐναντία περιέχει, οὐδὲ μὴν γένη ὄντα αὐτὰ περιέχεται. ἀλλ' ὅτι τὸ μὲν ἐν τῷ εἶναι, τὸ δ' ἐν τῷ μὴ ἔστιν.

κη. Ἀλλὰ τὸ μηδὲν εἶναι οὐσίᾳ ἐναντίον ἐπὶ τῶν καθ' ἕκαστα οὐσιῶν ἐστι τῇ ἐπαγωγῇ δεδειγμένον, ὅλως δὲ οὐσίᾳ οὐκ ἔστι δεδειγμένον.

Ὁ τοῦτο ἀπορῶν ἠγνόηκε τὴν διαιρετικὴν μέθοδον καὶ τὴν ταύτης χρείαν. ἐπεὶ γὰρ τῶν γενικωτάτων οὐκ ἔνεστιν ἐκ προτέρων καὶ αἰτιωτέρων ποιήσασθαι ἀπόδειξιν, ἀλλ' ἀνάγκη τελείους διαιρέσεσι πάντα διαιρουμένους τὰ ὑπ' αὐτὰ θεωρεῖν τὴν κοινότητα αὐτῶν, † ᾗ παραλλάττει. ὡς φέρε ὅταν τὸ ζῷον διαιρῶμεν εἰς λογικὸν καὶ ἄλογον ἢ ὑπόπουν καὶ ἄπουν ἢ δίπουν καὶ τετράπουν ἢ ὅσας ἄλλας ἐπιδέχεται διαιρέσεις, εἶτα μηδεμίαν αὐτῶν εὑρίσκοντες ἐκβαίνουσαν τοῦ ζῴου τὴν ταυτότητα τοῦ γένους οὐκ ἐξ ἐπαγωγῆς ἀλλ' ἐκ τῆς τελείας διαιρέσεως λαμβάνομεν. ὥσπερ οὖν ἐπὶ τῶν ἄλλων ἡ διαίρεσις τὸ κοινὸν ἐν τοῖς ὑπ' αὐτὸ τεμνομένοις φυλάττει, οὕτως καὶ ἐπὶ τῶν οὐσιῶν νῦν δείκνυται. εἰ γὰρ αἱ οὐσίαι μὲν πᾶσαι νῦν διαιροῦνται ἀνελλιπῶς εἰς τὰς πρώτας καὶ δευτέρας οὐσίας, μηδέτεραι δὲ τούτων ἔχουσι τὴν ἐναντίωσιν (ἡ γὰρ διαίρεσις τελεία οὖσα πάντα τὰ ὑπὸ τὴν οὐσίαν περιελάμβανεν), ὥστε οὐ μόνον ἡ τὶς οὐσία τινὶ ἀλλὰ καὶ ἁπλῶς πάσῃ οὐσίᾳ οὐδέν ἐστιν ἐναντίον. ἀπαντήσειε δ' ἄν τις καὶ οὕτως· ὅταν τι τῶν κατ' οὐσίαν συμπληρούντων ληφθῇ, εὐθὺς τοῦτο ὅπερ ἐφ' ἑκάστου καὶ ἐπὶ τοῦ παντὸς ἀληθὲς ἀποδείκνυται, οἷον τὸ λογικὸν ἐφ' ἑκάστου τε τοῦ ἀνθρώπου καὶ ἐπὶ παντός, καὶ τῇ οὐσίᾳ τοίνυν εἴπερ κατ' οὐσίαν ὑπάρχει τὸ μηδεμίαν σχέσιν ἐναντιώσεως ἔχειν, οὐκ ἐπὶ τινὸς ἀλλὰ καὶ ἐπὶ πασῶν ἀληθὲς ἔσται. |

κθ. Πάλιν ἄπορον φαίνεται, πῶς ἐν μὲν τοῖς πρὸ τούτων εἰρημένοις μᾶλλον οὐσία διώρισται ἡ τοῦ εἴδους παρὰ τὴν τοῦ γένους, νυνὶ δὲ οὐ λέγεται μᾶλλον καὶ ἧττον εἶναι.

Ὅτι οὐχ ὡσαύτως ἑκάτερον λέγεται, ἀλλὰ τὸ μὲν καθ' ἑαυτό, τὸ δὲ κατὰ συμβεβηκός· τὸ γὰρ μᾶλλον εἶναι τὸ εἶδος ἢ τὸ γένος οὐχ ᾗ οὐσία, οὐδ' ὅπερ ἐστὶν ἕκαστον, κατὰ τοῦτο ἐπιδέχεται τὸ μᾶλλον, ἀλλ' ᾗ ἐγγυτέρω τῆς ἀτόμου οὐσίας προχωρεῖ, τὸ δὲ ἧττον ὑφεστηκὸς πορρωτέρω αὐτῆς ἀφέστηκε. τοῦτο δὲ συμβέβηκεν ἄλλως· νυνὶ δὲ καθό ἐστιν ἑκάστη

1 ἄλλος CR: ἄλλως AM 3 περιέχει CR mrg. A mrg. M: ὑπάρχει AM περιέχεται R² mrg. C: παρέχεται ACMR¹ 6 οὐσίᾳ] οὐσία libri: om. Simpl. (f. 27r54) fort. rectius οὐκ ἔστιν οὐσία colloc. AM 10 θεωρεῖν CMR: θεωρεῖ A ἡ παραλλάττει CMR: ἢ παραλάττει A; corrigas μὴ παραλλάττει (vel παραλλάτῃ) τι, cf. Simpl. μή πη παραλλάσσῃ τι ἐν τοῖς καθ' ἕκαστον εἴδεσιν 13 post εὑρίσκοντες ex Simpl. addas διαφορὰν ἐκβαίνουσαν AM: ἐμβαίνουσαν CR 17 νῦν MR: om. A: supra ser. C ἀνελιπῶς A τὰς CR Simpl.: om. AM 19 οὐ μόνον CMR: om. A 21 ληφθῇ Simpl.: ληφθείη ACMRs ὅπερ CMR Simpl.: ὅπως A 26 ταῖς — εἰρημένοις (sic) A πρὸ τούτων Simpl. (f. 28r56): πρὸ τούτου libri (cf. p. 54,2) 27 post μᾶλλον add. καὶ ἧττον ACMRs: secundum Simpl. eieci (cf. v. 30) 29 ἑκάτερον ὡσαύτως colloc. AM 33 ἀφέστηκε AM: ὑφέστηκε CR

τοῦτο ὅπερ ἐστίν, οὔ φησὶ λέγεσθαι αὐτὴν μᾶλλον οὐδ' ἧττον. οὐκ ἄρα ἐναντία λέγεται τὰ παρόντα τοῖς πρὸ τούτων.

λ. Ἔτι κἀκεῖνο ζητήσεως ἄξιον, πῶς ὁ μᾶλλον λογικὸς οὐ μᾶλλόν ἐστιν ἄνθρωπος.

Ὅτι οὐ κατὰ τὴν ἐπίτασιν τοῦ λογικοῦ ὁ ἄνθρωπος ἔχει τὸ εἶναι, ἀλλὰ κατὰ τὸ εἶδος· τοῦτο δ' ἕστηκεν ἀεί, ἡ δὲ ἐνέργεια τοῦ ἀνθρώπου κατὰ τὸ διάφορον τοῦ μᾶλλον λογικοῦ παρέχει τὸ λογικώτερον τῷ ἀνθρώπῳ, οὐ κατὰ τὴν ἀνθρωπότητα καὶ τὸ δύνασθαι εἶναι λογικῷ τὸ εἶναι αὐτῷ ὁμοίως πάρεστιν. ἔστιν ἄρα οὗτος μὲν ὁ αὐτός, ἡ δὲ ἐνέργεια τοῦ λογικοῦ τὸ μᾶλλον καὶ ἧττον προσλήψεται. ἐπαινῶ μὲν οὖν καὶ ταύτην τὴν λύσιν· εἰ δὲ δεῖ κατὰ τὴν Ἀριστοτέλειον δόξαν βαθύτερον αὐτὴν ἀποδοῦναι, οὕτως ἂν θεωρητικώτερον δείξαιμεν τὸ ζητούμενον· πέφυκε μεθ' ἑκάστου τῶν εἰδῶν καὶ τὸ ποιὸν συνυφίστασθαι, ἕτερον μὲν ὂν τοῦ εἴδους, ἠρτημένον δὲ ἀπ' αὐτοῦ· καὶ τὸ μὲν εἶδος μέρος ὂν τῆς συνθέτου οὐσίας καὶ ἀτόμου συμπληρωτικόν ἐστιν αὐτῆς καὶ οὐδέποτε ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον, αἱ δὲ συντρέχουσαι τοῖς εἴδεσι ποιότητες, ὅπου μὲν ἡ λογική, ὅπου δὲ ἡ θερμότης, ὅπου δὲ ἡ ξηρότης δέχεται τὸ μᾶλλον, καὶ οὕτως οὐκ | ἔστιν ἡ φαινομένη αὕτη κατὰ τὸ μᾶλλον ὑπεροχὴ τοῦ εἴδους ἀλλὰ τῆς ποιότητος, ἐπεὶ καὶ ὁ σπουδαῖος ὅταν μᾶλλον ἄνθρωπος λέγηται, οὐχ ᾗ ἄνθρωπος ἀλλ' ὡς οὕτως διακείμενος ἐπιτείνεται. τοῦτο δὲ οὐκ οὐσίαν ἀλλὰ ποιὸν σημαίνει, ὥστε ἡμῖν ἀληθῶς φαίνεσθαι ἔχον τὸ μὴ εἶναι οὐσίαν οὐσίας μᾶλλον καὶ ἧττον.

66

λα. Πῶς οὖν ἡ ὕλη τὸ μᾶλλον καὶ ἧττον δέχεται καὶ τἀναντία ἐφ' ἑαυτῆς φαντάζεται μικρὸν καὶ μέγα καὶ ἐλλεῖπον καὶ ὑπερέχον; πῶς δὲ πᾶν ὅπερ ἂν ἐπαγγέλληται ψεύδεται. κἂν μέγα φανταστῇ μικρόν ἐστι. κἂν μᾶλλον ἧττόν ἐστιν;

Ἐροῦμεν δὴ οὖν, ὅτι ταῦτα ἀπὸ τῆς τοῦ εἴδους σχέσεως παραγίνεται εἰς τὴν ὕλην πάσας τὰς τοιαύτας παραλλάξεις λαμβάνουσαν κατ' αὐτὴν τὴν σχέσιν τοῦ εἴδους, πρὸς ὅπερ ὑφίσταται ἄλλως καὶ ἄλλως ἔχουσα. καθὸ μὲν γὰρ μᾶλλον αὐτὴν τὸ εἶδος κρατεῖ, ἐνεργότερον φαίνεται, καθὸ δ' ἧττον, ἀμυδρότερον καὶ αὐτὸ εἰς τὴν ὕλην διαδείκνυται. αὐτὴ μέντοι καθ' ἑαυτὴν οὐδαμῶς ἡ ὕλη διαφέρει κατ' οὐδὲν τούτων· δυνάμει γὰρ πάντα ἐστίν ὡσαύτως καὶ τὴν ἴσην πρὸς ὅλα τὰ ὄντα ἔμφασιν καὶ ὑποδοχὴν τῆς οὐσίας παρέχεται.

---

1 ὅπερ ἐστίν CR Simpl.: om. AM — 2 τὰ παρόντα CR Simpl.: τὰ ἐναντία A et post τούτων transp. sed numeris superscr. corr. M 6 τοῦ ἀνθρώπου CR: om. AM 7. 8 corrigas sec. Felic. οὐ κατὰ τὴν ἀνθρωπότητα· ⟨κατὰ γὰρ τὴν ἀνθρωπότητα⟩ καὶ 12 δείξαιμεν CR: παραστήσαιμεν AM 17 δέχεται CMR, tuetur Simpl.: ἐπιδέχεται As οὐκ ἔστιν supra scr. C 21 ἀληθὲς C φαίνεσθαι ex φαίνεται corr. A ἔχον] ἔχειν coni. Spengel μὴ Felic.: ἢν libri οὐσίαν] οὐσία (sed α m.²) R 23 δέχεται scripsi sec. Simpl.: λέγεται ACMRs ἐφ' CR: ἀφ' AM 24 ὑπερέχον καὶ ἐλλεῖπον colloc. AM 25 ἐπαγγέλληται ACM 28. 29 τοῦ εἴδους τὴν σχέσιν colloc. AM 30 αὐτὴν MR: αὐτῆς AC 32 ἡ ὕλη οὐδαμῶς colloc. A 33 τὰ ὄντα AMR Simpl.: om. C 34 παρέχεται] παραδέχεται Simpl.

λβ. Αὐτὸ δὲ τοῦτο πάλιν ζητήσεως ἄξιον, διὰ τί αἱ μὲν οὐσίαι τὸ μᾶλλον καὶ ἧττον οὐκ ἔχουσιν, αἱ δὲ ποιότητες ἐπιδέχονται:

Ἢ καὶ τοῦτο δυνησόμεθα λῦσαι κατὰ τὸν αὐτὸν λόγον. τὰς μὲν οὐσίας τῷ ἐν ἑαυταῖς εἶναι μένειν καθ' ἕνα ὅρον ἀποφαινόμενοι, τὰς δὲ ποιότητας τῷ ἐν ἑτέροις ἔχειν τὸ εἶναι μετ' ἐκείνων συναλλοιοῦσθαι, εἰκότως ἄρα αἱ μὲν οὐσίαι οὔτε ἀφ' ἑαυτῶν οὔτε ἀπ' ἄλλων δέχονται τὴν ἐπίτασιν, αἱ δὲ ποιότητες ἀπὸ τῶν ὑποκειμένων ἐν οἷς ἐγγίγνονται κατὰ τὸ μᾶλλον καὶ ἧττον ἐπιτείνονται.

λγ. Πῶς δὲ ἀπεικότως εἴποιμεν τοὺς πολλοὺς αὐτὸν αἰτιᾶσθαι ὡς ἀμφιβάλλοντα καὶ μὴ ἀποφαινόμενον; τὸ γὰρ ἴδιον τῆς οὐσίας ἀποδι|δοὺς 67
φησι· μάλιστα αὐτῆς ἴδιον δοκεῖ εἶναι τὸ ταὐτὸν καὶ ἓν ἀριθμῷ ὂν τῶν ἐναντίων εἶναι δεκτικόν.

Φημὶ δὴ ὅτι τοῦ ἰδίου πολλαχῶς λεγομένου, κυρίως δὲ τοῦ παντὶ καὶ μόνῳ ὑπάρχοντος νῦν τὸ δοκεῖ πρόσκειται δεικνυμένου αὐτοῦ, ὅτι τῆς καθόλου οὐσίας καὶ τῆς πρώτης οὐχ οἷόν τε τοῦτο εἶναι ἴδιον, ὡς πέφυκε τὸ ὄντως ἴδιον ὑπάρχειν, καὶ ὅτι ἴδιον οὕτως λέγεται οὐχ ὡς πάσῃ ὑπάρχον καὶ τῇ καθόλου καὶ τῇ κατὰ μέρος, ἀλλ' ὅτι ἐν μόνῃ ταύτῃ ἐστὶ τὸ τοιοῦτον ἴδιον, ἐν οὐδεμιᾷ δὲ ἄλλῃ τῶν κατηγοριῶν. οὕτως γὰρ καὶ τὸ πῦρ λεπτομερέστατον λέγεται, οὐχ ὅτι πᾶν πῦρ ὁμοίως λεπτομερέστατον, ἀλλ' ὅτι ἐν τῷ πυρί ἐστι τὸ λεπτομερέστατον. καὶ ἐνταῦθα οὖν, ἐπειδὴ εἴ τί ἐστιν ἄτομον δεκτικὸν τῶν ἐναντίων, ὑπὸ τὴν οὐσίαν ἐστί, διὰ τοῦτο ἴδιον δοκεῖ εἶναι καὶ τῆς ἁπλῶς οὐσίας τὸ δεκτικὸν τῶν ἐναντίων. γνωσόμεθα δὲ τοῦτο σαφέστερον ἀπὸ τῆς ἀντιστροφῆς· εἴτε γὰρ οὐσία ἐστί, δεῖ τι εἶναι ἐν αὐτῇ ἄτομον ἓν ὂν ὃ καὶ ταὐτὸν ὑπάρχον τῶν ἐναντίων ἀνὰ μέρος ἐστὶ δεκτικόν, εἴτε ἓν ὂν καὶ ταὐτὸν τἀναντία δέχεται, οὐσία ἐστίν. οὕτως οὖν ἔσται ἴδιον ὡς ἐπὶ μηδενὸς τῶν ἄλλων λεγόμενον, ἐπὶ μόνης δὲ τῆς οὐσίας καὶ ἀπὸ ταύτης ἐπὶ τῶν ἀτόμων.

λδ. Ἀλλ' οὐκέτι ἀμφιβάλλειν χρή, ὅτι προσθεὶς τὸ ἀριθμῷ ἓν μόνων τῶν ἀτόμων τοῦτο ἴδιον ἀποδέδωκεν· τῷ γὰρ γένει καὶ τῷ εἴδει οὐχ ὑπάρχει τοῦτο ἴδιον.

Ἢ πρὸς τοῦτο οὐ χαλεπὸν ἐκεῖνο ἀντειπεῖν, ὅτι τρόπος εἷς ἐστι γνώσεως ὁ ἀπὸ μέρους τὸ ὅλον συνεμφαίνων· ὥστε καὶ ἐνταῦθα, εἰ τοῦ ἀτό-

2 οὐκ supra scr. C ἔχουσιν CR: ἐπιδέχονται AMs 4 ἐν] μὲν C ἑαυταῖς CR: αὐταῖς AM 5 τῷ in lit. R² 7 ἀπὸ CMR: ὑπὸ A ἐγίγνονται A 9 ἀπεικότως scripsi: ἂν εἰκότως libri: οὐκ ἂν vel ἂν ἀνεικότως (l. ἀπεικότως) coni. Spengel (cf. p. 33,18. 19) αὐτὸν AMR: αὐτῶν C 10 ἀμφιβάλοντα A 11 μάλιστα δὲ ἴδιον τῆς οὐσίας Arist. εἶναι δοκεῖ colloc. AMs 13 δὴ CR: δὴ οὖν AM ἰδίου AMR: κυρίου C δὲ CMR: δὴ A 14 post πρόσκειται add. ὅτι del. C 15 καὶ τῆς πρώτης fort. eicias ὡς πέφυκε — τοιοῦτον ἴδιον (18) om. A 18 δὲ AMR: om. C 21 εἴ τι ACR: εἴτε Ms 22 δοκεῖ ἴδιον colloc. AM ἁπλῶς CMR: ἁπλῆς A 24 ἓν ὂν CMR: ὂν ἓν A 25 ταὐτὸν AC: ταὐτὸ MRs οὐσία ἐστίν om. C 27 ἀπὸ CMR²: ἐπὶ AR¹ 28 τὸ coni. Spengel: τῷ libri ἀντι 30 ἴδιον CR: τὸ ἴδιον AM; fort. etiam ἴδιον eicias 31 ἀντειπεῖν] εἰπεῖν C ὅτι CR: om. AM

μου τοῦτό ἐστι τὸ ἰδίωμα, δύναται καὶ τοῦ γένους εἶναι τὸ αὐτό· ἐπειδὴ γὰρ διὰ τὴν ἄτομον οὐσίαν καὶ τῷ ἐν αὐτῇ εἶναι αἱ δεύτεραι οὐσίαι λέγονται τὰ ἐναντία δέχεσθαι, διὰ τοῦτο τὸ ἴδιον αὐτῶν κυρίως ἀφωρίσατο δηλῶν ὅτι οὐχὶ τοῦ ἁπλῶς καὶ ἐν ἐπινοίᾳ | ἀνθρώπου οὐδὲ τοῦ κοινοῦ καὶ 68
καθ' ἑαυτὸ νοουμένου ζῴου τὸ ἴδιον νῦν ἀφορίζεται, ἀλλὰ τοῦ κατατεταγμένου καὶ ἐν ὑπάρξει καὶ ἐν τῷδε ὄντος· ὁ γὰρ ἐν τοῖς καθ' ἕκαστον θεωρούμενος ἄνθρωπος καὶ τὸ ζῷον τὸ ἐν τοῖς κατὰ μέρος ἤδη κατατεταγμένον τὸ τοιοῦτον ἴδιον ἐπιδέχεται.

λε. Ἂν τοίνυν τούτων τις λαβόμενος τῶν κατασκευῶν ἕτερον ἡμῖν χεῖρον ἀνθυποφέρων λέγῃ· οὐκοῦν ἔσται μόνης τῆς οὐσίας ἴδιον τὸ εἰρημένον. καὶ γὰρ αἱ ἕξεις καὶ αἱ διαθέσεις τῶν ἐναντίων εἰσὶ δεκτικαί· τί πρὸς αὐτὸν ἐροῦμεν: ἕξις μὲν γὰρ καὶ διάθεσις καὶ πρᾶξις λέγεται φαύλη καὶ σπουδαία, κίνησις δὲ ταχεῖα καὶ βραδεῖα γίνεται, ὥστε οὐ μόναις ὑπάρχει ταῖς οὐσίαις τὸ ἐπιδεκτικὸν τῶν ἐναντίων ἀλλὰ καὶ ἄλλοις πλείοσιν.

Ἀλλὰ πρὸς τοὺς ταῦτα λέγοντας ἀπὸ τῶν ἤδη προειρημένων ἀπαντᾶν χρή· οὐ γὰρ τὰ γένη καὶ τὰ εἴδη τῶν οὐσιῶν αὐτὰ καθ' αὑτὰ τῶν ἀτόμων ὡς γένη καὶ εἴδη θεωροῦντες δεκτικὰ τῶν ἐναντίων ἀνὰ μέρος ἐλέγομεν, ἀλλ' ὡς ἐν τοῖς ἀτόμοις θεωρούμενα καὶ ὡς συνυπάρχοντα τοῖς ἀτόμοις. ἄλλως οὖν θεωρεῖται ἐπὶ τῶν οὐσιῶν τὸ ἀνὰ μέρος τῶν ἐναντίων εἶναι δεκτικόν, ἄλλως ἐπὶ κινήσεως καὶ πράξεως καὶ διαθέσεως καὶ τῶν τοιούτων. ἡ μὲν γὰρ οὐσία μία καὶ ἡ αὐτὴ οὖσα οἷον ὁ Σωκράτης τὰ ἐναντία ἐπιδέχεται παρὰ μέρος, ὥστε καὶ τὸ εἶδος ὁ ἄνθρωπος καὶ τὸ γένος τὸ ζῷον τὰ ἐν αὐτῷ θεωρούμενα δέξεται τὰ ἐναντία ἀνὰ μέρος διὰ τὸ καὶ τὸν Σωκράτην εἶναι ἄνθρωπον καὶ ζῷον. ἐπὶ δὲ τῶν ἄλλων οὐχ οὕτως συμβαίνει· ἥδε μὲν γὰρ ἡ πρᾶξις οἷον ἡ Ἀριστείδου καλή, ἥδε δὲ φαύλη οἷον ἡ Εὐρυβάτου, ὁμοίως καὶ ἡ ἕξις καθ' ἣν ἡ πρᾶξις, ἥδε μὲν σπουδαία, ἥδε δὲ φαύλη. ἄλλαι οὖν καὶ ἄλλαι εἰσὶ γιγνόμεναι σπουδαῖαι καὶ φαῦλαι συμμεταβάλλουσαι ἐν τῷ ἑνὶ τῶν ἐναντίων, οὐχ αἱ αὐταὶ ὥσπερ | αἱ ἄτομοι οὐσίαι ὑπομένουσαι τὴν τῶν ἐναντίων μεταβολήν. ὥσπερ 69
γὰρ φέρε τὰ τέσσαρα ἐὰν ἀποβάλλῃ τὸ τέσσαρα εἶναι, οὐδὲ ἄρτιά ἐστιν,

---

1 εἶναι] ναι m.² supra scr. R 3 τὸ CMR: om. A 4 οὐχὶ CR: οὐ AMs τοῦ (prius) AMR: τὸ C 5 ἑαυτὸ ex ἑαυτὸν corr. R² ἀφωρίζεται C¹ 6 ἕκαστον AMR: ἕκαστα C 7 τοῖς κατὰ μέρος ἤδη CR: τοῖς τοιούτοις AM 10 λέγῃ AM: λέγει CR τῆς CMR: om. A 11 ἕξεις ex αἴξεις corr. A τῶν ἐναντίων ex τὸ ἐναντίον corr. R² 13 βραδεῖα ex βραχεῖα corr. R¹ 14 πλέοσι R 15 ἀπὸ CR: ἐκ AM προειρημένων CR: εἰρημένων AM 17. 18 ἐλέγομεν CR: λέγομεν AM 19 ἄλλως CR: καὶ ἄλλως AM 20 κινήσεως — Σωκράτης (21) in mrg. suppl. R¹ πράξεως] ἕξεως C (sed ἕ in ras. II litt. et γρ. πράξεως superscr. m.²) 21 ἡ (ante μὲν) scripsi: εἰ libri καὶ οὖσα R 22 ὥστε ACR: ὥστε τε Ms, quae eicienda coni. Spengel 23 τὸ ζῶον AM: καὶ τὸ ζῶον CR τὰ (ante ἐναντία) eiciendum coni. Spengel 24 τὸ AMR: om. C 25 δὲ] διὸ M 26 εὐρυβάτου A (ubique) 27 γινόμεναι C 28 οὐχ αἱ αὐταὶ MR² (cf. p. 57,8): οὐχ ἑαυταὶ AR¹: οὐχ ὡς αὐταὶ C: οὐκ αὐταὶ s (ex coniect.) 29 ὑπομένουσαι AMR: ὑπομένουσιν C 30 τὸ ACM: τὰ R

οὕτω καὶ πρᾶξις φέρε ἡ καλὴ οἷον ἡ Ἀριστείδου ἀφαιρεθεῖσα τοῦ εἶναι καλὴ καὶ δικαία οὐδὲ πρᾶξις ἔτι εἶναι λέγεται Ἀριστείδου, ἢ πάλιν ἡ Εὐρυβάτου τὸ κακὴ εἶναι μηκέτι ἔχουσα οὐδὲ πρᾶξις Εὐρυβάτου εἶναι λέγεται. εἰ μὲν γὰρ ἠδύνατο ἡ καλὴ πρᾶξις φέρε ἡ Ἀριστείδου καὶ κακὴ γενέσθαι, ἀπολέσασα τὸ καλὸν ἠδύνατο μένειν πρᾶξις· ἐπεὶ δὲ τοῦ ὅπερ ἐστὶ καλὴ πρᾶξις ἐὰν ἀφαιρεθῇ, οὐκέτι οὐδὲ ὀνομάζεται καθ' αὑτήν, εὔδηλον ὡς ἑνὶ μόνῳ συνουσίωται τῷ καλῷ, καὶ πάλιν ἡ φαύλη τῷ κακῷ. αἱ μέντοι οὐσίαι διαμένουσιν αἱ αὐταὶ τῶν ἐναντίων μεταβαλλόντων.

λς. Ἀλλὰ πῶς ὁ πατὴρ ὁτὲ μὲν ὑγιαίνει, ὁτὲ δὲ νοσεῖ;

Διότι ἄνθρωπός ἐστι φήσομεν· γίνεται οὖν κατὰ συμβεβηκὸς ἡ τοιάδε κατηγορία. ἔστι δὲ τὸ ἴδιον τῆς οὐσίας οὐ κατὰ συμβεβηκὸς ἀλλὰ καθ' ἑαυτό, καὶ οὐ κατ' ἄλλο ἀλλὰ κατὰ τὴν ἐν αὐτῇ μεταβολήν.

λζ. Ἀλλὰ τίνος ἐναντίου ὁ ἥλιός ἐστι δεκτικός, ὅς γε ἐν ἑνὶ εἴδει ἀεὶ ἕστηκεν ὡσαύτως; οὐδὲν γὰρ τῇ φύσει αὐτοῦ ἐστιν ἐναντίον. ὅ γε μὴν οὐρανὸς οὐκ ἂν σταίη οὐδέποτε. στάσις δὲ κινήσει ἐναντία. ἀλλὰ καὶ τὸ πῦρ τῶν φθαρτῶν ὂν θερμότητος μέν ἐστιν ἐπιδεκτικόν, ψυχρότητος δὲ οὔ, καὶ ἡ χιὼν ψυχρότητος μέν ἐστιν ἐπιδεκτική, θερμότητος δὲ οὔ.

Πρὸς ταῦτα δὴ οὖν εἴποιμεν ἄν, ὡς τὸ ἰδίωμα τίθεται ἐνταῦθα πάσης τῆς ἐν μεταβολαῖς δυναμένης γίγνεσθαι οὐσίας, οὐ μέντοι τῆς ἐν τῷ εἶναι περιεχούσης τὸ ἀμετάβλητον τῶν εἰδῶν. ἔτι ἐπιδεκτικὴν εἶναι τῶν ἐναντίων φησίν, ἀλλ' οὐχὶ οὐσιῶσθαι ἐν τοῖς ἐναντίοις· τὸ δὲ πῦρ οὐκ ἐδέξατο τὴν θερμότητα, ἀλλ' ἔστιν αὐτοῦ ἐν τῇ οὐσίᾳ ἡ θερμότης. οὐδὲν δὲ ἑαυτὸ ἐπιδέχεται, ἀλλὰ τῶν ἔξωθέν τι, οἷον τὸ ὕδωρ θερμότητα ἐπιδέχεται ἐπίκτητον οὖσαν ποιότητα. ὑγρότητα δὲ οὐκέτι (σύμφυτος γάρ ἐστιν αὐτῷ). καὶ ἡ γῆ ὑγρότητα μὲν ἐπιδέχεται ὡς ἂν ἐκτὸς οὖσαν ποιότητα. ξηρότητα δὲ οὐδαμῶς· τῇ γὰρ οὐσίᾳ αὐτῆς συνυπάρχει. καὶ τὰ οὐράνια τοίνυν ἐν τῇ κυκλοφορίᾳ τὸ εἶναι ἔχει καὶ οὐκ ἂν ἔχοι τινὰ παραδοχὴν τῆς ἐναντιώσεως. ἔτι οὐδὲ ποιότητές εἰσιν αἱ τοιαῦται ἰδιότητες, ἀλλ' οὐσιώδεις διαφοραὶ καὶ συμπληρωτικαὶ τῆς οὐσίας, ὥστε οὐκ ἂν μένον τι ἐξίσταιτο τῶν κατ' οὐσίαν ὑπαρχόντων. οἷς οὖν μὴ φύσει καὶ ἀχωρίστως θάτερον ὑπάρχει. ταῦτα δεκτικά ἐστι τῶν ἐναντίων.

λη. Ἀλλ' ἐπανέλθωμεν πάλιν ἐφ' ἑτέρας ἀπορίας. ὥσπερ τὰ γένη καὶ τὰ εἴδη πρὸς τὴν οἰκείαν ὑπόστασιν οὐκ ἐξήρκει ἑαυτοῖς τὸ δέχεσθαι

2 λέγεται εἶναι colloc. AM 3 εἶναι (ante λέγεται) supra ser. A 5 post ἠδύνατο addendum ἂν coni. Spengel (haud recte) 7 τῷ καλῷ ex τὸ καλόν corr. C μέντοι ex μέντι corr. R^2 8 αἱ αὐταὶ ACR^2M: ἑαυταὶ R^1 10 διότι CR: ὅτι AM τοιάδε CR: τοιαύτη AMs 12 ἄλλο ex ἄλλον corr. R^2 αὐτῇ $C^2R^2M^2$: αὐτῷ $AC^1M^1R^1$ 13 ὅς Simpl. (f. 28v63): ὡς ACMRs 14 φύσει] κινήσει Simpl. 15 δὲ CR Simpl.: γὰρ AM 17 καὶ ἡ χιὼν—θερμότητος δὲ οὔ om. C 18 οὖν CR: om. AM 19 γίνεσθαι A 29 ὥστε in lit. R^1 μένον τι C Simpl.: μένοντι AMRs 29. 30 ἐξίσταιτο Simpl.: ἐξίστατο ACMRs 30 οὖν supra ser. C post φύσει add. κεχώ (sic) del. A 32 πάλιν AMR: τοίνυν C ἐφ' ἑτέρας ἀπορίας R: ἐφ' ἑτέραν κατηγορίαν A: ἐπ' ἄλλην ἀπορίαν C: ἐφ' ἑτέρας κατηγορίας Ms an ὥσπερ ⟨γὰρ⟩? 33 corrigas ⟨εἰς⟩ τὸ δέχεσθαι

τὰ ἐναντία, ἀλλὰ κατὰ τὰς ὑποκειμένας ἀτόμους οὐσίας, οὕτως οὐδὲ αἱ ἕξεις καὶ αἱ διαθέσεις καὶ αἱ κινήσεις καθ' ἑαυτὰς δέχονται τὰ ἐναντία, ἀλλὰ κατὰ τὰ ὑποκείμενα αἰσθητά.

Φαμὲν δὴ οὖν ὅτι τῇ οὐσίᾳ ὑπάρχει τὸ δέχεσθαι τὰ ἐναντία, διότι ὑπόκειται πανταχοῦ πᾶσι καὶ περὶ αὐτὴν καὶ ἐν αὐτῇ πάντα ὑπάρχει, ὥστε καὶ περὶ αὐτὴν τὰ ἐναντία ἐστί, τῶν δὲ ἄλλων οὐδενὶ τὸ ἐπιδεκτικὸν ὑπάρχει. οὐδὲ γὰρ πρὸς τὴν οἰκείαν ὑπόστασιν ἐξήρκει ἑαυτοῖς τὰ συμβεβηκότα. ἀλλ' ἑτέρας ὑποβάθρας δεῖται πρὸς τὸ εἶναι, καὶ οὐδὲ τὴν ἀρχὴν ὑπόκειται οὐδενί· πῶς ἂν οὖν δέχοιτο τὰ ἐναντία ἅ γε οὐδὲ ὑπομένει; τὸ μὲν γὰρ ὑποκείμενον οἷον τὸ σῶμα λευκὸν καὶ μέλαν γίγνεται μένον σῶμα, τὸ δὲ χρῶμα οὔ, οὐδὲ ὅταν ἐκ λευκοῦ μέλαν γένηται, τὸ λευκὸν παρὸν δέχεται τὸ μέλαν, ἀλλὰ τὸ μὲν οὐκέτι ἐστὶν οὐδὲ μένον παραδέχεται τὴν ἐναντίαν πρὸς ἑαυτὸ μορφήν, ἀλλ' ἐξίσταται, τὸ δὲ ἐγγίγνεται. καὶ τὸ μὲν ζῷον καὶ ὁ ἄνθρωπος ἐπειδὴ ὑπομένει, δέχεται τὰ ἐναντία, καθόσον εἰσὶν οὐσίαι ἐν τῷ τινὶ ἀνθρώπῳ, τὸ δὲ χρῶμα οὐχ ὑπομένει, διὰ τοῦτο οὐκ ἐπιδέχεται· ὅταν γὰρ ἀπίῃ τὸ λευκόν, συναπέρχεται σὺν αὐτῷ καὶ τὸ χρῶμα καὶ οὐκέτι ἔσται, καὶ ἅμα τῷ παραγίνεσθαι τὴν μελανίαν παραγίνεται ἡ ἐπ' αὐτῇ χροιά, ἢ εἰ μὴ τοῦτό ἐστιν ὅτε ἐστίν, οὐ μέντοι μένον τὸ χρῶμα τὰ ἐξιόντα καὶ εἰσιόντα δέχεται.

λθ. Πάλιν Πλωτῖνος ἀπορεῖ λέγων, ὅτι συμβεβηκός ἐστι περὶ τὴν οὐσίαν τὸ δέχεσθαι ἀνὰ μέρος τὰ ἐναντία, ὥστε ὃ μέν ἐστιν ἡ οὐσία οὐκ εἴρηκεν, οὐδὲ ὅπερ ἀεὶ ὑπάρχει ἰδίως παρέστησεν ὁ Ἀριστοτέλης, ὃ δὲ ἄλλως αὐτῇ παρηκολούθηκε, δεδήλωκε.

Φήσομεν οὖν πρὸς τὸν ἄνδρα τὸν ταῦτ' ἀποροῦντα, ὡς κρεῖττόν τι ἢ κατὰ τὴν αἰσθητὴν οὐσίαν ἀπαιτεῖ, ὃ μέλλει ταὐτὸ παρέχειν πᾶσιν οὐσίας εἶδος, οὐ προσποιεῖται δέ, ὅτι συμπεφορημένης ταύτης οὔσης δεῖ καὶ τὰ ἰδιώματα τοιαῦτα εἶναι, ὁποία αὐτή ἐστιν. ἐπεὶ καὶ νῦν ὁ Ἀριστοτέλης βουλόμενος ἐνδείξασθαι τὸ συμπεφορημένον καὶ μὴ ἀληθινὸν τῆς ἐνόλου καὶ συνθέτου καὶ ἐν γενέσει οὐσίας διὰ τῆς μεταβολῆς τῆς εἰς τὰ ἐναντία ἐποιήσατο τὴν ἀπόδοσιν, ὥστε τὸ σύνθετον τῆς οὐσίας καὶ κατὰ πλῆθος

4 δὴ om. C 5 ἐν αὐτῇ Simpl. (f. 29r64): ἐφ' ἑαυτῇ AMs: ἐφ' ἑαυτὴν CR 6 τὰ ex τῷ corr. A 10 οἷον CR Simpl.: ἤγουν AM γίνεται C 12 μένον CR: μόνον AM 15 εἰσὶν AMR Simpl.: om. C 16 ἀπίῃ Simpl.: ἀπῇ ACMR 16. 17 σὺν αὐτῷ CR: μετ' αὐτοῦ AM Simpl. (fort. recte) 17 καὶ (ante οὐκέτι) Simpl.: ἢ ACMRs τῷ παραγίνεσθαι Simpl.: τὸ παράγεσθαι ACMR 18 ὅτε ἐστίν AMR: om. C: ὅτε περίεστιν Simpl. 19 εἰσιόντα καὶ ἐξιόντα colloc. AM Simpl. δέχεσθαι C 20 Πλωτῖνος ἀπορεῖ] cf. Enn. VI lib. I, 2 (p. 567) lib. III, 6 (p. 621) ἀπορεῖ λέγων ὅτι CR: λέγει (etiam ὅτι om.) AM 24. 25 κρεῖττόν τι ἢ κατὰ correxi ex Simpl. (ἀόρατόν τι ζητεῖ καὶ κρεῖττον ἢ κατά): κριτήν τινα καὶ CRs: καὶ (κριτήν τινα in lac. om.) AM 25 αἰσθητὴν CMR: αἴσθησιν A ἀπαιτεῖ] ἀπαίτει MR: ἀπάντησιν C: ἀπαιτεῖν s: in lac. om. A μέλει A ταὐτὸ CR: ταὐτὸν AM Simpl. (fort. recte) 26 προσποιεῖται ex προσωποεῖται corr. M: προσποιεῖσθαι coni. Spengel ταύτης συμπεφ. οὔσης colloc. AM: συμπεφ. οὔσης ταύτης colloc. C 29 καὶ ἐν γενέσει in mrg. suppl. A 30 ὥστε] ὡς R¹ (τε add. m.²)

θεωρούμενον λογιζόμενος οὕτως καὶ τὸ ἴδιον αὐτῆς θεωρεῖ, ὥστε καὶ τῇ φύσει αὐτῆς καὶ τῇ τοιαύτῃ ὑποστάσει ὀφεῖλον συνυπάρχειν. εἰ μὲν οὖν ποτὲ μὲν εἶχε τὸ τῶν ἐναντίων ἀνὰ μέρος δεκτικόν, ποτὲ δὲ μὴ εἶχε, συμβεβηκὸς ἂν ἦν τοῦτο· ἐπεὶ δὲ δυνάμει ὑπάρχει αὐτῇ τὸ πρὸς τἀναντία αὐτὴν ὑποκεῖσθαι, τοιαύτη δέ ἐστι καὶ ἡ σύνθετος οὐσία ὡς πάντων μετέχειν τῶν εἰδῶν καὶ συμπεφορῆσθαι ἐκ τῶν εἰς τὴν ὕλην ἐρχομένων πάντων, εἰκότως τῷ συνθέτῳ αὐτῆς καὶ ἡ πρὸς τὰ ἐναντία ὑποδοχὴ συνελήλυθεν.

μ. Ὁμοίως Πλωτῖνος ἀπορεῖ. εἰ ἡ αἰσθητὴ οὐσία οὐκ ἄνευ μεγέθους οὐδ' ἄνευ ποιότητος. πῶς τὰ συμβεβηκότα αὐτῆς χωρίζομεν. ἔστω δὲ τὸ λεγόμενον ἐπὶ παραδείγματος· τοῦ πυρὸς οὐσίας λεγομένης ἐὰν τὸ ξηρὸν καὶ θερμὸν θελήσωμεν χωρίσαι, οὐκ ἔτι ἔσται τὸ ὅλον οὐσία, ἀλλά τι αὐτοῦ μέρος· τοῦτο δέ ἐστιν ἡ ὕλη, ὥστε μόνη ἡ οὐσία εὑρεθήσεται ἡ ὕλη. 72

Πρῶτον μὲν οὖν τὸ σύμμικτον καὶ συμπεφορημένον τῆς ἐνταῦθα οὐσίας οὐχ ὁρᾷ, ἀλλὰ ἀποδιαλαμβάνων καθ' ἑαυτὰ θεωρεῖ τὰ ὑπάρχοντα αὐτῇ, μηδαμῶς αὐτῶν κατ' ἰδίαν ὑφεστηκότων ἀλλὰ πάντων ἐν ἀλλήλοις καὶ μετ' ἀλλήλων τὸ ὁπωσοῦν ὑφεστάναι ἐχόντων, δεύτερον δέ, ὅτι τὸ θερμὸν καὶ τὸ ξηρὸν καὶ τὰς κατ' εἴδη συμπληρωτικὰς διαφορὰς ὡς χωριστὰς ποιότητας διαλαμβάνει, καὶ τὴν κατὰ τὸ εἶδος οὐσίαν οὐ προσποιεῖται οὐδὲ ὅτι ἡ πρώτη ὑπόστασις τῆς συνθέτου οὐσίας ἐξ ὕλης ἐστὶ καὶ εἴδους, ὥσπερ ἐν τοῖς Φυσικοῖς δείκνυται. τῶν δὲ ἐπεισιόντων αὐτῇ αἱ μὲν οὐσιώδεις ποιότητες συμπληροῦσιν αὐτὴν καὶ συνυφιστᾶσιν, αἱ δὲ ὡς χωρισταὶ ἐπιγίγνονται. ἀπὸ γὰρ τούτων προῆλθεν εἰς ὑπόνοιαν τοῦ νομίζειν εἶναι τὴν ὕλην κυρίως οὐσίαν κατὰ Ἀριστοτέλην. τὸ δὲ οὐχ οὕτως ἔχει· ἔδειξε γὰρ ἐν τοῖς Φυσικοῖς, ὅτι τὸ εἶδος μάλιστά ἐστιν ἡ οὐσία. ἔπειτα οὐδὲ αἱ ποιότητες αἱ οὐσιώδεις, αἳ ὑπάρχουσι μετ' αὐτῆς, χωρίζονται. ἀλλὰ δυνάμει ἐκείνην τηροῦσιν (ἡ μὲν γὰρ τούτων σύνοδος τὸ ὅλον ὑφίστησι), μένει μέντοι ἡ ὕλη δυνάμει, κἂν τὰς οὐσιώδεις ποιότητας κἂν τὰ χωριστὰ δέχηται. τὸ οὖν οὐκ ἄνευ μεγέθους καὶ οὐκ ἄνευ ποιότητος τὴν αἰσθητὴν οὐσίαν θεωρεῖσθαι λέγεται μὲν ὀρθῶς, οὐκέτι μέντοι ὅπερ ἐστὶν ἀληθὲς τοῦτο προστιθέμενον ἔχει τὸ ὅτι κἂν τὰ εἴδη τῇ ἐπινοίᾳ χωριζόμενα, ἀλλ' ἡ ὕλη δυνάμει μένει ἐμφανταζομένη τῇ τῶν εἰδῶν συνόδῳ, ὥστε εἰ μηδὲ εἶναι ἄνευ τῶν εἰδῶν ἡ ὕλη δύναται, κυριωτέρα ἐστὶν οὐσία ἡ κατὰ τὸ εἶδος.

---

1 θεωρούμενον coni. Spengel: θεωρουμένης codd. 1. 2 aut ὡς (pro ὥστε) aut ὀφεῖλειν coni. Spengel 4 αὐτῇ CR: ex αὐτῆς corr. A: αὐτῆς Ms 5. 6 μετέχειν CMR: μετέχει A 6 συμπεφορεῖσθαι A 9 Πλωτῖνος ἀπορεῖ] cf. Enn. VI lib. III, 8 p. 623 10 ἄνευ ποιότης A αὐτῆς AMR: αὐτῇ C 11 δὲ CMR: δὴ A 12 χωρῆσαι AM[1] 20 ὡς ACMR Simpl. (f. 29v65): οὐ S[s] 21. 22 καὶ εἴδους ἐστὶν colloc. C 22 ἐν τοῖς Φυσικοῖς] cf. A 7 p. 189b30 sq. 23 ante οὐσιώδεις add. ὡς AM: om. CR 25 τὴν ὕλην εἶναι colloc. AM 26 ἡ supra scr. A 30 δέχηται ex δέχεται corr. A οὐκ (alterum) om. A 33 χωριζόμενα] corrigas χωρίζωμεν μένει, fort. etiam ὅπερ ἐστὶν (v. 32) huc (post μένει) transponas ἐνφανταζομένη CR 35 ἡ οὐσία ἡ C

μα. Ἀλλ' οὐχὶ εἰ μὴ πάσχοι τὸ τῶν ἐκτὸς πάθος ὁ λόγος καὶ ἡ δόξα, οὐδὲ ὅλως πάσχει; πάσχει γὰρ ὁ λόγος καὶ δέχεται τὴν ἐν αὐτῷ μεταβολὴν τὴν κατὰ τὸ ἀληθεύειν καὶ ψεύδεσθαι· λόγου γὰρ αὕτη ἐναντίωσις καὶ τῆς δόξης αὐτῆς. ἐπεὶ ὥρα γε λέγειν μηδὲ τὴν ψυχὴν δεκτικὴν εἶναι τῶν ἐναντίων, ἐπεὶ οὐ δέχεται τὸ λευκὸν καὶ μέλαν (οὐδὲ γὰρ πέφυκε τούτων εἶναι ἐπιδεκτική), ἀλλ' ἐπιδέχεται ἃ πέφυκε δέχεσθαι οἷον φρόνησιν καὶ ἀφροσύνην, διὰ τοῦτο ἔσται περὶ αὐτὴν ἡ οἰκεία ἐναντίωσις· οὕτως οὖν καὶ ἐνταῦθα, ὡς ὁ λόγος δέχεται τὰ ἐναντία καὶ ἡ δόξα, τοῦτ' ἔστιν τὴν κατὰ τὸ ἀληθὲς καὶ ψεῦδος δεχόμενα μεταβολήν, οὐ μέντοι τὴν κατὰ τὸ καθῆσθαι ἢ μὴ καθῆσθαι. ἔσται οὖν περὶ αὐτὰ κατὰ μεταβολὴν ἡ ἐναντίωσις τὴν προσήκουσαν τῷ λόγῳ καὶ τῇ δόξῃ.

Πρὸς δὴ ταῦτα ἐροῦμεν, ὅτι οὐ καθ' ἑαυτὸν ὁ λόγος ἐπιδέχεται τὸ ἀληθὲς καὶ τὸ ψεῦδος μηνυτικός γε ὤν, ἀλλ' οὐ κατὰ τὴν οἰκείαν φύσιν κατὰ τὸ πρός τι ἐπιδέχεται τὸ ἀληθὲς καὶ τὸ ψεῦδος· κατὰ γὰρ τὸ σύμφωνος ἢ ἀσύμφωνος εἶναι τοῖς πράγμασιν ἀληθεύειν ἢ ψεύδεσθαι λέγεται. ὥσπερ οὖν ἐν τοῖς πρός τι μηδεμιᾶς ἐν αὐτοῖς μεταβολῆς γενομένης ὁ δεξιὸς ἀριστερὸς γίγνεται τῷ ἄλλον μετακινηθῆναι, οὕτω καὶ ἐνταῦθα οὐ τῷ παθεῖν τι τὸν λόγον ἢ μεταβάλλειν τὴν δόξαν ἐξ ἀληθῶν ψευδῆ γίγνεται, ἀλλὰ μένοντα ἀκίνητα διὰ τὴν τῶν πραγμάτων μεταβολὴν δοκεῖ ἄλλοτε ἄλλως ἔχειν· εἰ δ' ἄρα τις καὶ δοίη λόγου ὡς λόγου καὶ δόξης εἶναι τὰς τοιαύτας μεταβολάς, ἔσται μὲν ἡ μεταβολὴ κατὰ τὸ ἀληθὲς καὶ ψεῦδος, οὐ μέντοι τῷ αὐτὰ παθεῖν· μένει γὰρ ἀκίνητα.

μβ. Ἀλλ' ἄγε εἰ βούλει συγχωρήσωμεν ἴδιον τῆς οὐσίας τοῦτο εἶναι, ἀλλ' ὅμως οὐ παρίστησι τί ἐστιν ἡ οὐσία· τίνι γὰρ ἐπερείσαντες τὴν διάνοιαν τὰ μὲν οὐσίας λέγομεν, τὰ δὲ πάθη; εἰ μὲν τῷ τόδε εἶναι καὶ τῷ μὴ ἐν ἄλλῳ ὑπάρχειν, τὸ εἶδος καὶ τὸ γένος τοῦτο οὐχ ἕξει· κατὰ μὲν γὰρ τῆς ἀτόμου οὐσίας τὸ εἶδος λέγεται, τὸ δὲ γένος καὶ κατὰ τοῦ εἴδους καὶ κατὰ τοῦ ἀτόμου.

---

1 πάσχοι AM: πάσχει C: πάσχῃ R (κἂν μὴ πάσχῃ Simpl. f. 29ᵛ69) 1. 2 ante ἡ δόξα add. δέχεται del. A 2 αὐτῷ M Simpl.: αὐτῷ ACR 4 αὐτῆς] an ἡ αὐτή? 5 εἶναι δεκτικὴν colloc. C 8 ὁ λόγος AM Simpl.: λόγος CR 9 δεχόμενα fort. cicias 10 τὸ AM Simpl.: om. CR 14 τὸ om. C οὐ κατὰ τὴν οἰκείαν φύσιν cicias, nisi malis post φύσιν hunc fere defectum statuere ἀλλὰ κατὰ τὴν πρὸς τὰ πράγματα σχέσιν, διὰ τοῦτο 16 ψεύδεσθαι ex ψεύδεται corr. A 17 γενομένης AM: γινομένης R corr. C 18 γίνεται C μετακινησθῆναι R 19 an ⟨καὶ⟩ τὴν δόξαν? 21 an δόξης ⟨ὡς δόξης⟩? 22 ἔσται AMR: ἔστι C post μὲν add. οὖν C καὶ om. C 23 τῷ AM: τὸ CRs 24 ἀλλά γε A συγχωρήσωμεν ACR: συγχωρήσομεν Ms ἴδιον τῆς οὐσίας C: oblitt. R (sed ἴδιον ante τῆς οὐσίας videtur fuisse): τῆς οὐσίας ἴδιον AMs 25 ἡ οὐσία AM: οὐσία CRs (cf. p. 44,4) 26 λέγωμεν coni. Spengel 27 τοῦτο coni. Spengel: τούτου libri οὐχ ἕξει ACR: οὐκ ἕξει Ms (οὐδὲν τούτων ἔχει Simpl.) 28 τὸ δὲ γένος καὶ κατὰ τοῦ εἴδους C²R: τὸ δὲ γένος καὶ κατὰ τὸ εἶδος C¹: καὶ κατὰ τοῦ εἴδους δὲ τὸ γένος (ex τοῦ γένους corr. A) AM²: κατὰ δὲ τοῦ εἴδους δὲ τὸ γένος M¹

Πρῶτον μὲν οὖν ἐροῦμεν, ὅτι κατ' ἄλλου οὕτως λέγεται οὐχ ὡς τὸ 25
συμβεβηκός, ὅ τι μὲν ἄλλῳ, ἀλλ' ὡς γένος, ὅ τι συμπληρωτικὸν τοῦ ὑποκει-
μένου καὶ ὡσαύτως περὶ αὐτοῦ λεγόμενον. ἔπειτα ὃ πολλάκις εἰρήκαμεν
πρὸς τὸν ἄνδρα, κἀκεῖνο προστίθεμεν, ὡς οὐ χρὴ τὴν ἀσώματον οὐσίαν 74
5 ἐπιζητεῖν ἐπὶ τῶν σωμάτων οὐδὲ τὸ καθ' ἑαυτὸ καὶ ἓν κεχωρισμένον ἐπὶ
τῶν μὴ δυναμένων ἐπιδέχεσθαι ταῦτα. χρὴ δὲ καὶ τοῦτο εἰδέναι, ὡς τῶν
ἀνωτάτω γενῶν οὐχ οἷόντε ἀκριβεῖς ὅρους ἀποδιδόναι οὐδὲ τὴν οὐσίαν
αὐτῶν τελέως πᾶσαν περιλαβεῖν δυνατόν· πᾶσα γὰρ ἀπὸ τῶν ὑστέρων γίνε- 5
ται ἡ περὶ αὐτῶν διδασκαλία ὑπομνήσει μᾶλλον ἐοικυῖα καὶ ὑπογραφῇ. οὐ
10 δεῖ τοίνυν πλέον ἐπιζητεῖν παρὰ τοῦ λόγου ἢ ὅσον ἐπιδέχεται ἡ τῶν πραγ-
μάτων σαφήνεια, ὥστε ἐξαρκεῖ καὶ τὸ ἴδιον ἀποδοῦναι, ἀφ' οὗ εἰ κατ'
οὐσίαν αἱ λέξεις κατηγοροῦνται, ἔνεστι μαθεῖν.

2 μὲν] μὲν ⟨ἐν⟩ coni. Sahume: ἐν Spengel; an καὶ ἐν? 5 ἐπιζητεῖν CR: ζητεῖν AM

ΔΕΞΙΠΠΟΥ ΠΛΑΤΩΝΙΚΟΥ ΦΙΛΟΣΟΦΟΥ ΤΩΝ ΕΙΣ ΤΑΣ ΑΡΙΣΤΟτ. 75
ΤΕΛΟΥΣ ΚΑΤΕΓΟΡΙΑΣ ΑΠΟΡΙΩΝ ΤΕ ΚΑΙ ΛΥΣΕΩΝ ΤΡΙΤΟΝ.

Κεφάλαια τοῦ τρίτου βιβλίου.

α. Ὅτι κατὰ Πλωτῖνον ἡ ποιότης ὀφείλει προτάττεσθαι τοῦ ποσοῦ.

5 β. Ἀπορία Πλωτίνου, ἐν ᾗ ζητεῖται, τί κοινὸν κατὰ τοῦ συνεχοῦς καὶ διωρισμένου τὸ κατηγορούμενον. 5

γ. Ὅτι τὸ διωρισμένον ποσὸν πρότερόν ἐστι τοῦ συνεχοῦς, καὶ συναναιρεῖ μέν, οὐ συναναιρεῖται δέ, καὶ συνεπιφέρεται μὲν ὑπὸ τοῦ συνεχοῦς, οὐ συνεπιφέρει δέ.

10 δ. Πλωτίνου ἀπορία, ὅτι ἄλλη μὲν ἡ φύσις τοῦ ἀριθμοῦ καθ' ἑαυτήν ἐστιν, ἄλλη δὲ καθ' ἣν τὸ τοσόνδε αὐτῇ ὑπάρχει. 10

ε. Πλωτίνου ἀπορία, πότερον ἐνυπάρχει τοῖς ἀριθμουμένοις ὁ ἀριθμὸς ἢ χωρὶς αὐτῶν μετρεῖ.

ς. Ὅτι ἡ αὐτὸ τοῦτο ποσότης οὐ πάντως ἐστὶ ποσόν.

15 ζ. Ἀπορία Πλωτίνου, ὅτι τῷ λόγῳ τὸ ποσὸν συμβέβηκε. 15

η. Πλωτίνου ἀπορία, ὅτι οὐ δι' ἑαυτόν, ἀλλ' ἐν τῷ χρόνῳ ὄντι ποσῷ λεγόμενος ὁ λόγος καὶ αὐτὸς ποσὸν νομίζεται.

ϑ. Πλωτίνου ἀπορία, ὅτι οὐκ ἐξαρκεῖ τὸ μετρεῖσθαι πρὸς τὸ εἶναι ποσόν.

20 ι. Ἄλλη Πλωτίνου ἀπορία, ὅτι ὡς ἡ πρᾶξις κατὰ συμβεβηκός ἐστι ποσή, οὕτω καὶ ὁ λόγος. | 20

ια. Ὅτι οὐ δύναται ὁ λόγος τῶν μετὰ συμπλοκῆς ὢν ὑπὸ κατηγορίαν πίπτειν, εἴ γε αἱ κατηγορίαι ἁπλαῖ εἰσιν. 76

ιβ. Ὅτι μᾶλλον ἔδει συνεχῆ λέγειν τὸν λόγον καὶ τὸν ἀριθμὸν ἢ τὸ

25 σῶμα.

---

1 titulum et indicem om. AM: exhib. CR τῶν R: om. C 2 ante τρίτον add. βιβλίον C (cf. p. 36,2) 3 τρίτου] Γ in lit. R² 7. S συναναιρεῖ CR²: συναιρεῖ R¹ 9 συνεπιφέρει ex ἀναιρεῖται corr. R¹ 12 ἐνυπάρχει coni. Spengel: ἐνσυνυπάρχει CR (cf. p. 69,7) 14 ἡ αὐτοποσότης Simpl. (f. 33r17) quod reponas 16 οὐ δι' C: οὐδ' Rs 17 λόγος ex χρόνος corr. C αὐτὸ C νομίζεται scripsi: γίνεται del. CR: uncinis inclus. s (cf. p. 70,16) 22 οὐ δύναται R: ἀδύνατον C

ιγ. Διὰ τί ὡς ἀμφιβάλλων εἶπεν εἰ τὰ πέντε τῶν δέκα μόριον;
ιδ. Ὅτι σῶμα καὶ μέγεθος καὶ γραμμὴ καὶ ἐπιφάνεια καθ᾽ ἑαυτὰ οὐκ ἔστι ποσά, ἀλλὰ τῷ μετασχεῖν τοῦ ποσοῦ.
ιε. Ὅτι μὴ προδιδάξας περὶ τόπου καὶ χρόνου χρῆται αὐτοῖς ὡς ἤδη προεγνωσμένοις.
ις. Ὅτι τρίτον εἶδος ἄλλο ποσοῦ παραφῆκεν.
ιζ. Πλωτίνου ἀπορία περὶ τοῦ χρόνου πῶς λέγεται ποσός.
ιη. Ὅτι ὁ χρόνος μᾶλλόν ἐστι τοῦ πρός τι.
ιθ. Πλωτίνου ἀπορία περὶ τοῦ τόπου.
κ. Πότερον δύο ἢ τρία ὑπάρχειν δεῖ τοῖς θέσιν ἔχουσιν:
κα. Εἰ προηγουμένως ὁ τόπος καὶ ἡ ἐπιφάνεια θέσιν ἔχει;
κβ. Ὅτι ὅλως οὐ δύναται εἶναι θέσις.
κγ. Ὅτι ἡ ἐπιφάνεια κατὰ συμβεβηκός ἐστι ποσή.
κδ. Ὅτι τινὰ θέσιν ἔχοντα οὐκ ἔστι ποσά.
κε. Τί κριτήριον τοῦ διωρισμένου ποσοῦ καὶ τοῦ ἀορίστου:
κς. Διὰ τί τὸ ἄοριστον ποσὸν τὸ μὲν ἁπλῶς λέγεται, τὸ δὲ πρός τι;
κζ. Ὅτι ἐναντίωσίς ἐστιν ἐν τῷ ποσῷ, καὶ ταῦτα λέγοντος Ἀριστοτέλους τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον.
κη. Ὅτι δύναται τὸ πολὺ καὶ τὸ ὀλίγον ποσά εἶναι.
κθ. Πότερον τὰ σχήματα ποιὰ δεῖ λέγειν ἢ ποσά;
λ. Ποῦ χρὴ τάττειν τὴν γεωμετρίαν, ἐν τῷ ποσῷ ἢ ἐν τῷ ποιῷ;
λα. Πῶς λέγει τῷ ποσῷ μηδὲν εἶναι ἐναντίον;
λβ. Ὅτι ὁ τόπος οὐκ ἔστι καθ᾽ ἑαυτὸν αἴτιος τῆς ἐπὶ τοσόνδε κινήσεως.
λγ. Διὰ τί οὐ λέγομεν τὰ κατὰ διάμετρον ἐναντία, εἴ γε τὴν ἐναντιότητα τῇ μεγίστῃ διαστάσει μετροῦμεν;
λδ. Πότερον καὶ ἐπὶ τῆς βαρύτητος καὶ κουφότητος τὸ ἴσον καὶ ἄνισον χρὴ λέγειν ἢ οὔ;
λε. Ὅτι ἐὰν ὡς ἐπὶ ποιῶν τοῦ βαρέος καὶ κούφου τὸ ἴσον καὶ ἄνισον 77
λέγηται, οὐκ ἂν ἴδιον εἴη τοῦτο τοῦ ποσοῦ.
λς. Διὰ τί εἶπε τῶν δὲ λοιπῶν ὃ μή ἐστι ποσόν, οὐ πάνυ ἂν δόξειεν ἴσον τε καὶ ἄνισον λέγεσθαι;
λζ. Ὅτι εἰ καὶ ἐπὶ ποσοῦ λέγεται τὸ ὅμοιον καὶ τὸ ἀνόμοιον, οὐκ ἂν εἴη ἴδιον τοῦ ποιοῦ;
λη. Πῶς ἀνελὼν τὴν ἐναντιότητα τοῦ ποσοῦ ἐν τῷ ἰδίῳ αὐτοῦ ἐναντίωσιν ὑποτίθεται;
λθ. Ὅτι οὐ παντὶ ὑπάρχει τῷ ποσῷ τὸ ἴσον τε καὶ ἄνισον λέγεσθαι.
μ. Ποῦ χρὴ τάττειν τὰς τοῦ ποσοῦ ἀποφάσεις; |

1 ὡς R: om. C μόριον Arist. Simpl. (f. 33v24): μόρια CRs 7 et 9 Πλωτίνου ἀπορία] cf. Enn. VI lib. I, 5 (p. 570) lib. III, 11 (p. 626) 25. 26 εἴ γε et διαστάσει in lit. R² 30 λέγηται C: λέγη ex λέγεται corr. R¹: λέγῃ s 31. 32 ὅσα μή ἐστι ποσά, οὐ πάνυ ἂν δόξαι ἴσα τε καὶ ἄνισα Arist. 32 δόξειεν R: δόξαιεν C τε supra ser. C

α. Τὰ μὲν δὴ περὶ τῆς οὐσίας ἀπόρημματα, ὦ κάλλιστε τῶν ἐμῶν 78
ἑταίρων Σέλευκε, οὕτως ἡμῖν ἐξήτασται. βούλει δὲ μέχρι ταύτης ἱστώμεθα
ἢ πάλιν ἐπὶ τὴν τοῦ ποσοῦ φύσιν μεταβαίνωμεν;

Ἀλλ' οὔτε ἄλλῳ τῶν φιλοσόφων οὔτε δὴ μάλιστα σοὶ τῷ τοὺς πό-
5 νους ἀπαραιτήτους ἔχοντι ἀτέλεστον τὴν συγγραφὴν καταλιπεῖν πρέπει. 5
Ἡσίοδος μὲν γὰρ καὶ τὰ κάλλη τῶν οἰκοδομημάτων εἰς τέλος ἄγειν ἀξιοῖ,
ἵνα μή τις αὐτοῖς, ὡς ὁ ποιητὴς ἐκεῖνός φησιν,

ἐφεζομένη κρώζῃ λακέρυζα κορώνη,

ἡμεῖς δὲ οὐ φοβηθησόμεθα, μή τις ἡμᾶς εὐλόγως μέμψηται ὡς ἀπεγνω-
10 κότας ἑαυτῶν, εἰ μὴ πρὸς τέλος τῆς συγγραφῆς ἕξομεν, μᾶλλον δὲ μηδ' 10
εἶναι τροφίμους τῆς ἐλπίδος ἀποφαίνηται. ἣν δὴ Πίνδαρος γλυκεῖαν εἶναι
βούλεται καὶ τὴν καρδίαν ἀτάλλοισαν συναορεῖν. ταῦτα μὲν οὖν ἀφείσθω.
περὶ δὲ τῆς τάξεως τῶν κατηγοριῶν ἤδη πρὸς ἀλλήλους διαλεχθῶμεν.
πρῶτον γὰρ δεῖ σε τὴν αἰτίαν ἀποδοῦναι, δι' ἣν δεύτερον τὸ ποσὸν τάτ-
15 τεται μετὰ τὴν οὐσίαν. Πλωτῖνος γὰρ ἐνδηλότατα γνωρίσματα βούλεται 15
παρέχειν τὴν ποιότητα τοῦ μᾶλλον αὐτὴν εἶναι προσεχεστέραν τῇ οὐσίᾳ,
οὕτωσί πως τὸν λόγον ἐπερχόμενος. οὐσίαν τὴν κυριωτάτην εἶναι τιθέ-
μεθα τὸ εἶδος κατά γε αὐτὸν Ἀριστοτέλην· εἰ δὲ τοῦτο οὕτως | ἔχει, τὸ 79
συγγενὲς πρὸς τὸ εἶδος πρότερον ἂν εἴη τῶν διεστηκότων πορρωτέρω. ὁμο-
20 λογεῖται τοίνυν πρώτως ἀπὸ τοῦ εἴδους τὸ ποιὸν ὑφίστασθαι τοιοῦτον ὁποῖόν
ἐστι τὸ εἶδος, ὥστε εἰ τῇ κυριωτάτῃ οὐσίᾳ συνῆπται τῇ κατὰ τὸ εἶδος,
εἰκότως ἂν δευτέραν ἔχοι τάξιν τὸ ποιὸν μετὰ τὴν οὐσίαν. μάλιστα δὲ 5

---

2 ἱστώμεθα s lex coniect.: ἱστάμεθα ACMR 5 ἀπαραιτήτως A¹ (ους superscr.) πρέπει AM: δεῖ CR (fort. recte) 6 Ἡσίοδος] Opp. et d. 747. 7 ὁ CR: om. AM 8 λακέριζα C 10 ἕξομεν AM: ἕξωμεν CR (sed ω m.²) 11 Πίνδαρος] fragm. 233 (ed. maior Boeckh.), 198 (ed. alt. Bergk.) γλυκεῖαν Πίνδαρος colloc. AM εἶναι CR: om. AM 12 συναορεῖν Pind.: συναρεῖν ACMR 14 αἰτίαν scripsi: οὐσίαν libri (cf. Simpl. f. 31 r 1) 15 Πλωτῖνος] locum non inveni ἐνδηλότερα C βούλεται refecit R² 16 an τῇ ποιότητι? 18 ἐπερχόμενος AC: ἐπαρχόμενος MRs 18 κατά γε CR: κατ' AM ἀριστοτέλη C 20 ἀπὸ] ὑπὸ coni. Spengel 21 συνῆπτε C 22 ἔχοι AM: ἔχῃ CR

διότι τὸ ποιὸν ἀμέριστόν ἐστι καὶ ἀδιαίρετον καὶ ἀμερίστως περὶ τοῖς σώμασι κατὰ συμβεβηκὸς διαιρεῖται, διότι ποιόν ἐστι τὸ μετέχον τῆς ποιότητος. εὐλόγως ἂν οὖν κατά γε τοῦτο προτάττοιτο τοῦ ποσοῦ τὸ ποιόν, εἴπερ τὸ ἀδιάστατον τοῦ διαστατοῦ καὶ τὸ ἀμέριστον τοῦ μεριστοῦ καὶ τὸ ἀδιαίρε-
5 τον κατ' αὐτὸν τὸν τοῦ ποιοῦ λόγον τοῦ διαιρετοῦ καὶ τὸ ἁπλοῦν τοῦ 10 συνθέτου κατὰ φύσιν τε προτέτακται καὶ πρὸς τὰς ἀσωμάτους ἀρχάς ἐστιν οἰκειότερον.

Καὶ Ἀρχύτας μὲν ὁ Πυθαγορικός, ὦ προσεχέστατε Σέλευκε, τῇ τάξει ταύτῃ κέχρηται λέγων ὧδέ πως· 'ἁ δὲ τάξις αὐτῶν ὧδε ἔχει· πράτα
10 μὲν τέτακται ἁ οὐσία διὰ τὸ μόνον ταύταν ὑποκεῖσθαι τοῖς ἄλλοις, καὶ 15 αὐτὰν καθ' αὐτὰν δύνασθαι νοεῖσθαι, τὰς δὲ ἄλλας μὴ ἄνευ ταύτας· ἤτοι γὰρ κατ' αὐτᾶς ⟨ἢ αὐτᾷ⟩ ἐν ὑποκειμένᾳ καταγορεῦνται. δευτέρα δὲ ἁ ποιότας· ἄνευ γὰρ τῶ τί ἐστιν ἦμεν ἀδύνατον ποιόν τι ἦμεν.' οὕτω μὲν οὖν 20 οἱ ἀπὸ Πυθαγόρου καὶ Πλωτίνου χωρίζουσιν· ἡμεῖς δὲ ὑπὲρ Ἀριστοτέλους
15 ἀπολογιζόμενοι τοιαύτην τινὰ τὴν αἰτίαν τῆς τάξεως ἀποδίδομεν. πρῶτον μὲν τῷ ὄντως ὄντι καὶ νοητῷ καὶ ἑνὶ τὸ πλῆθος συνυπέστη καὶ τὰ εἴδη καὶ τὰ παραδείγματα, ⟨ἃ⟩ εἰ καὶ ἥνωται ἐν τῇ τοῦ θεοῦ νοήσει, ἀλλ' ἰδίαν οὐσίαν καὶ περιγραφὴν ἔχοντα ἐν τῇ ἁπλότητι τοῦ θεοῦ τὴν ἕνωσιν ἔχει 25
περιειλημμένην, ὥστε εἰ μετὰ τοῦ ὄντος εὐθὺς ὁ ἀριθμὸς τῶν εἰδῶν συνυπ-
20 άρχει, ἀπὸ τῶν πρώτων αἰτίων καὶ | τῶν νοητῶν ἡ ποσότης ἄρχεται. 80
ἔπειτα εἴ τις ὑποθοῖτο τὸ ἀπὸ τοῦ ἑνὸς παραχθὲν πλῆθος ἀναιρούμενον (ὅπερ οὐκ ἐκτέθειται ἔξω οὐδὲ κεχώρισται ἀπὸ τοῦ παράγοντος, ἀλλ' ἐν αὐτῷ καὶ περὶ αὐτὸ τὸ εἶναι ἔχει)· ἀναιρουμένου δὴ τοῦ πλήθους καὶ αὐτὰ τὰ εἴδη † τῆς ποιότητος παραφωμοίωται, συνανῄρηται. τῆς ἰδιότητος οὖν 5
25 τοῦ ποσοῦ ἀφαιρεθείσης εὐθὺς συνανῄρηται καὶ ἡ τοῦ εἴδους νόησις, ὥστε πλέον θάτερον γίνεται ἢ ὅπερ ἐκεῖνοι βούλονται. καὶ ταῦτα μὲν ἐπειδὴ πρὸς νοεροὺς ἄνδρας καὶ περὶ τῶν νοητῶν διαταττομένους καὶ κατ' ἐκεῖνα καὶ τὰ αἰσθητὰ τάττοντας νοερῶς ἀπαντᾶν ἔδει, οὕτως ἐπεχειρήσαμεν· εἰ

---

1 ἀμεριστόν ἐστι καὶ ἀδιαίρετον s (ex coniect.): ἀμέριστόν ἐστι καὶ διαιρετόν codd.; καὶ ἀδιάστατον addendum coni. Spengel (cf. v. 4), malim pro ἀδιαίρετον, quod in proximis καὶ ἀμερίστως—διαιρεῖται inest, ἀδιάστατον scribere secundum Simpl. (f. 31r2 εἰ τὸ μὲν ποιὸν ἀμέριστόν ἐστι καὶ ἀδιάστατον καὶ ἀμερίστως διαιρεῖται περὶ τοῖς σώμασιν, τὸ δὲ ποσὸν διαστατὸν καὶ διαιρετὸν καὶ μεριστόν, εὐλόγως ....) 2 διαιρεῖται CR Simpl.: θεωρεῖται (ὀιαι superscr.) AM τῆς CR: om. AMs 8 ὦ CR: om. AMs 9 πράτα CR: πρώτα AM 10 ἁ om. Simpl. μόναν Simpl., quod reponas 11 νοεῖσθαι Simpl.: νοῆσαι codd. 12 κατ' αὐτᾶς s: καθ' αὐτᾶς AM: κατ' αὐτὰς CR: κατὰ ταύτας Simpl. ἢ αὐτᾷ ἐν ὑποκειμένᾳ scripsi: ἐν ὑποκειμένα ACM: ἐνυποκείμενα R: ἢ ταύτῃ ἐν ὑποκειμένῳ Simpl.: ἢ ἐν ὑποκειμένῳ s καταγορεῦνται Simpl.: κατηγορεύονται AMR: κατηγορεόνται C δὲ AM Simpl.: om. CR 12. 13 ποιότας A^2M Simpl.: ποιότης A^1C: ποιότητας R 14 χωρίζουσιν ACM^2R: διαχωρίζουσιν M^1 ὑπὲρ s Felic. (*pro*): ὑπὸ codd. 15 ἀποδίδωμεν C^1 17 ἃ inserui 20 ποσότης scripsi: ποιότης libri 24 τῆς ποιότητος παραφωμοίωται CR: παραφωμοίωται M: om. As (fort. recte) 28 οὕτω R ἐπεχειρίσαμεν C^1 (superscr. η), R

δὲ χρὴ τὸν Ἀριστοτέλους νοῦν ἀληθέστερον ἐξετάζειν. ἐκεῖθεν ἀρξώμεθα. τῷ σώματι καὶ τῇ τούτου διαστάσει συγγενεστέρα ἐστὶν ἡ τοῦ ποσοῦ φύσις ἤπερ ἡ τοῦ ποιοῦ, ὥστ' ἐπεὶ πλείονα τὰ κοινὰ τῷ ποσῷ ὑπάρχει πρὸς τὴν οὐσίαν, ἐλάττονα δὲ τῷ ποιῷ, εἰκότως τὸ ποσὸν δεύτερον μετὰ τὴν οὐσίαν τάττεται. αὐτίκα τὸ διαιρετὴν εἶναι, τὸ σύνθετον, τὸ τριχῇ διαστατήν, τὸ μεριστὴν τὴν οὐσίαν ἡ τοῦ ποσοῦ φύσις παραδηλοῖ, τὸ δὲ τοιάνδε μόνον ἡ τοῦ ποιοῦ. ἔδει τοίνυν κατὰ τὰ πλείω τὸ κοινὸν τάξαι, ἀλλ' οὐ κατὰ τὸ ἓν ὑπάρχοντα, ὥστ' ἐπεὶ τὴν σύνθετον καὶ σωματοειδῆ πρώτην οὐσίαν ὑπέθετο, εὐλόγως αὐτῇ τὸ ποσὸν συνέταξεν ὡς οἰκειότερον καὶ προσεχέστερον καὶ τῇ διαστάσει αὐτῆς συνυπάρχον. καὶ οὕτως δ' ἂν ἀπολογησαίμεθα· ἐπειδὴ πρὸς τὴν τοῦ λέγεσθαι χρείαν γνωριμώτερον ἡμῖν ἐστι τὸ σύνθετον, ἔσται διὰ τοῦτο καὶ τὸ τῷ συνθέτῳ διαστατὸν προσεοικὸς πρότερον τοῦ ἀδιαστάτου ποιοῦ.

β. Ἐπεὶ δὲ πάλιν ὁ Πλωτῖνος ἐνίσταται λέγων ὡς ἀμφότερα οὐ ῥητέον ὡσαύτως ποσά (εἰ μὲν γὰρ τὸ συνεχὲς ποσόν, τὸ διωρισμένον οὐκ ἔσται. εἰ δὲ τὸ διωρισμένον, οὐκ ἔσται τὸ συνεχές), δίκαιον ἤδη σοι τί ποτέ ἐστιν ἐν ἀμφοτέροις κοινὸν εἰπεῖν.

Ὡς μὲν οὖν συντόμως ἀπαντῆσαι πρὸς τὸ ζητούμενον, κοινὸν | ἔχουσι 81
τὸ μέτρον ἐν ἑαυτοῖς καὶ τὸ πέρας, ὅπερ ἐν τῷ διωρισμένῳ καὶ τῷ συνεχεῖ θεωρεῖται. ἐπειδὴ δὲ εἰκός ἐστι φιλονεικοῦντά τινα πρὸς ταῦτα τὸ ἐν τῷ μεγέθει ποσὸν τῷ μετασχεῖν ἀριθμοῦ ποσὸν ἀποφαίνεσθαι, τὸ δὲ προσλαμβάνον τὸ ποσὸν λέγεσθαι, ὅταν εἰς ἀριθμὸν ἀχθῇ δίπηχυ ἢ τρίπηχυ ἀφοριζόμενον, ἄξιον καὶ περὶ τούτου διελθεῖν. τὸ συνεχὲς καὶ τὸ διῃρημένον ἐν τῇ τοῦ παντὸς κόσμου συστάσει ἰδίαν ἔχον ἑκάτερον φύσιν θεωρεῖται· τὸ μὲν γὰρ διῃρημένον κατὰ παράθεσίν τε καὶ σωρείαν, τὸ δὲ συνεχὲς καθ' ἕνωσιν καὶ ἀλληλουχίαν νοεῖται, καὶ τὸ μὲν συνεχὲς καὶ ἡνωμένον καλεῖται μέγεθος, τὸ δὲ παρακείμενον καὶ διῃρημένον πλῆθος. τούτων δὴ οὕτω διωρισμένων κατὰ μὲν τὴν τοῦ μεγέθους οὐσίαν εἴς τε ὁ κόσμος ἐπινοεῖται καὶ λέγεται στερεὸς καὶ σφαιρικὸς καὶ συμπεφυκὼς ἑαυτῷ διατεταγμένος τε καὶ ἀλληλουχούμενος, κατὰ δὲ τὴν τοῦ πλήθους πάλιν ἰδέαν καὶ ἔννοιαν σφαῖραι καὶ ἀστέρες καὶ στοιχεῖα ζῷά τε καὶ φυτὰ ἐν αὐτῷ θεωρεῖται, καὶ τοῦ μὲν ἡνωμένου ἐπ' ἄπειρον ἐκ παντός ἐστιν ἡ τομή, ἡ δὲ αὔξησις ἐπὶ ὡρισμένον, τοῦ δὲ πλήθους κατὰ ἀντιπεπόνθησιν

---

5 διαιρετὴν εἶναι CMR: διαιρετεῖν εἶναι A 5. 6 διαστατήν CR: διαστατεῖν AMs
7 τὰ πλείω κοινὰ et τὸ ἓν ὑπάρχον coni. Spengel, recte, nisi malis κοινὸν (τὸ del.) et ὑπάρχοντα inter se permutare 8. 9 οὐσίαν πρώτην colloc. AM 11 γνωριμώτερον A²CM: γνωριμωτάτην A¹: γνωριμότερον R 13 ἀδιαστάτου AM: διαστατοῦ CR
14 ὁ Πλωτῖνος] cf. Enn. VI lib. I, 4 (p. 568) 15 ὡσαύτως CR mrg. M: οὕτως AM
17 κοινὸν ἐν ἀμφοτέρους colloc. AM 19 malim ἕν ⟨τε⟩ τῷ διωρισμένῳ 22 ἀχθῇ CM²R Plotin: ταχθῇ AM¹ 23 διελθεῖν CR: διαλαβεῖν AM 24 ἔχον ACM: ἔχων R 25 ante σωρείαν add. μέγεθος del. M 26 νοεῖται CR: θεωρεῖται AM
28 διωρισμένων AM: διῃρημένων CR 29 ἐπινοεῖται CR: θεωρεῖται AM συμπεφυκὸς CR 30 διατεταγμένος] διατεταμένος Simplic. (f. 32ᵛ11), quod reponas
32 αὐτῷ] τῶ in lit. R²

ἐπ' ἄπειρον μὲν ἡ αὔξησις, ἔμπαλιν δὲ ἡ τομὴ ἐπὶ ὡρισμένον, ἀμφότερα δὲ τὰ γένη ταῦτα ἐπιστήμαις ὑπάγεται, ἀριθμητικῇ μὲν τὸ πλῆθος, γεωμετρίᾳ δὲ τὸ μέγεθος· ὥστε εἴπερ καὶ ἐν τῷ ὑφεστηκέναι καὶ ἐν τῷ ⟨νοεῖσθαι⟩ διορίζεσθαι δεῖ ταῦτα ἀπ' ἀλλήλων, οὐκ ἂν εἴη τὸ μὲν πλῆθος καθ' ἑαυτὸ ποσόν, τὸ δὲ μέγεθος κατὰ συμβεβηκὸς ὡς ἀπὸ τοῦ ἀριθμοῦ τὸ τοσόνδε παραδεχόμενον· κοινὸν γὰρ ἐν αὐτοῖς ὑπάρχει τὸ μετρεῖσθαι καὶ τὸ πεπερατῶσθαι κατὰ τὴν ἰδίαν ἑκάστου ὑπόστασιν.

γ. Πρὸς μὲν δὴ τοῦτο οὕτως ἀπήντησας, δοκεῖ δέ μοι πρότερον εἶναι τὸ διῃρημένον τοῦ συνεχοῦς οὕτω τὸν λόγον ἐφοδεύοντι· τὸ συνεχὲς διαιρετόν ἐστιν εἰς ἀεὶ διαιρετά, μὴ ὄντος οὖν τοῦ διωρισμένου οὐδ' ἂν αὐτὸ εἴη, πρότερον ἄρα τὸ διωρισμένον ἐστὶ ποσὸν τοῦ συνεχοῦς. εἰ δὲ πρότερον, οὐκ ἂν εἴη κοινὸν αὐτὸ τὸ ποσόν· ἐν οἷς γὰρ τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον, ἐν τούτοις οὐ δύναται εἶναι κοινὸν γένος· τὰ μὲν γὰρ εἴδη οὐ συναναιρεῖ ἄλληλα, οὐδενὸς δ' εἴδους ἀναίρεσις ἀναιρεῖ τὸ γένος, ἐφ' ὧν δὲ τὸ πρότερον καὶ ὕστερον θεωρεῖται, ἐπὶ τούτων τὸ ἕτερον τοῦ ἑτέρου ἀναιρετικὸν δείκνυται.

Ἀλλ' εἴπερ ἀληθινῶς ἐθέλοιμεν σκοπεῖν, κατ' ἄλλο μὲν αὐτοῖς ἀποδώσομεν τὸ πρότερον καὶ ὕστερον, καθόσον δὲ τοῦ αὐτοῦ γένους μετέχει, τὴν ἴσην αὐτοῖς κοινωνίαν ὑπάρχουσαν εὑρήσομεν. ὁ γὰρ λόγος εἷς καὶ ὁ αὐτὸς θεωρούμενος κατὰ τὸ γένος συμπληρῶν ἕκαστον τῶν εἰδῶν ὑπ' οὐδενὸς κωλύεται ἅμα πᾶσι παρεῖναι τοῖς δυναμένοις ἐπίσης αὐτοῦ καὶ δι' αὐτῶν μεταλαμβάνειν, ὥστε κἂν ᾖ τὰ μὲν πρότερα τὰ δ' ὕστερα, φύσιν δ' ἔχῃ δι' ἑαυτῶν προσεχῶς ἐπικοινωνεῖν τῷ γένει, ἀμφοτέροις ἅμα παρέσται τὸ γένος τὴν αὐτὴν μετουσίαν αὐτοῦ παρέχον πρὸς τὰ δυνάμενα αὐτοῦ μεταλαμβάνειν. οὕτω τοι καὶ τὴν κατάφασιν τῆς ἀποφάσεως προτέραν οὖσαν τῇ φύσει, κατὰ τὸ ἀποφαίνεσθαι καὶ κατὰ τὸ ἀληθεύειν καὶ ψεύδεσθαι ἀπολαμβάνοντες τῷ λογισμῷ ἐπινοοῦμεν ὡς ὑπὸ τὸ αὐτὸ γένος. ὡς κατ' ἄλλο μὲν ἐχουσῶν αὐτῶν τὸ πρότερον καὶ ὕστερον, καθόσον δὲ τοῦ αὐτοῦ γένους ἐπικοινωνοῦσι, παραδεχομένων τὸ ὡς εἴδη ἀντιδιαιρεῖσθαι. ἀλλὰ μὴν ὅτι τε Ἀριστοτέλης περὶ τούτων ὑπείληφεν οὕτως, πρότερον μὲν ἡγούμενος εἶναι τὸν ἀριθμὸν τῇ τάξει, τῇ δὲ πρὸς τὸ αὐτὸ γένος ἀναφορᾷ τὴν ἴσην διαίρεσιν τοῦ διῃρημένου καὶ συνεχοῦς ποιούμενος, δῆλον πεποίηκεν ἀπὸ τῆς ἐν αὐτοῖς τάξεως. προέταξε γὰρ τὸ διωρισμένον τοῦ συν-

2 ἀριθμητικῇ et γεωμετρίᾳ scripsi: ἀριθμητικὴ et γεωμετρία s 3. 4 νοεῖσθαι inserui (cf. Simpl. f. 32r10 ἔτι δὲ τὸ μὲν ἁπλοῦν ἐστίν φασι καὶ καθ' ἑαυτὸ ὑφεστηκός τε καὶ νοούμενον, τὸ δὲ καὶ θέσιν προσείληφεν) 4 δεῖ] δὴ coni. Sahune 6 τοσόνδε CR: ποσὸν AM ὑπάρχει iteratum del. R² 8 ἀπήντησας CR: ἡ ἀπάντησις AM δοκεῖ δέ μοι πρότερον] cf. Plotin Enn. VI lib. III, 13 p. 628 11 ποσόν ἐστι colloc. AM 13 οὐ δύναται εἶναι CR Simpl. (f. 32r10): οὐκ ἂν εἴη AM 14 an οὐδενός τ'? 15 τὸ (post δὲ) AM: om. CR 17 αὐτοῖς in lit. R² 18 καὶ ὕστερον AMR: om. C 19 ὁ (alterum) CMR: om. A 22 an αὐτῶν? (cf. v. 23) δ' ὕστερα AM: δὲ δεύτερα CRs 23 προσεχῶς δι' ἑαυτῶν colloc. C 26 καὶ (post ἀληθεύειν) AMR: ἢ C Simpl. (fort. recte) 30 τε] καὶ Simpl. (recte)

ἐχοῦς ἔν τε τῇ πρώτῃ διαιρέσει καὶ ἐν τῇ διαριθμήσει τῶν καθ' ἕκαστα, τὰ ὑπὸ τὸ διωρισμένον πρότερα ἀπολογιζόμενος τῶν ὑπὸ τὸ μέγεθος. διότι γὰρ τὸ ἐν τῷ μεγέθει ποσὸν δοκοῦμεν καταλαμβάνειν διὰ τοῦ ἀριθμοῦ, διὰ τοῦτο ὁ ἀριθμὸς προτέτακται, ὥσπερ | διότι τὴν ἀπόφασιν γνωρίζομεν 83
5 διὰ τῆς καταφάσεως, διὰ τοῦτο κἀκείνη προτέτακται, κατὰ μέντοι τὴν ἴσην διαίρεσιν οὐκ ἀποστατεῖ τοῦ κοινοῦ γένους. οὕτω δὴ καὶ ἐνταῦθα τῷ συντελεῖν εἰς τὸν λόγον τοῦ γένους καὶ τῷ πρὸς τοῦτο ἐξ ἴσου παρασκευάζεσθαι ἀντιδιῄρηκεν αὐτὰ πρὸς ἄλληλα. πρὸς δὲ τούτοις ἄλλο τὸ διῃρῆσθαι, ἄλλο τὸ διῃρημένον εἶναι, ὥστε εἰ τὸ δυνάμει ἐν τῷ ἐνεργείᾳ περι-
10 έχεται (δύναται γὰρ τὸ συνεχὲς διαιρεῖσθαι), οὐκ ἂν καλῶς ὡς ἤδη ὂν τὸ διῃρημένον λαμβάνοιμεν· μᾶλλον γὰρ τὸ δυνάμει ὕστερον τοῦ ἐνεργείᾳ.

δ. Κοινῶς μὲν δὴ περὶ τῆς διαιρέσεως καὶ τοῦ παντὸς ποσοῦ τοσαῦτα ἡμῖν εἰρήσθω, κατ' ἰδίαν δὲ περὶ ἑκάστου τῶν ὑπὸ τὸ ποσὸν εἰδῶν ὅσα Πλωτῖνος ἀπορεῖ προσθεῖναι βούλομαι. εὐθὺς γὰρ διαιρεῖ περὶ
15 τοῦ ἀριθμοῦ καί φησιν ἄλλην μὲν αὐτοῦ τὴν οὐσίαν εἶναι, ἄλλην δὲ καθ' ἣν τὸ τοσόνδε αὐτῷ ὑπάρχει. ἡ μὲν γὰρ καθ' ἑαυτήν ἐστιν, ἡ καὶ παραλέλειπται ὑπὸ Ἀριστοτέλους, ὡς ἐκεῖνος βούλεται, ἡ δὲ δηλοῦται, ὅταν ποσὸν τὸν ἀριθμὸν εἶναι λέγωμεν.

Εἰ μὲν οὖν κατὰ τὰς Πλωτίνου διατάξεις καὶ τὰς Πλάτωνος ὑποθέσεις
20 τὰς κατηγορίας ἀπευθύνομεν, δοκεῖ τινα λόγον ἔχειν τὸ λεγόμενον· εἰ δ' ἐθέλοιμεν Ἀριστοτέλει κατακολουθεῖν, οὐδαμῶς τὸν ἀριθμὸν τὸν θεωρούμενον κατὰ ποσὸν διχῇ διαιρήσομεν. οὐ γὰρ οἴεται Ἀριστοτέλης ἄλλο μὲν ἔχειν τὸν ἀριθμὸν τὸ εἶναι, ἄλλο δὲ τὸ τοσόνδε εἶναι, ἀλλά φησι τῶν μὲν συνθέτων τοῦτο ἴδιον εἶναι καὶ τῶν ἐνύλων καὶ τῶν ἐν μέρει ἐχόντων τὸ
25 εἶδος· ὅσα δὲ ἄυλά ἐστιν εἴδη καὶ ἀσύνθετα, ταῦτα ἀποδείκνυσιν ἐν πᾶσαις αὐτοῦ ταῖς ἀκροάσεσι ταὐτὸν ἔχοντα τό τε εἶναι κατὰ τὴν οὐσίαν καὶ τὸ ἐν τοῖς δεδεγμένοις αὐτὰ εἶναι καὶ φαίνεσθαι. ἐὰν οὖν χωρίζων ὁ Πλωτῖνος τοὺς νοητοὺς καὶ τοὺς μετέχοντας αὐτῶν ἀριθμοὺς τὴν ἰδιότητα ἑκατέρων χωρὶς ἀφορίζηται, ἰδίας ὑποθέσεις γυμνάζει, ἡμεῖς δὲ ὑπομιμνή-
30 σκομεν ἑαυτούς, ὡς αὐταῖς ταῖς οὐσίαις τῶν ὄντων ὑπάρχουσι κατ' Ἀριστοτέλην οἱ ἀριθμοὶ οὔτε πρότεροι οὔτε ὕστεροι αὐτῶν, ἀλλ' ἅμα | σὺν 84

1 τε CR: om. AM διαριθμήσει CR Simpl.: ἀριθμήσει AM ante τῶν καθ' ἕκαστα add. τοῦ συμφέροντος del. A 2 πρότερα AMR: πρότερον C 5 τῆς CR: om. AM 6 τῷ CR: τὸ AM 10 δύναται AMR: δυνατὸν C γὰρ CR: δὲ AM 12 δὴ CR: οὖν AM 13 ἡμῖν AMR: om. C 14 Πλωτῖνος ἀπορεῖ] Enn. VI lib. III, 4 (p. 569) 15 post εἶναι fort. inseras καθ' ἣν ἐστι πόσος (cf. Simpl. f. 33r15 ὡς ἄλλη μέν τίς ἐστιν τοῦ ἀριθμοῦ φύσις, καθ' ἣν ἐστιν ὡρισμένος καὶ πόσος βαρυτόνως, ἄλλη δέ, καθ' ἣν τὸ ποσὸν αὐτῷ ἀορίστως καὶ ὀξυτόνως ὑπάρχει), nisi malis ἄλλην δὲ ⟨τὴν φύσιν⟩, καθ' 16 ὑπάρχειν C 17 ἀριστοτέλους CR: τοῦ ἀριστοτέλους AM 18 λέγομεν C 19 ὑποθέσεις] ὑπο oblitt. R 20 ἀπευθύνομεν AM²R: ὑπευθύνομεν C: διευθύνομεν M¹: ἀπευθύνοιμεν coni. Spengel 23 an τὸ ⟨πόσον⟩ εἶναι? (cf. Simpl. οὐ γὰρ ἄλλο μὲν ὁ ἀριθμὸς ἔχει τὸ πόσος εἶναι, ἄλλο δὲ τὸ τοσόνδε εἶναι) 24 ἴδιον] ἴδι refecit R² ἐν CMR: οὐ A 26 αὐτοῦ] αὐτῷ (superscr οῦ) A 29 γυμάζει A 30 ἑαυτοὺς ex αὐτοὺς corr. C

αὐταῖς ὄντες. οὐδενὸς οὖν ἀπολείπονται κατὰ τὸν ἄνδρα τῶν ὁπωσοῦν δυναμένων αὐτῶν μετέχειν, ἀλλὰ πᾶσι μὲν πάρεισι κατὰ τὴν οἰκείαν αὐτῶν ἀμέριστον οὐσίαν, ἐξαλλάττονται δὲ αὖθις διὰ τὴν ἑτερότητα τῶν ὑποδεχομένων, ὥστε ἅμα καὶ ἀριθμοῖς καὶ τοσοῖσδε εἶναι μετὰ τῶν ἀριθμουμένων συνυπάρχει.

ε. Ἔχεται δὲ τοῦ αὐτοῦ ἀπορήματος ὁ Πλωτῖνος καὶ πάλιν ζητεῖ, πότερον ἐνυπάρχει οὗτος ὁ ἀριθμὸς τοῖς ἀριθμουμένοις, ἢ χωρὶς αὐτῶν μετρεῖ ὥσπερ ὁ κανών. εἰ μὲν γὰρ αὐτὸς καθ' ἑαυτὸν ὑφέστηκε, μέτρον μὲν ἔσται, οὐκέτι δὲ ποσόν· εἰ δὲ ἐνυπάρχει, καὶ αὐτὸς ὑπ' ἄλλου μετρηθήσεται.

Ἀλλ' ὅπερ ἐξ ἀρχῆς εἴπομεν, τοῦτο καὶ νῦν εἰπεῖν ἄξιον. παρεῖναι μὲν γὰρ τὸν ἀριθμὸν τοῖς ἀριθμουμένοις πράγμασι καὶ συνυπάρχειν ἀποφαινόμεθα, οὐ μέντοι ἐν αὐτοῖς ἔχειν τὴν ὑπόστασιν ὡς ἐν συμβεβηκότος τάξει θεωρούμενον. ὥσπερ γὰρ τὰ ἔνυλα εἴδη ἔχει μὲν ἰδίαν ἕκαστον οὐσίαν καὶ ὑπόστασιν, σύνεστι δὲ τῇ ὕλῃ, οὕτω καὶ οἱ ἀριθμοὶ κατὰ τὴν ἰδίαν οὐσίαν ὑφεστηκότες μετὰ τῶν πραγμάτων εἰσὶν ὧν ἀφορίζουσι καὶ οἷς τὸ οἰκεῖον μέτρον ἐπιτιθέασι συνόντες τοῖς ἀριθμουμένοις ὡς ἀριθμοῦντες· ὥσπερ τὰ εἰδοποιοῦντα τοῖς εἰδοποιουμένοις συντάττεται πρῶτον ὡς ἐν ἑαυτοῖς, διάστασιν δὲ κατὰ τὸ ὑποκείμενον ἀπεργάζεται, οὕτω καὶ τὰ ἀριθμοῦντα τοῖς ἀριθμητοῖς πρὸς τὸ οἰκεῖον μέτρον ἕκαστα ἀναφέρει μένοντα ὅπερ ἐστὶν ἑαυτῶν καὶ μηδὲν ὑπὸ τῶν μετρουμένων πάσχοντα. ποιήσωμεν δὲ σαφέστερον τὸ λεγόμενον διὰ παραδείγματος· τὸ εἶδος τοῦ ἀνδριάντος ἔχει μὲν καθ' ἑαυτὸ ἴδιον λόγον, θεωρεῖται δὲ μετὰ τῆς ὕλης. καὶ ὁ ἀριθμὸς οὖν ἥνωται μετὰ τῶν ἀριθμητῶν ἔχων τὴν ἰδίαν ὑπόστασιν.

ς. Ἀλλὰ τὸ ποσόν φησιν οὐκ ἂν εἴη ποσότης.

Ἀλλ' εἰ μὲν εἶχεν ἄλλο τι δεῖξαι τὴν ποσότητα παρὰ τὸ ποσόν, ὀρθῶς ταῦτα ἀπεφαίνετο· ἐπεὶ δὲ ἐξ ἀρχῆς διαγωνιζόμεθα, ὅτι οὐδὲν | ἄλλο 85 ἐστὶν ἀρχηγὸν τῆς ποσότητος ἢ τὸ μέτρον, κοινὸν δὲ τοῦτο καὶ κατὰ ποσότητος καὶ κατὰ ποσοῦ, οὐκ ἂν οὐδὲ τὴν ποσότητα ποσὸν εἶναι εὐλόγως ἄν τις παραιτήσαιτο. γνοίη δ' ἄν τις τὸ αὐτὸ καὶ ἀπὸ τοῦ μηδεμίαν κατηγορίαν ἄλλην οἷόν τε εἶναι ὑποθεῖναι τῇ τοῦ ποσοῦ φύσει, ἀρχὴν δὲ αὐτὴν ἰδίαν θεωρεῖσθαι μηδενὶ τῶν ἄλλων γενῶν ἐπικοινωνοῦσαν, ὥστε καὶ ὁ ἀριθμός, εἴτε καθ' ἑαυτὸν εἴη εἴτε ἐν τοῖς μετέχουσιν, εἴτε συνυπάρχων εἴτε καὶ ἰδίαν φύσιν ἔχων ἐν τῷ συνυφεστηκέναι, εἴτε κατὰ τὸ ἀριθμεῖν εἴτε κατὰ τὸ ἀριθμεῖσθαι ὑπάρχων, πανταχοῦ ἂν οὗτος τοῦ ποσοῦ εἴη.

ζ. Οὕτω μὲν τὰς ἀπορίας Πλωτίνου περὶ τοῦ ἀριθμοῦ διελύσαμεν. ἀλλὰ δὴ μεταβῶμεν ἐπὶ τὸν λόγον ἑξῆς καὶ ὅσα διαπορεῖ σκεψώμεθα.

---

4 συναριθμουμένων AM 6 αὐτοῦ AM: om. CR ὁ Πλωτῖνος ... ζητεῖ] ibidem 7 ὁ AMR: om. C 20 an ἀριθμητοῖς ⟨συνταττόμενα⟩? 21 an ἅπερ ἐστὶ δι' ἑαυτῶν? 22 ποιήσομεν C 23 ἑαυτὸν AM 27. 28 post ὀρθῶς addendum ἂν coni. Spengel 32 εἶναι CR: om. AM 33 καὶ CR: om. AM 35 εἴτε καὶ ἰδίαν—ὑπάρχων (36) om. A post ἰδίαν add. τινὰ M: om. CR 37 τοῦ AM: om. CR

λέγει τοίνυν, ὡς ὁ λόγος ἰδίαν ἔχων ὑπόστασιν τοσόσδε ἐστὶ καὶ ταύτῃ ποσὸς ὡς συμβεβηκὸς ἔχων τὸ ποσόν, καθ' ὃ μέντοι λόγος σημαντικός ἐστιν ὅλην ἔχων τὸν ἀέρα, κατὰ δὲ τὴν τούτου πληγὴν ὑφεστηκώς, εἴτε οὖν πληγὴ ὁ λόγος ὁ ἐν τῇ φωνῇ, εἴτε οὐ ψιλὴ πληγὴ ἀλλὰ τύπωσις τοῦ ἀέρος ὥσπερ μορφοῦσα αὐτόν, κατ' ἀμφότερα ποίησις ἂν εἴη σημαντική, καὶ ἔσται ἢ ἐν τῷ ποιεῖν ἢ ἐν τῷ πάσχειν ἢ καὶ ἐν ἀμφοτέροις τῷ τε ποιεῖν καὶ τῷ πάσχειν ὁ λόγος ὁ ἐν τῇ φωνῇ, ἀλλ' οὐχὶ ποσόν. τί δὴ πρὸς ταῦτα ἀντείποιμεν;

Ὅτι οὐχ ἁπλῶς πληγὴ ἀέρος ἐστὶν ἡ φωνή (πλήττει γὰρ τὸν ἀέρα καὶ δάκτυλος παραγόμενος καὶ οὐδέπω ποιεῖ φωνήν), ἀλλ' ἡ ποσὴ πληγὴ καὶ σφοδρὰ καὶ τοσήδε, ὥστε ἀκουστὴ γενέσθαι, καὶ ἡ τῷ μέτρῳ τῆς ἀκοῆς ἐξισουμένη καὶ τὸ ὑπερβάλλον καὶ ἐλλεῖπον καθ' ἑαυτὴν ἔχουσα. κατὰ τὸ μέγεθος οὖν τῆς πληγῆς καὶ τὸ ποσὸν μέτρον τῆς φωνῆς τιθέμενος ποσὴν αὐτὴν εἰκότως εἶναι ἀποφαίνεται.

η. Ἀλλ' ἐπειδὴ ἐν χρόνῳ φησὶν ὁ Πλωτῖνος λέγεται ὁ λόγος ὄντι | ποσῷ, καὶ αὐτὸς ποσὸν νομίζεται· ἔσται οὖν ἐν τῷ χρόνῳ τὸ ποσὸν καὶ διὰ τὸν χρόνον.

Ἀλλὰ πρὸς τοῦτό φαμεν, ὡς αὐτῆς τῆς φωνῆς ἐστι σμικρότης καὶ μέγεθος κατὰ τὴν ἑαυτῆς φύσιν ἢ διὰ τὴν τῆς ἀρτηρίας σμικρότητα ἢ τὸ μέγεθος· ὅταν μὲν γὰρ τὸ φώνημα διαιρῆται καὶ εὐρύνηται, πλῆθος ἀναπέμπει, καθὸ δὲ στενοῦται, ὀλιγότητα. ἡ μὲν οὖν οὖσα φύσει βραχεῖα ἐν βραχεῖ χρόνῳ καταλλήλως λέγεται, ἡ δὲ μακρὰ ἐν μακρῷ, ὡς ἂν προηγούμενον ἔχοντος τοῦ λόγου τὸ ἐν τῇ φωνῇ ποσὸν ἐν ἑαυτῷ πρὸ τοῦ ἐν τῷ χρόνῳ ποσοῦ· κἂν γὰρ μὴ λέγω, ἀλλ' ὁ γεγραμμένος λόγος ἔχει τὴν φύσει μακρὰν καὶ βραχεῖαν συλλαβήν. κἀκεῖνο δὲ δήπου ἐπιστάμεθα, ὅτι καὶ τὴν βραχεῖαν ἐν μακρῷ χρόνῳ προενέγκασθαι δυνατόν ἐστι καὶ τὴν μακρὰν ἐν βραχεῖ. ὁ γὰρ μετρικὸς καὶ τὸ μέτρον καὶ τὸν ῥυθμὸν μεταβάλλει, ἤδη δὲ καὶ τὰ στοιχεῖα, οἷον τὸ ξηρὸν ξερὸν καὶ τὸν Διόνυσον Διώνυσον. εἰ δὲ πέφηνε διεστηκὸς ἐπὶ τούτων τὸ φύσει μακρὸν καὶ τὸ τῷ χρόνῳ, οὐ τῷ βραχεῖ χρόνῳ ἡ συλλαβὴ λέγεται βραχεῖα, ἀλλὰ τῷ βραχεῖα εἶναι ἐν βραχεῖ χρόνῳ λέγεται.

θ. Τί δ' ἂν εἴποιμεν πάλιν πρὸς τὴν ἔνστασιν τοῦ ἀνδρὸς τὴν μὴ βουλομένην ἐξαρκεῖν τὸ μετρεῖσθαι πρὸς τὸ εἶναι ποσόν· καὶ γὰρ ξύλον φησὶ μετρεῖται πήχει, καὶ οὐκ ἄν τις εἴποι αὐτὸ ποσόν, διότι μετρεῖται, ἀλλ' ὅτι ἐστὶ μέγεθος, καὶ κατ' αὐτὸ μὲν τὸ ποσὸν τὸ συμβεβηκὸς τῷ

f. 14v post γνῶσιν (Amm. p. 9,18): καὶ οὐ ταύτην ἁπλῶς, ἀλλὰ σοφίαν λέγομεν τὸ σαφές, σαφὲς δὲ λέγομεν τὸ φανερόν, φανερὰ δὲ λέγομεν τὰ ἄυλα· περὶ γὰρ ταῦτα ἡ φιλοσοφία καταγίνεται. εἰ δὲ μὴ ὑποπίπτῃ ταῦτα ἡμῖν, οὐχὶ διὰ τὴν οἰκείαν σμικρότητα, ἀλλὰ διὰ τὴν οἰκείαν ἀσθένειαν, ὥσπερ καὶ ταῖς νυκτερίσιν ὁ ἥλιος σκοτεῖν δοκεῖ διὰ τὴν ἀσθένειαν τῆς αἰσθήσεως. καὶ ταῦτα μὲν περὶ τούτου. πάλιν ἀνακεφαλαιωσόμεθα [l. —σώμεθα] τὰ ἐξ ἀρχῆς εἰρημένα· εἰ γὰρ τοιαύτη ἐστὶν ἡ φιλοσοφία ὡς γνῶσιν εἶναι τῶν ὄντων καὶ ἐπιστήμην ἔχειν τῶν θείων καὶ ἀνθρωπίνων πραγμάτων καὶ μιμεῖσθαι θεὸν ὡς ἐνδέχεται ἄνθρωπον [l. ἀνθρώπῳ] καὶ καθαίρειν τὴν ψυχὴν ἐκ τῶν τοῦ σώματος ἡδονῶν καὶ πάσαις τέχναις τὸ εἶναι καὶ τὸ εὖ εἶναι παρέχεσθαι καὶ περὶ τὰ φανερὰ καὶ ἄυλα καταγίνεσθαι, πῶς οὐ τοιαύτη ἐστὶν ἀληθῶς, οἷον [l. οἵαν] αὐτὴν Πλάτων ἐν Τιμαίῳ τῷ διαλόγῳ αὐτοῦ [p. 47 B] φησίν: διαλεγόμενος γὰρ περὶ ταύτης ἐπιφέρει λόγον· τοιοῦτον γὰρ ἄρα θεῶν δῶρον ἥκει εἰς ἀνθρώπους, Θεόδωρε, πώποτε. ταῦτα μὲν περὶ τῶν ὁρισμῶν μεμαθήκαμεν. ἐπεὶ δὲ διὰ τῶν προλαβόντων ὁρισμῶν ὡς μίαν τὴν φιλοσοφίαν μεμαθήκαμεν, φέρε καὶ ὡς πολυσχιδῆ ταύτην διὰ διαιρέσεως σκεψώμεθα· συμβάλλεται γὰρ ἡ τῆς διαιρέσεως μέθοδος κατ' ἄμφω, εἴς τε τὴν τῶν φιλοσόφων συγγραμμάτων ἀσφαλῆ [ἀσφαλεῖ cod.] διάκρισιν καὶ εἰς τὴν τοῦ ὅλου ἀκριβεστέραν γνῶσιν· πρῶτον γὰρ δεῖ λέγειν τοὺς ὁρισμούς, εἶτα τὴν διαίρεσιν· οὕτω γὰρ καὶ ὁ Πλάτων ἐν τῶν Φαίδωνι [potius Φαίδρῳ; ubi p. 237 B videas] φησίν· ὦ παῖ, μία τίς ἐστιν ἀρχὴ τοῦ καλῶς⟩ βουλεύεσθαι ⟨τὸ⟩ εἰδέναι, περὶ οὗ ἡ βουλή, ἐπεὶ τοῦ παντὸς ἁμαρτάνειν ἀνάγκη. καὶ ἐν τῷ δὲ Σοφιστῇ [p. 235 C] λέγει ὅτι τὴν τῆς διαιρέσεως μέθοδον οὐδὲν κωλύσεται φυγόν.

f. 14v inf. post λέγειν (Amm. p. 10,10): διαιρεῖται τοίνυν εἰς δύο, εἴς τε θεωρητικὸν καὶ πρακτικόν. καὶ δίκαιον· τὰ γὰρ ὄντα ἢ λόγοι εἰσὶ καὶ διὰ τοὺς λόγους θεωρεῖται ἢ πράγματα καὶ διὰ τοῦτο τὸ πρακτικὸν προεβάλλετο. ἄλλως τε διὰ τρία ταῦτα εὐλόγως ἐποιήσατο [l. ἐποιήσαντο] τὴν διαίρεσιν διὰ τὸ γινῶσκον διὰ τὸ γινωσκόμενον διὰ τὸ τέλος. διὰ μὲν τὸ γινῶσκον ὅτι τῆς ψυχῆς δίτταὶ αἱ δυνάμεις, αἱ μὲν γνωστικαὶ ὡς διάνοια νοῦς δόξα, αἱ δὲ ζωτικαὶ ὡς βούλησις καὶ προαίρεσις. διὰ μὲν οὖν τὰς γνωστικὰς τὸ θεωρητικόν, διὰ δὲ τὰς ζωτικὰς τὸ πρακτικὸν μέρος ἐκληρώσατο. διὰ δὲ τὸ γινωσκόμενον, ὅτι θείων τε καὶ ἀνθρωπίνων εἴρηται ἐπιστήμη ἡ φιλοσοφία. καὶ διὰ μὲν τὰ θεῖα τὸ θεωρητικὸν προεβάλλετο, ὅτι οὐχ ὡς οἱ παλαιοὶ τὴν τυχοῦσαν γνῶσιν θεωρίαν φασίν, ἀλλὰ τὴν περὶ τὰ ὑπέρτερα ἀσχολίαν [ἀσχόλειαν cod.] θεωρίαν ἀκουστέον· αὕτη γὰρ ἀληθῶς καλεῖται θεωρία παρὰ τὸ τὰ θεῖα ὁρᾶν· τὸ δὲ πρακτικὸν τὸ περὶ [παρὰ cod.] τὰ ἔνυλα καὶ ἄυλα καταγινόμενον. καὶ διὰ τὸ τέλος, ὅτι ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ ἐστὶν ἡ φιλοσοφία, ὡς εἴρηται· ὁ δέ γε ὁμοιούμενος θεῷ καὶ λόγοις θέλει ὁμοιοῦσθαι καὶ πράξεσι καλλωπίζεσθαι ..... τὸ δέ γε φυσιολογικὸν τὰς φύσεις ζητεῖ τῶν σωμάτων, πότερον ἐκ τεσσάρων στοιχείων σύγκειται ἢ ἐκ πέμπτης τινὸς φύσεως, ἐξ ἧς τὰ οὐράνια σώματα, καὶ ὅτι τέσσαρα τὰ αἴτια τῶν γινομένων, ὑλικὸν τελικὸν ὀργανικὸν ποιητικόν, καὶ ὅτι ἡ τοῦδε γένεσις ἑτέρου φθορὰ καὶ ἡ τοῦδε φθορὰ ἑτέρου γένεσις· ἵππων μὲν γὰρ φθορὰ σφηκῶν γένεσις καὶ ταύρων μελισσῶν, ὥς φησι Νίκανδρος ὁ περὶ θηρίων καθυπογράψας. ταῦτα μὲν πάντα τοῦ φυσιολογικοῦ ἔσται ζητεῖν. τοῦ δὲ θεολογικοῦ, τί θεός, τί πρόνοια, τί νοῦς, τί λόγος, καὶ πότερον ἔστι νοῦς ἢ οὔ, ὡς οἱ αὐτοματιστοὶ λέγουσι, καὶ εἰ ἔσται πρόνοια καὶ τίθεται φροντίδα τῶν τῇδε πραγμάτων· χρὴ γὰρ γινώσκειν ὅτι τρεῖς δόξαι ἀθείας γεγόνασιν· οἱ μὲν γὰρ καθόλου φασὶ μὴ εἶναι πρόνοιαν, οἱ δὲ εἶναι μὲν καὶ ἄχρι τῶν ὑπερτέρων ἵστασθαι, μὴ παρεκτεινομένην δὲ μέχρι τῶν τῇδε· τοιοῦτοι δέ εἰσιν οἱ σῶμα ταύτην δοξάσαντες καὶ ἀνελόντες [ἀνελοῦντες cod.] τὴν αὐτῆς πρόνοιαν. οἱ δὲ καὶ εἶναί φασι καὶ προϊέναι ἐπὶ τὰ τῇδε, παρατρέπεσθαι δὲ δώροις καὶ δωροδοκεῖσθαι. καὶ τούτου μάρτυρα τὸν ποιητὴν παρέχονται λέγοντα· κνίσσῃ καὶ εὐχωλῇ τε παρα-

τρέπουσιν ἄνθρωποι (Hom. I. 499. 500). τοῦ θεολόγου οὖν ἔργον τὰ τοιαῦτα ζητεῖν καὶ δεῖξαι, ὡς ἔστι πρόνοια καὶ ἀσώματός ἐστι καὶ ἄπονος καὶ προνοεῖται τῶν τῇδε καὶ ἀδέκαστον ποιεῖται τὴν κρίσιν· καὶ ἔτι γε γινώσκειν δεῖ τὸν θεολόγον τί διαφέρει βούλησις προαιρέσεως· ἡ μὲν γὰρ προαίρεσις μετά τινος σκέψεως αἱρεῖταί τι ὅ καὶ χεῖρον πολλάκις ἐστίν, ἡ δὲ βούλησις ἀπερισκέπτως αἱρεῖται τὸ κρεῖττον. ἐν τούτοις μὲν τὸ θεολογικόν.

f. 17r post [illegible] (Amm. p. 15,8): [illegible] οὐ πάντως [illegible] ἔστι τοῦτο· οὐ γὰρ πάντως ὁ πολιτικὸς καὶ οἰκονομικὸς δύναται εἶναι· ἰδοὺ γὰρ ἔστι τις μικρὰ πόλις ἔχουσα ἄνδρας ἑκατόν· ὁ διοικῶν οὖν ταύτην τὴν μικρὰν πόλιν οὐ πάντως δύναται διοικῆσαι οἶκον στρατηλ[illegible] τινός, ἐν ᾧ παντακισχίλιοι ἄνδρες ἢ καὶ πλείους εἰσί. ὥστε διῄρηνται τὰ τρία εἴδη τοῦ πρακτικοῦ ἀπ' ἀλλήλων. χρὴ δὲ γινώσκειν ὅτι αὕτη ἡ διαίρεσις τοῦ πρακτικοῦ τῶν Ἀριστοτελικῶν ὑπάρχει, ἤτις καὶ φαύλη ἐστὶν ὡς οἱ Πλατωνικοί φασιν· ἡ γὰρ ἀκριβὴς διαίρεσις οὐκ ἐθέλει τὰ μόρια ἐμπεριέχεσθαι ἀλλήλοις, καὶ κατὰ τοῦτο κακίζουσι καὶ ἐκβάλλουσι αὐτήν. καὶ δὴ προστιθέασιν αὐτοῖς [l. προτιθέασιν αὐτῆς] τὴν ἐπιφερομένην. διαιροῦσι τοίνυν οἱ κατὰ Πλάτωνα τὸ πρακτικὸν εἰς νομοθετικὸν καὶ δικαστικόν· τούτων γὰρ οὐδέτερον ⟨ὑπὸ⟩ τοῦ ἑτέρου περιέχεται. ἔξεστι δὲ ἐφ' ἕκαστον τούτων τὰ τρία ἐκεῖνα ἀγαγεῖν· γίνεται γάρ τις νομοθέτης ⟨καὶ⟩ δικαστὴς καὶ ἠθικὸς οἰκονομικὸς καὶ πολιτικός. καὶ ὅτι γε νομοθετεῖ τις ἑνὶ ἢ ἑαυτῷ ἢ ἄλλῳ τινί, δηλοῖ Πυθαγόρας ὁ τῶν χρυσέων ἐπῶν πατήρ· χρυσᾶ δὲ λέγονται οὐχ ὅτι τὸν χρυσὸν προτιμῶσιν οἱ φιλόσοφοι οὐδὲ ἀσπάζονται τούτου τὴν κτῆσιν οἱ μισοῦντες τὸν πλοῦτον, ἀλλ' ἐπείπερ καθαρεύει ἡ τούτου οὐσία, διὰ τοῦτο τὰ καθαρὰ καὶ καλλιστεύοντα χρυσὸν ἐκάλουν· ἀρετὴν γὰρ τὴν τιμιωτάτην καὶ τιμιωτάτων χρυσοῦ ἡγοῦντο.

f. 17v post ἐτελέσθη (Amm. p. 16,1): οὗτος καὶ οἰκονομικός ἐστι δικαστὴς καὶ νομοθέτης. καὶ δηλοῖ Ἀριστοτέλης ἔν τινι αὐτοῦ μονοβιβλίῳ περὶ οἰκονομίας ἀρίστης διαλεγόμενος καὶ λέγει ταύτην ἐκ τεσσάρων γενέσθαι σχέσεων, πατρὸς πρὸς τέκνα, δούλου πρὸς δεσπότην, γυναικὸς πρὸς ἄνδρα, εἰστόντων[1]) πρὸς ἐξιόντα, ἵνα μὴ ἐλλείπῃ μηδὲ πλεονάζῃ, ἀλλὰ φυλάττῃ ἀναλογίαν[2]) πρὸς ἄλληλα· εἰ γὰρ κακῶς ἔχει ὁ πατὴρ πρὸς τὸν υἱὸν ἢ ὁ ἀνὴρ πρὸς τὴν γυναῖκα ἢ ὁ δεσπότης πρὸς τὸν δοῦλον καὶ τὸ ἀνάπαλιν τὰ λοιπὰ ἐναντίως ἔχουσι πρὸς ἄλληλα, κακὸς ὁ οἶκος ἔσται, ὅτι οὐ μίαν προαίρεσιν ἔχουσιν ἐν τῷ οἴκῳ πάντες ἀλλὰ διαφόρους. ὅτι δὲ καὶ ὁ πολιτικὸς δικαστής ἐστι καὶ νομοθέτης, δηλοῦσι αἱ ἔξω πόλεις τούτοις κεχρημέναι. ἔξω δὲ πόλεις εἰρήκαμεν, ἐπεὶ καὶ ἐν ἡμῖν ἐστι πόλις· ἔχει γὰρ κόσμον [κόσμος cod.] πόλεως τὰ ἡμέτερα σώματα· ὥσπερ γὰρ ἐν ἐκείναις εἰσὶν ἄρχοντες καὶ στρατιῶται καὶ θέται, οὕτω καὶ ἐν τοῖς ἡμετέροις σώμασιν ἄρχει μὲν ὁ λόγος στρατιώτου δὲ χρείαν πληροῖ ὁ θυμός, θετῶν δὲ ἡ ἐπιθυμία. ταῦτα μὲν περὶ τοῦ ἐν ἡμῖν πολιτικοῦ κόσμου καὶ τῆς διαιρέσεως τοῦ πρακτικοῦ. σκόπει δὲ ἐξ ἀρχῆς ἀρξάμενος, πῶς καλῶς διῆλθεν ἡ διαίρεσις· ἀπὸ γὰρ μονάδος ἀρξάμενοι ἐπὶ δυάδα καὶ τριάδα προσελθόντες εἰς τετράδα κατηντήσαμεν. ἔστι δὲ οὗτος ὁ ἀριθμὸς τέλειος, περὶ οὗ Πυθαγόρας φησί "καὶ μὰ τὸν ἀμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν [τετρακτὴν cod.], παγὰν ἀενάου φύσεως."[3]) τέλειος δ' ἔστιν οὗτος, ὅτι τὸν δέκατον οὗτος πληροῖ. ..... χρὴ δὲ γινώσκειν ὅτι καὶ ἄλλους πολλοὺς ἀριθμοὺς ἔχομεν τοιαύτην ἔχοντας ἀναλογίας. ἀλλ' ἐπεὶ ἔξω τοῦ καιροῦ προήχθημεν, σιγήσωμεν τοὺς λοιπούς. τοῦτο γὰρ τῆς εἰσαγωγῆς Νικομάχου ἔργον ὑπάρχει.

f. 20v post τοιαύτην αἰτίαν (Amm. p. 22,13): αὐτὸς γὰρ ὁ φιλόσοφος Πορφύριος ἐν Ῥώμῃ τῇ πόλει γενόμενος κἀκεῖθεν βουλόμενος ἀπιέναι ἐπὶ τὸ ἱστορῆσαι τὸ Αἰτνιαῖον πῦρ καὶ Πρόβον τινὰ τὸν τότε ἐπὶ φιλοσοφίᾳ μέγα κεκτημένον ὄνομα ⟨καὶ⟩ τὰς οἰκείους βίβλους παρὰ τῷ Χρυσαορίῳ ὑπάτῳ [ὑπατον cod.] Ῥώμης ὄντα [ὄντα cod.] κατέλειψεν. τοῦ οὖν Πορφυρίου ἀπελθόντος καὶ τοῦ Χρυσαορίου μιᾷ τῶν αὐτοῦ βίβλων ἐντυγόντος περὶ τῶν τοῦ Ἀριστοτέλους κατηγοριῶν διαλαμβανούσῃ [διαλαμβάνουσα cod.] καὶ μὴ δυναμένου συνιδεῖν τὰ τῇ βίβλῳ ἐμπεριεχόμενα, ἐπιστολὴν ἔπεμψε πρὸς τὸν Πορφύριον γράψας τὸ συμβάν. (cf. Amm. p. 22,17).

[1]) εἰστόντων correxit V. Rose Aristot. fragm. p. 139: εἰσιόντος cod.

[2]) φυλάττῃ ἀναλογίαν coni. Rose: φυλάττειν ἀνθρωπολογίαν cod.

[3]) Aur. carm. 47. 48 (Mullach I p. 462).

AMMONIUS

IN PORPHYRII ISAGOGEN

SIVE V VOCES

SIGLA

D = Laurentianus 10, 26
E = Marcianus 225
F = Parisinus 1942
M = Monacensis 222
V = Vindobonensis 139
p = editio princeps

ΑΜΜΩΝΙΟΥ ΕΡΜΕΙΟΥ ΕΞΗΓΗΣΙΣ ΤΩΝ ΠΕΝΤΕ ΦΩΝΩΝ ed. pr. 2r

Μέλλοντας ἡμᾶς ἄρχεσθαι φιλοσόφων λόγων ἀναγκαῖόν ἐστι μαθεῖν τί ποτέ ἐστι φιλοσοφία. δεῖ γὰρ τὸν ἀρχόμενόν του πρότερον μαθεῖν τί ὂν τυγχάνει· οὕτω γὰρ καὶ σπουδαιότερον ἀντιλήψεται τοῦ πράγματος. μανθάνομεν δὲ τὰ πράγματα ἐκ τῶν ὁρισμῶν. καὶ πῶς δυνατὸν δι' ὁρισμοῦ μαθεῖν πρᾶγμα ἀγνοουμένου τοῦ τί ἐστιν ὁρισμός; ὁρισμὸς τοίνυν ἐστὶ λόγος σύντομος δεικνὺς τὴν τοῦ πράγματος φύσιν. ὁρισμὸς δὲ λέγεται ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς χωρίοις ὅρων· ὥσπερ γὰρ ἐκεῖνοι περιλαμβάνουσι τὸ χωρίον καὶ χωρίζουσι τῶν ἀλλοτρίων, οὕτω καὶ οἱ ὁρισμοὶ περιλαμβάνουσι τὸ πρᾶγμα καὶ χωρίζουσι τῶν ἄλλων ἁπάντων. δεῖ τοίνυν ὁρισμὸν τῆς φιλοσοφίας εἰπεῖν, ὥσπερ καὶ τῆς γραμματικῆς ἀρχόμενοι τὸν ὁρισμὸν ἐμανθάνομεν, ὅτι γραμματική ἐστιν ἐμπειρία τῶν παρὰ ποιηταῖς καὶ συγγραφεῦσιν ὡς ἐπὶ τὸ πολὺ λεγομένων· ὁμοίως καὶ ῥητορικῆς ἀρχόμενοι τὸν ὁρισμὸν ἐμάθομεν. ὅτι ῥητορική ἐστι δύναμις τεχνικὴ πιθανοῦ λόγου ἐν πράγματι πολιτικῷ τέλος ἔχουσα τὸ εὖ λέγειν· δεῖ οὖν καὶ τῆς φιλοσοφίας τὸν ὁρισμὸν μαθεῖν, αὕτη γάρ ἐστιν ἡ καὶ ταῖς ἄλλαις ἐπιστήμαις τε καὶ τέχναις τοὺς ὁρισμοὺς παρέχουσα.

Πᾶσα οὖν ἐπιστήμη καὶ πᾶσα τέχνη ὑποκείμενόν τι ἔχει καὶ τέλος. ὑποκείμενον μὲν οὖν ἐστι περὶ ὃ καταγίνεται, τέλος δὲ οὗ στοχάζεται καὶ

1 Titulus codicibus aliis alius praebetur; inscripsi ex antiquissimo D: ὑπόμνημα εἰς τὰς πέντε φωνὰς ἀπὸ φωνῆς ἀμμωνίου τοῦ μικροῦ τοῦ ἑρμείου E: προλεγόμενα τῆς πορφυρίου εἰσαγωγῆς ἀπὸ φωνῆς ἀμμωνίου φιλοσόφου τοῦ μικροῦ τοῦ ἑρμείου M: [προ]λεγόμενα τῆς πορφυρίου εἰσαγωγῆς ἀπὸ φωνῆς ἀ[μμωνίου] V: ὑπόμνημα εἰς τὰς πέντε φωνὰς ἀπὸ φωνῆς ἀμμωνίου μικροῦ τοῦ ἑρμείου p 2 φιλοσόφων ἄρχεσθαι colloc. p 3 πρότερον Dp: πρῶτον EM: oblitt. V 4 καὶ D: om. EMVp ἀντιλήψεται DMV: ἀνθέξεται Ep 5 δὲ DEp: γὰρ MV 6 ὁ ὁρισμός (prius) E 11. 12 ὁρισμὸν ἐμανθάνομεν DEp: ὅρον ἐμάθομεν M: oblitt. V 12 παρὰ] περὶ D post ποιηταῖς add. τε MVp: om. DE 13 post ὁμοίως add. δὲ Ep: om. DM: locus oblitt. V 14 τεχνικὴ om. D 17 τε om. Ep 18 πᾶσα (alterum) om. Ep τι om. E 19 μὲν om. M

ὃ βούλεται κοσμεῖν· οἷον ὁ ἰατρὸς ἔχει ὑποκείμενα μὲν τὰ ἀνθρώπεια σώ- 2r
ματα (περὶ γὰρ ταῦτα καταγίνεται), τέλος δὲ τὸ ὑγιάσαι ταῦτα (τούτου
γὰρ στοχάζεται), ὁμοίως καὶ ὁ τέκτων ὑποκείμενον μὲν ἔχει τὸ ξύλον,
τέλος δὲ τὸ ποιῆσαι ἀβάκιον. οἱ ὁρισμοὶ οὖν λαμβάνονται ἢ ἐκ τοῦ ὑπο-
5 κειμένου ἢ ἐκ τοῦ τέλους ἢ καὶ ἀπὸ συναμφοτέρου· ἐκ μὲν τοῦ ὑποκει-
μένου ὡς ὅταν εἴπωμεν 'ἰατρική ἐστιν τέχνη περὶ τὰ ἀνθρώπινα σώματα
καταγινομένη', ἐκ δὲ τοῦ τέλους ὡς ὅταν εἴπωμεν 'ὑγείας περιποιητική',
ἐκ δὲ τοῦ συναμφοτέρου 'τέχνη περὶ τὰ ἀνθρώπινα σώματα καταγινομένη 25
ὑγείας περιποιητική'. ὁμοίως δὲ καὶ ἡ ἀστρονομία ἐπιστήμη οὖσα ἔχει
10 ὑποκείμενον τὰ οὐράνια σώματα, τέλος δὲ τὸ γνῶναι τὰς κινήσεις αὐτῶν.
μάθωμεν οὖν καὶ τί ὑπόκειται τῇ φιλοσοφίᾳ καὶ τί τὸ τέλος αὐτῆς· καὶ
οὕτω δυνησόμεθα τὸν ὁρισμὸν αὐτῆς ἀποδοῦναι. ἰστέον οὖν, ὅτι αἱ μὲν
ἄλλαι ἐπιστῆμαι καὶ τέχναι περί τινα μερικὰ καταγίνονται, οἷον ἡ τεκτο-
νικὴ περὶ μόνα τὰ ξύλα, ἡ ἀστρονομία περὶ μόνα τὰ οὐράνια, μόνη δὲ ἡ
15 φιλοσοφία περὶ πάντα τὰ ὄντα καταγίνεται, τέλος δὲ ἔχει οὐ ποιῆσαι ταῦτα 30
ἀλλὰ γνῶναι αὐτά. παραλαμβάνονται οὖν τῆς φιλοσοφίας ὁρισμοὶ πολλοί·
πολλοὶ γὰρ καὶ πολλαχῶς ὡρίσαντο τῶν παλαιοτέρων | αὐτήν. ἵνα δὲ μὴ 2v
τοῖς φιλαιτίοις ἀκαίρου φιλοτιμίας ἐν τῷ παρόντι δῶμεν ἔγκλημα τοὺς
ἑκάστου διεξιόντες ὅρους, ἀπόχρῃ πέντε ἢ ὀλίγῳ πλείους ἐπελθεῖν. δύο
20 μὲν οὖν εἰσιν ἐκ τοῦ ὑποκειμένου δύο δὲ ἐκ τοῦ τέλους καὶ ἕτερος ἐκ
τῆς ὑπεροχῆς, ἧς ἔχει πρὸς τὰς ἄλλας τέχνας.

Ἔστιν οὖν ὁ πρῶτος οὗτος· "φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων
ᾗ ὄντα ἐστί". τὸ ᾗ ἀντὶ τοῦ καθὸ ὄντα ἐστίν· οὐ γὰρ προτίθεται ὁ φιλό- 5
σοφος πάντας τοὺς ἐν τῷ κόσμῳ ἀνθρώπους εἰδέναι κατὰ ἀριθμόν, ἀλλὰ
25 τίς ποτέ ἐστιν ἡ τοῦ ἀνθρώπου φύσις. τὴν γὰρ οὐσίαν ἑκάστου πράγματος

---

1 κοσμεῖν] σκοπεῖν V ὁ ἰατρὸς DMV: ἰατρὸς E: ἡ ἰατρικὴ p ἔχει ὑποκείμενα μὲν D: ἔχει ὑποκείμενα E: ἔχει ὑποκείμενον μὲν M: ἔχει ὑποκείμενον (μὲν oblitt.) V: ὑποκείμενον ἔχει p ἀνθρώπεια DE: ἀνθρώπινα Mp: oblitt. V 2 τὸ ὑγιάσαι] τοῦ ὑγιᾶναι E 3 μὲν om. Ep τὸ ξῦλον D: τὰ ξύλα EMVp 4 τέλος δὲ ἔχει V ἀβάκιον MV: ἀββάκιον Dp: κράββατον E οἱ οὖν ὁρισμοὶ colloc. Mp 5 ἢ (ante καὶ) om. E συναμφοτέρου E: συναμφοτέρων (compend.) D: τοῦ συναμφοτέρου MVp (cf. v. 8) 6 ἐστιν om. M ἀνθρώπεια M 7 καταγομένη M ὡς ὅταν εἴπωμεν om. D (fort. recte) 8. 9 ἐκ δὲ τοῦ συναμφοτέρου — περιποιητική om. M 8 ἀνθρώπεια V 10 scribas ὑποκείμενα μὲν (cf. v. 1) 11 καὶ (post οὖν) D: om. EMVp 12 αὐτῆς τὸν ὁρισμὸν colloc. EMp: oblitt. V οὖν D: τοίνυν EMVp αἱ μὲν] οὐ μόνον E 13 post ἄλλαι add. πᾶσαι MV ἡ om. EM 14 ἡ ἀστρ. D: ἡ δὲ ἀστρ. EMp: oblitt. V ἡ (ante φιλοσοφία) om. E 15 ταῦτα DEM: om. p: oblitt. V 16 ante ὁρισμοὶ add. οἱ EMVp: om. D 17 καὶ D: om. EMVp 19 ὀλίγῳ πλείους ἐπελθεῖν] ὀλίγα πρὸς ἐπελθεῖν D: ὀλίγα προσελθεῖν E¹: ὀλίγω πλείω διελθεῖν E²: ὀλίγα προσεπελθεῖν M: ὀλίγῳ προσελθεῖν V: ὀλίγῳ πλείους προσεπελθεῖν p 20 οὖν om. Ep ἕτερ.] an πέμπτος? 21 ἧς D: ὃν E: ἣν Mp: oblitt. V post τέχνας add. καὶ ἕτερος ἐξ ἐτυμολογίας p 22 post πρῶτος add. ὁρισμὸς p 23 τὸ ᾗ DM: τῇ ᾗ E: τὸ δὲ ᾗ p: oblitt. V post ᾗ add. οὐκ ἀκαίρως πρόσκειται ἀλλ' M καθὸ] καθὰ p γὰρ superscr. D 24 κόσμῳ] κοινῷ D τοὺς ἀνθρώπους τοὺς ἐν τῷ κόσμῳ V

καὶ τὸ εἶναι σκοπεῖ ὁ φιλόσοφος. τινὲς δὲ ὁρίζονται οὕτως· "φιλοσοφία 2v
ἐστὶ θείων τε καὶ ἀνθρωπίνων πραγμάτων γνῶσις". καὶ δῆλον ὅτι ὁ
αὐτός ἐστι τῷ πρὸ αὐτοῦ, διαφέρει δὲ μόνῳ τῷ σαφεῖ τε καὶ ἀσαφεῖ· 10
διεῖλε γὰρ τὰ ὄντα εἰς τὰ θεῖα καὶ ἀνθρώπινα τὰ μὲν ἀίδια εἰπὼν θεῖα,
5 τὰ δὲ ἐν γενέσει καὶ φθορᾷ εἰπὼν ἀνθρώπινα. οὗτος οὖν ὁ ὁρισμὸς καὶ
ὁ πρῶτος ἐκ τοῦ ὑποκειμένου ἀποδίδονται, διενηνόχασι δὲ ἀλλήλων, ὡς
εἴρηται, τῷ σαφεῖ τε καὶ ἀσαφεῖ. ἔστι δὲ καὶ τοιοῦτος ὁρισμὸς ἀπὸ
τοῦ τέλους ὁ λέγων "φιλοσοφία ἐστὶ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν
ἀνθρώπῳ." οὕτω γὰρ ὁ Πλάτων ὡρίσατο. ὁ γὰρ θεὸς διττὰς ἔχει τὰς
10 ἐνεργείας, τὰς μὲν γνωστικάς, καθ' ἃς τὰ πάντα γινώσκει, ὡς καὶ οἱ ποιη- 15
ταὶ σημαίνουσι λέγοντες

θεοὶ δέ τε πάντα ἴσασι,

τὰς δὲ προνοητικὰς τῶν καταδεεστέρων, καθ' ἃς τοῦ κόσμου ὅλου προ-
νοεῖται, ὡς καὶ οἱ ποιηταί φασι

15 θεοὶ δωτῆρες ἐάων.

ὁ δὲ φιλόσοφος κατ' ἄμφω βούλεται ἐξομοιοῦν ἑαυτὸν τῷ θεῷ· βούλεται
γὰρ καὶ θεωρητὴς εἶναι τῶν πάντων (πάντα γὰρ ἐπισκέπτεται), καὶ μέντοι
καὶ πρόνοιαν τῶν καταδεεστέρων ποιεῖται (ὁ γάρ τοι πολιτικὸς φιλόσοφος 20
δικάζει καὶ νόμους τίθησιν)· ὥστε εἰκότως ἡ φιλοσοφία ὁμοίωσίς ἐστι θεῷ.
20 τὸ δὲ "κατὰ τὸ δυνατὸν ἀνθρώπῳ" καλῶς πρόσκειται· οὔτε γὰρ ἡ γνῶσις
ὁμοία οὔτε ἡ πρόνοια ἡ αὐτή,

ἐπεὶ οὔ ποτε φῦλον ὁμοῖον
ἀθανάτων τε θεῶν χαμαὶ ἐρχομένων τ' ἀνθρώπων·

ὧν γὰρ αἱ οὐσίαι διάφοροι, τούτων καὶ αἱ τελειότητες διάφοροι ὑπάρχουσι.
25 καὶ ἔστιν ἰδεῖν τοῦτο καὶ ἐπὶ τῶν ἄλλων ζῴων· ἐπειδὴ γὰρ ὁ ἄνθρωπος
καὶ ὁ ἵππος διάφορον ἔχουσι τὴν οὐσίαν, διάφορον ἔχουσι καὶ τὴν τελειό- 25
τητα· ἀνθρώπου μὲν γὰρ τελειότης τὸ μετὰ λόγου καὶ φρονήσεως ζῆν,
ἵππου δὲ τὸ ὀξέως θεῖν καὶ ἐν πολέμοις ἐπιτήδειον εἶναι. καὶ ἐν αὐτοῖς
δὲ τοῖς ἀλόγοις πολλὴ διαφορὰ ὑπάρχει τῶν τελειοτήτων, ἐπειδὴ καὶ τῆς

1 τινὲς δὲ ὁρίζονται οὕτως MV: ὁ δὲ πλάτων οὕτως ὁρίζεται τὴν φιλοσοφίαν DEp: sed hanc definitionem Platonis non esse David Eliasque testantur ac ne Ammonium quidem iam hic Platonem appellare apparet ex v. 9 οὕτω γὰρ ὁ Πλάτων ὡρίσατο. atque etiam Πυθαγόρας, quod cod. Laur. 72,7 pro Πλάτων praebet atque David Eliasque commendant, hoc loco scribere vetamur, quod etiam prima definitio ab Pythagora profecta esse dicitur
2 γνῶσις ante θείων colloc. EMVp (fort. rectius) 3 ὁ om. E μόνῳ om. MV 4 τὰ (ante θεῖα)] τε p 9 ἀνθρώποις V ὁ Πλάτων] cf. Theaet. p. 176 A. B 10 καθ' ἃς D: καθὸ EMVp τὰ om. V 12. 15 θεοὶ κ. τ. λ.] cf. Hom. δ 379. θ 325 τε suppl. E² 13 τοῦ ὅλου κόσμου colloc. M 15 δοτῆρες DEM
16 βούλεται κατ' ἄμφω ἑαυτὸν ἐξομοιοῦν colloc. EMVp 17 τῶν πάντων EMVp: ἁπάντων D ἐπισκέπτεται EMVp: σκέπτεται D (cf. p. 4,11) 18 καὶ προνοητής, πρόνοιαν γὰρ τῶν καταδ. p γάρ] δέ E 19 post ὥστε add. οὖν D: om. EMVp εἰκότως ἡ φιλ. DM: ἡ φιλ. εἰκότως Ep: ἡ φιλ. V ἐστι om. E 20 τὸ δὲ κατὰ τὸ] κατὰ δὲ τὸ D πρόκειται E 21 ἡ (ante πρόνοια) om. p 22 ἐπεὶ κτλ.] Hom. E 442
25 ἐπειδὴ] ἐπεὶ M 26 διάφορα (altero loco) E 29 δὲ EMVp: τούτοις D

οὐσίας αὐτῶν· ἄλλη μὲν ὑπάρχει κυνὸς τελειότης, ἄλλη δὲ ἵππου. εἰ οὖν 2v
ἐπὶ τούτων διάφοροί εἰσιν αἱ τελειότητες παρὰ τὴν διάφορον οὐσίαν, πολλῷ
μᾶλλον ἐπὶ ἀνθρώπου τε καὶ θεοῦ. ἐπεὶ οὖν πολὺ διαφέρουσι κατὰ τὴν
οὐσίαν. εἰκότως καὶ τὰς τελειότητας διαφερούσας ἔχουσι. καλῶς οὖν πρόσ-
5 κειται τῷ ὅρῳ "τὸ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ". ἔστιν οὖν ἡ φιλοσοφία 30
"ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ". ἐκ ποίας δὲ αἰτίας ὥρ-
μησεν οὕτως ὁρίσασθαι τὴν φιλοσοφίαν, ῥητέον. ἐπειδὴ γάρ, ὡς εἶπον,
διτταί εἰσιν αἱ τοῦ θεοῦ δυνάμεις, αἵ τε γνωστικαὶ καὶ αἱ πρακτικαί, διτταὶ
δὲ καὶ αἱ τῆς ἡμετέρας ψυχῆς, αἵ τε θεωρητικαὶ καὶ πρακτικαί. ὁ δὲ φιλό-
10 σοφος ἑκάτερον τῶν μερῶν τῆς ψυχῆς κοσμεῖν βούλεται τῇ πρὸς τὸν θεὸν
μιμήσει, τὸ μὲν τὴν τῶν ὄντων φύσιν ὅπως ἔχει ἐπισκεπτόμενος, τὸ δὲ
τὰς παθητικὰς τῆς ψυχῆς κοσμῶν δυνάμεις καὶ τῶν ἄλλων ἐπιμελούμενος,
εἰκότως ὁ Πλάτων ὁμοίωσιν εἶναι θεῷ τὴν φιλοσοφίαν κατὰ τὸ δυνατὸν
ἀνθρώπῳ ὡρίσατο.

15 Ἔστι δὲ καὶ ἄλλος ὁρισμὸς ἐκ τοῦ τέλους ὁ λέγων | "φιλοσοφία ἐστὶ 3r
μελέτη θανάτου". ἐπεὶ δὲ ὁ προκείμενος ὅρος μελέτην θανάτου τὴν
φιλοσοφίαν ὁρίζει, ῥητέον, ὅπως δεῖ τῆς τοῦ θανάτου μελέτης ἀκούειν.
Κλεόμβροτος γάρ τις ὀνόματι ἐγκύψας τῷ Πλάτωνος Φαίδωνι καὶ ὅτι μὲν
δεῖ τὸν φιλόσοφον θάνατον μελετᾶν γνούς, ὅτῳ δὲ δεῖ τρόπῳ μὴ γνούς,
20 ἀνελθὼν ἀπὸ τοῦ τείχους ἑαυτὸν κατεκρήμνισε. τούτου μαρτύριον ὁ τὸ εἰς 5
αὐτὸ τὸ Ἀμβρακιωτικὸν μειράκιον ἐκθέμενος ἐπίγραμμα ποιητής· φησὶ γὰρ

Εἶπας ἥλιε, χαῖρε· Κλεόμβροτος Ἀμβρακιώτης
ἥλατ' ἀφ' ὑψηλοῦ τείχεος εἰς Ἀΐδην
ἄξιον οὐδὲν ἰδὼν θανάτου κακόν. ἀλλὰ Πλάτωνος
25 ἓν τὸ περὶ ψυχῆς γράμμ' ἀναλεξάμενος.

διὰ τὴν ἐξ ἀγνοίας τοίνυν συμβᾶσαν τῷ νέῳ ἐγχείρησιν ἐπισκεπτέον ἂν
εἴη, τί ποτε βούλεται ἡ ῥηθεῖσα τοῦ θανάτου μελέτη. καὶ γὰρ καὶ ὁ
Πλάτων παρακελεύεται μὴ ἐξάγειν ἑαυτόν. φησὶ γοῦν οὕτως· 'ὁ μὲν οὖν 10

1 ἄλλο (utrobique) E¹ μὲν γὰρ M 3. 4 ἐπεὶ—ἔχουσι eicias 3 πολὺ] πολλοὶ M 4. 5 πρόκειται E 5 τὸ (alterum) om. E 6. 7 post ὥρμησεν add. ὁ φιλόσοφος p 7 ῥητέον D: λεκτέον EMVp 8 αἱ (ante πρακτικαὶ) D: om. EMVp 9 δὲ (ante καὶ)] εἰσιν p αἱ D: om. EMVp 10 ἑκάτερον D: ἑκάτερα EMp: oblitt. V τούτων τῶν μερῶν M τὸν D: om. EMVp 11 ὅπως D: πῶς EMVp ἔχει p: ἔχουσιν DEM: oblitt. V 12 κοσμῶν] κινῶν EM ἐπιμελόμενος M 14 ἀνθρώπῳ om. E 16 μελέτην θανάτου τ. φ. D: τ. φ. ἐν μελέτῃ θανάτου Ep: τ. φ. μελέτην θανάτου M: oblitt. V 18 τῷ τοῦ πλάτωνος p (cf. Phaed. p. 64 A. 67 E) 19 τρόπῳ δεῖ colloc. Ep 20 ἀνελθὼν post τείχους colloc. V ἀπὸ D: ἐπὶ EMVp τείχεος E ὁ τὸ DMV: ὁ (in ras.) E²p 21 ponas ἐπίγρ. ἐκθέμ. ἐπίγραμμα) Callimachi XXIII Wilam. 22 εἶπας libri Ammonii ἀμβρακιώτης Callim. (Anth. Pal. VII 471) 23 ἥλατ' DM: ἥλλατ' Ep: ἤλλατ' V ἀΐδην E²M Dav. El.: ἄδην D: ἀΐδου E¹p: oblitt. V 24 οὐδὲν ἰδὼν] οὔτι παθὼν schol. Dionys. Thrac. p. 725 Dav. El. 25 ἓν τὸ—γράμμ' in lit. oblitt. M ἓν τὸ] ἐν τῷ E γράμμ'] γραμματι EV 26 τῷ νέῳ συμβᾶσαν colloc. EMVp ἐγχείρισιν M σκεπτέον D (cf. p. 3,17) 27 καὶ (post γὰρ) Dp: om. EM: oblitt. V 28 φησὶ] cf. Phaed. p. 62 B γοῦν DE: οὖν MV: γὰρ p

ἐν ἀπορρήτοις περὶ αὐτῶν λεγόμενος λόγος, ὡς ἔν τινι φρουρᾷ ἐσμεν οἱ 3r
ἄνθρωποι καὶ οὐ δεῖ ἑαυτοὺς ἐκ ταύτης ἐξάγειν οὐδὲ ἀποδιδράσκειν, μέγας
τίς μοι φαίνεται καὶ οὐ ῥᾴδιος διιδεῖν'. οὐ δεῖ δὴ ἐξάγειν ἑαυτόν· ὥσπερ
γὰρ ὁ ἐν φρουρᾷ ὑπάρχων καὶ καταδεθεὶς διά τι πλημμέλημα, εἰ βουλη-
5 θείη ἀποδρᾶσαι, ἀνατρέπει ὅσον ἐφ' ἑαυτῷ τοὺς νόμους, οὕτω καὶ ὁ σπεύ-
δων διαλῦσαι τὸν δεσμὸν τοῦ σώματος τὸν δεθέντα ὑπὸ τῆς προνοίας ἀνα- 15
τρέπει τοὺς δημιουργικοὺς νόμους· οὐ δεῖ οὖν θανατᾶν. εἰ τοίνυν ταῦθ' 5
οὕτως ἔχει, πῶς μελέτην θανάτου τὴν φιλοσοφίαν φαμέν; πρόσεχε τοῖς
λεγομένοις, καὶ λυθήσεται ἡ ἀπορία. ἰστέον ὅτι τοῦ ἀνθρώπου συνθέτου
10 ὄντος ἐκ ψυχῆς καὶ σώματος καὶ ὁ σύνδεσμος διττὸς καὶ ἡ τῆς ψυχῆς
λύσις διττή· ἔστι γὰρ ὁ φυσικὸς λεγόμενος δεσμός, καθ' ὃν τῇ ψυχῇ δέ-
δεται τὸ σῶμα καὶ ζωοποιεῖται ἐξ αὐτῆς, ἔστι καὶ ὁ προαιρετικὸς δεσμός,
καθ' ὃν ἡ ψυχὴ τῷ σώματι δέδεται δουλεύουσα αὐτῷ κεκρατημένη ὑπ' 20
αὐτοῦ. διττὴ οὖν καὶ ἡ λύσις, ἡ μὲν τοῦ σώματος ἀπὸ τῆς ψυχῆς, ἡ δὲ
15 τῆς ψυχῆς ἀπὸ τοῦ σώματος. καὶ ὁ θάνατος διττός, ὁ μὲν φυσικός, καθ'
ὃν πάντες οἱ ἄνθρωποι ἀποθνήσκομεν, τοῦτ' ἔστι καθ' ὃν χωρίζεται τὸ
σῶμα ἀπὸ τῆς ψυχῆς, ὁ δὲ προαιρετικός, καθ' ὃν οἱ φιλόσοφοι μελετῶσι
χωρίζειν τὴν ψυχὴν ἀπὸ τοῦ σώματος. καὶ κατὰ τοῦτο λέγονται μελετᾶν
θάνατον, τοῦτ' ἔστι χωρισμὸν ψυχῆς ἀπὸ τοῦ σώματος. ἰστέον δὲ ὅτι οὐ
20 πάντως τοῦ σώματος χωρισθέντος τῆς ψυχῆς καὶ ἡ ψυχὴ χωρίζεται τοῦ 25
σώματος· αἱ γὰρ φιλοσώματοι ψυχαὶ καὶ μετὰ θάνατον τὸν τῶν σωμάτων
ἔτι περιέπουσιν ἔρωτα, καὶ τούτων εἶναί φασι τὰ φαινόμενα περὶ τοὺς
τάφους σκιοειδῆ φαντάσματα. ἀλλ' οὐδὲ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος
χωριζομένης τὸ σῶμα παντελῶς χωρίζεται τῆς ψυχῆς· οἱ γὰρ φιλοσόφως
25 ζῶντες καὶ ἐν τῇ ζωῇ ὄντες ἔτι χωρίζουσιν ἑαυτοὺς τοῦ σώματος. ἔστιν
οὖν ἡ φιλοσοφία μελέτη θανάτου, τοῦτ' ἔστι μελέτη χωρισμοῦ ψυχῆς ἀπὸ 30
τοῦ σώματος.

Ζητῆσαι δὲ λοιπὸν ἄξιον, ὡς εἰ τέλος ἔχει ἡ φιλοσοφία τὴν τῶν
ὄντων γνῶσιν, πῶς τὸν ὁρισμὸν τὸν λέγοντα "γνῶσις τῶν ὄντων ᾗ ὄντα
30 ἐστί", καὶ πάλιν "γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων", ἐκ

1 λεγόμενος περὶ αὐτῶν colloc. Plat. αὐτὸν E 2 ἑαυτοὺς D: αὐτοὺς EMVp: ἑαυτὸν Plat. ἐκ ταύτης αὐτοὺς colloc. M ἐξάγειν] λύειν Plat. οὐδὲ EMVp Plat.: μηδὲ D 3 ῥᾴδιον p δὴ D: δὲ EMp: oblitt. V ἑαυτόν D: ἑαυτοὺς EMp: oblitt. V 4 καταδεθεὶς Dp: κατατεθεὶς EMV 5 ἀποδρᾶσαι D: ἀποδράσαι EMVp 6 δεθέντα M 7 θανατᾶν D: θαναθοῦν EMVp 8. 9 πρόσεχε τ. λεγ. D: πρόσεχε τ. λεγ. οὖν E: πρόσεχε οὖν τοῖς λεγ. MVp 11 διττή ἐστιν MV 12 ἔστι δὲ καὶ EMVp 13 τῷ σώματι δέδεται δουλεύουσα αὐτῷ D: δέδεται δουλεύουσα τῷ σώματι αὐτῷ Ep: δέδεται τῷ σώματι αὐτῷ M: δέδεται τῷ σώματι δολεύουσα V κεκρατημένη D: καὶ κρατουμένη E: κεκρατουμένη Mp: oblitt. V 14 τῆς ψυχῆς DM: ψυχῆς Ep: oblitt. V 15 τοῦ σώματος DMV: σώματος Ep 17 ἀπὸ D: om. EMp: locus oblitt. V 19 τῆς ψυχῆς M τοῦ DM: om. Ep: locus oblitt. V (cf. v. 27) δὲ D: γὰρ EMp: oblitt. V 22 φαμὲν E περὶ] παρὰ E 24 παντελῶς D: πάντως EMp: oblitt. V 24. 25 οἱ γὰρ φιλόσοφοι ὡς ζῶντες E 28 τὴν om. V 29 γνῶσις] γνῶσιν E ᾗ] καθὸ E 30 τε θείων E

τοῦ ὑποκειμένου φαμὲν καὶ οὐκ ἐκ τοῦ τέλους. ὡς γὰρ τὴν ἰατρικὴν 3r
ἐπιστήμην περὶ τὰ ἀνθρώπινα σώματα καταγινομένην ἐκ τοῦ ὑποκειμένου
φαμὲν ὁρίζεσθαι, ὅταν δὲ ὑγείας περιποιητικήν, ἐκ τοῦ τέλους, ὅτι τούτου
στοχάζεται, οὕτω δὴ καὶ ἐπὶ τῆς φιλοσοφίας, εἰ τέλος ἔχει τὴν τῶν ὄντων 35
5 γνῶσιν, ἐκ τοῦ τέλους εἶναι λέγειν δεῖ τοὺς ἀποδιδομένους ὁρισμούς. ἐκεῖνο
δὲ πρῶτον σκοπητέον, ὡς ἡ μὲν φιλοσοφία τὸ μέν τι ἔχουσα μέρος θεω-
ρητικὸν τὸ δὲ πρακτικὸν διττὸν ἔχει καὶ τὸ τέλος· ὅταν γὰρ λέγωμεν
εἶναι θανάτου μελέτην τὴν φιλοσοφίαν, ἐκ τοῦ πρακτικοῦ τέλους αὐτὴν
ὁριζόμεθα, | ὅταν δὲ γνῶσιν τῶν ὄντων ᾗ ὄντα ἐστίν, ἐκ τοῦ γνωστικοῦ, 3v
10 ὅταν δὲ ὁμοίωσιν θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ, ἐξ ἀμφοῖν. ἡ μὲν οὖν
ἰατρικὴ μικτὴ οὖσα, ὅταν μὲν κατὰ μόνον τὸ θεωρητικὸν αὐτῆς ὁρίζηται,
λέγεται ἐπιστήμη περὶ τὰ ἀνθρώπινα σώματα καταγινομένη (καὶ εἰκότως
ἐκ τοῦ ὑποκειμένου αὐτῆς τὸν ὁρισμόν φαμεν τοῦτον), ὅταν δὲ κατὰ τὸ
οὗ ἕνεκεν τοιαύτῃ χρῆται θεωρίᾳ, ὑγείας εἶναι περιποιητική, καὶ ἐκ τοῦ 5
15 τέλους εἶναι τοῦτον λέγομεν τὸν ὁρισμόν. ἡ δὲ φιλοσοφία ἁπλοῦν ἔχουσα
τὸ θεωρητικὸν εἶδος (αὐτοῦ γὰρ καὶ μόνου ἕνεκεν γίνεται τοῦ γνῶναι τὰ
πράγματα) οὐκ ἂν ἄλλον μὲν ἐκ τοῦ ὑποκειμένου δέξαιτο ὁρισμόν, ἄλλον
δὲ ἐκ τοῦ τέλους. ἡ γὰρ γνῶσις τινῶν ἐστι γνῶσις· ἅμα οὖν καὶ ὅτι
γνῶσις καὶ τινῶν γνῶσις συμπεριλήψεται. καὶ οἶμαί γε, εἴτε ἐκ τοῦ ὑπο-
20 κειμένου τὸν τοιοῦτον ὁρισμὸν εἴτε ἐκ τοῦ τέλους εἴποι τις, οὐκ ἂν ἁμάρ-
τοι, μᾶλλον δὲ ἐξ ἀμφοῖν εἴη ἄν. ἀλλ' ἴσως πρὸς διαστολὴν τῶν ἄλλων 10
ὁρισμῶν, τοῦ τε λέγοντος "ὁμοίωσις θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ"
οὐ προσδιορίζοντος ἐν τίσιν ἡ ὁμοίωσις, καὶ τοῦ λέγοντος "μελέτη θανάτου"
ἐκ τοῦ ὑποκειμένου τοὺς εἰρημένους ὅρους προσηγορεύσαμεν.
25 Ἔστι δὲ καὶ ἄλλος τῆς φιλοσοφίας ὁρισμὸς Ἀριστοτέλους ἐκ τῆς
ὑπεροχῆς αὐτῆς, ἧς ἔχει πρὸς τὰς ἄλλας ἐπιστήμας καὶ τέχνας, λέ-
γων "φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν", τοιῷδέ
τινι τρόπῳ πρὸς ταύτην ἰόντος τὴν ἀπόδοσιν. τῶν γνώσεων αἱ μέν εἰσι 15
τέχναις πρέπουσαι, αἱ δὲ ἐπιστήμαις. αὗται δὲ αἱ τέχναι καὶ ἐπιστῆμαι

---

2 ἐπιστήμην EMp: τέχνην D: oblitt. V (cf. v. 12) 3 περιποιητική M: an περιπ. λέγωμεν? 6 μὲν (ante φιλοσ.) D: om. EMVp τι ex τοι corr. E μέρος Taur. 129: μόνως D: μόνον EMVp 7. 8 λέγ. μελ. εἶναι θ. colloc. EMp: μελ. λέγ. εἶναι θ. V 9 γνῶσις D ἐστίν] εἰσίν V 10 ἀνθρώπῳ Vp: om. DEM post ἀμφοῖν add. αὐτὴν ὁριζόμεθα M οὖν D: om. EMVp 11 ὁρίζεται DE 13 τὸν ὁρ. φαμὲν τοῦτον D: τὸν τοιοῦτον φαμὲν ὁρ. EMVp κατὰ τὸ EMVp: τοῦ D 14 ἕνεκεν DV: ἕνεκα EMp τοιαύτῃ Laur. 72,7: τῇ αὐτῇ DEMV: τῇ ἑαυτῆς p περιποιητική EM: περιποιητικήν Dp: oblitt. V 17 δέξαιτο scripsi: δέξηται libri 18 καὶ om. D 19 post τινῶν add. ἐστι p καὶ οἶμαι γε D: ὁμοῦ τε E: καὶ οἶμαί γε ὅτι M: καὶ ἅμα (?) γε ὅτι V: καὶ ὁμοῦ τε p εἴτε] ἢ V 20 post τις add. ἂν EVp 21 ἂν εἴη colloc. M 22 τε om. E ἀνθρώπῳ MV: om. DEp (cf. v. 10) 23 ante οὐ add. καὶ EMVp: om. D οὐ] τοῦ V μελέτην D 24 ἐκ τοῦ] αὐτοῦ V 25 Ἀριστ.] cf. Metaph. A 2 26 ἧς ἔχει D: τῆς EMVp τε καὶ MV 27 ἰόντος scripsi: ἰδόντος libri 28 εἰσι DMV: om. Ep 29 ταῖς τέχναις EMVp πρέπουσαι DEMV: πρέπουσιν p ταῖς ἐπιστήμαις p

κατὰ μὲν τοὺς λόγους οὐδὲν διαφέρουσιν ἀλλήλων (οἱ γὰρ ἑκάστης λόγοι 3v
καθ' ἑαυτοὺς μὲν ἄπταιστοί εἰσι), κατὰ δὲ τὴν ὕλην διαλλάττουσιν· αἱ μὲν
γὰρ ἐπιστῆμαι περὶ τὰ ὡσαύτως ἔχοντα καταγίνονται, οἷον ἀστρονομία γεω-
μετρία ἀριθμητική, αἱ δὲ τέχναι περὶ τὰ ὡς ἐπὶ τὸ πολὺ καὶ μεταβαλλό-
5 μενα. ὅθεν τῆς γεωμετρίας οἱ λόγοι ἄπταιστοι μένουσιν, ὡς ἔχει ἐκεῖνος 20
'παντὸς κύκλου τὰ ἀπὸ τοῦ κέντρου ἐπὶ τὴν περιφέρειαν διαστήματα ἴσα
εἰσὶν ἀλλήλοις' (τοῦτο γὰρ ὡσαύτως ἔχον ἐστίν), οἱ δὲ τῆς ἰατρικῆς πταί-
ουσιν, ὡς ὁ λέγων 'τὰ ἐναντία τῶν ἐναντίων ἰάματα', διὰ τὸ μὴ περὶ τὸ
ὡσαύτως ἔχον ἀεὶ καταγίνεσθαι· πρῶτον μὲν γὰρ οὐδὲ πάντων τῶν νοση-
10 μάτων ἰάματά ἐστι· τί γάρ, ἐὰν ἡ νόσος ὀλεθρία ᾖ; ἄλλως τε ἔστιν ὅτε
οὐ τὰ ἐναντία προσάγουσιν, ἀλλὰ τὰ ὅμοια, ὡς ἐπὶ τῶν κατὰ συμβεβηκός·
πολλάκις γὰρ ψυχρὸν ὕδωρ ἐπιχεόμενον ἠτονηκυῖαν ἤδη θερμότητα ἀνεκα- 25
λέσατο. πάσαις τοίνυν ταῖς ἐπιστήμαις καὶ τέχναις ἡ φιλοσοφία τὰς ἀρχὰς
δίδωσι· τῇ μὲν γὰρ γεωμετρίᾳ τοὺς καθολικοὺς λόγους (φιλοσόφων γὰρ τὸ
15 καθόλου ζητεῖν), ἄλλως τε ὁ γεωμέτρης τὸ σημεῖον ἀμερὲς λαμβάνει καὶ
τὸ μέγεθος ἐπ' ἄπειρον διαιρεῖ καὶ ταύταις ἀναποδείκτως ταῖς ἀρχαῖς
κέχρηται. ὁ δὲ φιλόσοφος ταῦτα δείκνυσιν. ἐπειδὴ γάρ φησι πᾶν τὸ περα-
τοῦν τοῦ περατουμένου λείπεται μιᾷ διαστάσει· τὸ γὰρ σῶμα τρεῖς ἔχον
διαστάσεις περατοῦται ὑπὸ τῆς ἐπιφανείας, ἥτις ἔχει δύο διαστάσεις, μῆκος 30
20 καὶ πλάτος (βάθος γὰρ οὐκ ἔχει ᾧ λείπεται τοῦ σώματος). ἡ δὲ ἐπιφάνεια
δύο ἔχουσα διαστάσεις περατοῦται ὑπὸ τῆς γραμμῆς, ἥτις μίαν ἔχει
διάστασιν τὸ μῆκος μόνον, ἡ δὲ γραμμὴ περατοῦται ὑπὸ τοῦ σημείου, ὃ
δῆλον ὅτι οὐχ ἕξει οὐδεμίαν διάστασιν, ἀλλ' ἔσται ἀμερές, εἴ γε, ὡς εἴρη-
ται, πᾶν πέρας τοῦ περατουμένου λείπεται μιᾷ διαστάσει. ὅτι δὲ καὶ πᾶν
25 μέγεθος ἐπ' ἄπειρόν ἐστι διαιρετόν, δείκνυσι λαμβάνων, ὅτι ἡ τομὴ κατὰ 35
σημεῖα γίνεται, ἅπερ οὐ συντίθενται οὐδὲ ποιοῦσι σῶμα. οὐκοῦν τὸ σῶμα
τρεῖς ἔχει διαστάσεις κατὰ σημεῖα διαιρούμενον, οὐδὲν γὰρ ἀφαιρεῖται ἡ
διαίρεσις τοῦ σώματος πλὴν τοῦ ποσοῦ τοῦ μεγέθους, τὸ δὲ τρεῖς ἔχειν
διαστάσεις οὐκ ἀφαιρεῖται· οὐκοῦν ὁ λόγος τοῦ σώ|ματος ἐπιδέχεται τὴν 4r
30 εἰς ἄπειρον τομήν· εἰ δὲ ἡμῖν ἀδύνατός ἐστι διὰ τὴν σύμφυτον ἀσθένειαν
ἀνυσθῆναι, οὐ διὰ τοῦτο ἀνῄρηται. τῇ δὲ ἰατρικῇ τὰ τέσσαρα στοιχεῖα·
τῶν γὰρ φιλοσόφων ἀποδεικνύντων τέσσαρα εἶναι τῶν ἐν γενέσει σωμάτων

2 διαλάττουσιν DM¹p 4 ἐπιπολὺ E καὶ D: om. EMVp 5 ἐκεῖνος EM: ἐκεῖνος ὁ D: ἐκεῖνο p: oblitt. V 6 διαστήματα p: ἀναστήματα codd. 9 ἔχον codd.: ἔχειν p γὰρ D: om. EMVp 10. 11 ἔστιν ὅτε οὐ τὰ Dp: ἔστιν οὗ οὐ πάντα τὰ EM: ἔστιν οὗ οὐ πάντως τὰ V 11 κατὰ συμβ. haud sanum 13 ταῖς τέχναις EMVp 14 μὲν superscr. D γὰρ (post μὲν) D: om. EMVp 19 δύο διαστάσεις om. M 20 ᾧ] ὃ MV 22 ὃ D: καὶ EMp: oblitt. V 24 καὶ Dp: om. EM: oblitt. V 24. 25 μέγεθος πᾶν colloc. EM: oblitt. V λαμβάνον D 26 συντίθεται EMp: oblitt. V 27 ἔχει] ἔχον MV κατὰ Ep: καὶ τὰ DMV; an καὶ κατὰ? διαιρούμενον Ep: διαιρούμενα DMV οὐδὲν] οὐδὲ EMV 27. 28 τοῦ σώματος ἡ διαίρεσις colloc. EMVp 28 τοῦ μεγέθους D: τὸ μέγεθος EMVp; fort. eicias ἔχειν] ἔχον M 30 εἰς] ἐπ' p ἡμῖν D: om. EMp: locus oblitt. V 31 τὰ τέσσαρα στοιχεῖα EMp: τέσσαρα στοιχεῖα D: oblitt. V 32 γὰρ D: om. EMp: locus oblitt. V

τὰ στοιχεῖα, ταῦτα δὴ τὰ πολυθρύλλητα, καὶ οὔτε πλείονα οὔτε ἐλάττονα, 4r
ἐκεῖνοι ὡμολογημένον τοῦτο λαμβάνοντες ἐκ τούτων προσεχῆ στοιχεῖα τοὺς 5
τέσσαρας χυμοὺς γεννᾶσθαί φασι ἀναλόγως ἐκείνοις τοῖς πορρωτέρω στοι-
χείοις τούτους λαμβάνοντες. ἔτι μὴν καὶ ῥητορικῇ φιλοσοφία τὰς ἀρχὰς
5 δίδωσιν· ἀναλόγως γὰρ τῇ τε ἐπαγωγῇ καὶ τῷ συλλογισμῷ τὸ παράδειγμα
καὶ τὸ ἐνθύμημα ὁ ῥήτωρ λαμβάνει· ὥσπερ γὰρ ὁ συλλογισμὸς ἀληθής
ἐστιν, ἐπειδὴ τὸ ἀναγκαῖον ἔχει, οὕτως καὶ τὸ ἐνθύμημα ἀληθὲς βούλεται
εἶναι, μιᾷ μέντοι προτάσει τοῦ συλλογισμοῦ λείπεται, ὅθεν καὶ συλλογισμὸς 10
ἀτελὴς λέγεται. συλλογισμὸς δέ ἐστι λόγος ἐν ᾧ τεθέντων τινῶν ἕτερόν
10 τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι. τὸν αὐτὸν δὲ τρό-
πον ἀναλογεῖ καὶ τῇ ἐπαγωγῇ τὸ παράδειγμα· ὥσπερ γὰρ ἐκείνη τὸ ὡς
ἐπὶ τὸ πολὺ ἔχει καὶ τὸ εἰκός, οὐ πάντως δὲ τὸ ἀληθές, οὕτω καὶ τὸ
παράδειγμα. διαφέρει δὲ καὶ ταῦτα ἀλλήλων, ὅτι ἡ μὲν ἐπαγωγὴ λόγος
ἐστὶν ἀπὸ τῶν μερικῶν τὰ καθόλου πιστούμενος, τὸ δὲ παράδειγμα ἀπὸ 15
15 τῶν μερικῶν τὰ ἐπὶ μέρους πιστοῦται. καὶ τὰ ἐπιχειρήματα δὲ ἐκεῖθεν
λαμβάνει· περὶ γὰρ τοπικῶν ὁ Ἀριστοτέλης ἐν τῇ λογικῇ διείλεκται καὶ
ὅλως ῥητορικὰς τέχνας ἐπραγματεύσατο. οὐκοῦν καὶ ἡ ῥητορικὴ παρὰ
φιλοσοφίας τὰς ἀρχὰς εἴληφεν, ἄλλως τε καὶ ὁ ῥήτωρ κέχρηται τῷ καλῷ
καὶ τῷ δικαίῳ καὶ τῷ συμφέροντι οὐκ εἰδὼς ποῦ ποτε θεωρεῖται τὸ δί- 20
20 καιον, οὐδὲ εἰ ταὐτόν ἐστι τῷ συμφέροντι· ἔστι γὰρ ὅπου εἰς ταὐτὸν αὐτὸ
κομίζουσι τῷ δικαίῳ, ἔστι δ' ὅτε καὶ διαιροῦσιν αὐτὸ καὶ ἐναντίον τίθενται·
δείκνυται δὲ ὅτι ταῦτά ἐστι καὶ ἀντιστρέφει. καὶ γραμματικῇ δὲ ὁμοίως·
περὶ γὰρ τόνους καὶ χρόνους καταγίνεται, ἅπερ ἐστὶ μουσικῆς, ἡ δὲ μου-
σικὴ φιλοσοφίας ἐστὶ μέρος. οὐ μόνον δὲ αἱ λογικαὶ τέχναι καὶ ἐπιστῆμαι
25 δέονται φιλοσοφίας ἀλλὰ καὶ αἱ βάναυσοι λεγόμεναι τέχναι. ὁ γοῦν οἰκοδό- 25
μος τῇ καθέτῳ χρῆται πρὸς τὸ διακρῖναι, εἴτε ὄρθιός ἐστιν ὁ τοῖχος ἢ
οὔ, τίς μέντοι ἡ κάθετος οὐκέτι οἶδεν. ὁ μέντοι φιλόσοφος οἶδεν εὐθὺς
τὴν αἰτίαν· ἐρεῖ γὰρ ὅτι πάντα τὰ βάρη αὐτοφυῶς ἐπὶ τὸ κέντρον ὁρμᾷ,
ὅθεν πρὸς ὀρθὰς γωνίας πανταχόθεν τὰ βάρη καταφέρεται. αἱ δὲ ὀρθαὶ

2 ἐκεῖνο (ι eras.) E 3 χυμοὺς post φασι transpos. EMVp γεννᾶσθαι EMp: γενέσθαι D: oblitt. V πορρωτέροις D (fort. recte) 4 τούτους Dp: τούτοις E: ταῦτα MV γε μὴν p μὴν] μὲν E τῇ ῥητορ. ἡ φιλοσ. Mp; cf. v. 17. 22 5 τε om. D 7 ἔχει τὸ ἀναγκαῖον colloc. EMVp 9 λέγεται ἀτελής colloc. V δὲ iterat. D 10 τῶ] τὰ E (corr. m. 2) 11 τοῦτο παράδειγμα V γὰρ om. E 12 ἐπιπολὺ Ep 14 τὰ καθόλου DE²: τὸ καθόλου E¹MVp post πιστούμενος add. οἷον ῥητορικὴ καὶ νομοθετικὴ καὶ ἡ δεῖνα καὶ ἡ δεῖνα τέχναι οὖσαι ὠφέλιμοί εἰσι τῷ βίῳ· τέχνη ἄρα οὖσα καὶ ἡ ἰατρικὴ ὠφέλιμός ἐστι τῷ βίῳ EMVp: om. D 16 διήλεκται p 17 ῥητορικὰς DEp: λογικὰς MV 18 τῆς φιλοσ. p ἀρχὰς EMVp: ἀφορμὰς (sed in lit.) D εἴληχεν V καὶ om. D 18. 19 τῷ καλῷ καὶ eicias τῷ δικαίῳ καὶ τῷ καλῷ colloc. EMVp 19 ποῦ ποτε D: ποῦ τε EM: πῶς καὶ ποῦ ποτε p: oblitt. V θεωρῆται MV 20 ὅπου] ἡ ποῦ M 21 κομίζουσι DE: νομίζουσι MVp τίθεται E¹ 22 ταῦτά ἐστι καὶ ἀντιστρ. D: ταῦτά ἐστιν ὅτε καὶ ἀντιστρ. EMVp γραμματικῇ scripsi: γραμματικὴ libri (cf. v. 4 p. 7,31) 23 γὰρ om. M 25 γοῦν D: γὰρ EMVp 26 ἢ D: εἴτε EMVp 29 καταφέρονται D

γωνίαι ἀπαρέγκλιτοί εἰσι. καὶ ὁ τέκτων δὲ πρὸς τὸ εὐθὲς ποιῆσαι τὸ ξύλον 4r
τῇ στάθμῃ κέχρηται· τίς μέντοι ἡ τῆς εὐθείας φύσις, οὐκέτι οἶδεν. ἡ
δὲ γεωμετρία μέρος τι οὖσα καὶ αὐτὴ φιλοσοφίας ἐρεῖ· εὐθεῖα γάρ ἐστιν 30
ἥτις ἐξ ἴσου τοῖς ἐφ' ἑαυτῆς σημείοις κεῖται. ὁμοίως δὲ καὶ πάσας τὰς
5 ἄλλας ἐπιστήμας καὶ τέχνας ἀπὸ φιλοσοφίας τὰς ἀρχὰς ἐχούσας ἔστιν
εὑρεῖν. ἔστιν οὖν ἡ φιλοσοφία τέχνη τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν.

Ὁ μέντοι Πυθαγόρας φησὶ "φιλοσοφία ἐστὶ φιλία σοφίας" πρῶτος
τῷ παρὰ τοῖς παλαιοτέροις ἐπιστᾶς ἁμαρτήματι. ἐπειδὴ γὰρ ἐκεῖνοι σο-
φὸν ὠνόμαζον τὸν ἡντιναοῦν μετιόντα τέχνην, ὧν εἷς ἦν καὶ Ἀρχίλοχος 35
10 λέγων

τρίαιναν ἐσθλὴν καὶ κυβερνήτης σοφός,

καὶ ὁ ποιητὴς

ἐπεὶ σοφὸς ἤραρε τέκτων

καὶ

15 εὖ εἰδὼς σοφίης ὑποθημοσύνῃσιν Ἀθήνης,

μεθίστησι τὴν προσηγορίαν ταύτην ἐπὶ τὸν θεὸν ὡς μόνον ἐκεῖνον καλεῖ-
σθαι σοφόν, τὸν θεόν φημι, σοφίαν τε καὶ τὴν τῶν ὄντων ἀιδίων ἔχοντα
γνῶσιν. ὁρῶν δὲ τοὺς μὲν ἐπὶ ῥητορικὴν τοὺς δὲ ἐπὶ γραμματικὴν τοὺς 4v
δὲ ἐπὶ τὴν τῶν φυσικῶν ζήτησιν τρέχοντας, ἄλλους δ' αὖ πάλιν ἐφ' ἕτερα,
20 προσαγορεύει τοὺς τὴν τῶν φυσικῶν θεωρίαν ἀσκοῦντας φιλοσόφους οἱονεὶ
φιλοῦντας τὸν σοφόν, ὅπερ ἠξίου καλεῖν τὸν θεόν, τὴν δὲ τούτων γνῶσιν
φιλοσοφίαν ἀναλόγως τὴν φιλίαν τῆς σοφίας· σοφίαν γάρ, ὡς ἤδη εἴρηται,
τὴν τοῦ θεοῦ γνῶσιν ὠνόμαζε. ταῦτα Πυθαγόρας. εἰσὶ δὲ καὶ ἄλλοι τῆς
φιλοσοφίας ὁρισμοί, ἀρκοῦσι δὲ καὶ οὗτοι.

25 Ἐπειδὴ δὲ πᾶν πρᾶγμα ἢ διαιρετόν ἐστιν ἢ ἀδιαίρετον, ἀνάγκη καὶ 5
ἡμᾶς εἰπεῖν, πότερον ἡ φιλοσοφία διαιρετὴ ἢ οὔ. πρὸ δὲ τούτου δίκαιόν
ἐστιν εἰπεῖν, τί ὅλως ἐστὶ διαίρεσις καὶ τί ἐπιδιαίρεσις καὶ τί ὑποδιαίρεσις·
τὸν γὰρ περὶ διαιρέσεως διαλεγόμενον χρὴ πρότερον εἰπεῖν ὅ τι ποτέ ἐστι
τούτων ἕκαστον. ἔστι μὲν οὖν διαίρεσις ἡ κατὰ πρώτην ἐπιβολὴν τομὴ

1 γωνίαι Dp: om. EM: locus oblitt. V εὐθὲς DEM: εὐθὺ Vp ποιῆσαι Dp: ποιεῖν EMV 3 τι MV: τε DEp 4 ἐφ' ἑαυτῆς V Euclid. El. I def. 4: ὑφ' ἑαυτὴν D: ἐφ' ἑαυτὴν Ep: ἐφ' ἑαυτῇ M καὶ D: om. EMVp 5. 6 ἐχούσας ἔστιν εὑρεῖν DMp: εὑρήσεις ἐχούσας E: oblitt. V 7 φησὶ EMV: ὅτι D: φησὶ ὅτι p 9 ὁντιναοῦν E ὁ ἀρχίλοχος EMVp (cf. fr. 45 Bergk II⁴ p. 394) 10 λέγων om. V 11 κυβερνήτην σοφόν Bergk. 13 ἐπεὶ σοφὸς ἤρ. τ.] σοφὸς apud Homerum non invenitur; fort. spectat Ψ 712 (τούς τε κλυτὸς ἤραρε τέκτων); τέκτονες σοφοί occurrit apud Pind. Pyth. 3, 113 15 εὖ εἰδῇ Hom. O 412 16 τὸν θεόν φημι D: τὸν θεὸν Ep: om. M: locus oblitt. V 17 σοφίαν DE: τὸν σοφίας (sic) M: τὸν τὴν σοφίαν p: oblitt. V ἀιδίων scripsi: ἀίδιον libri 18 ὁρῶν] ἡμῶν E 19 τὴν] τι p τρέχοντας D: ἔχοντας Ep: νεύοντας (?) M: oblitt. V ἄλλους ex ἄλλο corr. E 21 an ὅνπερ? ἠξίουν p τῶν δὲ τούτων τὴν γνῶσιν E 22 ἀναλόγως φιλοσοφ. colloc. EMVp: φιλοσοφίαν eicias 22. 23 τὴν φιλίαν — γνῶσιν om. p 22 εἴρηται] ἤρηται D 23 γνῶσιν D: φύσιν EM: oblitt. V (cf. v. 18) καὶ EMVp: om. D 25 ἢ — ἢ D: εἴτε — εἴτε EMp: oblitt. V 26 διαιρετή ἐστιν p 28 ποτε Dp: περ EM: oblitt. V 29 ἡ διαίρεσις EM

τοῦ πράγματος, ἐπιδιαίρεσις δὲ ἡ κατὰ δευτέραν ἐπιβολὴν τομὴ τοῦ αὐτοῦ 4v
πράγματος, οἷον κατὰ πρώτην ἐπιβολὴν τέμνω τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον
(τοῦτο διαίρεσις), κατὰ δευτέραν δὲ ἐπιβολὴν τὸ αὐτὸ εἰς θνητὸν καὶ ἀθά-
νατον (τοῦτό ἐστιν ἐπιδιαίρεσις)· μόνῃ δὲ τῇ τάξει διαφέρουσιν ἀλλήλων.
5 ὑποδιαίρεσις δέ ἐστιν ἡ τοῦ διαιρεθέντος ἤδη πράγματος τοῦ μέρους ἤτοι
τοῦ εἴδους τομή (εἶδος δὲ λέγω νῦν τὸ ὑπάλληλον), οἷον ὅτι τοῦ ἐπουρα-
νίου τὸ μέν ἐστιν ἀπλανὲς τὸ δὲ πλανώμενον· τὸ γὰρ ἐπουράνιον εἶδος ἦν 15
τοῦ ζῴου, τοῦτο δὲ ὑποδιείλομεν εἴς τε τὸ ἀπλανές καὶ τὸ πλανώμενον.
διδαξάντων οὖν ἡμῶν τί ἐστι διαίρεσις, τί ἐπιδιαίρεσις καὶ τί ὑποδιαίρεσις,
10 ἀκόλουθον καὶ περὶ τῆς ἐν τῇ φιλοσοφίᾳ διαιρέσεως λέγειν. [διαιρεῖται
γάρ, ὡς ἀνωτάτω διελεῖν ἔστι, κατὰ μέν τινας εἰς δύο, κατὰ δὲ ἑτέρους
εἰς τρία· τινὲς γὰρ εἰς τρία διαιροῦσι τὸν φιλοσοφίαν, εἰς θεωρητικὸν καὶ
πρακτικὸν καὶ λογικόν. εἰ δ' οὕτως ἔχει ἢ μή, ἐπισκεφώμεθα. ἰστέον ὅτι
τῆς διαιρέσεως τῇ ἀληθείᾳ τὸ θεολογικὸν πρῶτόν ἐστιν· ἀρχαὶ γὰρ πάντων 20
15 τὰ θεῖα. διὸ καὶ οὐκ ἀκαίρως οἱ παλαιοὶ τοῦτο προέθηκαν. τὸ δὲ φυσι-
ολογικὸν ὡς μὲν πρὸς ἡμᾶς πρῶτον (οὐ γὰρ ἂν γνοίημεν τὴν νοητὴν οὐ-
σίαν πρὸ τῆς αἰσθητῆς), ὡς δὲ πρὸς τὸ ἀληθὲς ἔσχατον· ἐσχάτη γὰρ οὐσία
ἡ ἔνυλος, διὸ καὶ τὴν ἐσχάτην εἴληφε τάξιν. μέσον δὲ τούτων τὸ μαθη-
ματικόν, ἐπειδὴ καὶ κατὰ φύσιν μέσην ἔχει τάξιν. τοῦτο δέ τινες τῶν
20 πάλαι προέταξαν τοῦ φυσιολογικοῦ, οἱ μὲν κατὰ Πλάτωνα, ἵνα, φασί, τὰς 25
ἰδέας ἐν τῇ ψυχῇ ἤδη ἀποκειμένας ἐπιγινώσκωμεν ἤτοι ἀναμιμνησκώμεθα
τὰ ἐν τοῖς καθ' ἕκαστα θεωροῦντες, ὁδῷ τινι ἢ κλίμακι τῷ μαθηματικῷ
χρώμενοι· οἱ δὲ κατὰ Ἀριστοτέλην βουλόμενοι ἡμᾶς ἐθίζειν ἀπὸ τῆς ἐνύλου
οὐσίας γινώσκειν τὴν νοητήν, ἥτις ἐστὶ μὲν ἀόρατος, πλείονα δὲ ἔχει καὶ
25 ἐναργεστέραν τὴν ὑπόστασιν ἢ κατὰ τὴν ὕλην· καὶ γὰρ ἐνταῦθα τὴν γραμ-
μὴν τὴν ἐν τῇ ὕλῃ μανθάνομεν, οὐχ ὅπως τὴν ὕλην ἢ τὸν κηρὸν ἢ τὸν 30
χαλκὸν γνοίημεν, ἀλλ' ἵνα ἀποσυλήσαντες αὐτὴν ἀποθώμεθα εἰς τὸν νοῦν,

1 ἐπιβολὴν] ἐπιτομὴν V 1. 2 τοῦ αὐτοῦ πράγματος D: ἄλλως EM: αὐτοῦ V: om. p 2 τέμνων M 3 κατὰ δευτέραν δὲ ἐπιβολὴν τὸ αὐτὸ D: κατὰ δευτέραν ἐπιβολὴν τέμνω (τέμνων M) τὸ ζῷον EMV: κατὰ δὲ δευτέραν p εἴς τε τὸ ἐπουράνιον καὶ ἐπιχθόνιον ἤγουν θνητὸν καὶ ἀθ. p 4 ἐστὶν om. EM τῇ (ante τάξει) om. EM διαφέρουσι D: διαφέρει EMVp 5. 6 ἤτοι τοῦ εἴδους D: ἤτοι εἴδους EVp: ἢ τοῦ εἴδους M 8 τοῦτο EMp: τὸ D: oblitt. V 9 οὖν om. M καὶ τί ἐπιδιαίρεσις EMp 10 τῇ (ante φιλοσ.) om. MV λέγειν DEM: εἰπεῖν Vp διαιρεῖται — συμμεταβάλλεσθαι (p. 11,5) inclusi (cf. quae Wellmann ad *Galeni q. f. de part. phil.* p. 23,12 adnotavit) 12 τέσσαρα τρία E καὶ γάρ τινες p καὶ EM: εἰς D: om. p: oblitt. V 13 λογικόν EMp: θεολογικόν D: oblitt. V ἐπισκεψώμεθα D: εἰσόμεθα EMp: oblitt. V ἰστέον δὲ MV 14 γὰρ Dp: δὲ EMV 15 προέθηκαν MV: προσέθηκαν DEp 19 καὶ om. D 20 φησί M 21 ἐπιγινώσκωμεν Mp: ἐπιγινώσκομεν DE: γινώσκωμεν V ἀναμιμνησκώμεθα EMVp: ἀναμιμνησκόμεθα D 22 ἕκαστα DEV: ἕκαστον Mp θεωροῦντες D: θεωρούμενα EMp: oblitt. V ἢ D: καὶ EMp: oblitt. V 23 post Ἀριστοτέλην add. τὸ ἀνάπαλιν MV: τὴν μέσην τάξιν αὐτῷ ἀπενείμαντο p 24 ἥτις Dp: ἡ EM: oblitt. V ἀόριστος E 25 ἐναργεστέραν D: ἐνεργεστέραν EMVp post ἐναργ. add. ἔχει E τὴν ὕλην D: ὕλην EMVp

ἔνθα βεβαιοτέραν ὁρῶμεν αὐτῆς τὴν ὑπόστασιν· ὅτι δὲ οὐ κοινωνεῖ τῷ 4v
κηρῷ κατὰ τὴν οὐσίαν τὸ σχῆμα οἷον ἡ γραμμὴ ἢ τὸ τρίγωνον, αὐτόθεν
δῆλον· αὐτίκα γοῦν τριγώνου σχήματος μεταβληθέντος ἀφαιρεθείσης τῆς
μιᾶς πλευρᾶς οὐ συμμεταβάλλεται ὁ κηρός, καίτοι εἰ ἐκοινώνει κατὰ τὴν
5 οὐσίαν, ἔδει συμμεταβάλλεσθαι].

Διαιρεῖται οὖν ἡ φιλοσοφία [ὡς ἤδη εἴρηται] εἰς τὸ θεωρητικὸν καὶ 35
πρακτικόν. ἄξιον δὲ ζητῆσαι, δι' ἣν αἰτίαν εἰς δύο καὶ διὰ τί εἰς ταῦτα
διαιρεῖται καὶ μήτε εἰς πλείονα μήτε εἰς ἐλάττονα. καὶ εἰς ἐλάττονα μὲν
ἀδύνατον ἦν ποιῆσαι τὴν διαίρεσιν· οὐδὲ γὰρ ἂν τὸ ἓν εἰς ἓν διαιρεθείη.
10 διὰ τί οὖν | μὴ εἰς πλείονα ἀλλ' εἰς δύο; τούτου δὲ αἰτίαι δύο εἰσίν. ἐπειδὴ 5r
γὰρ ἐλέγομεν τὴν φιλοσοφίαν ὁμοίωσιν θεῷ εἶναι, ὁ δὲ θεὸς διττὰς ἔχει
τὰς ἐνεργείας, τὰς μὲν γνωστικὰς πάντων τῶν ὄντων, τὰς δὲ προνοητικὰς
ἡμῶν τῶν καταδεεστέρων, εἰκότως ἡ φιλοσοφία διαιρεῖται εἰς τὸ θεωρητι-
κὸν καὶ πρακτικόν· διὰ γὰρ τοῦ θεωρητικοῦ γινώσκομεν τὰ ὄντα, διὰ δὲ 5
15 τοῦ πρακτικοῦ προνοούμεθα τῶν καταδεεστέρων, καὶ οὕτως ἐξομοιούμεν
ἑαυτοὺς τῷ θεῷ. πάλιν δὲ τῆς ἡμετέρας ψυχῆς διτταὶ αἱ ἐνέργειαι, αἱ
μὲν γνωστικαὶ οἷον νοῦς διάνοια δόξα φαντασία καὶ αἴσθησις, αἱ δὲ ζωτι-
καὶ καὶ ὀρεκτικαὶ οἷον βούλησις θυμὸς ἐπιθυμία. ὁ οὖν φιλόσοφος πάντα
τὰ τῆς ψυχῆς μέρη βούλεται κοσμῆσαι καὶ εἰς τελείωσιν ἀγαγεῖν· διὰ οὖν
20 τοῦ θεωρητικοῦ τελειοῦται τὸ ἐν ἡμῖν γνωστικόν, διὰ δὲ τοῦ πρακτικοῦ τὸ 10
ζωτικόν. εἰκότως οὖν ἡ φιλοσοφία εἰς δύο διαιρεῖται, εἴς τε θεωρητικὸν
καὶ πρακτικόν. πάλιν τὸ θεωρητικὸν διαιρεῖται εἰς θεολογικὸν μαθη-
ματικὸν καὶ φυσιολογικόν. εἰκότως καὶ τοῦτο· ἐπειδὴ γὰρ πάντα τὰ ὄντα
βούλεται θεωρεῖν ὁ φιλόσοφος, τῶν δὲ ὄντων πάντων τρεῖς εἰσι τάξεις·
25 τὰ μὲν γὰρ τῶν πραγμάτων παντάπασίν ἐστι χωριστὰ τῆς ὕλης καὶ τῇ
ὑποστάσει καὶ τῇ περὶ αὐτῶν ἐπινοίᾳ, οἷά ἐστι τὰ θεῖα, τὰ δὲ παντά-
πασιν ἀχώριστα τῆς ὕλης καὶ τῇ ὑποστάσει καὶ τῇ περὶ αὐτῶν ἐπινοίᾳ, 15
οἷά ἐστι τὰ φυσικὰ καὶ ἔνυλα εἴδη, ξύλον καὶ ὀστοῦν καὶ σὰρξ καὶ πάντα
ἁπλῶς τὰ σώματα (ταῦτα δὲ φυσικὰ καλοῦμεν ὡς ὑπὸ φύσεως δημιουρ-
30 γούμενα προσεχῶς), τὰ δὲ μέσα τούτων ὄντα κατά τι μέν ἐστι χωριστὰ
κατά τι δὲ ἀχώριστα, οἷά ἐστι τὰ μαθηματικά· κύκλος γὰρ καὶ τρίγωνον

1 βεβαιοτέραν Ep: βεβαιότερον DM: oblitt. V 3 αὐτίκα γοῦν D: ἰστέον γοῦν αὐτίκα EMVp 4 εἰ om. V 6 οὖν] γοῦν D ὡς ἤδη εἴρηται inclusi τὸ DEV: τε Mp 7 δέ ἐστι p 8 καὶ μήτε] καὶ μὴ superscr. m.[1] D 9 οὐδὲ] οὐ V 11 εἶναι θεῷ colloc. EMp: oblitt. V; tum add. κατὰ τὸ δυνατὸν ἀνθρώπῳ p 12 τῶν ὄντων πάντων colloc. EMp: oblitt. V 13 ἡμῶν om. p τὸ om. p 16 αἱ (prius) om. D 17 νοῦς δόξα αἴσθησις φαντασία διάνοια (καὶ διάνοια MV) EMVp 18 post βούλησις add. προαίρεσις p καὶ ἐπιθυμία p οὖν] γοῦν V 19 οὖν] γοῦν MVp 21 διαιρ. εἰς δύο colloc. EMp: oblitt. V 22 διαιρεῖται εἰς δύο, εἰς τὸ πραγματικὸν καὶ τὸ λογικόν. καὶ τὸ μὲν πραγματικὸν εἰς τρία. εἰς θεολ. MV sed in V pleraque oblitt.: διαιρ. εἰς τρία εἰς θ. p 23 ante μαθηματικόν add. καὶ Ep: om. DM: oblitt. V καὶ τοῦτο εἰκότως p γὰρ om. MV 25 ἐστι] εἰσὶ MV 28 καὶ (ante ἔνυλα) om. D ξύλον καὶ ὀστοῦν καὶ σὰρξ D: ξύλα καὶ ὀστᾶ σαρκὸς EM: ξύλα (cett. oblitt.) V: οἷον ξύλου καὶ ὀστοῦ καὶ σαρκὸς p 29 ἁπλῶς εἰπεῖν EM 31 μὲν γὰρ p

καὶ τὰ τοιαῦτα καθ' ἑαυτὰ ὑποστῆναι δίχα ὕλης τινὸς οὐ δύνανται καὶ 5r
κατὰ τοῦτο ἀχώριστά ἐστι τῆς ὕλης, ἐπειδὴ δὲ θεασαμένοι κύκλον ξύλινον
καὶ χαλκοῦν καὶ λίθινον ἀνεμαξάμεθα αὐτοῦ τοῦ κύκλου τὸ εἶδος ἐν τῇ
διανοίᾳ καὶ ἔχομεν παρ' ἑαυτοῖς δίχα τῆς ὕλης (ὥσπερ εἰ κηρὸς λάβοι τὸ
ἐκτύπωμα τοῦ δακτυλίου μὴ προσλαβών τι τῆς ὕλης). κατὰ τοῦτο χωριστά
ἐστι τῆς ὕλης, καθὸ τῇ ἐπινοίᾳ χωρίζεται. τῶν οὖν ὄντων τὰ μέν ἐστι
παντάπασι χωριστὰ τὰ δὲ παντάπασιν ἀχώριστα τὰ δὲ κατά τι μὲν χω-
ριστὰ κατά τι δὲ ἀχώριστα· τὸ οὖν θεωρητικὸν διαιρεῖται εἰς θεολογικὸν
μαθηματικὸν καὶ φυσιολογικόν. τὰ μὲν οὖν παντάπασι χωριστὰ ἀπονέμουσι
τῷ θεολογικῷ μέρει, τὰ δὲ παντάπασιν ἀχώριστα τῷ φυσιολογικῷ, τὰ δὲ
κατά τι μὲν χωριστὰ κατά τι δὲ ἀχώριστα τῷ μαθηματικῷ. ὅτι δὲ τὰ
μὲν ἔνυλα εἴδη παντάπασιν ἀχώριστά ἐστι τῆς ὕλης τὰ δὲ μαθηματικὰ
χωριστά, δῆλον καὶ ἐκ τῶν ὁρισμῶν· κύκλον γὰρ ὁριζόμενοι οὐδεμίαν ὕλην
παραλαμβάνομεν λέγοντες 'κύκλος ἐστὶ σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς γραμμῆς
περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς σημείου τῶν ἐντὸς τοῦ σχήματος κειμένων
πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι πρὸς τὴν τοῦ κύκλου περιφέρειαν ἴσαι
ἀλλήλαις εἰσίν'. οἶκον δὲ ὁριζόμενοι ἄνευ ὕλης ἀδυνατοῦμεν ὁρίζεσθαι·
φαμὲν οὖν 'οἰκός ἐστι σκέπασμα κωλυτικὸν ὄμβρων καὶ καυμάτων ἐκ λίθων
καὶ ξύλων'. εἰ γὰρ μὴ προσθῶμεν τὴν ὕλην, δυνατὸν καὶ σκηνὴν καὶ ἑτέραν
τοιαύτην νοῆσαι σκέπην. μέσον δέ ἐστι τὸ μαθηματικὸν εἰκότως· ἐπεὶ
γὰρ οὐ δυνάμεθα ἀμέσως ἀπὸ τῶν φυσικῶν ἐπὶ τὰ θεῖα ἀνάγεσθαι καὶ
ἀπὸ τῶν παντάπασιν ἀχωρίστων τῆς ὕλης ἐπὶ τὰ παντάπασι χωριστά, ὁδεύ-
ομεν διὰ τῶν μαθημάτων, τῶν κατά τι μὲν χωριστῶν κατά τι δὲ ἀχω-
ρίστων. διὰ τοῦτο γὰρ | καὶ μαθήματα λέγεται, ὅτι δεῖ αὐτὰ μαθόντας 5v
καὶ ἐθισθέντας νοεῖν ἀσωμάτως ἀνάγεσθαι ἐπὶ τὰ θεῖα. καὶ γὰρ ὁ θεῖός
φησι Πλωτῖνος· "παραδοτέον τοῖς νέοις τὰ μαθήματα πρὸς συνεθισμὸν τῆς
ἀσωμάτου φύσεως". ἐὰν γὰρ βουληθῶμεν εὐθὺς ἀπὸ τῶν φυσιολογικῶν

1 καὶ (prius) om. V ἑαυτὸ E οὐ δύνανται EMVp: ἀδύνατον D 3 τὸ εἶδος αὐτοῦ τοῦ κύκλου colloc. EMp: oblitt. V 3. 4 ἐν τῇ διανοίᾳ D: ἐν τῇ διανοίᾳ τῇ ἡμετέρᾳ p: om. EM: oblitt. V 4 λάβοι Dp: λάβῃ EMV 6 ἐστι (prius)] εἰσι D τῶν οὖν DEMV: ἐπεὶ οὖν τῶν p 8 τὸ οὖν θεωρ. DE: τὸ γοῦν θεωρ. MV: εἰκότως τὸ θεωρ. p post διαιρεῖται add. εἰς τὸ πραγματικὸν καὶ τὸ λογικόν, τὸ δὲ πραγματικὸν διαιρεῖται εἰς τρία MV (cf. p. 11,22) 9 οὖν DEM: γάρ p: oblitt. V 12 ἀχώριστά ἐστι D: ἐστὶν ἀχώριστα EMp: ἀχώριστα V 13 καὶ DMV: om. Ep 16 ante ἴσαι superscr. καὶ V 17 ἀλλήλοις E ἀδυνατοῦμεν EMVp: ἀδύνατον D χωρίζεσθαι V 18 post οὖν add. ὅτι p ὄμβρων τε καὶ καυμάτων κωλυτικὸν p καὶ om. V 19 post ξύλων add. συνιστάμενον MV ante δυνατὸν add. οὐ EMVp: om. D post σκηνὴν in mrg. suppl. πῆξαι E ἑτέραν τοιαύτην p, ex ἕτερα τοιαῦτα corr. E: ἕτερα τοιαῦτα DMV 20 νοῆσαι σκέπην] ποιῆσαι σκέπην DE: ὁρίσασθαι MV: σκέπην νοῆσαι p ἐπεὶ] ἐπειδὴ M 22. 23 ὁδεύομεν διὰ τῶν μαθημάτων D: ὁδ. διὰ τῶν μαθηματικῶν EMV: διὰ τῶν μαθηματικῶν ὁδ. p (cf. v. 24) 24 μαθηματικὰ MV λέγεται D: λέγονται EMVp αὐτὰ D: ταῦτα EMVp μαθόντας MV: μανθάνοντας DEp 25 καὶ (prius) superscr. V εἰθισθέντας E 25. 26 διό φησι Πλωτῖνος ὁ θεῖος MV (sed pleraque in V oblitt.) 26 Πλωτῖνος] Ennead. I lib. III, 3 p. 20 post παραδοτέον add. δὲ E συνεθισμὸν Dp Plot.: ἐθισμὸν EMV

ἐπὶ θεολογίαν ἀμέσως αὐτοὺς ἀναγαγεῖν, τυφλώττομεν, καθάπερ οἱ ἐκ σκοτεινοτάτου οἴκου εἰς πεφωτισμένον ἀμέσως εἰσερχόμενοι· δεῖ γὰρ πρότερον ἐν οἴκῳ διατρίβειν σύμμετρον ἔχοντι φῶς, εἶθ' οὕτως ἐλθεῖν εἰς τὸν φωτεινότατον. οὕτως οὖν μετὰ τὰ φυσικὰ δεῖ διατρίψαντας ἐν τοῖς μαθήμασιν ἀνάγεσθαι ἐπὶ θεολογίαν· κλῖμαξ γάρ τις καὶ γέφυρά ἐστι τὰ μαθήματα κοινωνοῦντα μὲν τοῖς φυσικοῖς καθὸ ἀχώριστα τοῖς δὲ θείοις καθὸ χωριστά.

Καὶ τὸ φυσιολογικὸν μὲν οὖν καὶ τὸ θεολογικὸν ὑποδιαιρέσεις τινὰς ἐπιδέχονται, ἀλλὰ τὰς μὲν τούτων ὑποδιαιρέσεις ὡς ἀσυμμέτρους οὔσας εἰσαγωγικαῖς ἀκοαῖς σιωπήσωμεν. τὸ δὲ μαθηματικὸν διαιρεῖται εἰς τέσσαρα, εἰς γεωμετρίαν καὶ ἀστρονομίαν καὶ μουσικὴν καὶ ἀριθμητικήν. καὶ ἡ μὲν ἀριθμητικὴ τοὺς ἀριθμοὺς ἐπισκέπτεται (ἔστι δὲ θεῖα τὰ ἀριθμητικὰ θεωρήματα· οὐ γὰρ τὸν λεγόμενον ἀριθμὸν παρὰ τοῖς ἰδιώταις, καθ' ὃν ἀπαριθμοῦνται, θεωρεῖ ἡ ἀριθμητική, ἀλλὰ τὰ εἴδη τοῦ ἀριθμοῦ ὁποίαν σχέσιν ἔχουσι πρὸς ἄλληλα, οἷον ὁ ἓξ πρὸς τὰ τρία τὸν διπλάσιον ἔχει λόγον καὶ ὁ ἐννέα πρὸς τὸν ἓξ τὸν ἡμιόλιον. ἔτι γε μὴν καὶ τὰς γενέσεις τῶν ἀριθμῶν τοῦ τε ἀρτίου καὶ τοῦ περιττοῦ καὶ τοῦ περισσαρτίου καὶ ἄλλα πολλὰ τῶν τοιούτων ἐπισκέπεται), ἡ δὲ γεωμετρία τὰ μεγέθη καὶ τὰ σχήματα, ἡ δὲ μουσικὴ τὰς τῶν χορδῶν συμφωνίας. ἐπιτηδεύει δὲ καί τινα μέλη κοιμίζοντα μὲν τὰ τῆς ψυχῆς πάθη, διεγείροντα δὲ αὐτὴν ἐπὶ ἀρετήν. ὅτι δὲ τοῦτο οὕτως ἔχει, δηλοῖ τὰ ἔτι σωζόμενα ἴχνη καὶ οἷον ἀποπτώσεις τῆς μουσικῆς· ἀκούοντες γοῦν σάλπιγγος θυμικώτερον διατιθέμεθα (καὶ διὰ τοῦτο ἐν τοῖς πολέμοις ἡ σάλπιγξ ἐπιτηδεύεται), ἀκούοντες δὲ θεατρικῶν μελῶν ἐκλυτώτερον διακείμεθα τὰς ψυχάς. φέρεται δὲ καὶ ἱστορία τοιαύτη, ὅτι ὁ Πυθαγόρας ἑωρακώς τινα νέον αὐλητρίᾳ ἔκλυτον μέλος αὐλούσῃ ἑπόμενον κελεύσαι αὐτὴν στρέψασαν τὸν αὐλὸν αὐλῆσαι, καὶ τούτου γενομένου παύσαι τοῦ νέου τὴν ἐπιθυμίαν· ὥστε οὐ δεῖ ἀπιστεῖν τοῖς λεγομένοις περὶ τῆς θείας μουσικῆς. διὰ τοῦτο καὶ ὁ θεῖος Πλάτων παρακελεύεται τοὺς νέους καὶ διὰ μουσικῆς καὶ διὰ γυμναστικῆς ἰέναι, ἵνα διὰ μὲν τῆς μουσικῆς τὴν ψυχὴν ἐπικοσμῶσι, διὰ δὲ τοῦ γυμνασίου τὸ σῶμα. ἡ δὲ ἀστρονομία καταγίνεται περὶ τὰς ἐποχὰς τῶν ἀστέρων.

1 ἐπὶ] μετὰ E αὐτοὺς] αὐτοὺς codd.: ἑαυτοὺς p 2 πεφωτισμένον DMp: φωτισμὸν E: oblitt. V εἰσερχόμενοι D: ἐξερχόμενοι EMVp 3 ἔχοντι σύμμετρον colloc. EMVp 3. 4 φωτεινότατον DEp: πάνυ πεφωτισμένον M: oblitt. V 9 συμμέτρους M 10 ἀκοαῖς] ἀγωγαῖς p σιωπήσωμεν Ep: σιωπήσομεν DV: σιωπήσομαι M 11 καὶ (ante ἀστρον. et μουσ.) om. p 13. 14 καθ' ὃν p: καθὸ codd. 14 ἀπαριθμοῦντα E ante ὁποίαν add. καὶ EMVp: om. D 15 ἔχει p ἓξ DM: ἕκτος Ep: oblitt. V τὰ τρία DEM: τὸν τρίτον p: oblitt. V 16 ὁ ἐννέα πρὸς τὸν ἓξ DMV: ὁ ἔννατος πρὸς τὸν ἕκτον Ep γενήσεις D 17 τοῦ (ante περισσαρτίου) om. M περισαρτίου D 21 σωζόμενα ἔτι colloc. V 21. 22 καὶ οἷον MV (fort. recte) 22 γοῦν DMV: γὰρ Ep 24 ἐκλυτώτερον M: ἐκλυτότερον Dp: ἐκλυτωτέρας E: oblitt. V 25 ὅτι om. V ὁ D: om. EMVp 28 τῆς μουσικῆς τῆς θείας M 28. 29 ὁ θεῖος Πλάτ.] cf. Republ. II p. 376 E sq. 29 διὰ (ante γυμναστ.) om. D

Διὰ τί δὲ εἰς τέσσαρα διαιρεῖται ἡ μαθηματικὴ καὶ μὴ εἰς πλείονα 5v
ἢ εἰς ἐλάττονα, νυνὶ λέγωμεν. ἰστέον ὅτι τὸ μαθηματικὸν περὶ τὸ ποσὸν
καταγίνεται. τοῦ δὲ ποσοῦ τὸ μέν ἐστι συνεχὲς, τὸ δὲ διωρισμένον. δι- 30
αιρεῖται δὲ τούτων ἕκαστον εἰς δύο· τὸ μὲν συνεχὲς εἴς τε τὸ κινητὸν καὶ
5 τὸ ἀκίνητον (τοῦ κινητοῦ πάλιν τὸ μὲν ἀεικίνητον τὸ δὲ οὐκ ἀεικίνητον).
τὸ δὲ διωρισμένον ποσὸν εἰς τὸ καθ' αὑτὸ καὶ τὸ πρός τι. ποσὸν
συνεχὲς ἐν θέσει ἀκίνητόν ἐστιν ἡ γῆ, περὶ ἣν καταγίνεται ἡ γεωμετρία·
ἔστιν οὖν ἡ γεωμετρία γνῶσις ποσοῦ συνεχοῦς ἀκινήτου ἐν θέσει. ποσὸν
ἀεικίνητόν ἐστιν ὁ οὐρανός, περὶ ὃν καταγίνεται ἡ ἀστρονομία· καὶ ἔστιν ἡ
10 ἀστρονομία γνῶσις ποσοῦ συνεχοῦς ἀεικινήτου. καταγίνεται δὲ ἡ ἀστρονο-
μία καὶ ἡ γεωμετρία περὶ τὸ συνεχὲς ποσόν, συνεχὲς δέ ἐστιν οὗ τὰ μόρια 35
πρός τινα κοινὸν ὅρον συνάπτει. ἐλέγομεν δὲ καὶ τοῦ διωρισμένου ποσοῦ
τὸ μὲν εἶναι καθ' αὑτὸ τὸ δὲ πρός τι· ποσὸν διωρισμένον καθ' αὑτό ἐστιν
ὁ ἀριθμός, ὅταν αὐτὸν καθ' ἑαυτὸν σκοπῶμεν, οἷον τὸν ἀρτιά|κις ἄρτιον ἢ 6r
15 τὸν περισσάρτιον ἀριθμόν, καὶ μὴ τὴν πρὸς ἕτερον αὐτοῦ σχέσιν κατὰ τὸ
συμβεβηκὸς (τοῦτο γὰρ μουσικῆς, καταγίνεται οὖν περὶ τοῦτο), ποσὸν οὖν
διωρισμένον καθ' αὑτό ἐστιν ὁ ἀριθμὸς ἐφ' ἑαυτοῦ σκοπούμενος. ἡ ἀριθ-
μητικὴ οὖν ἐστι γνῶσις ποσοῦ καθ' αὑτὸ διωρισμένου. ποσὸν δὲ διωρισ-
μένον πρὸς ἕτερόν ἐστιν ἡ σχέσις ἡ πρὸς ἄλληλα τῶν τόνων, περὶ ἣν ἡ 5
20 ἁρμονία καταγίνεται, ἣν δι' ἀριθμοῦ γνωρίζομεν, περὶ ἣν καταγίνεται ἡ
μουσική. καὶ ἔστιν ἡ μουσικὴ γνῶσις ποσοῦ διωρισμένου σχέσιν ἔχοντος
ἑτέρου πρὸς ἕτερον· δέδεικται οὖν ὅτι ἡ μουσικὴ καὶ ἡ ἀριθμητικὴ περὶ
τὸ διωρισμένον ποσὸν καταγίνονται. διωρισμένον δέ ἐστιν οὗ τὰ μόρια
καθ' αὑτὰ θεωρεῖται ὡς μὴ συνεφέλκεσθαι ἀλλήλοις. εἰς πόσα μὲν οὖν
25 καὶ τίνα τὸ θεωρητικὸν διαιρεῖται καὶ τί ἔχει πέρας; ἐκ τῶν εἰρημένων
δῆλον.

---

2 εἰς DV: om. EMp νυνὶ D: νῦν EMVp λέγωμεν] λέγομεν DEMVp τὸ (ante ποσὸν) Dp: om. EM: locus oblitt. V 4 τούτων ἕκαστον DEV: τούτου ἕκαστον M: τούτων ἑκάτερον p 4. 5 εἰς κινητὸν καὶ ἀκίνητον p 5 ἀεικίνητον (utrobique) EMVp: ἀκίνητον D 6 post ποσὸν (prius) add. διαιρεῖται M καὶ εἰς τὸ πρὸς MVp 6. 7 ποσὸν συνεχὲς ἐν θέσει ἀκ. D: ποσὸν συνεχὲς E: ποσὸν καὶ συνεχὲς ἀκ. ποσὸν MV: καὶ ποσὸν συνεχὲς ἀκ. p 9 ἀεικίνητον MVp: ἀκίνητον DE ὁ superscr. E 10 ἡ (prius) om. E 11 τὸ συνεχὲς ποσόν D: ποσὸν συνεχές EMVp 14 ἀρτιάκης E 15 ἕτερον EMVp: ἕτερα D τὸ superscr. V: om. p 16. 17 καταγίνεται οὖν περὶ τοῦτο. ποσὸν οὖν διωρισμένον καθ' αὑτό D: καταγίνεται οὖν περὶ τοῦτο ποσὸν διωρισμένον καθ' αὑτὸ EMVp, scribas καταγίνεται γὰρ π. τ. ποσὸν οὖν κ. τ. λ. 17 ὁ om. E ἐφ' ἑαυτοῦ D: ἐπ' αὐτῷ EMVp 18. 19 διωρισμένον EMVp: ὡρισμένον D 19 τόνων] λόγων V περὶ ἣν ἡ ἁρ. κ. eicias ἣν] ἃς D: ὃν E: οὓς Mp: ὧν V 21 ἔστιν ἡ μουσ. Dp: ἔστι μουσ. EMV ἔχοντος σχέσιν M: ἔχουσα σχέσιν V 22 ἑτέρου superscr. D ὅτι post ἀριθμητικὴ transp. Mp ἡ (ante ἀριθμ.) D: om. EMVp post ἀριθμ. iter. καὶ ἡ μουσικὴ del. D 23 τὸ διωρ. ποσὸν Dp: τὸ ποσὸν τὸ διωρ. EM: τὸ ποσὸν διωρ. V καταγίνονται EMp: καταγίνεται DV (sed in V ον superscr.) 24 καθ' αὑτὸ M 25 τὸ θεωρητικὸν] θεωρεῖται (superscr. m. 2 τὸ θεωριτικὸν) E διαιρεῖται] θεωρεῖται E et fort. D[1], nam litterae διαι in ras. scriptae sunt 26 δῆλον Dp: πρόδηλον EMV

Ἐπειδὴ δὲ καὶ τὸ πρακτικὸν μέρος τῆς φιλοσοφίας εἰρήκαμεν, ἀνάγκη 6r
καὶ τοῦτο διελεῖν. διαιρεῖται τοίνυν τὸ πρακτικὸν εἴς τε τὸ ἠθικὸν καὶ
οἰκονομικὸν καὶ πολιτικόν. ὁ γὰρ πράττων τι ἀγαθὸν ἢ εἰς ἑαυτὸν πράττει
κοσμῶν αὐτοῦ τὰ ἤθη καὶ τὸν βίον καὶ λέγεται ἠθικός, ἢ εἰς τὸν ἑαυτοῦ
5 οἶκον καὶ λέγεται οἰκονομικός, ἢ τὴν ὅλην κοσμεῖ πόλιν καὶ λέγεται πολι-
τικός. τινὲς δέ φασιν ὅτι ὁ πολιτικὸς καὶ ἠθικός ἐστι καὶ οἰκονομικός (ὁ
γὰρ πόλιν ὅλην δυνάμενος κοσμῆσαι πολλῷ μᾶλλον καὶ ἑαυτὸν καὶ τὸν
οἶκον), καὶ εἰς ταὐτὸν ἄγουσι τῷ πρακτικῷ τὸ πολιτικόν. πρὸς οὓς ἐροῦμεν 15
ὅτι πολλοί τινες κενοδοξίᾳ νικώμενοι τὴν μὲν πόλιν κοσμοῦσιν, ἑαυτῶν δὲ
10 καταφρονοῦσιν. ὥστε διῄρηται τὰ εἰρημένα τρία τοῦ πρακτικοῦ εἴδη ἀπ'
ἀλλήλων. τούτων δὲ ἕκαστον διαιρεῖται εἴς τε τὸ νομοθετικὸν καὶ δικαστι-
κόν· ὁ γὰρ πολιτικὸς φιλόσοφος ἢ νόμους τίθησι, καθ' οὓς δεῖ ζῆν τοὺς ἐν
τῇ πόλει, ἢ δικάζει καὶ τοὺς μὲν γερῶν ἀξιοῖ τοὺς δὲ παρατρέψαντάς τι
τῶν κειμένων νόμων κολάζει. εἰδέναι δὲ χρὴ ὅτι καὶ ἐν τῷ οἰκονομικῷ 20
15 θεωρεῖται τὸ νομοθετεῖν καὶ δικάζειν· καὶ γὰρ ἐν τῷ οἴκῳ νόμους τίθεμεν
καὶ δικάζομεν τῶν οἰκετῶν ἢ υἱῶν τοὺς παραβαίνοντας. οὐ μόνον δὲ ἐν
τῷ οἰκονομικῷ ταῦτα θεωρεῖται, ἀλλὰ καὶ ἐν τῷ ἠθικῷ. καὶ γὰρ καὶ ὁ
ἠθικὸς νόμους τίθησιν ἑαυτῷ, ὅταν λέγῃ

κρατεῖν δ' εἰθίζεο τῶνδε·

20 γαστρὸς μὲν πρώτιστα καὶ ὕπνου καὶ φιλότητος,

καὶ πάλιν ὁπόταν Ἰσοκράτης λέγῃ "τοὺς μὲν θεοὺς φοβοῦ, τοὺς δὲ γονεῖς
τίμα, τοὺς δὲ φίλους αἰσχύνου". οὗτοι γὰρ ἠθικοὶ λόγοι τε καὶ νόμοι 25
ὑπάρχουσι. καὶ δικάζει δ' ἑαυτὸν ὅτε φησὶν

μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,

25 πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν·

---

1 ἐπειδὴ D: ἐπεὶ EMVp 2 καὶ (ante τοῦτο) Dp: om. EMV 3 ἑαυτὸν] αὐτὸν D 4 κοσμῶν] σκομῶν (sic) D αὐτοῦ] αὐτοῦ libri καὶ τὸν βίον om. p 5 τὴν om. D 5. 6 πολιτικόν E¹ 6 ἐστι] λέγεται p 7 καὶ (ante ἑαυτὸν) Dp: om. EM: locus oblitt. V 8 post οἶκον add. αὐτοῦ p τῷ πρακτικῷ τὸ πολιτικὸν p: τὸ πολιτικὸν τῷ ἠθικῷ D: τῷ πρακτ. καὶ τὸ πολιτ. EMV 9 νικώμενοι D: κρατούμενοι Ep: φερόμενοι (in lit.) M: oblitt. V 10 εἰρημένα] ἐχόμενα V πρακτικοῦ DE²p: ὀπτικοῦ E¹: ἠθικοῦ MV 11 καὶ τούτ. δὲ DE διαιρεῖται D: διαιροῦσι EMVp τὸ om. D 12 πολιτικὸς] νομοθετικὸς E 12. 13 ἢ—ἢ] καὶ—καὶ p ἐν τῇ πόλει] ἀνθρώπους E 13 δὲ ex δεῖ corr. V 14 οἰκονομικῷ DMVp: οἰκονομεῖν E 15 ante θεωρεῖται add. ταῦτα M δικάζειν DM: κολάζειν Ep: oblitt. V 16 υἱῶν DV: τῶν υἱῶν EMp 17 τῷ (prius) superscr. E καὶ (post γὰρ) D: om. EMVp 17. 18 ὁ ἠθικὸς] ὁ ἰκονομικὸς E¹ 18 νόμους τίθησιν ἑαυτῷ DV: νόμους ἑαυτῷ τίθησι E: ἑαυτῷ τίθησι (νόμους om.) M: ἑαυτῷ νόμους τίθησιν p λέγῃ] Aureum carm. 9—11, Hierocl. c. VIII (Mullach I, 431) Stob. Flor. 1,15 19 εἰθίζεο] ἐθίζεο codd. 20 καὶ φιλότητος codd.: λαγνείης τε p Hierocl. Stob. 21 ὁπόταν D: ὅταν EMVp Ἰσοκράτης] Ad Demon. 16 Stob. Flor. 5,55 22 οὗτοι Dp: οὕτως EM: ταῦτα V οἱ ἠθικοὶ M νόμοι τε καὶ λόγοι colloc. EMVp 23 δ' ἑαυτὸν D: τε αὐτὸν EMp: δὲ αὐτὸν V φησίν] cf. Aur. carm. 40—44, Hierocl. c. XIX Mullach I, 460 24 μηδὲ D 25 ἔργων om. in mrg. suppl. E τρὶς ἕκαστον ἐπελθεῖν] λογίσασθαι ἕκαστον Hierocl.

πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη; 6r
ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι, αὐτὰρ ἔπειτα
αἰσχρὰ μὲν ἐκπρήξας ἐπιπλήσσεο. χρηστὰ δὲ τέρπου.

καὶ περὶ μὲν τοῦ οἰκονομικοῦ καὶ πολιτικοῦ καὶ κατὰ τὸν οἰκεῖον καιρὸν εἰρήσεται.

Νυνὶ δὲ περὶ τῆς τοῦ ἠθικοῦ διαιρέσεως δεῖ εἰπεῖν, καὶ πρῶτόν γε 30
τί ἐστιν ἦθος. ἦθος τοίνυν ἐστὶν ἀνθρώπου κόσμος, κόσμος δὲ ἡ ἑκάστου τελειότης, ἡ διὰ τῆς τῶν ἄκρων στερήσεως ἤγουν παρατηρήσεως κατορθοῦται τῆς τε ὑπεροχῆς καὶ τῆς ἐνδείας. ἀκοσμία γὰρ ὅ τε πλεονασμὸς καὶ ἡ ἔλλειψις· καὶ γὰρ εἴποι τις ἄκοσμον τὸν ἄνθρωπον ἐνδεᾶ τινος μορίου οἷον χειρὸς ἢ ἑτέρου μορίου, εἴποι δὲ ἄκοσμον πάλιν καὶ τὸν περιττεύοντα μορίοις τισὶ τοῦ ἀνενδεοῦς οἷον ἑξαδάκτυλον ἢ ἑξάχειρα, ὡς τοὺς κατὰ 35
Ἀπολλώνιον τὸν ποιητὴν γίγαντας. οὐκοῦν ἀκοσμία ἥ τε ὑπεροχὴ καὶ ἡ ἔλλειψις, αἱ δὲ ἀκοσμίαι ἀτελεῖς εἰσι, τὸ γὰρ ἐναντίον ταύταις ὁ κόσμος· τελειότης ἄρα ἐκ τῆς παρατηρήσεώς ἐστι τοῦ τε πλεονασμοῦ καὶ τῆς ἐνδείας, αἵπερ εἰσὶν ἀτέλειαι· τελειότης γὰρ | ἐναντίον ἀτελείᾳ· τὰ δὲ ἐναντία διὰ 6v
τῆς τῶν ἐναντίων παρατηρήσεως κατορθοῦται.

Ἐμάθομεν τοίνυν τί ἐστι φιλοσοφία καὶ ποῖα αὐτῆς τὰ μέρη. θεία τοίνυν ἐστὶ καὶ ἐφετή, καὶ καλῶς περὶ αὐτῆς ἐρρέθη ὅτι 'τοιοῦτον ἀγαθὸν οὔτε ἦλθε πρὸς ἀνθρώπους οὔτε ἥξει ποτέ'. τοσαῦτα μὲν κοινῶς ὑπὲρ φιλοσοφίας εἰρήσθω· ἰδίᾳ δὲ περὶ τοῦ προκειμένου βιβλίου λέγομεν ταῦτα. 5

1 πῇ p Elias Hierocl.: τί codd. ἔρρεξα M μοι δέον Ep: δέ μοι D: μοι δὲ M: oblitt. V 2 τοῦ πρώτου codd. ἐπέξιθι] διέξιθι codd. αὐτὰρ ἔπειτα] καὶ μετέπειτα p Hierocl. 3 αἰσχρὰ codd. et Elias: δειλὰ p Hierocl. ἐκπρήξαις D ἐπιπλήσεο D τέρπου] τέρπευ Hierocl. 4 οἰκουμενικοῦ E¹ καὶ (ante κατὰ) om. Mp (fort. recte) 5 νυνὶ D: νῦν EMVp 7. 8 κατουρθοῦται V 8 τῆς (ante ἐνδείας) Dp: om. EMV 9 ἡ om. E γὰρ Dp: γοῦν EM: oblitt. V ante εἴποι add. εἰ p; ἂν coni. Wellmann ἐνδεᾶ D: ἐνδεία EMVp 10 μορίου DV: om. EMp δὲ ἄκοσμον πάλιν D: δ' αὖ ἄκοσμον EMVp 11 ἑξαδάκτυλα V 11. 12 κατὰ Ἀπολλώνιον] cf. Argonaut. A 944 12 τὸ ποιητὴν E ἥ τε] εἴ τε V¹ 14 τοῦ τε EMVp: τοῦ D 15 αἵπερ εἰσὶν DEMV: ἅπερ ἐστὶν p ἀτέλειαι] αἱ τέλειαι M τῇ ἀτελείᾳ p 16 κατορθοῦται DMVp: διορθοῦται E (cf. v. 7. 8) 17 ἐστὶ om. D 18 ἐρρέθη] ἐρρήθη V (cf. Plat. Tim. 47 B) 19 πρὸς D: εἰς EMVp ὑπὲρ D: καὶ ὑπὲρ E: καὶ περὶ M: περὶ p: oblitt. V 20 post εἰρήσθω add. μηδεὶς τῆς προκειμένης διαιρέσεως ἐπιχειρήσῃ λαβέσθαι ὡς οὐ καλῶς αὐτῆς ἐχούσης τοιαῦτα προφέρων ὡς κακῶς τὸ λογικὸν ὑπὸ τὸ σῶμα ἐποίησε τελεῖν· συμβήσεται γὰρ τὸ σῶμα κατηγορεῖσθαι τοῦ λογικοῦ, εἴπερ τὰ ἐπάνω τῶν ὑποκάτω καὶ τὰ γένη τῶν εἰδῶν κατηγορεῖται. πρὸς οὓς ἐροῦμεν ὅτι τὸ λογικὸν οὐδὲν ἕτερον ἢ σῶμα ἐψυχωμένον ὑπὸ λογικῆς ψυχῆς· ὥστε οὐ τὰς θείας δυνάμεις ὑποτάττει τῷ σώματι (αὗται γὰρ οὐ μετέχουσι λόγου, ἀλλὰ αὐτόχρημα λόγοι εἰσίν), ἀλλὰ τὸ τοιόνδε τι σῶμα οἷον τὸ τοῦ ἡλίου καὶ τῆς σελήνης· οὗτοι δὲ καὶ θεοὶ καλοῦνται κοσμικοί. ἐν μέντοι τῷ λέγειν ἡμᾶς τοὺς τόπους (λόγους coni. Wellmann) ὑπεστήσαμεν ἐκ τῶν ἐκεῖσε ὑπὸ Ἀριστοτέλους εἰρημένων ὅτι πεπλημμέληταί τι ἐν τῇ διαιρέσει ταύτῃ τῇ ἀναγούσῃ τὸ ζῷον ὑπὸ γένος τὸ σῶμα. Ἀριστοτέλης γὰρ ἐκτίθεται τόπον (λόγον coni. Wellm.) τοιοῦτον ἐνίοτε καὶ τὸ ὅλον εἰς τὸ μέρος τιθεὶς οἷον τὸ ζῷον σῶμα ἔμψυχον ὄν, οὐδαμῶς δὲ τὸ μέρος τοῦ ὅλου κατηγορεῖται· ὥστε οὐδ' ἂν εἴη τὸ σῶμα γένος τοῦ ζῴου, ἐπειδὴ μέρος ἐστί· τὸ γὰρ ζῷον συνέστηκεν οὐκ ἐκ σώματος μόνον ἀλλὰ καὶ ἐκ ψυχῆς M; eadem fere David et Elias in disputatione de subalternis generibus ad exemplum ibi prolatum adnexa praebent

Εἴρηται ὅτι φιλοσοφία γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστίν. ἐζήτησαν 6v
οὖν οἱ φιλόσοφοι, τίνα ἂν τρόπον γένοιντο τῶν ὄντων ἐπιστήμονες. καὶ
ἐπειδὴ ἑώρων τὰ κατὰ μέρος γεννητὰ καὶ φθαρτὰ ὄντα, ἔτι δὲ καὶ ἄπειρα,
ἡ δὲ ἐπιστήμη ἀιδίων τε καὶ πεπερασμένων ἐστὶ γνῶσις (τὸ γὰρ γνωστὸν
5 βούλεται ὑπὸ τῆς γνώσεως περιλαμβάνεσθαι, τὸ δὲ ἄπειρον ἀπερίληπτον).
ἀνήγαγον ἑαυτοὺς ἀπὸ τῶν κατὰ μέρος ἐπὶ τὰ καθόλου ἀίδια ὄντα καὶ 10
πεπερασμένα. ὡς γάρ φησιν ὁ θεῖος Πλάτων, 'ἐπιστήμη εἴρηται παρὰ τὸ
ἐπὶ στάσιν ἡμᾶς καὶ ὅρον τινὰ ἄγειν τῶν πραγμάτων'. τοῦτο δὲ ποριζό-
μεθα διὰ τῆς εἰς τὰ καθόλου ἀναδρομῆς. ἀνέδραμον οὖν ἀπὸ τῶν κατὰ
10 μέρος ἀνθρώπων ἐπὶ τὸν καθόλου ἄνθρωπον· οὐ προτίθενται γὰρ οἱ φιλό-
σοφοι πόσοι εἰσὶν ἐν τῷ κόσμῳ ἄνθρωποι γνῶναι, ἀλλὰ τίς ἡ φύσις τοῦ
ἀνθρώπου, ὅτι ζῷον λογικὸν θνητόν ἐστιν· ὁ γὰρ τοῦτο ἐγνωκὼς εἴσεται
καὶ πάντας τοὺς ἐν τῷ κόσμῳ ἀνθρώπους καὶ τοὺς ἤδη γενομένους καὶ 15
τοὺς αὖθις ἐσομένους. οὕτως οὖν ἀπὸ τῶν κατὰ μέρος ἀνθρώπων ἀνήγαγον
15 ἑαυτοὺς εἴς τινα κοινότητα τὴν τοῦ ἀνθρώπου, πάλιν ἀπὸ τῶν κατὰ μέρος
ἵππων ἐπί τινα κοινότητα τὴν τοῦ ἵππου περιεκτικὴν πάντων τῶν κατὰ
μέρος, εἰρηκότες ὅτι ἵππος ἐστὶ ζῷον τετράπουν χρεμετιστικόν· οὐ γὰρ τοὺς
κατὰ μέρος ἵππους βούλεται γνῶναι ὁ φιλόσοφος, οἷον τίς ἐστιν ὁ Ξάνθος 20
καὶ τίς ὁ Βαλίας, ἀλλὰ τίς ὁ καθόλου ἵππος. τὰ γὰρ καθόλου ἀεὶ ὡσαύτως
20 ἔχουσι καὶ οὐ νῦν μὲν οὕτως, αὖθις δὲ ἑτέρως, ὥσπερ καὶ τὰ μερικά·
ἄλλη γὰρ φύσις ἡ τοῦ Βαλίου ἵππου καὶ ἄλλη ἡ τοῦ Ξάνθου, ὥσπερ ἄλλη
φύσις Πλάτωνος καὶ ἄλλη Ἀλκιβιάδου, ὁ δὲ καθόλου ἄνθρωπος καὶ ὁ
καθόλου ἵππος ἀεὶ ὡσαύτως ἔχει· πᾶς γὰρ ἵππος ζῷόν ἐστι τετράπουν
χρεμετιστικόν, καὶ πάλιν πᾶς ἄνθρωπος ζῷον λογικὸν θνητόν. ὁμοίως καὶ
25 ἐπὶ κυνὸς καὶ τῶν ἄλλων εἰδῶν τοῦ ζῴου. θεασάμενοι οὖν ταῦτα τὰ εἴδη, εἰ 25
καὶ πεπερασμένα, ἀλλ' οὖν τῇ ἀνθρωπίνῃ διανοίᾳ ἀπερίληπτα (οὐδὲ γὰρ
θαυμαστὸν πολλὰ ἡμῖν εἶναι ἄγνωστα ζῷα), ἀνήγαγον ἑαυτοὺς ἐπί τινα
κοινότητα τὴν τοῦ ζῴου περιεκτικὴν πάντων τῶν κατὰ μέρος· καὶ γὰρ ὁ
ἄνθρωπος ζῷον καὶ ὁ ἵππος καὶ ὁ κύων καὶ τὰ ἄλλα καθὸ ζῷα οὐδὲν

---

1 εἴρηται δὲ V φιλοσοφία DM: ἡ φιλοσοφία EVp post γνῶσις add. ἐστὶ M ante τῶν ὄντων add. πάντων EMVp: om. D (cf. p. 2,22 sq.) ἐστίν] εἰσίν E ἐζητήσαμεν V 2 γένοιντο scripsi: γένωνται libri οὖν MVp: om. DE 2. 3 καὶ ἐπειδὴ EMVp: ἐπειδήπερ D 4 τε καὶ Dp: καὶ EMV 5 παραλαμβάνεσθαι E 6 τῶν κατὰ μέρος DEM: τῶν μερικῶν p: oblitt. V 7 ὡς γάρ φησιν EMVp: ὥς φησιν γὰρ D θεῖος om. p Πλάτων] cf. Cratyl. p. 437 A 8 ἐπὶ στάσιν D: ἐπίστασιν E: εἰς ἐπίστασιν Mp: oblitt. V τινὰ post ἄγειν transp. V ἄγειν DEM: ἀνάγειν V: προάγειν p 11 πόσου] τοῦ ὅσοι D 15 ἑαυτοὺς EMVp: αὐτοὺς D τὴν DVp: om. EM 16 τὴν DEp: om. M: oblitt. V περιεκτικὸν M 17 post μέρος add. ἵππων p 18 ἐστιν D: om. EMVp 19 Βαλίας] Βαλλίας D: Βαλίος Hom. Π 149 Υ 400 20 οὕτως D: ἄλλως EMVp καὶ D: om. EMVp 21 ἡ φύσις ἡ M Βαλλίου D 23 ἀεὶ καὶ ὡσαύτως E 24 ὁμοίως δὲ καὶ p 25 ἐπὶ τῶν ἄλλων Vp 26 ἀνεπίληπτα καὶ ἀπερίληπτα Ep οὐδὲ D: οὐδὲν EMVp 27 ἑαυτοὺς EMVp: αὐτοὺς D 28 καὶ γὰρ καὶ p 29 ζῷον om. Marc. 201 (recte) καθὸ om. V ζῷα ὑπάρχοντα V

διαφέρουσι· πάντα γὰρ οὐσία ἔμψυχος αἰσθητικὴ ὑπάρχουσιν. ὁ οὖν ἐγνω- 6v
κὼς τί ποτέ ἐστι τὸ ζῷον, ἐγνωκὼς ἔσται πάντα τὰ ζῷα. πάλιν ἀπὸ 30
τῆσδε τῆς συκῆς ἢ τῆσδε τῆς ἀμπέλου καὶ τῆσδε τῆς πλατάνου καὶ τῆσδε
τῆς ἐλαίας ἀνήγαγον ἑαυτοὺς ἐπὶ τὴν καθόλου συκῆν καὶ ἄμπελον καὶ
5 ἐλαίαν καὶ πλάτανον. πάλιν ταῦτα τήν τε καθόλου συκῆν καὶ ἄμπελον καὶ
ἐλαίαν καὶ τὰ ἄλλα ἐπί τι κοινὸν γένος ἀνήγαγον τὸ φυτὸν περιέχον τὰ
κατὰ μέρος φυτά. ἔσχον οὖν δύο κοινότητας τήν τε τοῦ ζῴου καὶ τοῦ
φυτοῦ. πάλιν τό τε ζῷον καὶ τὸ φυτὸν ἀνήγαγον εἰς τὸ ἔμψυχον· καὶ
γὰρ τὸ φυτὸν ἔμψυχόν ἐστιν· αὔξεται γὰρ καὶ τρέφεται καὶ γεννᾷ ὅμοιον
10 ἑαυτῷ. ἐπειδὴ δὲ τῷ ἐμψύχῳ ἀντίκειται τὸ ἄψυχον. ἄψυχον δέ ἐστι τὸ 35
μὴ μετέχον ψυχῆς οἷον λίθος ξύλον καὶ ὅσα τούτοις παραπλήσια (πολλὰ
δέ εἰσι ταῦτα ἐν τοῖς κατὰ μέρος καὶ ἄπειρα), διὰ τοῦτο πάλιν ἀπὸ τῶν
κατὰ μέρος λίθων ἀνήγαγον ἑαυτοὺς ἐπὶ τὸν καθόλου λίθον καὶ ἀπὸ | τῶν 7r
κατὰ μέρος ξύλων ἐπὶ τὸ καθόλου ξύλον καὶ ἀπὸ τῶν λοιπῶν ὁμοίως, καὶ
15 ἀπὸ τοῦ καθόλου λίθου καὶ τοῦ καθόλου ξύλου ἐπί τι κοινὸν γένος, τὸ
ἄψυχον, ὃ περιέχει ταῦτα πάντα. ἔσχον οὖν δύο κοινότητας τὸ ἔμψυχον
καὶ τὸ ἄψυχον. ταῦτα πάλιν ἀνήγαγον ἐπί τι κοινὸν γένος τὸ σῶμα, ὅ 5
ἐστι τριχῇ διαστατόν· καὶ λίθος δὴ καὶ ξύλον καὶ ἄνθρωπος καὶ πάντα
ἁπλῶς ὅσα σώματά ἐστι τὰς τρεῖς ἔχουσι διαστάσεις. πάλιν ἀπὸ ψυχῆς
20 καὶ ἀγγέλου καὶ τῶν τοιούτων ἀνήγαγον ἑαυτοὺς ἐπί τινα κοινότητα τὴν
τοῦ ἀσωμάτου ἀντιπεπονθότως τῷ σώματι ἔχουσαν· τὸ μὲν γὰρ τριχῇ
διαστατόν ἐστι καὶ πάντῃ μεριστόν, τὸ δὲ παντελῶς ἀμερές τε καὶ ἀδιάστα-
τον. ἐζήτησαν οὖν τί ἐστι κοινὸν ἐν ἀμφοτέροις καὶ εὗρον ὡς οὐσία ἐστὶν

---

1 διαφέρει Vp πάντα γὰρ D: πάντων δὲ E: πάντα δὲ M: πάντα p: oblitt. V ὑπάρχουσι D: ὑπάρχει EM: ὑπάρχοντα p: om. V 2 τὸ ζῶον EMVp: ζῶον D ἔσται ἐγνωκὼς Vp 3. 4 ἢ τῆσδε τῆς ἀμπέλου καὶ τῆσδε τῆς πλατάνου καὶ τῆσδε τῆς ἐλαίας D: τῆσδε τῆς πλατάνου καὶ τῆσδε EM (sed in mrg. suppl. πλατάνου καὶ ἐλαίας E): ἢ τῆσδε τῆς πλατάνου ἢ τῆσδε τῆς ἀμπέλου p: oblitt. V 4 ἑαυτοὺς] αὐτοὺς D 4. 5 συκῆν καὶ ἄμπελον καὶ ἐλαίαν καὶ πλάτανον D: ἄμπελον καὶ ἐλαίαν E: καὶ ἄμπελον καὶ ἐλαίαν M: συκὴν καὶ ἄμπελον καὶ ἐλαίαν V: συκὴν καὶ πλάτανον καὶ ἄμπελον p 5. 6 πάλιν — ἐλαίαν ex Marc. 201 supplevi: ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων φυτῶν. πάλιν ταῦτα suppl. p 6 τι Marc. 201: τὸ DEMVp 6. 7 περιέχον — φυτά] ἀπὸ τῶν κατὰ μέρος φυτῶν M 6 πάντα τὰ Marc. 201 (rectius) 7 post οὖν II litt. erasae M 8 πάλιν δὲ V 8. 9 καὶ γὰρ καὶ V 11 ξύλον scripsi: ξύλα p: om. codd. (cf. v. 14) ὅσα] τὰ p τούτοις EMVp: τούτου D 12 εἰσὶ] ἐστὶ p 13 ἀνήγαγον] ἤγαγον V ἑαυτοὺς] αὐτοὺς D 14 τὸ κ. ξύλον DMV: τὰ κ. ξύλα Ep post λοιπῶν add. τῶν τοιούτων EMVp: om. D 15 καὶ om. V ἀπὸ τοῦ κ. ξύλου EMVp post ξύλου add. καὶ τῶν τοιούτων ὁμοίως EMV: καὶ τῶν τοιούτων p: om. D 15. 17 τι Marc. 201: τὸ DEMVp (cf. v. 6) 16 ὃ περιέχει DM: ὅπερ ἔχει Ep: oblitt. V (cf. v. 6) 17 ταῦτα DE: καὶ ταῦτα M: ταῦτα δὲ Vp 18 τὸ τριχῇ δ. EMVp καὶ (ante λίθος) om. p δὴ scripsi: δὲ libri ξύλον DMV: ξύλα Ep 19 εἰσί M διαστάσεις ex διαιρέσεις corr. E ψυχῆς] τῶν ψυχῶν p 20 ἀγγέλου DEM: ἀγγέλων Vp ἀπὸ τῶν τοιούτων D 21 τοῦ ἀσωμάτου DVp: ἀσώματον EM 22 πάντῃ μεριστόν DVp: παντελῶς ἀμέριστον E: παντελῶς χωριστόν M 23 καὶ εὗρον — τὰ προλεγόμενα τοῦ βιβλίου (p. 22,2) om. D

ἑκάτερον· καὶ γὰρ τὸ σῶμα οὐσία ἐστὶ καὶ τὸ ἀσώματον οἷον ψυχὴ ἄγγε- 7r
λος θεός. ἔσχον οὖν ἀναγαγεῖν ἑαυτοὺς ἐπί τι κοινὸν γένος τὴν οὐσίαν 11
τοῦ τῆς οὐσίας ὀνόματος αὐθυπόστατον πρᾶγμα δηλοῦντος. μάθοιμεν δ'
ἂν τὸ λεγόμενον ἐκ τοῦ ἐναντίου· ἔστι τινὰ τῶν πραγμάτων ἃ μὴ δύναται
5 αὐτὰ καθ' ἑαυτὰ ὑποστῆναι, ἀλλ' ἐν ἄλλοις τὸ εἶναι ἔχει, ἃ καὶ συμβε-
βηκότα καλεῖται, λευκότης μελανία γλυκύτης καὶ τὰ τοιαῦτα· ταῦτα γὰρ
αὐτὰ μὲν καθ' ἑαυτὰ οὐ δύνανται ὑποστῆναι, ἀλλὰ πάντως ἡ λευκότης ἢ
ἐν ψιμυθίῳ ἢ ἐν γάλακτι σώμασιν οὖσιν ὑφέστηκεν, ὁμοίως δὲ καὶ τὰ 15
ἄλλα. ὅσα οὖν ἐστιν αὐτὰ καθ' ἑαυτὰ ὑποστῆναι δυνάμενα καὶ μὴ δεόμενα
10 πρὸς τὸ ὑποστῆναι ἄλλου τινός, οὐσίαι λέγονται, οἷον ἄνθρωποι ψυχαὶ
λίθοι καὶ ὅσα τοιαῦτα. ἀνῆλθον οὖν, ὡς εἴρηται, ἐπί τινα κοινότητα τὴν
οὐσίαν.

Ἆρα οὖν πάντα τὰ ὄντα ἡ οὐσία περιλαμβάνει, ἐπειδὴ πάντων τῶν
ὄντων ἐπιστήμων ὑπισχνεῖται εἶναι ὁ φιλόσοφος; οὐδαμῶς. πάλιν γὰρ εὗρον
15 δύο πού τινα καὶ δέκα καὶ εἴκοσιν, ἅπερ ἀνήγαγον ἐπί τι κοινὸν γένος τὸν 20
ἀριθμόν. πάλιν εὗρόν τι μέγα καὶ μικρὸν καὶ ταῦτα ἐκάλεσαν συνεχῆ.
ἐπεὶ οὖν ὁ ἀριθμὸς καὶ τὸ συνηχὲς κοινωνοῦσιν ἀλλήλοις, καθὸ ποσά ἐστι
(ποσὸν γὰρ ἑκάτερον), ἀνήγαγον ταῦτα ἐπὶ τὸ καθόλου ποσόν. ἔσχον οὖν
κοινότητας δύο περιεκτικὰς πραγμάτων πολλῶν τὴν οὐσίαν καὶ τὸ ποσόν.
20 πάλιν ἔστι τι λευκὸν καὶ πολλαὶ αἱ κατὰ μέρος λευκότητες· τὸ γὰρ λευκὸν
ἢ ἐν ψιμυθίῳ ἐστὶν ἢ ἐν χιόνι ἢ ἐν κύκνῳ· ταῦτα οὖν πάντα ὑπὸ τὸ 25
αὐτὸ ἁπλῶς λευκὸν ἀνήγαγον. ὡσαύτως δὲ καὶ τὸ μέλαν καὶ τὸ φαιόν.
καὶ τὰ τοιαῦτα ἀνήγαγον ὑπὸ τὸ χρῶμα. ἔστι δὲ πάλιν γλυκὺ πικρὸν θερ-
μὸν ψυχρόν. ταῦτα οὖν πάντα τὰ ἀπηριθμημένα τὸ χρῶμα τὸ γλυκὺ τὸ
25 θερμὸν· καὶ τὰ παραπλήσια πάντα ἀνήγαγον ὑπό τι κοινὸν γένος τὸ ποιόν.
ποιὸν δέ ἐστιν ἀφ' οὗ παρωνύμως τὸ μετέχον ὀνομάζεται· ἀπὸ γὰρ τῆς
λευκότητος λέγεται λευκὸς καὶ ἀπὸ τῆς γραμματικῆς λέγεται γραμματικός.
πάλιν ἔστι τι δεξιὸν ἀριστερὸν διπλάσιον ἥμισυ, καὶ ταῦτα πάντα ἀνήγαγον 30
ὑπό τι κοινὸν γένος τὸ πρός τι, ὅ ἐστι σχέσις ἑτέρου πρὸς ἕτερον. πάλιν

---

1 ἐστι Mp: om. E: oblitt. V 2 τι] τὸ libri (cf. p. 18,6. 15) 3 μάθοιμεν Ep: μάθωμεν M: oblitt. V 4 δύναται V: δύνανται EMp 5 ἔχει τὸ εἶναι colloc. E καὶ MVp: om. E 6 post ταῦτα add. μὲν M 7 ἡ λευκότης p: om. EMV 8 ψιμυθίῳ] ψιμυθίῳ E^1Vp: ψιμμιθίῳ E^2M δὲ om. p 9 post ὅσα add. μὲν M ἐστιν EVp: εἰσιν M 11 ἀνῆλθον Mp: προσῆλθον E: oblitt. V 13 ἡ οὐσία MVp: οὐσία E παραλαμβάνει V 14 ὑπισχνεῖται om. V ὁ φιλ. εἶναι colloc. p 14. 16 πάλιν—ἀριθμόν suppl. in imo mrg. M^1 14 γὰρ om. V εὗρον EMV: ἐστι p 15 τι EVp: τὸ M 16 post ἀριθμόν add. δηλαδή p καὶ τὶ μικρόν V καὶ ταῦτα EM: ἅπερ p: oblitt. V 17 ἐπεὶ] ἐπειδὴ V 19 κοινότητας δύο Ep: δύο τινὰς κοινότητας MV 20 τι Vp: τὸ EM καὶ πολλαὶ—λευκότητες fort. eicias 21 ψιμυθίῳ E^1Vp: ψιμμιθίῳ ME^2 (cf. v. 8) 22 αὐτὸ om. p (fort. recte) 22. 23 ὡσαύτως—ἀνήγαγον om. V 23 καὶ τὰ τοιαῦτα om. M 23. 24 θερμὸν πικρὸν colloc. M 24 τὰ MVp: om. E 24. 25 τὸ χρῶμα—πάντα om. p 25 πάντα EM: τούτοις V 25. 29 τι Marc. 201: τὸ EMVp (cf. v. 2. 15) 28 ἔστι τι MVp: δὲ τὸ E ante ἀριστερὸν et ἥμισυ add. καὶ p 29 ὑπὸ Vp: ἐπὶ EM

δὲ ἔστι τι τὸ ἐν τῷ Λυκείῳ εἶναι ἢ ἐν ἀγορᾷ καὶ ὅσα τοιαῦτα, ἅπερ ἀνή- 7r
γαγον ὑπὸ τὸ ποῦ, ὅπερ ἐστὶ τόπου σημαντικόν. πάλιν ἔστι τι χθὲς πέ-
ρυσιν αὔριον καὶ ὅσα τοιαῦτα, ἅπερ ἀνήγαγον ὑπὸ τὸ ποτέ, ὅπερ ἐστὶ
χρόνου σημαντικόν. πάλιν ἔστι τι τὸ ἀνακεῖσθαι τὸ ἑστάναι τὸ καθῆσθαι,
5 ἅπερ ἀνήγαγον ὑπὸ τὸ κεῖσθαι· κεῖσθαι δέ ἐστιν ἡ τοιάδε θέσις τοῦ σώ-
ματος. πάλιν δὲ ὑποδεδέσθαι ὡπλίσθαι δακτύλιον φέρειν· τὰ τοιαῦτα ἀνή- 35
γαγον ὑπὸ τὸ ἔχειν· ἔχειν γάρ ἐστιν οὐσίας περὶ οὐσίαν περίθεσις. πάλιν
ἔστι τι τύπτειν θερμαίνειν ψύχειν· τὰ τοιαῦτα ἀνήγαγον ὑπὸ τὸ ποιεῖν·
ποιεῖν δέ ἐστι τὸ δρᾶν περί τι. πάλιν θεασάμενοί τινα λευ|καινόμενα τυπτό- 7v
10 μενα ἀνήγαγον ταῦτα ὑπὸ τὸ πάσχειν, ὅπερ ἐστὶν ἀλλοιοῦσθαι ὑφ' ἑτέρου.
ἔσχον οὖν δέκα τοιαύτας κοινότητας· οὐσίαν ποσὸν ποιὸν πρός τι ποῦ ποτὲ
κεῖσθαι ἔχειν ποιεῖν πάσχειν. ἕκαστον οὖν τῶν ὄντων πάντων ὑπὸ μίαν
τούτων τελεῖ τῶν κοινοτήτων. ταύτας δὲ ἐκάλεσαν κατηγορίας ὡς κατά 5
τινων τῶν ὑπ' αὐτὰς τελούντων ἀγορευομένας καὶ λεγομένας.

15 Περὶ τούτων οὖν τῶν δέκα κατηγοριῶν ὁ Ἀριστοτέλης ἔγραψε βιβλίον
καὶ ἐμνήσθη ἐν τῇ διδασκαλίᾳ φωνῶν τινων πέντε ἀγνώστων ἡμῖν οὐσῶν
ἐν τῇ συνηθείᾳ γένους διαφορᾶς εἴδους ἰδίου καὶ συμβεβηκότος. ὁ γοῦν
φιλόσοφος Πορφύριος φιλανθρώπως ποιῶν ἅμα καὶ φιλοσόφως ἔγραψε τουτὶ
τὸ βιβλίον διδάσκων ἡμᾶς, τί σημαίνει ἑκάστη φωνή, ἵνα μαθόντες εὐχερέ-
20 στερον δυνηθῶμεν παρακολουθεῖν τοῖς ὑπὸ τοῦ Ἀριστοτέλους λεγομένοις 10
περὶ τῶν κατηγοριῶν. ὁ οὖν τοῦ Πορφυρίου σκοπὸς οὗτός ἐστιν. ἔπεγραψε
δὲ τὸ βιβλίον Εἰσαγωγήν, ἐπειδὴ ὁδός ἐστι πρὸς πᾶσαν φιλοσοφίαν· προ-
ηγοῦνται γὰρ τῶν φιλοσόφων πάντων συγγραμμάτων αἱ Κατηγορίαι, τούτων
δὲ ἡ Εἰσαγωγή.

25 [Ὅπερ δὲ οἱ φιλόσοφοι ἐπὶ πάντων τῶν ὄντων ἐποίησαν (ἀνήγαγον
γὰρ πάντα τὰ ὄντα ὑπὸ τὰς δέκα κοινότητας καὶ οὐδέν ἐστι τῶν ὄντων, ὃ
μὴ πάντως εὑρίσκεται ὑπό τινα τῶν τοιούτων κοινοτήτων ἀναγόμενον), 15
τοῦτο οἱ γραμματικοὶ ἐπὶ τῶν φωνῶν πεποίηκασι· βουλόμενοι γὰρ τῇ ἀπει-
ρίᾳ τῶν φωνῶν ἐπεξελθεῖν καὶ μὴ δυνηθέντες συνήγαγον τὰς μὲν τοιάσδε

---

1 τι om. V τῷ EM: om. Vp 2 ἔστι τι Vp: δὲ τὸ E: ἔστι τὸ M
2. 3 πέρισυ E post πέρυσιν add. σήμερον p 3 ἅπερ om. E 5 ἅπερ Mp:
ὅπερ E: τὰ τοιαῦτα V 6 δὲ EM: δὲ ἔστιν V: δέ ἐστί τι τὸ p ὑποδεῖσθαι p
ὡπλίσθαι Marc. 201: ὁπλίζεσθαι EMV: τὸ ὁπλίζεσθαι τὸ p φέρειν EM: φορεῖν Vp
8 τι M: τὸ V: τι τὸ p: om. E 9 ποιεῖν δέ ἐστι τὸ δρᾶν περί τι post ἑτέρου (v. 10)
transp. EVp ἐστι om. E 10 ταῦτα EM: om. p: oblitt. V 11 τοιαύτας
E: ταύτας MV: ταῦτα p 12 οὖν] τοίνυν V 13 τούτων om. M 15 ἔγραψεν
ὁ Ἀριστ. colloc. V 16 ἐν τῇ διδασκ. ἐμνήσθη colloc. V (partim oblitt.) ante
φωνῶν add. αὐτῶν p πέντε τινῶν colloc. p 17 ἐν EM: om. Vp εἴδους δια-
φορᾶς colloc. p καὶ om. M γοῦν EMp: οὖν V 21 οὗτος EVp: τοιοῦτος M
22 εἰσαγωγήν E: εἰσαγωγή Mp: oblitt. V 25 Ὅπερ δὲ οἱ φιλόσοφοι — σημαντικαὶ φω-
ναί (p. 21,4) inclusi δὲ Ep: om. M: oblitt. V 26 ὑπὸ EMp: εἰς V κατη-
γορίας ἤτοι κοινότητας V ὃ EVp: ὅπερ M 27 κοινοτήτων EMV: κοινότητα p
28 post τοῦτο add. καὶ p: om. EMV τῶν ὀκτὼ φωνῶν V: τῶν πέντε φωνῶν p
29 ἐξελθεῖν E συνήγαγον EM: ἀνήγαγον Vp

φωνὰς ἐπί τινα κοινότητα τὴν τοῦ ὀνόματος, τὰς δὲ τοιάσδε ἐπί 7v
τινα κοινότητα τὴν τοῦ ῥήματος, καὶ οὕτως ἐποίησαν τὰ ὀκτὼ παρ'
αὐτοῖς τοῦ λόγου μέρη, ὑφ' ἃ πᾶσαι αἱ κατὰ μέρος ἀνάγονται σημαν- 20
τικαὶ φωναί.]

Εἰς πόσα μὲν οὖν καὶ τίνα διαιρεῖται τῆς φιλοσοφίας ἕκαστον μέρος καὶ τί ἔχει ἀποτέλεσμα, εἴρηται. δεῖ δὲ ἡμᾶς εἰπεῖν καὶ τὰ πρὸς τῶν φιλοσόφων οὕτω προσαγορευόμενα προλεγόμενα ἤτοι προτεχνολογούμενα ἐπὶ παντὸς βιβλίου. ἔστι δὲ ταῦτα· ὁ σκοπὸς τὸ χρήσιμον τὸ γνήσιον ἡ τάξις τῆς ἀναγνώσεως ἡ αἰτία τῆς ἐπιγραφῆς ἡ εἰς τὰ κεφάλαια διαίρεσις καὶ ὑπὸ ποῖον μέρος ἀνάγεται τὸ παρὸν σύγγραμμα. ταῦτα δὲ ἐπενόησαν 25
οἱ φιλόσοφοι προλέγειν, οὐχ ὡς περιττόν τι προσεπινοοῦντες αὐτοῖς ἢ κατὰ τὰς ἄλλας τέχνας, ἀλλὰ προθυμοτέρους ποιεῖν βουλόμενοι τοὺς ἀναγινώσκοντας. ἀναγινώσκων γάρ τις ἐὰν ἀγνοῇ τὸν σκοπὸν τοῦ βιβλίου, ὀκνεῖ καὶ ἀφίησι διὰ μέσου καὶ ταὐτὰ πάσχει τοῖς ὁδοιποροῦσιν ἐφ' ἃ μὴ ἴσασι. διὰ τοῦτο οὖν τὸν σκοπὸν λέγουσιν. οὐ μὴν οὐδὲ ὁ τὸν σκοπὸν ἐγνωκὼς ἐγχειρεῖ προθύμως τῷ ἔργῳ, πρὶν ἂν καὶ τὸ ἀπ' αὐτοῦ χρήσιμον μάθῃ· 30
ὥστε εἰκότως καὶ τὸ χρήσιμον λέγουσιν. ἔτι δὲ καὶ ταῦτα μαθόντες ἀπιστοῦμεν εἰ χρήσιμόν ἐστι, πρὶν γνῶμεν εἰ γνήσιόν ἐστι τὸ βιβλίον τοῦ παλαιοῦ, ὃν ἴσμεν ἔνδοξον ὄντα, οἷον τοῦ Ἀριστοτέλους ἢ Πλάτωνος· ἐκείνους γὰρ ὑπολαμβάνομεν χρήσιμα πάντα εἰρηκέναι. διὰ τοῦτο οὖν καὶ τὸ γνήσιον λέγομεν. ἐκ δὲ τῆς τούτων γνώσεως ἀνακύπτει καὶ ἡ περὶ τάξεως ζήτησις, πότερον πρῶτον αὐτὸ δεῖ τάττεσθαι ἢ ὕστερον· καὶ διὰ τοῦτο 35
καὶ τὴν τάξιν λέγουσι. τὴν δὲ ἐπιγραφήν, ἐπειδὴ ὡς ἐν συντόμῳ τὸν σκοπὸν ἔχει. ἔτι δὲ καὶ τὸ ὑπὸ ποῖον μέρος ἀνάγεται τῆς φιλοσοφίας διὰ τὸ

3 post μέρη add. οὕτω καὶ ὁ Πορφύριος ἀνήγαγε πᾶσαν σημαντικὴν φωνὴν πάρεξ τῶν σημαντικῶν τῶν ἀτόμων ὑπὸ τὰς πέντε φωνάς p: om. EMV ἃ EMV: ἃς p 5 Εἰς πόσα — ὡς ἐν ἑτέρῳ δείξομεν (p. 23,24) nescio an ab Ammonio aliena sint; etenim alteram praebent huius libri praefationem, qua ea quae Ammonius inde a verbis (p. 16, 17) ἐμάθομεν τοίνυν τί ἐστι φιλοσοφία καὶ ποῖα αὐτῆς μέρη propria explicandi ratione praefatus est. ratione in scholis trita. ut David et Elias ostendunt. repetuntur atque amplificantur καὶ suppl. E² διαιρ. τῆς φιλ. MV: τὸ τῆς φιλ. διαιρ. Ep 6 ἤδη εἴρηται p 7 προτεχνολ. Mp: τεχνολ. EV 9 αἰτία ex αὐτῆ corr. E post διαίρεσις add. ὁ διδασκαλικὸς τρόπος MVp: om. E (cf. v. 23 p. 23,12 David Cr. p. 434) 10 καὶ ὑπὸ ποῖον μέρος ἀνάγεται τὸ παρὸν σύγγραμμα E: καὶ ἡ ὑπὸ τί μέρος ἀναφορὰ ἤτοι ὑπὸ ποῖον μέρος ἀνάγεται τῆς φιλοσοφίας M: καὶ ἡ ὑπὸ τί μέρος ἀναφορά p: oblitt. V ταῦτα δὲ Mp: ταυτὸν E: oblitt. V 11 αὐτοῖς] scribas αὐτὰ 12 τὰς ἄλλας MVp: ἄλλας E βουλόμενοι ποιεῖν colloc. M 15 μὴν om. V 16 προθύμως ἐγχειρεῖ colloc. p προθυμοτέρως M μάθῃ EV: μάθοι Mp 17 ὥστε] ὅν τε E μαθόντες Vp: μανθάνοντες EM 18. 19 τοῦ παλαιοῦ τὸ βιβλίον colloc. MVp 19 ἢ EM: καὶ Vp 21 λέγομεν Vp: λέγει EM: an λέγουσι? 22 πρῶτον αὐτὸ δεῖ τάττεσθαι V: πρῶτον αὐτὸ δεῖ προτάττεσθαι E: αὐτὸ δεῖ προτάττεσθαι M: αὐτὸ δεῖ πρῶτον τάττεσθαι p 23 post ἐπιγραφήν add. λέγουσι p: om. EMV 24 ἔχει EMV: περιέχει p post ἔχει add. ἀλλὰ καὶ τὸν διδασκαλικὸν τρόπον, εἰ σαφής ἐστιν ἢ δυσνόητος, ἵνα πρὸς αὐτὸν διατεθῇ ὁ ἀκροώμενος M: om. EVp δὲ p: δὴ E: γε μὴν M: μὴν V (cf. p. 22,12) τὸ (prius) om. M τὸ ὑπὸ τὸ ποῖον V

εἰδέναι ποῦ μάλιστα συντελεῖ. δεδειγμένου δὲ τίνος ἕνεκα ταῦτα προλέγου- 7v
σιν οἱ φιλόσοφοι, καιρὸς ἤδη καὶ ἡμᾶς λέγειν τὰ προλεγό|μενα τοῦ βιβλίου. 8r

Ἔστι δὲ σκοπὸς τῷ Πορφυρίῳ ἐνταῦθα περὶ πέντε τινῶν εἰπεῖν, ἃ πάντα τὰ ὄντα ἐστὶν ἤγουν ἐν τοῖς οὖσι πᾶσι θεωρεῖται. ἔστι δὲ ταῦτα· γένος εἶδος διαφορὰ ἴδιον καὶ συμβεβηκός. χρήσιμον δέ ἐστι τὸ βιβλίον εἰς πᾶσαν φιλοσοφίαν· διδάσκει γὰρ ἡμᾶς τὰ καθ' αὑτὰ προσόντα τοῖς εἴδεσιν, ἅπερ αὐτῶν ἐστιν αἴτια τῆς συστάσεως· ἐκ δὲ τῶν αἰτίων τῆς συστάσεως τὰς ἀποδείξεις λαμβάνομεν. ὥστε ἀπόδειξιν διδάσκει καὶ πρὸς πᾶσαν φιλοσοφίαν χρήσιμον· διὰ γὰρ τῆς ἀποδείξεως τὰ τέλη αὐτῆς γινώσκομεν. τὸ δὲ γνήσιον δηλοῖ μὲν καὶ ἡ φράσις σαφὴς οὖσα καὶ τὸ ἐν ἄλλοις αὐτὸν βιβλίοις τῶν ἐν τῷδε τῷ βιβλίῳ θεωρημάτων μεμνῆσθαι. ἔτι δὲ καὶ τὸ προσφωνεῖν αὐτὸν τῷ Χρυσαορίῳ· τούτῳ γὰρ καὶ ἄλλα τινὰ προσφωνήσας βιβλία καὶ τοῦτο προσφωνεῖ διὰ τοιαύτην αἰτίαν. διδάσκαλος ἦν τοῦ Χρυσαορίου καὶ ἐξηγούμενος αὐτῷ τὰ μαθήματα. ἐδέησεν οὖν ἱστορῆσαι τὸ πῦρ τῆς Αἴτνης καὶ ἐξεδήμησε. τούτῳ τῷ χρόνῳ εὑρίσκει ὁ Χρυσάοριος τὰς Ἀριστοτέλους Κατηγορίας, καὶ οὐδὲ ὅλως παρηκολούθει ἐγκύπτων. δηλοῖ οὖν τῷ Πορφυρίῳ ἐκεῖ ὄντι γράψας τὸ συμβάν. καὶ εἰ μὲν ἱστόρησε τὸ πῦρ, ἐλθεῖν, εἰ δὲ μή, εἰσαγωγὴν αὐτῷ τινα γράψαι, δι' ἧς ἂν μέλλοι παρακολουθεῖν τῷ βιβλίῳ. ἐπειδὴ τοίνυν ὁ Πορφύριος οὐκ ἠδύνατο τέως ὑποστρέψαι, γράφει αὐτῷ τὸ βιβλίον τοῦτο ἐκ τῶν εἰρημένων τῷ Πλάτωνι καὶ Ταύρῳ ταυτὶ συλλέξας σχεδὸν καὶ δι' αὐτῶν τῶν ῥημάτων ἐλθών. καὶ ἐκ τούτων μὲν δῆλον ὅτι γνήσιον τοῦ παλαιοῦ τὸ βιβλίον. πρῶτον δέ ἐστι τῇ τάξει· εἰ γὰρ εἰς τὰς Ἀριστοτέλους Κατηγορίας εἰσάγει, αἳ περὶ τῶν ἁπλῶν εἰσι φωνῶν, αὗται δὲ τῆς λογικῆς εἰσιν ἀρχαί, δῆλον ὅτι πρῶτόν ἐστι τῇ τάξει τῆς λογικῆς. εἰκότως οὖν πρὸ αὐτοῦ

1 post ποῦ add. τὸ V² συντελεῖν V² ταῦτα iterat. del. E 2 τὰ προλ. τὰ τούτου βιβλίου M 3 ἔστι δὲ] hinc rursus exstat D ἐνταῦτα τῷ πορφυρίῳ colloc. EMVp τινῶν εἰπεῖν ἃ DEM: τινῶν φωνῶν εἰπεῖν, ἃ V: τινῶν εἰπεῖν φωνῶν ὑφ' ἃ p 4 ἐν πᾶσι θεωρεῖται τοῖς οὖσι colloc. V θεωροῦνται D 5 εἶδος post διαφορὰ suppl. V² 6 καθ' αὑτὰ Vp: καθ' αὑτὸ DEM 7 τῆς ante αὐτῶν transp. DV 8 ἀποδείξεις E καὶ] an οὖσαν? 9 αὐτῆς DVp: αὐτοῦ E: αὐτῶν M 11 αὐτὸν E: αὐτοῦ DMVp 12 δὲ] δὴ E (cf. p. 21, 23) αὐτὸν] αὐτὸ p τῷ om. Ep τούτῳ] οὕτω M 13 προσφωνήσας] προσφωνῶν V τὴν τοιαύτην V ante διδάσκαλος add. οὗτος M διδάσκαλος] διδασκαλία E 14 ἐξηγουμένου p αὐτοῦ E οὖν D: δὲ αὐτῷ M: om. EVp 15 χρόνῳ] λόγῳ V 16 οὐδὲ DVp: οὐδὲν EM παρηκολούθησεν E 17 δ' οὖν E γράψας MVp: γράψαι DE 18 εἰσελθεῖν V post μὴ add. ἱστόρησεν EMp: om. DV αὐτῷ DM: om. EVp γράψαι τινὰ colloc. M 21 Πλάτωνι] Πλωτίνῳ coni. Brand. (p. 18b not. 2), sed cf. ed. pr. p. 14v7 καὶ Ταύρῳ ταυτὶ DM: καὶ ταύρω E²: καὶ ταυτὶ E¹p: om. V καὶ σχεδὸν colloc. V 22 τούτων] τούτου p 23 καὶ πρῶτον δὲ M καὶ εἰς V 24 εἰσάγει κατηγορίας colloc. M 25 τῆς λογικῆς εἰσιν D: τοῦ λογικοῦ EMV: τῆς λογικῆς p τῇ τάξει ἐστὶ colloc. EVp τῆς λογικῆς Dp: τοῦ λογικοῦ EMV πρὸ αὐτοῦ DEV: πρὸ αὐτῶν M: πρὸ αὐτῆς p; an ⟨οὐδὲν⟩ πρὸ αὐτοῦ?

τάττεται. καὶ ταῦτα μὲν περὶ τῆς τάξεως. Εἰσαγωγὴ δὲ ἐπιγέγραπται. 8r
καὶ ἀποροῦσί τινες, διὰ τί ἀπροσδιορίστως ἐπέγραψεν Εἰσαγωγή· ἄδηλον 20
γὰρ πότερον ῥητορικὴ ἢ λογικὴ ἢ γραμματική. φαμὲν οὖν πρὸς αὐτοὺς
ὅτι τὰ ὑπερέχοντα τῶν πραγμάτων ἀορίστως εἰώθαμεν σημαίνειν. ὥπερ ὅτε
τὸν Ὅμηρον βουλόμεθα σημᾶναι, 'ὁ ποιητής' λέγομεν κατ' ἐξοχήν. τί οὖν
ἐκώλυε τὸν βουλόμενον τὴν φιλοσοφίαν σημᾶναι ἀορίστως εἰπεῖν κατ' ἐξο-
χήν; ἔπειτα δὲ καὶ τοῦτό φαμεν, ὅτι ἡ εἰσαγωγὴ τέχνης ἢ ἐπιστήμης
ἐστὶν εἰσαγωγὴ ἀναμφισβητήτως. ἡ δὲ φιλοσοφία τέχνη ἐστὶ τεχνῶν καὶ 25
ἐπιστήμη ἐπιστημῶν· πῶς οὖν εἰς ταύτην ἡμᾶς μέλλων εἰσάγειν, διὰ μέσης
δὲ ταύτης εἰς ἁπάσας τὰς τέχνας, εἴπερ ἀληθῶς ὁ ὅρος ἔχει, ἤμελλε μιᾶς
τέχνης εἰσαγωγὴν τὸ βιβλίον ἐπιγράφειν; τοσαῦτα μὲν οὖν καὶ περὶ τῆς
ἐπιγραφῆς. ἰστέον δ' ὅτι διῄρηται τὸ σύγγραμμα τοῦτο εἰς τρία, καὶ ἐν
μὲν τῷ πρώτῳ μέρει διδάσκει περὶ τῶν εἰρημένων πέντε φωνῶν, ἐν δὲ
τῷ δευτέρῳ συμπλέκει αὐτὰς κατὰ δύο καὶ διδάσκει τί κοινὸν αὐταῖς καὶ 30
τί ἴδιον, οἷον τί κοινὸν γένει καὶ εἴδει καὶ τί ἴδιον, καὶ γένει καὶ διαφορᾷ,
καὶ ἐπὶ πάντων ὡσαύτως. ἐν δὲ τῷ τρίτῳ διδάσκει τίνα πάντων ἅμα
κοινά ἐστι. πρὸ δὲ τούτων ἐν τῷ προοιμίῳ προανακρούεται τὸν σκοπὸν
τοῦ βιβλίου καὶ τὸ χρήσιμον διδάσκει καὶ τὸν τρόπον τῆς διδασκαλίας, ὅτι
ἁπλούστερος καὶ εἰσαγωγικώτερος ἔσται. ὑπὸ δὲ τὸ λογικὸν ὄργανον ἀνά-
γεται τῆς φιλοσοφίας τὸ προκείμενον βιβλίον· διδάσκει γὰρ τὰ εἰς τὰς 35
ἀρχὰς τῆς ἀποδείξεως συντελοῦντα, ἥτις ἐστὶ τῷ γένει συλλογισμός, ὃς εἶδός
ἐστι τοῦ συνθέτου λόγου, ὃς πάλιν γένει ἐστὶ λόγος. ἔπειτα δὲ καὶ εἰς
τὰς Ἀριστοτέλους Κατηγορίας εἰσάγει, αἵπερ εἰσὶ τῆς λογικῆς. ἡ δὲ λο-
γικὴ οὐ μέρος τῆς φιλοσοφίας ἀλλ' ὄργανον, ὡς ἐν ἑτέρῳ δείξομεν.

1 τάττεται DVp: προτάττεσθαι E: προτάττεται M μὲν om. M post ἐπιγέγραπται add. τὸ βιβλίον V 3 ῥητορικὴ ἢ λογικὴ ἢ γραμματική D: ῥητορικὴ ἢ γραμματικὴ ἢ λογική E: γραμματικὴ ἢ ῥητορικὴ ἢ λογική M: ἢ ῥητορικὴ ἢ (hoc ἢ suppl. m. 2) λογική V: γραμματικῆς ἢ ῥητορικῆς ἢ λογικῆς p 4 ἀορίστως ἐκφέρειν τουτέστι σημαίνειν εἰώθαμεν V 5 βουλόμεθα DM: βουλόμενοι EVp ὁ π. λέγομεν] φαμὲν ὁ ποιητὴς M post ἐξοχὴν paene totus versus eras. M οὖν superscr. D 6 εἰπεῖν κατ' ἐξοχήν D: κατ' ἐξοχὴν σημᾶναι EMVp 7 ὅτι DV: om. EMp ἢ τέχνης ἢ E 8 ἀναμφισβητήτως om. E ἐστὶ (alterum) om. V 9 ταύτην] ταῦτα E ἡμᾶς εἰς ταύτην colloc. M μέλλων ἡμᾶς colloc. EV διὰ μέσης δὲ D: καὶ διὰ μέσης EMVp 10 πάσας M post τέχνας add. καὶ ἐπιστήμας M ἔχει ὁ ὅρος colloc. EMVp ἔμελλε EMVp 11 τέχνης DEV: τέχνης τινὸς M: τινος τέχνης p μὲν οὖν om. p καὶ om. V 13 μέρει om. E εἰρημένων om. E 14 κατὰ in ras. M² 15 ἴδιον (prius) ex ἰδία corr. E καὶ τί εἴδει Vp τί ἴδιον καὶ γένει καὶ διαφ. scripsi: τί ἰδίῳ καὶ γένει καὶ διαφ. DV: τί κοινὸν γένει καὶ διαφ. EM: τί ἰδίῳ καὶ τί διαφ. p 16 καὶ ἐπὶ πάντων ὡσαύτως DEMV: καὶ τί συμβεβηκότι p πάντων τίνα colloc. V 17 προανακρ. τὸν σκοπὸν D: τὸν σκοπόν τε προανακρ. EMp: τὸν σκοπὸν προανακρ. V 18 post διδασκαλίας add. ὁριστικῶς τε καὶ ἀποδεικτικῶς D ἁπλούστερός τε EMVp (fort. recte) εἰσαγωγικωτέρα E post εἰσαγ. add. καὶ διδασκαλικώτερος M 19. 20 τῆς φιλ. ἀνάγεται colloc. V 20. 21 τὰς ἀρχὰς DV: τὴν ἀρχὴν EMp 23 τὰς ἀριστοτέλους ex τὸν ἀριστοτέλη corr. E 24 ἑτέρῳ D: ἑτέροις EMVp post δείξομεν add. ἐνταῦθα τέλος τῶν τῆς φιλοσοφίας καὶ τῆς εἰσαγωγῆς προλεγομένων. Ὁ χρόνος ἐν χρόνῳ ἢ οὐκ ἐν χρόνῳ· ἐν χρόνῳ. εἰ ἐν χρόνῳ, τίς ἡ φύσις αὐτοῦ; τὰ γὰρ ἔν

p. 1,3 Ὄντος ἀναγκαίου, Χρυσαόριε. 8r

Πάντα τὰ ὄντα αὐ]τοφυῶς ἐφίεται τοῦ ἀγαθοῦ, ἐπειδήπερ τῶν ὄντων 8v
ἁπάντων μία ἐστὶν ἀρχὴ τὸ ἀγαθόν. πάντα οὖν πρὸς τὸ ἀγαθὸν ὡς οἰκεῖον
ἀγαθὸν ἀνατείνεται, καὶ τελειοῦται τῶν ὄντων ἕκαστον μετέχον ἐκείνου
5 κατὰ τὰ οἰκεῖα μέτρα. οὐδεὶς οὖν κακοῦ ἐφίεται, ἀλλὰ καὶ οἱ τούτου
ἐφιέμενοι ὡς ἀγαθοῦ αὐτοῦ ὀρέγονται τῇ ἀλόγῳ δόξῃ ἑπόμενοι. ἡνίκα
οὖν βούλεταί τίς τινα ἐπί τι προτρέψασθαι. τὸ ἐκ τούτου ἀγαθὸν ἀναφαίνει. 5
ὡς ἐκ τούτου ἐφέλκειν αὐτόν. τοῦτο τοίνυν ὁ φιλόσοφος Πορφύριος ποιεῖ· 5
βουλόμενος γὰρ τοὺς εἰσαγομένους προτρέψασθαι ἐπὶ τὴν τοῦ βιβλίου ἀνά-
10 γνωσιν τὸ ἐκ τούτου ἐσόμενον ἀγαθὸν μηνύει κατ' ἀρχάς. ἐπειδὴ δὲ
διττόν ἐστι τὸ ἀγαθόν, τὸ μὲν ὡς τέλος, τὸ δὲ ὡς πρὸς τὸ τέλος, καὶ τὸ
μὲν ὡς τέλος ὡς ὅταν εἴπωμεν ἀγαθὸν τὴν ὑγείαν, τὸ δὲ ὡς πρὸς τὸ
τέλος ὡς ὅταν εἴπωμεν ἀγαθὸν τὸ φλεβοτομεῖν οὐ καθ' αὑτὸ ἀλλὰ διὰ
τὴν ὑγείαν, τὸ ἀναγκαῖον κυρίως οὐ λέγεται ἀγαθὸν ἀλλ' ὡς πρὸς τὸ 10
15 μεῖζον ἀγαθὸν ἀναφερόμενον· λέγομεν γὰρ 'εἰ μέλλει ὑγιαίνειν, ἀνάγκη
φλεβοτομεῖσθαι'. διὸ οὕτως εἶπεν ἀναγκαῖον, ἐπειδὴ ὡς πρός τι ἄλλο
τέλος ἀναφέρεται τὸ βιβλίον, δηλαδὴ τὰς Κατηγορίας, καὶ οὐκ ἔστιν ἀγα-
θὸν ὡς τέλος ἀλλ' ὡς πρὸς ἄλλο παραλαμβόμενον. καὶ ἁπλῶς εἰπεῖν
ἀναγκαῖον ἐνταῦθα λέγει τὸ βιβλίον ὡς πρὸς μεῖζον ἀγαθὸν αὐτὸ ἀνάγων.
20 καὶ ἤτοι ὡς χρήσιμον ἢ ὡς καθ' αὑτὸ ἀναγκαῖον καὶ χωρὶς αὐτοῦ τὰ
ἄλλα μὴ δύνασθαι τῶν φιλοσόφων ἀναλέγεσθαι συγγράμματα· ἰστέον γὰρ 15
ὅτι οἱ φιλόσοφοι τὸ ἀναγκαῖον διχῶς λέγουσιν· ἀναγκαῖον γὰρ καλοῦσιν ἢ

τινι ἑτέρας φύσεως ἐστίν, ὡς ὁ πυρὸς ἐν μεδίμνῳ, ἀλλ' οὐκ ἐν χρόνῳ. ἀλλ' εἰ τοῦτο ἔσται, ὁ χρόνος ἄχρονος, ὅπερ ἄτοπον. ἐν χρόνῳ ἐστὶν ὁ χρόνος, ὡς μέρος ἐν ὅλῳ. τοῦτο δὲ τοῦ θεολόγου ἐστίν. D: Φωνή ἐστι λόγος φιλοσόφων ὀνομάτων τε καὶ ῥημάτων ἐξαγγελτικὸς καὶ διατρανωτικός, ἢ ὡς εἰπεῖν ἐπιμερισμὸς τῶν παρὰ τοῖς φιλοσόφοις δέκα γενικωτάτων γενῶν, ἐπεὶ πᾶσαι αἱ δέκα κατηγορίαι διὰ τῶν πέντε φιλοσόφων φωνῶν διαιροῦνται καὶ ἐπιμερίζονται καὶ ἐκφωνο[ῦνται] καὶ τούτων ἄνευ φιλόσοφον ὄνομα ἢ ῥῆμα ἐξαγγελθῆναι οὐ δύναται. V
2 Ἰστέον ὅτι πάντα V ἐφῦεται D 3 ἁπάντων] πάντων E ὡς om. M 4 τῶν ὄντων om. V 5 τὰ superscr. E καὶ om. V 6 αὐτοῦ om. M τῇ ἀλόγῳ δόξῃ ἑπόμενοι D: om. EMVp (fort. recte) 7 οὖν D: τοίνυν EVp: γοῦν M προτρέπεσθαι M 9 τοῦ om. V 10 ante ἀγαθὸν add. συναγομένον (sic) V
11. 12 ὡς τέλος — καὶ τὸ μὲν D: om. EMVp 12 ὡς (ante ὅταν) DM: om. EVp τὸ (ante τέλος) om. p 13 τὸ φλεβοτ. ἀγαθὸν colloc. EMVp διὰ superscr. E 14 post ἀναγκαῖον add. ἐνταῦθα p οὐ κυρίως colloc. Ep: κυρίως superscr. V post λέγεται II vel III litt. eras. V τὸ (post πρὸς) DV: om. EMp
15 λέγομεν] λέγει p μέλλει EVp: μέλλοι DM; an μέλλεις? ὑγιᾶναι V 16 τὸ φλεβοτομηθῆναι V διὸ D: διὰ τοῦτο EMp: oblitt. V εἶπεν] εἰπεῖν D post εἶπεν add. ὁ πορφύριος EM: om. Dp: locus oblitt. V ἐπειδὴ] ἐπεὶ V 16. 17 τέλος ἄλλο colloc. Mp δηλαδὴ D: om. EMp: oblitt. V 18 παραλαμβόμενον DEM: συμβαλλόμενον p: oblitt. V 19 λέγει p: λέγεται DE: om. M: oblitt. V ἀνάγων Vp: ἀνάγον DEM 20. 21 καὶ χωρὶς — συγγράμματα eicias, nisi malis ὡς pro καὶ scribere
22 καλοῦσιν codd.: λέγουσιν p post ἢ II litterae erasae D, an fuit ἤτοι?

τὸ χρήσιμον ἢ τὸ ἀντιδιαιρούμενον τῷ ἐνδεχομένῳ. καὶ χρήσιμον μὲν 8v
λέγουσι τὸ συμβαλλόμενον εἴς τι οἷον τὸ ὑποδεδέσθαι τὸ ἐνδύεσθαι· συμ-
βάλλεται γὰρ εἰς τὸ ἧττον διαφθείρεσθαι τὰ σώματα καὶ διὰ τοῦτο διαρ-
κεῖν ἐπὶ πλείονα χρόνον. λέγεται δὲ ἀναγκαῖον, ὡς εἶπον, καὶ τὸ τῷ ἐν-
5 δεχομένῳ ἀντιδιαιρούμενον, οὗτινος χωρὶς εἶναι ἀδύνατον. οἷον ἀνάγκη τὰ 20
ζῷα τὰ ἔχοντα πνεύμονα ἀναπνεῖν πάντως, ἵνα ζῶσιν· ἀναγκαῖον οὖν τι
χρῆμα ἡ ἀναπνοή· χωρὶς γὰρ ταύτης ζῆν ἀδύνατον τὰ ἔχοντα πνεύμονα
ζῷα. ἀναγκαῖον οὖν τοῦτο λέγεται τὸ βιβλίον εἶναι ἢ κατὰ τὸ πρῶτον
σημαινόμενον ἢ κατὰ τὸ δεύτερον. καί φαμεν οὐχὶ κατὰ τὸ δεύτερον,
10 ἀλλὰ κατὰ τὸ πρῶτον· καὶ γὰρ πρὸ τοῦ γενέσθαι Πορφύριον ἐνοοῦντο δῆ-
λον ὅτι αἱ τῶν φιλοσόφων πραγματεῖαι. δῆλον οὖν ὡς χρήσιμον καὶ εὐμαρῆ 25
ποιοῦν τὴν ἐκείνων νόησιν, οὕτως ἀναγκαῖον εἶναι λέγεται. μήποτε δὲ δυνα-
τὸν καὶ κατὰ τὸ δεύτερον σημαινόμενον ἀναγκαῖον λέγεσθαι, οὐ χωρὶς
ἐκεῖνα νοηθῆναι ἀδύνατον, οὐχὶ ἐπ' αὐτοῦ τοῦ συγγράμματος νοούντων
15 ἡμῶν τὸ ἀναγκαῖον ἀλλ' ἐπ' αὐτῆς τῆς τῶν εἰρημένων πέντε φωνῶν θεω-
ρίας· ἄνευ γὰρ τῆς τούτων γνώσεως τἆλλα ἀκριβῶς γνωσθῆναι ἀδύνατον.
ὅθεν καὶ ὁ Πορφύριος οὐκ εἶπεν 'ἀναγκαίου ὄντος τούτου τοῦ συγγράμματος'
ἀλλὰ ἀναγκαίας οὔσης τῆς τούτων θεωρίας. καὶ γὰρ πρὶν Πορφύ- 30
ριον γράψαι περὶ τούτων, ἀναγκαία ἦν ἡ περὶ αὐτῶν θεωρία εἰς τὴν τῶν
20 φιλοσόφων θεωρημάτων νόησιν, καὶ ἄνευ ταύτης ἐκεῖνα νοηθῆναι ἀδύνατον.
τοσοῦτον οὖν τὸ ἐκ τοῦ προκειμένου βιβλίου γέγονε χρήσιμον, ὅτι τὰ σπο-
ράδην παρὰ τοῖς πρεσβυτέροις εἰρημένα συνήγαγε καὶ εὐμαρεστέραν ἡμῖν
καὶ σύντομον τὴν περὶ αὐτῶν θεωρίαν ἐποίησεν. ὅθεν οὐδὲ ὁ Πορφύριος
ἰδιοποιεῖται τὴν εὕρεσιν τῆς περὶ αὐτῶν θεωρίας, ἀλλὰ τὰ παρὰ τοῖς 35
25 πρεσβυτέροις φησὶν ἐπελθεῖν πειράσομαι.

2 ὑποδεδέσθαι] ὑπέχεσθαι V 3. 4 διαρκεῖ Vp 4 ἐπὶ] εἰς p post χρόνον add. ἕτερόν ἐστι τὸ χρήσιμον παρὰ τὸ ἀναγκαῖον· ἀναγκαῖον μὲν γάρ ἐστι τὸ ζῆν τὸ ἀναπνεῖν, ἐπειδὴ χωρὶς ἀναπνοῆς ὑποστῆναι οὐ δύναται. εἴ τι δὲ χρειῶδες, οὐκ ἔστι καὶ ἀναγκαῖον. τὸ χρειῶδες μὲν γὰρ τὸ ἐσθῆτα καὶ ὑποδήματα περιβεβλῆσθαι, οὐ μὴν ἀναγκαῖον. δυνατὸν γὰρ καὶ ἄνευ τούτων καὶ ἄνθρωπον εἶναι καὶ ζῶον. τὸ οὖν ἀναγκαῖον, ἵνα συνελὼν εἴπω, περὶ τὴν ὕπαρξιν αὐτὴν τῆς οὐσίας θεωρεῖται, τὸ δὲ χρειῶδες περὶ τὴν τοιὰν ἢ τοιὰν αὐτῆς διαγωγήν V τὸ (?) ἀναγκαῖον V 4. 5 τῶν ἐνδεχομένων M 5 οὗτινος EMVp: οὗ D post χωρὶς add. τὸ ὑποκείμενον p ἀδύνατον εἶναι colloc. p 7 ἀδύνατον ζῆν colloc. Ep 8 λέγεται τοῦτο εἶναι τὸ βιβλίον colloc. EMp: τοῦτο εἶναι λέγεται τὸ βιβλίον V 9 σημαινόμενον post δεύτερον colloc. Ep κατὰ (ante τὸ δεύτερον) om. D ante δεύτερον additum πρῶτον expunxit E 10 πρὸ τοῦ D: πρὶν EMVp τὸν Πορφ. EMp 10. 11 ἐνοοῦντο δηλονότι DE: ἐνενοοῦντο δηλονότι M: ἐνοοῦντο V: οὐκ ἠγνόουν τὸ τί δηλοῦσιν p 12 εἶναι λέγεται] λέγεται (εἶναι om.) M: δύναται εἶναι V δὲ] οὖν V 14 ἐκεῖνα] an ἐκείνας? 15 ἐπὶ τῆς αὐτῆς colloc. M 17 καὶ om. E 18. 19 τὸν Πορφύριον Vp 19 γράψαι περὶ τούτων D: περὶ τούτου γράψαι EVp: περὶ τούτων γράψαι M ἦν om. E 20 νοηθῆναι ἐκεῖνα colloc. M νοηθῆναι ἀδ.] θεωρεῖσθαι ἀδύνατον τουτέστιν νοηθῆναι V 21 οὖν] γοῦν V 23 περὶ D: παρ' EMVp ἐποίησεν EMV: ἐποιήσατο Ep 24 ἰδιοποιεῖται] εἰδοποιεῖται E περὶ DMV: παρ' Ep 24. 25 post πρεσβυτέροις add. εἰρημένα M

Ἰστέον δὲ ὅτι εὐθὺς ἐν προοιμίοις περὶ τριῶν τούτων διαλέγεται· λέγει 8v
γὰρ τίς ἡ πρόθεσις τοῦδε τοῦ συγγράμματος (ὅτι περὶ τῶν πέντε φωνῶν
ἐκείνων διαλεχθῆναι), καὶ τί τὸ χρήσιμον (ὅτι χρησιμεύει οὐ μόνον εἰς
τὰς Ἀριστοτέλους Κατηγορίας | ἀλλὰ καὶ ἁπλῶς εἰπεῖν εἰς πᾶσαν εὑρετικὴν 9r
5 μέθοδον φιλοσοφίας), καὶ τίνι τρόπῳ κέχρηται διδασκαλίας, ὅτι σαφεῖ καὶ
πρέποντι εἰσαγομένων ἀκοαῖς· οὔτε γὰρ μείζονα ἢ κατὰ τοὺς εἰσαγομένους
θεωρήματα διδάσκει, οὔτε μὴν εἰς μῆκος ἐκτείνει τὸ σύγγραμμα, οὔτε ἀσα-
φεῖ τῇ λέξει κέχρηται, ἵνα διὰ τούτων προτρέψηται τοὺς νέους εἰς τὴν τοῦ 5
βιβλίου ἐκλογήν. [ὁ δὲ καὶ σύνδεσμος σημαίνει ἡμῖν, ὡς οὐ μόνον εἰς
10 τὴν τῶν Κατηγοριῶν διδασκαλίαν συμβάλλεται τὸ βιβλίον, ἀλλὰ καὶ εἰς
πᾶσαν φιλοσοφίαν. ἄλλως τε καὶ εἰς τὴν τῶν παρὰ Ἀριστοτέλει
εἶπεν. ἐπειδὴ συμβάλλεται οὐ μόνον εἰς τὸ βιβλίον τῶν Κατηγοριῶν Ἀρι-
στοτέλους, ἀλλὰ καὶ εἰς τὰς ἄλλων Κατηγορίας· εἰδέναι γὰρ χρὴ ὡς πολλοὶ
τῶν Ἀριστοτέλους ἑταίρων κατὰ ζῆλον τοῦ διδασκάλου ἔγραψαν Κατηγορίας 10
15 καὶ Περὶ ἑρμηνείας καὶ Ἀναλυτικά. συμβάλλεται οὖν τὸ βιβλίον τοῦτο
οὐ μόνον εἰς τὰς Ἀριστοτέλους Κατηγορίας, ἀλλὰ καὶ εἰς τὰς Ἀρχύτου καὶ
εἰς πάσας τὰς τῶν φιλοσόφων πραγματείας].

Ἀποροῦσι δέ τινες εὐθὺς ἐν ἀρχῇ εἰς τὸ ὄντος ἀναγκαίου ἄλογον
μὲν καὶ οὐκ ἀκόλουθον ἀπορίαν, πλὴν καλῶς ἔχουσαν εἰρῆσθαι διὰ τὴν
20 τῶν ἐπιλύσεων θεωρίαν γλαφυρωτέραν καὶ ὠφέλιμον οὖσαν. ἀποροῦσιν
οὖν οὕτως· τοῦ ὄντος τὸ μέν φασιν ἀναγκαῖον τὸ δὲ ἐνδεχόμενον τὸ δὲ 15
ὑπάρχον. ἀναγκαῖον μὲν οὖν ἐστι τὸ ἀεὶ ὡσαύτως ἔχον καὶ ἐξ ἀνάγκης ὄν,
οἷον τὸ ἡλίου ὑπὲρ γῆν ὄντος ἡμέραν εἶναι. ἐνδεχόμενον δὲ τὸ δυνάμει
ἔχον τὴν τῶν δύο ἐναντίων ὕπαρξιν οἷον τὴν τοῦ ἀναγνῶναι καὶ τοῦ μὴ
25 ἀναγνῶναι, οὔπω δὲ οὐδέτερον ὂν ἀλλ' ἐν τῷ δυνάμει μόνον εἶναι θεωρού-
μενον. ὑπάρχον δέ ἐστι τὸ εἰς ἐνέργειαν προαχθὲν καὶ ἐνεστὸς ἐνδεχό-

---

1 προοιμίῳ V 2 τίς ἐστιν V πρόθεσις EMp: προαίρεσις D: πρόσθεσις V post πρόθεσις add. ἤγουν ὁ σκοπὸς V τοῦδε D: om. EMVp 3 ἐκεῖνον D ante διαλεχθῆναι add. βούλεται p τί om. E 5 τρόπῳ κέχρηται] τρόπω κέκτηται D: κέχρηται τρόπω EMVp ante διδασκαλίας additum φιλοσοφίας expunx. E ταῖς τῶν εἰσαγομένων M ἢ om. p 7 μὴν D: δὲ M: om. EVp 9 ὁ δὲ καὶ — πραγματείας (17) inclusi; cf. p. 31, 2 sq. 11 καὶ εἰς τὴν Laur. 72,7 p: καὶ εἰς in mrg. E: om. DMV περὶ Ἀριστοτέλους E post Ἀριστ. add. κατηγοριῶν p 12 post συμβάλλεται add. τὸ βιβλίον p τὸ βιβλίον codd.: τὴν διδασκαλίαν p 12. 13 τῶν κατηγοριῶν ἀριστοτέλους DEM: τῶν ἀριστοτέλους κατηγοριῶν V: τῶν παρὰ ἀριστοτέλει κατηγοριῶν p 13 τὰς ἄλλων scripsi: τὰς ἄλλας DEMp: ἑτέρων V γὰρ codd.: δὲ p ὡς DMV: ὡς οἱ E: ὅτι οἱ p 16 post Ἀρχύτου add. ἀλλὰ M 17 τὰς post φιλοσόφων transp. EMV 18 εὐθὺς om. D 20 γλαφυρωτάτην V 21 οὖν] δὲ M φασιν DEM: ἐστιν p: om. V 21. 22 τὸ δὲ ὑπάρχον τὸ δὲ ἐνδεχ. colloc. E 22 ante ἀναγκαῖον add. καὶ D: om. EMVp τὸ scripsi: τοῦ libri 23 ἡμέραν εἶναι D: ἡμέρα ἐστίν EMVp 24 ἐναντίων DM: ἐναντίαν E: ἀντικειμένων Vp καὶ τοῦ μὴ D: καὶ τὴν τοῦ μὴ EMp: καὶ μὴ V 25 οὐδὲ ἕτερον D: οὐδ' ἕτερον Ep 26 ἐνεστὸς p: ἐνεστῶς codd. post ἐνεστὸς add. δὲ E

μενον. τούτων τοίνυν τὸ ὂν οὐκ ἔστιν ἐπίσης· οὐ γὰρ ἀντιστρέφει κατὰ 9r
τὴν τοῦ εἶναι ἀκολουθίαν ὡς τὸ ἴδιον καὶ ὁ ὅρος, κατηγορούμενα ἢ ὑπο- 21
κείμενα ἀλλήλοις. δύο γάρ ταῦτα ἐξισάζει, τοῖς τε ὑποκειμένοις κατη-
γορούμενα καὶ τοῖς κατηγορουμένοις ὑποκείμενα, τό τε ἴδιον καὶ ὁ ὅρος.
5 ποῖον δέ ἐστι κατηγορούμενον καὶ ποῖον ὑποκείμενον; ὑποκείμενον μέν, ἐν
ᾧ τὸ ἄρθρον πρόσκειται, κατηγορούμενον δέ, ἐν ᾧ τὸ ἔστιν ἢ δυνάμει ἢ
ἐνεργείᾳ συνέζευκται. τῶν γὰρ κατηγορουμένων ἢ ὀνομάτων ὄντων ἢ ῥη-
μάτων, τοῖς μὲν ὀνόμασιν ἐνεργείᾳ συνέζευκται ἡ ἔστι φωνή, τοῖς δὲ ῥή- 25
μασι δυνάμει, οἷον ἐὰν εἴπω 'ὁ ἄνθρωπος', ὑποκείμενον εἶπον, ἐὰν δὲ
10 προσθῶ 'ζῷόν ἐστι', κατηγορούμενον εἶπον. τὸ οὖν ὂν ἐπίσης οὐκ ἔστιν
οὔτε ὑποκείμενον οὔτε κατηγορούμενον τῷ ἀναγκαίῳ ἢ τῷ ἐνδεχομένῳ ἢ
τῷ ὑπάρχοντι, ἀλλ' ἐπὶ πλέον, ἐπεὶ οὐκ ἀντιστρέφει κατὰ τὴν τοῦ εἶναι
ἀκολουθίαν· πᾶν μὲν γὰρ εἴ τί ἐστιν ἀναγκαῖον ἢ ἐνδεχόμενον ἢ ὑπάρ-
χον, τοῦτο καὶ ὄν ἐστιν, οὐκ ἔτι δὲ εἴ τί ἐστιν ὄν, τοῦτο πάντως ἢ ἀναγ- 30
15 καῖόν ἐστιν ἢ ἐνδεχόμενον ἢ ὑπάρχον, ἀλλ' ὅ τι ἕν τι τούτων ᾖ, τὰ ἄλλα
οὐκ ἔστιν, οἷον ἐὰν ἐνδεχόμενον ᾖ, οὔτε ἀναγκαῖόν ἐστιν οὔτε ὑπάρχον.
εἰ τοίνυν οὐκ ἀντιστρέφει κατὰ τὴν τοῦ εἶναι ἀκολουθίαν τὸ ὄν, ἐπὶ πλέον
ἐστὶν ἄρα τοῦ τε ἀναγκαίου καὶ τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος. τί
δήποτε οὖν ὁ Πορφύριος πάσης κατηγορίας ἢ ἐπὶ πλέον ἢ ἐπίσης βουλο- 35
20 μένης εἶναι τοῦ ὑποκειμένου, οὐδέποτε δὲ ἐπ' ἔλαττον, αὐτὸς τὸ ἀναγκαῖον
ἐπ' ἔλαττον ὂν τοῦ ἐπὶ πλέον κατηγόρησε, λέγω δὴ τοῦ ὄντος, εἰπὼν
ὄντος ἀναγκαίου;

Φαμὲν οὖν ὅτι ἀληθὲς μέν ἐστι τὸ μὴ τὰ ἐπ' ἔλαττον τῶν ἐπὶ πλέον
κατηγορεῖσθαι, τὸ μέντοι ὂν οὐκ ἔστιν ἐπὶ πλέον τοῦ ἀναγκαίου· κυρίως
25 γὰρ ἐκεῖνά ἐστιν ἐπὶ πλέον ὀνόματα, ὅσα κατὰ πολλῶν κατηγορούμενα καὶ 9v
ἐν πολλοῖς ἔχοντα ὑπόστασιν καὶ ἕν τι πρᾶγμά ἐστι ἰδίαν ὑπόστασιν ἔχον
αὐτὸ καθ' αὑτὸ θεωρούμενον ὡς τὸ ζῷον· κατηγορεῖται γὰρ κατὰ κυνὸς
καὶ ἀνθρώπου καὶ ἵππου, καὶ ἔχει μὲν ἐν τούτοις ὑπόστασιν, καὶ ἰδίαν

---

1 conicias τούτοις, sed cf. p. 29, 11 sq. post τοίνυν II litt. eras. M 2 ὁ superscr. V 3 ἀλλήλοις post κατηγορούμενα colloc. p 5 ὑποκείμενον καὶ ποῖον κατηγορούμενον colloc. V ὑποκείμενον (alterum) iterat V 6 τὸ ἄρθρον — ἐν ᾧ om. V πρόκειται M¹ 7. 8 ἢ ῥημάτων ὄντων colloc. EMp 8 ἔστι D: om. EMVp 9 εἶπον DEMp: om. V 11 κατηγορ. οὔτε ὑποκ. colloc. EMVp 12 ἐπεὶ οὐκ codd.: οὐ γὰρ p 13 ἀκολουθίαν] ἀκολούθησιν V 15 ὅτι ἕν τι τούτων ᾖ DE: εἰ ἕν τι τούτων ἐστι M: ὅτι ἂν ἕν τι τούτων ᾖ V (fort. recte): ὅτι ἂν τούτων ἕν τι ᾖ p 18 ἄρα ἐστὶ colloc. EMVp τε om. V ἐνδεχομένου καὶ τοῦ ἀναγκ. colloc. M 19 οὖν om. E 19. 20 βουλόμενος Ep 20 τῷ ὑποκειμένῳ p (cf. v. 1) 21 κατηγορῆσαι E 23 φαμὲν DVp: φανερὸν EM μέν superscr. D: om. V τὰ om. Ep 26 τὴν ὑπόστασιν M καὶ om. p; an ὅμως? ante ἰδίαν add. ἢ V: καὶ p: om. DEM 26. 27 ἔχον αὐτὸ καθ' αὑτὸ θεωρούμενον EM: ἔχοντα αὐτὰ καθ' αὑτὰ θεωρούμενα DV: ἔχει αὐτὰ καθ' αὑτὰ θεωρούμενα p (cf. p. 28, 29) 27 κατὰ κυνὸς καὶ ἀνθρ. καὶ ἵππου D: καὶ κατὰ κυνὸς καὶ κατὰ ἀνθρ. καὶ κατὰ ἵππου EMp: καὶ κατὰ κυνὸς καὶ κατὰ ἀνθρ. καὶ ἵππου V 28 ante ἐν τούτοις add. καὶ EMVp 28. p. 28, 1 ἰδίαν πάλιν ἔχει οὐσίαν D: οὐσίαν μέντοι ἰδίαν ἔχει Ep: ἰδίαν μέντοι οὐσίαν ἔχει MV

πάλιν ἔχει οὐσίαν αὐτὸ καθ' αὑτὸ θεωρούμενόν τε καὶ νοούμενον (ὁριζό- 9v
μεθα οὖν τὸ ζῷον οὐσίαν αὐτὸ εἶναι λέγοντες ἔμψυχον αἰσθητικήν)· ἐπεὶ 6
ὅσα μὴ ἔχει ὑπόστασιν οἰκείαν, ἀλλ' εἰσὶ φωναὶ ὁμώνυμοι ὡς ὁ κύων καὶ
ὁ Αἴας καὶ ὅσα τοιαῦτα, ταῦτα οὐκ ἔστιν ἐπὶ πλέον· ψιλαὶ γάρ εἰσι φωναὶ
5 καὶ οὐ πράγματα. τὸ δὲ ἐπὶ πλέον τινὸς εἶναί τι δεῖ πρότερον αὐτὸ καθ'
αὑτό εἶναι, εἶτ' ἐπὶ πλέον ἑτέρων εἶναι. τὸ οὖν ὂν ἐπειδὴ οὐκ ἔχει ἰδίαν
ὑπόστασιν, ἀλλ' ὀνόματος μόνον ἐστὶν ἐν τούτοις κοινωνία τῷ τε ἀναγκαίῳ
καὶ τῷ ἐνδεχομένῳ καὶ τῷ ὑπάρχοντι, οὐκ ἔστιν οὐδενὸς αὐτῶν ἐπὶ πλέον· 10
φωνὴ γάρ ἐστι ψιλή. ἔπειτα δὲ εἰ ἐπὶ πλέον λέγουσιν εἶναι τὸ ὄν, ὡς
10 γένος αὐτὸ πάντως ἀξιοῦσιν εἶναι ἐπὶ πλέον· τὸ δὲ γένος τεμνόμενον κατὰ
τὸν αὐτὸν χρόνον τὰ εἴδη ποιεῖ ὑφεστάναι καὶ πάντως οὐδενὸς οὔτε προ-
τέρου ὄντος οὔθ' ὑστέρου· ἀνάγκη οὖν αὐτοὺς ὁμολογεῖν κατὰ τὸν αὐτὸν
χρόνον γίνεσθαι τό τε ἀναγκαῖον καὶ τὸ ἐνδεχόμενον καὶ τὸ ὑπάρχον, ὅπερ
ἄτοπον· τὸ μὲν γὰρ ἀναγκαῖον τὸ ἀεὶ ἔχει, τὸ δὲ ἐνδεχόμενον καὶ τὸ 15
15 ὑπάρχον τὸ ποτέ· οὐκ ἄρα γένος τὸ ὂν τῶν εἰρημένων, οὐδ' ἄρα ἐξ ἀνάγ-
κης ἐπὶ πλέον. ἔστι γὰρ τὸ ὂν φωνὴ ὁμώνυμος καὶ οὐ γένος. οὐδὲ φύσις
ἀφωρισμένη ὑπάρχουσα ἑκάστῳ τῶν κατὰ μέρος, ὡς τὰ γένη ἐστίν. ἄλλως
τε δὲ ἅπαντα τὰ πράγματα ἢ ἀπροσδιορίστως λέγομεν ἢ μετὰ προσδιορι-
σμοῦ. προσδιορισμοὶ δὲ εἰσι τέσσαρες· πᾶς, τίς, οὐ πᾶς, οὐδείς. καί φασιν 20
20 αὐτοὺς εἰρῆσθαι προσδιορισμούς διὰ τὸ ἐξ αὐτῶν ὁρίζειν τὸν διαλεγόμενον,
εἴτε περὶ καθολικοῦ διαλέγεταί τινος εἴτε καὶ μερικοῦ· ἐὰν μὲν γὰρ εἴπῃ
'πᾶς', καθολικὸν σημαίνει, ἐὰν δὲ 'τίς', μερικόν. τούτων τοίνυν οὕτως
ἐχόντων, ἐπειδὴ δέδεικται τοῖς φιλοσόφοις ἅπασιν ὅτι τὸ ἀπροσδιορίστως
τι λέγειν ἰσοδυναμεῖ τῷ μετὰ προσδιορισμοῦ μερικοῦ οἷον τοῦ τίς (τῷ γὰρ
25 'τὶς ἄνθρωπος ἦλθεν' ταὐτόν ἐστι τὸ 'ἄνθρωπος ἦλθεν'), εἰ ταῦθ' οὕτως
ἔχει, καὶ ὁ Πορφύριος ἄρα ἀπροσδιορίστως εἰρηκὼς ὄντος καὶ προσθεὶς τὸ 25
ἀναγκαῖον ἔλαβε μερικὸν τὸ ὄν, ὡς ἂν εἰ ἔλεγε 'τὶ ὂν ἀναγκαῖόν ἐστι'·
μερικὸν δὲ ὂν ἐπίσης ἐστὶ τῷ ἀναγκαίῳ, ὡς καὶ αὐτοὶ ὁμολογοῦσιν. ὥστε
καὶ εἰ μὴ φωνὴ ψιλὴ τὸ ὂν ἦν, ἀλλὰ πρᾶγμα ἰδίαν ὑπόστασιν ἔχον ὡς

---

1 θεωρούμενόν τε καὶ D: om. EMVp 2 εἶναι αὐτὸ colloc. EMVp αἰσθητικὴν τὴν ἔμψυχον (sed τὴν del.) E: αἰσθητικὴν ἔμψυχον p 2. 3 ἐπεὶ οὖν ὅσα V 3 οἰκείαν DMV: ἰδίαν Ep 4 ὅσα DEp: in lit. M: τὰ V ταῦτα D: om. EMVp ἔστιν EMVp: εἰσὶν D 5 τι δεῖ] δή τι V 6 εἶναι (prius) om. EV εἶναι ἑτέρων colloc. M 7 μόνον DMp: μόνου EV 8 καὶ τῷ ἐνδεχομένῳ om. V 9 εἰ DEMp: καὶ V εἶναι λέγουσι colloc. V 11. 12 προτέρου — ὑστέρου] προτερεύοντος οὔτε ὑστεροῦντος p 12 οὖν om. V 16 οὐδὲ] οὐ E post φύσις add. τις EMVp: om. D 17 post ἀφωρισμένη add. καὶ κεχωρισμένη p ὑπάρχουσα post μέρος transp. EMVp post μέρος add. φύσεων V 18 δὲ om. V 21 καθολικοῦ DMV: καθόλου Ep διαλέγεται] ὁρίζεται p καὶ] περὶ p (fort. recte) μὲν om. V εἴποι V 22 καθολικὸν DMV: καθόλου Ep ἐὰν δὲ εἴπῃ τίς, μερικὸν ἔδειξε M 24 μερικοῦ οἷον τοῦ τίς scripsi: μερικῶ οἷον τῶ τίς D: τῶ τις EM: μερικῶ οἷον τὸ τίς V: μερικῶ τῶ τίς p 24. 25 τῷ γὰρ . . . ταὐτόν ἐστι τὸ DE: τὸ γὰρ . . . ταὐτόν ἐστι τῷ MVp 26 post ὄντος add. ἀναγκαίου DEVp: om. M 26. 27 καὶ προσθεὶς τὸ ἀναγκαῖον codd.: καὶ μὴ προσθεὶς παντός p 27 μερικὸν ἔλαβε colloc. EMVp 29 εἰ καὶ colloc. Vp ἀλλὰ καὶ πρᾶγμα EMV

τὸ ζῷον, οὐ κακῶς κατηγόρησε τὸ ἀναγκαῖον τοῦ ὄντος ἀπροσδιορίστως 9v
αὐτοῦ κατηγορήσας. ἔτι δὲ ὅτε μὲν τὰ πράγματα βουλόμεθα σημᾶναι,
ἕκαστον αὐτῶν ὅλον, κατ' εὐθεῖαν πτῶσιν σημαίνομεν ὁ ἄνθρωπος ὁ ἵππος 30
ὁ βοῦς, ὅτε δὲ μέρος τι τῶν πραγμάτων ἢ περὶ τὰ πράγματά τι ὑπάρχον,
5 διὰ τῆς γενικῆς σημαίνομεν· οἷον ἐὰν εἴπωμεν τοῦ Σωκράτους, ἢ τῶν
μερῶν αὐτοῦ τι σημαίνομεν ὡς τὴν χεῖρα ἢ τὴν κεφαλήν, ἢ τῶν περὶ
αὐτόν τι οἷον τὸν οἶκον ἢ τὸ βιβλίον. ὁ οὖν Πορφύριος εἰ μὲν εἰρήκει
'τὸ ὂν ἀναγκαῖόν ἐστι' διὰ τῆς εὐθείας, τὸ πρᾶγμα αὐτὸ ἔμελλε σημᾶναι,
καὶ οὕτως ἂν ἔδοξεν ἴσως τοῦ ὅλου τὸ μέρος κατηγορεῖν· ἐπειδὴ δὲ εἶπεν 35
10 ὄντος ἀναγκαίου διὰ τῆς γενικῆς, ἀνάγκη δήπου ἢ μέρος τοῦ πράγμα-
τος ἢ τῶν περὶ τὸ πρᾶγμά τι δηλοῦν. μέρους δέ τινος τῶν περὶ τὸ ὂν
ἐπίσης ἐστὶ τὸ ἀναγκαῖον, ὡς ἄνθρωπος ἐπίσης ἐστί τινος ζῴου καὶ ἡ χεὶρ
ἐπίσης ἐστί τινος τῶν τοῦ ἀνθρώπου. καὶ κατὰ τοῦτον οὖν τὸν λόγον,
εἰ καὶ ἰδίαν ὑπό|στασιν ἔχειν τις λέγει τὸ ὄν, οὐ κακῶς κατηγόρησε τοῦ 10r
15 ὄντος τὸ ἀναγκαῖον ὁ Πορφύριος, ἐπειδὴ καὶ τοῦτο δεδώκαμεν· κατὰ γὰρ
τοῦ ἴσου τὸ ἴσον κατηγόρησεν. ἔτι μέντοι καὶ κατὰ ἄλλον λόγον δείκνυται
μὴ ὂν γένος τὸ ὂν μήτε τῶν εἰρημένων τριῶν, μήτε τῆς οὐσίας καὶ τοῦ 5
συμβεβηκότος καὶ τῶν λοιπῶν κατηγοριῶν. ἐν οἷς γὰρ πρῶτόν τι καὶ δεύ-
τερον, τούτων τὸ κοινῶς κατηγορούμενον γένος οὐκ ἔστιν· τὸ γὰρ γένος
20 εἰδῶν ἐστι γένος, τὰ δὲ εἴδη κατὰ τὸν αὐτὸν χρόνον ὑφίσταται, καὶ ἐν
ἑαυτῷ ἕκαστον ἔχει τὸ εἶναι, οὐκ ἐν ἄλλοις. εἰ δὲ καὶ τὸ συμβεβηκὸς
δεύτερόν ἐστι τῆς οὐσίας καὶ ἐν ἐκείνῃ ἔχει τὸ εἶναι, καὶ τὸ ὑπάρχον δεύ-
τερον τοῦ ἐνδεχομένου καὶ ἐν ἐκείνῳ ἔχει τὸ εἶναι, ὁμωνύμως ἄρα κατὰ
τούτων ἀλλ' οὐ συνωνύμως τὸ ὂν κατηγορηθήσεται· οὐ γάρ ἐστι γένος, 10
25 ἐπειδὴ πρῶτά τινα καὶ δεύτερα ἐν τούτοις φαίνεται. πόθεν δῆλον ὅτι τὸ
συμβεβηκὸς ἐν τῇ οὐσίᾳ ἔχει τὸ εἶναι καὶ ἐν τῷ ἐνδεχομένῳ τὸ ὑπάρχον,
ἀλλ' οὐκ ἐν ἑαυτοῖς; ὅτι ἀναιρουμένης τῆς οὐσίας καὶ τοῦ ἐνδεχομένου
συναναιρεῖται καὶ τὸ συμβεβηκὸς καὶ τὸ ὑπάρχον. εἰ δὲ ἦν εἴδη ἐκ τοῦ

---

1 οὐ del. M 2 βουλόμεθα] βουληθῶμεν EM 3 ἕκαστον αὐτῶν ὅλον D: om. EMVp post πτῶσιν add. αὐτὰ p post σημαίνομεν add. λέγοντες p: malim οἷον 4 τὰ πράγματα] τὸ πρᾶγμα V 5 Σωκράτους] σώματος M ἢ om. M 6 τι αὐτοῦ colloc. V 6. 7 περὶ αὐτά M 8 αὐτὸ] αὐτὸς M ἤμελλε V 9 ἴδως ἔδοξε colloc. EMVp τὸ τοῦ ὅλου colloc. p εἶπεν ὄντος ἀναγκαίου D: ὄντος εἶπε (ἀναγκαίου om.) EMVp 11 τῶν περὶ τῶν πρᾶγμα V δὲ καί τινος V 13 ἐστὶ] ἔσται M οὖν] αὖ E τὸν λόγον οὖν (numeris superscr. corr.) colloc. V[1] 14 λέγει τις colloc. EMVp οὐ κακῶς Ep: om. DMV (cf. v. 1) 17 εἰρημένων D: προειρημένων EMVp post τριῶν add. τοῦ τε ἀναγκαίου καὶ τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος p οὐσίας τε καὶ p 20 ὑφίστανται DV ἐν om. V 21 ἑαυτῷ D: ἑαυτοῖς EMVp ἕκαστον EMVp: om. D ante οὐκ add. καὶ V ἄλλοις DM: ἀλλήλοις EVp εἰ δὲ — καὶ ἐν ἐκείνῳ ἔχει τὸ εἶναι (23) om. V εἰ δὲ DMp: ἀλλὰ E 22. 23 δεύτερόν ἐστι p 24 ἀλλ'] καὶ M 25 πρῶτά τινα καὶ δεύτερα DMV: πρῶτα καὶ δεύτερα E: τὸ πρῶτον καὶ τὸ δεύτερον p 26 ἔχει τὸ εἶναι ἐν τῇ οὐσ. colloc. M 27 ἑαυτοῖς] αὐτοῖς Ep 28 καὶ (ante τὸ συμβ.) DV: om. EMp post εἴδη add. αὐτῆς E

ὄντος αὐτοῖς ἀντιδιῃρημένα καὶ μὴ ἐν ἐκείνοις εἶχε τὸ εἶναι, οὐκ ἂν τού- 10r
των τῶν εἰδῶν ἀναιρουμένων οἷον τῆς οὐσίας καὶ τοῦ ἐνδεχομένου συναν- 15
ρεῖτο τὸ ἕτερον· οὐ γὰρ εἴ τι εἶδος φθαρῇ τοῦ ζῴου οἷον κύων ἢ ἵππος,
συναναιρεῖ καὶ τὰ ἄλλα εἴδη οἷον ἄνθρωπον ἢ βοῦν ἢ κάμηλον ἢ ἄλλο τι
5 τῶν λοιπῶν εἰδῶν. κατὰ τοσούτους γοῦν τρόπους καὶ τὸ τῆς ἀπορίας
ἄλογον δέδεικται καὶ τὸ τῶν λύσεων γλαφυρόν.

p. 1,3 Ὄντος ἀναγκαίου, Χρυσάορι, καὶ εἰς τὴν τῶν παρὰ 10v
Ἀριστοτέλει Κατηγοριῶν διδασκαλίαν τοῦ γνῶναι τί γένος καὶ 6
τί διαφορά.

10 Ὁ γὰρ Ἀριστοτέλης ἐν ταῖς Κατηγορίαις περὶ γενικωτάτων φωνῶν
διαλέγεται καὶ διαφοραῖς αὐτὰς χωρίζει καὶ ἰδίοις. εἰ οὖν ἐκεῖ περὶ γενῶν
καὶ διαφορῶν καὶ ἰδίων ὁ Ἀριστοτέλης διαλέγεται, τὸ ἄρα γνῶναι τί ἐστι

---

1 αὐτοῖς ἀντιδ.] αὐτοῖς ἀντιδιῃρημένα D: ἀντιδιδόμενα E: αὐτὰ ἀντιδῃρημένα M: ἐπ' αὐτοῖς ἀντιδιῃρημένα V: ἀντιδιῃρημένα p 1. 2 τούτων τῶν DMp: τοῦτο ἦν τῶν EV (sed τοῦτο oblitt. V) 2 ἀναιρουμένης E 2. 3 συναν̣ῃρεῖτο D¹M: συνανῃρῆτο D²: συναναιρεῖται Ep: τὸ συναναρεῖσθαι V 3 τὸ ἕτερον] καὶ αὐτὰ V φθαρῇ DEM: φθαρείη Vp 4 συναναιρεῖται V ἄλλα] ἕτερα p ὁ ἄνθρωπος ἢ βοῦς (ἢ κάμηλον om.) V 5 γοῦν om. D (fort. recte) 6 post γλαφυρόν add. τινὲς πάλιν αἰτιῶνται τὴν ἀρχὴν ὡς κακῶς ἔχουσαν καί φασιν· εἰ γὰρ τὸ ὂν τῶν ὁμωνύμων ἐστὶ τὸ δὲ ὁμώνυμον ἀόριστον, τὸ ὂν ἄρα ἀόριστον. οὐ δεῖ δὲ τὴν ἀρχὴν ἀπὸ ἀορίστου ποιεῖσθαι. φαμὲν οὖν ὅτι οὐκ ἔστιν ὁμώνυμον τὸ ὄν, ἀλλ' ὡς ἀφ' ἑνὸς μέν, ὡς ἀπὸ τῆς ἰατρικῆς ἰατρικὸν βιβλίον, ἰατρικὸν ἐργαλεῖον. πρὸς ἓν δὲ βλέπουσι τὸ ἰατρικὸν ἐργαλεῖον καὶ τὸ ἰατρικὸν φάρμακον, τὴν ὑγείαν. τί δέ ἐστι τὸ ἀφ' ἑνός, ἐν ταῖς κατηγορίαις εἰσόμεθα. καὶ διὰ τί τὸ ὂν τοῦ ἀναγκαίου προέταξε; λέγομεν οὖν ὅτι διὰ τρεῖς αἰτίας· μίαν μὲν ὡς καθολικώτερον τὸ ὂν προέταξε, κατὰ δευτέραν δὲ διὰ τὸ εὐφραδές· εἰ γὰρ εἶπεν ἀναγκαίου ὄντος, οὐχ οὕτως ἔμελλεν εἶναι ἡ φράσις εὔφωνος, ἔχουσα τὸ κεχηνός· κατὰ δὲ τρίτην αἰτίαν, ἵνα ἀπὸ τῶν γενικωτάτων ἀρχώμεθα. οὕτως οὖν ἀπὸ γενικωτάτων ἄρξασθαι βουλόμενος ὁ πορφύριος τὸ ὂν προέταξε. διὰ τί δὲ οὐκ εἶπε δικαίου ἢ ἀγαθοῦ ἢ χρησίμου, ἀλλ' ἀναγκαίου; ῥητέον οὖν ὅτι ἀπό τινος διττῆς διαιρέσεως. ἰστέον δὲ ὅτι τὰ δύο ταῦτα ἀλλήλοις παρακείμενά εἰσι, τὸ ἀγαθὸν καὶ τὸ ἀναγκαῖον. καὶ ἀγαθὸν μέν ἐστι τὸ δι' ἑαυτὸ αἱρετόν, οἷον ἡ εὐδαιμονία, ἡ εὐσέβεια, χρήσιμον δὲ τὸ ἀντιδιαστελλόμενον τῷ ἀναγκαίῳ, ὅπερ οὔτε παρὸν σώζει οὔτε ἀπὸν φθείρει, ὡς ἡ τοιάδε ἐσθής. ἀναγκαῖον δὲ ὃ παρὸν σώζει καὶ ἀπὸν φθείρει, ὡς ἡ ἀναπνοή. πάλιν δὲ ἀναγκαῖον διττόν, ἢ τὸ δι' ἑαυτὸ αἱρετόν, ὅπερ οὐδὲν τοῦ ἀγαθοῦ διαφέρει, οἷον ἡ εὐδαιμονία, ἡ ὑγεία, ἢ τὸ δι' ἄλλο αἱρετόν, ὡς τὸ φλεβοτομεῖν καὶ τὸ φάρμακον. κατὰ οὖν τὸ πρῶτον σημαινόμενον ἡ τῶν πέντε φωνῶν γνῶσις ἀναγκαία, διὰ τὸ συμβάλλεσθαι ἡμῖν εἰς τὰς κατηγορίας καὶ εἰς τὴν λογικὴν μέθοδον. τοῦτο δὲ τὸ ἀναγκαῖον ἑξαχῶς λέγεται. λέγεται ἀναγκαῖον ἡ ὕλη, λέγεται ἀναγκαῖον καὶ τὸ λογικὸν τῷ ἀνθρώπῳ, | λέγεται ἀναγκαῖον καὶ τὸ δι' αὐτὸ μὲν φευκτόν, δι' ἕτερον δὲ αἱρετόν, λέγεται ἀναγκαῖον καὶ τὸ δι' αὐτὸ αἱρετόν, λέγεται πάλιν ἀναγκαῖον καὶ τὸ δι' ἑαυτὸ μὲν οὔτε αἱρετὸν οὔτε φευκτόν, δι' ἄλλο δὲ αἱρετόν, ὥς τινα τῶν φαρμάκων, καὶ τὸ δι' ἑαυτὸ καὶ δι' ἄλλο αἱρετόν. κατὰ τοῦτο οὖν τὸ τελευταῖον σημαινόμενον τοῦ ἀναγκαίου ἐστὶ τὸ παρὸν σύγγραμμα ἀναγκαῖον, διὰ τὸ δι' ἑαυτὸ καὶ δι' ἄλλο ἀναγκαῖον εἶναι p (cf. David, Brand. p. 19a21 sq.) 8 ἀριστοτέλην E 10 καὶ ἐν ταῖς V περὶ τῶν γενικωτάτων M 11 καὶ (prius) iterat D αὐτὰς DEp: αὐτὰ M: αὐταῖς V

γένος καὶ τί διαφορὰ καὶ τί εἶδος καὶ τί ἴδιον εἰκότως χρήσιμον πρὸς 10v
εὐχερεστέραν ἐκείνων κατάληψιν. κέχρηται δὲ τῷ καὶ συνδέσμῳ συμ- 11
πλεκτικῷ. ἐπειδὴ οὐ μόνον εἰς τὰς Ἀριστοτέλους Κατηγορίας ἐστὶ χρήσι-
μον, ἀλλὰ καὶ εἰς ἅπερ ὑποκατιὼν αὐτὸς λέγει. τινὲς δέ φασιν αὐτὸν εἰρη-
5 κέναι καὶ εἰς τὰς Ἀριστοτέλους Κατηγορίας ὡς καὶ εἰς τὰς Ἀρχύ-
του χρησιμευούσης τῆς τούτων τῶν πέντε φωνῶν γνώσεως· καὶ γὰρ κἀ-
κεῖνος ἔγραψε Κατηγορίας. ἄτοπον δὲ τοῦτο λέγειν αὐτοῦ τοῦ Πορφυρίου 15
καὶ τὰ λοιπὰ διασαφήσαντος, εἰς ἅ ἐστιν ἥ τε τοῦ γένους καὶ ἡ τῆς δια-
φορᾶς καὶ ἡ τῶν λοιπῶν γνῶσις χρήσιμος. τὴν δὲ διαφορὰν προέταξε τοῦ
10 εἴδους, ἐπειδὴ φυσικῶς προτερεύει τοῦ εἴδους. καὶ τοῦτο ἐν τῷ οἰκείῳ
τόπῳ ἐπελθόντες δείξομεν. καὶ νῦν περὶ ὧν ὁ Πορφύριος προτίθεται τὴν
διδασκαλίαν ποιεῖσθαι (περὶ γὰρ γένους, διαφορᾶς, εἴδους, ἰδίου καὶ συμ-
βεβηκότος) ἐστὶν ἡ διδασκαλία.

Ἄξιον δὲ ζητῆσαι ἐνταῦθα τί δήποτε οὕτως κατὰ τάξιν ἔθετο τὰς 20
15 φωνὰς ὁ φιλόσοφος· οὐ γὰρ ἀνάγκην εἶχε τοῦτο μάτην ποιῆσαι. ἀλλ' εἰ
βουλόμεθα τοῦτο γνῶναι, μικρὸν ἄνωθεν ἀρξώμεθα. εἰδέναι δεῖ ὅτι ἔστι
τινὰ ἐν τοῖς πράγμασι καὶ μερικὰ καὶ καθολικά. ἐπειδὴ γὰρ ἔμελλον τὰ
μερικὰ φθείρεσθαι καὶ οἷον ἀπόλλυσθαι, γενικώτερόν τι τούτων ἐπενόησεν
ἡ φύσις περιλαμβάνον πάντα καὶ διασῶζον τὴν ἑκάστου μορφήν, καὶ τοῦτο
20 γένος ἢ εἶδος καλεῖται. ἵνα δὲ μὴ ἀνεννόητοι αὐτῶν ὦμεν καὶ τῆς τάξεως 25
τὴν αἰτίαν μάθωμεν, εἴπωμεν ὡς ἐν παραδείγματι τί ἐστιν ἕκαστον. Σω-
κράτην μὲν οὖν καὶ Πλάτωνα καὶ Ἀλκιβιάδην καὶ τοὺς κατὰ μέρος καλοῦ-

1 καὶ τί εἶδος om. EMV: post ἴδιον transp. p εἰκότως om. p 2. 3 συμπλεκτικῷ ante συνδέσμῳ transp. EMV: om. p 3 ἐπειδὴ DEM: ἐπεὶ Vp μόνον] μόνως D Ἀριστοτέλους D: om. EMVp 3. 4 ἐστὶ χρήσιμον post μόνον transp. V 4 δὲ om. M 4. 5 εἰρηκέναι] λέγειν M 5 ὡς EMVp: om. D 5. 6 τοῦ ἀρχύτου M 6 τῶν πέντε φωνῶν om. V 6. 7 κἀκεῖνος Dp: ἐκεῖνος EMV 8 ἡ (post καὶ) om. Ep 9 ἡ om. V τὴν δὲ διαφορὰν — διδασκαλία (13) eicias 10 ἐπειδὴ DEM: ἐπεὶ Vp προτερεύει EMp: πρωτεύει DV post εἴδους add. διὰ τί δὲ τὸ γένος προέταξε τῆς διαφορᾶς ἐν τῇ διδασκαλίᾳ p καὶ om. p 10. 11 ἐν τῷ οἰκ. τ. ἐπελθόντες δείξομεν EMV: ἐλθόντες ἐν τῷ οἰκ. τ. λέξομεν D: ἐν τῷ οἰκ. τ. ἀπελθόντες δείξομεν p 11 καὶ νῦν] νῦν δὲ p περὶ ὧν τινων V post ὧν add. βοᾶ (?) M 12 ποιεῖσθαι] εἶσθαι in ras. D περὶ γὰρ D: περὶ EMV: ταῦτα εἰσί p γένος, διαφορὰ, εἶδος, ἴδιον καὶ συμβεβηκός p εἴδους καὶ διαφορᾶς E καὶ om. M 13 ἐστὶν ἡ διδασκαλία D: om. EMVp 14 ζητῆσαι] ἀπορῆσαι V κἀνταῦθα] ἐνταῦθα p τί δήποτε] διατὶ M 14. 15 κατὰ τάξιν ἔθετο τὰς φ. D: ἐπέθηκε (ἔθηκε M) τὰς φ. κατὰ τάξιν EM: κατὰ τάξιν ἔθηκε τὰς φ. Vp 15 φιλόσοφος] πορφύριος p μάτην Dp: om. EMV 16 βουλόμεθα Dp: βουλοίμεθα EMV εἰδέναι δὲ δεῖ EMV 17 καὶ μερικὰ καὶ καθολικά D: καὶ καθολικὰ καὶ μερικά E: καθολικὰ καὶ μερικά MV: καὶ καθόλου καὶ μερικά p ἤμελλον V 18 ἀπόλλυσθαι] ἀπολύεσθαι p γενικ. τι τούτων post φύσις transp. EMVp 19 περιλαμβάνον — τοῦτο omisisse videtur V, nam loco verborum τούτων — τοῦτο IV litt. oblitteratae sunt 20 ἀνεννόητοι] ἀνόητοι p αὐτῶν] αὐτοὶ V post ὦμεν add. φέρε V 21 εἴπωμεν οὖν E: εἴπωπεν δὲ V ἕκαστόν ἐστι colloc. EM 22 καὶ Ἀλκιβιάδην om. EMVp

σιν οἱ φιλόσοφοι μερικὰ καὶ ἄτομα, ὁμοίως δὲ καὶ Ξάνθον καὶ Βαλίαν καὶ 10v
τόνδε τὸν ἵππον. τὰ δὲ τῶν κατὰ μέρος περιεκτικὰ προσεχῶς καλοῦσιν
εἴδη, οἷον τὸν καθόλου ἄνθρωπον (περιέχει γὰρ τοὺς κατὰ μέρος ὁ καθό-
λου) καὶ τὰ ἄλλα ὁμοίως, τὰ δὲ τούτων πάλιν περιεκτικὰ καλοῦσι γένη 30
5 οἷον τὸ ζῷον· περιέχει γὰρ ἵππον καὶ ἄνθρωπον. μέσαι δὲ τούτων αἱ διαφοραί εἰσιν. διαφορὰ δέ ἐστιν, ὡς αὐτὸς ὁ Πορφύριος προϊὼν ἐρεῖ, ᾗ διενήνοχεν ἕτερον ἑτέρου· κατὰ ταύτην γὰρ ἡ διαφορὰ τῶν πραγμάτων διαφαίνεται, ἐπεὶ κατὰ γένος οὐδεμία γίνεται διαφορὰ ἔκδηλος· οἷον τὸ ζῷον γένος ὑπάρχει, καθ' ὃ οὐδὲν ἄλλο διαφέρει ἄλλου (πάντα γὰρ ζῷα
10 καλοῦνται καὶ ἵππος καὶ κύων καὶ βοῦς καὶ ἄνθρωπος), ἐὰν δὲ εἴπω ὅτι 35
τοῦ ζῴου τὸ μέν ἐστι λογικὸν τὸ δὲ ἄλογον, ὑποδιελὼν ἐποίησα τὴν διαφοράν, καθ' ἣν ἐφάνη διαφέρων ὁ ἄνθρωπος τοῦ ἵππου καὶ τοῦ βοὸς καὶ τῶν λοιπῶν ἀλόγων· λογικὸν μὲν γὰρ λέγεται τὸ μετὰ λόγου καὶ κρίσεώς τινος διάγον οἷον ἄνθρωπος ἄγγελος, ἄλογον δὲ τὸ χωρὶς λόγου καὶ κρί- 11r
15 σεως οἷον ἵππος καὶ βοῦς καὶ τὰ ἄλλα ἄλογα ζῷα. ὥστε οὖν αὕτη μερικωτέρα μέν ἐστι τῶν γενῶν, καθολικωτέρα δὲ τῶν εἰδῶν, οἷον τὸ λογικὸν καὶ τὸ θνητόν· τὸ γὰρ λογικὸν μερικώτερον τοῦ ζῴου (περιέχει γὰρ τοῦτο τὸ ζῷον τὸ λογικόν τε καὶ ἄλογον), καθολικώτερον δὲ τοῦ εἴδους· περιέχει γὰρ πολλὰ εἴδη τὸ λογικόν, ἄγγελον γὰρ καὶ ἄνθρωπον. 5
20 ἄλλως τε δὲ μερικώτερόν ἐστι τοῦ γένους ἡ διαφορά, καθὸ ὑπὸ τὸ γένος πέπτωκε, καθολικώτερον δὲ τοῦ εἴδους, καθὸ αὕτη δύο τινῶν ἐστι περιεκτικὴ τοῦ λογικοῦ τε καὶ ἀλόγου, ὑφ' ἃ πάντα τὰ ζῷα πέπτωκε. τὸ δὲ εἶδος ἑνὸς μόνου ἐστὶ περιεκτικὸν οἷον ἀνθρώπου ἵππου ἢ ἄλλου τινός. τὸ δὲ ἴδιον ἑνὶ μόνῳ εἴδει ὑπάρχει, οἷον ἴδιον τοῦ ἀνθρώπου τὸ γελαστικὸν
25 λέγεται· αὐτῷ γὰρ μόνῳ ὑπάρχει καὶ παντί. συμβεβηκὸς δέ ἐστι τὸ 10

---

1 ξανθὸν M Βαλλίαν D: βάλιον V (cf. p. 17, 19) καὶ (ante τόνδε) om. M
2 προσεχῶς — περιεκτικά (4) om. MV: καλοῦσιν — περιεκτικὰ om. E 3 τοὺς p: τὰ D
4 τῶν τούτων p 5 ἵππον καὶ ἄνθρ. DM: ἄνθρ. καὶ ἵππον E: καὶ ἵππον καὶ ἄνθρ. V: καὶ ἄνθρ. καὶ ἵππον p μέσαι δὲ DV: καὶ μέσα δὲ EM: μέσα δὲ p 5. 6 αἱ διαφοραί εἰσιν DEM: αἱ διαφοραί V: εἰσὶν αἱ διαφοραί p 6 προϊὼν ὁ πορφ. colloc. M
7 ταύτην DEV: ταῦτα M: τοῦτο p 8 διαφαίνεται] διαφέρεται V ἐπεὶ] ἐπειδὴ V γίνεται post ἔκδηλος transp. EM 9 ὑπάρχει DEp: ὑπάρχον MV καθ' ὃ οὐδὲν] καθὸ οὐδὲν D: κατ' οὐδὲν EV: καὶ κατ' οὐδὲν M: καὶ κατ' αὐτὸ οὐδὲν p ἄλλου διαφέρει colloc. EMVp 10 καὶ ἄνθρ. καὶ ἵππος καὶ βοῦς καὶ κύων colloc. M
δὲ] γὰρ p 11 ἐστι om. E: post λογικὸν transp. M 12 τοῦ ἵππου καὶ τοῦ βοὸς D: ἵππου καὶ βοὸς EMp: ἵππου V 15 καὶ (ante βοῦς) om. E οὖν om. p
17 post μερικώτερον add. ἐστι M 17. 18 τοῦτο τὸ ζῶον τὸ λογικόν τε καὶ ἄλογον D: τὸ ζῶον τοῦτο τὸ λογικὸν δηλονότι καὶ τὸ ἄλογον EMp: τὸ ζῶον τοῦτο τὸ λογικὸν καὶ τὸ ἄλογον V; fort. τὸ ζῷον eicias (cf. v. 21) 19 γὰρ om. V 20 τε δὲ Dp: τε δὲ καὶ EM: τε V μερικώτερον D: μερικωτέρου E: μερικωτέρα MVp ἐστι om. D ἡ διαφορὰ τοῦ γένους colloc. V 21 καθολικώτερον DE: καθολικωτέρα MVp αὕτη] αὐτὴ V 22 τοῦ ἀλόγου EMVp 23 post μόνου add. τινός M
ἢ ἵππου p 24 ἑνὶ μόνῳ εἴδει D: ἑνὶ μὲν εἴδει μόνῳ EMVp post ὑπάρχει add. καὶ παντὶ p 24. 25 τοῦ ἀνθρ. ἴδιον λέγεται τὸ γελ. colloc. EMVp 25 post παντὶ add. καὶ ἀεί p

δυνάμενον δίχα τινὸς βλάβης ἀπογενέσθαι τοῦ ἐν ᾧ ἐστιν, οἷον λευκὸν μέλαν 11r
καθῆσθαι ἑστάναι. τούτων οὖν τὰ μὲν συμπληρωτικά ἐστι τῆς οὐσίας
ἤγουν τῆς ὑπάρξεως, τὸ γένος καὶ τὸ εἶδος καὶ ἡ τούτων μέση διαφορά,
ἅτινα οὐσιώδη καλεῖται· ταῦτα γὰρ συμπληρωτικά εἰσι παντὸς ζῴου· ἕκα-
5 στον γὰρ τούτων τῶν τριῶν μετέχει, οἷον Σωκράτης, καθὸ μὲν ζῷον, ἔχει 15
τὸ γένος, καθὸ δὲ λογικὸν θνητόν, ἔχει τὴν διαφοράν, καθὸ δὲ ἄνθρωπος,
τὸ εἶδος· ὁμοίως δὲ καὶ Πλάτων καὶ Ἀλκιβιάδης. τὰ δὲ ἄλλα δύο ἐπεισο-
διώδη καλεῖται, τὸ ἴδιον λέγω καὶ τὸ συμβεβηκός, διότι οὐδὲν εἰς τὸν
τῆς οὐσίας τοῦ ὑποκειμένου συμβάλλεται λόγον. ὧν τὸ μὲν ἴδιον πλησιέ-
10 στερον ὑπάρχει τῶν οὐσιωδῶν, ἐπειδὴ ἀεὶ ὑπάρχει τινί, τὸ δὲ συμβεβη-
κὸς πόρρω ὑπάρχει, ἐπειδὴ πῇ μὲν ὑπάρχει πῇ δὲ οὐχ ὑπάρχει. τὰ αὐ-
τὰ δὲ καὶ χωριστὰ καλεῖται, ἐπειδὴ κατ' ἐπίνοιαν χωριζόμενα οὐδὲν λυ- 20
μαίνεται τῇ οὐσίᾳ τοῦ ὑποκειμένου, ἐπειδὴ εἰ τοῦτο ἦν, ἔδει τοὺς μέλανας
ἀνθρώπους μὴ εἶναι, ὅπερ ἄτοπον, κἂν τοῦ γελᾶν δὲ τὴν δύναμιν ἀπο-
15 βάλλωμεν, οὐδὲν ἧττόν ἐσμεν ἄνθρωποι πάσας τὰς τῶν ἀνθρώπων ἐνερ-
γείας ἐνεργοῦντες. τούτων οὖν οὕτως ἐχόντων ὅρα πῶς ὁ Πορφύριος κατὰ
τάξιν προῆλθε· προέταξε μὲν γὰρ τὰ οὐσιώδη καὶ συμπληρωτικὰ τῆς οὐ- 25
σίας, ὕστερον δ' ἔταξε τὰ ἐπεισοδιώδη. καὶ πάλιν τῶν οὐσιωδῶν προέταξε
μὲν πρῶτον τὸ γένος ὡς καθολικώτερον, εἶτα τὴν διαφορὰν ὡς τούτου
20 μερικωτέραν, εἶτα τὸ εἶδος ὡς ταύτης μερικώτερον. τῶν δὲ ἐπουσιωδῶν
ἐπειδὴ τὸ μὲν ἴδιον πλησιέστερόν ἐστι τῆς οὐσίας, προέταξε μὲν αὐτὸ ὡς
καὶ μᾶλλον συγγενέστερον τοῖς εἰρημένοις, τὸ δὲ συμβεβηκὸς τῆς ἐσχάτης
τετύχηκε τάξεως ὡς μὴ κοινωνοῦν τοῖς εἰρημένοις καὶ αὐτὸ μόνον γινό-
μενόν τε καὶ ἀπογινόμενον χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. 30

---

1 δυνάμενον rescrips. V^2 2 οὖν rescr. V^2 συμπληρωματικά E εἰσι D
3 ἤγουν τῆς ὑπάρξεως D: τῶν πραγμάτων Vp: om. EM (fort. recte); tum pergit τὰ δὲ ἐπείσακτα. καὶ συμπληρωτικὰ μέν ἐστι τῆς οὐσίας τὸ γένος κ. τ. λ. p οἷον τὸ γένος M καὶ (post γένος) Dp: om. EMV ἡ τούτων μέση διαφορά DV: ἡ τούτων διαφορὰ ἡ μέση E: ἡ τούτων διαφορά M: ἡ μέση τούτων διαφορὰ p 4 ταῦτα γὰρ συμπλ. εἰσι παντὸς ζῴου Dp: διὰ τὸ συμπλ. εἶναι παντὸς ζῴου EM: παρὰ τὸ ὡς ἤδη εἴρηται συμπλ. εἶναι παντὸς ζῴου V 5 post μὲν add. γὰρ MVp post ζῷον add. ὁ σωκράτης EMV
5. 6 τὸ γένος ἔχει colloc. E 6 ἔχει D: om. EMVp 7. 8 ἐπεισοδιώδη D: ἐπουσιώδη EMVp 8 καλεῖται] καλοῦνται V post καλεῖται add. καὶ ἐπείσακτα p τό τε ἴδιον p 9 τοῦ in ras. D τοῦ ὑποκειμένου post λόγον transp. D 10 ὑπάρχει om. V 11 οὐχ ὑπάρχει DEp: οὐ MV 11. 12 τὰ αὐτὰ D: ταῦτα EMVp
12 καὶ om. p καλεῖται D: καλοῦνται EMVp 12. 13 λυμαίνεται MV: λυμαίνονται DEp 13 τῇ οὐσίᾳ EMVp: τῆς οὐσίας D ὑποκειμένου scripsi: ἀνθρώπου libri ἐπειδὴ] ἐπεὶ D 14 μὴ εἶναι ἀνθρ. colloc. EMVp κἂν τοῦ DMV: κἀν τῶ E: κἂν p 14. 15 ἀποβάλλωμεν E: ἀπόλλωμεν D: ἀποβάλωμεν M: ἀποβάλλω V: ἀποβάλλομεν p 16 οὖν Dp: om. EMV ὁ φιλόσοφος πορφύριος MV 17 γὰρ om. D συμπληρωματικὰ EMp 18 ὕστερον Dp: ὕστερα EMV ἐπεισοδιώδη D: ἐπουσιώδη EMVp καὶ πάλιν τῶν οὐσιωδῶν om. D προέταξε] scribas ἔταξε
19 πρῶτον EM: πρότερον D: om. Vp 20 ἐπουσιωδῶν] videtur aut ἐπεισοδιωδῶν aut μὴ vel οὐκ οὐσιωδῶν (cf. v. 7) et hic et ubique corrigendum esse 21 ἐστι om. M 23 εἰρημένοις Dp: προειρημένοις EMV (cf. v. 22) ante αὐτὸ add. ὡς EMVp: om. D

Ζητῆσαι δὲ ἄξιον, πῶς ἀντιδιήρηται τῷ γένει καὶ τῷ εἴδει τὸ συμ- 11r
βεβηκός, καίτοι καὶ αὐτὸ τὸ συμβεβηκὸς εἰς εἴδη τε καὶ γένη τεμνόμενον.
λέγω τοίνυν ὡς ἄλλο τί ἐστι σκοπεῖν ἕκαστον τῶν δέκα κατηγοριῶν, καθὸ
ἔχει τὸ εἶναι ἀσχέτως, καὶ ἄλλο ὡς ἀνειληφὸς πρὸς ἕτερον σχέσιν· ἡνίκα
5 μὲν γὰρ αὐτὸ καθ' αὑτὸ ἕκαστον ὅ τι ποτέ ἐστι σκοποῦμεν, φαμὲν τὸ μέν
τι εἶναι οὐσίαν τὸ δὲ ποσὸν τὸ δὲ ποιὸν καὶ τὰ λοιπά· ὅταν δὲ ἀπίδωμεν
εἰς τὰς μετὰ τὴν οὐσίαν κατηγορίας ὡς μὴ ὑφεστηκυίας καθ' αὑτὰς ἀλλὰ 35
δεομένας ἐκείνης πρὸς ὕπαρξιν, συμβεβηκέναι αὐτὰς τῇ οὐσίᾳ φαμέν. πάλιν
ἐν ἑκάστῃ τῶν κατηγοριῶν ὅταν ἀποβλέψαντες ἴδωμεν τὸ μέν τι καθολικώ-
10 τερον τὸ δὲ εἰδικώτερον τὸ δὲ ᾧ τὰ εἰδικώτερα τέμνεται | ἀπὸ τῶν γενι- 11v
κωτέρων, τούτων τὸ μέν τι καλοῦμεν γένος τὸ δὲ διαφορὰν τὸ δὲ εἶδος·
ὥστε τὸ αὐτὸ ἄλλως μὲν θεωρούμενον γένος λέγεται ἢ εἶδος ἢ διαφορά
(καθὸ οὐδὲν διαφέρουσι κατὰ τὰς κατηγορίας), ἄλλως δὲ τὸ μέν τι οὐσία
τὸ δὲ συμβεβηκός.

15 p. 1,5 Εἴς τε τὴν τῶν ὁρισμῶν ἀπόδοσιν καὶ ὅλως εἰς τὰ περὶ
διαιρέσεως καὶ ἀποδείξεως χρησίμης οὔσης τῆς τούτων θεωρίας. 5

Χρὴ εἰδέναι πρῶτον, ὡς ἄλλη ἐστὶν ἡ κατὰ Ἀριστοτέλην διαλεκτικὴ
καὶ ἄλλη ἡ κατὰ Πλάτωνα· ἡ μὲν γὰρ κατὰ Ἀριστοτέλην διαλεκτικὴ
δόξαις ἕπεται πενταχῶς, ὡς ἐν Τοπικοῖς διέταξεν, ἡ δὲ κατὰ Πλάτωνα
20 τετραχῶς γίνεται, κατὰ διαίρεσιν καὶ ὁρισμὸν καὶ ἀπόδειξιν καὶ ἀνάλυσιν.
τὸ οὖν χρήσιμον εἴς τε τὴν τῶν ὁρισμῶν ἀπόδοσιν καὶ εἰς τὰ
περὶ διαιρέσεως καὶ ἀποδείξεως χρήσιμον ἔσται δῆλον ὅτι καὶ εἰς
τὴν κατὰ Πλάτωνα διαλεκτικήν· εἰ δὲ τοῦτο, δῆλον ὅτι καὶ πρὸς πᾶσαν φι- 10
λοσοφίαν. εἰσὶ δέ, ὡς εἴρηται, διαιρετικὴ ὁριστικὴ ἀποδεικτικὴ καὶ ἀνα-
25 λυτική. οὕτως οὖν ἐκληπτέον τὸν νοῦν τοῦ χωρίου, ὡς ἂν εἰ ἔλεγεν ὁ
Πορφύριος ὅτι τοῦτο τὸ σύγγραμμα οὐ μόνον εἰς τὰ τῶν φιλοσόφων συγ-
γράμματα συμβάλλεται, ἀλλ' ὡς εἰ καὶ μὴ ἦν συγγράμματα, εἰς αὐτὰς τὰς

---

1 ἀντιδιήρηται DEV: ἀντιδιαιρεῖται Mp 2 τὸ συμβεβηκὸς om. p τε om p
3 τῶν δέκα κατηγοριῶν D: om. EMVp 4 ἀσχέτως D: om. EMVp ἀνειληφὼς p 6 τι DEMp: τοι V ἀπίδωμεν DEp: ἀποδίδωμεν M: κατ' εἶδος μὲν V
7 ὡς om. MV μὴ ὑφεστ. D: οὐκ ἐφεστ. EMp: οὐ (sic) ὑφεστ. V 8 αὐτὰς] αὐτὸ V 9 ἴδωμεν om. V 9. 10 τὰ μέν τοι καθολικώτερα V 10 τὸ δὲ εἰδικώτερον p: τὸ δὲ ἰδικώτερον DM: τὰ δὲ εἰδικώτερα EV τὰ δὲ ᾧ E τὰ ἰδικώτερα D (sed *ι* in ras.) 11 τι] τοι Vp 12 λέγεται γένος colloc. p 13 καθὸ] καθ' ἃ p οὐδὲν διαφέρουσι] οὐδὲν διαφέρει DMV: οὐδὲ διαφέρει E: διαφέρουσι τὰ p ἄλλως τε δὲ V τι] τοι Vp 17 ὡς D: ὅτι EMVp 18 ἄλλη D: ἑτέρα EMVp τὸν ἀριστοτέλην E 19 ἐν τοῖς τοπικοῖς M (cf. Z p. 139a24) 20 ἀπόδοξιν E 21 τὴν τῶν MVp: τῶν DE τὰ] τὸ EM 22 ἀποδόξεως E¹ ἔσται] ἐστι V δῆλον ὅτι om. V καὶ (ante εἰς) om. E 23. 24 εἰ δὲ τοῦτο — φιλοσοφίαν post ἀναλυτική transponas, nisi malis eicere 23 καὶ om. M 24 post εἴρηται add. τέσσαρες V 25 τοῦ χωρίου MVp: τοῦ χρησίμου D: τοῦ χωρίου τούτου E
26. 27 συμβάλλεται συγγράμματα colloc. Vp 27 ὡς om. p αὐτὰς EMVp: om. D

τῶν φιλοσόφων μεθόδους συμβάλλεται, δι' ὧν δύνανται εὑρεῖν οἱ φιλόσοφοι Πν ἕκαστον τῶν πραγμάτων. τί δέ ἐστιν ἑκάστης τούτων ἔργον, κατὰ τάξιν εἴπωμεν.

Διαιρετικῆς μὲν γὰρ ἔργον ἐστὶ τὸ διαιρεῖν τὸ προτεθὲν γένος εὐτάκτως εἰς τὰς οἰκείας διαφοράς, οἷον τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον εἰς θνητὸν καὶ ἀθανάτον, καὶ μὴ λέγειν ὅτι τοῦ ζῴου τὸ μέν ἐστιν ἄνθρωπος τὸ δὲ ἵππος τὸ δὲ ἄλλο τι καὶ ἄλλο· ἐοίκασι γὰρ οὗτοι, ὡς ὁ θεῖός φησι Πλάτων, τοῖς κακῶς τέμνουσι μαγείροις καὶ μὴ κατ' ἄρθρα τὰ ὄψα, τοῦτ' ἔστιν ἰδιώταις καὶ ἀμεθόδοις ἀνδράσιν. ὁριστικῆς δέ ἐστι τὸ τὸν ὁρισμὸν οἰκείως ἑκάστου τῶν πραγμάτων ἀποδιδόναι. οὗτος δὲ ἕπεται τῷ διαιρετικῷ πρώτῳ ὄντι, ἐπειδὴ καὶ χρήζει αὐτοῦ· οἱ γὰρ ὁρισμοὶ ἐκ γένους εἰσὶ καὶ συστατικῶν διαφορῶν· ἐκ τοῦ οὖν διαιρεθέντος ἤδη γένους ὁ ὁριστικὸς ἐκλέγεται τὰ χρήσιμα πρὸς τὸν ὁρισμόν, οἷον διαιρεθέντος τοῦ ἐμψύχου εἰς ζῷον καὶ φυτὸν καὶ τοῦ ζῴου εἰς λογικὸν καὶ ἄλογον εἰς θνητὸν καὶ ἀθάνατον, ὁ ὁριστικὸς βουλόμενος τὸν ἄνθρωπον ὁρίσασθαι ἐκλέγεται τὸ ζῷον τὸ λογικὸν καὶ τὸ θνητόν. ἀποδεικτικῆς δὲ ἔργον τὸ τὴν ἀπόδειξιν τῶν πραγμάτων ποιεῖσθαι ἐξ αὐτῆς τῆς ἰδίας αὐτῶν οὐσίας· οὐ γὰρ ὥσπερ οἱ ῥήτορες ἐξ ἐνδόξων καὶ πιθανῶν προτάσεων τὰς πίστεις φέρουσι, τοιοῦτόν τι χρῆμά ἐστιν ἡ ἀπόδειξις, ἀλλ' ὥσπερ ὁ Πλάτων τὸν περὶ τῆς ἀθανασίας τῆς ψυχῆς λόγον ἀποδεῖξαι βουλόμενος τῷ λόγῳ τῆς οὐσίας αὐτῆς ἐχρήσατο, λέγων ὅτι ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, τὸ ἀεικίνητον ἀθάνατον, ἡ ψυχὴ ἄρα ἀθάνατος. οὕτω χρὴ καὶ τὸν ἀποδεῖξαι βουλόμενον ποιεῖν· αἱ γὰρ ὄντως ἀποδείξεις ἐκ τῶν ὁρισμῶν γίνονται· οἱ γὰρ ὁρισμοὶ δηλοῦσι τὴν φύσιν τοῦ πράγματος, καὶ δεῖ τὰς ἀποδείξεις γίνεσθαι ἐκ τῆς φύσεως αὐτῆς τῶν πραγμάτων καὶ οὐκ ἐκ τῶν ἔξωθεν παρεπομένων οὐκ ἀναγκαίως. ὥστε οὖν τρίτην τάξιν ἐπέχει ἡ ἀπόδειξις, εἴ γε

---

1 οἱ φιλοσ. εὑρεῖν colloc. V 2 ἐστιν om. Mp ἑκάστης scripsi: ἑκάστου libri 4 διαιρετικῆς DMp: διαιρετικοῦ EV μὲν γὰρ EMp: μὲν V: om. D προστεθὲν E[1] 5 εἰς (tertium) EMVp: om. D (cf. v. 14) 7 τὸ δὲ (ante ἄλλο)] καὶ E οὗτοι EMVp: om. D 7. 8 ὁ θεῖός φησι Πλάτων Dp: ὁ Πλάτων φησί EM: ὁ θεῖος Πλάτων φησί V (cf. Phaedr. p. 265 E) 9 ὁριστικῆς δέ ἐστι D: ὁριστικὴ δέ ἐστι E: ὁριστικὸν δέ ἐστι M: ὁριστικοῦ δέ ἐστι V: ὁριστικῆς δὲ ἔργον ἐστί p τὸν ὁρισμὸν D: τοὺς ὁρισμοὺς EMVp 10 οἰκείους E ἑκάστου D: ἑκάστῳ EMVp 11 ἐπειδὴ] ἐπεὶ D καὶ om. V γένους Dp: γενῶν EMV 12 τοῦ οὖν τοῦ E διαιρεθέντος οὖν γένους ἤδη colloc. M ὁ om. V 13 πρὸς] εἰς V 14 εἰς ζῷον D: εἰς τὸ ζῷον E: εἴς τε τὸ ζῷον M: εἴς τε ζῷον Vp φυτὸν] θνητὸν M τοῦ ζώου] τὸ ζῷον V post ἄλογον add. τὸ λογικὸν V 16 τὸ λογ. καὶ τὸ θνητόν D: καὶ τὸ θνητὸν καὶ τὸ λογ. EMp: καὶ τὸ λογ. καὶ τὸ θνητόν V ἀποδεικτικῆς Dp: ἀποδεικτικοῦ EV: ἀποδεικτικὸν (?) M 18 προτάσεων M: προσώπων DEVp 18. 19 οὐ τοιοῦτον M 19 ὁ Πλάτων] cf. Phaedr. p. 245 C sq. τῆς om. p 20 ἀποδεῖξαι λόγον colloc. M 21 ὅτι om V 22 ἄρα ἡ ψυχὴ V ἀθάνατον V χρὴ] δεῖ p ante τὸν ἀποδεῖξαι add. τὸν ἀποδεικτικὸν V ἀποδείξει E 23 γίνονται om. E 25 ἐκ τῆς φ. αὐτῆς τῶν πραγ. MVp: ἐκ τῶν τῆς φ. αὐτῆς πραγ. D: ἐκ τῆς φ. αὐτῆς πραγ. E 26 οὐκ ἀναγκ. fort. eicias ἐπέχει DEV: ἔχει Mp

τῷ ὁριστικῷ κέχρηται, ὁ δὲ ὁριστικὸς τῷ διαιρετικῷ. ἀναλυτικῆς δὲ ἔργον 11v
τὸ τὰ σύνθετα ἀναλύειν εἰς τὰ ἁπλᾶ, ἐξ ὧν σύγκειται, οἷον τὸν λόγον εἰς 36
ὀνόματα καὶ ῥήματα, καὶ ταῦτα εἰς τὰς συλλαβάς, καὶ ταύτας εἰς τὰ στοι-
χεῖα. καὶ ταῦτα μὲν οἱ γραμματικοί. οἱ δὲ φιλόσοφοι ἐπὶ τῶν πραγμά-
5 των, οἷον τὸν ἄνθρωπον εἰς κεφαλὴν καὶ χεῖρας καὶ πόδας, | καὶ ταῦτα 12r
εἰς ὀστᾶ καὶ σάρκας καὶ νεῦρα, καὶ ταῦτα εἰς τὰ τέσσαρα στοιχεῖα, καὶ
ταῦτα εἰς ὕλην καὶ εἶδος. χρώμεθα δὲ τῇ ἀναλυτικῇ καὶ ἐπὶ συλλογισ-
μῶν ἀναλύοντες αὐτοὺς εἰς τὰς προτάσεις καὶ ταύτας εἰς τοὺς ὅρους, ὡς
ἐν τοῖς Ἀναλυτικοῖς διδάσκει. πρώτη οὖν πασῶν ἡ διαιρετική, δευτέρα ἡ
10 ὁριστική, τρίτη ἡ ἀποδεικτική, τετάρτη ἡ ἀναλυτική. τῶν δὲ τριῶν μόνων 5
ἐμνημόνευσε, διότι τὸ βιβλίον εἰς ταῦτά ἐστι χρήσιμον· διδάσκει γὰρ περὶ
γενῶν καὶ διαφορῶν. ἡ μὲν δὴ διαιρετικὴ διαιρεῖ εὐτάκτως τὰ γένη εἰς
τὰ εἴδη διὰ τῶν οἰκείων διαφορῶν, ἡ δὲ ὁριστικὴ ὁρίζεται ἐκ γένους καὶ
διαφορῶν, ἡ δὲ ἀποδεικτικὴ τὰς ἀποδείξεις ποιεῖται ἐκ τῶν ὁρισμῶν, οἱ
15 δὲ ὁρισμοί, ὡς εἴρηται, ἐκ γένους καὶ συστατικῶν διαφορῶν. [ἄλλως τε
διὰ τὸ τὰς τρεῖς ἀλλήλων δεῖσθαι· τῆς μὲν γὰρ διαιρετικῆς χρῄζει ἡ ὁρι-
στική, ἡ δὲ ἀποδεικτικὴ ἀμφοτέρων, εἴ γε ὁ ἀποδεικνύων τοὺς ὁρισμοὺς 10
τῶν πραγμάτων λαμβάνει διὰ τὸ γνῶναι τὴν οὐσίαν τοῦ πράγματος, ἡ δὲ
ὁριστικὴ χρῄζει τῆς διαιρετικῆς. ἡ δὲ ἀναλυκτικὴ οὐδεμιᾶς χρῄζει· τῇ
20 μὲν γὰρ διαιρετικῇ ἐναντιοῦται, καθὸ ἐκείνη μὲν ἓν λαμβάνουσα πολλὰ
ποιεῖ, ἡ δὲ ἀναλυτικὴ εἰς ἓν τελευτᾷ· λαμβάνουσα γὰρ καὶ ἀναλύουσα τὸν
ἄνθρωπον ποιεῖ εἰς μόρια, καὶ ταῦτα εἰς χυμούς, καὶ τοὺς χυμοὺς εἰς 15
στοιχεῖα, καὶ ταῦτα εἰς ὕλην καὶ εἶδος· τὰ γὰρ στοιχεῖα ἐξ ὕλης καὶ εἴ-
δους σύγκειται. ἄλλως τε ὅτι ἡ μὲν διαιρετικὴ πρόεισιν ἀπὸ τῶν ἁπλῶν
25 ἐπὶ τὰ σύνθετα, ἡ δὲ ἀναλυτικὴ ἀπὸ τῶν συνθέτων ἐπὶ τὰ ἁπλούστερα.
τῷ δὲ ὁριστικῷ, καθὸ οὗτος μὲν συναπτικός ἐστι τῆς οὐσίας, ἐκείνη δὲ

---

1 ἀναλυτικῆς Dp: ἀναλυτικοῦ EMV ἔργον ἐστὶ p 2 ἀναλύειν DMVp: διαλύειν E τὰ (ante ἁπλᾶ) om. EM 3 καὶ (post ῥήματα) om. V 4 ante φιλόσοφοι add. φυσικοὶ Ep: om. DMV 5 καὶ (ante χεῖρας) om. E 6 ὀστέα E ταῦτα DMV: τὰ τοιαῦτα Ep τὰ DMV: om. Ep 7. 8 συλλογισμῶν EMVp: συλλογισμοῖς D 8 τὰς D: om. EMVp τοὺς EMV: om. Dp 9 μὲν οὖν Ep δευτέρα δὲ EMVp 10 τρίτη δὲ Ep ἡ (ante ἀποδεικτ.) superscr. E καὶ τετάρτη Ep μόνων] τούτων E 12 ἡ ... διαιρετικὴ D: ὁ ... διαιρετικὸς EMVp δὴ D: γὰρ EMVp 13 τὰ om. p οἰκείων EMVp: ἰδίων D (cf. p. 35,5) ἡ δὲ ὁριστικὴ D: ὁ δὲ ὁριστικὸς EMVp 14 διαφορῶν D: διαφορᾶς EMVp ἡ δὲ ἀποδεικτικὴ D: ὁ δὲ ἀποδεικτικὸς EMVp 14. 15 οἱ δὲ διορισμοὶ E 15 γένους D: γενῶν EMVp (cf. p. 35,11) συστατικῶν D: om. EMVp ἄλλως τε — διαλλάττουσα (p. 38,3) inclusi 17 ὁ superscr. E 18. 19 ὁ δὲ ὁριστικὸς EMV 19 τοῦ διαιρετικοῦ V 20 γὰρ om. D 21 ἡ δὲ ἀναλυτικὴ εἰς ἓν τελ. vix recte se habet, cf. p. 37,16 Elias p. 430,23 (Cramer) 21. 22 τὸν ἄνθρ. ποιεῖ D: ποιεῖ τὸν ἄνθρ. EM: τὸν ἄνθρ. V: ἀναλύει τὸν ἄνθρ. p; scribas τὸν ἄνθρ. διαιρεῖ secundum Eliam (p. 431,14) 24 σύγκειται DE ὅτι] διότι V ἡ μὲν διαιρετικὴ M: ἡ διαιρετικὴ D: ὁ μὲν διαιρετικὸς EVp 25 ἡ δὲ ἀναλυτικὴ D: ὁ δὲ ἀναλυτικὸς EMVp ante ἀπὸ add. ἐναντιοῦται E 26 post ὁριστικῷ add. ἐναντιοῦται p μὲν om. V ἐκείνη δὲ διαλυτικὴ D^1: ἐκεῖνος δὲ διαλυτικός D^2EMV: ἐκεῖνος δὲ ἀναλυτικός p

διαλυτική. ἄλλως τε εἰ τῷ διαιρετικῷ ἐναντιοῦται, οὗτινος ὁ ὁριστικὸς 12r
χωρὶς οὐ δύναται ὁρίσαι, δῆλον ὅτι καὶ τῷ ὁριστικῷ. ἀλλὰ δὴ καὶ τῷ 20
ἀποδεικτικῷ· εἰ γὰρ ἡ ἀπόδειξις χρήζει τῆς ὁριστικῆς καὶ διαιρετικῆς,
ταύταις δ' ἐναντιοῦται ἡ ἀναλυτική, καὶ τῇ ἀποδεικτικῇ ἄρα ἐναντιοῦται
5 ἡ ἀναλυτική. καὶ διὰ τί τῆς ὁριστικῆς πρῶτον ἐμνημόνευσε, καὶ μὴ τῆς
διαιρετικῆς, καὶ ταῦτα πρώτης ὑπαρχούσης; ἐπειδήπερ προκείμενον ἦν αὐ-
τῷ τῶν προτεθέντων τοὺς ὁρισμοὺς ἀποδοῦναι. διαφέρει δὲ ἡ σύνθεσις
τῆς ἀναλύσεως κατὰ μὲν τὸ ὑποκείμενον οὐδέν· ὥσπερ γὰρ τὸ ἄναντες
ἐστι πάντως καὶ κάταντες, οὕτως καὶ ἡ ἀνάλυσις πάντως ἐστὶ καὶ σύν- 25
10 θεσις. κατὰ δὲ τὴν σχέσιν διαφέρει (ὅταν μὲν γὰρ ἄνωθεν πρόεισιν καὶ
ἐκ τῶν πρώτων ἀρχῶν ἐπὶ τὰ ἔσχατα, σύνθεσίς ἐστιν, ὅταν δ' ἐκ τῶν
ἐσχάτων ἐπὶ τὰς πρώτας ἀρχὰς ἀναβαίνῃ, ἀνάλυσις) καὶ ὅτι ἡ μὲν σύν-
θεσις πρὸς τὸ σύνθετον τελευτᾷ, ἡ δὲ ἀνάλυσις πρὸς τὸ ἁπλοῦν. ὁ γὰρ
ἀναλύων σύνθετόν τι δῆλον ὅτι ἀναλύει, εἴ γε μὴ μέλλοι ταλαιπωρεῖν καὶ
15 ἀδύνατα μοχθεῖν ἁπλοῦν ἀναλῦσαι σπεύδων· τὸ δὲ σύνθετον ἐκ πλειόνων 30
σύγκειται· οὐκοῦν ὁ ἀναλύων εἰς πλείονα ἀναλύει. ψεῦδος ἄρα τὸ τὴν
ἀνάλυσιν εἰς ἁπλοῦν ἀναλύειν τὸ σύνθετον. καὶ τοῦτο μὲν ἐγγὺς ἀληθές,
πλὴν ἔστιν εἰπεῖν, ὅτι εἰς προσεχῆ μὲν πλείονα ἀναλύει, τὸ δὲ ἔσχατον
οὔ. ἔδει οὖν εἰδέναι, ὡς σαφῶς εἰπεῖν, ὅτι τὸ ἁπλοῦν μὲν εἰς πολλὰ σύν-
20 τίθεται, εἰς οὐδὲν δὲ ἀναλύεται, τὸ δὲ ἔσχατον συντεθὲν ἀναλύεται μὲν εἰς
πλείονα, εἰς τὸ ἀνώτατον δὲ συντίθεται οὐκέτι. ἀποροῦσι δέ τινες, διὰ τί 35
τὸν ὁρισμὸν ὕστερον ὄντα τῆς διαιρέσεως προέταξε. καί φαμεν ὅτι πρῶ-
τον μὲν ὡς ἐν ὑποκειμένῳ ἀδιάφορόν ἐστι ὁπωσοῦν συντάττειν, ἔπειτα
δὲ καὶ ὡς πρὸς ἡμᾶς πρῶτόν ἐστι τὰ σύνθετα τὰ διὰ τοῦ ὁρισμοῦ γνω-

---

1. 2 χωρὶς ὁ ὁριστικὸς colloc. p 2 ὁρίσαι DEMV: ὁρίσασθαι p δὴ om. M
3 τῆς ὁριστικῆς καὶ διαιρετικῆς Dp: τῆς διαιρετικῆς καὶ τῆς ὁριστικῆς E: τῆς ὁριστικῆς καὶ τῆς διαιρετικῆς MV 4 καὶ ταύταις δὲ Mp καὶ D: om. EMVp 5 καὶ διὰ τί DVp: καὶ διὰ τοῦτο E: διὰ τί δὲ M τῆς ὁριστικῆς D: ὁριστικῆς EMp: τοῦ ὁριστικοῦ V μὴ D: οὐ EMVp 6 ὑπαρχούσης DEp: οὔσης MV ἐπειδὴ p
7. 8 ἡ σύνθεσις τῆς ἀναλύσεως Dp: ἡ ἀνάλυσις τῆς συνθέσεως EMV 8 τοῦ ὑποκειμένου E[1] 9 πάντως ἐστὶ (prius) colloc. EVp καὶ (post οὕτως) om. EMVp ἐστι πάντως (alterum) colloc. M 10 διαφέρουσι V γὰρ om. MV 10. 11 ἄνωθεν πρόεισι καὶ ἐκ τ. πρ. ἀρ. D: ἄνωθεν καὶ ἐκ τ. πρ. ἀρ. πρόεισιν Ep: ἄνωθεν ἐκ τ. πρ. ἀρ. πρόεισιν M: ἄνωθεν πρόεισιν ἐκ τ. πρ. ἀρ. καὶ πρόεισιν V 11 ἐκ (alterum)] ἀπὸ V 12 ἀναβαίνει p μὲν ἡ colloc. Vp 14 δῆλον ὅτι om. p μέλλει E
15 δὲ EMVp: γὰρ D post πλειόνων add. ἁπλῶν EMVp: om. D 16 ὁ ἀναλύων ἐὰν εἰς πλείονα ἀναλύῃ V post ψεῦδος add. ἦν EMVp 16. 17 τὴν ἀνάλυσιν D: τὸν ἀνάλυτον E[1]: τὸν ἀναλύτην E[2]MV: τὸν ἀναλύοντα p 17 ante ἁπλοῦν add. ἓν p τὸ σύνθετον DVp: τὰ σύνθετα EM καὶ D: om. EMVp 18 ἐγγὺς ἀληθές D: ἐγγὺς ἦν ἀληθείας EMp: ἐγγὺς ἀληθείας V (fort. rectius) εἰς] εἰ M προσεχῆ μὲν πλεῖον ἀνάλυσις D εἰς ἕν EMVp: οὔ D 19 ἔδει DEV: δεῖ Mp
21 ante πλείονα add. προσεχῆ EMVp: om. D ἀνωτάτω EV post δὲ (prius) add. ἓν Vp δὲ (alterum)] οὖν V 22 ὄντα ὕστερον colloc. V ὅτι om. E
23 ὑποκειμένῳ Ep: ὕφει λόγου DMV ἐστι τὸ Ep 24 πρῶτον DEp: πρῶτα MV

ριζόμενα. ὥστε εἰ καὶ μὴ εἰκῇ συνέταττεν, εἰκότως τὸν ὁρισμὸν προέταξε. 12r τὴν δὲ ἀνάλυσιν διὰ τοῦτο παρέλιπεν εἰπεῖν ἴσως, ὅτι ταὐτόν ἐστι τῇ συνθέσει τῷ ὑποκειμένῳ κατὰ τὴν σχέσιν μόνον, ὡς προείρηται, διαλλάττουσα].

5 p. 1,6 Χρησίμης οὔσης τῆς τούτων θεωρίας.

Ἀντὶ τῆς τούτων γνώσεως· θεωρίαν γὰρ καλοῦσιν οἱ φιλόσοφοι τὴν γνῶσιν.

p. 1,7 Ὥσπερ ἐν εἰσαγωγῆς τρόπῳ τὰ παρὰ τοῖς πρεσβυτέροις ἐπελθεῖν. 5

10 Ἐπειδή ἐστι καὶ ἄλλη σύντομος παράδοσις ὑπομνήσεως χάριν κεφαλαιώδης, ἡ σφόδρα ἐστὶ σύντομος καὶ πάνυ διὰ βραχέων γινομένη, διὰ τοῦτο εἶπε σύντομον ὡς ἐν εἰσαγωγῆς τρόπῳ.

p. 1,8 Τῶν μὲν βαθυτέρων ἀπεχόμενος ζητημάτων.

Τρία εἰσὶ τὰ ὀκνηροτέρους ποιοῦντα τοὺς νέους πρὸς τὸ ἐντυγχάνειν
15 τοῖς τῶν παλαιῶν συγγράμμασι, τὸ μῆκος τῶν λεγομένων ὡς τὰ Γαλήνεια, 10
τὸ ἀσαφὲς τῆς λέξεως ὡς τὸ περὶ Ἑρμηνείας, τὸ βάθος τῶν νοημάτων ὡς ἡ Ἀποδεικτική. προτρεπόμενος οὖν ὁ Πορφύριος τὸν ἀκροατὴν ἐπαγγέλλεται τούτων τὸ βιβλίον ἀπηλλάχθαι καὶ μήτε πολύστιχον εἶναι μήτε ἀσάφειαν ἔχειν περὶ τὴν λέξιν, ὡς δηλοῖ τὸ ἐν εἰσαγωγῆς τρόπῳ, μήτε
20 ζητήματα βαθύτερα. ἀλλὰ διὰ τοῦ εἰπεῖν τῶν μὲν βαθυτέρων ἀπεχόμενος ζητημάτων ἐδήλωσεν ἀπηλλάχθαι τοῦτο τοῦ βάθους τῶν δια- 15
νοημάτων, διὰ δὲ τοῦ εἰπεῖν τῶν δὲ ἁπλουστέρων ἐδήλωσεν αὐτὸ

---

2 κατὰ ταὐτὸν D 3 τὴν om. E μόνην ex μόνον corr. E 3. 4 διαλάττουσα D
5 pro lemmate habet θεωρίας δὲ M 6 ἀντὶ τῆς τούτων D: ἀντὶ τοῦ τῆς τούτων EVp: ἀντὶ τοῦ M 10 ἐστι post ἄλλη transp. M: post παράδοσις p ante σύντομος add. τις M
11 χρήσιμός τε καὶ σύντομος V 12 εἰσαγωγῆς] ab—αγωγῆς inc. F post τρόπω add. Ἐν προοιμίοις ὁ πορφύριος παραστήσας ἡμῖν τὸν σκοπόν τε καὶ τὸ χρειῶδες τοῦ προκειμένου συγγράμματος, νῦν ἐπὶ τὸν τρόπον ἦλθε τῆς διδασκαλίας καί φησιν ὁποίῳ τρόπῳ κέχρηται, ὅτι τὸ κεφαλαιότερον εἰπεῖν, εἰσαγωγικωτέρῳ. εἰ γὰρ μήκους μὲν ἀπέχεται λόγου, βάθους δὲ φείδεται θεωρημάτων, καὶ σαφέσι προσεπιτούτοις (sic) λέξεσι φωτίζει τὸν λόγον, συνάγοιτο τοῖς εἰσαγομένοις ἡ προκειμένη γραφή M 13 ἀπεχομένη θεωρημάτων E
14 ὀκνηρότερον E[1] 15 ὡς τὰ Γαλήνεια D: om. EFMVp 16 καὶ τὸ βάθος p
17 ὡς ἡ Ἀποδεικτική D: om. EFMVp 18 τὸ βιβλίον τούτων colloc. p πολύστοιχον Vp 19 ἔχειν] εἶναι MV ὡς δηλοῖ—τρόπω fort. eicias. δηλοῖ] δῆλον M[1]
20 βαθύτερα ζητήματα colloc. E διὰ μὲν V τοῦ εἰπεῖν] τὸ εἰπεῖν p 21 ἀπηλλάχθαι τοῦτο] αὐτὸ ἀπηλλάχθαι p 21. 22 διανοημάτων DFV: νοημάτων EMp
22 τοῦ] τὸ V δὲ om. D

ἀπηλλάχθαι τοῦ ἀσαφοῦς τῶν λέξεων, διὰ δὲ τοῦ εἰπεῖν συμμέτρως 12v
στοχαζόμενος ἐδήλωσεν αὐτὸ ἀπηλλάχθαι τοῦ μήκους τῶν πολλῶν στί-
χων. τῶν δὲ ἁπλουστέρων συμμέτρως στοχαζόμενος οὐ πρὸς τὰ
πράγματα εἶπεν (οὐ γὰρ ἐστι φιλοσόφου τὸ στοχάζεσθαι, ἀλλ' ἐπιστημόνως
5 πάντα δεικνύναι· ῥητόρων γὰρ ὁ στοχασμός), ἀλλὰ πρὸς τὸν ἀκροατὴν Χρυ-
σαόριον, τοῦτ' ἔστι 'στοχαζόμενος τῆς σῆς διανοίας'. ὃ γὰρ ἂν προτίθη- 20
ται διδάσκειν ὁ φιλόσοφος, ἐπιστημονικῶς παραδίδωσιν.

p. 1,10 Αὐτίκα περὶ γενῶν τε καὶ εἰδῶν.

Ὑπέσχετο ὁ Πορφύριος καὶ σύντομον ποιῆσαι τὴν διδασκαλίαν καὶ τὴν
10 λέξιν σαφῆ καὶ τῶν βαθυτέρων ἀπέχεσθαι ζητημάτων. ἵνα οὖν μή τις
εἴπῃ, ὅτι οὐκ ἦν τι περὶ τούτων βαθὺ ζήτημα. αὐτὸ τοῦτο βούλεται παρα-
στῆσαι ἡμῖν ὁ φιλόσοφος διὰ τούτου, ὅτι ἦν μὲν περὶ τούτων βαθύτερόν
τι ζήτημα, ἐξεπίτηδες δὲ παρέλιπεν. ἵνα δὲ σαφὲς γένηται τὸ λεγό-
μενον, εἴπωμεν οὕτως. τῶν ὄντων τὰ μὲν ὑφέστηκε. τὰ δὲ ἐν ψιλαῖς 25
15 ἐπινοίαις ὑπάρχει οἷον ἱπποκένταυρος τραγέλαφος, ἅτινα ἐπινοούμενα μὲν

1 τοῦ ἀσαφοῦς DV: τοῦ δυσκόλου EFM: τῆς δυσκολίας p 1. 2 ἐδήλωσεν δὲ ἀπηλλάχθαι καὶ τοῦ μήκους τῶν πολλῶν στίχων διὰ τοῦ εἰπεῖν συμ. στοχ. F 2. 3 στοίχων V 3 τῶν δὲ — στοχάζομενος] τοῦτο δὲ ἤγουν τὸ στοχαζόμενος F (fort. recte) 4 ante οὐ add. τοῦτο p 5 δεικνύειν p ῥητόρων γὰρ ὁ στοχασμός DF: om. EMVp 5. 6 τὸν χρυσαόρ. FMV post χρυσαόριον add. τοῦτο ἀναπέμπει D: om. EFMVp 6 προτίθηται scripsi: προτίθεται DFp: προσθῇ τι E: πρόθηται MV 7 διδάσκειν] διδάξαι V ἐπιστημονικῶς D: ἐπιστημονικῶς, οὐ γὰρ στοχαστικῶς EV: ἐπιστημονικῶς, οὐ στοχαστικῶς FM: οὐ στοχαστικῶς ἀλλ' ἐπιστημονικῶς p 8 τῶν γενῶν MV Porph. 9 καὶ (ante σύντομον) om. p 11 εἴπῃ p Dav.: εἴποι codd. οὐκ MVp: om. DEF τι περὶ τούτων βαθὺ ζήτημα D: περὶ τούτων βαθύ τι ζήτημα E: περὶ τούτων βαθὺ ζήτημα F: περὶ τούτων βαθύ τι ζητῆσαι ζήτημα M: περὶ τούτων ζήτημα βαθύτερον V: βαθύτερον ζήτημα περὶ τούτων p 11. 12 παραστ. ἡμῖν ὁ φιλ. DV: ἡμῖν παραστ. ὁ φιλ. EM: παραστ. ὁ φιλ. ἡμῖν Fp 12 τούτου EFMV: τούτων Dp ὅτι] ὡς M post μὲν add. οὖν Fp 12. 13 περὶ τούτων βαθυτερόν τι ζήτ. D: περὶ τούτων ζήτ. βαθύτερον EMV: περὶ τούτων βαθύτερον ζήτ. F: βαθύτερον ζήτ. περὶ τούτων p 13 παρέλιπον E δὲ σαφὲς DFVp: σαφὲς οὖν EM 14. 15 ψιλαῖς ἐπινοίαις DV Elias: ψιλῇ ἐπινοίᾳ EMp David: oblitt. F 15 ὑπάρχουσι E οἷον ἱπποκένταυρος τραγέλαφος om. p: ἱπποκένταυρος om. EM post τραγέλαφος add. τὰ μὲν ἐστι σωματικά, τὰ δὲ ἀσώματα, τὰ μὲν χωριστὰ ὡς ἡ λογικὴ ψυχὴ ὡς ὁ ἄγγελος, τὰ δὲ σώματι (σώματος V) ἀχώριστα ὡς λευκότης μελανία οἱ (καὶ οἱ V) ἄλογοι ψυχαί. τὰ μὲν καθ' αὑτὰ καὶ πρὸ τῶν πολλῶν. τὰ δὲ ὑστερογενῆ καὶ ἐν τῇ ψυχῇ τῇ ἡμετέρᾳ. τῶν ὄντων τὰ μὲν ὑφέστηκε, τὰ δὲ ἐν ψιλῇ ἐπινοίᾳ λέγεται εἶναι (εἶναι λέγεται V) τὰ μέχρι ψιλῆς ἐπινοίας ὄντα EV: τῶν ὑφεστηκότων μὲν τὰ μέν ἐστι σώματα, τὰ δὲ ἀσώματα. τῶν δὲ ἐν ψιλῇ ἐπινοίᾳ τὰ μέν ἐστι διανοητὰ ὡς ἱπποκένταυρος, τὰ δὲ ὡς τὸ βλίτιρι (sic) λεκτά, τὰ δὲ οὔτε λεκτὰ οὔτε διανοητὰ ὡς τὸ οὐδέν. καὶ τῶν μὲν σωμάτων τὰ μὲν ἄϊδια ὡς τὰ οὐράνια, τὰ δὲ φθαρτὰ ὡς τὰ ἐν γενέσει καὶ φθορᾷ. τῶν δὲ ἀσωμάτων τὰ μὲν χωριστὰ τῆς ὕλης παντάπασιν ὡς θεὸς ψυχή, τὰ δὲ πῇ μὲν χωριστὰ πῇ δὲ ἀχώριστα ὡς τὰ μαθηματικά, τὰ δὲ ἀχώριστα τῆς ὕλης ὡς τὰ συμβεβηκότα οἷον τὸ λευκόν. (hic interponitur schema eadem exhibens) τῶν ὄντων τὰ μὲν ὑφέστηκε, τὰ δὲ ἐν ψιλῇ ἐπινοίᾳ λέγεται εἶναι τὰ μέχρι ψιλῆς ἐπινοίας ὄντα M: πάλιν τῶν

ὑφίσταται, μὴ ἐπινοούμενα δὲ οὐχ ὑφίσταται. ἀλλὰ παυσαμένης τῆς ἐπινοίας 12v
καὶ αὐτὰ συμπαύεται· οὐ γάρ ἐστιν ὁ ἱπποκένταυρος ἐν ὑποστάσει, ἀλλὰ
θεασάμενοι ἵππον καὶ ἄνθρωπον ἀνεπλάσαμεν τῇ ἐπινοίᾳ σύνθετόν τι τὸν ἱππο-
κένταυρον. ὁμοίως δὲ καὶ τράγον μὲν ἐποίησεν ἡ φύσις καὶ ἔλαφον, ἀνα-
5 πλάσαντες δὲ καθ' ἑαυτοὺς τῇ ἐπινοίᾳ ἀποτελοῦμεν σύνθετόν τι τὸν τραγ- 35
έλαφον, καὶ ταύτῃ τὸ εἶναι ἔχει. ὁ τοίνυν Ἀντισθένης ἔλεγε τὰ γένη
καὶ τὰ εἴδη ἐν ψιλαῖς ἐπινοίαις εἶναι λέγων ὅτι "ἵππον μὲν ὁρῶ, ἱππότητα
δὲ οὐχ ὁρῶ" καὶ πάλιν "ἄνθρωπον μὲν ὁρῶ, ἀνθρωπότητα δὲ οὐχ ὁρῶ."
ταῦτα ἐκεῖνος ἔλεγε τῇ αἰσθήσει μόνῃ ζῶν καὶ μὴ δυνάμενος τῷ λό|γῳ 13r
10 εἰς μείζονα εὕρεσιν ἑαυτὸν ἀνενεγκεῖν. τῶν οὖν ὑφεστηκότων τὰ μὲν σώ-
ματά ἐστι, τὰ δὲ ἀσώματα. ὅλως δὲ τῶν παλαιῶν οἱ μὲν ἔλεγον εἶναι
ταῦτα, οἱ δὲ μὴ εἶναι. τῶν δὲ λεγόντων εἶναι οἱ μὲν ἔλεγον σώματα, οἱ
δὲ ἀσώματα. καὶ οἱ μὲν λέγοντες σώματα εἶναι πάντες ἐπὶ τῆς αὐτῆς
δόξης ἔμειναν, τῶν δὲ λεγόντων εἶναι ἀσώματα, ἐπειδὴ τῶν ἀσωμάτων, ὡς 5
15 διήρηται, τὰ μὲν καθ' ἑαυτὰ ὑφέστηκεν ὡς ἄγγελος καὶ θεός, τὰ δὲ ἐν
ἑτέροις ὡς ἡ λευκότης καὶ τὰ σχήματα· ταῦτα οὖν οἱ μὲν καθ' αὑτά, οἱ
δὲ ἐν τοῖς αἰσθητοῖς ὑφεστάναι ἔλεγον. πάλιν δὲ ἐπειδὴ τὰ ἐν τοῖς αἰ-
σθητοῖς ὑφεστῶτα ἀσώματα ἢ δι' ὅλου ἐστὶν ὡς ἡ ἐν τῷ ψιμμυθίῳ λευ-
κότης ἢ κατὰ τὴν ἐπιφάνειαν ὡς τὸ σφαιροειδὲς σχῆμα, τῶν λεγόν-
20 των ἐν τοῖς αἰσθητοῖς ὑφεστάναι οἱ μὲν αὐτὰ δι' ὅλου ἔλεγον εἶναι, οἱ δὲ
κατὰ τὴν ἐπιφάνειαν. ἕτεροι δὲ πάλιν περὶ τὰ ὑφεστῶτα ἔλεγον αὐτὰ 10

ὑφεστηκότων τὰ μέν ἐστι σώματα, τὰ δὲ ἀσώματα. καὶ πάλιν τῶν ἀσωμάτων τὰ μὲν χωριστὰ ὡς ἡ λογικὴ ψυχὴ καὶ ὁ ἄγγελος, τὰ δὲ σώματος ἀχώριστα ὡς λευκότης μελανία καὶ ὡς ἄλογοι ψυχοί. τῶν δὲ καθ' αὑτὰ τὰ μὲν πρὸ τῶν πολλῶν, τὰ δὲ ὑστερογενῆ καὶ ἐν τῇ ψυχῇ τῇ ἡμετέρᾳ. τῶν ὄντων τὰ μὲν ὑφέστηκε, τὰ δὲ ἐν ψιλῇ ἐπινοίᾳ λέγεται εἶναι p

1 ὑφίστανται (utrobique) EFMVp 1. 2 συμπ. καὶ αὐτὰ τῆς ἐπιν. παυσ. coll. D 2 ante καὶ add. ἀλλὰ V συμπ.] παύεται E ante οὐ add. οἷον ἱπποκένταυρος EMVp ὁ ἱπποκένταυρος om. EMVp 3 ἄνθρωπον E Elias: ταῦρον DFM: κένταυρον Vp ἐπινοίᾳ DEMV: διανοίᾳ Fp 3. 4 ante τὸν ἱππο. add. τοῦτον p 4 ὁμοίως δὲ καὶ EFM: ὁμοίως καὶ Dp: ὁμοίως V 5 καθ' ἑαυτοὺς EFMVp: om. D ἐπινοίᾳ DEFMV: διανοίᾳ p (cf. v. 3) ἀποτελοῦμεν DEFMV: ἀνεπλάσαμεν p τι σύνθετον colloc. p τὸν om. Dp 6 καὶ ταύτῃ—ἔχει om. E; recte nisi forte corrigere mavis ὃς ἐν ταύτῃ (cf. p. 19,5) ταύτῃ] ταῦτα V Ἀντισθένης] cf. Antisthenis fr. XIII, 3 ed. Winckelmann (Turici 1842) 7 ψιλαῖς ἐπινοίαις DFp: ψιλῇ ἐπινοίᾳ EM: ἐπινοίαις ψιλαῖς V λέγων DEp: λέγει γὰρ F: λέγων τοῦτο MV 8 καὶ πάλιν—οὐχ ὁρῷ om. V ἄνθρωπον μὲν FMp: ἄνθρωπον DEV 10 ἀνενεγκεῖν Dp: ἀναγαγεῖν EM: ἀγαγεῖν FV 11 ὅλως—ἀσώματα (13) om. E 12 μὴ D: οὐκ FMVp τῶν δὲ λεγόντων DFVp: τῶν λεγόντων οὖν M εἶναι om. V ἔλεγον σώματα DFM: σώματα ἔλεγον εἶναι V: ἔλεγον εἶναι σώματα p 13 πάντως E 14 ἐπειδὴ] ἐπεὶ F 14. 15 ὡς διήρηται EF: ὡς δὴ εἴρηται D: ὡς ἤδη εἴρηται M: ὡς ἤδη διήρηται p: oblitt. V (cf. p. 19,4 sq.) 15 ὑφέστηκεν MVp: ὑφεστήκει DEF καὶ D: om. EFMVp 16 οὖν οἱ μὲν] δὲ ὂν in ras. M (in mrg. m.² οἱ μὲν) 18 ὑφεστῶτα EFMVp: ὑφεστηκότα D ἀσώματα] σώματα M ψιμμυθίῳ DF: ψιμμιθίῳ E²MVp: ψιμυθίῳ E¹ (cf. p. 19,8) 19 κατὰ τὴν] κατ' M ἐπιφάνειαν ἐστὶν FMp 19. 20 τῶν λεγόντων—ἐπιφάνειαν (21) om. E: τῶν λεγόντων—ὑφεστάναι om. p τῶν οὖν λεγόντων V

ὑφεστάναι. τί δέ ἐστι 'περὶ τὰ ὑφεστῶτα'; οἷον ὡς ὅ τε τόπος (οὗτος γὰρ 13r
περιέχει τὰ αἰσθητά) καὶ ὁ χρόνος. τοσούτων οὖν οὐσῶν αἱρέσεων περὶ
τοῦ εἶναι ταῦτα καὶ μὴ εἶναί φησι δυνατὸν ἦν ζητεῖν περὶ γενῶν τε καὶ
εἰδῶν εἴτ' εἰσὶν εἴτε ἐν ψιλῇ ἐπινοίᾳ κεῖνται· οὕτω γὰρ ὁ Ἀντισθένης
5 ᾤετο. καὶ εὑρὼν δὲ αὐτὰ ὑφεστηκότα ἠδύνατο πάλιν ζητεῖν, εἴτε σώματά
ἐστιν εἴτε ἀσώματα· γεγόνασι γὰρ ἑκατέρου τῆς διαιρέσεως τμήματος προ-
στάται. πάλιν δὲ εὑρὼν αὐτά, εἰ τύχοι, ἀσώματα ζητεῖν ἠδύνατο, εἰ
ἀχώριστά ἐστι τῆς ὕλης καὶ ἐν τοῖς πολλοῖς ἢ πρὸ τούτων καὶ κεχώ-
ρισται.

10 Ἵνα δὲ σαφὲς ἦ τὸ λεγόμενον, δι' ὑποδείγματος διεξέλθωμεν τῷ λόγῳ. 15
οὐδὲ γὰρ ἁπλῶς οὕτως καὶ ὡς ἔτυχεν οἱ μὲν σώματα αὐτὰ λέγουσιν οἱ
δὲ ἀσώματα, ἀλλὰ μετὰ λογισμοῦ τινος, οὐδὲ ἐναντιοῦνται ἀλλήλοις· εἰκότα
γὰρ ἕκαστοι λέγουσιν. ἐννοείσθω τοίνυν δακτύλιός τις ἐκτύπωμα ἔχων, εἰ
τύχοι, Ἀχιλλέως καὶ κηρία πολλὰ παρακείμενα, ὁ δὲ δακτύλιος σφραγι- 20
15 ζέτω τοὺς κηροὺς πάντας. ὕστερον δέ τις εἰσελθὼν καὶ θεασάμενος τὰ
κηρία, ἐπιστήσας ὅτι πάντα ἐξ ἑνός εἰσιν ἐκτυπώματος, ἐχέτω παρ' αὐ-
τῷ τὸν τύπον ὅ ἐστι τὸ ἐκτύπωμα ἐν τῇ διανοίᾳ. ἡ τοίνυν σφραγίς ἡ
ἐν τῷ δακτυλιδίῳ λέγεται πρὸ τῶν πολλῶν εἶναι, ἡ δὲ ἐν τοῖς κηρίοις ἐν
τοῖς πολλοῖς, ἡ δὲ ἐν τῇ διανοίᾳ τοῦ ἀπομαξαμένου ἐπὶ τοῖς πολλοῖς καὶ
20 ὑστερογενής. τοῦτο οὖν ἐννοείσθω καὶ ἐπὶ τῶν γενῶν καὶ εἰδῶν· ὁ γὰρ 25
δημιουργὸς πάντα ἔχει παρ' ἑαυτῷ τὰ πάντων παραδείγματα, οἷον ποιῶν
ἄνθρωπον ἔχει παρ' ἑαυτῷ τὸ εἶδος τοῦ ἀνθρώπου, πρὸς ὃ ἀφορῶν πάν-
τας ποιεῖ. εἰ δέ τις ἐνσταίη λέγων, ὡς οὐκ εἰσὶν ἐν τῷ δημιουργῷ τὰ
εἴδη, ἀκουέτω ταῦτα, ὡς ὁ δημιουργὸς δημιουργεῖ ἢ εἰδὼς τὰ ὑπ' αὐτοῦ
25 δημιουργούμενα ἢ μὴ εἰδώς· ἀλλ' εἰ μὲν μὴ εἰδώς, οὐκ ἂν δημιουργήσαι·

---

1 τί δὲ—ὑφεστῶτα om. E (fort. recte) ὡς om. M τε om. EM 3 καὶ μὴ εἶναι om. EMV φησὶν om. p ἦν δυνατὸν colloc. EM τε om. M
4 κεῖται DMV 5 ὑφεστῶτα M 5. 6 εἴτε ἀσώματά ἐστιν εἴτε σώματα p 6 ἐστιν] εἰσιν M εἴτε] ἢ MV 6. 7 γέγονασι—προστάται om. E 7 τύχοι] τύχῃ Vp ἠδύνατο ζητεῖν colloc. M 8. 9 πρὸ τούτων καὶ κεχώρισται D: πρὸ τούτων κεχώρισται EFMV: τούτων κεχώρισται p 10 διεξέλθωμεν DFp: ἐπεξέλθωμεν E: ὑπεξέλθωμεν MV 11 οὐδὲ] οὐ V αὐτὰ om. V 12 ἀλλὰ καὶ M μετὰ om. V τινος] τινὲς M εἰκότα DFM: εἰκότως EVp 13 ἕκαστος E; scribas ἑκάτεροι ἐκτύπωμα ἔχων om. D 15 πάντας om. E 16 εἰσιν DFMp: ἦν E: ἐστιν V 16. 17 παρ'—ἐστι om. E: τὸν τύπον ὅ ἐστι om. FMVp 17 ἐν om. p 18 δακτυλιδίῳ D: δακτυλίῳ EMVp: oblitt. F (cf. p. 42,6) ἐν (ante τοῖς κηρίοις) om. V κυρίοις M[1]
19. 20 ἐπὶ—ὑστερογενής] ὑστερογενὴς καὶ μετὰ τὰ πολλά M 20 τούτῳ V καὶ (prius) om. V καὶ ἐπὶ τῶν εἰδῶν M: καὶ τῶν εἰδῶν V 20. 21 ὁ δημ. γὰρ colloc. E 21 ante πάντα add. ποιῶν FMVp τὰ πάντων παρ' ἑαυτῷ colloc. V τὰ πάντα τῶν παραδειγμάτων E 22 παρ' ἑαυτῷ τὸ εἶδος τοῦ ἀνθρ. D: τὸ εἶδος ἐν ἑαυτῷ τοῦ ἀνθρ. EFV: τοῦ ἀνθρ. τὸ εἶδος ἐν ἑαυτῷ M: τὸ εἶδος παρ' ἑαυτῷ τοῦ ἀνθρ. p
22. 23 πρὸς ὃ—ποιεῖ om. E 22 ἀφορῶν om. M 22. 23 πάντα F 23 ὡς οὐκ εἰσὶν om. V εἰσὶν] ἔστιν EM ἐν] παρὰ p 24 ἢ om. EM ὑπ' αὐτῷ M 25 μὴ] οὐκ p δημιουργήσαι scripsi: δημιουργήσῃ DEFMV: δημιουργήσει p

τίς γὰρ ποιήσειέ τι ἀγνοῶν ὃ μέλλει ποιεῖν; οὐ γὰρ ὡς ἡ φύσις ἀλόγῳ 13r
δυνάμει ποιεῖ, ὅθεν καὶ ποιεῖ ἡ φύσις οὐκ ἐφιστάνουσα γνωστικῶς τῷ γι- 31
νομένῳ. εἰ δέ τι καθ' ἕξιν λογικὴν ποιεῖ, οἰδέ που πάντως τὸ γινόμενον.
εἰ τοίνυν μὴ χεῖρον ἢ κατὰ ἄνθρωπον ὁ θεὸς ποιεῖ, οἶδε τὸ ὑπ' αὐτοῦ
5 γινόμενον. εἰ δ' οἶδεν ὃ ποιεῖ, αὐτόθεν δῆλον, ὡς ἔστιν ἐν τῷ δημιουργῷ
τὰ εἴδη. ἔστι δὲ τὸ εἶδος ἐν τῷ δημιουργῷ ὡς ὁ ἐν τῷ δακτυλιδίῳ τύ-
πος, καὶ λέγεται τοῦτο τὸ εἶδος πρὸ τῶν πολλῶν καὶ χωριστὸν τῆς ὕλης.
ἔστι δὲ τὸ εἶδος τοῦ ἀνθρώπου καὶ ἐν τοῖς καθ' ἕκαστον ἀνθρώποις, ὡς 35
τὰ ἐν τοῖς κηροῖς ἐκτυπώματα, καὶ λέγεται τὰ τοιαῦτα ἐν τοῖς πολλοῖς
10 εἶναι καὶ ἀχώριστα τῆς ὕλης. θεασάμενοι δὲ τοὺς κατὰ μέρος ἀνθρώπους
ὅτι πάντες τὸ αὐτὸ εἶδος τοῦ ἀνθρώπου | ἔχουσιν, ὡς ἐπὶ τοῦ ὕστερον ἐλ- 13v
θόντος καὶ θεασαμένου τὰ κηρία, ἀνεμαξάμεθα αὐτὸ ἐν τῇ διανοίᾳ, καὶ
λέγεται τοῦτο ἐπὶ τοῖς πολλοῖς ἢ μετὰ τοὺς πολλοὺς καὶ ὑστερογενές. εἰσὶ
δὲ τὰ τοιαῦτα σωμάτων μὲν χωριστά (οὐδὲ γὰρ ἐν σώματι ὑφέστηκεν, ἀλλ'
15 ἐν ψυχῇ), οὐχ ἁπλῶς δὲ χωριστά· οὐδὲ γὰρ αὐτὰ καθ' αὑτὰ γνωρίζεσθαι
δύναται, οἷα τὰ πρὸ τῶν πολλῶν εἴδη ὑποτίθεται ὁ Πλάτων· οὐδὲ γὰρ 5
ἁπλῶς νοήσεις αὐτὰ εἶναι τοῦ δημιουργοῦ βούλεται, ἀλλὰ πάντως οὐσίας
νοητάς, πρὸς ἃς ἀφορῶντα τὸν δημιουργὸν ὡς πρὸς ἀρχετύπους εἰκόνας
τὰ τῇδε ποιεῖν. τοῦτο οὖν φησι ζητεῖν ἦν, εἴτε ἀσώματα ὄντα χωριστά
20 ἐστιν ὡς τὰ παρὰ τῷ δημιουργῷ, ἢ ἀχώριστα ὡς τὰ ἐν τοῖς πολλοῖς, ἢ
μετὰ τὰ αἰσθητά, τοῦτ' ἔστι τὰ ἐπὶ τοῖς πολλοῖς. ταῦτα δὲ πάντα παραι-
τεῖται λέγειν. ἰστέον δὲ ὅτι περὶ ταῦτα δοκοῦσιν διαφωνεῖν Ἀριστοτέλης 10
καὶ Πλάτων· ὁ μὲν γὰρ Ἀριστοτέλης ἀχώριστα αὐτὰ εἶναί φησι τῆς ὕλης,
ὁ δὲ Πλάτων χωριστά. εἴτε δὲ διαφωνοῦσι πρὸς ἑαυτοὺς οἱ φιλόσοφοι
25 εἴτε μή (δοκεῖ γὰρ τούτοις Ἀριστοτέλης ὡς φυσικοῖς κεχρῆσθαι), ἐπισκο-
πεῖν οὐ τοῦ παρόντος καιροῦ.

---

1 τίς γὰρ μέλλων ποιήσειν τι ἀγνοεῖ p δ] ὅτι M οὐ] οὐδὲ M 2 post δυνάμει add. φύσιν DF: φύσεως MV: om. Ep 2. 3 ὅθεν—γινομένῳ om. E 3 τι] an τις? πάντως οἶδέ που colloc. V τὸ ὑπ' αὐτῆς γινόμ. F: τὸ γινόμ. ὑπ' αὐτοῦ p 4 εἰ] ἢ V χεῖρον] χείρω M 5 αὐτόθεν DFMV: αὐτόθι Ep 6 τὸ δὲ εἶδος ἐστὶ colloc. V δακτυλιδίῳ D: δακτυλίῳ EFMVp (cf. p. 41,18) 7 τῆς om. E 8 καὶ om. V 11 ἔχουσι τοῦ ἀνθρ. colloc. V 13 μετὰ τοὺς πολλοὺς ἢ ἐπὶ τοῖς πολλοῖς M ἢ] ἤγουν p μετὰ τὰ πολλὰ Vp 14 σωμάτων] σώματος p χωριστά] χωρίς M οὐδὲ DEV: οὐ FMp ἐν τῷ σώματι EM 15 ἐν τῇ ψυχῇ M οὐχ ἁπλῶς δὲ χωριστά D: οὐκ ἄλλως δὲ ἀχώριστα EMVp: οὐκ ἄλλως δὲ χωριστά F γνωρίζεσθαι D: χωρίζεσθαι EFMVp 16 δύνανται D οἷα] οἷον M πολλῶν] ἄλλων M οὐδὲ—βούλεται (17) om. E γὰρ om. M 17 βούλεται τοῦ δημ. colloc. V post οὐσίας add. τινὰς p 19 ἦν om. EMp: ante ζητεῖν transp. FV 19. 20 χωριστά εἰσι τῆς ὕλης p 20 τὰ (ante παρὰ) om. V τοῖς om. EM 21 ἐπὶ τοῖς πολλοῖς] μετὰ τὰ πολλά M δὲ om. M 22 ἰστέον—καιροῦ (26) om. E διαφωνεῖν post Πλάτων transp. p διαφωνεῖν DMp: διαφέρειν EFV 23 τε καὶ F εἶναι αὐτὰ τῆς ὕλης (φησι om.) colloc. V: αὐτὰ τῆς ὕλης εἶναί φησιν p 24 δὲ om. V ἑαυτοὺς] ἀλλήλους V: αὐτοὺς p 25 ὁ ἀριστ. FMp κεχρῆσθαι Fp: καταγίνεσθαι DMV 25. 26 ἐπισκοπεῖν post καιροῦ transp. FMVp

p. 1,14 Τὸ δ' ὅπως περὶ αὐτῶν. 13v

Ὑπόσχεσις ἦν τῷ φιλοσόφῳ χρήσιμον ποιήσειν τὸ βιβλίον καὶ εἰς τὰς Ἀριστοτέλους Κατηγορίας, αἵτινες ὁδοί εἰσι καὶ προαύλια εἰς πᾶσαν τὴν τῶν φιλοσόφων λογικὴν θεωρίαν. τοῦ δὲ λόγου πολλά εἰσι μέρη, ἀποφαν- 15
τικὸν εὐκτικὸν κλητικὸν προστακτικὸν πυσματικόν, καὶ ἄλλα δέ ἐστιν, εἰ κατὰ τὸ λεπτὸν σκοπήσομεν. ἀλλ' ἐν ταῖς Κατηγορίαις οὐ περὶ πάντων διαλέγεται, ἀλλὰ περὶ μόνου τοῦ ἀποφαντικοῦ· οὗτος γὰρ καὶ ὁ τῆς γνωστικῆς ψυχῆς ἄγγελος· οἱ γὰρ ἄλλοι τῆς ὀρεκτικῆς ψυχῆς ὑπάρχουσιν· ὁ γὰρ εὐχόμενος ὀρεγόμενός τινος εὔχεται, καὶ ὁ προσαγορεύων τινὰ ὀρεγό- 20
μενός τινος προσαγορεύει, ὁμοίως δὲ καὶ ὁ προσφωνῶν τινα πράττει. μόνος δὲ ὁ ἀποφαντικὸς λόγος περιέχει τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος· οἱ γὰρ ἄλλοι οὔτε ἀληθεύουσιν οὔτε ψεύδονται· κἂν γὰρ καλῇ τίς τινα, οὔτε ἀληθεύει οὔτε ψεύδεται, ὁμοίως δὲ καὶ εἰ εὔχεται ἢ προσαγορεύει. ὁ δὲ ἀποφαντικὸς λόγος ἢ ἀληθεύει ἢ ψεύδεται, οἷον ἀποφαίνεται περὶ ψυχῆς, ὅτι θνητή ἐστιν ἢ ἀθάνατος, καὶ πάντως ἢ ἀληθεύει ἢ ψεύδεται. ἀποφαντικὸς γὰρ λόγος ἐστὶν ὁ ἄλλῳ ἄλλο τι ὡς ὑπάρχον ἢ μὴ ὑπάρχον ἀποφαι- 25
νόμενος. περίεχει δὲ οὗτος ἐν ἑαυτῷ δύο τινά, τό τε κατηγορούμενον καὶ τὸ ὑποκείμενον. ἵνα δὲ σαφὴς γένηται ἡμῖν ὁ λόγος, εἴπωμεν οὕτως· δεῖ εἰδέναι ὅτι ὑποκείμενον λέγεται περὶ οὗ ὁ λόγος, κατηγορούμενον δὲ τὸ περὶ ἐκείνου λεγόμενον. οἷον ὁ ἄνθρωπος ζῷόν ἐστιν· ὑπόκειται μὲν ὁ ἄνθρωπος, κατηγορεῖται δὲ τὸ ζῷον. ὁμοίως δὲ καὶ περὶ ψυχῆς, ὅτι ἀθάνατός ἐστι· περὶ τίνος νῦν διαλέγομαι; ἢ δῆλον ὅτι περὶ ψυχῆς· καὶ ὑπό- 30
κειται μὲν ἡ ψυχή, κατηγορεῖται δὲ αὐτῆς τὸ ἀθάνατον. ὥστε οὖν καλῶς εἴρηται, ὅτι ὁ ἀποφαντικὸς λόγος ὑποκείμενον ἔχει καὶ κατηγορούμενον.

Δυνατὸν οὖν ἐστι περὶ τῶν γενῶν τε καὶ εἰδῶν καὶ θεολογικῶς μὲν

---

1 post αὐτῶν add. τῶν γενῶν καὶ τῶν εἰδῶν E 2 ἡ ὑπόσχεσις V φιλοσόφῳ] πορφυρίῳ M ποιήσειν DFM: ποιῆσαι EVp τὸ βιβλίον DV: τοῦτο τὸ βιβλίον EFMp 4 post φιλοσόφων add. τῶν λογικῶν V 4. 5 ἀποφαντικὸς εὐκτικὸς προστακτικὸς πυσματικὸς (κλητικὸν om.) V 5 ἐστιν] εἰσιν M 6 τὸ λεπτὸν DF: λεπτὸν EMp: μικρὸν V σκοπήσομεν DEM: σκοπήσαιμεν FV: σκοπήσωμεν p ταῖς κατηγορίαις] τῇ λογικῇ πραγματεία p 7 ἀποφαντικοῦ] ἀποφατικοῦ E: ἤγουν τοῦ ἀποδεικτικοῦ supra scr. F καὶ DFV: ἐστιν p: om. EM 8. 9 ὁ γὰρ εὐχόμενος—πράττει (10) om. E 10 καὶ ὁ προσφωνῶν τινα πράττει (προστάττει V) FMV: καὶ ὁ προσφωνῶν τινι πράττει D: πράττει καὶ ὁ προσφωνῶν τινι p 11 περιέχει—λόγος ἢ (14) om. E γὰρ] δὲ F 12. 13 κἂν γὰρ — ψεύδεται om. p 13 δὲ (post ὁμοίως) om. F δὲ ἂν εὔχηται ἢ προσαγορεύῃ V προσαγορεύει] προστάττει ἢ ἐρωτᾷ M 14 περὶ τῆς ψυχῆς p 15 ἐστιν D: ὑπάρχει EFMVp 15. 16 ἀποφαντικὸς γὰρ — ἄτομόν ἐστιν (p. 44,12) om. E 16 γὰρ DVp: δὲ FM post ἄλλῳ add. τινὶ V ὑπάρχει (utrobique) M 18 ὁ λόγος ἡμῖν colloc. p post δεῖ add. δὲ M 19 τὸ περὶ οὗ p ὁ om. Vp 20 ὑπόκειται] ὑποκείμενον M 21 δὲ om. V 22 νῦν διαλέγομαι F: συνδιαλέγομαι D: δὲ διαλέγομαι M: δὲ νῦν διαλέγομαι Vp 24 ὅτι ὁ] ὅθ' (sic) D καὶ ὑποκείμενον FMVp 25 οὖν ἐστι MV: οὖν καὶ D: οὖν F: μὲν οὖν p τῶν DM: om. FVp

διαλέγεσθαι, ὁπόταν ζητῶμεν ὅτι ἄρα ὁ θεὸς ἔχει ἐν ἑαυτῷ τῶν γενῶν τε 13v
καὶ εἰδῶν τὰ ἐκτυπώματα ἢ οὐκ ἔχει, ἆρα ἀληθής ἐστιν ἡ Πλάτωνος δόξα,
ὅτι αἱ ἰδέαι εἰσὶν νοηταὶ αὐταὶ καθ' ἑαυτὰς ὑφεστῶσαι, ἃς καὶ ὄντως οὐ-
σίας καὶ πρώτας οὐσίας καλεῖ, ἢ οὔ, ὡς καὶ Ἀριστοτέλει δοκεῖ. φυσικῶς 35
5 δὲ ὡς ὅταν ἐπισκοπῶμεν. ἆρά γε ἡ φύσις ἐν ἑαυτῇ ἔχει τοὺς λόγους τῶν
γενῶν τε καὶ εἰδῶν, ἢ οὐκ ἔχει· οὐδὲ γὰρ ὥσπερ ἡ χιὼν ἀλόγως ψύχει
ἢ ὥσπερ τὸ πῦρ καίει, οὕτως καὶ ἡ φύσις ποιεῖ, ἀλλὰ δῆλον ὅτι λόγῳ
τινὶ πάντα εἰ καὶ μὴ γινώσκουσα ἃ | ποιεῖ. ἄλλως τε καὶ οὕτως ἔστι φυ- 14r
σικῶς περὶ αὐτῶν ζητεῖν, ἆρά ἐστι ταῦτα ἐν τοῖς πολλοῖς, τὸ ἁπλῶς ζῷον
10 ἐν πᾶσι τοῖς καθ' ἕκαστα καὶ ὁ ἁπλῶς ἄνθρωπος, ἢ οὔ (καὶ τίς κοινή
οὐσία ἐν πᾶσι τοῖς καθ' ἕκαστα θεωρουμένη), ἀλλὰ πᾶν ὅτι ἂν θεωρῆται
ἐν τοῖς καθ' ἕκαστον, ἄτομόν ἐστιν. ἔστι δὲ καὶ λογικῶς περὶ τούτων,
τοῦτ' ἔστιν ἀποφαντικῶς καὶ πρεπόντως τῇ λογικῇ θεωρίᾳ, ζητεῖν. πρέπει 5
δὲ αὐτῇ τὸ ζητεῖν, τίνα μὲν τούτων τίσιν ὑπόκειται, τίνα δὲ τίνων κατη-
15 γορεῖται, ὅτι τὰ γένη κατηγορεῖται τῶν διαφορῶν καὶ τῶν εἰδῶν, οὐ μὴν
ἔμπαλιν. εἰρήκαμεν γὰρ ὅτι τάξιν τινὰ εἰς ἄλληλα ἀποσώζουσιν τὸ γένος
καὶ ἡ διαφορὰ καὶ τὸ εἶδος, καὶ ὅτι πρωτεύει μὲν τὸ γένος, δευτέραν δὲ
τάξιν ἔχει τὸ εἶδος, μέσην δὲ ἡ διαφορά, καὶ δεῖ τὰ μὲν ἄνω τῶν ὑπο-
κάτω κατηγορεῖσθαι, οὐ γὰρ τὰ ὑποκάτω τῶν ἐπάνω. οἷον ἐὰν εἴπωμεν
20 'πᾶς ἄνθρωπος ζῷον' ἀληθεύομεν, ἐὰν δὲ ἀντιστρέψαντες εἴπωμεν 'πᾶν 10
ζῷον ἄνθρωπος' ψευδόμεθα. καὶ πάλιν ἐὰν εἴπωμεν 'πᾶς ἵππος ἄλογον'
ἀληθεύομεν, εἰ δὲ ἀντιστρέψαντες εἴπωμεν 'πᾶν ἄλογον ἵππος' ψευδόμεθα.
οὐ γὰρ ἔστι τὸ τυχὸν ποιῆσαι ὑποκείμενον· οὐ γὰρ ἔστιν εἰπεῖν 'τὸ ζῷον
ἄνθρωπός ἐστιν', ὡς ἤδη εἴρηται. δεῖ οὖν εἰπεῖν ποῖα δεῖ ποιεῖν ὑποκεί-

---

1 ὁπόταν FMVp: ὅτι (superscr. αν) D ἐν] παρ' p 2 τὰ ἐκτυπώματα D: τὸ ἐκτύτωμα FMVp 3 εἰσὶν αἱ ἰδέαι colloc. FMVp αὐταὶ om. p ἐφεστῶσαι M 4 πρώτας DMV: πρώτως Fp ἀφιστοτέλης MV 5 ὡς MV: καὶ D: om. Fp γε om. M ἔχει ἐν ἑαυτῇ colloc. MV 5. 6 τῶν εἰδῶν τε καὶ τῶν γενῶν Fp 6 οὐδὲ] οὐ D 7 ὥσπερ καὶ τὸ πῦρ p καίει om. M 7. 8 λόγῳ τινὶ πάντα D: λογισμῷ τινι πάντα Fp: πάντα λογισμῷ τινι Mp 8 an πάντα ⟨ποιεῖ⟩? 8. 9 περὶ αὐτῶν φυσικῶς colloc. FMVp 9 τοῖς om. D 10 καθ' ἕκαστα Dp: καθ' ἕκαστον MV: compend. F τίς] ἡ V 11 καθ' ἕκαστα DFVp: καθ' ἕκαστον M ὅ τι ἂν θεωρῆται scripsi: εἴ τι ἂν θεωρῆται DMV: εἴ τι ἐὰν θεωρῆται F: εἴ τι θεωρεῖται p 12 καθ' ἕκαστον DV: καθ' ἕκαστα FMp τούτου E 13. 14 πρέπει—ζητεῖν D: om. EFMVp 14 τίνα μὲν DEVp: τίνα μὲν οὖν F: καὶ τίνα M ὑπόκειται DE post δὲ add. τούτων Vp 15 τὰ μὲν γένη V κατηγορεῖται τὰ γένη colloc. p 16 εἰρήκαμεν] p. 31,14 sq. γὰρ] δὲ D ἀποσώζουσιν εἰς ἄλληλα colloc. p 16. 17 τὰ γένη καὶ τὰ εἴδη καὶ αἱ διαφοραὶ E 18 μέσην] μέσον D ante ἡ διαφορὰ add. ἔχει V post διαφορὰ add. ὁ γὰρ Ἀριστοτέλης εἰς τὴν Φυσικὴν ἀκρόασιν (sic) τὴν ἑκάστη τέχνη ὑποκειμένην ὕλην γένος φησί D καὶ δεῖ] δεῖ οὖν D 18. 19 ὑποκάτω EMVp: κάτω DF 20 ἐὰν] ἂν Ep ἀντιστρέψαντες] ἀναστρέψαντες D: ἀντιστρέψωμεν καὶ Ep: ἀναστρέψωμεν καὶ FMV 21 πάλιν om. E ἵππος πᾶς colloc. M 22 εἰ DEFMV: ἐὰν p ἀντιστρέψαντες] ἀναστρέψαντες libri εἴπωμεν EFVp: ω in lac. om. M: εἴπομεν D 23 τὸ (ante τυχὸν) om. E ποιεῖν E τὸ ζῷον εἰπεῖν colloc. Ep 24 ποῖα in lac. om. M δεῖ] χρὴ p ποιεῖν] εἰπεῖν EM

μενα, ποῖα δὲ κατηγορούμενα, ἃ καὶ διδάξει ὁ φιλόσοφος. καὶ διὰ τοῦτο 14r
εἶπε λογικώτερον, ἀντὶ τοῦ πρεπόντως τῇ λογικῇ πραγματείᾳ. 16

p. 1,14 Τὸ δ' ὅπως περὶ αὐτῶν τε καὶ τῶν προκειμένων λογικώτερον οἱ παλαιοὶ διέλαβον.

Λογικώτερον μὲν λέγεται κυρίως διαλαβεῖν τὸ τὰ συμβεβηκότα ζητεῖν τῶν πραγμάτων, φυσικῶς δὲ τὸ τὰς οὐσίας ζητεῖν, θεολογικῶς δέ ἐστι πόθεν προῆλθον ἅπαντα καὶ τὴν ἀρχὴν τῆς συστάσεως ἑκάστου ζητεῖν. ἐπεὶ οὖν ἔστι καὶ φυσικῶς διαλαβεῖν, ὥσπερ ἀρτίως εἰρήκαμεν, περὶ γενῶν καὶ εἰδῶν καὶ τῶν λοιπῶν (ὡς ὅταν περὶ τῶν ἐν τοῖς αἰσθητοῖς ζητῶμεν, 20
ὡς καὶ Ἀριστοτέλης διέλαβε περὶ αὐτῶν), καὶ θεολογικῶς (ὡς ὅταν περὶ τῶν ἐν τῷ δημιουργῷ ζητήσωμεν, ὥσπερ ὁ Πλάτων ἐν τῷ Παρμενίδῃ διέλαβεν), ἔστι λογικώτερον περὶ αὐτῶν διαλαβεῖν, ἐπειδὴ ἐν τῇ λογικῇ πραγματείᾳ δεόμεθα τῶν ἀποφαντικῶν λόγων, ἐν δὲ τοῖς ἀποφαντικοῖς λόγοις τὰ μὲν ὑπόκειται τὰ δὲ κατηγορεῖται, τὸ δὲ ὑποκείμενον καὶ κατηγορούμενον ἢ γένος ἐστὶν ἢ εἶδος ἢ διαφορὰ ἢ ἴδιον ἢ συμβεβηκός. τὸ δὲ 25
ὅπως περὶ αὐτῶν ἀντὶ τοῦ περὶ τῶν γενῶν καὶ τῶν εἰδῶν· καὶ γὰρ προσεχῶς περὶ αὐτῶν ἐποιεῖτο τὸν λόγον. προσθεὶς δὲ καὶ τὸ περὶ τῶν προκειμένων ἐσήμανε καὶ τὰ λοιπὰ τρία, τὴν διαφοράν φημι καὶ τὸ ἴδιον καὶ τὸ συμβεβηκός. ἢ τὸ ἀνάπαλιν δεῖ λέγειν, ὅτι εἰρηκὼς μὲν τὸ ὅπως περὶ αὐτῶν ἐδήλωσε τὸ γένος καὶ τὴν διαφορὰν καὶ τὸ εἶδος, εἰρηκὼς δὲ καὶ τῶν προκειμένων ἐδήλωσε τὰ περὶ τῶν ἄλλων δύο, τοῦ τε ἰδίου καὶ τοῦ συμβεβηκότος.

---

2 εἶπε Dp: om. EFMV λογικωτέρως E 3 τὸ δ' ὅπως — συμβεβηκότος (22) eicias τε om. EM (fort. recte) τῶν om. D (sed cf. v. 17. 21) 4 post διέλαβον add. παριστᾶ (τὸ παριστὰν V) τὴν ἔννοιαν τοῦ ὑποκειμένου πράγματος DV 5 μὲν p: δὲ DEMV: om. F διαλαβεῖν ante λέγεται transponas συμβεβηκότα] ἐκβεβηκότα M 6 ἐστι DE: ζητεῖν F: ἐστι ζητεῖν MVp 7 πόθεν F: τὸ ὅθεν DEMVp προῆλθον D: προῆλθεν EMV: ἦλθον F: ἦλθεν p ζητεῖν om. p 8 καὶ om. Fp ὥσπερ] ὡς p γενῶν τε D 9 ἐν τοῖς superscr. M ἐν τοῖς αἰσθητοῖς] αἰσθητῶν E 10 ὁ ἀριστ. F διέλαβε] διέταξε E καὶ περὶ E καὶ θεολ. δὲ Vp post θεολογικῶς iterat ὡς ὅταν περὶ τῶν ἐν αἰσθητοῖς . . . . θεολογικῶς V 11 τῷ om. E ζητῶμεν p 11. 12 ἐν τῷ παρμ. ὁ πλάτων colloc. F 11 ὁ] καὶ M 12 ἔστι DEF: ἔστι καὶ M: ἔστι δὲ καὶ V: ἔστι δὲ p λογικωτέρως D διαλαβεῖν περὶ αὐτῶν colloc. EFMVp 12. 13 ἐν τῷ λογικῷ πράγματι E 14 ὑπόκειται D καὶ] ἢ E 15 ἢ (ante γένος) om. D 16 αὐτῶν τε V περὶ (post τοῦ) om. M περὶ γενῶν τε καὶ εἰδῶν E 17 προσεχῶς] προσεχῆ D τὸ καὶ colloc. F 18 ἐσήμανε EFMV: ἐδήλωσε D: ἐσήμηνε p καὶ (ante τὰ λοιπά) om. F καὶ (ante τὸ ἴδιον) om. M 19. 20 τὸ ὅπως EFVp: οὕτως DM 20 καὶ (post γένος) om. V τὸ εἶδος καὶ τὴν διαφ. colloc. E 21 καὶ DEMV: τὸ περὶ F: πάλιν p τὰ περὶ τῶν ἄλλων EFMp: καὶ τῶν ἄλλων D: τὰ ἄλλα V 21. 22 τό τε ἴδιον καὶ τὸ συμβεβηκός V

p. 1,15 Καὶ τούτων μάλιστα οἱ ἐκ τοῦ περιπάτου. 14r

Ὁ φιλόσοφος Πορφύριος οὐκ εἰς ἑαυτὸν ἀνάγει τὴν εὕρεσιν καὶ τὴν 31
διδασκαλίαν, ἀλλά φησιν ὅτι τῶν πάλαι διαλαβόντων λογικῶς περὶ αὐτῶν
οἱ Περιπατητικοὶ μάλιστα τοῦτο τὸ μέρος ἐξηκριβώσαντο. τὸ δὲ τῶν Περι-
5 πατητικῶν ὄνομα ἐκ τοιαύτης γέγονεν αἰτίας. φασὶν ὅτι ὁ θεῖος Πλάτων
ἐν Ἀκαδημίᾳ βαδίζων ἐποιεῖτο τὰς πρὸς τοὺς ἑταίρους συνουσίας διὰ τὸ 35
τὸ σῶμα ἐπιτήδειον ποιεῖν διὰ τῶν γυμνασίων πρὸς ψυχῆς ἔλλαμψιν· ὡς
γὰρ ἂν ἔχῃ τὸ ὄργανον, οὕτως καὶ ἡ ἐνέργεια τοῦ τεχνίτου διαφαίνεται.
καὶ τούτου χάριν ἐλέγοντο Περιπατητικοί. μετὰ γοῦν τὴν τοῦ Πλάτωνος
10 τελευτὴν διεδέξαντο τὴν διατριβὴν αὐτοῦ ὅ τε | Ἀριστοτέλης καὶ ὁ Ξενο- 14v
κράτης, καὶ ὁ μὲν Ἀριστοτέλης ἐν Λυκείῳ ὁ δὲ Ξενοκράτης ἐν τῇ Ἀκα-
δημίᾳ. ἐλέγοντο οὖν οἱ μὲν τοῦ Ἀριστοτέλους Περιπατητικοὶ ἐκ Λυκείου,
οἱ δὲ τοῦ Ξενοκράτους Περιπατητικοὶ ἐξ Ἀκαδημίας. ὕστερον δὲ οἱ μὲν
τοῦ Ἀριστοτέλους ἀπέλαβον τὴν ἐκ τῆς ἐνεργείας ἐπωνυμίαν τὴν ἐκ τοῦ
15 τόπου ἀπολέσαντες καὶ ἐκλήθησαν Περιπατητικοί, οἱ δὲ τοῦ Ξενοκράτους 5
τὴν ἐκ τοῦ τόπου ἀπολαβόντες καὶ τὴν ἐκ τῆς ἐνεργείας ἀπολέσαντες ἐκλή-
θησαν Ἀκαδημαϊκοί. ἐπεὶ οὖν ὁ φιλόσοφος ἔμελλέ τινα ὑπόληψιν ἐν τῇ
διδασκαλίᾳ ἔχειν τῶν ὑπὸ Πλάτωνος παραδοθέντων Πλατωνικὸς ὢν καὶ
αὐτός, ἐπειδήπερ ὡς χρήσιμον εἰς τὰς Ἀριστοτέλους Κατηγορίας ἔγραψε
20 τὸ βιβλίον, εἶπεν ὅτι 'διδάξω περὶ αὐτῶν, ὡς οἱ παλαιοὶ διέλαβον, καὶ τούτων
οἱ Ἀριστοτελικοί' διὰ τοῦ εἰπεῖν καὶ μάλιστα οἱ ἐκ τοῦ περιπάτου. 10

---

2 Ὁ δὲ φιλόσ. V τὴν (ante διδασκ.) om. V 4 μάλιστα] μᾶλλον V τοῦτο τὸ μέρος superscr. F²: τούτων τὸ γένος D: τοῦτο τὸ γένος EMV: τὸ γένος F¹: τὰ περὶ τούτων p ἐξηκριβώσαντο Dp: ἐξηκρίβωσαν EFM: ἠκρίβωσαν V 4. 5 τὰ ... ὀνόματα ἐκ τοιαύτης αἰτίας γιγόνασιν V 5 φασὶν γὰρ V 6 ἀκαδήμω E: ἀκαδδημία (ubique) M ἑταίρους] ἑτέρους EM¹ 7 τὸ om. E ποιεῖν ἐπιτήδειον colloc. F ψυχῆς ἔλλαμψιν DFMV: ἔλλαμψιν ψυχῆς E: ἔλαμψιν τῆς ψυχῆς p 8 ἂν ἔχῃ DEFM: ἀνέχει V: ἂν ἔχοι p τοῦ τεχνίτου superscr. M διαφαίνεται] φαίνεται MV 9 γοῦν Dp: οὖν EFV: δὲ M τοῦ om. E 10 διεδέξατο EFM διατριβὴν] σχολὴν F αὐτοῦ D: om. EFMVp ὅ τε] ὁ E: om. V 11 καὶ ὁ μὲν D: ὁ μὲν EMVp: ὁ μὲν οὖν F λευκείῳ E (ubique) τῇ DMV: om. EFp 12 οἱ μὲν τοῦ] τοῦ μὲν E 14 τὴν post ἐνεργείας transp. E 15. 16 ἀπολέσαντες τὴν ἐκτοῦ τ. colloc. EFMVp τοῦ (ante τόπου) om. E 16 ἀπωλέσαντες V post ἀπολαβόντες add. ἐπωνυμίαν V καὶ τὴν—ἀπολέσαντες] ἀπώλεσαν τὴν ἐνέργειαν καὶ M τῆς om. V 17 Ἀκαδ.] ἀκαδημιακοί DFVp: ἀκαδημηκοί E¹: ἀκαδημηϊκοί E²: ἀκαδδημαϊκοί M 17. 18 ἔχειν ἐν τῇ διδ. colloc. E 18 παραδοθέντων] εἰρημένων Fp καὶ om. E 19 ἐπειδήπερ ὡς] καὶ p ἔγραψε] γράψειν p 21 διὰ τοῦ εἰπεῖν EMV: διὰ τοῦτο εἶπε DFp καὶ om. D 21. 22 post περιπάτου pergit Δέκα εἰσὶ γενικώτατα γένη, οὐσία ποσὸν ποιὸν καὶ τὰ ἄλλα, ὧν ἡ μὲν οὐσία πρᾶγμα αὐθύπαρκτον, τὰ δ' ἄλλα συμβεβηκότα. ἀποδέδοται οὖν τῷ γένει ὑπογραφή, ἥτις ἁρμόσει καὶ τοῖς δέκα. καὶ μὴ λέγε πῶς τῇ οὐσία ἁρμόσει καὶ τοῖς συμβεβηκόσι διαφόροις οὖσι κατὰ τὸ εἶναι. ὅπερ γὰρ ἐπισυμβέβηκε τῇ οὐσίᾳ, τοῦτ' ἔστι τὸ ὡς γένος εἰς εἴδη διαιρεῖσθαι τὰ ὑπ' αὐτήν, τὸ αὐτὸ καὶ τοῖς ἄλλοις συμβέβηκε. διαιροῦνται γὰρ καὶ τὰ ἄλλα εἰς τὰ ὑπ' αὐτὰ εἴδη ὡς γένη. ἄλλο τοίνυν ἐστὶ σκοπεῖν ταῦτα ὡς οὐσίαν καὶ συμβεβηκότα καὶ ἄλλο τὸ ὡς γένη γενικώτατα· κοινὸν γὰρ ἔχουσι τοῦτο p (cf. p. 34,3 sq.)

Περὶ γένους. 14v

p. 1,18 Ἔοικε δὲ μήτε τὸ γένος μήτε τὸ εἶδος.

Εἰρηκὼς τὸν σκοπὸν καὶ τὸ χρήσιμον τίς τε ὁ εἰσαγωγικὸς τρόπος, ὅτι τῶν βαθυτέρων ἀπέχεσθαι ζητημάτων τῶν δὲ ἁπλουστέρων στοχάζεσθαι, καὶ τίνα τὰ βαθύτερα καὶ τίνα τὰ ἁπλούστερα, ἀκολούθως ἐπὶ τὴν κατὰ μέρος διδασκαλίαν εἰσέβαλε. καὶ πρῶτον περὶ γένους διαλαμβάνει, ὅτι πρώτην τάξιν ἔχει τὸ γένος ἐν τοῖς ἀπηριθμημένοις καὶ ὅτι πλειόνων ἐστὶ περιεκτικὸν εἰδῶν. πρῶτον δέ ἐστι τὸ γένος τῶν εἰδῶν κατ᾽ αἰτίαν, καίτοι τῶν πρός τί ἐστι τὸ γένος καὶ τὸ εἶδος. ἀλλ᾽ ἔστι τινὰ τῶν πρός τι, ἐν οἷς τὰ ἕτερα τῶν ἑτέρων πρεσβύτερα καὶ αἴτια λέγομεν, οἷον τὸν πατέρα τοῦ υἱοῦ καθὸ ἄνθρωπον αἴτιόν φαμεν καὶ πρῶτον, καίτοι ἅμα γινωσκομένων καὶ ἀλλήλων συστατικῶν γινομένων τῶν πρός τι. ἢ πρός τί ἐστι· τὰ γὰρ πρός τι ἀνάγκη πρότερον οὐσίας εἶναι· σκοποῦντες οὖν τὴν προϋπάρχουσαν οὐσίαν τῶν πρός τι ἣν ἂν προϋφεστῶσαν εὕρωμεν ἢ χρόνῳ ἢ φύσει, ἐκείνην πρεσβυτέραν κατ᾽ αἰτίαν λέγομεν. ἐν γοῦν τῷ πατρὶ καὶ τῷ υἱῷ πρεσβύτερός ἐστιν ὁ πατὴρ χρόνῳ, καθὸ ἄνθρωπός ἐστιν, ὅπερ αὐτοῦ ἐστιν ἡ οὐσία, ἥτις συστατικὴ γίνεται τῆς τοῦ υἱοῦ οὐσίας. διὰ τοῦτο οὖν τὸν πατέρα πρεσβύτερον λέγομεν εἶναι τοῦ υἱοῦ καίτοι πρὸς ἄλληλα λεγομένων. ὁ δὲ ἄρχων τοῦ ἀρχομένου καὶ ὁ διδάσκαλος τοῦ μαθητοῦ κατὰ μόνην αἰτίαν πρεσβύτεροι, οὐ τῷ χρόνῳ· τῷ χρόνῳ γὰρ ἔσθ᾽ ὅτε καὶ ὕστεροι εἶεν ὡς ἄνθρωποι, φημὶ δὴ ὁ ἄρχων τοῦ ἀρχομένου καὶ ὁ διδάσκαλος τοῦ μαθητοῦ. τὸ αὐτὸ οὖν καὶ ἐπὶ τοῦ γένους καὶ τοῦ εἴδους. τὸ γὰρ γένος καὶ τὸ εἶδος τῶν πρός τι· τὰ δὲ πρός τι ἀνάγκη οὐσίας πρότερον εἶναι· τὸ δὲ γένος κατὰ τὴν οὐσίαν φύσει προϋφέστηκεν, οὐ χρόνῳ. καὶ συστατικὸν γίνεται τῆς οὐσίας τοῦ εἴδους· τὸ γὰρ γένος τέμνεται εἰς εἴδη· | πᾶν δὲ τεμνόμενον πρῶτον φύσει τοῦ τμήματος καὶ συστατικόν· οὐκ- 15r

---

3 τίς] τί E 4 τῶν μὲν βαθ. p (fort. recte) post ἀπέχεσθαι add. μέλλει p
4. 5 στοχάζεσθαι DFMp: ἀντέχεσθαι E: συμμέτρως στοχάζεσθαι V 5 τὰ βαθύτερα καὶ τίνα τὰ ἁπλούστερα D: τὰ βαθύτερα τίνα τε (δὲ V) τὰ ἁπλούστερα EMV: τὰ ἁπλούστερα καὶ τίνα τὰ βαθύτερα Fp ἐπὶ] περὶ E[1] 6 εἰσέβαλλε V καὶ πρῶτον μὲν V
7 ἔχει τάξιν colloc. FMV ἀπαριθμουμένοις E: ἀπηριθμένοις (μη superscr.) M
10 λέγομεν] λέγεται E 11 ἄνθρωπον scripsi: ἄνθρωποι libri (cf. v. 16) 13 πρότερον Fp: προτέρας DEMV (cf. v. 24) post οὐσίας add. τινὰς Fp 14 οὐσίαν scripsi: αἰτίαν DEFp: αἰτίαν (sed post τῶν πρός τι transp.) M: om. V 15 ἐκείνην DMVp: ἐκείνων E: ἐκείνης F κατ᾽ αἰτίαν πρεσβυτέραν colloc. EFMVp 15. 16 τῷ πατρὶ καὶ τῷ υἱῷ D: τῷ πατρὶ καὶ υἱῷ EFp: τῷ πατὴρ καὶ υἱὸς MV 16 πρεσβύτερος EFVp: πρεσβύτερον DM 17 αὐτοῦ ἐστιν D: ἐστὶν αὐτοῦ EFMV: ἔστιν αὐτὸ p
ἢ om. EM συστατικὴ] σύστασις E 18 λέγομεν πρεσβύτερον colloc. F εἶναι λέγομεν colloc. E ἀλλήλοις M 19 δὲ] γὰρ M 20 πρεσβυτέραν E: πρεσβύτερος V οὐ om. D: οὐ τῷ χρόνῳ om. M 21 εἶεν] εἰσίν M φημὶ δὴ D: om. EFMVp 22 ante τοῦ εἴδους add. ἐπὶ M 23 τὸ (ante εἶδος) om. MV τὰ] τῶν M 24 πρότερον D: πρότερα EVp: προτέρων M: oblitt. F (cf. v. 13)
25 γίνεται] ἐστὶ M 26 τὸ τεμνόμενον E πρῶτον φύσει D: καὶ πρῶτον φύσει FV: καὶ πρῶτον φύσις E: καὶ φύσει πρῶτον M: καὶ φύσει πρότερον p

οὖν εἰ πρῶτον κατὰ τὴν οὐσίαν τὸ γένος τοῦ εἴδους, τὰ δὲ πρῶτα κατὰ 15v
τὴν οὐσίαν τῶν πρός τι κατ' αἰτίαν πρῶτα· πρεσβύτερον ἄρα τὸ γένος τοῦ
εἴδους, καὶ εἰκότως αὐτὸ προτάττει τῶν λοιπῶν. ταύτῃ γοῦν καὶ ἡ φύσις
ἐν τῇ γενέσει τῇ τάξει κέχρηται· παραλαβοῦσα γὰρ τὸ σπέρμα πρῶτον 5
5 μὲν ζωοποιεῖ αὐτὸ καὶ ψυχοῖ, εἶτα προϊοῦσα αἴσθησιν παρασχοῦσα ποιεῖ
ζῷον, εἶτα θυμὸν καὶ ἐπιθυμίαν ποιεῖ ἄλογον ζῷον, εἶτα τέλος τὸν
λόγον παρασχοῦσα ποιεῖ ἄνθρωπον. ὥστε ὡς μὲν οὐσίαι προϋπάρχει τὰ
γένη τῶν εἰδῶν, ὡς δὲ γένη καὶ εἴδη συνυφέστηκεν ἀλλήλοις καὶ συναναι-
ρεῖται· τῆς γὰρ πρὸς ἄλληλα αὐτῶν σχέσεως ὀνόματά ἐστι τὸ γένος καὶ
10 τὸ εἶδος.

Ἄξιον δὲ ζητῆσαι, διὰ τί περὶ τοῦ γένους διδάσκων ἐμνήσθη καὶ τοῦ
εἴδους, καὶ μὴ καὶ τῆς διαφορᾶς καὶ τῶν ἄλλων. φαμὲν οὖν ὅτι τὸ γέ- 10
νος καὶ τὸ εἶδος πρός τί ἐστι, καθάπερ εἰρήκαμεν, (καὶ γὰρ τὸ εἶδος γέ-
νους ἐστὶν εἶδος καὶ τὸ γένος εἴδους ἐστὶ γένος), καὶ διὰ τοῦτο εἰκότως
15 ἐμνήσθη τοῦ εἴδους ἅμα τῷ γένει· ἐν γὰρ τῇ τῶν πρός τι διδασκαλίᾳ
ἀνάγκη πᾶσα τὸν περὶ θατέρου τούτων διδάσκοντα, καθὸ πρός τί ἐστι,
καὶ τοῦ λοιποῦ μνησθῆναι.

Κανόνι δ' ἐνταῦθα Ἀριστοτελικῷ κέχρηται ὁ Πορφύριος. ἔστι δὲ ὁ 15
κανὼν οὗτος· δεῖ τὸν μέλλοντα ποιήσασθαι περί τινος διδασκαλίαν ὁμωνύ-
20 μου, τοῦτ' ἔστιν εἰ ὑπὸ τοῦ αὐτοῦ ὀνόματος σημαίνονται πολλά, διελεῖν πρῶ-
τον τὰ ὑπὸ τοῦ ὀνόματος πολλὰ σημαινόμενα, εἶθ' οὕτως εἰπεῖν περὶ ποίου
τῶν σημαινομένων τὴν διδασκαλίαν ποιεῖται· ἡ γὰρ ὁμωνυμία εἴωθεν ἀσά-
φειαν καὶ πλάνην γεννᾶν τοῦ μὲν διδάσκοντος ἐπὶ ἄλλου σημαινομένου
τοῦτο τὸ ὄνομα λαμβάνοντος, τοῦ δὲ διδασκομένου ἐπ' ἄλλου. οἷον εἴ τις 20
25 περὶ τοῦ ἀστρῴου κυνὸς διδάσκειν βουλόμενος εἴποι ὁ κύων καύματα

---

1 πρῶτον] πρότερον p τοῦ εἴδους om. M πρῶτα] πρότερα p 1. 2 κατὰ τὴν οὐσίαν πρῶτα colloc. E 2 post αἰτίαν add. καθό εἰσιν αἴτια τῶν πρὸς ἃ λέγονται D πρῶτα] πρότερα p 3 λοιπῶν D: ἄλλων EFMVp ταύτῃ — ἡ φύσις] ταύτῃ γοῦν τῇ φύσει καὶ in ras. X fere litt. E γοῦν] γὰρ MV 4 πρῶτον] πρῶτα p 5 ψυχοῖ] ἐμψυχοῖ p καὶ αἴσθησιν FMp 6 τὸ ζῶον Ep ζῷον — ποιεῖ om. M καὶ om. E ante ποιεῖ add. καὶ EFVp: om. D τέλος DFV: τέλειον Ep 7 τὸν ἄθρωπον Ep οὐσίαι scripsi: οὐσία libri 8 δὲ καὶ γένη F 9. 10 τὰ γένη καὶ τὰ εἴδη EV 11 ἐμνήσθη post εἴδους transp. EFMV καὶ (ante τοῦ εἴδους) om. p καὶ (post μὴ) D: om. EFMVp 12 καὶ (ante τῶν ἄλλων) DF: ἢ EMVp 14 εἰκότως post γένει (15) transp. D: om. E 16 πᾶσα DEMV: πάντα Fp τὸν om. DV τούτων] τοῦτον V 17 μνησθῆναι] μεμνῆσθαι M 18 κανόνι δ' ἐντ. Ἀριστ.] cf. Top. A 18 p. 108a18. Z 2 p. 139b19 sq. 19. 20 μέλλοντα περί τινος διδάσκειν ὁμωνύμου M 19 διδασκαλίαν περί τινος colloc. Ep ὁμωνυμίας E 20 εἰ om. EMV ὑπὸ τῷ αὐτῷ ὀνόματι Ep σημαίνονται πολλά D: σημαίνοντα E: πολλὰ σημαίνονται F: πολλὰ σημαίνοντος MV: πολλὰ σημαίνεται p διελεῖν] διαιρεῖν E 20. 21 πρῶτον] πρότερον EV 21. 22 ποίου σημαινομένου V 22. 23 post ἀσάφειαν add. ποιεῖσθαι expunxit E 23 ante τοῦ add. καὶ E 24 τὸ ὄνομα τοῦτο colloc. EFMVp ante λαμβ. add. διδάσκοντος καὶ Ep διδασκομένου δὲ colloc. EFMV εἴ τις om. E 25 τοῦ om. E εἴπῃ EV

ποιεῖ ἢ διακρίνει τοὺς καρπούς' μὴ πρότερον εἰπὼν περὶ ποίου κυνὸς ποι- 15r
εῖται τὸν λόγον πλάνην ἐμποιήσει τῷ ἀκροατῇ· δεῖ οὖν πρότερον ἀπαριθ-
μησάμενον τὰ σημαινόμενα τοῦ κυνός, ὅτι ὁ μὲν ἀστρῷός ἐστιν ὁ δὲ χερ-
σαῖος ὁ δὲ θαλάττιος ὁ δὲ φιλόσοφος, εἰπεῖν ὅτι περὶ τοῦ ἀστρῴου ποιοῦ-
5 μαι τὸν λόγον. τοῦτο οὖν φιλοσόφως ποιῶν ὁ Πορφύριος ἀπαριθμεῖται τὰ 25
σημαινόμενα τοῦ γένους καὶ δηλοῖ περὶ ποίου αὐτῶν ὁ λόγος.

p. 1,18 Ἔοικε δὲ μήτε τὸ γένος μήτε τὸ εἶδος ἁπλῶς λέγεσθαι.

Τὸ ἔοικεν οὐχ ὡς ἐνδοιάζων λέγει, ἀλλ' ἀντὶ τοῦ φαίνεται. τὸ δὲ ἁπλῶς τετραχῶς λέγεται· σημαίνει γὰρ τὸ καθόλου, ὥς φασιν οἱ ῥήτορες
10 'καὶ ἁπλῶς εἰπεῖν' ἀντὶ τοῦ 'καθόλου εἰπεῖν', καὶ τὸ κυρίως, ὡς ὅταν εἴπῃ ὁ Ἀριστοτέλης 'ἡ ἁπλῶς γένεσις' τοῦτ' ἔστιν ἡ κυρία, καὶ τὸ μάτην καὶ ἄνευ τινὸς λόγου, ὡς ὅταν εἴπωμεν 'ἁπλῶς αὐτὸν τύπτει' ἀντὶ τοῦ μάτην. σημαίνει δὲ καὶ τὸ μοναχῶς, ὡς ὅταν παρ' Εὐριπίδῃ λέγηται

ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ. 30

15 νῦν δὲ ἀντὶ τοῦ μοναχῶς κεῖται· λέγει γὰρ ὅτι φαίνεται μήτε τὸ γένος μήτε τὸ εἶδος μήτε τὰ λοιπὰ μοναχῶς λεγόμενα.

p. 1,18 Γένος γὰρ λέγεται καὶ ἡ τινῶν ἐχόντων πως πρὸς ἕν τι.

Πρῶτον σημαινόμενον τοῦ γένους φησί, τοῦτο δέ ἐστι, καθ' ὃ δύο σχέσεις λαμβάνει, πλήθους πρὸς πλῆθος καὶ πλήθους πρὸς ἕνα, οἷον τῶν
20 Ἡρακλειδῶν πρὸς Ἡρακλέα, καθὸ ἐξ ἐκείνου λέγονται ἔχειν τὸ γένος, καὶ 35
αὐτῶν τούτων πρὸς ἀλλήλους, καθὸ ἀλλήλοις λέγονται θεῖοι καὶ ἀνεψιοὶ ἢ ὁπωσοῦν ἄλλως. τὸ δὲ πῶς προσέθηκεν καλῶς· ἄλλῳ γὰρ ἄλλη ἔσται

1 διακρίνεται V κυνὸς] τῶν σημαινομένων V 2 ἐμποιήσει DFMp: ἐμποιεῖ E: ἐμποιήσοι V 2. 3 ἀπαριθμησάμενον DFMV: ον ex ος vel ex α corr. E: ἀπαριθμήσασθαι p 3 ὅτι DMV: καὶ γὰρ (sed καὶ superscr.) Ep: γὰρ F ἐστιν ante ὁ μὲν transp. M 3. 4 post χερσαῖος add. ἐστιν V 4 ὁ δὲ φιλόσοφος] τὸν δὲ φιλόσοφον p τοῦ om. E 5 ποιῶν initio versus iter. D 6 αὐτῶν MVp: αὐτῷ DF: αὐτοῦ E 8 post ἔοικεν add. σημαίνει τρία· τὸ ὁμοιοῖ τὸ πρέπει καὶ τὸ φαίνεται τὸ δὲ ἔοικεν D λέγει] εἴρηκε D ἀλλ'] τοῦτο γὰρ διστάζοντος ἐστὶ λογισμοῦ τὸ εἰπεῖν ἔοικεν D 9 ὥς φασιν] ὥσπερ D 10 εἰπεῖν (alterum) om. M 11 εἴποι M ὁ om. E Ἀριστ.] cf. Phys. E p. 225a14 sq. Metaph. K p. 1067b23 sq. κυρία] κυρίως MV 12 ὡς ὅταν εἴπωμεν D: ὅτι EFMV: ὡς τὸ p 12. 13 ἀντὶ τοῦ μάτην om. EFMVp (fort. recte) 13 μοναχῶς] μονομερῶς D (sed cf. v. 15) παρ' Εὐριπίδῃ λέγεται (sic) D: εἴπωμεν EFMVp (cf. Euripid. Phoen. 472) 15 λέγει] λέγεται M 15. 16 εἶδος μήτε τὸ γένος colloc. p μοναχῶς λεγόμενα] μονομερῶς λέγεσθαι D 17 καὶ om. D 18 φησὶ τοῦ γένους colloc. EFMVp δὲ om. M 19 πλήθους (utrobique) p: πλῆθος codd. ἕνα] ἓν F 19. 20 τῶν Ἡρακλ.] τὸν Ἡραλέους M 20 λέγεται M 22 καλῶς προσέθηκε colloc. EFMVp ἄλλη γὰρ ἄλλω EFMVp ἔσται] ἐστὶ EV

σχέσις τῶν ὑπὸ τὸ αὐτὸ γένος ὄντων· ἢ γὰρ θεῖοί εἰσιν ἄλλοι ἄλλων ἢ 15r
τέκνα ἢ ἀδελφοὶ ἢ ἄλλο τι τῶν τοῦ τοιούτου γένους συμπληρωτικῶν.

p. 1,20 Καθ' ὃ σημαινόμενον τὸ Ἡρακλειδῶν λέγεται γένος. 15v

Τῷ γὰρ εἰπεῖν Ἡρακλειδῶν χωρίζει αὐτοὺς τῶν ἄλλων γενῶν οἷον
5 Ταντα λιδῶν καὶ τῶν ἄλλων.

p. 1,20 Ἐκ τῆς ἀφ' ἑνὸς σχέσεως, λέγω δὴ τοῦ Ἡρακλέους.

Καθὸ πάλιν δύο σχέσεις λαμβάνονται ἑνὸς πρὸς ἕνα, αἰτίου καὶ αἰ-
τιατοῦ, οἷον τοῦ Ἡρακλέους πρός τινα τῶν Ἡρακλειδῶν (αἰτίου μὲν ὄντος 5
τοῦ Ἡρακλέους αἰτιατοῦ δὲ τοῦ ἀπ' ἐκείνου), ἢ τῆς πατρίδος καὶ τοῦ ἐν
10 αὐτῇ τραφέντος, καθὸ λέγομεν Πλάτωνα μὲν Ἀθηναῖον τὸ γένος Πίνδαρον
δὲ Θηβαῖον. ἰστέον δὲ ὅτι ἡ σχέσις λέγεται ἢ κατὰ τέχνην ὡς τοῦ διδα-
σκάλου πρὸς τὸν μαθητὴν ἢ κατὰ τύχην ὡς τοῦ δεσπότου πρὸς τὸν δοῦ-
λον ἢ κατὰ προαίρεσιν ὡς τοῦ φίλου πρὸς τὸν φίλον ἢ κατὰ φύσιν ὡς 10
τοῦ πατρὸς πρὸς τὸν υἱόν· ἡ οὖν τῶν εἰρημένων σχέσις φύσει ἐστί.

15 p. 1,22 Κατὰ ἀποτομὴν τὴν ἀπὸ τῶν ἄλλων γενῶν.

Ἰστέον γὰρ ὅτι αἱ σημαντικαὶ φωναὶ καὶ τὰ ὀνόματα εἰώθασι χωρίζειν
τὰ πράγματα ἀπ' ἀλλήλων· καὶ γὰρ ἡ φύσις ἐπενόησε τόδε τι ἄνθρωπον
καλεῖσθαι ἢ κύνα ἢ ἄλλο τι, ἵνα διὰ τούτου ἀποχωρίσῃ ἕκαστα ἀπ' ἀλλή-
λων. καὶ ἑκάστη τῶν τεχνῶν ὡς μέλλουσά τι καινότερον καὶ ξενοπρεπὲς
20 παρὰ τὰς ἄλλας διδάσκειν τέχνας τοῖς οἰκείοις ὀργάνοις ὀνόματα ἐπιτίθησιν. 15

1 τὸ] τῶν F¹ ὄντων ante ὑπὸ transp. V ἄλλων] ἄλλοις D 2 τῶν τοῦ τοιούτου EF: τῶν τοιούτων D: τῶν τοιούτου MVp συμπληρωτικῶν DFM: συμπληρωματικῶν Ep: συμπληρωτικόν V 3 λέγεται τὸ ἡρακλ. colloc. F τὸ τῶν ἡρακλ. p 4 τῶ] τὸ Ep Ἡρακλ.] ἡρακλέους M αὐτοὺς] αὐτὸ p 5 Πελοπιδῶν Ταντα λιδῶν Αἰακιδῶν Ἐρεχθειδῶν καὶ τῶν ἄλλων ἁπάντων D 6 ἐκ] καὶ p λέγω δὴ Dp: δῆλον δὴ E: δῆλον δὲ MV ἡρακλέος codd. 7 Καθὸ — φύσει ἐστί (v. 14) lemmate λέγεται δὲ καὶ ἄλλως κ. τ. λ. (Proph. p. 23) anteposito post πράγματα (p. 51,7) transposuit ed. Ald. (Venet. 1546); sed verba ἰστέον (v. 11) — φύσει ἐστί ad lemma ἐκ τῆς ἀφ. ἑνὸς σχέσεως pertinere videntur: cetera καθὸ — Θηβαῖον illo lemmate addito transponas 8 ἡρακλέος DF 9 ἡρακλέος DEF 10 τὸν πλάτωνα M μὲν om. EMV τὸ γένος ἀθηναῖον colloc. EMV 11 δὲ (alterum) om. M ἡ om. E post σχέσις add. κατὰ τέσσαρας τρόπους p λέγεται post τέχνην transp. M 12 τὸν (ante μαθητὴν) om. DEM κατὰ τὴν τύχην M 13 ὡς φίλου πρὸς φίλον V 14 φύσει DFp: φύσις MV: om. E 15 post γενῶν add. κεκλημένου M: κεκλημένην p 16 γὰρ] δὲ p χωρίζειν] ἀποχωρίζειν MV 17 καὶ γὰρ — ἀλλήλων (18. 19) om. E καὶ γὰρ καὶ FM 18 ἢ (ante ἄλλο)] καὶ M τούτου] τούτων p ἕκαστα scripsi: ἕκαστον libri 19 post καὶ (prius) add. γὰρ Dp μελλούσῃ E 20 διδάσκειν ante παρὰ transp. E: post τέχνας FMVp οἰκείοις] ἰδίοις M

ἵνα ἔχῃ πῶς αὐτὰ σαφηνίσει· οὕτως γὰρ οἱ γεωμέτραι πολλὰς διαφορὰς 15v
τριγώνων εὑρηκότες οἷον τὸ μὲν ἴσας ἔχον τὰς τρεῖς πλευρὰς τὸ δὲ τὰς
δύο μόνον τὸ δὲ τὰς τρεῖς ἀνίσους, οἰκείοις ὀνόμασιν κεχρημένοι τὸ μὲν
ἴσας ἔχον τὰς τρεῖς πλευρὰς ἐκάλεσαν ἰσόπλευρον, τὸ δὲ τὰς δύο μόνον
5 ἴσας ἰσοσκελὲς τὸ δὲ τὰς τρεῖς ἀνίσους σκαληνόν, βουλόμενοι διὰ τῶν ὀνο-
μάτων ἕκαστον τούτων δηλῶσαι. οὕτως ἄρα τὰ ὀνόματα σημαίνει τὰ 20
πράγματα.

p. 2,5 Τοῦτο δὲ ἔοικε πρόχειρον εἶναι τὸ σημαινόμενον.

Ἀσάφειάν τινα ἐποίησεν ὁ φιλόσοφος ἀμέσως εἰς τὸ πρῶτον σημαινό-
10 μενον τοῦ γένους ἐπελθὼν καὶ μὴ ἐπισημηνάμενος αὐτὸ τοῦτο· ὤφειλε γὰρ
διορίσασθαι περὶ ποίου σημαινομένου τοῦ γένους διαλέγεται. ὅτι γὰρ περὶ
τοῦ προτέρου ποιεῖται τὸν λόγον καὶ οὐ περὶ τοῦ προσεχῶς ἡμῖν εἰρημένου,
δηλοῖ τὰ ὑποδείγματα ἃ τίθησι· φησὶ γὰρ ὅτι τοῦτο τὸ σημαινόμενον τοῦ 25
γένους πρόχειρον ἔοικεν ἡμῖν ἐκ τῆς συνηθείας εἶναι καὶ γνωριμώτερον.
15 πρόχειρον δὲ τῇ συνηθείᾳ λέγει σημαινόμενον τὴν ἀφ' ἑνὸς εἰς πολλοὺς
καὶ ἀπὸ πολλῶν εἰς πλῆθος σχέσιν.

Ἄξιον δὲ ἀπορῆσαι, διά τί τοῦτο πρόχειρον εἶπε, καὶ μὴ τὴν τοῦ ἑνὸς
πρὸς ἕνα σχέσιν· τοῦτο γὰρ πρότερον οἶδεν ἡ φύσις· ἕνα γὰρ ἐξ ἑνὸς
πρῶτον ποιεῖ, καὶ οὕτως πολλοὺς ἐκ πολλῶν. ἐροῦμεν οὖν πρὸς τοῦτο,
20 ὅτι τὸ μὲν δεύτερον σημαινόμενον τοῦ γένους, ὅ ἐστιν ὡς πρὸς ἡμᾶς δεύ- 30
τερον, τῇ φύσει πρῶτόν ἐστιν (ἀπὸ γὰρ τοῦ Ἡρακλέους πρότερον εἰς γί-
νεται, εἶθ' οὕτως τὸ πλῆθος), τὸ δὲ πρῶτον σημαινόμενον τῇ φύσει ἐστὶ
δεύτερον; καὶ τὸ τῇ φύσει δεύτερον ἡμῖν πρῶτον. καὶ καθόλου τὰ τῇ

1 σαφανίσαι EMVp καὶ οἱ γεωμέτραι FMVp 1. 2 εὑρίσκονται πολλὰς διαφ. τριγ. E: εὑρηκότες πολλὰς δ. τρ. MV 3. 4 μόνας (utrobique) M 3 ὀνόμασιν οἰκείοις colloc. Ep κεχρημένοι D: κέχρηνται EFMp: κέχρηνται καὶ V 4 ἐκάλεσεν (compend.) D 5 σκαλινόν V 6 τὰ ὀνόμ. σημ.] σημαινόμενα E σημαίνουσι FVp 8 ante ἔοικε add. καὶ F: superscr. M 9 ante ἀσάφειαν add. τὸ πρόχειρον τὸ πρῶτον σημαίνει, ἐπειδὴ τὸ ἕτοιμον (sic) καὶ ἐγγὺς ἡμῖν ὑπάρχον πρῶτον ἐστί, τὸ δ' ὕστερον πρόχειρον οὐδέποτε ἐστί. κατὰ πρῶτον οὖν σημαινόμενον ἐστὶ τοῦτο D πρῶτον] πρότερον MV 10 ἐπελθὼν Dp: μετελθὼν EFMV μὴ om. F 11 διαλέγεται D: λέγεταιEF: λέγει Mp: λέγοιτο V 12 τοῦ (prius) om. p οὐ om. V εἰρημ. ἡμῖν colloc. V 13 παραδείγματα M γὰρ] γοῦν V 14 ἔοικε πρόχειρον εἶναι ἡμῖν ἐκ τῆς συνηθ. E 15 πρόχειρον] πρότερον D λέγει DEFp: λέγω M: λέγεται V τὴν suppl. in mrg. E: ἡ V 15. 16 εἰς πολλοὺς καὶ ἀπὸ πολλῶν εἰς πλῆθος D: τῶν πολλῶν ἢ εἰς πολλὰ EFMV: τῶν πολλῶν ἢ εἰς τοὺς πολλοὺς p 17 ἄξιον — σχέσιν (18) om. M τοῦτο DF: τοῦτο τὸ πρῶτον ἀποδοθὲν γένος E: τὸ πρῶτον ἀποδοθὲν γένος τοῦτο V: τὸ πρῶτον ἀποδοθὲν γένος p 18 post σχέσιν add. λέγω δὴ τὸ δεύτερον EVp 19 πολλοὺς] πολλὰ M 21 τῇ om. EM πρότερον] πρῶτον F 22 εἶθ'] καὶ E τὸ πλῆθος] πολλοί E post τῇ φύσει add. ἡμῖν Mp: ante τῇ φύσει V 23 ante καὶ τὸ suppleveris τὸ γὰρ τῇ φύσει πρῶτον ἡμῖν ἐστι δεύτερον, sed malim καὶ τὸ — πρῶτον eicere καὶ (ante καθόλου) superscr. M τῇ (alterum) om. M

φύσει πρῶτα ἡμῖν ὕστερά εἰσι, τὰ δὲ τῇ φύσει δεύτερα ἡμῖν πρῶτα, οἷον 15v
φύσει πρότερον ἡ ὕλη καὶ τὸ εἶδος, ἔπειτα τὰ τέσσαρα στοιχεῖα, εἶτα σάρκες καὶ ὀστέα καὶ τὰ λοιπὰ τῶν ὁμοιομερῶν, εἶτα ἄνθρωπος. καὶ ἡ μὲν 35
φύσις οὕτως ἀπὸ τῶν ἀνωτέρω ἐπὶ τὰ δεύτερα φέρεται, ἡμεῖς δὲ ὡς ἅτε
5 κατωκάρα βαίνοντες καὶ ὕπτια βλέποντες καὶ ἀπὸ τῶν προσεχεστέρων ἐπὶ τὰ πόρρω καὶ ἀπὸ τῶν ἐνυλοτέρων ἐπὶ τὰ ἄυλα βουλόμενοι | ἔρχεσθαι 16r
πρῶτον μὲν γινώσκομεν τὸν ἄνθρωπον, εἶτα ὅτι σύγκειται ἐξ ὀστέων καὶ σαρκῶν, εἶτα ὅτι σύγκειται ταῦτα ἐκ τῶν τεσσάρων στοιχείων, εἶτα ὅτι ταῦτα ἐξ ὕλης καὶ εἴδους. ὥστε τὰ τῇ φύσει πρότερα τῇ γνώσει ἡμῶν
10 ὕστερα γίνονται καὶ τὰ τῇ φύσει ὕστερα ἡμῶν τῇ γνώσει πρότερα· σαφέστερον οὖν τὸ πρῶτον, ἀσαφέστερον δὲ τὸ δεύτερον. διὰ τοῦτο τὴν περὶ 5
αὐτῶν διδασκαλίαν οὕτω προεχειρίσατο ὁ Πορφύριος (δεῖ γὰρ ἐκ τῶν σαφεστέρων ἡμῖν ποιεῖσθαι τὴν διδασκαλίαν), καὶ ὅτι τὸ παρὰ τοῖς φιλοσόφοις γένος, περὶ οὗ ὁ λόγος, ἔοικε τοῖς εἰρημένοις γένεσιν ὁμοιότητά τέ τινα
15 πρὸς ταῦτα ἔχει.

Ἄξιον δὲ ἀπορῆσαι, δι' ἣν αἰτίαν ὄντων καὶ ἑτέρων σημαινομένων τοῦ γένους αὐτὸς ταῦτα μόνον ἀπηριθμήσατο. ὅτι δὲ ἔστι καὶ ἕτερα σημαινόμενα, δῆλον ἐντεῦθεν· ὁ γὰρ Πλάτων γένη ἔλεγε τοῦ ὄντος οὐσίαν 10
ταυτότητα ἑτερότητα κίνησιν καὶ στάσιν. ταῦτα τοίνυν οὐκ ἀπηριθμήσατο.
20 ἐπειδὴ προέκειτο αὐτῷ, καθὼς προεσήμανε, περὶ τῶν Ἀριστοτέλει δοκούντων γράψαι. φαίνεται δὲ καὶ ὁ Ἀριστοτέλης αὐτὸς γένος καλῶν ἐν τῇ Φυσικῇ τὴν ἑκάστῃ τέχνῃ ὑποκειμένην ὕλην, ὡς ἐν τεκτονικῇ τὰ ξύλα καὶ ἐν ἰατρικῇ τὰ ἀνθρώπινα σώματα καὶ ἐν τοῖς φυσικοῖς ἅπασι τὴν

1 πρῶτα (utrobique)] πρότερα E ὕστερα] δεύτερα p (fort. recte) εἰσι D: ὑπάρχει E: ὑπάρχουσι FV: ἐστι p: om. M 2 τῇ φύσει M πρότερον DEM: προτέρα FV: πρῶτον p εἶτα D: ἔπειτα EFMVp 3 καὶ (post σάρκες) om. D ὀστέα EFp: ὀστὰ D: ὀστᾶ MV (cf. v. 7) ὁμοίων μερῶν M 4 ἀνωτέρων Fp ἐπὶ DV: εἰς EFMp 5 κατωκάρα βαίνοντες D: κατωτέρω (primitus καρ in exitu versus, ex quo m.² corr. κατωτέρω) βαίνοντες κάτω E: κατώτερα βαίνοντες F: κέρα κάτω βαίνοντες M: κατώτερα νεύοντες Vp καὶ (post βλέποντες) om. F 6 πόρρω DE: πορρώτερα FMp: πορρωτέρω V ἐνυλωτέρων D¹E ἄυλα DEF: ἀυλότερα MVp ἔρχεσθαι D: ἐπανέρχεσθαι EFMV: ἀνέρχεσθαι p 7 ὅτι] ὡς V καὶ ἐξ ὀστέων M 8 εἶτα D: ἔπειτα EFMVp ὅτι σύγκειται — εἶτα om. V σύγκειται post τεσσάρων transp. E: om. FMp 9 τῇ γνώσει om. F 9. 10 ἡμῶν (utrobique)] ἡμῖν p 10 γίνονται DEp: γίνεται FMV τῇ γνώσει ἡμῶν colloc. M πρότερα] πρῶτα M 12 αὐτῶν] αὐτοῦ M 13 ἡμῖν] ἡμᾶς p ποιεῖσθαι] ποιῆσαι p 13. 15 καὶ ὅτι— ἔχει eicias 13. 14 τὸ γένος τὸ π. τ. φιλ. MV παρὰ] περὶ D ἔοικε περὶ οὗ ὁ λ. colloc. V τῶν εἰρημένων γένεσιν V ὁμοιότητά τε D: καὶ ὁμοιότητα EFMVp 16 ἀπορῆσαι] ζητῆσαι EM καὶ ἑτ. ὄντων colloc. V 17 ταῦτα μόνον DEV: ταῦτα μόνα FM: μόνος ταῦτα p 18 γένη] γένος F: γένεσιν M; haec genera apud Plat. non inveni ἔλεγε γένη colloc. V 19 καὶ om. MV τοίνυν DMV: οὖν E: νῦν F: οὖν νῦν p 20 ἐπειδὴ τοίνυν V αὐτῷ καθὼς] καθὼς αὐτὸς M περὶ τῶν] τὰ MV τῶν τῷ ἀριστ. Mp 21. 22 δοκούντων] δοκούντων περὶ τούτων M: δοκοῦντα περὶ τούτων V 21 γράφειν E ὁ ἀριστ. αὐτὸς D: αὐτὸς ὁ ἀριστ. Ep: ὁ αὐτὸς ἀριστ. F: ἀριστ. MV 21. 22 ἐν τῇ Φυσικῇ] cf. A 6 p. 189a 11 sq. ἐν ἑκάστῃ p τῇ τεκτονικῇ MVp 28 τῇ ἰατρικῇ Vp

πρώτην ὕλην· ἀλλ' οὐ πρόκειται τῷ Πορφυρίῳ περὶ τούτων φυσικῶς εἰ- 16r
πεῖν, ἀλλὰ πρεπόντως τῇ λογικῇ πραγματείᾳ. 15

p. 2,10 Ἄλλως δὲ πάλιν γένος λέγεται, ᾧ ὑποτάσσεται τὸ εἶδος, καθ' ὁμοιότητα ἴσως τούτων εἰρημένον.

5 Τρίτον ἀπαριθμεῖται σημαινόμενον τοῦ γένους, περὶ οὗ καὶ τοῖς φιλο-
σόφοις ὁ λόγος. ὁμοιότητα δέ τινα ἔχει πρὸς τὰ πρὸ αὐτοῦ· ὥσπερ γὰρ
τὸ πρῶτον σημαινόμενον τοῦ γένους δύο τινὰς ἔχει σχέσεις, τὴν πολλῶν
πρὸς ἕνα καὶ τὴν αὐτῶν πρὸς αὐτούς, οὕτω τὰ εἴδη σχέσιν καὶ πρὸς τὸ 20
γένος καὶ πρὸς ἄλληλα ἔχει. πάλιν ὥσπερ τὸ δεύτερον σημαινόμενον σχέσιν
10 ἔχει ἑνὸς πρὸς ἕνα καὶ τὴν τοῦ αἰτίου καὶ τοῦ αἰτιατοῦ, οὕτω καὶ τοῦτο
σχέσιν ἔχει ἑνὸς πρὸς ἕνα, οἷον τοῦ ζῴου πρὸς ἄνθρωπον, αἰτιατοῦ πρὸς
αἴτιον. ἴσως μὲν οὖν οἱ ὀνοματοθέται πρῶτοι τὰς διαφόρους τῶν ἀνθρώ-
πων γενέσεις διακρῖναι βουλόμενοι ἐκάλεσαν τὸ μὲν Ἡρακλειδῶν γένος τὸ
δὲ Αἰακιδῶν τὸ δὲ Πελοπιδῶν, εἶθ' ὕστερον οἱ φιλόσοφοι κατὰ μίμησιν 25
15 τὴν τούτων τὰ παρ' αὐτοῖς ὠνόμασαν γένη· ὡς γὰρ Ἡρακλειδῶν γένος οἱ
ἐξ Ἡρακλέους γενόμενοι, οὕτω δὴ λέγεται καὶ τὸ ζῷον γένος· τῶν γὰρ
μερικῶν ζῴων, ἀνθρώπου κυνὸς ἵππου καὶ τῶν ἄλλων, γένος λέγεται τὸ
ἁπλῶς ζῷον. πολλάκις δὲ οἱ φιλόσοφοι εὗρον πρότερον τὰ παρ' αὐτοῖς
γένη, εἶθ' ὕστερον ἐπιγινόμενοι οἱ ὀνοματοθέται κατὰ μίμησιν τούτων τὰ
20 ἐν τῇ συνηθείᾳ τῶν ἀνθρώπων γένη ὠνόμασαν· δυνατὸν γὰρ ἑκάτερον
ἐπινοεῖν. ἐπεὶ οὖν ἀμφίβολον ὑπάρχει τοῦτο, εἴτε οἱ φιλόσοφοι εὗρον τὴν 30
ἀρχὴν τῆς τοιαύτης ὀνομασίας εἴτε οἱ ὀνοματοθέται, διὰ τοῦτο ἴσως εἶπεν
ἀμφιβάλλων καὶ αὐτός.

---

1 πρώτην om. V 1. 2 εἰπεῖν DMV: σκοπεῖν EFp 2 τῇ πραγματείᾳ τῇ λογικῇ F 4 εἰρημένων DE 5 ante τρίτον add. εἰρηκὼς καθ' ὁμοιότητα καλῶς προσέθηκε το ἴσως, ἐπειδὴ οὐκ ἴσμεν ἀκριβῶς ποῖον ἐκ ποίου εἴρηται γένος D 6 πρὸς om. M 7 τὴν Ep: τῶν DFMV 8 τὴν EFMVp: τῶν D καὶ τὰ εἴδη p καὶ (ante πρὸς τὸ γένος)] ὡς M 9 ἔχει ante σχέσιν (8) transp. E: post σχέσιν Mp: ἔχουσι (post σχέσιν) V πάλιν καὶ ὥσπερ V 10 καὶ τὴν — ἕνα (11) om. E καὶ (ante τὴν) om. Mp (recte) τοῦ (ante αἰτιατοῦ) om. MVp (fort. recte) 11 ἔχει σχέσιν colloc. V τὸν ἄνθρ. (sed τὸν eras.) D ante αἰτιατοῦ add. καὶ Mp; αἰτ. πρὸς αἴτιον eicias 12 νομοθέται M^1: ὀνομοθέται M^2 14 πελοπιδῶν τὸ δὲ αἰακιδῶν colloc. V 14. 15 κατὰ τὴν τούτων μίμησιν p 14 post μίμησιν add. μὲν F 15 ὠνόμασαν γένη τὰ π. αὐτοῖς colloc. E ὡς γὰρ] ὥσπερ V 16 ἐξ] ἐκ τοῦ V γινόμενοι V δὴ om. MV 17 ἵππου κυνὸς colloc. M ἄλλων DE: λοιπῶν FMVp post γένος add. ἀληθῶς V 18 εὗρον πρότερον DFp: πρότερα εὗρον E: πρῶτον εὗρον M: πρότερον εὗρον V αὐτοῖς] ἑαυτοῖς Mp 19 ἐπιγενόμενοι M 19. 22 νομοθέται M 20 ἐν om. F ὠνόμασαν γένη colloc. V

21 ἐπινοεῖν DM: ὑπονοεῖν EFVp τοῦτο ὑπάρχει colloc. E 22 τῆς ὀνομασίας τῆς τοιαύτης D ὀνοματοθεσίας V εἶπεν ἴσως colloc. V

p. 2,14 Τριχῶς οὖν τοῦ γένους λεγομένου περὶ τοῦ τρίτου παρὰ 16r
τοῖς φιλοσόφοις ὁ λόγος, ὃ καὶ ὑπογράφοντες ἀποδεδώκασιν.

Ἀπαριθμησάμενος ὁ Πορφύριος τὰ σημαινόμενα τοῦ γένους φησὶ περὶ τοῦ τρίτου παρὰ τοῖς φιλοσόφοις εἶναι τὸν λόγον.

5 p. 2,15 Ὃ καὶ ὑπογράφοντες ἀποδεδώκασι.

Δεῖ οὖν ἡμᾶς πρότερον εἰπεῖν, τί ἐστιν ὑπογραφὴ καὶ τί ὅρος, καὶ τί 35
διαφέρει ὁρισμὸς ὑπογραφῆς, εἶθ' ἑξῆς τὴν αἰτίαν ζητῆσαι, τίνος ἕνεκεν
δι' ὑπογραφῆς αὐτὸ διδάσκει καὶ μὴ δι' ὁρισμοῦ, καίτοι γε εἰώθασιν οἱ
ὁρισμοὶ τὴν οὐσίαν τοῦ ὑποκειμένου σημαίνειν πράγματος καὶ περικλείειν
10 μὲν τὰ οἰκεῖα οὐδὲν δὲ ἀφαιρεῖ|σθαι τῶν ἀλλοτρίων. ῥητέον οὖν ὡς ἕκαστον 16v
τῶν πραγμάτων καὶ ἕν ἐστι καὶ πολλά. καὶ διὰ τοῦτο σημαίνεται ἕκαστον καὶ
δι' ὀνόματος καὶ διὰ λόγου· δι' ὀνόματος μὲν ὅταν ὡς ἕν τι θεωρῆται, διὰ
λόγου δὲ ὅταν ὡς πολυμερές. οἷον τὸν ἄνθρωπον σημαίνομεν καὶ διὰ τοῦ
'ἄνθρωπος' ὀνόματος καὶ διὰ τοῦ λόγου τοῦ λέγοντος 'ζῷον λογικὸν θνητὸν
15 νοῦ καὶ ἐπιστήμης δεκτικόν.' οὗτος δὲ ὁ λόγος ὁ σημαντικὸς τῶν ὑποκειμένων 5
πραγμάτων ἢ ἐκ τῶν κατ' οὐσίαν ὑπαρχόντων τοῖς πράγμασιν εἰλημμένος
ἐστὶν ἢ ἐκ τῶν συμβεβηκότων αὐτοῖς· εἰ μὲν οὖν ἐκ τῶν οὐσιωδῶς ὑπαρ-
χόντων αὐτοῖς λαμβάνεται, καλεῖται ὁρισμὸς ὡς ζῷον λογικὸν θνητόν (συμ-
πληροῖ γὰρ ταῦτα τὴν οὐσίαν τοῦ ἀνθρώπου), εἰ δ' ἐκ τῶν συμβεβηκότων
20 αὐτοῖς εἰλημμένος ᾖ, καλεῖται ὑπογραφή, οἷον ἄνθρωπός ἐστι ζῷον ὀρθο-
περιπατητικὸν πλατυώνυχον χερσὶ χρώμενον· ταῦτα γὰρ ἐπισυμβέβηκε τῇ 10
τοῦ ἀνθρώπου οὐσίᾳ· οὐ γὰρ συμπληροῖ ταῦτα τὴν τοῦ ἀνθρώπου οὐσίαν,
ἀλλ' ἐπισυμβέβηκεν αὐτῇ. ταύτῃ οὖν διαφέρει ὁ ὁρισμὸς τῆς ὑπογραφῆς

---

1 τοῦ γένους om. E λεγομένος E¹ περὶ om. E παραδεδώκασιν F
3 ante ἀπαριθμησάμενος ex Elia, ni fallor, add. οὐ περὶ τῶν ἑτέρων δύο ἐπειδὴ ταῦτα τῶν ἀτόμων εἰσὶ καὶ τῶν καθ' ἕκαστα. τοῖς φιλοσόφοις οὖν ὁ λόγος οὐ περὶ τῶν ἀτόμων ἀλλὰ τῶν καθόλου. οὐ ζητεῖ τοίνυν πρῶτον τὸ ζητούμενον πᾶσιν εἰ ἔστι καὶ μετὰ ταῦτα τὸ τί ἐστιν, ἐπειδὴ παρητήσατο τοῦτο λέγειν, εἴτε ὑφέστηκεν εἴτε καὶ μή· οὐ γὰρ περὶ τούτων πραγματεύεται D ἀπαριθμήσας E 4 εἶναι παρὰ τ. φιλ. colloc. EFMVp παρὰ in ras. E: om. V 6 ὑπογραφή] ὑπόγραμμα E 7 ὁ ὁρισμὸς p ὑπογραφῆς] ὑπογραμμοῦ E 8 δι' ὑπογραφῆς] ὑπογραμμαῖς E γε om. FM 9 οὐσίαν] αἰτίαν M πράγματος σημαίνειν colloc. EFMVp 10 ῥητέον] ἰστέον M 11 καὶ (ante ἕν) om. E 11 καὶ ἕκαστον F 12 ὅτε . . . θεωρεῖται E: ὅταν . . . θεωρεῖται p 13 σημαίνει D 14 ἄνθρωπος DFVp: ἀνθρώπου M: om. E τοῦ λέγοντος λόγου E 15 νοῦ καὶ ἐπιστήμης δεκτικόν DF: om. EMp (cf. Porph. in Arist. Cat. p. 60,18) ὁ (ante σημαντικὸς) om. E 18 λογικὸν ζῷον καὶ θνητόν V 20 εἰλημμένος] ἠλειμμένος D ᾖ DFMV: εἴη Ep 21 πλατυώνυχον D¹EFMV: πλατυόνυχον D²p γὰρ Dp: om. EFMV 22 τοῦ (prius) om. Ep τὴν τοῦ ἀνθρ. οὐσίαν] τὴν οὐσίαν τοῦ ἀνθρ. M: αὐτὴν V 33 ὁ EFp: om. DMV τῆς DEFVp: om. M

τῷ τὸν ὁρισμὸν ἐκ τῆς οὐσίας δεικνύναι τὰ πράγματα, τὴν δὲ ὑπογραφὴν 16v
ἐκ τῶν συμβεβηκότων. ὑπογραφὴ δὲ λέγεται οἷον σκιαγραφία τις οὖσα· ὥσπερ γὰρ ἡ παρὰ τοῖς γραφεῦσι σκιαγραφία δηλοῖ μὲν τὸ μίμημα τῆς εἰκόνος, οὐ μὴν διηρθρωμένως, οὕτως καὶ ἡ ὑπογραφὴ δηλοῖ μέν πως τὸ πρᾶγμα, οὐ μέντοι διηρθρωμένως· ὁ δὲ ὁρισμὸς αὐτὸ ἡμῖν τὸ πρᾶγμα σαφῶς παρίστησιν. ἀναλογεῖ οὖν ὁ μὲν ὁρισμὸς τῇ τελείᾳ γραφῇ, ἡ δὲ ὑπογραφὴ τῇ σκιαγραφίᾳ· διὸ καὶ ὑπογραφὴ λέγεται.

Ἐπεὶ οὖν οἱ ὁρισμοὶ λαμβάνονται ἐκ γένους καὶ συστατικῶν διαφορῶν, τοῦ δὲ καθολικωτάτου γένους οὐκ ἔστι γένος, ἵνα ἐξ αὐτοῦ καὶ τῶν διαφορῶν τὸν τοῦ γένους ἀποδῷ ὁρισμόν, περὶ δὲ τοῦ καθολικωτάτου γένους αὐτῷ νῦν ὑπάρχει ὁ λόγος· διὰ τοῦτο μὴ δυνάμενος ὁρισμὸν τοῦ γένους ἀποδοῦναι ὁ Πορφύριος, δι' ὑπογραφῆς αὐτὸ ἐσήμανεν· ἐφ' ὧν γὰρ πραγμάτων μὴ δυνάμεθα ὁρισμοὺς ἀποδοῦναι, ἀγαπῶμεν δι' ὑπογραφῆς αὐτὰ σημαίνειν. ἀποροῦμεν δὲ ὁρισμῶν ἐπὶ τοῦ γένους πρῶτον μέν, ὡς ἤδη εἴπομεν, διότι περὶ τοῦ ἁπλῶς γένους ποιούμεθα τὸν λόγον τὸν παντὶ γένει ἐφαρμόσαι δυνάμενον, οὐκ ἔστι δὲ τοῦ καθολικωτάτου γένους εὑρεῖν γένος (οὕτω γὰρ οὐκ ἂν εἴη καθολικώτατον), γένους δὲ μὴ ὄντος οὐδὲ ὁρισμὸν ἐνδέχεται εἶναι· πᾶς γὰρ ὁρισμὸς ἐκ γένους σύγκειται καὶ διαφορῶν τῶν συστατικῶν τοῦ ὁριστοῦ, γένους δὲ μὴ ὄντος οὐδὲ τὰς συστατικὰς διαφορὰς ἐνδέχεται εἶναι· αἱ γὰρ συστατικαὶ διαφοραὶ τῶν εἰδῶν αἱ αὐταὶ τῶν γενῶν εἰσι διαιρετικαί, ὡς προϊόντες μαθησόμεθα· οὐ ἄρα μὴ ἔστι γένος, τούτου οὐδὲ συστατικὰς διαφορὰς εἶναι ἐνδέχεται· μήτε οὖν γένους ὄντος μήτε συστατικῶν διαφορῶν τοῦ καθολικωτάτου γένους οὐδ' ὁρισμὸν αὐτοῦ εἶναι ἐνδέχεται. πρῶτον μὲν οὖν διὰ τοῦτο οὐκ ἔστιν ὁρισμὸν ἀπο-

---

1 τῷ ex τὸ corr. D τὸν μὲν ὁρισμὸν p (fort. recte) 2 οἷον] οἱονεὶ M
3 γάρ om. V μίμημα] μῆκος F τῆς om. F 4 ἡ om. M 4. 5 δηλοῖ — διηρθρωμένως] σκιάν τινα τοῦ πράγματος ἡμῖν παρίστησιν E 4 μὲν om. M πως om. F 5 ὁ δὲ ὁρισμὸς iterat. F ἡμῖν om. E: iteratum expunx. V 5. 6 τὸ πρᾶγμα σαφῶς EMVp: τὸ πρᾶγμα συντόμως D: συντόμως τὸ πρᾶγμα F 6 παρίστησιν] προτίθησιν E μὲν οὖν M μὲν om. E τῇ om. M 8 οἱ om. V ἐκ γένους λαμβάνονται colloc. V συστατικῶν διαφορῶν DEV: διαφορῶν FM: διαφορῶν συστατικῶν p 9 καθ. γένους] γένους καθ. ὄντος V αὐτοῦ] αὐτῶν V 10 τὸν τοῦ γένους om. E τῶν τοῦ γένους F ἀποδῷ] ἀποδώσῃ p καθολικωτάτου Vp: καθολικοῦ DEFM 11 νῦν αὐτῷ colloc. EFMVp καὶ διὰ τοῦτο V τοῦ καθολικοῦ γένους E post γένους iter. νῦν αὐτῷ ὑπάρχει ὁ λόγος expunx. E 13 μὴ D: οὐ EFMV: μηδαμῶς p (cf. v. 21) ὁρισμοὺς post πραγμάτων transp. M ἀγαπώμεν EM¹V 14 ὁρισμῶν DF: ὁρισμὸν EMVp post γένους add. ἀποδοῦναι Ep ἤδη om. E 15 εἶπον MV διότι] ὅτι V τὸν om. M 15. 16 τοῦ . . . δυναμένου EFMVp 17 ἂν οὐκ ἂν V 18 εἶναι ἐνδέχ. colloc. EVp σύγκειται] ὄντος V 18. 19 διαφορῶν τῶν συστ. DEFM: συστ. διαφορῶν V: διαφορῶν συστ. p 19 ὁριστοῦ E: ὁρισμοῦ DFV: ὡρισμένου M: ὁριζομένου p 20 εἶναι ἐνδεχ. colloc. EFMVp αἱ γὰρ — εἰδῶν in ras. M 21 εἰσι τῶν γενῶν colloc. M ὡς] ὥσπερ EM μαθησόμεθα] εἰσόμεθα p 22 τὰς συστ. διαφορὰς E: τὰς διαφορὰς τὰς συστ. p 24 αὐτοῦ εἶναι D: εἶναι αὐτοῦ EFMV: εἶναι τούτου p πρῶτα p

δοῦναι τοῦ γένους. ἔπειτα καὶ διότι ὁμώνυμόν ἐστι τὸ γένος (δεκαχῶς 16v
γὰρ λέγεται, ὡς ἐν ταῖς Κατηγορίαις ἔστι μαθεῖν)· τῶν δὲ ὁμωνύμων οὐκ
ἔστιν ὅρους ἀποδοῦναι, ἐπειδὴ καὶ ὀνόματά ἐστι μόνον ψιλὰ τοῖς πράγμασι
τοῖς ὑπ' αὐτῶν σημαινομένοις διαφέροντα· ὁ δὲ ὁρισμὸς οὐσίαν σημαίνει· 35
5 ὧν δὲ οἱ ὁρισμοὶ οἱ αὐτοί, τούτων καὶ τὰ πράγματα τὰ αὐτά· οὐκ ἄρα
ἐνδέχεται τῶν ὁμωνύμων ἕνα κοινὸν ὁρισμὸν ἀποδοῦναι. ὅθεν καὶ δι'
ὑπογραφῆς αὐτὰ σημαίνομεν· ἐνδέχεται γὰρ καὶ τοῖς κατ' οὐσίαν διαφέ-
ρουσι τὰ αὐτὰ συμβεβηκότα ὑπάρ|χειν, ὥσπερ κἀνταῦθα πολλοῖς οὖσι καὶ 17r
διαφόροις κατ' οὐσίαν τοῖς γένεσι μία καὶ ἡ αὐτὴ σχέσις αὐτοῖς συμβέβηκε
10 πρὸς τὰ ὑποβεβλημένα αὐτοῖς εἴδη, καθ' ἣν τὰ μὲν γένη κέκληται, τὰ δὲ
εἴδη. διὰ ταῦτα οὖν ὁ Πορφύριος οὐχ ὁρισμὸν τοῦ ἁπλῶς γένους ἀλλ'
ὑπογραφὴν ἀποδέδωκεν, ἵνα κατὰ τῶν δέκα γενῶν αὐτὴν ἁρμόσαι δύνηται.

Ἴσως δέ τις καὶ πρὸς ταῦτα ἡμῖν ἀπορήσειεν, ὅτι εἰ τὰ ὁμώνυμα οὐχ 5
ὁριζόμεθα (ὁ γὰρ ὁρισμὸς οὐσίαν σημαίνει, ἐκεῖνα δὲ ψιλά ἐστιν ὀνόματα),
15 διὰ τί αὐτῶν ὑπογραφὴν ἀποδίδομεν· καὶ γὰρ ἡ ὑπογραφὴ διὰ τῆς τῶν
συμβεβηκότων συνδρομῆς τὴν ὑποκειμένην αὐτοῖς οὐσίαν σημαίνει· εἰς ἔν-
νοιαν γὰρ ἄγει ἡμᾶς τῆς οὐσίας, ᾗ ταῦτα συμβέβηκεν. ἐπεὶ οὖν μίαν
ὑπογραφὴν τῶν ὁμωνύμων ἀποδίδομεν καὶ διὰ τῆς ὑπογραφῆς εἰς ἔννοιαν
τῆς ὑποκειμένης οὐσίας ἐρχόμεθα. εὑρεθήσεται οὐ μόνον ὀνόματα ἀλλὰ 10
20 καὶ πράγματα τὰ αὐτά, ὅπερ ἄτοπον· εὑρεθήσεται γὰρ τὰ δέκα γένη ταὐτὰ
οἷον ἡ οὐσία καὶ τὸ ποσὸν καὶ τὸ ποιὸν καὶ τὰ ἄλλα. οἷς ἐστι τὸ γένος
ὁμώνυμον. ἡ μὲν ἀπορία τοιαύτη. δυνάμει δὲ αὐτὴν ἀρτίως προεπελυσά-
μεθα, ἐν οἷς ἐλέγομεν ἐνδέχεσθαι καὶ τοῖς διαφέρουσι κατ' οὐσίαν τὰ

---

1 τοῦ γένους ἀποδ. colloc. EMVp ἔπειτα δὲ p 2. 3 ὅρους οὐκ ἔστιν colloc. EVp ἐπειδὴ] ἐπεὶ Ep ἐστι μόνον ψιλὰ] ἐστι μόνα ψιλὰ DF: μόνα ἐστὶ ψιλὰ Ep: μόνον ἐστὶ ψιλὰ M: ἐστὶ ψιλὰ V 5 οἱ (ante ὁρισμοὶ) om. Ep: (ante αὐτοὶ) om. F 6 ἕνα] ἑνὸς F καὶ (post ὅθεν) om. V 8 post ὥσπερ add. οὖν Vp 9 κατ' οὐσίαν post ἡ αὐτή transp. F: om. M μία δὲ E ἡ αὐτὴ] αὐτὴ F: αὕτη V σχέσις] φύσις M αὐτοῖς om. EM: ante σχέσις transp. V 10 πρὸς τὰ ὑποβεβλημένα om. V γένη om. V κέκληνται FV 12 an αὐτὴ? δύναται D[1] 13 ἴσως δέ τις καὶ om. M ἀπορήσειεν Dp: ἀπορήσει EFV: ἀπορήσει τις M ὅτι εἰ EMp: ὅτι D: εἰ FV 14 post ὁριζόμεθα add. διὰ τὴν ἀοριστίαν τῆς σημασίας αὐτῶν D ὁ γὰρ] διότι E ἐστιν] εἰσιν M post ὀνόματα add. τὸ γὰρ ὑπὸ ὁμωνύμων (sic) δύο σημαίνει τά τε ὁμώνυμα πράγματα ὧν ὄνομα κοινὸν οἷον ζῶον καὶ τὸ γεγραμμένον, καὶ τὰ ὁμώνυμα ὀνόματα οἷον Αἴας κύων καὶ ὅσα τοιαῦτα· ψιλὰ γάο ἐστι ὀνόματα D 15 post αὐτῶν add. κἂν V ὑπογραφὰς E ἀποδιδόαμεν DE: ἀποδῶμεν V καὶ γὰρ καὶ MV 16 αὐτοῖς] αὐτὴν F 17 ἡμᾶς τῆς οὐσ. ἄγει colloc. M τῆς οὐσίας om. V μίαν om. F 18 ἀποδιδόαμεν DE: ἀποδεδώκαμεν M 19 τὰ ὀνόματα FVp 20 τὰ πράγ. αὐτά FV 20. 21 τὰ δ. γένη ταὐτὰ οἷον D: τὰ δ. ταῦτα γένη (οἷον om.) E: τὰ δ. γένη οἷον ταὐτὰ F: τὰ δ. γένη ταυτὸν οἷον M: τὰ γένη τὰ δ. τὰ αὐτὰ οἷον V: τὰ δ. γένη ταῦτα (οἷον om.) p 21 ἡ οὐσία τὸ ποσὸν τὸ ποιὸν V τὸ ποιὸν καὶ τὸ ποσὸν καὶ τὸ πρός τι D 22 μὲν om. M μὲν γὰρ F τοιαύτη] αὕτη V 22. 23 προεπελυσ. V: προσεπελυσ. DEF: προσελυσ. M: προαπελυσ. p 23 ἐνδέχεσθαι DEFM: ἐνδέχεται Vp τοῖς διαφέρουσι EFMp, (post οὐσίαν colloc.) V: τοῖς διαφόροις D (cf. p. 57, 8)

αὐτὰ συμβεβηκέναι, καθ' ἃ καὶ ἡ ὑπογραφὴ γίνεται. ὥσπερ οὖν καὶ ταῖς 17r
δέκα κατηγορίαις τὴν αὐτὴν συνέβη πρὸς τὰ ὑπ' αὐτὰς σχέσιν ἀναδέξασθαι· 15
ὡς γὰρ ἡ οὐσία περιεκτικὴ οὖσα σώματος καὶ ἀσωμάτου γένος αὐτῶν
ἐστὶν ἐκείνων εἰδῶν ὄντων, οὕτω καὶ τὸ ποσὸν δύο εἰδῶν τοῦ συνεχοῦς
5 καὶ τοῦ διωρισμένου περιεκτικὸν ὂν γένος αὐτῶν ἐστιν. καὶ τὸ ποιὸν ὡσαύ-
τως πλείονα εἴδη περιέχον γένος αὐτῶν ἐστι, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως·
ὥστε ἡ αὐτὴ σχέσις πάσαις ταῖς κατηγορίαις συμβέβηκε, καὶ οὐ δεῖ θαυ-
μάζειν, εἰ τῶν κατ' οὐσίαν διαφερόντων ἐνδέχεται μίαν ὑπογραφὴν ἀποδι- 20
δόναι καὶ μὴ ταὐτὰ ποιεῖν τὰ ὑπογραφόμενα πράγματα. αὐτίκα γοῦν ἐν
10 τοῖς δέκα γένεσιν ὅμοιόν ἐστι τὸ κατὰ πλειόνων κατηγορεῖσθαι, ἀλλ' οὐ
κατὰ τῶν αὐτῶν ἢ κατὰ τοσούτων (τὸ μὲν γάρ, εἰ τύχοι, κατηγορεῖται
κατὰ τεσσάρων εἰδῶν τὸ δὲ κατὰ τοσῶνδε ἢ τοσῶνδε), καὶ πάντα ὁμώ-
νυμά ἐστι καὶ κατὰ πλειόνων κατηγορεῖται, οὐ μὴν ἢ τῶν αὐτῶν ἢ ὁμοίως.

Ἡ μὲν οὖν ὑπογραφὴ λαμβάνεται ἢ ἐξ ἐτυμολογίας ἢ ἐκ τῆς τῶν 25
15 συμβεβηκότων συνδρομῆς, ἣ καὶ κυρίως ὑπογραφὴ λέγεται. ἐξ ἐτυμολο-
γίας μὲν οἷον 'ἄνθρωπός ἐστι τὸ δυνάμενον ἄνω ἀθρεῖν ἢ ἀναθρεῖν ἃ
ὄπωπεν ἢ τὸ ἄνωθεν ἔχον τοὺς ὤπας', ἐκ τῶν συμβεβηκότων δέ, ὡς
ἔφθημεν ἤδη εἰπόντες. ὁ δὲ ὁρισμὸς ἢ ἐξ ὅλης λαμβάνεται, ὥσπερ ὁρι-
ζόμεθα τὸν θυμὸν 'ζέσιν τοῦ περικαρδίου αἵματος', ἢ ἐξ εἴδους ὡς τὸ 'ὄρεξις
20 ἀντιλυπήσεως' ἢ ἐκ τοῦ συναμφοτέρου ὡς τὸ 'ζέσις τοῦ περικαρδίου αἵ- 30
ματος δι' ὄρεξιν ἀντιλυπήσεως'. καὶ ὅτε μὲν ἐξ ὅλης μόνης ἢ ἐξ εἴδους
μόνου ἐλήφθη, ἀτελής ἐστιν, ὅτε δὲ ἐκ τοῦ συναμφοτέρου, τότε ἐστὶ τέ-
λειος ὅρος, ἐπειδὴ τὸ συναμφότερον σημαίνει. ἔστι δὲ τέλειος ὅρος ὁ ἐκ
γένους καὶ συστατικῶν διαφορῶν· ἐπέχει γὰρ τὴν μὲν τῆς ὅλης τάξιν τὸ
25 γένος, τὴν δὲ τοῦ εἴδους αἱ διαφοραί. τοῦτον τοίνυν τὸν ὅρον τὰ μέσα
τῶν πραγμάτων ἐπιδέχεται, οὔτε δὲ τὰ πρώτιστα οὔτε τὰ ἔσχατα· 35

1 καθ' ἃ] καθὼς M καὶ (post ἃ) om. E · ἡ ὑπογραφὴ γίνεται DFVp: ὑπογραφὴ γίνεται M: ὑπογράφεσθαι λέγεται E 2 αὐτὰς scripsi: αὐτὰ DEFVp: αὐτὸν M 3 γὰρ om. E σωμάτων καὶ ἀσωμάτων EM: τοῦ σώματος καὶ τοῦ ἀσωμάτου V 4 τὸ superscr. D 5. 6 καὶ τὸ ποιὸν—αὐτῶν ἐστι om. E 6 καὶ ἐπὶ—ὁμοίως om. V 7 ante πάσαις add. καὶ ἐπὶ D 8 τῶν om. M 8. 9 ἀποδοῦναι M 9 γοῦν] οὖν M 10 ἐστι DF: πρόσεστι EMVp 13 κατηγοροῦνται EFMVp 14 ὁμοίως] τοσούτων Vp 14 οὖν om. V 15 ἢ] ἢ EF 16 δυνάμενον] δυνάμει E ἄνω ἀθρεῖν ἢ om. F ἀναθρεῖν DFMV: ἀναρθρεῖν E: τὸ ἀναθεωρεῖν p 17 τῶν om. Ep ante ὡς add. οἷον ἄνθρωπός ἐστι ζῶον ὀρθοπεριπατητικὸν πλατυόνυχον p 18 ἢ Dp: om. EFMV ὅλης μὲν F 18. 19 ὥσπερ ὁριζόμεθα DF: ὡς ὅταν ὁριζώμεθα E: ὡς ὅτε ὁρισόμεθα M: ὥστε ἂν ὁρισώμεθα V: ὡς ὅτε ὁριζόμεθα p 19 περικαρδίου DMVp: περὶ τὴν καρδίαν EF ἢ ἐξ εἴδους DMp: ἐξ εἴδους E: ἐξ εἴδους δὲ FV ὄρεξις] ὄρεξιν p 20. 21 ἢ—ἀντιλυπήσεως om. EV 20 ζέσις F: ζέσιν DMp περικαρδίου DM: περὶ τὴν καρδίαν Fp 21. 22 ἐξ εἴδους μόνου ἢ ἐξ ὅλης μόνης colloc. E 23 τέλειος ὅρος καὶ ὁ V 24 τὴν μὲν τῆς ὅλης DEFp: τῆς μὲν ὅλης MV 25 τὴν δὲ τοῦ εἴδους DMVp: τοῦ δὲ εἴδους EF ἡ διαφορά DE τούτων τοίνυν τῶν ὅρων V 26 ἐπιδέχονται EM δὲ DFMV: γὰρ Ep πρώτιστα] πρῶτα M post ἔσχατα add. πρώτιστα δὲ τὰ γενικώτατα λέγεται, ἔσχατα τὰ ἄτομα, ὧν ἀτόμων προσεχῶς τὰ εἴδη κατηγοροῦνται, εἰ δὲ καὶ γένη, ἀλλὰ διὰ μέσον τῶν εἰδῶν D

οὔτε γὰρ τὰ ἔσχατα γένη ἔχει οὔτε μὴν συστατικὰς διαφορὰς ἀλλ' εἴδη, οἷον 17r
τὰ ἄτομα· ὅθεν καὶ αὐτῶν ὑπογραφὰς καὶ οὐχ ὁρισμοὺς ἀποδίδομεν, οἷον
Σωκράτης ἐστὶν υἱὸς Σωφρονίσκου Ἀθηναῖος φιλόσοφος προγάστωρ φαλα-
κρὸς γρυ|πὸς καὶ εἴ τι ἄλλο συμβέβηκεν αὐτῷ. ὅσοι δὲ λέγουσι διαφορὰς 17v
ἔχειν τὰ γενικώτατα συστατικάς, οὐκ ὀρθῶς λέγουσιν· οὐ γὰρ συστατικὰς
ἔχει διαφορὰς ἀλλὰ διαιρετικάς, εἴ γε πᾶν τὸ συστατικὸν πρεσβύτερόν ἐστι
τοῦ συνισταμένου· ὡς γὰρ καὶ πρὸ ὀλίγου εἶπον, αἱ συστατικαί τινων δια-
φοραὶ πολλῷ πρότερον τῶν γενικωτέρων εἰσὶ διαιρετικαί· τὸ γὰρ λογικὸν
καὶ τὸ θνητὸν συστατικὰ τοῦ ἀνθρώπου ὄντα καὶ τὸ θνητὸν καὶ τὸ ἄλογον
τοῦ ἵππου διαιρετικά ἐστι τοῦ γένους, λέγω δὴ τοῦ ζῴου· τοῦτο γὰρ δια-
ρεῖται εἰς λογικὸν καὶ ἄλογον, εἰς θνητὸν καὶ ἀθάνατον. καλῶς ἄρα εἴρη-
ται ὅτι αἱ συστατικαί τινων διαφοραὶ πρεσβύτεραι αὐτῶν εἶναι βούλονται,
τοῦ δὲ γενικωτάτου πρεσβύτερον οὐδέν. τούτων οὖν οὕτως ἐχόντων εἰκό-
τως τὴν τοῦ γένους τοῦ καθόλου διδασκαλίαν δι' ὑπογραφῆς ποιεῖται ὁρι-
σμὸν αὐτοῦ ἀποδοῦναι μὴ ἔχων.

Ἵνα δὲ μάθωμεν τίς ποτέ ἐστιν ἡ ἀποδοθεῖσα ὑπογραφὴ καὶ πόθεν εἴληπται, ῥητέον οὕτως (ἅμα δὲ μαθησόμεθα, ὅτι οὐ κατὰ τύχην ὁ Πορφύριος τὰς πέντε ταύτας φωνὰς παρέλαβεν, ἀλλ' ὅτι ἀνάγκη τρόπον τινὰ πᾶσαν φωνὴν ὑπὸ μίαν τούτων ἀνάγεσθαι τῶν φωνῶν). τῶν φωνῶν αἱ

1 οὔτε γὰρ τὰ ἔσχατα DF: om. EMVp γένη] γένος M post ἔχει add. τοῦτ' ἔστι τὰ ἄτομα V μὴν καὶ FV οἷον] οἷα E 2 ὅθεν] οἷον V ὑπογραφὴν FV καὶ (ante οὐχ) om. M ἀποδιδόαμεν DEM 6 ἔχουσι D 7 συνιστωμένου FM ὀλίγου D: βραχέος EFMVp 7. 8 διαφοραί τινων colloc. V 8 γενικωτέρων FV: γενικωτάτων DEp: γενικῶν M γὰρ DM: γοῦν EFVp 9 ante συστατικὰ add. καὶ ἄλογον καὶ θνητὸν E συστατικαὶ E τοῦ Dp: om. EFMV 9. 10 καὶ τὸ θνητὸν καὶ τὸ ἄλογον τοῦ ἵππου om. E τὸ (ante ἄλογον) om. p 10 τοῦ (ante ἵππου) om. M διαιρετικά DFMp: διαιρετικαί E: διαιρετικόν V ἐστι] εἰσι p δὴ DMV: om. EFp 11 ἄρα] οὖν E 12 αἱ] καὶ V 13 πρεσβύτεραι E οὖν om. EMp 14. 15 ὁρισμὸν—ἔχων om. M 15 αὐτοῦ] αὐτῶν V 17 ἅμα—ἀνάγεσθαι τῶν φωνῶν (v. 19) om. M ἅμα δὲ] ἀλλὰ E 17. 18 πορφύριος Dp: ἀριστοτέλης EFV (fort. recte cf. p. 62,7) 18 ταύτας om. E ὅτι] ὅταν D 19 φωνὴν πᾶσαν colloc. E τῶν φωνῶν (prius) om. V τῶν φωνῶν—συμβεβηκός p. 59,7] haec ex D hausta sunt, sed neglexi stemmatis formam, in quam ea redacta sunt, ex parte turbatam omisique quae extra stemma addita sunt, nempe haec: δοκοῦσι μὲν ταῦτα ὅτι ὄνομά τι δηλοῦσι· ἀλλ' ὅμως οὔτε δηλοῦσιν οὔτ' ἔχουσί τι ὄνομα. ἔνθα γὰρ ὄνομα, ἐκεῖ ὀνομαζόμενον· τοῦ δὲ μὴ ὄντος οὐδὲν ὄνομά ἐστιν· ὅθεν καὶ ἀκατηγόρητα καὶ ἀνώνυμα. ceteri codices plus minus abhorrent; stemma a posterioribus certe confectum multumque abhorrens etiam M praebet, ceterorumque librarii, ni fallor, stemma in exemplaribus invenerunt, quod cum transcriberent atque in orationem continuam dissolverent, discrepantiae aequo maiores ortae sunt; velut τῶν φωνῶν αἱ μέν εἰσιν ἄσημοι οἷον κνὰξ βλίτυρι (ρι, superscr. ον) αἱ δὲ σημαντικαί. καὶ περὶ μὲν τῶν ἀσήμων λόγος οὐδεὶς τοῖς φιλοσόφοις. τὸν (sic) δὲ σημαντικῶν αἱ μὲν καθ' ἑνὸς μόνου τῷ ἀριθμῷ λέγονται, ὡς Σωκράτης Πλάτων καὶ τουτὶ τὸ λευκόν, περὶ ἃ οἱ φιλόσοφοι διὰ τὸ ἄπειρα εἶναι οὐ καταγίνονται, αἱ δὲ κατὰ πλειόνων, αἵτινες ἢ κατὰ διαφερόντων τῷ εἴδει καὶ ἐν τῷ τί ἐστι κατηγοροῦνται καὶ ποιοῦσι τὸ γένος ἢ κατὰ διαφερόντων τῷ ἀριθμῷ καὶ ἐν τῷ τί ἐστι καὶ ποιοῦσι τὸ εἶδος, ἢ καθ' ἑνὸς μόνου εἴδους καὶ ἐν τῷ ὁποῖόν τί ἐστι καὶ ποιοῦσι τὸ ἴδιον. τῶν δὲ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει καὶ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορουμένων αἱ μὲν οὐσιώδεις εἰσὶ καὶ ποι-

μέν εἰσιν ἄσημοι οἷον κνάξ βλίτυρι σκινδαψός, αἱ δὲ σημαντικαί, αἵτινες ἢ 17v
καθ' ἑνὸς λέγονται, ὡς ὅταν εἴπωμεν Πλάτωνα ἢ Σωκράτην ἤ τινα τῶν 15
καθ' ἕκαστα, ἢ κατὰ πλειόνων, αἵτινες ἢ κατ' οὐσιωδῶν κατηγοροῦνται
ἢ κατ' ἐπουσιωδῶν· ἢ κατὰ διαφερόντων τῷ εἴδει ὡς τὰ γένη καὶ αἱ δια-
5 φοραί (ταῦτα δὲ ἐν τῷ τί ἐστι κατηγορεῖται ὡς τὸ γένος ἢ ἐν τῷ ὁποῖόν
τί ἐστι ὡς ἡ διαφορά), ἢ κατὰ διαφερόντων τῷ ἀριθμῷ ὡς τὸ εἶδος· ἢ
καθ' ἑνὸς εἴδους κατηγορεῖται ὡς τὸ ἴδιον ἢ κατὰ πλειόνων ὡς τὸ συμ-
βεβηκός. καὶ ἐκ ταύτης τῆς διαιρέσεως φαίνεται ὅτι ἀνάγκη πᾶσα ταῖς 20
εἰρημέναις πέντε κεχρῆσθαι φωναῖς καὶ οὔτε πλείοσιν οὔτε ἐλάττοσιν· εἰ-
10 ρήκαμεν γὰρ ὅτι τῶν φωνῶν αἱ μέν εἰσιν ἄσημοι αἱ δὲ σημαντικαί, καὶ
τῶν σημαντικῶν αἱ μὲν καθ' ἑνὸς κατηγοροῦνται αἱ δὲ κατὰ πλειόνων.
τῶν δὲ κατὰ πλειόνων τὸ γένος ἐστὶ καὶ τὸ εἶδος καὶ ἡ διαφορὰ καὶ τὸ
ἴδιον καὶ τὸ συμβεβηκός. ἑπτὰ οὖν οὐσῶν φωνῶν τῶν ἀσήμων καὶ τῶν
καθ' ἑνὸς λεγομένων καὶ τῶν κατὰ πλειόνων, γένους λέγω καὶ διαφορᾶς 25
15 καὶ εἴδους καὶ ἰδίου καὶ συμβεβηκότος, τῶν δύο ἐξαιρεθεισῶν φωνῶν αἱ
πέντε ὑπολείπονται· ἐξαιροῦνται μὲν γὰρ αἱ ἄσημοι ὡς μηδὲν συμβαλλό-
μεναι μήτε γραμματικοῖς μήτε ῥήτορσι, πολὺ δὲ μᾶλλον φιλοσόφοις. ἐκ-
βάλλονται δὲ καὶ αἱ καθ' ἑνός, ἐπειδὴ μερικαὶ ὑπάρχουσι, τὰ δὲ κατὰ
μέρος ἄπειρα καὶ ἀπερίληπτα· οἱ δὲ φιλόσοφοι ἐπιστημονικῶς πάντα ἐπαγ-
20 γέλλονται ἐπίστασθαι· ὡς δέ φησιν ὁ Πλάτων ἐν τῷ Κρατύλῳ ὅτι 'ἐπι- 30
στήμη εἴρηται παρὰ τὸ ἐπὶ στάσιν τινὰ ἄγειν ἡμᾶς καὶ ὅρον τῶν πραγ-
μάτων καὶ τῶν ζητήσεων'. ἐπεὶ οὖν τὰ κατὰ μέρος πολλὰ ὄντα καὶ ἄπειρα

οὖσι τὴν διαφοράν, αἱ δὲ ἐπουσιώδεις καὶ ποιοῦσι τὸ συμβεβηκός exhibet E: propius ad codicis D memoriam accedunt FVp, quorum discrepantias singulas apponam 1 εἰσιν om. V οἷον — βλίτυρι om. V σκινδαψός om. FVp αἵτινες om. F 2 λέγεται F πλάτωνα εἴπωμεν colloc. V 3 αἵτινες κατὰ τῶν οὐσιωδῶν ἢ ἐπουσιωδῶν κατηγο[ροῦνται] F: αἵτινες ἢ κατ' οὐσιωδῶν κατηγοροῦνται καὶ αὐταὶ ἢ κατὰ τῶν ἐπουσιωδῶν V: αὗται δὲ αἱ κατὰ πλειόνων ἢ οὐσιωδῶς κατηγοροῦνται ἢ ἐπουσιωδῶς p 4 post ἐπουσιωδῶν add. αἱ κατὰ πλειόνων κατηγορούμενα (?) F: καὶ ταῦτα ὕστερον. ἢ κατὰ πλειόνων ὡς τὸ συμβεβηκός V: in p hinc verba maximam partem ex ingenio conformata sunt, etenim exhibet καὶ εἰ οὐσιωδῶς, ἢ ἐν τῷ τί ἐστιν ἢ ἐν τῷ ὁποῖον τί ἐστι. καὶ εἰ μὲν ἐν τῷ ὁποῖον τί ἐστιν, ἔστιν ἡ διαφορά. εἰ δὲ ἐν τῷ τί ἐστιν, ἢ κατὰ τῶν διαφερόντων τῷ εἴδει ὡς τὸ γένος, ἢ κατὰ διαφερόντων τῷ ἀριθμῷ ὡς τὸ εἶδος. εἰ δὲ ἐπουσιωδῶς, ἢ καθ' ἑνὸς κ. τ. λ. 4. 5 τὸ γένος καὶ ἡ διαφορά FV (fort. recte) 5 ταῦτα δὲ ἢ V (fort. recte) 7. 8 ἢ κατὰ πλ. ὡς τὸ συμβ. om. V 8 καὶ ἐκ ταύτης] ἐκ ταύτης οὖν M: ἐκ ταύτης V ὅτι] ὅτ' D πᾶσα] πᾶσαν φωνὴν p 9 φωναῖς κεχρῆσθαι colloc. EFMVp 10 ἄσημοι] ἀσήμαντοι V 11 ἑνὸς εἴδους V 12 τῶν δὲ κ. πλειόνων om. V καὶ ἡ διαφορὰ καὶ τὸ εἶδος colloc. V 12. 13 καὶ τὸ ἴδιον καὶ τὸ συμβ. M: καὶ τὰ λοιπὰ δύο p: om. DEFV 13 τῶν φωνῶν M τῶν τε ἀσήμων M 14 πλειόνων πέντε M λέγω γένους colloc. V 15 φωνῶν] μόνων E 15. 16 αἱ πέντε μόναι Vp 16 ἀπολείπονται Ep γὰρ om. V 17 πολὺ] πολλῷ p 18 καὶ om. EV ἕνα V 20 δὲ] δὴ M ἐν κρατύλῳ D (cf. p. 17,7) ὅτι eicias 21 ἐπὶ στάσιν DE: ἐπίστασιν FMV: εἰς ἐπίστασιν p (cf. p. 17,7) ἄγειν post ὅρον transp. EFMp 21. 22 τῶν πραγμάτων καὶ τῶν ζητήσεων D: τῶν αἰσθήσεων E: τῶν ζητήσεων FVp: τῶν ζητημάτων M: καὶ τῶν ζητήσεων eicias.

ἐπιστήμην οὐ ποιοῦσιν, αἱ δὲ καθ' ἑνὸς κατηγορούμεναι τῶν μερικῶν κατη- 17v
γοροῦνται, εἰκότως ἐκβάλλονται, καὶ λοιπὸν ἀπομένουσιν αἱ πέντε φωναί, τὸ γένος καὶ τὸ εἶδος καὶ ἡ μέση τούτων διαφορά, τὸ ἴδιον καὶ τὸ συμβεβη-
κός, ὑφ' ἃς φωνὰς εὑρήσεις ἅπαντα τελοῦντα καὶ πᾶσαν ἄλλην φωνήν, 35
5 κἂν κίνησιν εἴπῃς κἂν ἄπειρον. καὶ ταῦτα μὲν νῦν εἴρηται κεφαλαιωδῶς ἐν τῇ διαιρέσει· τὴν δὲ πλατυκὴν αὐτῶν ἐξήγησιν ἐφεξῆς ἐξετάσωμεν.

Τῶν γὰρ φωνῶν αἱ μέν εἰσιν ἄσημοι, οἷον κνὰξ βλίτυρι σκινδαψός, αἱ δὲ σημαντικαί. καὶ οὐδεὶς ἡμῖν περὶ τῶν | ἀσήμων λόγος. λέγονται 18r
οὖν αἱ μὲν ἄσημοι ἀκατηγόρητοι ὡς μὴ κατά τινος ἀγορευόμεναι ἢ λεγό-
10 μεναι. καὶ τῶν σημαντικῶν αἱ μὲν καθ' ἑνὸς λέγονται εἶναι ὡς Σωκράτης Πλάτων, αἱ δὲ κατὰ πλειόνων, ὡς τὰ γένη καὶ τὰ εἴδη καὶ αἱ διαφοραὶ καὶ τὰ ἴδια καὶ τὰ συμβεβηκότα. εἴρηται δὲ ὅτι περὶ τῶν μερικῶν οὐδεὶς λόγος τοῖς φιλοσόφοις. τῶν δὲ κατὰ πλειόνων λεγομένων αἱ μὲν 5
οὐσιωδῶς κατηγοροῦνται ὡς τὰ γένη καὶ αἱ διαφοραὶ καὶ τὰ εἴδη (συμ-
15 πληρωτικὰ γάρ ἐστι τῆς οὐσίας), αἱ δὲ οὐκ οὐσιωδῶς ὡς τὰ ἴδια καὶ τὰ συμβεβηκότα· οὐ γὰρ συμπληροῖ ταῦτα τὴν τῶν ὑποκειμένων οὐσίαν. τῶν δὲ οὐσιωδῶς κατηγορουμένων τὰ μὲν κατὰ διαφερόντων τῷ εἴδει λέγεται ὡς τὰ γένη καὶ αἱ διαφοραί, τὰ δὲ κατὰ διαφερόντων τῷ ἀριθμῷ, ὡς τὰ εἴδη τῶν ἀτόμων, ἅτινα διαφέρει ἀλλήλων οὐ τῷ εἴδει ἀλλὰ τῇ ὕλῃ, οἷον 10
20 Ξάνθον τὸν ἵππον λέγω καὶ Βαλίαν· οὗτοι γὰρ οὐ τῷ εἴδει διαφέρουσιν ἀλλήλων, ἀλλὰ τῇ ὕλῃ. * * καὶ πάλιν ὁ δέκα ἀριθμὸς σύγκειται ἐκ δέκα μονάδων οὐ συγκεχυμένων ἀλλ' ἀλλήλων ἀποκεχωρισμένων· εἰ γὰρ συνεχέοντο αἱ μονάδες, οὐκ εἴχομεν ἐκ μονάδων λέγειν συγκεῖσθαι τὸν δέκα ἀριθμόν. καὶ τέως ἐκ τούτου ἔχομεν τὴν διαφορὰν τοῦ τε εἴδους καὶ τοῦ

1 καὶ τῶν μερικῶν EFM 2 λοιπὸν ἀπομένουσιν DEFM: ὑπομένουσι λοιπὸν V: λοιπὸν καταλείπονται p αἱ om. E 3 καὶ τὸ εἶδος DV: καὶ εἶδος E: τὸ εἶδος FMp τὸ ἴδιον EFp: τὸ ἴδιόν τε D: καὶ τὸ ἴδιον MV 5 εἴπῃς EVp, ex εἴποις corr. F: εἴποις DM κἂν (alterum)] καὶ V νῦν post εἴρηται transp. FMV: post κεφαλαιωδῶς E: om. p 6 πλατυκὴν M: πλατικὴν DEFV: πλατυκωτέραν p αὐτῶν DEFp: αὐτῆς MV ἐξετάσομεν DFV 7 κνὰξ om. D σκινδαψός D: om. EFMVp (cf. p. 59, 1) 8 αἱ δὲ σημαντικαὶ post ἄσημοι transp. E: post λόγος V καὶ om. M ἀσήμων] ἀσημάντων M 9 οὖν] an γὰρ? ἢ] καὶ MV 10 καὶ τῶν] τῶν δὲ Mp post σημαντικῶν stemma τῆς φωνῆς exhibet V 11 τὰ εἴδη καὶ τὰ γένη colloc. F 12 δὲ] οὖν V περὶ μὲν τῶν M 13 οὐδεὶς] οὐδὲ εἷς DEFV λόγος post φιλοσόφοις transp. EMV παρὰ τοῖς φιλ. V 14 ὡς καὶ τὰ γένη M 15 οὐκ] οὐχὶ M 16 οὐ γάρ] καὶ γὰρ οὐ F 17 λέγονται DMV 18. 19 ὡς τὰ εἴδη τῶν ἀτόμων scripsi: ὡς τὰ ἄτομα DEp: ὡς τὰ εἴδη M: om. FV 19 ἅτινα] ἃ D διαφέρουσιν EFV οὐ post ἅτινα transp. E post ὕλῃ add. ἢ τῷ ἀριθμῷ p οἷον—ὕλῃ (21) om. M 20 ξάνθον τὸν ἵππον λέγω καὶ βαλίαν (corr. ex βάλιον E) EF: ξάνθον λέγει τὸν ἵππον καὶ βαλλίαν D: τὸν ἵππον ξάνθον λέγομεν καὶ βαλίαν V: ὁ ξάνθος ἵππος καὶ ὁ βαλίας p γὰρ] δὲ D 21 τῷ ἀριθμῷ τῇ ὕλῃ V: τῇ ὕλῃ ἢ τῷ ἀριθμῷ p; sed plura videntur excidisse, quare defectum significavi δέκα om. V 24. p. 61, 1 τοῦ τε εἴδους καὶ τοῦ γένους καὶ τῆς διαφορᾶς FMVp: τοῦ γένους καὶ τοῦ εἴδους καὶ τῶν διαφορῶν D: τοῦ τε εἴδους καὶ τῆς διαφορᾶς καὶ τοῦ γένους E

γένους καὶ τῆς διαφορᾶς· διαφέρουσι γὰρ ἀλλήλων τῷ τὸ μὲν εἶδος κατὰ 18r
διαφερόντων τῷ ἀριθμῷ κατηγορεῖσθαι, τὸ δὲ γένος καὶ τὴν διαφορὰν κατὰ 16
διαφερόντων τῷ εἴδει. τῶν δὲ κατὰ διαφερόντων τῷ εἴδει κατηγορουμένων
τὰ μὲν ἐν τῷ τί ἐστι κατηγορεῖται (ἐν τῷ τί ἐστι δὲ κατηγορεῖσθαι λέ-
γομεν, ὅταν ἐρωτώμενοι τὸ τί ἐστιν ἄνθρωπος, εἰ τύχοι, εἴπωμεν ὅτι ζῷον.
ὅπερ ἐστὶ γένος, ὥστε τὸ γένος ἐν τῷ τί ἐστι λέγεται κατηγορεῖσθαι), τὰ
δὲ ἐν τῷ ὁποῖόν τί ἐστι, ὡς ὅταν ἀποκρινώμεθα ἐρωτηθέντες, ὁποῖόν τί
ἐστι ζῷον ὁ ἄνθρωπος, ὅτι λογικόν, ὅπερ ἐστὶ διαφορά· ὥστε ἐν τῷ ὁποῖόν
τί ἐστιν ἡ διαφορὰ κατηγορεῖται. καὶ ἐν τούτοις ἀνεφάνη ἡμῖν καὶ ἡ τοῦ
γένους καὶ τῆς διαφορᾶς διαφορά· κἂν τούτῳ γὰρ ἀλλήλων διαφέρουσι,
καθὸ τὸ μὲν γένος ἐν τῷ τί ἐστι κατηγορεῖται, ἡ δὲ διαφορὰ ἐν τῷ ὁποῖόν
τί ἐστι. τῶν δὲ μὴ οὐσιωδῶς λεγομένων τὰ μὲν ἑνί τινι ὑπάρχει εἴδει
ὡς τὰ ἴδια, τὰ δὲ πλείοσιν ὡς τὰ συμβεβηκότα. ἐκ ταύτης οὖν τῆς διαι-
ρέσεως ἀνεφάνη ἡμῖν καὶ ἡ τοῦ ἰδίου καὶ τοῦ συμβεβηκότος διαφορά· κα-
τὰ τοῦτο γοῦν διαφέρουσιν, καθὸ τὸ μὲν ἴδιον ἑνὶ εἴδει ὑπάρχει, τὸ δὲ
συμβεβηκὸς πλείοσιν. δῆλον τοίνυν ἐκ τῆς διαιρέσεως ταύτης ὅτι ἀνάγκη
πᾶσαν φωνὴν ὑπὸ μίαν τούτων τῶν πέντε φωνῶν τελεῖν, καὶ ἅμα δῆλον
ὅτι δυνατὸν ἐκ τῆς προκειμένης διαιρέσεως τὸν ἑκάστου ὁρισμὸν ἤτοι ὑπο-
γραφὴν ἀποδοῦναι ἐκλεγομένους τὰ χρήσιμα πρὸς τὴν ἑκάστου ἀπόδοσιν,
ὡς καὶ αὐτὸς ἐποίησε. φησὶ γάρ· γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ
διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον· τὸ γὰρ
κατὰ πλείονων διακρίνει αὐτὸ τῶν ἀτόμων (ἐκείνων καθ' ἑνὸς λεγο-
μένων), τὸ δὲ διαφερόντων τῷ εἴδει διακρίνει αὐτὸ εἴδους καὶ ἰδίου,
τὸ δὲ ἐν τῷ τί ἐστι κατηγορούμενον διακρίνει αὐτὸ διαφορᾶς καὶ

1 διαφέρουσι MV: διαφέρει DEFp γὰρ] δὲ M ὅτι τῶ V 2 διαφερόντων] πλειόνων M τοῦ δὲ γένους καὶ τῆς διαφορᾶς V 2. 3 κατὰ πλειόνων καὶ διαφερόντων M 3 τῶν δὲ—εἴδει DF: om. EMVp κατηγορουμένων] κατηγορεῖσθαι M 4 καὶ τὰ μὲν EMVp post κατηγορεῖται add. καὶ ποιεῖ τὸ γένος p καὶ ἐν τῶ D δὲ ante ἐστι transp. Ep: om. M 5 ἐρωτώμενος M[1] εἰ τύχοι] τυχὸν E: εἰ τύχῃ V εἴποιμεν E ὅτι om. DE (cf. v. 8) 6 τὸ γένος καὶ M τὰ D: τὸ EFMp: om. V 7 ἐν δὲ colloc. V post ὁποῖόν τι ἐστι add. ὑπάρχειν E: ὑπάρχει FMVp ἀποκρινώμαθα om. p ὡς ἐρωτηθέντες E 8 ὁ ἄνθρ. ζῶον colloc. M post ἄνθρ. add. ἀποκρινόμεθα V: εἴπωμεν p ὅτι om. V ὅπερ] ὃ D ἡ διαφορά DFV ὥστε] ὥσπερ F 10 κἂν τούτω DFMV: ἐν τούτω E: κατὰ τοῦτο p διαφέρουσι Vp: διαφέρει DEFM 12 ἑνὶ MV: ἕν DEFp 14 ἡμῖν post οὖν (13) transp. DF ἡ post συμβεβ. transp. MV: om. Fp διαφορά ante τοῦ ἰδίου transp. E 14. 15 κατὰ τοῦτο γοῦν E: καὶ κατὰ τοῦτο δὲ DF: κατὰ τοῦτο δὲ MV: κατὰ τοῦτο γὰρ p: κατὰ τοῦτο—πλείοσιν (16) eicias. 15 διαφέρουσι V: διαφέρει DEFMp ἑνὶ] ἐν E 16 ἐκ ταύτης τοίνυν τῆς διαιρέσεως δῆλον colloc. p δῆλον] δηλοῖ M 17 τούτων post τελεῖν transp. E τῶν πέντε post τελεῖν transp. V φωνῶν om. EV 18 δυνατὸν post διαιρέσεως transp. E προκειμένης] προειρημένης M τὸν om. E an ἑκάστης? 19 ἐκλεγόμενον E: ἐκλεγόμενα M 20 post γὰρ add. ὅτι p κατὰ] ἐκ E 21 post κατηγορούμενον add. οἷον τὸ ζῶον DM: om. EFVp τὸ μὲν γὰρ p 23 τὸ] τῶ D 24 καὶ διαφορᾶς Fp

συμβεβηκότος. καὶ ἡμεῖς μὲν οὕτω πλατυκώτερον ἀποδεδώκαμεν τὴν διαίρεσιν 18r
βουλόμενοι διδάξαι τήν τε διαφορὰν τῶν φωνῶν καὶ ὅτι πᾶσα ἀνάγκη ἐστὶ 25
τῷ Ἀριστοτέλει ταύταις μόναις ταῖς πέντε φωναῖς χρήσασθαι καὶ οὔτε
πλείοσιν οὔτε ἐλάττοσιν· ἑπτὰ γὰρ ὑπαρχουσῶν πασῶν τῶν φωνῶν καὶ
5 τῶν δύο ἐξαιρεθεισῶν αἱ πέντε μόναι ὑπολείπονται. ὁ δὲ φιλόσοφος Πορ-
φύριος μὴ βουλό|μενος τοῦτο νῦν ἀποδεῖξαι, διὰ τί ταῖς πέντε μόναις φω- 18v
ναῖς ὁ Ἀριστοτέλης ἐχρήσατο, ἀλλὰ τὴν διαφορὰν μόνην τῶν πέντε σημαν-
τικῶν φωνῶν, στενοτέραν ποιούμενος τὴν διαίρεσιν λέγει οὕτως· τῶν ση-
μαντικῶν φωνῶν αἱ μὲν καθ' ἑνὸς λέγονται αἱ δὲ κατὰ πλείονων (κατα-
10 λαμπάνει γὰρ τὸ ἀνώτερον μέρος τῆς διαιρέσεως), καὶ καθ' ἑνὸς μὲν κατη-
γοροῦνται ὡς τὰ ἄτομα οἷον Σωκράτης Πλάτων Ἀλκιβιάδης, τῶν δὲ 5
κατὰ πλειόνων αἱ μὲν κατὰ διαφερόντων τῷ εἴδει ὡς τὸ γένος καὶ ἡ δια-
φορὰ καὶ τὸ συμβεβηκός· καὶ γὰρ τὸ γένος οἷον τὸ ζῷον κατηγορεῖται
κατὰ πολλῶν εἰδῶν οἷον ἀνθρώπου καὶ ἵππου καὶ κυνός, καὶ ἡ διαφορὰ
15 δὲ οἷον τὸ λογικὸν κατηγορεῖται καὶ κατὰ ἀνθρώπων καὶ κατὰ ἀγγέλων,
καὶ τὸ θνητὸν κατὰ ἵππου καὶ ἀνθρώπου καὶ τῶν λοιπῶν ζῴων, καὶ τὸ 10
συμβεβηκὸς δὲ κατὰ πολλῶν εἰδῶν κατηγορεῖται· καὶ γὰρ κατὰ λευκότητος
καὶ κατὰ μελανίας καὶ κατὰ τοῦ ἑστάναι καὶ κατὰ τοῦ καθέζεσθαι. τῶν
δὲ κατὰ διαφερόντων τῷ ἀριθμῷ ὑπάρχει τὸ εἶδος καὶ τὸ ἴδιον. τῶν δὲ
20 κατὰ διαφερόντων τῷ εἴδει κατηγορουμένων τὰ μὲν ἐν τῷ τί ἐστι κατη-
γορεῖται τὰ δὲ ἐν τῷ ὁποῖόν τί ἐστι καὶ πῶς ἔχον ἐστί. καὶ ἐν μὲν τῷ
τί ἐστι τὸ γένος, ἐν δὲ τῷ ὁποῖόν τί ἐστιν ἡ διαφορά, ἐν δὲ τῷ πῶς ἔχον 15
ἐστὶ τὸ συμβεβηκός· ἐρωτώμενοι γάρ, πῶς ἔχει ὁ Πλάτων, φαμὲν ὅτι ὑγι-
αίνει ἢ νοσεῖ ἢ κάθηται ἢ ἵσταται καὶ τὰ τοιαῦτα.

---

1 post συμβεβηκότος add. εἰπὼν δὲ κατηγορούμενον διεχώρισεν αὐτὸ ἀπὸ τῶν ἀσημάντων φωνῶν D μὲν om. V πλατυκώτερον Mp: πλατικώτερον DEFV: scribas πλατυκωτέραν (cf. v. 8) 2 τε om. p φωνῶν] ἰδίων D 3 τῷ ἀριστοτέλει] ἀριστοτέλη D ταῖς π. φ. μόναις ταύταις colloc. E μόνον V οὔτε] οὐ D 4 γὰρ] δὲ M ὑπαρχουσῶν] ὑπάρχουσι E: οὐσῶν V πασῶν τῶν φωνῶν FV: πασῶν φωνῶν DE: τῶν φωνῶν πασῶν Mp καὶ om. EF 6 ἀποδεῖξαι τοῦτο νῦν colloc. p 6. 7 φωναῖς μόναις colloc. Vp 7 ἐχρήσατο ὁ ἀριστ. colloc. EFMVp 7. 8 φωνῶν τῶν σημαντικῶν E 10 ἀνωτέρω E μὲν] μόνου V 10. 11 κατηγορεῖται E 11 ὥσπερ ἄτομα V Ἀλκιβιάδης om. V 12 post εἴδει add. αἱ δὲ κατὰ διαφερόντων τῷ ἀριθμῷ. καὶ κατὰ διαφερόντων τῷ εἴδει κατηγοροῦνται p ὡς] καὶ p 14 πολλῶν εἰδῶν] πλειόνων V καὶ (ante ἵππου) om. EM 15 δὲ om. M καὶ κατὰ ἀνθρ. καὶ κατὰ ἀγγ. DF: κατὰ ἀγγ. καὶ ἀνθρ. E: κατὰ ἀνθρ. καὶ κατὰ ἀγγ. M: καὶ κατὰ ἀνθρ. καὶ ἀγγ. V: καὶ κατὰ ἀγγ. καὶ κατὰ ἀνθρ. p 16 καὶ τὸ θνητὸν—ζῴων eicias κατὰ ἵππου καὶ ἀνθρώπου καὶ τῶν λοιπῶν ζώων D: κατὰ ἵππου καὶ τῶν ἄλλων ζώων FMV: κατὰ ἀλόγων ἵππου τε καὶ ἄλλων ζώων Ep 17 καὶ γὰρ κατὰ] κατά τε p 18 καὶ κατὰ μελ. FM: καὶ μελ. DEp: κατὰ μελ. V καὶ κατὰ τοῦ ἑστ.] καὶ τοῦ ἑστ. E: κατὰ τοῦ ἑστ. V καὶ κατὰ τοῦ καθ.] καὶ τοῦ καθ. EMp καθέζεσθαι] καθῆσθαι MV 19 ὑπάρχουσι FV τὸ ἴδιον καὶ τὸ εἶδος colloc. p 19 δὲ] γὰρ Ep 20. 21 κατηγοροῦνται DF 21 ἔχον ἐστί Ep: ἔχει DFMV (cf. v. 22) καὶ (alterum) om. M μὲν om. V 22 post διαφορά add. καὶ τὸ ἀχώριστον συμβεβηκός p 22. 23 ἔχον ἐστὶ] ἔχει M 23 ante συμβεβηκὸς add. χωριστὸν p 24 τὰ τοιαῦτα D: ἄλλα τοιαῦτα EVp: τὰ ἄλλα τοιαῦτα FM

Ἄξιον δὲ ἀπορῆσαι, εἰ ὑπὸ τὴν φωνὴν ὡς γένος ἀνάγονται αἱ εἰρη- 18v
μέναι πέντε φωναί, τὸ δὲ γένος ὑπὸ ταύτας ἀνάγεται, ἔσται τῶν γενικω-
τάτων γενῶν γένος, ὅπερ ἄτοπον. φαμὲν οὖν ὅτι οὐχ ὡς πράγματα τὰ
γένη ἀνάγεται ὑπὸ ταύτην τὴν διαίρεσιν ἀλλ' ὡς φωναί, ὡς μέντοι πράγ- 20
5 ματα τὰ γενικώτατα οὐκέτι ἐπί τι κοινότερον ἀνάγεται.

p. 2,17 Τῶν γὰρ κατηγορουμένων τὰ μὲν καθ' ἑνὸς μόνου λέγεται ὡς τὰ ἄτομα.

Διὰ τούτων δηλοῖ πῶς ἡ ἀποδοθεῖσα τοῦ γένους ὑπογραφὴ χωρίζει αὐτὸ τῶν ἄλλων ἁπάντων.

10 p. 2,18 Καὶ τὸ οὗτος καὶ τὸ τοῦτο.

Καὶ γὰρ ταῦτα μερικὰ ὑπάρχει· καθ' ἑνὸς γὰρ μόνου λέγεται· δει-
κνύοντες γάρ φαμεν τοῦτο καὶ ἐκεῖνο καὶ τὸ ἄλλο. καὶ καλῶς οἱ φιλό-
σοφοι κατὰ τῶν μερικῶν ἤγαγον τὸν λόγον τοῦτον· ταῦτα γὰρ καὶ τῇ δείξει 25
καὶ τῇ αἰσθήσει ὑποπίπτουσιν. ὁ γὰρ καθόλου ἄνθρωπος καὶ τὸ καθόλου
15 ζῷον ταῦτα ἐν τῷ δημιουργῷ ὄντα οὔτε τῇ δείξει οὔτε τῇ αἰσθήσει ὑπο-
πίπτουσι. καλῶς οὖν τὰ καθ' ἕκαστα ὑπὸ τὴν δεῖξιν ἀνήγαγον, οὐ γὰρ
τὰ καθόλου. ἄτομα δὲ λέγεται ταῦτα, ἐπεὶ μὴ τέμνεται μήτε εἰς ὁμοιο-
ειδῆ μήτε εἰς ἀνομοιοειδῆ, ὥσπερ τὰ γένη καὶ τὰ εἴδη, ἀλλ' ἅμα τῇ το-
μῇ φθείρεται· τὸ γὰρ ἐν ἐμοὶ ζῷον οὐκ ἔστι κοινόν, ἀλλ' ἐν ἐμοί περι- 30
20 γέγραπται, ὁμοίως καὶ τὸ λογικόν· καὶ τὸ ἐκ πάντων σύγκριμα ὁ ἄνθρω-
πος περιώρισται.

p. 2,19 Καὶ τὰ συμβεβηκότα κοινῶς, ἀλλὰ μὴ ἰδίως τινί.

Οἷον ἡ λευκότης καὶ ἡ μελανία· τὰ γὰρ μερικὰ οὐ κατὰ πλειόνων λέγεται, οἷον ἡ ἐν τῷδε τῷ σώματι λευκότης ἢ ἡ ἐν τῷ Ὀδυσσεῖ οὐλή,

---

1 γένος] μέρος E 2 τὸ δὲ γένος — ἀνάγεται eicias ταύτας] ταύτην F
2. 3 ἔσται τὸ γενικώτατον γένος E: ἔσται τῶν γενικωτάτων γένος V 3 τὰ om. p
5 ἐπί τι EFVp: εἰς D: ὑπό τι M 6. 7 μόνου λέγεται EF: μόνου κατηγοροῦνται D: λέγεται μόνου Porph. p 8 παραδοθεῖσα E 9 πάντων FMV 10 οὗτος ex οὕτως corr. E 11 καὶ γὰρ ταῦτα μερικὰ ὑπάρχει. τὰ δὲ κατὰ πλειόνων ὡς τὰ γένη καὶ τὰ εἴδη καὶ αἱ διαφοραὶ καὶ τὰ ἴδια. καὶ γὰρ καὶ ταῦτα μερικὰ ὑπάρχει D καὶ ταῦτα γὰρ V: καὶ γὰρ καὶ ταῦτα p ὑπάρχει] ὑπάρχουσι E: εἰσὶ V λέγεται Mp: λέγονται DEFV
12 καὶ (post τοῦτο)] ἢ M: om. V καὶ καλῶς] καλῶς οὖν M 13 μερικῶν] μερῶν M 14. 15 ὁ γὰρ καθόλου . . . ὑποπίπτουσιν in mrg. suppl. D 14 ὁ γὰρ Dp: οὐ γὰρ EF: οὐ γὰρ ὁ MV καὶ (alterum) DVp: οὐδὲ E: οὔτε FM
15 ταῦτα DF: ταῦτα γὰρ EMV: καὶ τὰ λοιπὰ τῶν καθόλου p 15. 16 οὔτε ὑποπίπτ. τῇ αἰσθ. colloc. V 17 μὴ] οὐ p μήτε] εἴτε M: οὔτε p: om. V
17. 18 ὁμοιοειδῆ DF: ὁμοειδῆ EMVp 18 μήτε] οὔτε p ἀνομοιοειδῆ DEFV: ὁμοιοειδῆ M: ἀνομοειδῆ p ὥσπερ] ὡς D τὰ εἴδη καὶ τὰ γένη colloc. FMV
ἀλλ' om. E 20 λογικόν] ἀργικόν (?) E ἐκ] ἓν F ὁ om. E 23 οἷον λευκότης μελανία M: οἷον ἡ λευκ. ἡ μελ. V 24 τῷδε τῷ om. V ἢ ἡ ἐν Fp: ἢ ἐν DE¹MV: ἡ ἐν E²

ἀφ' ἧς αὐτὸν ἡ τροφὸς ἐπέγνω· καὶ γὰρ αὕτη αὐτῷ μόνῳ ὑπῆρχεν· εἰ 18v
μὴ γὰρ ἦν αὐτῷ μόνῳ, πῶς εἶχεν αὐτὸν ἐξ αὐτῆς ἐπιγνῶναι; διὰ τοῦτο
οὖν εἶπε τὰ κοινῶς συμβεβηκότα ἀλλὰ μὴ ἰδίως τινὶ ὑπάρχοντα
ἀντὶ τοῦ τὰ καθόλου καὶ μὴ τὰ μερικά.

5 p. 2,20 Ἔστι δὲ γένος μὲν οἷον τὸ ζῷον, εἶδος δὲ οἷον ὁ ἄνθρωπος.

Ἐσκιαγραφημένην οἷόν τινα περὶ αὐτῶν ποιεῖται διδασκαλίαν διὰ παραδείγματος ἕκαστον ἡμᾶς διδάσκων τῶν πέντε.

p. 2,22 Τῶν μὲν οὖν καθ' ἑνὸς μόνου κατηγορουμένων διαφέρει
10 τὰ γένη τῷ ταῦτα κατὰ πλειόνων ἀποδοθέντα κατηγορεῖσθαι. |

Διὰ τούτων δείκνυσι πῶς ὁ ἀποδοθεὶς τοῦ γένους ὁρισμὸς ἤτοι ὑπο- 19r
γραφὴ χωρίζει αὐτὸ τῶν ἄλλων ἁπάντων· κατηγορεῖται μὲν γὰρ καὶ τὸ γένος κατὰ πλειόνων καὶ διαφερόντων, ἀλλ' οὐ τῷ ἀριθμῷ μόνον ἀλλὰ καὶ τῷ εἴδει, τὸ δὲ εἶδος κατὰ διαφερόντων μόνον τῷ ἀριθμῷ. ὥστε δεῖ
15 ποιεῖσθαι ἑκάστης φωνῆς τὸν ὁρισμὸν ἤτοι ὑπογραφὴν οὕτως· ὅτι γένος μέν ἐστι φωνὴ σημαντικὴ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορουμένη, διαφορὰ δέ ἐστι σημαντικὴ φωνὴ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορουμένη, εἶδος δὲ φωνὴ σημαντικὴ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί
20 ἐστι κατηγορουμένη, ἴδιον δὲ ὑπάρχει φωνὴ σημαντικὴ μὴ οὐσιώδης καθ' ἑνὸς εἴδους κατηγορουμένη, συμβεβηκὸς δὲ πέφυκε φωνὴ σημαντικὴ ἐπουσιώδης κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ πῶς ἔχον ἐστὶ κατηγορουμένη.

1 ἐπέγνω EFVp: ἐπέγνωσε D: ἔγνω M αὕτη DFp: αὐτὴ EMV μόνῳ] μόνη E
2 πῶς — ἐπιγνῶναι] οὐκ ἂν εἶχεν αὐτὸν ἐπιγνῶναι ἐξ αὐτῆς V 4 τὰ (ante καθόλου) om. DMV 5 hoc lemma ad superius (p. 63,22) adnexum hic omisit et ἐσκιαγραφημένην δὲ scrips. D 7 τὴν διδασκ. EMp 7. 8 παραδειγμάτων M 10 τὰ γένη] τὸ γένος E ἀποδοθέντα κατηγορεῖσθαι D: λέγεσθαι EFp 11 διὰ τούτων EMVp: διὰ τούτου F: διὰ τοῦ εἰπεῖν τῶν οὖν καθ' ἑνὸς κατηγορουμένων D τοῦ γένους EM: om. DFV: post ὁρισμὸς transp. p 11. 12 ἡ ὑπογραφὴ p 12 καὶ om. Ep 13 καὶ (ante διαφερόντων) om. M ἀλλ' om. E μόνων E
14 post ὥστε add. οὖν FMVp 15 ἐφ' ἑκάστης E τὴν ὑπογραφὴν EFMp
16 σημαντ. φωνὴ colloc. EF πλειόνων] πολλῶν V 16. 17 ἐν τῷ τί ἐστι—εἴδει (18) om. E 17 κατηγορούμενον DV[1] διαφορὰ — κατηγορουμένη (18) om. D ἐστι Fp: om. MV φωνὴ σημαντ. colloc. M 18 κατηγ. ἐν τῷ ὁποῖόν τί ἐστι colloc. EMV δέ ἐστι D 19 φωνὴ om. V σημαντ. φωνὴ colloc. E
20 κατηγορούμενον D et fort. V[1] δὲ om. M ὑπάρχει] ἐστι V σημαντ. φωνὴ colloc. V μὴ οὐσιώδης DEF: οὐσιώδης M: μὴ οὐσιωδῶς V: ἐπουσιώδης p
21 ἑνὸς μόνου D πέφυκε D: ἐστι EFMVp σημαντ. φωνὴ colloc. Fp
21. 22 scribas μὴ οὐσιώδης (cf. v. 20) 22 ante ἐν τῷ πῶς add. ἐν τῷ ὁποῖόν τί ἐστι ἢ p 22. 23 κατηγορουμένη ἐν τῷ πῶς ἔχ. ἐστί colloc. EV

p. 2,27 Τὸ δὲ ζῷον γένος ὂν ἀνθρώπου καὶ βοὸς καὶ ἵππου κατη- 19r
γορεῖται, οἳ διαφέρουσι καὶ τῷ εἴδει ἀλλ' οὐ τῷ ἀριθμῷ μόνον.

Ἰστέον δὲ ὅτι τὰ τῷ εἴδει διαφέροντα ἀλλήλων καὶ τῷ ἀριθμῷ διαφέρει, τὰ δὲ τῷ ἀριθμῷ διαφέροντα οὐκέτι καὶ τῷ εἴδει· οὐδὲ γὰρ ἀντιστρέφει ὁ λόγος. εἰδέναι δὲ δεῖ, ὅτι τὸ ταὐτὸν τριττὸν ὑπάρχει· ἢ γὰρ τῷ γένει ἐστὶ ταὐτὸν ἢ τῷ εἴδει ἢ τῷ ἀριθμῷ. καὶ τῷ μὲν γένει ἐστὶ ταὐτὸν ὡς ἄνθρωπος ἵππος βοῦς (ταῦτα γὰρ τῷ γένει ταὐτὰ ὑπάρχει· ἅπαντα γὰρ ζῷά ἐστι), τῷ δὲ εἴδει ταὐτόν ἐστιν ὡς Θέων καὶ Πλάτων καὶ Ἀλκιβιάδης (οὗτοι γὰρ οἱ αὐτοὶ καὶ ἓν τῷ εἴδει ὑπάρχουσι), τῷ δὲ ἀριθμῷ ταὐτόν ἐστιν ὡς ἄνθρωπος καὶ βροτός, ξίφος καὶ μάχαιρα. εἰ γοῦν τὸ ταὐτὸν τριττὸν ὑπάρχει, ἐξ ἀνάγκης καὶ τὸ ἕτερον τριττὸν ὑπάρχει· ἢ γὰρ τῷ γένει τινὰ διαφέρει καὶ ἕτερά ἐστιν ἀλλήλων ἢ τῷ εἴδει ἢ τῷ ἀριθμῷ. καὶ τὰ μὲν τῷ γένει διαφέροντα ἀλλήλων πάντως καὶ τῷ εἴδει διαφέρει καὶ τῷ ἀριθμῷ, οἷον τῷ γένει διαφέρει ἀλλήλων ὡς ὁ ἄνθρωπος καὶ τὸ λευκόν (ὁ μὲν γὰρ ἄνθρωπος ζῷον ὑπάρχει, τὸ δὲ λευκὸν ποιόν), ἀλλὰ καὶ τῷ εἴδει (ἄλλο γὰρ εἶδος ἀνθρώπου καὶ ἄλλο λευκοῦ· ὁ μὲν γὰρ ἄνθρωπος εἶδός ἐστι τοῦ ζῴου γένους ὄντος, τὸ δὲ λευκὸν εἶδός ἐστι τῆς ποιότητος καὶ τοῦ χρώματος), ἀλλὰ δὴ καὶ τῷ ἀριθμῷ· ὁ γὰρ αἰσθητὸς ἄνθρωπος οἷον Σωκράτης ἕτερός ἐστι Πλάτωνος. ὥστε οὖν καλῶς εἰρήκαμεν ὅτι τὰ τῷ γένει ἀλλήλων διαφέροντα καὶ τῷ εἴδει διαφέρει καὶ τῷ ἀριθμῷ, τὰ δὲ τῷ εἴδει διαφέροντα διαφέρει μὲν πάντως τῷ ἀριθμῷ, οὐκέτι δὲ πάντως καὶ τῷ γένει, οἷον ἄνθρωπος ἵππος· ταῦτα γὰρ διαφέρει ἀλλήλων τῷ εἴδει (ἄλλο γὰρ εἶδος ἀνθρώπου καὶ ἄλλο ἵππου), ἀλλὰ δὴ καὶ τῷ ἀριθμῷ (ἄλλη γὰρ ὕλη ἀνθρώπου καὶ ἄλλη ἵππου), οὐ μὴν τῷ γένει διαφέρει· ἀμφότερα γὰρ ζῷα ὑπάρχει. τὰ δὲ τῷ ἀριθμῷ διαφέροντα οὔτε πάντως τῷ εἴδει οὔτε τῷ γένει διαφέρει. διὰ τοῦτο

1 καὶ ἵππου καὶ βοὸς colloc. Ep 2 καὶ om. D εἴδει ἀλλήλων p Porph. οὐχὶ Porph. μόνω D 3 post ἀριθμῷ add. πάντως V 3. 4 διαφέρουσι EFMVp 4 οὐδὲ DMV: οὐ EFp 5 δὲ DFV: γὰρ EMp 6 ante τῷ γένει et τῷ εἴδει add. ἐν V γένει μὲν colloc. EFVp ἐστὶ (alterum) om. M 7 ἵππος βοῦς D: ἵππος καὶ κύων καὶ βοῦς EM: ἵππος κύων καὶ βοῦς F: καὶ ἵππος καὶ βοῦς καὶ κύων V: ἵππος κύων βοῦς p ταὐτὰ MV: ταὐτὸν DEFp (cf. v. 9) ὑπάρχει EMVp: εἰσιν D: ὑπάρχουσιν F 8 ζῶον M ἐστι] εἰσί DEp 9 καὶ ἓν V: καὶ ἐν DEF: ἐν Mp 10 καὶ (ante βροτός) om. F καὶ ξίφος E: ὡς (?) ξίφος M: ἢ ὡς ξίφος p 11 γοῦν D: οὖν EFMVp 12 διαφέρουσι FV 13 πάντως—ἀλλήλων (14) om. M 14 διαφέρει (prius) D: διαφέρουσι EFVp διαφέρει (alterum) DEVp: διαφέρουσιν F ἀλλήλων ὡς om. V: ὡς om. p 16 ποιόν] ποιότης MV ἀλλὰ δὴ καὶ Vp 16 ἀνθρ. εἶδος colloc. V 18 δὴ om. E 19 ὁ σωκρ. p πλάτωνι MV: τοῦ πλάτωνος p 20 τῷ γένει] γένη D 20. 21 διαφέρουσι EFp 21 διαφέρουσι EFV πάντως om. MVp 22 καὶ om. E ταὐτα] ταὐτὸν E 23 διαφέρουσιν EFMV 24 ἄλλη (prius)] ἄλλο V ἡ ὕλη F ἵππου καὶ ἄλλη ἀνθρ. colloc. EMVp 25 καὶ τῷ γένει p διαφέρουσιν EFVp ὑπάρχει EFMp: ἦ (sic) D: εἰσί V 26 οὔτε τῷ εἴδει διαφ. οὔτε πάντως τῷ γένει colloc. V διαφέρουσιν EFMV: διαφέρουσιν ἀλλήλων p

οὖν εἶπεν οἳ διαφέρουσιν ἀλλήλων καὶ τῷ εἴδει, οὐ μόνον τῷ 19r
ἀριθμῷ, ὡς δήλου ὄντος, ὅτι τὰ διαφέροντα ἀλλήλων τῷ εἴδει καὶ τῷ ἀριθμῷ πάντως διαφέρει.

p. 3,5 Τῆς δ' αὖ διαφορᾶς καὶ τῶν κοινῶς συμβεβηκότων διαφέρει τὸ γένος.

Τῶν διαφορῶν φησι καὶ τῶν καθόλου συμβεβηκότων διαφέρει τὸ γένος τῷ ταῦτα μὲν ἐν τῷ ὁποῖόν τί ἐστιν ἢ πῶς ἔχον ἐστὶ κατηγορεῖσθαι, τὸ δὲ γένος ἐν τῷ τί ἐστιν.

p. 3,14 Ὥστε τὸ μὲν κατὰ πλειόνων λέγεσθαι τὸ γένος διαστέλλει 19v
αὐτὸ ἀπὸ τῶν καθ' ἑνὸς μόνου τῶν ἀτόμων κατηγορουμένων.

Ἐν συντόμῳ δείκνυσι πῶς ἕκαστον τῶν παραληφθέντων πρὸς τὴν τοῦ γένους ὑπογραφὴν δεόντως εἴληπται.

p. 2,18 Ἃ οὐκ ἐν τῷ τί ἐστιν ἀλλ' ἐν τῷ ὁποῖόν τί ἐστιν ἢ πῶς ἔχον ἐστὶ κατηγορεῖται.

Ἡ δὲ διαφορὰ καὶ τὰ συμβεβηκότα οὐ μόνον ἐν τῷ ὁποῖόν τί ἐστι κατηγοροῦνται. ἀλλὰ καὶ ἐν τῷ πῶς ἔχον ἐστίν· ἐρωτηθέντες γὰρ πῶς ἔχει Σωκράτης ἀποκρινόμεθα ἢ ὑγιαίνει ἢ νοσεῖ· αἱ γὰρ ἄλλαι διαφοραὶ πρὸς τοῖς συμβεβηκόσιν εἰσὶν οἷον τὸ σιμὸν καὶ τὸ γρυπὸν καὶ τὸ φαλακρόν.

1 οὖν om. Vp διαφ. τῶ εἴδει ἀλλήλων (καὶ om.) M 1. 2 καὶ τῷ εἴδει ἀλλήλων ἀλλ' οὐ τῷ ἀρ. μόνον p 2 τῷ εἴδει ἀλλήλων colloc. Mp 3 διαφέρουσι DFMp, (ante πάντως transp.) V 4 κοινῇ Porph. 7 ἐστιν (post τί) om. M 8 post τί ἐστιν add. τῶν δὲ ἐν τῶ τί ἐστι κατηγορουμένων διαφέρει τὸ γένος, τοῦ μὲν εἴδους, ὅτι ἐκεῖνο μὲν κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ κατηγορεῖται, τοῦτο δὲ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει, οἷον τὸ γένος, τοῦ δὲ ἰδίου ὅτι τοῦτο μὲν ἑνὶ εἴδει ἁρμόζει, τὸ δὲ γένος πολλοῖς | εἴδεσιν p 9 τῶ μὲν E 10 κατηγορουμένου E 11 καὶ ἐν συντόμω D: ἐν συντόμω δὲ V πρὸς] εἰς Ep 12 post εἴληπται add. [τῶν ὡς εἰδῶν] κατηγορουμένων. διὰ τί εἶπεν ὡς εἰδῶν καὶ ὡς ἰδίων; διὰ τὰ ὑπάλληλα γένη καὶ εἴδη. διότι λέγονται τὰ αὐτὰ καὶ γένη καὶ εἴδη. διὰ τοῦτο γοῦν εἶπεν ὡς εἰδῶν. διότι οὐ πάντοτε εἴδη ἀλλά ποτε καὶ γένη. τὸ δὲ ὡς ἐνταῦθα τὸ κυρίως εἶδος καὶ τὸ κυρίως ἴδιον δηλοῖ, ἤτοι τό τε εἰδικώτατον καὶ τὸ μόνῳ καὶ ἀεὶ καὶ παντὶ ὑπάρχον (ἴδιον). τὸ γὰρ ὑπάλληλον εἶδος κατὰ διαφόρων τῷ εἴδει κατηγορεῖται ὡς τὸ ἔμψυχον εἶδος ὂν τοῦ σώματος. καὶ τὸ ἴδιον οὖν ὁ παντὶ συμβέβηκε τῷ εἴδει εἰ καὶ μὴ μόνω, κατὰ διαφερόντων τῷ εἴδει λέγεται, τὸ δίπουν κατὰ ἀνθρώπων καὶ ὀρνέων V 13 Ἃ—φαλακρόν (19) eicias 14 ἐστὶ om. F 15 ἡ διαφορὰ δὲ colloc. E 16 κατηγοροῦνται p: κατηγορεῖται codd. ἔχον ἐστίν DV: ἔχον EFp: ἔχει M 17 ἀπεκρινάμεθα E ἢ ὑγιαίνει ἢ νοσεῖ EFp: ἢ νοσεῖ ἢ ὑγιαίνει D: ἢ ὑγείαν ἔχει ἢ νοσεῖ M: ὑγιαίνει ἢ νοσεῖ V ἄλλαι] an ἀλλοῖον ποιοῦσαι? 18 πρὸς om. D τὸ σιμὸν καὶ τὸ γρυπὸν (γριπὸν D) καὶ τὸ φαλ. DM: τὸ σιμὸν καὶ τὸ γρυπὸν ἢ τὸ φαλ. E: τὸ σιμὸν καὶ γρυπὸν καὶ τὸ φαλ. F: τὸ σιμὸν τὸ γρ. καὶ φαλ. V: τὸ σιμὸν τὸ γρ. καὶ τὸ φαλ. p

p. 3,17 Τὸ δὲ ἐν τῷ τί ἐστι κατηγορεῖσθαι χωρίζει ἀπὸ τῶν δια- 19v
φορῶν καὶ τῶν κοινῶς συμβεβηκότων, ἃ οὐκ ἐν τῷ τί ἐστιν,
ἀλλ' ἐν τῷ ὁποῖόν τί ἐστιν ἢ πῶς ἔχον ἐστὶ κατηγορεῖται ἕκα-
στον ὧν κατηγορεῖται.

Ἐν τῷ ὁποῖόν τί ἐστιν ἡ διαφορὰ κατηγορεῖται, ἐν δὲ τῷ πῶς ἔχον 10
τὰ κοινῇ συμβεβηκότα. φασὶ δέ τινες ὅτι εἰπὼν ἢ πῶς ἔχον περιέλαβε
καὶ τὰ ἰδίως τινὶ συμβεβηκότα. λέγομεν οὖν ὅτι εἰ καὶ ἐν τῷ πῶς ἔχον
ἐστὶ κατηγορεῖται καὶ αὐτά, ἀλλ' ὅμως τῶν καθ' ἑνός ἐστι κατηγορουμένων·
ἐκείνων δὲ ἄνω ἐχώρισε τὸ γένος εἰρηκὼς τὸ μὲν κατὰ πλειόνων λέ-
γεσθαι τὸ γένος διαστέλλει αὐτὸ ἀπὸ τῶν καθ' ἑνὸς μόνου τῶν
ἀτόμων κατηγορουμένων.

p. 3,19 Οὐδὲν ἄρα περιττὸν οὐδὲ ἐλλεῖπον περιέχει ἡ τοῦ γένους 15
ῥηθεῖσα ὑπογραφὴ τῆς ἐννοίας.

Οἱ ὁρισμοὶ βούλονται καὶ μόνῳ ἐφαρμόζειν τῷ πράγματι καὶ ὅλον
αὐτὸ περιλαμβάνειν· διὰ τοῦτο γὰρ καὶ ὁρισμοὶ λέγονται, ὡς περιλαμβά-
νοντες τὸ ὁριστὸν ἀπὸ τῶν ἐν τοῖς χωρίοις ὅρων μετειλημμένοι. κακύνον-
ται δὲ οἱ ὁρισμοὶ κατὰ δύο τρόπους, ἢ περιττεύοντες ἢ ἐλλείποντες· καλῶς
γὰρ εἴρηται τοῖς φιλοσόφοις, ὅτι ἑκάστη συμμετρία μία τις οὖσα δύο ἔχει 20
ἀμετρίας παρακειμένας· οὕτω γὰρ καὶ ἡ δικαιοσύνη μία μέν τις ὑπάρχει
ἀρετή, παράκειται δὲ αὐτῇ ἡ μειονεξία καὶ ἡ πλεονεξία· καὶ μειονέκτης
μέν ἐστιν ὁ ἧττον τοῦ δέοντος ἑαυτῷ τι περιποιῶν, πλεονέκτης δὲ ὁ πλέον
τοῦ δέοντος. καὶ πάλιν ἡ σωφροσύνη ἀρετὴ ὑπάρχει, παράκειται δὲ αὐτῇ
ἥ τε ἠλιθιότης καὶ ἡ ἀκολασία· καὶ ἠλίθιος μέν ἐστιν ὁ ἧττον κινούμενος 25

2 κοινῶς DEM: κοινῇ F Porph.: κοινῶν Vp 3 ἢ πῶς ἔχον ἐστὶ om. D: post κατηγ. transp. F ἐστι (post ἔχον) MV: om. EFp 5 ἀλλ' ἐν τῷ ὁποῖον M: καὶ ἐν τῷ ὁποῖον V 6 κοινῇ DF: κοινῶς EVp: om. M δέ τινες FMVp: τινὲς D: δὲ E ἢ om. M 7 τινὶ om. F συμβ. τινί colloc. V εἰ καὶ FVp: καὶ εἰ E: εἰ M: om. D 8 αὐτὸ M 10 μόνου om. D μόνου καὶ p 14 ante οἱ ὁρισμοὶ add. καλῶς εἶπε τῆς ἐννοίας ὅτι αἱ ὑπογραφαὶ ἀπὸ τῶν ἐννοιῶν λαμβάνονται καὶ τῶν συμβεβηκότων· ταῦτα γὰρ μόνα (sic) τὴν ἔννοιαν οὐ τὴν φύσιν τοῦ ὑποκειμένου σημαίνουσιν, tum rubro καὶ ἄλλως D καλῶς οἱ ὁρισμοὶ V 16 ὁριστὸν] ὁριστικὸν E: ἀόριστον M μετειλημμένον M 16. 17 κακύνονται M: γίνονται DFp: καὶ κακύνονται E: κακίζονται V (cf. p. 68,23) 17 post ὁρισμοὶ add. ἀσύμμετροι p 19 περικειμένας D¹M καὶ ἡ om. M μέν om. D 21 ἑαυτῷ τι FVp: ἐν αὐτῷ τι D: αὐτῷ τι E: τι ἑαυτῷ M 22 καὶ πάλιν] ἀλλὰ μὴν V post πάλιν add. ἡ ἀνδρεία ἀρετὴ ὑπάρχει, παράκειται δὲ αὐτῇ δειλία καὶ θρασύτης (ἥ τε δειλία καὶ ἡ θρασύτης Vp) ἀλλὰ καὶ (ἀλλὰ δὴ καὶ Vp) EVp σωφροσύνη in mrg. suppl. et in textu ἀνδρεία del. M ὑπάρχει om. E 23 ἡ om. E καὶ ἠλίθιος [μέν] ἠλίθιος μὲν γὰρ M: ἠλίθιος μὲν V

ἀκόλαστος δὲ ὁ μᾶλλον καὶ ἀτάκτως κινούμενος. ὥσπερ οὖν ἐπὶ τούτων 19v
ἔχει, οὕτως καὶ ἐπὶ τοῦ ὁρισμοῦ· ἐκεῖνος γάρ ἐστιν ἄριστος ὅρος ὁ περι-
ορίζων μὲν τὸ οἰκεῖον πρᾶγμα καὶ μηδὲν ἔξω αὐτοῦ καταλιμπάνων, τῶν δὲ
παρακειμένων μηδὲν ἀφαιρούμενος. παράκειται δὲ τούτῳ, ὥσπέρ καὶ ταῖς
5 ἄλλαις ἀρεταῖς, ἥ τε ὑπερβολὴ καὶ ἡ ἔλλειψις, ὡς ἤδη εἴρηται. καὶ περιτ- 20
τεύοντες μὲν ποιοῦσι τὰ πράγματα ἐλλείπειν, ἐλλείποντες δὲ ποιοῦσι τὰ
πράγματα περιττεύειν· οἷον ὁ τοῦ ἀνθρώπου ὁρισμός ἐστι ζῷον λογικὸν
θνητόν, καὶ οὗτος ὁ ὁρισμὸς χωρίζει τὸν ἄνθρωπον ἀπὸ τῶν ἄλλων πάντων
καὶ περιλαμβάνει πάντας τοὺς ἀνθρώπους. ἐλλείπων δὲ ποιεῖ τὸ πρᾶγμα
10 περιττεύειν, οἷον ζῷον θνητόν· οὐ μόνον γὰρ ὁ ἄνθρωπος ζῷον θνητὸν
ἀλλὰ καὶ ὁ ἵππος καὶ ὁ κύων καὶ ἄλλα πολλά. πάλιν δὲ περιττεύων ποιεῖ 25
τὸ πρᾶγμα ἐλλείπειν, οἷον ζῷον λογικὸν θνητὸν γραμματικόν· οὐκέτι γὰρ
πάντας ἀνθρώπους περιλαμβάνει. ἀλλὰ μόνους τοὺς γραμματικούς. καὶ
τοῦτο εἰκότως· συνθετώτερα γὰρ γινόμενα τὰ πράγματα μᾶλλον στενοῦται,
15 ἁπλούστερα δὲ ὄντα ἐπὶ πλέον ἐκτείνεται καὶ ἐπὶ πλειόνων φέρεται, ἅτε
δὴ καὶ πλησιέστερα ὄντα τῆς πρώτης ἀρχῆς | καὶ κοινῆς πάντων. διὰ 20r
τοῦτο τὸ μὲν ζῷον αὐτὸ καθ' αὑτὸ ἐπὶ πλειόνων φέρεται, συντεθὲν δὲ τῷ
λογικῷ ἐπ' ἐλαττόνων. τὸ δὲ λογικὸν ζῷον τῷ θνητῷ συνδυαζόμενον ἔτι
ἐλάττονα περιέχει, εἰ δὲ προστεθῇ καὶ τὸ γραμματικόν, ἔτι μερικώτερον
20 γίνεται. ὥστε ἐλλείποντες μὲν οἱ ὁρισμοὶ ποιοῦσι τὰ πράγματα περιττεύειν,
περιττεύοντες δὲ ποιοῦσιν ἐλλείπειν. ταῦτα οὖν ἐπισημηνάμενος ὁ Πορ- 5
φύριός φησιν ὅτι ὁ ἀποδοθεὶς τοῦ γένους ὁρισμὸς ἤτοι ὑπογραφὴ τῶν δύο
ἀπήλλακται τῶν κακυνόντων τοὺς ὁρισμούς· οὔτε γὰρ περιττεύει οὔτε ἐλ-
λείπει.

25 Εἴρηται ὅτι τριττά ἐστι τὰ γένη, τὰ μὲν πρὸ τῶν πολλῶν τὰ δὲ ἐν

---

1 post κινούμενος add. ἀλλὰ δὴ καὶ ἡ φρόνησις ἀρετή ἐστι, παράκειται δὲ αὐτῇ ἥ τε ἀφροσύνη καὶ ἡ ὑπερηφανία p 2 ἐστιν om. F ὁ ἄριστος M ὅρος] ὁρισμὸς p ὁ] ὡς F 5 ἡ (ante ἔλλειψις) om. EM 6 post μὲν et ἐλλείποντες δὲ add. τῇ λέξει M 6. 7 τὰ πρ. περιττεύειν ποιοῦσι transp. M 6. 7 τὰ πράγματα MV: τὸ πρᾶγμα DEF: om. p 8 post θνητόν add. νοῦ καὶ ἐπιστήμης δεκτικόν D οὗτος] οὕτως E πάντων EFM: ζώων D: ἁπάντων Vp 9 ἐλλεῖπον E 10 μόνος M γὰρ] δὲ D ζῶον θνητόν om. M 11 ὁ ἵππος καὶ ὁ κύων D: ἵππος καὶ κύων EFMp: ἵππος καὶ ὁ κύων V περιττεύων MVp: τὸ περιττεῦον DF: περιττεῦον E 12 ζῶον p: ἄνθρωπος ἐστὶ ζῶον V: om. DEFM 13 πάντας τοὺς ἀνθρ. EM: ἀνθρ. πάντας V περιλαμβ.] λαμβάνει V 14 σύνθετα V στενοῦνται DMV 15 πλέον DFM: πλείονα EVp ἐκτείνεται MVp: ἐντείνεται DEF 16 καὶ (post δὴ) D: om. EFMVp ὄντα post ἀρχῆς transp. F 17 ἐκφέρεται D 17. 18 τῷ λογικῷ] τὸ (ex τῷ corr.) λογικὸν V 18 ζῶον ex ζῴω corr. F 19 ἐλάττωνα M προστεθῇ] προστεθεῖ F 20 γίνεται MVp: λέγεται DEF μὲν ἐλλείπ. colloc. E ἐλλίποντες D[1] post ὁρισμοὶ add. τῶν λόγων M τὰ πράγματα p: τὸ πρᾶγμα codd. (cf. v. 6) περισσεύειν (sed v. 21 περιττεύοντες) V 21 τῶν λόγων ποιοῦσιν M ποιοῦσιν om. p post ἐλλείπειν add. τὸ πρᾶγμα M ἐπισημαινόμενος Vp 22 ὁ ἀποδοθεὶς τ. γ. ὁ ὁρισμὸς (sed prius ὁ superscr. m.[2]) D ἡ ὑπογραφὴ p τῶν δύο τούτων p 23 τῶν om. M 23. 24 οὔτε γὰρ περιττεύων ποιεῖ ἐλλείπειν τὸ πρᾶγμα οὔτε ἐλλείπων περιττεύειν p post ἐλλείπει add. τῆς ἐννοίας M 25 εἴρηται δ' E τριττά Fp: περιττά DV: τρία EM τὰ (ante γένη) om. M ἐν] ἐπὶ V

τοῖς πολλοῖς τὰ δὲ ἐπὶ τοῖς πολλοῖς. ἃ καὶ ὑστερογενῆ καλεῖται καὶ ἐννοη- 20r
ματικὰ ὡς ἐν τῇ διανοίᾳ ὄντα τῇ ἡμετέρᾳ. πρόκειται οὖν τῷ Πορφυρίῳ 10
διδάξαι περὶ γενῶν οὔτε περὶ τῶν πρὸ τῶν πολλῶν οὔτε περὶ τῶν ἐν τοῖς
πολλοῖς ἀλλὰ περὶ τῶν ἐπὶ τοῖς πολλοῖς, τοῦτ' ἔστι περὶ τῶν ἐννοηματι-
5 κῶν. διὰ τοῦτο τοίνυν εἶπεν ὑπογραφὴν τῆς ἐννοίας, τοῦτ' ἔστι τοῦ
ἐννοηματικοῦ γένους. ἐννοηματικὸν δὲ γένος ἐστί, καθ' ἣν ἔννοιαν λαμ-
βάνοντες τὰ πράγματα πρὸς αὐτὴν ὁριζόμεθα. οἷον λαμβάνομεν κατὰ τὴν
οἰκείαν διάνοιαν τὸν ἄνθρωπον καὶ πρὸς αὐτὴν ἀναλογιζόμενοι λέγομεν, ὅτι 15
ὁ ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητόν. φησὶν οὖν ὁ Πορφύριος ὅτι ταύ-
10 της τῆς ἐννοίας οὐδὲν ὑπερβάλλον οὐδὲ ἐλλεῖπον ἔχει ἡ τοῦ γένους ὑπο-
γραφή.

Περὶ εἴδους.

p. 3,22 Τὸ δὲ εἶδος λέγεται μὲν καὶ ἐπὶ τῆς ἑκάστου μορφῆς.

Πεπλήρωται ὁ περὶ τοῦ γένους λόγος. δευτέραν οὖν τάξιν ἔχουσιν ἐν 20
15 τούτοις αἱ διαφοραί· ἀλλ' ἐπειδήπερ τὸ γένος καὶ τὸ εἶδος πρός τι καὶ
ἅμα ὑφίσταται καὶ ἅμα νοεῖται, διὰ τοῦτο τὸ εἶδος τῆς διαφορᾶς προέταξεν,
οὐ διὰ τὴν φυσικὴν τάξιν ἀλλὰ διὰ τὴν διδασκαλικὴν ἀκολουθίαν, καὶ ὅτι
ἐν τῇ τοῦ γένους διδασκαλίᾳ ἐμνημόνευσε τοῦ εἴδους, καὶ ἔδει μὴ ἐπὶ
πολὺν χρόνον τούτου ἀνεννόητον εἶναι τὸν ἀκροατήν. τῷ δὲ εἰωθότι καὶ
20 νῦν κανόνι χρώμενος ἀπαριθμεῖται πρότερον τὰ σημαινόμενα τοῦ εἴδους 25
πάντα, εἶθ' οὕτως προσδιορίζεται περὶ ποίου ποιεῖται τὸν λόγον· εἰσὶ γὰρ
ἕτερα σημαινόμενα τοῦ εἴδους, περὶ ὧν οὐ πρόκειται λέγειν, ἀλλ' ἐκεῖνα
καταριθμεῖται τοῦ εἴδους τὰ σημαινόμενα τὰ πρὸς τὴν λογικὴν ἁρμόζοντα
πραγματείαν. λέγει οὖν ὅτι διττὸν ὑπάρχει τὸ σημαινόμενον τοῦ εἴδους·
25 εἶδος μὲν γὰρ λέγεται καὶ ἡ ἑκάστου μορφή, καθ' ὃ σημαινόμενον λέγομεν

1 τὰ δὲ ἐπὶ τ. π. DFp: τὰ δὲ μετὰ τὰ πολλὰ M: τὰ δὲ ἐν τοῖς πολλοῖς V: om. E καλοῦνται DF 2 διανοίᾳ ὄντα M 3 περὶ γενῶν eicias οὔτε πρὸ τῶν πολλῶν EV: οὔτε περὶ τῶν πολλῶν F οὔτε ἐν τοῖς π. (περὶ τῶν om.) V 4 ἀλλὰ — πολλοῖς om. E ἐπὶ τοῖς πολλοῖς] μετὰ τὰ πολλὰ M περὶ (ante τῶν ἐννοημ.) om. E 5 τοίνυν] οὖν M ἡ ὑπογραφὴ MV 6 δὲ] γὰρ V 8 διάνοιαν F ἀναλογιζόμεθα λέγοντες p 9 ὁ (prius) om. V post οὖν add. ὅτι expunx. E 10. 11 ἡ ὑπογραφὴ τοῦ γένους MV 12 tit. om. E 13 δὲ om. D 14 πεπλήρωται καὶ E οὖν om. V 14. 15 ἐν τούτοις ante ἔχουσιν transp. M: post διαφοραί V 15 ἐπειδὴ περὶ F καὶ (ante τὸ εἶδος) om. F πρός τί ἐστι D; an πρός τι ὄντα? 16 τῶν διαφορῶν MVp 17 ante οὐ add. καὶ EF; οὐ — ἀκολουθίαν eicias ἀλλὰ διδασκ. (διὰ τὴν om.) D διδασκ. ἀκολουθίαν] διδασκαλίαν E 18 καὶ τοῦ εἴδους p 19 τούτου om. E: post ἀνεννόητον transp. p 20. 21 χρησάμενος πρῶτον ἀπαριθ. τὸν λόγον (πρότερον — ποιεῖται om.) V 21 προδιορ. D εἰσὶ γὰρ — πραγματείαν (24) eicias 23 τοῦ εἴδους περὶ ὧν τὰ σημ. M 23. 24 πραγματείαν ἁρμόζοντα colloc. E 25 γὰρ om. D καὶ om. F post σημαινόμενον add. λέγομεν πρῶτον εἶδος ἄξιον τυραννίδος, ἤτοι καθ' ὃ D

τοὺς εὐειδεῖς καὶ δυσειδεῖς, εἶδος δὲ λέγεται καὶ τὸ ὑπὸ τὸ γένος πεπτω- 20r
κὸς ἢ οὗ τὸ γένος ἐν τῷ τί ἐστι κατηγορεῖται. ἀλλ' οὗτος ὁ ὁρισμός ἐστι 31
καὶ τοῦ εἰδικωτάτου εἴδους καὶ τοῦ μὴ εἰδικωτάτου. λέγεται δὲ καὶ ἄλλως
εἶδος τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατη-
5 γορούμενον. ἐπεὶ δὲ τὰ τῶν ὀνομάτων τούτων σημαινόμενα, λέγω δὴ τοῦ
μὴ εἰδικωτάτου εἴδους καὶ τοῦ εἰδικωτάτου, ἀσαφῆ ὑπάρχει τῇ κοινῇ
συνηθείᾳ, προϊόντος τοῦ λόγου σαφηνίζει αὐτὰ προχειριζόμενος τὴν καλλί- 35
στην τῶν κατηγοριῶν, λέγω δὴ τὴν οὐσίαν, ἥτις αὐθυπόστατον ὑπάρχει
πρᾶγμα καὶ γενικώτατον γένος· αἱ γὰρ ἄλλαι κατηγορίαι συμβεβηκότα
10 ὑπάρχουσιν αὐτῆς· εἰ γὰρ πᾶσαι αἱ ἄλλαι ἐν τῇ οὐσίᾳ ὑπάρχουσι καὶ ἐν
αὐτῇ θεωροῦνται καὶ χωρὶς αὐτῆς συστῆναι | οὐ δύνανται, δῆλον ὅτι ἡ μὲν 20v
οὐσία ἐστὶν αὐθυπόστατος, αἱ δὲ ἄλλαι ἐννέα κατηγορίαι συμβεβήκασιν αὐ-
τῇ. λαμβάνει οὖν τὴν οὐσίαν καὶ πλέκει ἐξ αὐτῆς σειρὰν τοιαύτην, ὅτι
τῆς οὐσίας τὸ μέν ἐστι σῶμα τὸ δὲ ἀσώματον, καὶ τοῦ σώματος τὸ μέν
15 ἐστιν ἔμψυχον τὸ δὲ ἄψυχον, καὶ τοῦ ἐμψύχου τὸ μὲν ζῷον τὸ δὲ φυτὸν
τὸ δὲ ζωόφυτον, καὶ τοῦ ζῴου τὸ μὲν λογικὸν τὸ δὲ ἄλογον, καὶ τοῦ λο- 5
γικοῦ τὸ μὲν ἄγγελος τὸ δὲ ἄνθρωπος τὸ δὲ δαίμων. ἐν τούτοις οὖν γενι-
κώτατον μὲν γένος ἡ οὐσία, εἰδικώτατον δὲ εἶδος ὁ ἄνθρωπος. τὰ δὲ μέσα
γένη τὰ αὐτὰ καλοῦνται καὶ εἴδη, εἴδη μὲν τῶν πρὸ αὐτῶν, γένη δὲ τῶν
20 μετ' αὐτά. κοινῶς μὲν οὖν πάντα τὰ εἴδη τά τε εἰδικώτατα καὶ τὰ ὑπάλ- 10
ληλα ἡ προτέρα ὑπογραφὴ περιέχει ἡ λέγουσα εἶδος εἶναι τὸ ὑπὸ τὸ γένος
πεπτωκὸς ἢ οὗ τὸ γένος ἐν τῷ τί ἐστι κατηγορεῖται· τούτων γὰρ τῶν
ὑπογραφῶν ἑκατέρα τῷ μὲν ὑποκειμένῳ ἡ αὐτή ἐστι τῇ λοιπῇ, τῇ δὲ
σχέσει μόνον ἀλλήλων διαφέρουσι. πολλὰ γάρ ἐστι καὶ ἄλλα πράγματα,
25 ἅτινα τῷ μὲν ὑποκειμένῳ ταὐτά ἐστι, τῇ δὲ σχέσει διάφορα, ὡς ἡ ἀνά-
βασίς τε καὶ ἡ κατάβασις· τούτοις γὰρ τοῖς πράγμασιν ὑπόκειται μὲν τὸ
αὐτό, ἡ κλῖμαξ, διαφέρει δὲ ἡ ἀνάβασις τῆς καταβάσεως τῇ σχέσει μόνῃ,
ὅτι ἡ μὲν ἀνάβασις ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω ἄνοδος ὑπάρχει, ἡ δὲ κατά-

1 εὐειδεῖς τε καὶ FMVp δὲ om. DV 2 ἢ EFMVp: καὶ D Porph. (cf. v. 22) οὗτος ὁ Mp: αὐτὸς ὁ DFV: οὗτος E 3 μὴ ante prius εἰδικωτάτου transp. FMV καὶ τοῦ μὴ εἰδικωτάτου in ras. D² καὶ ἄλλως πάλιν D 4 εἶδος om. V 5 ἐπειδὴ δὲ Mp δὲ τὰ ὀνόματα τούτων E 5. 6 τὸ μὴ εἰδικώτατον εἶδος καὶ εἰδικώτατον EMp 6 καὶ τοῦ εἰδ. om. F: τοῦ om. V ὑπάρχειν F: ὑπάρχουσιν MVp 7. 8 τὴν καλλίστην . . . οὐσίαν προχειριζόμενος προϊόντος τ. λ. σαφ. αὐτά colloc. V 7 αὐτά] ταῦτα D 10 αὐτῆς ὑπάρχ. colloc. p αἱ om. E: superscr. F 11. 12 ἡ οὐσία ἐστὶ μὲν M 12 αὐθυπόστατος EFM: αὐθυπόστατον DVp 13 συμπλέκει V 15 ἐστιν om. FV μέν ἐστι ζῶον D 16 τὸ δὲ ζωόφυτον om. F: post ζῷον (15) transp. V 17 οὖν om. E 18 post γένος add. ὑπάρχει EFVp: om. DM εἶδος F: om. DEMVp 19 τά] καὶ p καλοῦσι V 20 μετ' αὐτά] μετὰ ταῦτα E οὖν om. V τὰ εἴδη πάντα colloc. V 21 γραφὴ E: ἐπιγραφὴ p εἶδος om. F 23 ἡ om. FM 24 διαφέρουσα F: διαφέρει M εἰσι DEV 25 ἅτινα] ἃ D μὲν om. D ταῦτα εἰσί E διάφορα DEF: διαφέρει M: διαφέρουσι V 26 τε om. D 28 p. 71,1 ἡ μὲν κατάβασις . . . ὑπάρχει, ἡ δὲ ἀνάβασις κ. τ. λ. colloc. FMp ἀνάβασις τῶν ἀπὸ τῶν D ἐπὶ τὰ ἄνω post ὑπάρχει transp. V ὑπάρχει om. FMp

βασις ἀπὸ τῶν ἄνω ἐπὶ τὰ κάτω οὖσα κάθοδος ὑπάρχει. καὶ τὸ σπέρμα 20v
δὲ καὶ ὁ καρπὸς τῷ μὲν ὑποκειμένῳ ταὐτά ἐστι, τῷ λόγῳ δὲ μόνῳ καὶ τῇ 16
σχέσει διάφορα. ὥσπερ οὖν ἐπὶ τούτων ἔχει, οὕτως καὶ ἐπὶ τοῦ διττοῦ
τῆς ὑπογραφῆς τοῦ εἴδους· διαφέρουσι γὰρ ἀλλήλων τῷ τὴν μὲν ἀπὸ τοῦ
5 γένους ἄρχεσθαι λήγειν δὲ εἰς τὸ εἶδος, τὴν δὲ ἑτέραν ἀπὸ τοῦ εἴδους
μὲν ἄρχεσθαι λήγειν δὲ εἰς τὸ γένος· ὥστε οὖν καὶ ταῦτα τῇ σχέσει μόνῃ 20
διαφέρει ἀλλήλων, τῷ δὲ ὑποκειμένῳ ταὐτά ἐστιν. ἄρχεται δὲ πάλιν ἀπὸ
τοῦ γνωριμωτέρου σημαινομένου τοῦ εἴδους, διότι ὁμοιότητα ἔχει πρὸς τὸ
παρὰ τοῖς φιλοσόφοις· ὥσπερ γὰρ τὸ εἶδος τὸ ἐπὶ τῆς μορφῆς περιεκτικόν
10 ἐστι πάντων τῶν μερῶν, οὕτω καὶ τὸ παρὰ τοῖς φιλοσόφοις τῶν κατὰ
μέρος.

p. 3,22 Τὸ δὲ εἶδος λέγεται μὲν καὶ ἐπὶ τῆς ἑκάστου μορφῆς.

Ὥσπερ καὶ ἐπὶ τοῦ γένους πρὶν διδάξαι τί ποτέ ἐστι γένος ἢ ποῖόν
ἐστι, τὴν ὁμωνυμίαν αὐτοῦ διεστείλατο καὶ πρῶτον περὶ ὧν οὐ προέκειτο 25
15 αὐτῷ ἐδίδασκε σημαινομένων τοῦ γένους, εἶθ' οὕτως περὶ τοῦ προκειμένου,
τὸν αὐτὸν τρόπον καὶ ἐνταῦθα τὴν ὁμωνυμίαν πρότερον διαστέλλεται, εἶθ'
οὕτως τί ἐστιν εἶδος λέγει καὶ ποῖον αὐτοῦ τὸ σημαινόμενον.

p. 4,2 Λέγεται δὲ εἶδος καὶ τὸ ταττόμενον ὑπὸ τὸ ἀποδοθὲν γέ-
νος, καθ' ὃ εἰώθαμεν λέγειν τὸν μὲν ἄνθρωπον εἶδος τοῦ ζῴου
20 γένους ὄντος τοῦ ζῴου, τὸ δὲ λευκὸν τοῦ χρώματος εἶδος, τὸ
δὲ τρίγωνον τοῦ σχήματος εἶδος.

Εἰρηκὼς τὰ σημαινόμενα τοῦ εἴδους καὶ περὶ οὗ πρόκειται αὐτῷ λέ- 30
γειν, νῦν παραδείγματι τὸ προκείμενον τοῦ εἴδους σημαινόμενον διδάσκει,
πῶς ὑπὸ τὸ γένος ἀνάγεται τὸ εἶδος. λαμβάνει γὰρ τὸ τρίγωνον καὶ τὸ
25 σχῆμα. τὸ μὲν σχῆμα ὡς γένος τὸ δὲ τρίγωνον ὡς εἶδος. ἐπιλαμβάνον-
ται δέ τινες αὐτοῦ ὡς μὴ κυρίως εἰρηκότος τὸ σχῆμα τοῦ τριγώνου γένος
ἢ τὸ τρίγωνον τοῦ σχήματος εἶδος. ἐν οἷς γὰρ πρῶτόν τι καὶ δεύτερόν 35
φασι, τούτων τὸ κοινῶς κατηγορούμενον γένος οὐκ ἔστι· τὸ δὲ τρίγωνον

---

1 οὖσα om. EV 2 μόνῳ om. Ep 3 διάφορα DFp: διαφέρουσιν E: διαφέρει MV (cf. p. 70,25) τούτου EMp οὕτως ἔχει colloc. EM ἐπὶ] τὰ ὑπὸ E
4 τοῦ (ante εἴδους) Ep: om. DFMV διαφέρει DMV 6 ταῦτα] ταύτῃ E
μόνῃ τῇ σχέσει colloc. E 7 διαφέρουσιν E ἐστιν] εἰσιν p ἄρχεσθαι E
πάλιν om. E 8 γνωριμωτάτου (?) F 9 τὸ ἐπὶ DEM: τὸ ἀπὸ F: ἀπὸ Vp
10 τὸ ex τῶν corr. D: τὰ Mp: om. V 12 τὸ δὲ εἶδος — σημαίνομενον (v. 17) eicias: cf. p. 69,19 sq. 13 καὶ D: om. EFMVp τὸ γένος EV ὁποῖον V
14 πρῶτον] πρότερον V: om. F 15 σημαίνων E[1] 16 διαστέλλει E 16. 17 εἶθ' οὕτως] μετὰ δὲ ταῦτα V 17 τί] ποῖόν p λέγει τί ἐστιν εἶδ. colloc. E
ὁποῖον V αὐτῷ M 18 δὲ om. E 19 μὲν om. D 22 τὸ σημαινόμενον F
23 ὡς ἐν παραδ. p 24 τὸ εἶδος eicias 26 αὐτοῦ] αὐτὸ E 27 γὰρ om. p
28 φασι] φαμεν V: (post κατηγορ. transp.) D οὐκ ἔστι γένος colloc. FMV

τοῦ τετραγώνου πρῶτον· τὸ μὲν γὰρ ἐκ τριῶν ἐστι γραμμῶν τὸ δὲ ἐκ τετ- 20v
τάρων, τὰ δὲ τρία τῶν τεσσάρων πρῶτα. καὶ ἄλλως· πᾶν τετράγωνον εἰς
δύο τρίγωνα ὀρθογώνια διαιρεῖται (ἡ γὰρ τοῦ ᾱ β̄ γ̄ δ̄ | τετραγώνου ἐπί- 21r
ζευξις τῇ ᾱ γ̄ διαμέτρῳ διαιρεθήσεται εἰς δύο τρίγωνα ὀρθογώνια τό τε ᾱ
5 β̄ γ̄ καὶ τὸ ᾱ δ̄ γ̄)· ὥστε ἀναιρουμένου τοῦ τετραγώνου οὐκ ἀναιρεῖται τὸ
τρίγωνον. τριγώνου δὲ ἀναιρεθέντος ἀδύνατον εἶναι τετράγωνον· ὥστε πρῶ-
τον τῇ φύσει τὸ τρίγωνον τοῦ τετραγώνου. τῷ αὐτῷ δὲ τρόπῳ καὶ τῶν
λοιπῶν πάντων εὐθυγράμμων σχημάτων πρῶτον δειχθήσεται, πενταγώνου 5
φημὶ καὶ ἑξαγώνου καὶ τῶν λοιπῶν· ἕκαστον γὰρ τούτων εἰς τρίγωνα διαι-
10 ρεῖται. εἰ οὖν τὸ μὲν τρίγωνον πρῶτον, τὸ δὲ τετράγωνον καὶ τὰ λοιπὰ
δεύτερα, τὸ ἄρα κατὰ τούτων κοινῶς κατηγορούμενον, λέγω δὴ τὸ σχῆμα,
οὐκ ἔστιν αὐτῶν γένος, οὐκοῦν οὐδὲ ταῦτα ἐκείνου εἴδη. λείπεται τοίνυν
μὴ κυρίως εἰρηκέναι τὸν Πορφύριον τὸ τρίγωνον τοῦ σχήματος εἶδος. πρὸς
τοῦτο πάντες ἠπόρησαν ἀπολογίας οἱ ἐξηγηταὶ καί φασιν αὐτὸν ὑποδείγμα- 10
15 τος χάριν καταχρηστικώτερον γένος καλέσαι τοῦ τριγώνου τὸ σχῆμα. ἐπι-
λυόμενοι δὲ ἡμεῖς τὴν ἀπορίαν φαμὲν ὅτι εἰ μὲν στοιχεῖα ἦν τῷ ὄντι τοῦ
τετραγώνου τὰ τρίγωνα, ὡς μὴ ἄλλως τετράγωνον ἐνδέχεσθαι γενέσθαι,
εἰ μὴ ἐκ τριγώνων σύγκειται, ὡς καὶ ἐν Τιμαίῳ διδάσκει λέγων ὁ Πλάτων
πάντα τὰ εὐθύγραμμα σχήματα ὡς εἰς στοιχεῖα ἁπλούστατα ἀναλύων τὰ
20 τρίγωνα, ἀληθὲς ἂν ἦν τὸ λεγόμενον καὶ πρῶτον ὑπῆρχε τῶν σχημάτων 15
τὸ τρίγωνον καὶ οὐκ ἂν ἦν τὸ σχῆμα γένος αὐτῶν, εἴπερ ἀληθὲς ὅτι ἐν
οἷς τὸ πρῶτον καὶ τὸ ὕστερον, τούτων τὸ κοινῶς κατηγορούμενον οὐκ ἔστι
γένος. νῦν δὲ οὐδεμία ἐστὶν ἀνάγκη, ἵνα γένηται τετράγωνον, προϋποκεῖ-

1 ἐστι post γραμμῶν transp. E: om. D 1. 2 τεσσάρων (priore loco) EV
2 τεττάρων (altero loco) Fp πᾶν] που E τετράγωνον om. E 3 ἡ γὰρ — ὀρθογώνια (v. 4) om. E 4 τῇ τοῦ α γ V 5 post ἀναιρουμένου add. μὲν Mp (fort. recte) τοῦ om. F 6. 7 τὸ πρῶτον F 7 τοῦ τετραγ. τὸ τρίγωνον colloc. E δὲ om. E 8 post δειχθήσεται add. τὸ τρίγωνον MV (fort. recte)
9 φημὶ D: φέρε EFV: ἤτοι (sed ante πενταγ. pos.) M: φέρε εἰπεῖν p τρίγωνα] τρία E: τρίγωνον V 10 εἰ οὖν] τοίνυν M 11 κατηγ. κοινῶς (sed num. superscr. corr.) colloc. F 12 γένος αὐτῶν colloc. M γένη E οὐκοῦν om. EV οὐδὲ M Urb. 35: οὔτε DEFVp τοίνυν] οὖν M post τοίνυν add. ἡμῖν EF: ἡμῖν τὸ V
13 ante πρὸς add. rubro ἀλλὰ D 14 ἀπολογίας] ἀπολόγου E: om. M φασιν] φαμεν E αὐτὸν] αὐτὸ F 15 εἶδος καλέσαι τὸ τρίγωνον τοῦ σχήματος M 16. 17 στοιχεῖον . . . τὸ τρίγωνον M 16. 17 τῶν τετραγώνων V 17 τὸ τετράγωνον E: τετράγωνα MV ἐνδέχεται E ἐκ τριγώνου M συγκέοιτο M Urb. 35 18 ἐν Τιμαίῳ] cf. p. 53 C sq. διδάσκει λέγων ὁ πλ. DEFM: διδάσκει ὁ πλ. λέγων V: δοκεῖ Πλάτωνι Urb. 35: δοκεῖ λέγειν ὁ πλ. p; quod recipias, nisi malis λέγων eicere 19 πάντα post σχήματα transp. V εὐθύγρ. σχ.] εὐθυγράμματα p ὡς εἰς] ὡσεὶ V¹ ἁπλούστερα M 19. 20 τὰ τρίγ. ἀναλύων colloc. EMp: an ἀναλ. ⟨εἰς⟩ τὰ τρ.? 20 ἂν om. E 20. 21 καὶ πρῶτον — τρίγωνον om. E 21 εἴπερ ἀληθὴς ὁ Εὐκλείδης ἐν τῷ μζ' αὐτοῦ θεωρήματι ἄνευ τριγώνου τὸ τετράγωνον δι' εὐθείας ἀναγράψας ὥστε ἐν οἷς D (cf. Euclidis Elementa I 46 (I 108 ed. Heiberg Lips. 1883) 22 πρῶτον] πρότερον D (cf. p. 71,27) καὶ τὸ δεύτερον M: καὶ ὕστερον V 22. 23 γένος οὐκ ἔστι colloc. EM 23 τὸ τετράγωνον p τῷ προϋποκ. EMp: τὸ προυποκ. V

σθαι τρίγωνα, εἶτα τῇ συνθέσει τούτων τὸ τετράγωνον γίνεσθαι· οὐδὲν γὰρ 21r
κωλύει καὶ τριγώνου μὴ ὄντος τέσσαρας εὐθείας ἐπιζεύξαντας ποιῆσαι τε- 21
τράγωνον. ὥστε οὐκ ἀληθὲς τὸ ἀναιρουμένου τοῦ τριγώνου συναναιρεῖσθαι
καὶ τὸ τετράγωνον. εἰ δὲ ὅτι τὴν διάμετρον ἐπιζευγνύντες διαιροῦμεν τὸ
5 τετράγωνον εἰς δύο τρίγωνα, διὰ τοῦτό φασι πρῶτον εἶναι καὶ οἷον στοι-
χεῖον ἢ μέρος τοῦ τετραγώνου τὸ τρίγωνον, ἐπειδὴ ἐνδέχεται τὸ αὐτὸ τε-
τράγωνον καὶ εἰς δύο ἑτερομήκη διελεῖν τὰς ἀντικειμένας πλευρὰς δίχα δι- 25
αιροῦντας καὶ ἐπιζευγνύντας οἷον ἀπὸ τοῦ ᾱ ἐπὶ τὸ β̄ καὶ ποιῆσαι δύο
ἑτερομήκη χωρία τὸ γ̄ καὶ τὸ δ̄, λέγεται ὡσανεὶ καὶ τὰ ἑτερομήκη πρῶτα
10 εἶναι τοῦ τετραγώνου. οὕτω δὲ καὶ τὸ ἐναντίον τὸ τετράγωνον πρῶτόν
ἐστι τοῦ ἑτερομήκους, εἰ ἑτερόμηκες τὸ τὴν μίαν ἔχον πλευρὰν διπλασίονα
τῆς ἑτέρας διέλωμεν δίχα εἰς δύο τετράγωνα. ἀλλὰ δὴ καὶ εἰ ἐπὶ τοῦ
κύκλου τὴν διάμετρόν τις ἀγάγοι, διαιρήσει τὸν κύκλον εἰς δύο ἡμικύκλια
τό τε ᾱ καὶ τὸ β, καὶ δῆλον ὅτι ἕκαστον τῶν ἡμικυκλίων σχῆμά ἐστιν 30
15 ἐκ περιφερείας τῆς τοῦ ἡμικυκλίου γραμμῆς καὶ εὐθείας τῆς διαμέτρου
συγκείμενον. ὥστε συμβήσεται τὸ ἁπλοῦν σχῆμα τὸν κύκλον ἐκ μικτῶν
ἡμικυκλίων συγκεῖσθαι, καὶ τοῦ ἁπλοῦ, λέγω τοῦ κύκλου, πρῶτον ἔσται
φύσει τὸ μικτόν. ὥσπερ οὖν ἐπὶ τούτων ἡ ἐπίνοια ἡ ἡμετέρα τὴν τοιαύ-
την ποιεῖται διαίρεσιν καὶ οὐχὶ διὰ τοῦτο ἀνάγκη τοῦ τετραγώνου πρῶτα
20 εἶναι τῇ φύσει τὰ ἑτερομήκη, ἐπειδὴ καὶ τὰ ἑτερομήκη ἐνδέχεται διελεῖν 35
εἰς δύο τετράγωνα, εἴπερ ἡ ἑτέρα τῶν πλευρῶν διπλασίων ἦ τῆς ἑτέρας,
εἰ γοῦν πάλιν τοῦ κύκλου τὰ μικτὰ σχήματα ἐξ εὐθειῶν καὶ περιφερειῶν
συγκείμενα ⟨μὴ⟩ πρῶτά ἐστιν, οὕτως οὐδὲ τὸ τετράγωνον εἰ ἐνδέχεται τῇ

1 τρίγωνα DF: τρίγωνον EMVp τῇ συνθέσει τῇ MV τὸ τετράγ.] τετράγωνα M post. γίνεσθαι add. ὡς εὐκλείδης (ὁ εὐκλ. p.) ἐν τῷ τεσσαρακοστῷ ἕκτῳ αὐτοῦ θεωρήματι ἄνευ τριγώνου τὸ (τὸ om. V) τετράγωνον δι' εὐθείας ἀναγράψαι (ἀναγράφειν p) διδάσκει Vp: eadem sed ὡς εὐκλείδης ὡς εἰ ἀναγράψας pro ἀναγράψαι διδάσκει post τετράγωνον v. 4 add. E (cf. p. 72,21 not.) γὰρ om. F 2 τέσσαρας — κατηγορεῖται γὰρ (p. 78,12) om. F 3 ὥστε οὐκ ἀλ. DMp: οὐκ ἀλ. δὲ E: οὐκ ἀληθὲς οὖν V τοῦ om. M 4 ἐπιζεύξαντες p 4. 5 εἰς δ. τρ. τὸ τετράγ. colloc. E 5 φησιν V οἱονεὶ V 6 post. τρίγωνον add. οὐδὲ τοῦτο ἐξ ἀνάγκης DV ἐπειδὴ Dp: ἐπεὶ EMV 7 καὶ om. V 8 ἐπιζευγν.] ἐπιζητοῦντας E ἀπὸ τοῦ ε̄ ἐπὶ τὸ ζ̄ τῆς διχοτομίας γενομένης M ποιῆσαι] ποιεῖν D 9 τὸ (ante δ̄) om. E λέγεται ὡσανεὶ DE: λεγέτωσαν Mp: ἀ λεγετωσαν ὡσανει V καὶ ετερομ. E: και τα ετερομ. χωρία V 9. 10 πρῶτα εἶναι] πρῶτον E 11 ἐστι] ἔσται Mp τοῦ om. E εἰ] καὶ τὸ M τὸ . . . ἔχον] ὃ . . . ἔχει M: ὃ . . . . ἔχον V 12 ἣν διέλωμεν V 12. 13 ἐπὶ τοῦ κύκλου D: τοῦ κύκλου EVp: ἐπὶ τοῦ κύκλου τὴν om. M 13 διάμετρον] διαίρεσιν E ἀγάγοι DEV: ἄγει τοῦ κύκλου M: ἀγάγῃ p 14 ὅτι DMV: ὡς V: om. E 15 τῆς διαμέτρου DVp: εἰς διαμέτρους E: τοῦ διαμέτρου M 16 συγκειμένης E τῶν κύκλων p μικτῶν] τῶν E 17 λέγω δὴ MV (fort. recte) 17. 18 ἔσται φύσει DV: ἐστὶ φύσει E: ἔσται M: φύσει ἔσεσθαι p 18 ἡ (ante ἐπίνοια) om. D 19 ποιεῖ M πρῶτον M 20 τὰ ἑτερομήκη (prius)] τὸ ἑτερόμηκες M τὰ ἑτερομήκη alterum Ep: ἑτερομήκη D: ετερόμηκες MV 22 εἰ γοῦν p: ἤ γοῦν codd. τοῦ κύκλου post. σχήματα transp. V 23 μὴ πρῶτα scripsi: εἰ πρῶτα V: πρῶτα DEMp οὕτως οὐδὲ DV: οὕτω δὴ EMp εἰ D: om. EMVp

διαμέτρῳ | εἰς δύο τρίγωνα διελεῖν, ἤδη διὰ τοῦτο καὶ ἐκ τριγώνων αὐτὸ 21v
συγκεῖσθαι ἀνάγκη καὶ πρῶτα αὐτοῦ εἶναι φύσει τὰ τρίγωνα. καλῶς ἄρα
ὁ Πορφύριος γένος εἶπεν εἶναι τοῦ τριγώνου τὸ σχῆμα.

p. 4,4 ⟨Εἰ δὲ καὶ τὸ γένος ἀποδιδόντες⟩.

Εἰ δέ φησι καὶ τὸ γένος ἀποδιδόντες τοῦ εἴδους ἐμεμνήμεθα
εἰπόντες τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι 5
κατηγορούμενον καὶ τὸ εἶδος ὁριζόμενοι πάλιν γένους ἐμεμνήμεθα φά-
σκοντες εἶδός ἐστι τὸ ὑπὸ τὸ ἀποδοθὲν γένος, μηδεὶς μέμφοιτο. κατὰ
ἀλήθειαν γὰρ ταῦτα λέγων ὁ Πορφύριος νομίζεται τῇ διαλλήλῳ δείξει κεχρῆ-
σθαι. ἡ δὲ διάλληλος δεῖξις διαβέβληται παρὰ τοῖς φιλοσόφοις ὡς τὰ αὐτὰ
καὶ πρῶτα ποιοῦσα καὶ δεύτερα καὶ ἀμείβουσα τὴν τάξιν τῶν προτάσεων καὶ
τῶν συμπερασμάτων· ποιεῖ γὰρ τὸ μὲν δεύτερον πρῶτον καὶ τὸ πρῶτον δεύ- 10
τερον, καὶ τὰ αὐτὰ τῶν αὐτῶν σαφέστερά τε ποιεῖ καὶ ἀσαφέστερα. οἷον ἐὰν
εἴπῃ μοί τις, ὅτι ἡ ψυχὴ ἀθάνατος, λέγω ὅτι ναί· πῶς; ὅτι ἡ ψυχὴ αὐτοκίνη-
τος, τὸ αὐτοκίνητον ἀεικίνητον, τὸ ἀεικίνητον ἀθάνατον, ἡ ψυχὴ ἄρα ἀθάνατος.
ἐὰν δὲ εἴπῃ μοι, πόθεν δῆλον ὅτι αὐτοκίνητος ἡ ψυχή; εἶτα τοῦτο δεῖξαι
βουλόμενος εἴπω, ὅτι ἡ ψυχὴ ἀθάνατος, τὸ ἀθάνατον ἀεικίνητον, τὸ ἀει-
κίνητον αὐτοκίνητον, ἡ ψυχὴ ἄρα αὐτοκίνητος· ἡ τοιαύτη διάλληλος λέγε- 15
ται δεῖξις. βουλόμενος γὰρ δεῖξαι ὅτι ἡ ψυχὴ ἀθάνατος ἔλαβον τὸ αὐτο-
κίνητον πρῶτον, συνεπέρανα δὲ τὸ ἀθάνατον, βουλόμενος δὲ πάλιν δεῖξαι
ὅτι ἡ ψυχὴ αὐτοκίνητος ἔλαβον πρῶτον τὸ ὕστερον λεχθὲν τὸ ἀθάνατον
καὶ συνεπέρανα ὅτι αὐτοκίνητος, τὸ πρῶτον ὕστερον ποιήσας. ὥστε διάλ-
ληλος δεῖξίς ἐστιν ἡ τὰς προτάσεις συμπεράσματα ποιοῦσα καὶ πάλιν τὰ
συμπεράσματα προτάσεις, ὅθεν καὶ διαβέβληται· πᾶσα γὰρ ἀπόδειξις τὰς 20
μὲν προτάσεις σαφεῖς καὶ ὁμολογουμένας λαμβάνει, τὸ δὲ συμπέρασμα

1 ἤδη DV: ἢ Ep: εἴδη M 2 εἶναι αὐτοῦ colloc. p φύσει D: τῇ φύσει p: om. EMV 3 εἶπεν post. σχῆμα transp. D εἶναι om. V τριγώτου] τετραγώτου p 4 lemma et φησι (post. εἰ δέ) ex editione Veneta a. 1545 apposui, nisi quod in illa editione lemma usque ad ἀμφοτέροις (Porph. p. 4,9) continuatum est. codices et editio princeps εἰ δὲ καὶ τὸ γένος—μέμφοιτο (v. 8) lemmatis loco scripta praebent, ita ut illa plena habeant DEp, ἐμεμνήμεθα (v. 5)—μέμφοιτο omittat M, τοῦ εἴδους (v. 5)—τὸ ἀποδοθὲν γένος (v. 8) omittat V 7 γένους πάλιν colloc. D 8 post ἐστι add. καὶ Ep: om. D μέμφοιτο E: μέμψοιτο DVp 9 ταῦτα λέγων Dp: λέγων E: λέγων ταῦτα E 10 τοῖς om. MV 11 καὶ πρῶτα ποιοῦσα καὶ δεύτερα MVp: πρῶτα ποιοῦσα καὶ δεύτερα D: καὶ δεύτερα καὶ πρῶτα ποιοῦσα E 13 τε post ποιεῖ transp. E: om. V 14 εἴπῃ D^2EV^2p: εἴποι D^1MV^1 μοι om. V λέγω ὅτι ναί DE: λέγω ναί MV^2: λέγων V^1: λέγω αὐτῷ ναί p πῶς λέγει M 16 εἴπῃ D^2EVp: εἴποι D^1M μοι superscr. D ὅτι πόθεν M: καὶ πόθεν V 18. 19 δεῖξις λέγεται διάλληλος colloc. M: διάλλ. δεῖξις λέγ. V: δεῖξις διάλλ. λέγ. p 19. 22 βουλόμενοι . . . ἐλάβομεν . . . συνεπεράναμεν (utrobique) M 21 αὐτοκίνητος—ἀθάνατον in ras. D 22 ὅτι αὐτοκ.] τὸ αὐτοκίνητον M ποιήσαντες M 23 ἡ τὰς προτάσεις συμπέρασμα ποιοῦσα E: ἡ τὸ συμπέρασμα ποιοῦσα προτάσεις V 23. 24 καὶ πάλιν—προτάσεις om. E καὶ πάλιν τὰς προτάσεις συμπέρασμα V: καὶ πάλιν τὰ συμπ. ποιοῦσα προτ. p

ἀσαφὲς ὂν σαφηνίζει καὶ φανερὸν ποιεῖ διὰ τῶν προτάσεων· εἰκότως οὖν 21v
διαβολῆς ἀξία ἡ τὴν τάξιν τούτων ἀντιστρέφουσα καὶ τὸ μὲν συμπέρασμα,
ὅπερ πρότερον ὡς ἀσαφὲς ἐλαμβάνετο, σαφὲς ποιοῦσα τῷ ἐν τάξει προ-
τάσεως παραλαμβάνειν, τὴν δὲ πρότασιν, ἣν ὡς ὁμολογουμένην πρὶν ἐλαμ-
5 βάνομεν, νῦν ἄδηλον συμπέρασμα ποιοῦσα. πάλιν ἂν βουληθέντες δεῖξαι, 25
ὅτι ἥδε ἡ γυνὴ γάλα ἔχει, εἴπωμεν ὅτι ἥδε ἡ γυνὴ τέτοκεν, ἡ δὲ τετο-
κυῖα γάλα ἔχει, ἥδε ἄρα ἡ γυνὴ γάλα ἔχει· βουληθέντες δὲ αὐτὸ τοῦτο
δεῖξαι πάλιν ὅτι τέτοκεν εἴπωμεν, ἥδε ἡ γυνὴ γάλα ἔχει, ἡ δὲ γάλα
ἔχουσα τέτοκεν, ἥδε ἄρα ἡ γυνὴ τέτοκεν· ἐνταῦθα δὲ πάλιν τὰ αὐτὰ τῶν
10 αὐτῶν καὶ πρότερα ἐλάβομεν καὶ ὕστερα καὶ σαφέστερα καὶ ἀσαφέστερα·
πρότερον μὲν γὰρ ἐλαμβάνομεν σαφὲς μὲν καὶ πρότερον τὸ τετοκέναι,
ἀσαφὲς δὲ καὶ ὕστερον τὸ γάλα ἔχειν, ὕστερον δὲ ἐλάβομεν σαφὲς μὲν καὶ 30
πρότερον τὸ γάλα ἔχειν, ἀσαφὲς δὲ καὶ ὕστερον τὸ τετοκέναι. ὥστε ἐν
τῇ τοιαύτῃ δείξει τῶν αὐτῶν τὰ αὐτὰ καὶ πρότερα λαμβάνεται καὶ ὕστερα
15 καὶ σαφέστερα καὶ ἀσαφέστερα. πᾶσα γὰρ δεῖξις ἢ ἐκ τοῦ σαφοῦς τὸ
ἀσαφὲς δείκνυσιν ἢ ἐκ τοῦ ἀσαφοῦς τὸ σαφὲς ἢ ἐκ τοῦ ἀσαφοῦς τὸ
ἀσαφὲς ἢ ἐκ τοῦ σαφοῦς τὸ σαφές. καὶ δῆλον ὅτι μόνη ἐστὶ κυρίως δεῖξις 35
ἡ ἐκ τοῦ σαφοῦς δεικνύουσα τὸ ἀσαφές. αἱ οὖν ἄλλαι τρεῖς ψεκταὶ καὶ
οὐδ' ὅλως δείξεις ἂν εἶεν· οὐ γὰρ οἷόν τε τὸ σαφὲς ἐκ τοῦ ἀσαφοῦς δει-
20 κνύειν, οὐδὲ τὸ σαφὲς ἐκ τοῦ σαφοῦς· οὐδὲ γὰρ τὸ σαφὲς δείξεως δεῖ-
ται, ἵνα ἐξ ἄλλου σαφοῦς δηλωθῇ. πολλῷ οὖν ἀτοπώτερον τὸ ἐκ | τῶν 22r
ἀσαφῶν τὰ ἀσαφῆ δείκνυσθαι λέγειν. μία οὖν μόνη ἐστὶ κυρίως δεῖξις ἡ
ἐκ τοῦ σαφοῦς τὸ ἀσαφὲς δεικνύουσα. εἰκότως ἄρα ἡ διάλληλος διαβέβλη-
ται δεῖξις τὰ σαφῆ καὶ πρῶτα ἀσαφῆ ποιοῦσα καὶ ὕστερα καὶ ἔμπαλιν τὰ
25 ἀσαφῆ καὶ ὕστερα σαφῆ καὶ πρῶτα ποιοῦσα. ἐπεὶ οὖν ὁ φιλόσοφος Πορ-
φύριος ᾤσθετο ἑαυτοῦ τῇ διαλλήλῳ δείξει κεχρημένου (ἔν τε γὰρ τῇ τοῦ 5

2 καὶ διαβολῆς V ἀντιτρέφουσα E 3 τῷ] τῶν M: τὸ V 3. 4 προτάσεων M 4. 5 πρὶν ἐλαμβ.] περιελάμβανε M 5 πάλιν — ποιοῦσα (v. 25) eicias. βουληθέντες] βουληθῆτις V 6 ἥδε (prius) om. M 6. 7 ἡ δὲ τετοκυῖα p: ἡ τετοκυῖα codd. (cf. v. 8) 7 ἥδε om. M ἡ (post ἄρα) om. V 7. 8 βουληθέντες — πάλιν] καὶ πόθεν δῆλον V 8 εἴπωμεν om. V ὅτι (post εἴπωμεν) additum punctis circumscr. M δὲ om. V 9 ἡ γυνὴ om. MV δὲ om. MV, recte, nisi malis δὴ corrigere 10 ἐλαμβάνομεν V 11 πρότερον (prius)] πρῶτον V μὲν γὰρ D: γὰρ MVp: om. E 14 τὰ αὐτὰ τῶν αὐτῶς colloc. p λαμβάνεται Mp: λαμβάνει D: λαμβάνειν E: λαμβάνονται V 15 γὰρ] δὲ M 15. 16 ἀσαφοῦς τὸ σαφὲς Mp 16 ἀσεφὲς D ἀποδείκνυσιν ἢ MV: ἀποδείκνυσεν ἢ ἔμπαλιν p τοῦ ἀσαφους τὸ σαφὲς DE: ἀσαφοῦς τὸ ἀσαφὲς M: σαφοῦς τὸ ἀσαφὲς p ἢ (post σαφὲς) — σαφὲς (17) om. Ep 16. 17 ἀσαφοῦς τὸ ἀσαφὲς D: σαφοῦς τὸ ἀσαφὲς M: σαφοῦς τὸ σαφὲς V 17 σαφοῦς τὸ σαφὲς DM: ἀσαφοῦς τὸ ἀσαφὲς V μόνη — κυρίως om. V κυρίως ἐστὶ colloc. Mp 18 τὸ ἀσαφὲς δεικν. colloc. V τρεῖς om. M 19 ἂν δείξεις colloc. M τε] τι M τὸ ἀσαφὲς V δεικνύειν] δηλωθῆναι p 20 τὸ σαφὲς ἐκ τοῦ σαφοῦς DV: τὸ ἀσαφὲς ἐκ τοῦ σαφοῦς E: τὸ ἀσαφὲς ἐκ τοῦ ἀσαφοῦς Mp οὐδὲ γὰρ D: ἀλλ' οὐδὲ EMp: οὐ γὰρ V τὸ σαφὲς om. V 20. 21 δεῖται δείξεως colloc. V 21 ἀτοπώτερον] αὐτὸ πρότερον E 22 τὰ σαφῆ Mp λέγειν ante δείκν. transp. MVp: om. E 23. 24 δεῖξις διαβέβλ. colloc. M 25 ποιοῦσα om. M 26 κεχρημένου MV: κεχρημένος DEp

γένους διδασκαλίᾳ παρέλαβε τὸ εἶδος καὶ ἔμπαλιν ἐν τῇ τοῦ εἴδους τὸ γέ- 22r
νος, ὅπερ ἄν τις ἴσως ἐμέμψατο), αὐτὸς φθάσας ἀπελογήσατο· ἔφησε γὰρ
ὅτι τὸ γένος εἴδους ἐστὶ γένος καὶ τὸ εἶδος γένους ἐστὶν εἶδος· ἀνάγκη
τοίνυν διδάσκοντα περὶ γένους μνημονεῦσαι καὶ τοῦ εἴδους, καὶ περὶ εἴδους
5 λέγοντα μνησθῆναι καὶ τοῦ γένους· τὰ γὰρ πρός τι καὶ ἅμα συνυφίστα-
ται καὶ ἅμα νοεῖται· τὸ γὰρ γένος τινός ἐστι γένος, τοῦτ' ἔστιν εἴδους, 10
καὶ τὸ εἶδος τινός ἐστιν εἶδος, τοῦτ' ἔστι γένους, καὶ ἀδύνατον τούτων
θάτερον χωρὶς θατέρου γνῶναι. ὥστε ἀνάγκη πᾶσα τὸν περὶ θατέρου
τούτων διδασκαλίαν ποιούμενον καὶ τοῦ λοιποῦ μνησθῆναι· ὁ γὰρ τὸ ἕτερον
10 τῶν πρός τι ἀγνοῶν οὐδὲ τὸ λοιπὸν εἴσεται.

p. 4,10 Εἶδός ἐστι τὸ ταττόμενον ὑπὸ τὸ γένος καὶ οὗ τὸ γένος ἐν τῷ τί ἐστι κατηγορεῖται.

Δύο ὑπογραφὰς ἀποδίδωσι τοῦ εἴδους, τῷ μὲν ὑποκειμένῳ τὰς αὐτάς 15
(ἀμφότεραι γὰρ κατὰ πλειόνων κατηγοροῦνται), τῇ σχέσει δὲ διαφόρους,
15 ὡς ἡ ἀνάβασις καὶ ἡ κατάβασις τῷ μὲν ὑποκειμένῳ μία οὖσαι τῇ σχέσει
διάφοροί εἰσιν· ἄνωθεν γὰρ ἀρχόμενοι κατάβασιν αὐτὴν λέγομεν, κάτωθεν
δὲ ἀνάβασιν. ὡσαύτως καὶ ἐνταῦθα σχέσεις εἰσὶ δύο, τοῦ τε εἴδους πρὸς
τὸ γένος, καθὸ ὑπ' αὐτό ἐστι, καὶ τοῦ γένους πρὸς τὸ εἶδος, καθὸ περι-
εκτικὸν αὐτοῦ ἐστι. καὶ ἔοικεν ἡ σχέσις ἡ ἀπὸ τοῦ γένους ἐπὶ τὸ εἶδος
20 καταβάσει, ἡ δ' ἀπὸ τοῦ εἴδους ἐπὶ τὸ γένος ἀναβάσει. καὶ αὗται μὲν 20
ὁλοσχερέστεραι ὑπογραφαί· ἑξῆς δὲ μετὰ ταῦτα τὴν τελείαν ὑπογραφὴν ἀπο-
δίδωσι τὴν ἀπὸ τῆς διαιρέσεως τῶν φωνῶν ληφθεῖσαν ὅτι εἶδός ἐστι
τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι
κατηγορούμενον.
25 Ἄξιον δὲ ζητῆσαι, δι' ἣν αἰτίαν καὶ ἐπὶ τοῦ εἴδους ὑπογραφῇ ὁ Πορ-
φύριος κέχρηται· οὐκέτι γὰρ χώραν ἔχει ἡ ῥηθεῖσα ἐπὶ τοῦ γένους αἰτία·
ἔχει γὰρ τὸ εἶδος γένος. ῥητέον τοίνυν τὴν ἀκριβεστάτην καὶ κοινὴν αἰ- 25

---

1 τὸ εἶδος παρέλ. colloc. V ἔμπαλιν] πάλιν p τῇ] τῷ E 2 ἀπελογίσατο D¹p
4 περὶ τοῦ γένους M καὶ (post μνημον.) om. M 4. 5 περὶ εἴδους λέγοντα D: περὶ εἴδους λέγοντος E: περὶ τοῦ εἴδους λέγοντα Mp: τοῦ εἴδους διδάσκοντα V 5 μνησθῆναι] μνημονεῦσαι M 6 νοῆται p 8 πᾶσα D: ἦν V: om. EMp τὸν] ἐν τῇ M: τῶν V 9 διδασκαλία (ποιούμενον om.) M μεμνῆσθαι M 13 δύο om. V ἀποδίδ. ὑπογρ. colloc V 14 ἀμφότερα D κατηγορεῖται DE¹ διαφόρους DV: διαφέρουσιν Ep: διαφέρει M 15 καὶ κατάβασις E οὖσαι Mp: οὖσα DEV τῇ δὲ σχέσει Mp: τῇ σχέσει δὲ V 16 διάφοροί εἰσιν] διάφορός ἐστιν DM: διάφορά ἐστιν E: διάφορος V: διάφοροι p ἀρχομένω V post αὐτὴν add. εἶναι V 17 post ὡσαύτως add. δὲ MV καὶ om. V 18 καθὸ ὑπ' αὐτό ἐστι om. M καθὸ] καθὰ p (utrobique) 20 ἡ δ' ἀπὸ τοῦ γένους ἐπὶ τὸ εἶδος (ut in superiore v.) E μὲν om. E 21 μετὰ ταῦτα om. p (recte) ἀπογραφὴν E 23. 24 ἐν τῷ τί ἐστι κατ. om. V κατηγορουμένω E 25 δέ ἐστι D καὶ om. V 26 ῥηθεῖσα post γένους transp. MVp 27 τοίνον] οὖν M post τοίνυν add. καὶ Ep

τίαν, ὅτι οἱ ὁρισμοὶ πραγμάτων εἰσὶν ὁρισμοὶ τὰς φύσεις αὐτῶν δηλοῦντες. 22r
τὰ δὲ γένη καὶ τὰ λοιπὰ οὐκ εἰσὶ πράγματα οὐδ' ἀφωρισμένην φύσιν ἔχει.
διὸ οὐδ' ὑπὸ μίαν τινὰ ἀνάγεται τῶν κατηγοριῶν, ἀλλ' ἐν πάσαις θεωρεῖ-
ται· καὶ γὰρ καὶ ἐν τῇ οὐσίᾳ καὶ ἐν τῷ ποσῷ καὶ ἐν τῷ ποιῷ καὶ ταῖς
5 λοιπαῖς κατηγορίαις εἰσὶ καὶ γένη καὶ εἴδη καὶ διαφοραί. διὸ οὐκ εἰσὶ
πράγματα ἀλλὰ σχέσεις πραγμάτων δηλωτικαί. ἐπεὶ οὖν οἱ ὁρισμοί, ὡς 30
εἴρηται, πραγμάτων εἰσὶν ὁρισμοί, αὗται δὲ αἱ φωναὶ οὐκ εἰσὶ πράγματα,
εἰκότως οὐδ' ὁρισμοὺς αὐτῶν δυνατὸν ἀποδοῦναι.

p. 4,11 Εἶδός ἐστι τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ.

10 Ἑτέραν ὑπογραφὴν ἀποδίδωσι τοῦ εἴδους, ὁμοίαν τῇ προλεχθείσῃ τῇ
ἀπὸ τοῦ γένους ἀποδοθείσῃ.

p. 4,12 Ἀλλ' αὕτη μὲν ἡ ἀπόδοσις τοῦ εἰδικωτάτου ἂν εἴη καὶ ὅ
ἐστι μόνον εἶδος, αἱ δ' ἄλλαι εἶεν ἂν καὶ τῶν μὴ εἰδικωτάτων.

Αὕτη ἡ ὑστέρα, φησίν, ἀποδοθεῖσα τοῦ εἴδους ὑπογραφὴ οὐ παντὶ
15 ἐφαρμόζει ἀλλὰ μόνοις τοῖς εἰδικωτάτοις. ἵνα δὲ μάθωμεν τίνα ἐστὶ τὰ 35
εἰδικώτατα εἴδη, κέχρηται διαιρέσει τοιαύτῃ· τῆς οὐσίας τὸ μέν ἐστι σῶμα
τὸ δὲ ἀσώματον, καὶ τοῦ σώματος τὸ μέν ἐστιν ἔμψυχον τὸ δὲ ἄψυχον,
καὶ τοῦ ἐμψύχου τὸ μὲν ζῷον τὸ δὲ φυτὸν τὸ δὲ ζωόφυτον (τὸ μὲν γὰρ
φυτὸν τὰς τρεῖς ἔχει δυνάμεις | μόνας, τὴν θρεπτικὴν τὴν αὐξητικὴν καὶ 22v
20 τὴν γεννητικήν, τὸ δὲ ζῷον πρὸς ταύταις ἔχει καὶ τὴν αἰσθητικὴν δύναμιν
καὶ τὴν μεταβατικὴν τὴν ἀπὸ τόπου εἰς τόπον· τὸ οὖν ζωόφυτον μέσον
ἐστὶν ἀμφοτέρων, ἔχει γὰρ πρὸς ταῖς τρισὶ δυνάμεσι καὶ τὴν ἁπτικὴν αἴ-
σθησιν, οὐκέτι μέντοι ἀπὸ τόπου ἐπὶ τόπον ἀμείβει, οἷά ἐστι τὰ ὄστρεα
καὶ οἱ σπόγγοι· προσπεφύκασι μὲν γὰρ ταῖς πέτραις, προσιόντος δέ τινος 5

1 πράγματος E εἰσὶν] ἐστὶν E¹ 2 τὸ δὲ γένος E: τὰ γὰρ γένη M φύσιν ἀφωρισμένην colloc. V 3. 4 θεωρεῖται — ποιῷ καὶ om. E 4 καὶ (post γὰρ) om. Mp ἐν τῷ ποσῷ καὶ ἐν τῇ οὐσίᾳ colloc. V ποιῷ καὶ ἐν τῷ ποσῷ colloc. p 4. 5 καὶ ταῖς λοιπαῖς D: καὶ ἐν πάσαις ταῖς λοιπαῖς M et, ut videtur, E: καὶ ἐν ταῖς λοιπαῖς Vp 5 καὶ (ante γένη) om. V 6 πράγματα ἀλλὰ om. EM 6. 7 πραγμάτων] πράγματος E 6. 7 ὡς εἴρηται ante οἱ ὁρισμοὶ transp. E: post εἰσὶν V: om. M 7 ὁρισμοί D: om. EMVp 8 ἀποδοῦναι] ποιεῖν M 9 lemma εἶδος — ἀριθμῷ post ἀποδοθείσῃ transpositum cum posteriore coniunx. D: om. Ep 10 ἑτέραν οὖν Ep 11 ἀπὸ] ἐπὶ V 12 ἡ ἀπόδοσις om. p ἀπόδοσις ἥτις V 12. 13 καὶ ὅ — εἶδος om. Ep 14 ἡ om. M ἀποδοθεῖσα τῇ τ. εἰδ. ὑπογραφῇ E παντὶ εἴδει Vp 15 δὲ om. M 16 χρῆται M 18 τὸ δὲ φυτὸν post ζωόφυτον. transp. p 19 post δυνάμεις add. ταύτας M: ante δυνάμεις Vp μόνον p 19. 20 τὴν (ter) om. MVp 19 καὶ om. MVp 20 post γεννητικήν add. τοῦ ὁμοίου E (fort. recte, cf. p. 79, 6) ἔχει πρὸς ταύταις colloc. V τὴν (ante αἰσθ.) Mp: om. DEV 21 εἰς] ἐπὶ M 22 ἀμφοτέροις V γὰρ om. V 23 οὐκέτι] οὐ E ἀπὸ τόπου ἐπὶ τ. DE: ἐκ. τ. ἐπὶ τ. Mp: ἐκ τοῦ τ. εἰς τ. V ἀμοίβει D ὄστρεια MV 24 μὲν γὰρ DEM: γὰρ V: μὲν p προϊόντος DE¹M δὲ] γὰρ V

ἀντιτύπου μὲν συστέλλονται, ἡδέος δὲ διαχέονται), πάλιν δὲ τοῦ ζῴου τὸ 22v
μέν ἐστι λογικὸν τὸ δὲ ἄλογον, καὶ τοῦ λογικοῦ τὸ μὲν θεὸς τὸ δὲ ἄν-
θρωπος, πάλιν δὲ τοῦ ἀνθρώπου τὸ μὲν Σωκράτης τὸ δὲ Πλάτων καὶ οἱ
κατὰ μέρος· ἀλλ' οὐδεὶς τοῖς φιλοσόφοις λόγος τούτων, καθὰ πολλάκις εἴ-
5 ρηται. ἐν ταύτῃ οὖν τῇ διαιρέσει πρῶτόν ἐστιν ἡ οὐσία, ὕστερον δὲ ὁ
ἄνθρωπος, τὰ δὲ καλούμενα ὑπάλληλα μέσα, ἃ καὶ γένη καὶ εἴδη πρὸς 10
ἄλλο καὶ ἄλλο. λέγεται δὲ ἡ μὲν οὐσία γένος γενικώτατον, ὁ δὲ ἄνθρωπος
εἶδος εἰδικώτατον, τὰ δὲ λοιπὰ καὶ γένη καὶ εἴδη πρὸς ἄλλο καὶ ἄλλο
λαμβανόμενα· τὸ γὰρ σῶμα εἶδος μέν ἐστι τῆς οὐσίας γένος δὲ τοῦ ἐμ-
10 ψύχου, καὶ τὸ ἔμψυχον εἶδος μὲν τοῦ σώματος γένος δὲ τοῦ ζῴου, καὶ
τὸ ζῷον εἶδος μὲν τοῦ ἐμψύχου γένος δὲ τοῦ ἀνθρώπου, ὁ δὲ ἄνθρωπος
εἶδος μὲν τοῦ ζῴου, οὐκέτι δὲ καὶ γένος· κατηγορεῖται γὰρ οὐ διαφερόντων 15
τῷ εἴδει ἀλλὰ τῷ ἀριθμῷ, οἷον Σωκράτους Ἀλκιβιάδου· οὐκ ἔστιν οὖν
γένος, ἀλλ' οὐδὲ ἄτομον, ἐπειδὴ τῶν κατὰ μέρος ἀτόμων ἐστὶ περιεκτικόν·
15 λείπεται ἄρα τὸν ἄνθρωπον εἶδος εἰδικώτατον εἶναι. φησὶν οὖν ὅτι ἡ τοῦ
εἴδους ἀποδοθεῖσα ὑπογραφὴ ὑστέρα οὐ παντὶ εἴδει ἐφαρμόζει· οὐ γὰρ δὴ
καὶ τῷ ζῴῳ καὶ τῷ ἐμψύχῳ, ἀλλὰ μόνοις τοῖς εἰδικωτάτοις εἴδεσιν, οἷον
ἀνθρώπῳ καὶ ἵππῳ καὶ κυνί. ἃ μόνως ἐστὶν εἴδη.

p. 4,21 Γενέσθω δὲ ἐπὶ μιᾶς κατηγορίας σαφὲς τὸ λεγόμενον. 20

20 Ἐπὶ πασῶν γὰρ τῶν κατηγοριῶν ἐστὶ γένη καὶ εἴδη. ἀλλ' ἡ μὲν οὐσία
γένος ἐστὶ γενικώτατον, ὑπὸ δὲ ταύτην ἐστὶ τὸ σῶμα καὶ ὑπὸ τὸ σῶμα
τὸ ἔμψυχον (τοῦτο γὰρ τὸ μέρος ἔλαβε τῆς διαιρέσεως παραλείψας τὸ τοῦ
ἀσωμάτου, ἐπειδὴ τὰ αἰσθητὰ ἡμῖν γνωριμώτερα), καὶ ὑπὸ τὸ ἔμψυχον τὸ
ζῷον καὶ ὑπὸ τοῦτο τὸ λογικὸν καὶ ὑπὸ τοῦτο ὁ ἄνθρωπος. ἀλλ' ἔστιν ἡ
25 μὲν οὐσία τὸ γενικώτατον καὶ ὁ μόνον γένος (οὐδὲν γὰρ πρότερον τῆς 25

1 μὲν post συστ. transp. Vp: om. E ἡδέος] ἀπιόντος V 2 ἐστι om. M
3 δὲ (prius) om. V τῶν ἀνθρώπων MVp τὸ (utrobique)] ὁ V μέν ἐστι
MVp 4 οὐδεὶς] οὐ δεῖ V λόγος om. V τούτων λόγος colloc. M
καθὼς M 5 πρῶτον EMV: πρώτη Dp 6 μέσα] καλούμενα V
6. 7 λέγεται πρὸς ἄλλο καὶ ἄλλο λαμβανόμενα V 7 δὲ (prius)] οὖν Vp
9 παραβαμβανόμενα Mp γὰρ om. D 10 μέν ἐστιν D 10. 11 τοῦ ζῴου—
γένος δὲ om. E καὶ τὸ ζῷον] τὸ δὲ ζῶον V 11 εἶδος ex γένος corr. D
τῶν ἀνθρώπων p 12 post γένος add. φησί EVp: φασί M: om. D a verbis οὐ
διαφερόντων rursus inc. F 13 σωκράτης, ἀλκιβιάδης DEF 14 post ἄτομον add.
τὸ εἶδος, διότι οὐκ εἰς εἴδη τέμνεται E ἐπειδὴ DE¹Mp: ἐπεὶ δὲ E²FV 15 εἶναι
εἰδικώτ. colloc. F 16 ὑπογρ. ὑστέρα] ὑστέρα ὑπογραφή V παντὶ τῷ εἴδει M
17 μόνον V 18 ἃ καὶ μόνως M 19 γινέσθω Porph. 20 καὶ γένη Mp
γένος καὶ εἶδος F 21 γένος post ἐστι colloc. FM: om. V ἐστι τὸ σῶμα] τὸ σῶμα
F: ἐστὶ σῶμα MV 22 post ἔμψυχον add. σῶμα V γὰρ] δὲ superscr. F¹
ante τῆς διαιρ. add. τὸ p 23 γνωριμ. ἡμῖν colloc. p post γνωριμ. add. τὸ ἔμ-
ψυχον V 24 καὶ ὁ ὑπὸ τοῦτο ὁ ἄνθρ. M 25 post μόνον add. ἐστὶ FMVp
post γὰρ add. ἐστι Mp 25 p. 79,1 πρότερον τῆς οὐσίας DEF: ὑπὲρ τὴν οὐσίαν MV:
πρότερον οὐσίας p

οὐσίας), ὁ δὲ ἄνθρωπος εἰδικώτατον καὶ ὁ μόνον εἶδος (οὐδὲν γάρ ἐστι 22v
μετὰ τὸν ἄνθρωπον ἐν τοῖς καθόλου), τὸ δὲ σῶμά ἐστι καὶ γένος καὶ εἶ-
δος, ἀλλ' εἶδος μὲν τῆς οὐσίας γένος δὲ τοῦ ἐμψύχου, τὸ δὲ ἔμψυχον εἶ-
δος μέν ἐστι τοῦ σώματος γένος δὲ τοῦ ζῴου· ζῷον γὰρ λέγεται τὸ ἔμ-
5 ψυχον καὶ αἰσθήσεως μετέχον, ἔμψυχον δέ ἐστι τὸ τρεφόμενον καὶ αὐξα-
νόμενον καὶ γεννῶν ὅμοιον ἑαυτῷ· τὰ οὖν φυτὰ τούτων μετέχοντα τῶν 30
δυνάμεων ἔμψυχα μέν ἐστιν, οὐ μέντοι καὶ ζῷα. τὰ δὲ ὄστρεα καὶ οἱ
σπόγγοι ἔμψυχά τέ ἐστι καὶ πρὸς τούτοις μετέχει τῆς αἰσθητικῆς δυνάμεως
(προσιόντος γὰρ αὐτοῖς τινος ἀντιτύπου συστέλλονται, ἀπιόντος δὲ ἥδονται),
10 καὶ κατά τι μὲν τοῖς φυτοῖς ὅμοιά ἐστι τὸ ἐρριζῶσθαι καὶ τρέφεσθαι,
κατά τι δὲ τοῖς ζῴοις τὸ αἰσθάνεσθαι. πάλιν τὸ ζῷον εἶδος μὲν τοῦ ἐμ-
ψύχου γένος δὲ τοῦ λογικοῦ, καὶ τὸ λογικὸν γένος μέν ἐστι τοῦ θνητοῦ 35
εἶδος δὲ τοῦ ζῴου, καὶ τὸ θνητὸν εἶδος μὲν τοῦ λογικοῦ γένος δὲ τοῦ ἀν-
θρώπου.

15 p. 4,32 Καὶ πᾶν τὸ πρὸ τῶν ἀτόμων προσεχῶς κατηγορούμενον
εἶδος ἂν εἴη μόνον, οὐκέτι δὲ καὶ γένος.

Προσεχῶς | ἀντὶ τοῦ εὐθέως καὶ ἀμέσως· ἔστι γὰρ πρὸ τῶν ἀτό- 23r
μων καὶ τὸ ζῷον, ἀλλ' οὐκ ἀμέσως. ἀλλὰ διὰ μέσου τοῦ ἀνθρώπου. ὁ
ἄνθρωπος οὖν προσεχῶς ἐστι πρὸ τῶν ἀτόμων καὶ ἔστιν εἶδος μόνον.

20 p. 5,7 Ὥστε ταῦτα δύο ἔχει σχέσεις.

Ἡ οὐσία μίαν ἔχει σχέσιν τὴν πρὸς τὰ μετ' αὐτήν· τὴν γὰρ πρὸς

1 post μόνον add. ἐστὶ M οὐδὲν] οὐδὲ M 2 ἐν τῷ καθόλου M 3 τοῦ ἐμψύχου — γένος δὲ (v. 4) post αὐξα| (v. 5) colloc. V 4 ζῷον γὰρ — αἰσθάνεσθαι (v. 11) eicias; cf. p. 77,18 sq. 5 ante αἰσθήσεως add. τὸ p 6 αὐτῷ DEM 7 ἔμψυχα] ἔμψυ D οὐ μέντοι — ἔμψυχά τέ ἐστι (v. 8) iter. E καὶ (ante ζῷα) om. MVp ὄστρεα Ep: ὄστρεια DMV (cf. p. 77,23) 8 τέ p: μὲν codd. ἐστι DE (priore loco). MVp: εἰσι E (altero l.). F post μετέχει add. καὶ V 9 προϊόντος EF συστέλλεται V ἥδονται] ἥδεται F: εἴδεται V; ex Elia conicias ἐκτείνονται; nisi malis διαχέονται (cf. p. 78,1) 10 καὶ κατὰ μὲν τὸ ἐρ. καὶ τρέφ. τοῖς φυτοῖς ὁμοιά εἰσι V ἐρριψῶσθαι M¹ καὶ (alterum)] τὸ EF καὶ τρέφεσθαι post αἰσθάνεσθαι (11) transp. p 11 κατά τι δὲ — αἰσθάνεσθαι om. EF τὸ (ante αἰσθ.) om. V αἰσθ. δηλονότι τοῖς ζῴοις MV τὸ ζῷον—τοῦ λογικοῦ (12) καὶ suppl. p: om. codd. 12. 13 τὸ λογικὸν — ἀνθρώπου] quia θνητόν non est species λογικοῦ, conicias τὸ λογικὸν εἶδος μὲν τοῦ ζῴου, γένος δὲ τοῦ ἀνθρώπου (cf. p. 78,24 et Porph. p. 4,29) τὸ λογικὸν εἶδος μέν ἐστι τ. ζ. γένος δὲ τ. θν. V 12 ἐστι om. p 13 καὶ om. M 13. 14 γένος μὲν τ. ἀνθρ. εἶδος δὲ τ. λογ. colloc. FMV 14 post ἀνθρώπου add. ὁ δὲ ἄνθρωπος εἶδος μὲν τοῦ λογικοῦ, οὐκέτι δὲ γένος σωκράτους ἢ πλάτωνος p 16 εἶδος μὲν p 17 προσεχῶς Mp: τὸ προσεχῶς V: om. DEF post προσεχῶς add. φησιν Vp 19 οὖν ἄνθρ. colloc. p 19 πρὸ DM: om. EFVp 20 ταῦτα μὲν Porph., quod reponas σχέσεις ἔχει colloc. M 21 ἡ οὐσία F: ἡ δὲ οὐσία DEMVp post σχέσιν add. φησι M

τὰ πρὸ αὐτῆς οὐκέτι ἔχει· οὐδὲ γὰρ ἀνωτέρω τι τῆς οὐσίας ἐστί. πάλιν 23r
τὸ εἶδος μίαν ἔχει σχέσιν τὴν πρὸς τὰ πρὸ αὐτοῦ· τὴν γὰρ πρὸς τὰ μετ' 6
αὐτὸ οὐκ ἔχει· οὐδὲν γάρ ἐστι μετ' αὐτὸ εἶδος. τὰ δὲ μέσα δύο ἔχει
σχέσεις, τήν τε πρὸς τὰ πρὸ αὐτῶν, καθ' ἣν εἴδη λέγεται, καὶ τὴν πρὸς
5 τὰ μετ' αὐτά, ἀλλὰ κατὰ μὲν τὴν πρώτην σχέσιν εἴδη λέγονται, κατὰ δὲ
τὴν δευτέραν γένη. τὰ δὲ ἄκρα μίαν ἔχει σχέσιν τό τε γενικώτατον καὶ
τὸ εἰδικώτατον.

p. 5,14 Ἀλλὰ καὶ τῶν ἀτόμων εἶδος λέγεται.

Ἔχει γὰρ καὶ τὸ εἰδικώτατον εἶδος σχέσιν τινὰ πρὸς αὐτὰ τὰ ἄτομα, 10
10 ἀλλ' οὐ τὴν αὐτὴν ἔχει σχέσιν καὶ πρὸς τὰ πρὸ αὐτοῦ· ὁ γὰρ ἄνθρωπος
Σωκράτους καὶ Πλάτωνος οὐ λέγεται γένος, ἀλλ' εἶδος ὡς περιέχον τὰ
ἄτομα.

p. 5,17 Ἀφορίζονται τοίνυν τὸ μὲν γενικώτατον οὕτως.

Εἰρηκὼς τὸ γένος τὸ γενικώτατον καὶ τὰ ὑπάλληλα καὶ τὸ εἶδος τὸ
15 εἰδικώτατον, νῦν λοιπὸν ὑπογράφει αὐτὰ καί φησι, τί μὲν τὸ γενικώτατον
γένος, ὅτι ὃ γένος ὂν οὐκ ἔστιν εἶδος καὶ ὑπὲρ ὃ οὐκ ἂν εἴη ἄλλο 15
ἐπαναβεβηκὸς γένος, τί δὲ τὸ εἰδικώτατον, ὃ εἶδος ὂν οὐκ ἔστι γέ-
νος καὶ ὃ οὐκ ἂν διελοίμεθα εἰς εἴδη, τί δὲ τὰ ὑπάλληλα, ὅτι τὰ
αὐτὰ καὶ γένη καὶ εἴδη τυγχάνει. περὶ τούτων οὖν θέλει διαλε-
20 χθῆναι, καὶ σαφηνείας χάριν παραλαμβάνει παράδειγμα τὸ τῆς γενεαλογίας·
φησὶ γὰρ ὅτι ὥσπερ ἐπὶ τῶν γενεαλογιῶν ἐστιν ὁ Ζεὺς ἀρχή τις καὶ
μόνος πατήρ, οὐκέτι δὲ εἰ τύχοι υἱός, ὁ δὲ Ὀρέστης εἰ τύχοι μόνος υἱός,

1 πρὸ αὐτὴν V οὐδὲ γὰρ ἀνωτέρω τι τῆς οὐσίας ἐστί DE: οὐδὲ γὰρ ἀνώτερον τῆς οὐσίας ἐστί τι F: οὐδὲν γὰρ ἀνώτερον τῆς οὐσίας MV: οὐδὲ γάρ ἐστι τὶ ἀνώτεροον τῆς οὐσίας p 2 εἶδος] an εἰδικώτατον εἶδος? (cf. v. 9) 2. 3 μετ' αὐτὴν EM 3 οὐκ DFMV: οὐκέτι Ep 4 καθ' ἣν εἴδη λέγεται] καθ' ὃ εἴδη αὐτῶν εἶναι λέγεται p; eicias (cf. v. 5. 6) εἴδη] ἤδη E 5 μετ' αὐτά] μετὰ ταῦτα M post αὐτὰ add. καθ' ἣν γένη λέγεται M: καθ' ὃ γένη λέγεται p 5. 6 ἀλλὰ — γένη om. M 5 κατὰ τὴν πρώτην οὖν (ἀλλὰ om.) p μὲν om. Vp λέγεται Vp 5. 6 τὴν δευτέραν δὲ colloc. E 6. 7 τὰ δὲ ἄκρα — εἰδικώτατον eicias 9 post ἄτομα pergit ἀλλ' οὐχ ἑτέραν, ἀλλ' ἣν ἔχει σχέσιν πρὸς τὰ πρὸ αὐτοῦ, ἔχει καὶ πρὸς τὰ μετὰ αὐτό· ὁ γὰρ ἄνθρ. V 10 πρὸς om. p 11 σωκράτης καὶ πλάτων E ὡς περιέχον] ὅτι περιέχει M 13 ἀφορίζεται DE 14 τὸ γενικώτατον γένος p post εἶδος add. καλῶς V 15 αὐτὰ FVp: αὐτὸ DEM τί μὲν τὸ DE: τὶ μέν ἐστι τὸ FV: τί ἐστι τὸ (sed. τὸ oblitt.) M: τί μέν ἐστι (τὸ om.) p 16 οὐκ ἔστιν εἶδος DEMV: οὐκ ἔστι καὶ εἶδος F: οὐκέτι καὶ εἶδος ἐστὶ p ἄλλο om. FV ἄλλο τι M 17 ὑπερβεβηκὸς V δὲ] τε Mp ὅτι ὃ εἶδος p 17. 18 ante γένος add. καὶ V 18 ὃ om. E post ἂν add. ἔτι p εἰς εἴδη om. M δὲ] τε p 18. 19 τὰ αὐτὰ] ἃ M 19 καὶ (ante γένη) om. EM θέλει] μέλλει M 21 ἐστι om. V: post τις transp. p 22 καὶ υἱός p ὁ δὲ Ὀρέστης — υἱός MVp: om. DEF μόνος V: μόνον p: oblitt. M

ὁ δ' Ἀγαμέμνων πατὴρ μὲν τοῦ Ὀρέστου, υἱὸς δὲ τοῦ Ἀτρέως, ὁ δὲ 23r
Ἀτρεὺς πατὴρ μὲν τοῦ Ἀγαμέμνονος, υἱὸς δὲ τοῦ Πέλοπος, οὕτω καὶ ἐπὶ 21
τοῦ παρὰ τοῖς φιλοσόφοις λεγομένου γένους καὶ εἴδους· τὰ μὲν γάρ ἐστι
μόνως γένη, ὡς ἡ οὐσία, τὰ δὲ μόνως εἴδη, ὡς ὁ ἄνθρωπος.

5 p. 6,3 Ἀλλ' ἐπὶ μὲν τῶν γενεαλογιῶν εἰς ἕνα ἀνάγουσι, φέρε εἰ-
πεῖν τὸν Δία, τὴν ἀρχὴν ὡς ἐπὶ τὸ πλεῖστον.

Ἀπορίαν τινὰ ἴσως ἂν ἐκίνησεν ἡμῖν τὸ παράδειγμα, ἣν φθάσας ὁ 25
Πορφύριος ἐπιλύεται· ὑπέλαβε γὰρ ἄν τις, μήποτε ὡς ἐπὶ τῶν γενεαλογιῶν
σειραὶ σχεδὸν ἐπὶ μίαν ἀρχὴν ἀνατρέχουσι, φέρε εἰπεῖν τὸν Δία (πάντων
10 γὰρ τῶν ὄντων ἡ μυθοποιία πατέρα ἀνδρῶν τε καὶ θεῶν καλεῖ τὸν Δία),
οὕτως καὶ ἐνταῦθα πᾶσαι αἱ κατηγορίαι ἐπὶ μίαν τινὰ ἀρχὴν ἀνατρέχουσιν,
οἷον τὴν τοῦ ὄντος· καὶ γὰρ καὶ ἡ οὐσία ὄν ἐστι καὶ τὸ ποσὸν καὶ αἱ
ἄλλαι κατηγορίαι. καὶ εἰ τοῦτο οὕτως, οὐκέτι ἔσονται γένη δέκα γενικώ-
τατα, ἀλλὰ τὸ ὂν πάντων ἕν τι κοινὸν γένος. τοῦτ' οὖν ἐπισημηνάμενος 30
15 ὁ Πορφύριός φησι μὴ εἶναι τὸ ὂν γένος τῶν κατηγοριῶν.

Ὅτι δὲ τὸ ὂν οὐκ ἔστι γένος τῶν δέκα κατηγοριῶν, δείξομεν οὕτως·
πάντα τὰ διαιρούμενα ἢ ὡς γένη εἰς εἴδη διαιρεῖται, ὡς ὅταν εἴπωμεν, τοῦ
ζῴου τὸ μέν ἐστιν ἵππος τὸ δὲ κύων τὸ δὲ ἄνθρωπος, ἢ ὡς ὅλον εἰς
μέρη, καὶ τοῦτο διττόν, ἢ γὰρ εἰς ὁμοιομερῆ διαιρεῖται ἢ εἰς ἀνομοιομερῆ
20 (καὶ εἰς ὁμοιομερὴ μὲν διαιροῦνται φλέβες, ἀρτηρίαι, ὀστᾶ. ταῦτα γὰρ δι- 35
αιρούμενα ἔχει τὰ μέρη καὶ ἀλλήλοις ὅμοια καὶ τῷ ὅλῳ, εἰς ἀνομοιομερῆ
δέ, ὡς ὅταν εἴπωμεν, ὅτι τοῦ σώματος τὸ μέν ἐστι κεφαλὴ τὸ δὲ χεὶρ τὸ
δὲ πούς), ἢ ὡς ὁμώνυμος φωνὴ εἰς διάφορα σημαινόμενα, | ὡς ὅταν εἴ- 23v

1 μέν ἐστι F 2 post Πέλοπος add. ὁ δὲ πέλοψ πατὴρ μὲν τοῦ ἀτρέως, υἱὸς δὲ τοῦ ταντάλου, ὁ δὲ τάνταλος πατὴρ μὲν τοῦ πέλοπος, υἱὸς δὲ τοῦ διός M: ὁ δέ πέλοψ υἱὸς τοῦ ταντάλου p 3 τοῖς om. M λεγομένου DMV: om. EFp 5 ἀνάγουσι EMV: ἀνάγομεν F: ἀνάγωμεν p: om. D 7 ἂν ἐκίνησεν D: ἀνεκίνησεν EFMVp (cf. v. 8 τὸ πρᾶγμα ἤγουν τὸ παράδ. V 8 ante ἐπὶ add. αἱ M: ante σειραὶ p 9 ἐπὶ] ὡς E 9. 11 φέρε εἰπεῖν—ἀνατρέχουσιν omissa in mrg. suppl. D[1] 10 μυθοποιία DE: μυθολογία FMVp πατέρα om. E (post θεῶν suppl. m.[2]) καὶ θεῶν] θεῶν τε FMV τὸν δία καλεῖ colloc. M 11 αἱ κατ. πᾶσαι colloc. D ἀρχὴν om. DFV (fort. recte) 12 καὶ (post γάρ) om. FMVp τὸ om. F post ποσὸν add. ὄν ἐστι V αἱ om. M 13 post οὕτως add. ἔχει p 13. 14 δέκα γένη γενικ. colloc. M: δέκα γενικ. γένη V 14 ἕν τι ante πάντων colloc. M ἕν τι] ἐστὶ p 14. 15 ὁ πορφ. ἐπισημ. colloc. V 15 ὁ πορφύριος] ὁ φιλόσοφος p φησι om. F: post κατηγοριῶν transp. M 17 διαιροῦνται M 18 τὸ μέν εἶναι ἵππον τὸ δὲ κύνα τὸ δὲ ἄνθρωπον MVp ἄνθρωπον (sed ἵππος et κύων) D 19 μέρη] μέρος E καὶ om. MV 20 διαιροῦνται Mp: διαιρεῖται DEFV φλέβες, ἀρτηρίαι, ὀστά D: ὡς αἱ φλέβες καὶ οἱ ἀρτηρίαι καὶ αἱ σάρκες E: φλέβες καὶ ἀρτηρίαι καὶ ὀστᾶ καὶ σάρκες FV: οἷον αἱ φλέβες αἱ ἀρτηρίαι ὀστᾶ καὶ αἱ σάρκες M: αἵ τε φλέβες καὶ ἀρτηρίαι καὶ ὀστᾶ καὶ σάρκες p γὰρ FMVp: δὲ DE 22 τὸ μέν ἐστι κεφαλὴ ἀπὸ τοῦ σώματος (sed ἀπὸ induxit et num. superscr.) V κεφαλή ἐστι p 23 πούς] πόδες FMp

πωμεν, τοῦ κυνὸς ὁ μέν ἐστι χερσαῖος ὁ δὲ θαλάττιος ὁ δὲ ἀστρῷος. ἐὰν 23v
οὖν δειχθῇ ὅτι τὸ ὂν οὔτε ὡς γένος εἰς εἴδη οὔτε ὡς ὅλον εἰς μέρη διαι-
ρεῖται εἰς τὰς κατηγορίας, λείπεται ὡς ὁμώνυμος φωνὴ τέμνεσθαι εἰς
διάφορα σημαινόμενα. ὅτι μὲν οὖν οὐ διαιρεῖται ὡς γένος εἰς εἴδη, ἐν-
5 τεῦθεν δῆλον· τὸ γένος διαιρούμενον εἰς εἴδη πᾶσι τοῖς εἴδεσιν ἐξ ἴσου 5
πάρεστι, καὶ οὐ θεωρεῖται ἐν τοῖς εἴδεσι τὸ πρῶτον καὶ τὸ ὕστερον κατὰ
τὴν τοῦ γένους μετοχήν (οὐδὲ γὰρ μᾶλλον ὁ ἄνθρωπος τοῦ ἵππου ζῷόν
ἐστι. καὶ πάλιν ἀναιρεθέντος ἑνὸς εἴδους οὐκ ἀνάγκη τὰ λοιπὰ εἴδη ἀναι-
ρεθῆναι· ἀναιρεθέντος γὰρ τοῦ ἀνθρώπου οὐκ ἀναιρεῖται τὸ ζῷον οὐδὲ τὰ
10 λοιπὰ εἴδη οἷον ἵππος καὶ κύων τὰ ἄλλα)· εἰ οὖν τὸ ὂν διαιρεῖται εἰς τὰς
δέκα κατηγορίας ὡς γένος εἰς τὰ εἴδη, οὐκ ἔδει ἐν αὐταῖς εἶναι τὸ πρῶτον 10
καὶ τὸ δεύτερον οὐδὲ τὸ μὲν αὐτῶν μᾶλλον τοῦ ὄντος μετέχειν τὸ δὲ ἧτ-
τον. νῦν δὲ ἔστι τὸ πρῶτον καὶ τὸ ὕστερον· πρότερον γὰρ λέγομεν τὴν
οὐσίαν καὶ τὰ λοιπὰ καθεξῆς, εἴ γε ἀναιρουμένης συναναιρεῖται καὶ τὰ
15 συμβεβηκότα. ὅθεν καὶ μᾶλλον αὐτὴν τοῦ ὄντος μετέχειν φαμέν, εἴπερ
ἡ οὐσία τοῖς συμβεβηκόσι τὸ εἶναι δίδωσι (ἐν αὐτῇ γὰρ ὑφεστήκασι) καὶ
αὕτη μὲν τῶν συμβεβηκότων αὐτῇ εἰς τὸ εἶναι οὐ δεῖται, τὰ δὲ συμβεβη- 15
κότα οὐκ ἂν εἴη μὴ οὔσης αὐτῆς, ᾗ καὶ συμβέβηκε· τὸ γὰρ συμβεβηκός
τινι προεπινοούμενον ἔχει τὸ ᾧ συμβέβηκεν. οὐκ ἄρα τὸ ὂν ὡς γένος εἰς
20 εἴδη διαιρεῖται εἰς τὰς δέκα κατηγορίας· οὐ γὰρ ἂν ἑνὸς εἴδους ἀναιρε-
θέντος ἀναιρεῖται τὸ γένος, ὡς εἴπομεν. νῦν δὲ τῆς οὐσίας ἀναιρεθείσης
ἀναιροῦνται καὶ αἱ λοιπαὶ κατηγορίαι· ἐν αὐτῇ γὰρ τὸ εἶναι ἔχουσιν. οὐκ
ἄρα τὸ ὂν ὡς γένος διαιρεῖται. ὥστε οὐ δύναται τὸ ὂν διαιρεῖσθαι εἰς 20
τὰς δέκα κατηγορίας ὡς γένος εἰς εἴδη. λέγω δὲ οὐδὲ ὡς ὅλον εἰς μέρη·

1 θαλάσσιος MV 2 οὖν] δὲ V γένος] γένη E 2. 3 διαιρεῖται post εἴδη transp. DE 3 εἰς (ante τὰς κατ.) om. M ὁμώνυμος φωνὴ DEFV: ὁμώνυμον φωνὴν Mp 4 ὅταν ... διαιρῆται E οὖν om. FMV 4. 5 ἐντεῦθεν] ἐνταῦθα M 5 τὸ γὰρ γένος p εἰς εἴδη διαιρ. colloc. E ἐξ ἴσου] ἐπίσης MV 6 ἐν τοῖς εἴδεσιν om. V 7 γὰρ om. M ὁ om. M 8 ἐστι om. V post ζῷόν ἐστι add. καὶ πρότερον DEp: om. FMV ante ἑνὸς add. τοῦ DEMp: om. FV (cf. v. 20) εἴδους] ἵππου M οὐκ om. E post ἀνάγκη add. πάλιν M 8. 9 διαιρεθῆναι F 9 τοῦ om. EFV 10 ἵππος καὶ κύων καὶ τὰ ἄλλα] ἵππος καὶ φυτὸν καὶ κύων καὶ τὰ ἄλλα DE: ἵππος καὶ φυτὰ καὶ κύων F: ἵππος κύων M: ἵππος κύων φυτά V: ἵππος καὶ φυτὰ καὶ κύων καὶ τἄλλα p 11 γένος] γένη E¹F τὰ om. MV εἶναι ante ἐν αὐταῖς transp. Fp: om. E αὐταῖς p: αὐτοῖς codd. 12 τὸ (ante δεύτερον) om. MV μᾶλλον αὐτῶν μετ. τοῦ ὄντος (corr. num. superscr.) D τοῦ ὄντος μᾶλλον colloc. M 13 προτέραν p λέγομεν γὰρ πρῶτον MV 14 post οὐσίαν fort. addas ἢ τὸ ποσὸν ἀναιρουμένως M 15 μετέχειν τοῦ ὄντος colloc. Vp 16 αὕτη DEFp: αὐτὴ MV 17 αὐτῇ] αὐτῆς FV 18 ᾗ] εἰ F 19 προεπινοούμενον DV: προσεπινοούμενον EFMp 20 διαιρ. εἰς εἴδη colloc. M οὐ γὰρ — εἰς εἴδη (v. 24) fort. eicias an οὐ γὰρ ἀν⟨άγκη⟩ ... ἀναιρεῖσθαι? (cf. v. 8) 21 ἀναιρεῖται — ἀναιρεθείσης om. E ἀναιρῆται M εἴπωμεν Vp 22 καὶ (post ἀναιροῦνται) p: om. codd. λοιπαὶ] ἄλλαι M 23 διαιρεῖται] θεωρεῖται M ὥστε οὔτε M 24 λέγω δὲ om. Ep οὐδὲ scripsi: οὔτε libri ὡς om. Ep

τοῦτο γὰρ ἢ ὡς ὁμοιομερὲς ἢ ὡς ἀνομοιομερὲς διαιρεῖται, ὡς εἴρηται. 23v
καὶ ὁμοιομερὲς μέν ἐστι τὸ ἔχον τὰ μέρη ὅμοια τῷ ὅλῳ, ὡς τὰ μέρη
ὀνομάζεσθαι τῷ τοῦ ὅλου ὀνόματι καὶ μηδὲν ἀλλήλων διαφέρειν· τοῦ γὰρ
ξύλου τὰ μέρη ξύλον ἕκαστον προσαγορεύεται καὶ οὐδὲν ἀλλήλων διαφέρει.
5 ὁμοίως δὲ καὶ τοῦ νεύρου τὸ μέρος τῇ τοῦ ὅλου φωνῇ προσαγορεύεται καὶ
ἡ σὰρξ καὶ ἡ φλέψ. ἀδύνατον ἄρα τὸ ὂν ὡς ὁμοιομερὲς διαιρεῖσθαι εἰς 25
τὰς δέκα κατηγορίας· τὰ γὰρ μέρη, τοῦτ' ἔστιν αἱ κατηγορίαι, εἰ καὶ τῇ
τοῦ ὅλου προσηγορίᾳ προσαγορεύονται (ὄντα δὲ πᾶσαι καλοῦνται), ἀλλ' οὖν
ἀλλήλων διαφέρουσιν ὀνόματι καὶ πράγματι καὶ οὐκ εἰσὶν ὅμοιαι ἀλλήλαις·
10 ἄλλο γὰρ σημαίνει ἡ οὐσία καὶ ἄλλο τὸ ποσόν. πάλιν τὸ ὡς ἀνομοιομερὲς
διαιρούμενον οὐκ ἔχει τὰ μέρη ὀνομαζόμενα τῇ τοῦ ὅλου προσηγορίᾳ, ἃ 30
καὶ διαφέρει ἀλλήλων· οἷον τοῦ προσώπου τὰ μέρη ἐστὶν ἡ ῥὶς καὶ οἱ
ὀφθαλμοί, ἃ οὔτε τῷ τοῦ ὅλου ὀνόματι προσαγορεύεται οὔτε ἀλλήλοις ἐστὶν
ὅμοια· οὐ γὰρ τὴν ῥῖνα εἴποιμεν ἂν πρόσωπον ἢ τὸν ὀφθαλμόν. οὐδὲ
15 οὖν ὡς ἀνομοιομερὲς τὸ ὂν δύναται διαιρεῖσθαι· εἰ γὰρ καὶ τὰ μέρη εἰσὶν
ἀλλήλων διαφέροντα καὶ ὀνόματι καὶ πράγματι καὶ διὰ τοῦτο δόξει ἀνο-
μοιομερὲς εἶναι τὸ ὄν, ἀλλ' οὖν τῷ τοῦ ὅλου ὀνόματι τὰ μέρη προσαγο-
ρεύεται (ὂν γάρ ἐστι καὶ ἡ οὐσία καὶ τὸ ποσὸν καὶ τὸ ποιόν), τὰ δ' ἀνο- 35
μοιομερῆ τῷ τοῦ ὅλου ὀνόματι οὐ προσαγορεύεται. εἰ οὖν μήτε ὡς ὁμοιο-
20 μερὲς μήτε ὡς ἀνομοιομερὲς τὸ ὂν δύναται εἰς τὰς δέκα κατηγορίας διαι-
ρεῖσθαι, ἐδείχθη δὲ ὅτι οὐδὲ ὡς γένος εἰς εἴδη, λείπεται ἄρα ὡς φωνὴ
ὁμώνυμος εἰς διάφορα σημαινόμενα διαιρεῖσθαι. 24r

---

1 γὰρ] δὲ M εἰς ὁμοιομερῆ ἢ εἰς ἀνομοιομερῆ D (cf. v. 2. 6. 10. 19) ὡς (ante ὁμοιομ.) om. E 2 τὰ μέρη (post ὡς) — διαιφέρειν (v. 2) om. V 3 μηδὲν] οὐδὲν Ep 4 ξύλον Mp: ξύλα DEFV διαφέρουσιν F διαφέρει ἀλλήλων colloc. M 5 post προσαγορεύεται add. καὶ οὐδὲν ἀλλήλων διαφέρει p 6 καὶ σὰρξ καὶ φλέψ MV ἄρα DE: οὖν MVp: om. F ὡς] εἰς F 7 post κατηγορίας add. ὡς γένος εἰς εἴδη M τοῦτ' ἔστιν D: ὅ ἐστιν EFMVp 8 προσηγορία Fp: προσηγορεία D: προσαγορεία (expunct) E¹: φωνῇ E²MV προσαγορεύεται EFV ὄντα δὲ D: καὶ ὄντα EFp: ὄντα MV καλοῦνται] καλούμεναι V 9 post ἀλλήλων add. πάντῃ FMVp: om. DE ὀνόματι καὶ πράγματι DEF: ὀνόμασι καὶ πράγμασι MVp (cf. v. 16) ὅμοια MV ἀλλήλοις EMV 10 ἡ οὐσία Fp: οὐσία DEMV τὸ ποσόν] ποσὸν M ὡς om. M 11 τὰ μέρη οὐκ ἔχει colloc. MV ἃ] εἰ E 12 διαφέρουσιν F 12. 13 τὰ μέρη — ὀφθαλμοί] τὸ μέν ἐστιν ἡ ῥὶς καὶ οἱ ὀφθαλμοί E: τὸ μέν ἐστι ῥὶς τὰ δὲ ὀφθαλμοὶ MV 13 οὔτε] οὔποτε E τοῦ ὅλου] ὅλῳ EM προσαγορεύονται (?) M ἀλλήλων E 13. 14 ὅμοιά ἐστιν colloc. V 14 οὐ] οὔτε D; an volebat οὔτε γὰρ τὴν ῥῖνα . . . οὔτε τὸν ὀφθαλμόν? εἴποιμεν ἂν] εἴποιμ' ἂν p ἢ] ἤγουν V 14. 15 οὐδὲ οὖν scripsi: οὔτε οὖν DFMV: εἴτ' οὖν E: οὐκ ἄρα οὐδὲ p 16 ὀνόμασι καὶ πράγμασι p διὰ] κατὰ p δόξει] δείξει V 16. 17 ἀνομ. — προσαγορεύεται] ἀνομοιομερῆ τῷ τοῦ ὅλου ὀνόματι προσαγορεύονται M 17 μέρη] μέσα E 18 ὂν — προσαγ. (v. 19) om. M τὸ ποιὸν καὶ τὸ ποσόν colloc. E 19 προσαγορεύονται F 19. 20 ὡς ὁμοιομ. μήτε om. E ἀνομοιομ. μήτε ὡς ὁμοιομ. M 20 ἀνομοιομερῆ E δύναται τὸ ὂν colloc. Fp διαιρεθῆναι εἰς τὰς δ. κατ. MV 21 οὐδὲ scripsi: οὔτε libri

p. 6,6 Ἀλλὰ κείσθω ὥσπερ ἐν ταῖς κατηγορίαις. 24r

Ὑποκείσθω φησὶ νῦν ἀρχὰς εἶναι τῶν πραγμάτων καὶ ὥσπερ γένη δέκα· τὸ γὰρ ἀποδεῖξαι, ὅτι δέκα εἰσὶν ἀρχαὶ μόνον, ἄλλης ἐστὶ πραγματείας τελεωτέρας (ἐν γὰρ ταῖς Κατηγορίαις τοῦτο δείκνυται ὅτι δέκα εἰσί). νῦν δὲ ὑποκείσθω μόνον ὡς ὁμολογούμενον.

p. 6,8 Κἂν δὴ πάντα τις ὄντα καλῇ, ὁμωνύμως, φησί, καλέσει, ἀλλ' οὐ συνωνύμως.

Ὁμώνυμά ἐστι τὰ ὀνόματος μὲν τοῦ αὐτοῦ κοινωνοῦντα, οὐκέτι δὲ καὶ τοῦ πράγματος τοῦ διὰ τοῦ ὀνόματος σημαινομένου τοῦ αὐτοῦ μετέχοντα, οἷον ὁ ἀστρῷος κύων καὶ ὁ χερσαῖος· κοινωνοῦντες γὰρ τῷ ὀνόματι διαφέρουσι τοῖς πράγμασι τοῖς ὑπὸ τῶν ὀνόματων σημαινομένοις. συνώνυμα δέ ἐστιν, ὧν καὶ τὸ ὄνομα κοινὸν καὶ ὁ κατὰ τὸ ὄνομα ὁρισμός, οἷον καὶ ὁ ἄνθρωπος καὶ ὁ ἵππος ζῷον ἑκάτερον· καὶ γὰρ ὄνομα κοινὸν ἔχουσι τὸ τοῦ ζῴου καὶ ὁρισμὸν τὸν αὐτὸν τὸν κατὰ τὸ ζῷον, ὅς ἐστιν οὐσία ἔμψυχος αἰσθητική. φησὶν οὖν ὅτι εἰ καὶ πάντα ὄντα καλοῦμεν, ὁμωνύμως λέγομεν, οὐ συνωνύμως· καθὰ γὰρ εἴρηται, ὁμώνυμά ἐστι τὰ μόνου ὀνόματος κοινωνοῦντα, συνώνυμα δὲ τὰ καὶ τοῦ ὀνόματος καὶ τοῦ ὁρισμοῦ. τὸ οὖν ὂν μόνου ὀνόματος κοινωνίαν παρέχει τοῖς ὑπ' αὐτό (λέγονται γὰρ ὄντα αἱ δέκα κατηγορίαι), οὐκέτι δὲ καὶ κατὰ τὸν τοῦ ὀνόματος ὁρισμὸν κοινωνοῦσιν ἀλλήλοις· ἄλλη γὰρ ἄλλου κατηγορία, καθὸ τὸ εἶναι ἔχει, ὀνόματός τε καὶ τοῦ κατὰ τοὔνομα τετύχηκεν ὁρισμοῦ. ὅθεν ὡς ὁμώνυμος φωνὴ τὸ ὂν εἰς δέκα κατηγορίας διαιρεῖται τὰς γενικωτάτας, εἰς οὐσίαν ποσὸν ποιὸν πρός τι ποῦ πότε ποιεῖν πάσχειν κεῖσθαι ἔχειν.

2 ὑποκείσθω] κείσθω E εἶναι νῦν ἀρχ. colloc. EM 3 γὰρ superscr. D αἱ ἀρχαὶ p μόνων V 4 τελεωτέρων E: τελειοτέρας p post εἰσί add. ἀρχαί eras. F 6 lemma om. D δὴ] δὲ E καλέσει φησί colloc. E 9. 10 τοῦ πράγματος—μετέχοντα D: τοῦ πράγμ. καὶ τοῦ ὀνόματος τοῦ αὐτοῦ σημαινομένου μετ. EM: τοῦ πράγμ. καὶ τοῦ ὀνόματος σημ. τοῦ αὐτοῦ μετ. F: τοῦ πράγμ. καὶ τοῦ διὰ τοῦ ὀνόματος σημ. τοῦ αὐτοῦ μετ. V: τοῦ ὑπὸ τοῦ ὀνόματος πράγμ. σημ. τοῦ αὐτοῦ μετ. p 10 post κύων add. καὶ ὁ θαλάττιος FVp 11 τοῦ ὀνόματος p 12 κατὰ ὄνομα D 13 οἷον ἄνθρ. καὶ ἵππος D: οἷον ὁ ἄνθρ. καὶ ὁ ἵππος p ζῶον ἑκάτερον FV: ζῶον ἑκάτεροι D: ζῶα ἑκάτερα EMp 14 τὸ ζῶον ex. τοῦ ζῴου corr. F 16 λέγομεν V καὶ οὐ M γὰρ om. p 16. 17 τὰ τοῦ ὀνόμ. μόνου F 18 λέγεται Vp 19 αἱ δέκα DFp: καὶ αἱ EMV malim τοῦ κατὰ τὸ ὄνομα ὁρισμοῦ 20 καθὸ D: κατὰ EF: καθ' ἣν M: καθὰ Vp 21 κατ' ὄνομα D: κατ' οὔνομα E ὅθεν DEM: ἔνθεν FVp 22 διαιρεῖται post ὂν transp. FV: post δέκα p τὰς δέκα FVp εἰς (ante οὐσίαν) om. D 23 κεῖσθαι ποιεῖν πάσχειν colloc. V

p. 6,15 Τὰ δ' ἄτομα, ἅπερ ἐστὶ μετὰ τὰ εἰδικώτατα, ἄπειρα. 24r

Ἄπειρά φησιν οὐ τῷ εἶναι ἀλλὰ τῷ πάλιν καὶ πάλιν γίνεσθαι, εἰδοποιοῖς δὲ διαφοραῖς ἀντὶ τοῦ ταῖς οὐσιώδεσι διαφοραῖς, οἷον τὸ ζῷον εἰς λογικὸν καὶ ἄλογον· εἰσὶ γὰρ καὶ μὴ οὐσιώδεις διαφοραί.

p. 6,16 Τὰ δ' ἄπειρά φησιν ἐὰν, μὴ γὰρ ἂν γενέσθαι τούτων ἐπιστήμην.

Τοῦτό φησιν ὁ Πλάτων ἐν τῷ Σοφιστῇ· ἡ γὰρ ἐπιστήμη βούλεται λαμβάνειν τὸ ὁριστόν. τὸ οὖν ἀπερίληπτον οὐδ' ἐπιστητὸν δύναται εἶναι. ἀμέλει, ὡς δέδεικται ἐν τῇ Ἀποδεικτικῇ, τῶν καθ' ἕκαστα οὔθ' ὁρισμός ἐστιν οὔτ' ἐπιστήμη, ἀλλὰ μόνων τῶν καθόλου.

p. 6,16 Κατιόντων μὲν οὖν εἰς τὰ εἰδικώτατα.

Εἶπεν ὅτι τὸ ὂν οὐκ ἔστι γένος τῶν γενικωτάτων, ἅ εἰσι καὶ πεπερασμένα τῇ φύσει καὶ ἡμῖν γνώριμα. βούλεται οὖν ἐπισκέψασθαι καὶ περὶ τῶν εἰδικωτάτων εἰδῶν, εἰ οὕτως ἔχει, ὥσπερ ἐπὶ τῶν γενικωτάτων γενῶν. φησὶν οὖν ὅτι τὰ μὲν γενικώτατα καὶ πεπερασμένον ἔχει ἀριθμὸν καὶ ἡμῖν γνώριμον (δέκα γάρ εἰσι τὰ γενικώτατα γένη). τὰ δὲ εἰδικώτατα εἴδη, οἷον ἄνθρωπος ἵππος βοῦς κύων ἄμπελος ἐλαία, μεθ' ἃ ἡ τῶν ἀτόμων ἐστὶ διαίρεσις, τῇ μὲν αὐτῶν φύσει πεπερασμένα εἰσὶ καὶ αὐτά, ἡμῖν δὲ ἄγνωστα ἄλλων ἄλλοις τόποις γινομένων. ὅτι δὲ πεπερασμένα ἐστὶν ὅσα ποτ' ἂν εἴη, δείξομεν λαβόντες λημμάτιόν τι ἐναργές, ὅτι τοῦ ἀπείρου μεῖζον οὐκ ἔστι πλῆθος. τούτου τοίνυν προληφθέντος ὑποκείσθω τὰ εἴδη τὰ εἰδικώτατα ἄπειρα εἶναι. ἐπεὶ οὖν καθ' ἕκαστον εἶδος πολλά ἐστιν ἄτομα (ἓν γὰρ ὂν τὸ ἀνθρώπειον εἶδος εἰς μυρία ἴσα διαιρεῖται ἄτομα τοὺς

1 ἄτομα] ἄπειρα V ἐστὶ] ἦν V μετὰ τὰ εἰδικ.] κατὰ τὸ εἰδικώτατον E: τὰ μετὰ τὰ εἰδικ. Porph. 2 ἄπειρα οὖν V οὐ τῷ] οὕτω D, (ante φησιν transp.) M 3 δὲ om. FVp ταῖς om. F 4 μὴ] μηδὲ D 5 ἄν ποτε F: ἄν ποτε φησὶ p 7 τοῦτο δὲ V φησὶ πλάπων p ἐν τῷ Σοφιστῇ] cf. p. 219 sq. βούλεται] δύναται p 8 τὸ ὁριστόν DV: τὸν ὁρισμόν EF: καὶ τὸν ὁρισμόν Mp 9 ἐν τῇ Ἀποδεικτικῇ] cf. Anal. pr. A p. 43a25 sq. Metaph. Z 15 p. 1039b28 (τῶν καθ' ἕκαστα οὔθ' ὁρισμὸς οὔτ' ἀπόδειξίς ἐστιν) 11 κατιόντων D: κατιόντας EFMp: κατιὼν V μὲν om. M 13 τῇ ἰδίᾳ φύσει p 14 εἰδικωτάτων] γενικωτάτων M ὥσπερ ἔχοιεν ὡς ἐπὶ V 15 τὰ μὲν γενικώτατον E πεπερασμένα F ante ἀριθμ. add. τὸν Ep 16 δέκα] ἀρχὴ EM ἐστι p 17 ὁ ἄνθρ. V ἵππος om. MV post βοῦς add. λέων V ἄμπελος, ἐλαία] ὄφις V 18 ante ἐστὶ add. εὐθὺς Fp: post ἐστι V αὐτῶν libri εἰσὶ] ἐστὶ Vp 19 post ἄγνωστα add. πολλὰ γὰρ ἐστι καὶ ζώων εἴδη καὶ φυτῶν καὶ μετάλλων ἡμῖν ἄγνωστα D: post γινομένων EVp: om. FM an ⟨ἐν⟩ ἄλλοις? εἰσὶ V 21 πλῆθος. τούτου] πλὴν τοῦτο E: om. M προληφθέντος F: προσληφθέντος DEVp: προσληφθέντα M 23 ὂν om. M ἴσα] ὅσα D: ἴσα EFMV: ἴσως p

κατὰ μέρος ἀνθρώπους, ὁμοίως καὶ τὸ ἵππειον εἶδος ἓν ὂν πλεῖστα ἔχει 24r
τὰ ὑφ' αὑτὸ ἄτομα, καὶ ἐπὶ τῶν | λοιπῶν ἑκάστου ὡσαύτως), παντὶ δῆλόν 24v
ἐστιν. ὡς τοῦ παντὸς τῶν εἰδῶν ἀθροίσματος πολλαπλάσιόν ἐστι καθ' ὑπερβολὴν τὸ τῶν ἀτόμων ἄθροισμα. εἰ δὲ πολλαπλάσιά ἐστι τῶν εἰδῶν τὰ
5 ὑπὸ τὰ εἴδη ἄτομα, ἄπειρος δέ ἐστιν ὁ τῶν εἰδικωτάτων εἰδῶν ἀριθμός, ὁ ἄρα τῶν ἀτόμων ἀριθμὸς μείζων ἐστὶ τοῦ ἀπείρου τῶν εἰδῶν ἀριθμοῦ καὶ πολλαπλάσιος. εἰ οὖν ἀδύνατον τοῦ ἀπείρου πολλαπλάσιον εἶναι ἢ ὅλως μεῖζον, ἀδύνατον ἄρα τὸν τῶν εἰδῶν ἀριθμὸν εἶναι ἄπειρον· αὐτῷ γὰρ τῷ λέγειν μείζονα εἶναι ἀριθμὸν ἀριθμοῦ, ὁρίζομεν καὶ περατοῦμεν τὸν ἐλάτ-
10 τονα· ὁ γὰρ μείζων τινὸς ὑπάρχων ὑπεροχῇ τινι μείζων ἐστίν· ἀφαιρουμένης οὖν τῆς ὑπεροχῆς ὥρισται τὸ λοιπὸν καὶ πεπέρασται. οὕτω μὲν οὖν ἐδείχθη, ὅτι τὰ εἰδικώτατα εἴδη οὐκ ἔστιν ἄπειρα. ὁμοίως δὲ δείξομεν, ὅτι οὐδὲ τὰ ἄτομα τὰ ὑπὸ τὰ εἰδικώτατά ἐστιν ἄπειρα, καίτοι πολλαπλα-
15 σίονα τῶν εἰδῶν ὄντα· εἰ γάρ τις λέγει τὰ ἄτομα ἄπειρα εἶναι, ἤτοι τὰ ὑφ' ἕκαστον εἶδος ἄτομα ἄπειρα λέξει (οἷον φέρε τὰ τοῦ ἀνθρωπείου εἴδους αὐτὰ καθ' αὑτὰ ἄπειρα, ὁμοίως καὶ τὰ τοῦ ἱππείου εἴδους ἄτομα καὶ ταῦτα ἄπειρα, καὶ τὰ ὑφ' ἕκαστον τῶν λοιπῶν εἰδῶν ὁμοίως), ἢ τὰ μὲν ὑφ' ἕκαστον εἶδος ἄτομα πεπερασμένα φησὶν εἶναι, τὸ δὲ ἐκ πάντων ὁμοῦ τῶν ὑπὸ πάντα τὰ εἴδη ἀτόμων ἄθροισμα ἄπειρον εἶναι. εἰ μὲν οὖν
20 τὰ ὑφ' ἕκαστον εἶδος ἄτομα ἄπειρα εἶναι λέγει, συμβήσεται πάλιν τοῦ ἀπείρου μεῖζον εἶναί τι καὶ πολλαπλάσιον· ἐπεὶ γὰρ οἱ κατὰ μέρος ἄνθρωποι ἄπειροι καὶ οἱ κατὰ μέρος ἵπποι ἄπειροι, τὸ ἐξ ἀμφοῖν ἄρα διπλάσιον ἔσται τοῦ ἀπείρου καὶ τὸ ἐκ πάντων πολλαπλάσιον, ὅπερ ἄτοπον. ἀδύνατον ἄρα τὰ ὑφ' ἕκαστον εἶδος ἄτομα ἄπειρα εἶναι. εἰ γοῦν τὰ ὑφ'
25 ἕκαστον εἶδος ἄτομα πεπερασμένα ἐστίν, καὶ τὸ ἐκ πάντων ἄρα συγκεί- 20
μενον πλῆθος πεπερασμένον ἐστί· τὸ γὰρ ἐκ πεπερασμένων συγκείμενον πεπερασμένον ἐστίν. ὥστε πεπερασμένος ἐστὶν ὁ τῶν ἀτόμων ἀριθμός, τῷ δὲ ἀεὶ γίνεσθαι εἰς τὸ πᾶν ἀίδιον ὂν τὴν ἀπειρίαν ἔχει, ὥσπερ καὶ ὁ ἀριθμὸς λέγεται ἄπειρος τῷ ἀεὶ δύνασθαι αὔξεσθαι καὶ μὴ ἐλλείπειν, ὁ μέντοι

2 λοιπῶν] πολλῶν E 2. 3 δῆλόν ἐστιν ὡς Dp: δηλονότι EFM: δῆλόν ἐστιν ὅτι V 3 πολλαπλάσιον — εἰ δὲ (v. 4) om. EM πολλαπλάσιον] πολλῷ πλεῖον p 6 ἐστὶ] ἔσται Vp (fort. recte) 7 πολλαπλασίων (priore loco) V 8 μείζονα p ἄπειρον εἶναι colloc. FVp αὐτὸ γὰρ τὸ DEFp 9 ἀριθμὸν ἀριθμὸν EFM 10 ὑπάρχων om. Vp ὑπεροχῇ om. EFM 11 λοπὸν D οὖν superscr. M 12 ἐδείχθησαν E ὁμοίως — ἄπειρα (v. 13) om. V 13 ἄτομα] ἄτοπα D 14 λέγοι FV ἄτομα] ὀνόματα EFM 15 λέξοι V 16 post ἄπειρα add. καὶ ταῦτα ἄπειρα E 16. 17 ὁμοίως — καὶ ταῦτα ἄπειρα om. M 17 καὶ ταῦτα] scribas καθ' αὑτὰ ἕκαστα M 18 φησὶν] φύσει p τὸ δὲ ἐκ πάντων DVp: τῷ εἰς πάντα EFM 19 πάντα εἴδη V 20 λέγοι FV 21 τι εἶναι colloc. M ἐπεὶ] ἐκεῖ DEM: εἰ FV: om. (οἱ γὰρ colloc.) p 23 καὶ] κατὰ EF post πάντων add. ἄρα V 24 γοῦν DEM: οὖν FVp 25 post πεπερασμένα ἐστίν add. ἀλλὰ δὴ καὶ αὐτὰ τὰ εἰδικώτατα εἴδη πεπερασμένα ἐστὶ Fp: om. DEMV 27 τῷ] τὸ EFM 28 εἰς EFM: εἰ DVp ὂν EFMp: εἴη DV ἀπειρίαν] ἀπορίαν E ὁ om. DEM 29 ἄπειρος λέγεται colloc. E τῷ] τοῦ EM αὐξάνεσθαι FV ἐλλείπειν] ἐπιλείπειν F

ἐνεργείᾳ λαμβανόμενος ἀεὶ πεπέρασται. ὁμοίως δὲ δείκνυται καὶ ἡ ψάμ- 24v
μος πεπερασμένη, ὅθεν καὶ ὁ χρησμὸς 26

οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης·

εἰ γὰρ ἄπειρος ἦν, ἐπειδὴ προστιθέμενος αὐτῇ ὁ τῶν ἀνθρώπων ἀριθμὸς
5 τὸ ἐξ ἀμφοῖν μεῖζον θατέρου ποιεῖ, ἔσται ἄρα τοῦ ἀπείρου τι μεῖζον, ὅπερ
ἀδύνατον. οὐκοῦν τὰ μὲν εἰδικώτατα τῇ μὲν φύσει ὥρισται ἡμῖν δέ ἐστιν
ἄγνωστα, τὰ δὲ ἄτομα τῇ μὲν φύσει οὐχ ὥρισται τῷ πάλιν καὶ πάλιν γί-
νεσθαι, ἡμῖν δὲ τὰ γινόμενα καὶ ἐνεργείᾳ ὄντα καὶ τὰ ἤδη γεγενημένα, 30
εἰ ἀρχὴν ἔσχεν ἡ γένεσις, εἰ καὶ μὴ ἔγνωσται πόσα ἐστίν, ἀλλ' οὖν γνω-
10 σθῆναι ὅσον ἐπὶ τῇ φύσει τῇ ἑαυτῶν ἐδύνατο. ὥσπερ τὰ εἰδικώτατα εἴδη.
ἐπειδήπερ καὶ δέδεικται ὡς ὡρισμένος ἐστὶν ὁ τούτων ἀριθμός.

p. 6,18 Ἀνιόντων δὲ εἰς τὰ γενικώτατα ἀνάγκη συναιρεῖν τὸ πλῆθος εἰς ἕν.

Βούλεται ἐνταῦθα ὁ Πορφύριος εἰπεῖν. τί μὲν συμβαίνει ἀνιοῦσιν ἀπὸ
15 τῶν εἰδικωτάτων εἰς τὰ γενικώτατα, τί δὲ κατιοῦσιν ἀπὸ τῶν γενικωτάτων 35
ἐπὶ τὰ εἰδικώτατα.

p. 6,19 Καὶ ἔτι μᾶλλον τὸ γένος.

Τὸ γὰρ εἶδος περιεκτικόν ἐστι τῶν κατὰ μέρος, τὸ δὲ γένος καὶ τῶν
εἰδῶν· κάτωθεν μὲν γὰρ ἀπὸ τῶν ἀτόμων ἀνιοῦσιν ἐπὶ τὰ γενικώτατα
20 πλήθει μὲν τὰ πράγματα στενοῦται, δυνάμει δὲ | αὔξεται· τὰ γὰρ εἴδη 25r
τῶν μὲν ἀτόμων πλήθει ἐστὶν ἐλάττονα, δυνάμει δὲ ὑπέρκειται καὶ αὔξει.
ὁμοίως δὲ καὶ τῶν εἰδῶν τὰ γένη, μέχρις ἂν εἰς ἓν τὸ γενικώτατον φθά-
σωμεν. καὶ τοῦτο εἰκότως· ἐπειδὴ γὰρ μία ἐστὶν ἡ πάντων αἰτία καὶ
ἀρχή, διὰ τοῦτο τὰ μὲν ταύτῃ πλησιάζοντα στενοῦται πλήθει, αὔξεται δὲ
25 δυνάμει, τὰ δὲ πορρωτέρω αὐτῆς ὄντα τὸ ἔμπαλιν πληθύνεται μὲν ἀριθμῷ, 5
μειοῦται δὲ δυνάμει.

2 ὁ χρησμὸς] cf. Herod. I, 87 3 καὶ ψάμμου DEFV τ' ἀριθμὸν Dp: τὸν ἀριθμὸν EFMV 4 εἰ γὰρ ἄπειρος ἦν DVp: om. EFM προστιθέμενος D 5 θατέρου MVp: θάτερον DEF τι Vp: τὸ DEFM 6 ἐστιν om. F 8 γινόμενα DEMV: γενόμενα Fp 9 εἰ (ante ἀρχὴν)] εἰς E γέννησις E εἰ δὲ καὶ EM 10 τῇ (ante ἑαυτῶν) FMVp: om. DE ἠδύνατο EMVp post ὥσπερ superscr. καὶ D 11 ὡρισμένος] ὁρισμὸς E 12 ἀνιόντων DV: ἀνιόντες E: ἀνιόντας FMp 14 ἐνταῦθα βούλεται colloc. FVp εἰπεῖν ὅτι τί M μὲν Dp: om. EFMV 15 εἰς DEM: ἐπὶ FVp 18 post μέρος add. ἀτόμων Vp 19 post εἰδῶν add. καὶ τῶν ἀτόμων p post γὰρ add. καὶ FV ἀνιοῦσιν ἀπὸ τ. ἀτ. colloc. D 20 στενοῦνται MV αὔξονται V 21 μὲν DF: om. EMVp αὔξει] αὔξεται. tum addit ὁ γὰρ σωκράτης καὶ πλάτων καὶ ἀλκιβιάδης πλῆθος ὄντα ἀναγόμενα πρὸς τὸν ἄνθρωπον στενοῦνται καὶ γίνονται τῷ εἴδει εἷς, ὁ δὲ ἄνθρωπος εἷς ὢν δυνάμει πληθύνεται· ἀπογεννᾷ γὰρ σωκράτην καὶ πλάτωνα καὶ τοὺς κατὰ μέρος ἀνθρώπους V 24 πλησιάζ. ταύτῃ colloc. V πλήθει στενοῦται colloc. F στενοῦνται EFMV 25 τὰ δὲ—δυνάμει (v. 26) om. EM πορρώτερον p μὲν πάλιν p 26 δυνάμει Dp: τῇ δυνάμει FV

p. 6,24 Ἀποδεδομένου δὲ τοῦ γένους καὶ τοῦ εἴδους τί ἐστιν ἑκάτερον αὐτῶν. 25r

Ὑπέσχετο ὁ Πορφύριος διδάξαι περὶ τῶν προκειμένων φωνῶν λογικώτερον, τοῦτ' ἔστι πρεπόντως τῇ λογικῇ πραγματείᾳ. μετὰ τοίνυν τὸ διδάξαι περὶ γένους καὶ εἴδους τί ἐστιν ἑκάτερον βούλεται προσθεῖναι. πῶς χρησίμη ἐστὶν ἡ περὶ αὐτῶν θεωρία ἐν τῇ λογικῇ πραγματείᾳ· ἐπειδὴ γὰρ ἡ λογικὴ πραγματεία καταγίνεται περὶ τὴν ἀπόδειξιν. ἡ δ' ἀπόδειξίς ἐστι συλλογισμός τις, ἐν δὲ τῷ συλλογισμῷ δεόμεθα προτάσεων. ἡ δὲ πρότασις ἐκ δύο ὅρων σύγκειται, ὧν ὁ μέν ἐστιν ὑποκείμενος ὁ δὲ κατηγορούμενος, καὶ ὑποκείμενος μέν ἐστι περὶ οὗ ὁ λόγος, κατηγορούμενος δὲ ὁ περὶ ἐκείνου λεγόμενος, οἷον Σωκράτης περιπατεῖ (ὑπόκειται μὲν γὰρ ὁ Σωκράτης περὶ οὗ ὁ λόγος, κατηγορεῖται δὲ τὸ περιπατεῖν, ὅπερ κατ' ἐκείνου λέγεται· πάλιν ἐὰν εἴπω ὅτι ἡ ψυχὴ αὐτοκίνητος, ὑπόκειται μὲν ἡ ψυχή, κατηγορεῖται δὲ τὸ αὐτοκίνητον, καὶ ἐπὶ πάσης προτάσεως ὡσαύτως)· βούλεται περὶ τῶν γενῶν καὶ εἰδῶν τίνα τίνων κατηγορεῖται εἰπεῖν καὶ τίνα τίσιν ὑπόκειται. καὶ ἵνα γνῶμεν, πῶς συμπλεκόμενα προτάσεις ποιοῦσιν, ἐξ ὧν ὁ συλλογισμὸς γίνεται, περὶ ὃν ἡ λογικὴ καταγίνεται πραγματεία, φησὶν ὅτι τὸ μὲν γένος ἀεὶ τοῦ εἴδους κατηγορεῖται, οἷον τοῦ ἀνθρώπου τὸ ζῷον καὶ τούτου ἡ οὐσία, τὸ δ' εἶδος οὐδέποτε τοῦ γένους κατηγορεῖται· οὐ γὰρ ἀληθὲς εἰπεῖν, ὅτι ἡ οὐσία ζῷόν ἐστιν ἢ ὅτι τὸ ζῷον ἄνθρωπος. δῆλον οὖν ὅτι ἀεὶ τὰ μὲν γένη τῶν εἰδῶν κατηγορεῖται, τὰ δὲ εἴδη τῶν γενῶν οὐδέποτε. καὶ ἁπλῶς εἰπεῖν, δεῖ τὰ κατηγορούμενα ἢ ἐπὶ πλέον εἶναι τῶν ὑποκειμένων ὡς τὸ ζῷον τοῦ ἀνθρώπου. ἢ ἐξισάζειν ὡς τὸ γελαστικὸν τῷ ἀνθρώπῳ. τὰ δ' ἐξισάζοντα καὶ ἀντικατηγορεῖται· ὡς γὰρ λέγομεν, πᾶς ἄνθρωπος γελαστικόν, οὕτως καὶ πᾶν γελαστικὸν ἄνθρωπος.

p. 7,2 Καὶ πάντα τὰ ἐπάνω τῶν ὑποκάτω.

Οἷον ἡ οὐσία τοῦ σώματος καὶ τὸ σῶμα τοῦ ἐμψύχου καὶ τὸ ἔμψυχον τοῦ ζῴου καὶ τὸ ζῷον τοῦ ἀνθρώπου.

1 τοῦ εἴδους καὶ τοῦ γένους colloc. E ἐστιν om. DE 3 περὶ μὲν τῶν M 4. 5 τὸ διδάξαι τοίνυν colloc. p 5 προθεῖναι DE καὶ πῶς p 6 χρήσιμος p 7 ἡ δ' ἀπόδειξις iter. V 8 ἐστὶν post τις transp. p 9 ὧν om. V 11 post περιπατεῖ add. ὅπερ κατ' ἐκείνου λέγεται V (cf. v. 12) 12 περιπατεῖν E: περιπατεῖ FMVp: dubio compendio script. D 14 αὐτοκίνητος M post αὐτοκίνητον add. πάλιν ἐὰν εἴπω ὅτι (ὁ p) ἄνθρωπος ζῶόν ἐστιν, ὁ μὲν ἄνθρωπός ἐστιν ὑποκείμενον, τὸ δὲ ζῶον κατηγορούμενον Vp 14. 15 ὡσαύτως iter. DE 15 διὰ τοῦτο βούλεται M post βούλεται add. καὶ D περὶ γενῶν τε V post εἰδῶν add. διδάξαι p εἰπεῖν om. Fp 16 ὑπόκεινται DE 17 ὄν] ὧν V καταγ. ἡ λογικὴ colloc. V 18 φησὶν οὖν ὅτι FV τοῦ (ante ἀνθρ.) om. DFV 19 καὶ τούτου] τούτου δὲ V 23 ἐπὶ πλειόνων V 24 τῷ ἀνθρώπῳ scripsi: τοῦ ἀνθρώπου libri

p. 7,8 Καθ' ὧν δ' ἂν τὸ εἶδος κατηγορῆται, κατ' ἐκείνων ἐξ 25r
ἀνάγκης καὶ τὸ τοῦ εἴδους γένος κατηγορηθήσεται.

Ἕτερον θεώρημα παραδίδωσι χρήσιμον καὶ αὐτὸ εἰς τὴν λογικὴν πραγ- 30
ματείαν. ἔστι δὲ τοιοῦτον· ἐὰν τὸ εἶδος κατηγορῆταί τινος, κατὰ τοῦ αὐ-
5 τοῦ κατηγορηθήσεται καὶ τὸ τοῦ εἴδους αὐτοῦ γένος, καὶ τοῦτο γίνεται
μέχρι τοῦ γενικωτάτου. οἷον τοῦ Σωκράτους κατηγορεῖται ὁ ἄνθρωπος,
τούτου δὲ κατηγορεῖται τὸ ζῷον· τοῦτο ἄρα καὶ κατὰ τοῦ Σωκράτους κατη-
γορηθήσεται. ὡσαύτως καὶ τὸ ἔμψυχον κατὰ τοῦ ζῴου, οὐκοῦν καὶ κατὰ
τοῦ ἀνθρώπου καὶ κατὰ τοῦ Σωκράτους. πάλιν τὸ σῶμα κατὰ τοῦ ἐμ-
10 ψύχου καὶ ἡ οὐσία κατὰ τοῦ σώματος, καὶ διὰ τοῦτο καὶ ἡ οὐσία καὶ τὸ 35
σῶμα κατὰ τοῦ ἐμψύχου καὶ κατὰ τοῦ ζῴου καὶ κατὰ τοῦ ἀνθρώπου καὶ
κατὰ τοῦ Σωκράτους κατηγορηθήσονται.

p. 7,16 Λέγεται γὰρ τὸ μὲν γενικώτατον κατὰ πάντων τῶν ὑφ'
αὐτὸ γενῶν τε καὶ εἰδῶν καὶ ἀτόμων.

15 Εἰ γὰρ ἀεὶ τὰ ἐπάνω | τῶν ὑποκάτω κατηγορεῖται, δῆλον ὅτι τὸ μὲν 25v
γενικώτατον πάντων τῶν ὑφ' αὐτὸ γενῶν τε καὶ εἰδῶν καὶ ἀτόμων κατη-
γορηθήσεται, τὸ δ' εἶδος τῶν ἀτόμων μόνον.

p. 7,19 Ἄτομον δὲ λέγεται ὁ Σωκράτης καὶ τουτὶ τὸ λευκόν.

Τουτὶ προσθεὶς ἐποίησε μερικὸν τὸ δεικνύμενον· τὸ γὰρ καθόλου
20 ἐστὶ λευκόν. 5

1 δ' ἂν] γὰρ M κατηγορεῖται FM 4. 5 κατ' αὐτοῦ V αὐτοῦ DFVp: αὐτὸ EM 7 κατηγορεῖται om. p τοῦτο] καὶ τὸ ζῶον p καὶ om. p 8 τοῦ om. M 9 τοῦ (ante ἀνθρ. et Σωκρ.) om. p 9. 10 post ἐμψύχου add. οὐκοῦν καὶ κατὰ τοῦ ἀνθρώπου καὶ κατὰ τοῦ ζώου καὶ κατὰ τοῦ σωκράτους p 10 καὶ ἡ οὐσία—ἐμψύχου (v. 11) om. FV καὶ (primum)] πάλιν p 11 post σῶμα add. καὶ p 12 σωκρ.] σώματος M κατηγορηθήσονται D^2E: κατηγορηθήσεται D^1FMVp 13 κατὰ] ἀπὸ M 13. 14. 16 ὑφ' αὐτὸ] ὑπ' αὐτὸ D: ὑπ' αὐτὸ EFMVp 14 γενῶν τε F Porph.: γενῶν DE (cf. v. 16) 15 ὑποκάτω] κάτω D 17 μόνον DF: μέσων E: μόνων MVp 18 Ἄτομον δὲ λέγεται — ἀλλ' ἐν ἄλλοις (p. 91,3) om. V (foliis 19r—20v vacuis). in codice D lemmata et scholia usque ad p. 90,3 perturbata sunt. nam lemmate ἄτομον δὲ λέγεται usque ad γένοιντο ἄν αἱ αὐταί (Porph. p. 7,24) producto codex praebet scholion οὐκ εἶπεν ὧν ἕκαστον — πάντα οὐδενί, tum continuat lemma usque ad εἴρηται (Porph. p. 8,6), et post scholion τουτὶ προσθεὶς — λευκόν suo loco sed in contextu comm. repetit lemma ὧν τὸ ἄθροισμα — γένοιτο additque scholion οὐκ εἶπεν κ. τ. λ. 19. 20 τὸ γὰρ λευκὸν καθόλου ἐστίν p 19 τὸ γὰρ καθόλου DF: τὸ καθόλου γὰρ EM

p. 7,22 Ὧν τὸ ἄθροισμα οὐκ ἂν ἐπ' ἄλλου ποτὲ τὸ αὐτὸ γένοιτο. 25v

Οὐκ εἶπεν 'ὧν ἕκαστον', ἀλλ' ὧν τὸ ἄθροισμα· ἕκαστον γὰρ καὶ ἄλλοις ὑπάρχειν δύναται, ἅμα δὲ πάντα οὐδενί.

p. 7,24 Αἱ μέντοι τοῦ ἀνθρώπου, λέγω δὴ τοῦ κοινοῦ, ἰδιότητες γένοιντ' ἂν αἱ αὐταί.

Αἱ μὲν τοῦ Σωκράτους ἰδιότητες οὐκ ἂν ἐπ' ἄλλου τινὸς γένοιντ' ἂν αἱ αὐταί, αἱ μέντοι τοῦ ἀνθρώπου ὑπάρχουσι καὶ τοῖς κατὰ μέρος ἀνθρώποις, οἷον τὸ ζῷον τὸ λογικὸν τὸ θνητόν, καὶ ἁπλῶς ὃ θέλεις εἰπεῖν τοιοῦτόν ἐστιν. ἰστέον οὖν ὅτι τὸ γένος ἔχει τινὰς ἰδιότητας καὶ τὸ εἶδος καὶ τὸ ἄτομον. ἀλλ' αἱ μὲν τοῦ γένους καὶ τοῦ εἴδους πλείοσιν ὑπάρχειν δύνανται, αἱ δὲ τοῦ ἀτόμου ἀθροιζόμεναι ἐκείνῳ μόνῳ τῷ ἀτόμῳ καὶ οὐδενὶ ἄλλῳ. οἷόν τι λέγω· εἰσὶν ἰδιότητες τοῦ γένους, οἷον τοῦ ζῴου, ἡ οὐσία τὸ ἔμψυχον τὸ αἰσθητικόν· αὗται δὲ πλείοσιν ὑπάρχουσι· καὶ γὰρ ἀνθρώπῳ καὶ ἵππῳ καὶ κυνὶ καὶ τοῖς κατὰ μέρος ζῴοις. ἔλθωμεν ἐπὶ τὸ εἶδος οἷον τὸν ἄνθρωπον· ἰδιότητες αὐτοῦ τὸ ζῷον τὸ λογικὸν τὸ θνητὸν τὸ ἐπιστήμης δεκτικόν· πᾶσι τοῖς ἀνθρώποις ταῦτα πάντα ὑπάρχει. ἔλθωμεν ἐπὶ τὸ ἄτομον οἷον τὸν Σωκράτην· ἰδιότητες αὐτοῦ τὸ φιλόσοφον τὸ φαλακρὸν τὸ προγάστορα εἶναι τὸ Σωφρονίσκου υἱὸν τὸ Ἀθηναῖον καὶ εἴ τι τοιοῦτον. ἕκαστον οὖν τούτων καθ' ἑαυτὸ μὲν δύναται καὶ ἄλλοις ὑπάρχειν (εἰσὶ γὰρ καὶ ἄλλοι φαλακροὶ καὶ σιμοὶ καὶ φιλόσοφοι καὶ Ἀθηναῖοι, εἰ τύχοι δὲ καὶ Σωφρονίσκου υἱοί), τὸ δ' ἐκ πάντων ἄθροισμα, τὸ φαλακρὸν τὸ φιλόσοφον τὸ σιμὸν τὸ προγάστορα εἶναι καὶ ἐν τῷδε γενέσθαι τῷ χρόνῳ, μόνῳ Σωκράτει ὑπάρχει καὶ οὐδενὶ ἄλλῳ.

p. 7,27 Τὸ δὲ εἶδος ὑπὸ τοῦ γένους· ὅλον γάρ τι τὸ γένος.

Τὸ μὲν γὰρ γένος μόνως ὅλον, τὸ δὲ ἄτομον μόνως μέρος, τὸ δ' εἶ-

1 post ἄλλου add. τινὸς DEMp: om. F Porph. 2 μὲν γὰρ p 3 ἅμα] τὰ p πάντα] παντὶ E 4 αἱ μέντοι — ἐπ' ἄλλου τινὸς γένοιντ' ἂν αἱ αὐταί (v. 6. 7) om. D 6 μὲν correxi ex cod. Laur. 85,1: δὲ EFMp τινὸς] ἀνθρώπου F 8 ante τὸ θνητόν add. καὶ DEM: om. Fp 8. 9 ὃ θέλεις εἰπεῖν τοιοῦτόν ἐστιν E^1M: ὃ θέλει εἰπεῖν τοιοῦτόν ἐστιν DE^2F: ὅπερ τοιοῦτον ἐθέλεις εἰπεῖν p, ubi ἐστιν recte omitti videtur 9 ἰστέον οὖν M: ἰστέον δὲ p: ἰστέον DEF 10 τοῦ εἴδους καὶ τοῦ γένους colloc. D 12 ἰδιότητές εἰσι colloc. Fp γένους οἷον τοῦ ζῴου p: ζῴου οἷον τοῦ γένους DEFM 15 τὸ ζῷον — ἰδιότητες αὐτοῦ (v. 17) om. M 15. 16 τὸ νοῦ καὶ ἐπιστήμης p 16 καὶ πᾶσι p πάντα DE: om. Fp 17 ἰδιότητα E 18. 22 εἶναι om. p 21. 22 τὸ φιλόσ. τὸ φαλακρόν colloc. M καὶ φιλόσ. καὶ σ. καὶ προγ. F 24 ὑπὸ τοῦ γένους DEMp: ὑπὸ τὸ γένος F 25 ante τὸ μὲν γὰρ add. καλῶς προσέθηκε τὸ τί· δηλοῖ γὰρ διὰ τούτων ἡμῖν ὅτι ἄνευ λόγου τις σώζεται, οὐ μὴν ταὐτὸν γένος καὶ ὅλον καὶ τὰ λοιπά M (cf. p. 91,21 not.)

δος καὶ ὅλον καὶ μέρος, καὶ ὅλον μὲν ὡς πρὸς τὸ ἄτομον, μέρος δὲ ὡς 25v
πρὸς τὸ γένος.

p. 8,2 Ἀλλὰ μέρος μὲν ἄλλου, ὅλον δὲ οὐκ ἄλλου ἀλλ' ἐν ἄλλοις.

Ἐπειδὴ τὸ ὅλον καὶ τὸ μέρος τῶν πρός τί ἐστι, τῶν δὲ πρός τι τὰ
5 μὲν κατ' ὀρθὴν πτῶσιν λέγομεν, τὰ δὲ κατά τινα τῶν πλαγίων, οἷον ὁ 25
πατὴρ υἱοῦ πατήρ (ἐνταῦθα πρὸς γενικὴν ἡ ἀπόδοσις. κατὰ δὲ δοτικὴν ἡ
ἀπόδοσις, ἐὰν εἴπω ὁ φίλος φίλῳ φίλος, εἰ δὲ λέξω ὁ τύπτων τυπτόμενον
τύπτει, πρὸς αἰτιατικήν)· ἐπεὶ οὖν τοῦθ' οὕτως ἔχει, διὰ τοῦτο εἶπε τὸ
μέρος ἄλλου, τὸ δὲ ὅλον ἐν ἄλλοις· λέγομεν γὰρ τὸ μὲν μέρος τοῦ
10 ὅλου μέρος καὶ ποιοῦμεν τὴν ἀπόδοσιν πρὸς γενικὴν δηλονότι, τὸ δὲ ὅλον 30
οὐκέτι λέγομεν μέρους ὅλον (οὐ γὰρ σύγκειται τὸ ὅλον ἐξ ἑνὸς μέρους ἀλλ'
ἐκ πολλῶν), ἀλλὰ λέγομεν τὸ ὅλον τοῖς μέρεσιν ὅλον, καὶ γίνεται ἡ ἀπό-
δοσις πρὸς δοτικήν· τοῖς γὰρ μέρεσίν ἐστιν ὅλον τὸ ὅλον. καλῶς οὖν εἶπε
τὸ ὅλον οὐκ ἄλλου ἀλλ' ἐν ἄλλοις. ἰστέον δὲ ὅτι δυνατὸν καὶ πρὸς
15 γενικήν, οὐχ ἑνικὴν ἀλλὰ πληθυντικήν, ἀποδοῦναι καὶ εἰπεῖν 'τὸ ὅλον μερῶν
ἐστιν ὅλον', ἀλλ' ὁ Πορφύριος τῇ πολλῇ χρήσει ἀκολουθεῖ πρὸς δοτικὴν
ποιούμενος τὴν ἀπόδοσιν. 35

p. 8,5 Καὶ τίνα καὶ γένη καὶ εἴδη ἐστίν.

Ὅτι τὰ ὑπάλληλα· ταῦτα γὰρ καὶ γένη καὶ εἴδη.

20 p. 8,5 Καὶ ποσαχῶς τὸ γένος καὶ τὸ εἶδος.

Ὅτι τὸ μὲν γένος τριχῶς λέγεται, τὸ δὲ εἶδος διχῶς.

Περὶ διαφορᾶς. 26r

p. 8,8 Διαφορὰ δὲ κοινῶς τε καὶ ἰδίως καὶ ἰδιαίτατα λεγέσθω.

Ὅτι μὲν ἡ διαφορὰ προτέρα ἐστὶ τοῦ εἴδους καὶ δι' ἣν αἰτίαν πρό-
25 τερον περὶ τοῦ εἴδους διελέχθη, ἤδη λέλεκται. νῦν οὖν περὶ τῆς διαφορᾶς 5

1 πρὸς ἄτομον DM 4 τῶν δὲ πρός τι D: τοῦ δὲ πρός τι EFMVp 4. 5 τὰ μὲν ... τὰ δὲ D: τὸ μὲν ... τὸ δὲ EFMVp 5 λέγεται p τῶν πλαγίων D: πλαγίαν EFMVp 7 οἷον ἐὰν V δὲ om. D 9 ἄλλου DFMp: ὅλου EV λέγω V 11 οὐκέτι] οὐ M 12 ἐν τοῖς μέρεσίν V 13 ὅλον τὸ ὅλον Marc. 201: ὅλον DEFMVp οὖν Marc. 201 p: δὲ DEFMV 14 τὸ ὅλον DEM: τὸ δὲ ὅλον FVp 16 ἀκολουθῇ D[1] 18 καὶ (ante γένη) om. M καὶ γένη τὰ αὐτὰ καὶ εἴδη Porph. γένος καὶ εἶδος F 19 τὰ om. p 21 post διχῶς add. ἰστέον ὅτι εἰς τὸ ὅλον γάρ τι καλῶς προσέθηκε τὸ τί. δηλοῖ γὰρ διὰ τούτου ἡμῖν ὅτι ἄνευ λόγου τις σώζεται. οὐ μὴν ταὐτὸν γένος καὶ ὅλον καὶ τὰ λοιπά D (cf. p. 90,25 not.) 23 ἡ διαφορὰ δὲ D 24 ὅτι μὲν om. D 24. 25 πρότερον DFp: προτέρα MV: om. E 25 περὶ] παρὰ V: om. M διηλέχθη DMVp: διειλέχθη EF

ποιεῖται τὸν λόγον καὶ τῷ εἰρημένῳ κανόνι πάλιν χρώμενος ἀπαριθμεῖται 26r
τῆς διαφορᾶς τὰ σημαινόμενα. ἵνα δὲ τοῖς μέλλουσι λέγεσθαι παρακολουθήσωμεν, εἴπωμεν οὕτως· ἡ διαφορὰ ἑτερότης ἐστί τινων πρὸς ἄλληλα. αὕτη οὖν ἡ ἑτερότης ἢ χωριστή ἐστι καὶ κατὰ συμβεβηκός, ἥτις πέφυκε χωρίζεσθαι ἐκείνων ὧν ἐστιν ἑτερότης, ἢ ἀχώριστος. οἷον διαφέρουσιν ἀλλήλων τινὲς τῷ τὸν μὲν ἑστάναι τὸν δὲ καθῆσθαι, καὶ δύναται ὁ καθήμενος στῆναι καὶ ὁ ἱστάμενος καθῆσθαι. καὶ διαφέρουσι κατὰ τοῦτο ἀλλήλων· αὕτη οὖν ἡ διαφορὰ λέγεται χωριστή, ἣν καλεῖ ὁ Πορφύριος κοινῶς. ἐπειδήπερ οὐκ ἀφωρισμένως τῷδέ τινι ὑπάρχει, ἀλλὰ κοινῶς πᾶσι. καὶ αὕτη μέν ἐστι χωριστὴ καὶ κατὰ συμβεβηκὸς ἡ διαφορά. εἰ δ' ἀχώριστος ἡ διαφορὰ ὑπάρχει, ἢ καθ' αὑτὸ ὑπάρχει, τοῦτ' ἔστι συμπληρωτικὴ ἐστι τῆς τοῦ ὑποκειμένου οὐσίας, ἢ κατὰ συμβεβηκός, τοῦτ' ἔστι μηδὲν συντελοῦσα εἰς τὸ εἶναι τοῦ πράγματος. καὶ αὕτη μέν ἐστιν ἀχώριστος καὶ κατὰ συμβεβηκὸς οἷον γρυπότης σιμότης γλαυκότης· διαφέρουσι γὰρ ἀλλήλων τινὲς τῷ τὸν μὲν σιμὸν εἶναι τὸν δὲ γρυπόν. αὗται δὲ κατὰ συμβεβηκὸς μέν εἰσιν ὡς μὴ οὖσαι τῶν οὐσιῶν συμπληρωτικαὶ τῶν ὑποκειμένων (ἠδύνατο γὰρ ὁ Σωκράτης μὴ εἶναι σιμός, καὶ ὅμως εἶναι Σωκράτης), ἀχώριστοι δέ (οὐ γὰρ πεφύκασι χωρίζεσθαι τοῦ ὑποκειμένου), ἃς καλεῖ ὁ Πορφύριος ἰδίως, ἐπειδὴ ἀφωρισμένως τῷδέ τινι ὑπάρχει τὸ σιμόν. ἀχώριστον δέ ἐστι καὶ οὐ κατὰ συμβεβηκὸς ἀλλὰ συμπληρωτικὸν τῆς οὐσίας οἷον τὸ λογικὸν τὸ θνητόν· διαφέρομεν γὰρ τῶν ἀλόγων ζῴων, καθὸ ἡμεῖς μὲν λογικοί, ἐκεῖνα δὲ ἄλογα. ταύτην οὖν τὴν διαφορὰν ἰδιαίτατα ἐκάλεσε. τῆς οὖν διαφορᾶς ἡ μὲν λέγεται κοινῶς ἡ δὲ ἰδίως ἡ δὲ ἰδιαίτατα· κοινῶς μὲν αἱ κατὰ συμβεβηκὸς καὶ χωρισταί, ἰδίως δὲ αἱ κατὰ συμβεβηκὸς καὶ ἀχώριστοι. αἱ δὲ ἀχώριστοι μὲν συμπληρωτικαὶ δὲ τῆς οὐσίας τοῦ ὑποκειμένου καὶ οὖσαι καθ' αὑτὸ ἰδιαίτατα λέγονται. πρώτη

1 πάλιν κανόνι colloc. Vp χρησάμενος V 3 post τινων add. πραγμάτων FVp 4 κατά τι συμβ. p 5 ἐκείνων καὶ ὧν F 6 post ἑστάναι add. τυχόν p 6. 7 καὶ δύναται ὁ καθήμενος στῆναι καὶ ὁ ἱστάμενος καθῆσθαι suppl. Marc. 201 p: om. DEFMV 9 ἐπειδὴ Vp τῷδε] τόδε F 10 κατὰ συμβ. χωριστὴ (καὶ om.) V εἰ] ἡ E¹ 11 corrigas καθ' αὑτὴν (cf. p. 94, 11 Porph. p. 9, 11. 14) 12 τῆς οὐσίας τοῦ ὑποκ. colloc. FV 13 post πράγματος add. πᾶσι Fp 14 ἡ γρυπ. ἡ σιμ. ἡ γλαυ. D 16. 17 τῶν ὑποκειμένων FVp: τοῖς ὑποκειμένοις DEM 18 ἀχώριστον F γὰρ om. V ἃς om. F 19 καλεῖ] καλῶς (?) F¹ ἀφωρισμένος F τῷδε] τόδε F τὸ om. F 21 ἀλόγων FVp: ἄλλων DEM 22 μὲν om. V 23 τῆς οὖν διαφορᾶς DEFM: τῶν οὖν διαφορῶν Vp (cf. p. 95,8) 24 κοινῶς μὲν οὖν F 25 καὶ om. D 25. 26 συμπληρωτικαὶ δὲ τῆς οὐσίας D: συμπληροῦσαι δὲ (καὶ pro δὲ habet F) τὴν οὐσίαν EFMVp 26 corrigas καθ' αὑτὰς (cf. v. 11 not.) post λέγονται add. τριχῶς οὖν ἡ διαφορὰ εὐλόγως. πάντα γὰρ τὰ ὄντα τριττά, καὶ ὁ ποιητὴς 'τριχθὰ δὲ πάντα δέδασται'. καὶ γὰρ πάντα τὰ ὄντα ἢ οὐσία ἐστὶν ἢ συμβεβηκότα. καὶ τὸ συμβεβηκὸς διττόν· ἀχώριστον καὶ χωριστόν. ὧδε οὖν ἐπειδὴ περὶ ἐκεῖνα καταγίνεται πᾶς φιλόσοφος, ἃ συμβάλλεται εἰς τὴν κατὰ φιλοσοφίαν μέθοδον τήν τε διαιρετικὴν καὶ τὴν ὁριστικήν, οὐδέποτε δὲ ὁρισμὸς οὔτε διαίρεσις ἀπὸ συμβεβηκότων λαμβάνεται, ἀλλ' ἐκ τῶν οὐσιωδῶν, εἰ οὖν ἡ ἰδιαίτατα ἐκ τῶν οὐσιωδῶν, εἰκότως περὶ ταύτης D: ὧδε· ἐπειδὴ περὶ ἐκεῖνα κατάγεται πᾶς φιλόσοφος, ἃ συμβάλλεται εἰς τὴν κατὰ φιλοσοφίαν μέ-

μὲν οὖν διαίρεσις τῶν διαφορῶν αὕτη. πάλιν δὲ ἐπιδιαιρῶν αὐτάς φησιν 26v
ὅτι τῶν διαφορῶν αἱ μὲν ἀλλοῖον ποιοῦσι τὸ ὑποκείμενον, αἱ δὲ 31
ἄλλο, ἡ μὲν κοινῶς καὶ ἰδίως λεγομένη διαφορὰ ἀλλοῖον (ἀλλοῖον γὰρ τὸ
καθέζεσθαι καὶ τὸ ἑστάναι καὶ ἀλλοῖον τὸ σιμὸν καὶ τὸ γρυπόν), αἱ δὲ
5 ἰδιαίτατα ἄλλο· ἄλλο γὰρ τὸ λογικὸν καὶ ἄλλο τὸ ἄλογον. τὸ μὲν γὰρ
ἀλλοῖον κατά τι τῶν τοῦ πράγματος ἐναλλαγὴν ποιεῖται, τὸ δὲ ἄλλο πάν-
τως ἕτερον ποιεῖ· τὸ μὲν γὰρ λογικὸν ζῷον ἄλλο παρὰ τὸ ἄλογον, ὁ δὲ
καθεζόμενος τοῦ ἑστῶτος οὐκ ἄλλο, ἀλλοῖον δέ, ὁμοίως καὶ ὁ γρυπὸς τοῦ 35
σιμοῦ. τριχῶς οὖν τῶν διαφορῶν λεγομένων τῶν μὲν κοινῶς τῶν δὲ ἰδίως
10 τῶν δὲ ἰδιαίτατα περὶ τῶν ἰδιαίτατα παρὰ τοῖς φιλοσόφοις ὁ λόγος· αἱ γὰρ
ἰδίως καὶ αἱ κοινῶς εἰς διαίρεσιν τῶν γενῶν οὐ χρησιμεύουσιν· οὐδεὶς 26v
γὰρ λέγει ὅτι τῶν ζῴων τὰ μὲν κάθηται τὰ δὲ ἵσταται (οὐ γὰρ πάντα
περιλαμβάνομεν), οὐδὲ ὅτι τὰ μὲν σιμὰ τὰ δὲ γρυπὰ διὰ τὸ αὐτό. εἰ δὲ
μὴ εἰς τὴν διαίρεσιν χρήσιμοι, οὐδ' εἰς τοὺς ὁρισμούς· μόναι ἄρα αἱ ἰδιαί-
15 τατα χρησιμεύουσι.

p. 8,8 Καὶ ἰδιαίτατα λεγέσθω.

Τὸ λεγέσθω προσθεὶς ἐσήμανε τὸ αὐτὸν τοῦτο τεθεικέναι τὸ ὄνομα· 5
εἰώθασι γὰρ οἱ παλαιοί, ὅταν ὀνόματί τινι τῶν φερομένων κέχρηνται, λέγειν
'λέγεται', ὅταν δὲ αὐτοὶ ὀνόματα θῶσιν, εἰώθασι τὸ 'καλείσθω' λέγειν ἢ
20 τὸ 'λεγέσθω'.

p. 8,10 Διαφέρει γὰρ Σωκράτης Πλάτωνος τῇ ἑτερότητι.

Καθὸ μὲν γὰρ ἄνθρωποι, οὐδὲν διαφέρουσι, καθὸ δὲ ὁ μέν, εἰ τύχοι, κάθηται ὁ δὲ περιπατεῖ, διαφέρουσι.

p. 8,12 Καὶ ἀεί γε ἐν ταῖς τοῦ πῶς ἔχειν ἑτερότησι.

25 Τοῦτ' ἔστιν· αὗται αἱ διαφοραὶ κατὰ συμβεβηκὸς θεωροῦνται. ἀντὶ

θοδον τήν τε διαιρετικὴν καὶ τὴν ὁριστικήν, οὐδέποτε δὲ ὁρισμὸς οὔτε διαίρεσις ἀπὸ συμβεβηκότος συμβεβηκότων M λαμβάνεται, ἀλλ' ἐκ τῶν οὐσιωδῶν. εἰ οὖν ἡ ἰδιαίτατα ἐκ τῶν οὐσιωδῶν, εἰκότως περὶ ταύτης (ταῦτα M) EMp: om. FV 1 τῶν διαφορῶν] τῆς διαφορᾶς E 4 τὸ (ante ἑστάναι) om. V 5 τὸ (ante λογ. et ἄλογον) om. FV 6 τῶν τοῦ πράγματος ἐναλλαγὴν D: τῶν πραγμάτων τὴν ἐναλλ. E: τῶν τοῦ πράγματος τὴν ἐναλλ. FMp: oblitt. V 6. 7 πάντῃ p 10 περὶ τῶν ἰδιαιτάτων D 11 αἱ om. p 12 ὅτι om. V κάθηνται et ἵστανται V 13 περιλαμβάνει V 17 τὸ ὄνομα τοῦτο τεθεικ. colloc. p 18 κέχρηνται] conicias χρῶνται, sed cf. p. 37,10 19 λέγεται] λεγέτω M 19. 20 τὸ (utrobique) om. Vp: ante λεγέσθω om. F 21 post ἑτερότητι add. ἤτοι τῷ ἑτεροίῳ DEM: om. FVp 22 μὲν (prius) om. p γὰρ om. V post διαφέρουσι add. τῇ ἑτερότητι p τύχοι D^2FM: τύχῃ D^1EVp 23 διαφέρουσι MVp: διαφέρει DEF 24 ἀεί γε M: ἀεὶ δὲ DE: ἀεὶ FVp ἑτερότησι in lit. D 25 αὗται αἱ] αἱ αὐταὶ EM: αὐταὶ αἱ F

δὲ τοῦ εἰπεῖν 'κατὰ συμβεβηκὸς' εἶπεν ἐν ταῖς τοῦ πῶς ἔχειν ἑτερό- 26v
τησιν, ἐπειδήπερ τὸ συμβεβηκὸς ἐν τῷ πῶς ἔχειν κατηγορεῖται. 11

p. 8,16 Ὥσπερ ὁ ἄνθρωπος τοῦ ἵππου εἰδοποιῷ διαφορᾷ διενήνοχε τῇ τοῦ λογικοῦ ποιότητι.

Τοῦτ' ἔστι συμπληρωτικῇ τοῦ εἴδους· τὸ γὰρ ζῷον προσλαμβάνον μὲν τὸ λογικὸν καὶ τὸ θνητὸν ποιεῖ ἄνθρωπον, τὸ δὲ θνητὸν καὶ ἄλογον ποιεῖ ἵππον καὶ κύνα καὶ τἆλλα ζῷα. αὗται οὖν αἱ διαφοραὶ συντιθέμεναι τοῖς γένεσι ποιοῦσι τὰ εἴδη, καὶ διὰ τοῦτο εἰδοποιοὶ λέγονται. 15

p. 8,19 Τῶν γὰρ διαφορῶν αἱ μὲν ἄλλο ποιοῦσιν, αἱ δὲ ἀλλοῖον.

Ἄλλην διαίρεσιν ἐκτίθεται τῶν διαφορῶν· αἱ μὲν γάρ, φησί, ποιοῦσιν ἄλλο αἱ δὲ ἀλλοῖον, καὶ αἱ μὲν ποιοῦσαι ἄλλο καθ' αὑτὰς αἱ δὲ ἀλλοῖον κατὰ συμβεβηκός εἰσι καὶ χωρισταί. χωριστὰς δὲ λέγουσι τὴν κοινῶς καὶ τὴν ἰδίως· καὶ αὕτη γὰρ χωριστὴ ἐπινοίᾳ· δύναμαι γὰρ τὸν Σωκράτην καὶ φαλακρὸν καὶ κομήτην ἐπινοῆσαι. τὴν δὲ ἰδιαίτατα οὐκέτι χωρίσαι αὐτοῦ οὐδὲ κατ' ἐπίνοιαν δύναμαι· οὐδὲ γὰρ ἐπινοῆσαι τὸν ἄνθρωπον ἐκτὸς τοῦ λογικοῦ δυνατόν, ἐπειδὴ οὐκέτι ἔσται ἄνθρωπος· πάντες γὰρ ἄνθρωποι λογικοὶ καὶ πάντες θνητοί. ὥστε τὸν μὲν σιμὸν δύναμαι γρυπὸν νοῆσαι τοῦ αὐτοῦ ἀνθρώπου μένοντος, τὸν δὲ ἄνθρωπον οὐκέτι ἐκτὸς τοῦ λογικοῦ ἢ τοῦ θνητοῦ· οὐκέτι γὰρ ἄνθρωπος. ὥστε οὖν αἱ ἰδίως καὶ κοινῶς λεγόμεναι διαφοραὶ χωρισταί εἰσιν· ὅταν γὰρ ὁ ἱστάμενος καθίσῃ, οὐκ ἐγένετο ἄλλος, ἀλλὰ μόνον ἀλλοῖος, ὡς δηλοῖ τοῦτο καὶ ὁ ποιητὴς περὶ τοῦ Ὀδυσσέως κατὰ τὰ περὶ αὐτὸν συμβεβηκότα μεταβεβλημένου ὑπὸ τῆς Ἀθηνᾶς λέγων

ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἠὲ πάροιθεν·

3 ὥσπερ ἄνθρ. ἵππου Porph. 5 συμπληρωτικῇ] συμπληρωτικοῦ DE: συμπληρωτικὴ F: συμπληρωτικὸν M: συμπληρωτικὰς V: τῇ συμπληρωτικῇ p μὲν om. M 6 τὸ θνητὸν καὶ λογικὸν Fp δὲ om. V 7 καὶ (ante κύνα) om. p τἆλλα τὰ ἄλλογα ζῷα p 9 αἱ μὲν ἀλλοῖον π. αἱ δὲ ἄλλο Porph. (cf. v. 10. 11) 10. 11 ἄλλην — ἀλλοῖον (prius) om. V 10 ἄλλη διαίρεσις D 11 αἱ μὲν ποιοῦσαι — ἀλλοῖον om. F καθ' αὑτὰς V: καθ' αὑτό DEp: καθ' αὑτό εἰσιν M 12 αἱ κατὰ συμβ. V post συμβ. add. καὶ κατὰ συμβεβηκός p καὶ (ante χωρισταί) om. V χωριστὰς] χωριστὴν Vp λέγουσι] λέγω FVp 13 καὶ (ante αὕτη) om. V αὕτη] αὗται corr. E² χωριστή ἐστιν p τῇ ἐπινοίᾳ FV 13. 14 καὶ φαλ. κ. κομ. ἐπινοῆσαι] ἄγρυπον νοῆσαι μένοντα σωκράτην ἰγνογάστορα δὲ καὶ κομήτην p 14 κομήτην DE αὐτοῦ] an τοῦ ὑποκειμένου? 15 οὐδὲ γὰρ DEM: οὐ γὰρ FVp τοῦ om. E 16 ἐπειδὴ] ἐπεὶ FVp 17 ἐπινοῆσαι E 18 οὐκέτι post θνητοῦ (19) transp. V 18. 19 ἢ τοῦ θνητοῦ EFVp: ἢ θνητοῦ D: ἢ καὶ θνητοῦ M 19 οὐκέτι] οὐδὲ V 21 ἄλλος Dp: superscr. E: ἄλλο FMV ἀλλοῖος DEp: ἀλλοῖον FV: ἀλλοίως M καὶ om. M ὁ ποιητής] Hom. π 181 22 κατὰ FVp: καὶ DEM 23 λέγων om. M 24 ξεῖν' ἐφάνης p νέον φάνης colloc. EM

οὐ γὰρ εἶπεν 'ἄλλος' ἀλλὰ 'ἀλλοῖος'. ἀλλὰ μὴν εἰ σιμὸς γρυπὸς ἐπι- 26v
νοηθείη, οὐ παρὰ τοῦτο ἄλλος ἐγένετο, ἀλλ' ἀλλοῖος· ὁ αὐτὸς γὰρ δύναται
εἶναι. αἱ δὲ ἄλλο ποιοῦσαι εἰδοποιοί· τὸ γὰρ λογικὸν οὐ ποιεῖ ἀλλοῖον
τὸν ἄνθρωπον παρὰ τὸν ἵππον, ἀλλὰ ἄλλον· ἄλλα γὰρ λέγομεν τὰ τῇ
5 οὐσίᾳ διαφέροντα, ὡς εἰρήκαμεν νῦν, οἷον ἄνθρωπον ἵππον.

p. 9,2 Κατὰ μὲν οὖν τὰς ἄλλο ποιούσας διαφορὰς αἵ τε διαιρέσεις γίνονται τῶν γενῶν εἰς τὰ εἴδη.

Λέγομεν γὰρ τοῦ ζῴου τὸ μὲν λογικὸν τὸ δὲ ἄλογον καὶ τὸ μὲν θνητὸν τὸ δὲ ἀθάνατον. καὶ πάλιν τοὺς ὁρισμοὺς διὰ τούτων ἀποδίδομεν· λέ-
10 γομεν γὰρ τί ἐστιν ἄνθρωπος, ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν.

p. 9,7 Τῶν διαφορῶν τὰς μὲν εἶναι χωριστὰς τὰς δὲ ἀχωρίστους.

Ἐντεῦθεν πάλιν ἄρχεται τελειοτέρας τῆς διαιρέσεως, ὥσπερ ἀπ' ἀρχῆς τινος πρὸς τὸ αὐτὰς χωρίσαι ἀπ' ἀλλήλων. τῶν οὖν διαφορῶν αἱ 27r
15 μέν εἰσι χωρισταὶ αἱ δὲ ἀχώριστοι, καὶ ταύτῃ διακρίνονται αἱ κοινῶς τῶν ἰδίως καὶ ἰδιαίτατα. πάλιν τῶν διαφορῶν αἱ μὲν ποιοῦσιν ἄλλο αἱ δὲ ἀλλοῖον, καὶ ταύτῃ διακρίνονται αἱ ἰδιαίτατα τῶν ἰδίως καὶ κοινῶς. ἐκ τούτων οὖν τῶν ἀντιθέσεων, ἐξ ὧν διακρίνονται αἱ διαφορὰ ἀλλήλων, γί-
20 νονται συζυγίαι ἕξ, ὧν αἱ δύο ὁμολογουμένως μέν εἰσιν ἀσύστατοι (οὐ γὰρ συνίσταται τὸ χωριστὸν καὶ τὸ ἀχώριστον ἢ τὸ ἀλλοῖον καὶ ἄλλο), τῶν δὲ τεσσάρων συζυγιῶν τῶν λοιπῶν μία ἐστὶν ἀσύστατος, ἡ χωριστὴ καὶ ἄλλο ποιοῦσα, αἱ δὲ λοιπαὶ τρεῖς συνίστανται· αἱ μὲν γὰρ χωρισταὶ καὶ ἀλλοῖον ποιοῦσαί εἰσιν αἱ κοινῶς, αἱ δὲ ἀχώριστοι καὶ ἄλλο ποιοῦσαι αἱ ἰδιαίτατα, αἱ δ' ἀχώριστοι καὶ ἀλλοῖον αἱ κατὰ συμβεβηκός εἰσι καὶ ἰδίως

1 ἀλλ' οὐδὲ μὴν p ὁ σιμὸς p ἢ γρυπὸς V γριπός D 1. 2 ἐπινοηθείη E: ἐπινοηθῇ DMVp: oblitt. F ἄλλο M¹ 3 post εἶναι add. οὐ μέντοι σιμός FVp δὲ] μὲν οὖν V ποιοῦσιν (sic) αἱ εἰδοποιοὶ κέκληνται F ποιοῦσαι εἰσὶν p 4 παρὰ] περὶ D ἄλλον Fp: ἄνθρωπον DE: ἄλλο MV 5 ἄνθρ. καὶ ἵππον FVp 6 οὖν om. F 9. 10 λέγ. γὰρ τί ἐστιν ἄνθρ.] ἐν γὰρ τῷ λέγειν τί ἐ. ἄ. φαμεν Marc. 201: λέγ. γὰρ ἄνθρωπός ἐστιν p; an λέγ. γὰρ ⟨ἐρωτηθέντες⟩ τί ἐ. ἄ.? 10. 11 νοῦ κ. ἐ. δεκτικὸν om. FV 12 τῶν γὰρ διαφορῶν DE χωριστὰς εἶναι Porph. 13 τελειότερον Ep 14 τῆς οὖν διαφορᾶς E 16 ἰδίων DF¹ 17 ταύτῃ] ταύταις DEF (cf. v. 15) ἰδίως καὶ κοινῶς FMVp: ἰδίως κοινῶν DE 18 ἀλλήλων αἱ διαφ. colloc. V 19 ἕξ, ὧν] ἐξ ὧν p ὧν om. M μὲν ante ὁμολ. transp. M: om. Vp 20 τὸ (ante ἀχώρ.) om. Mp 20. 21 τῶν δὲ τεσσάρων — ἄλλο (v. 22) in mrg. suppl. D τῶν δὲ λοιπῶν τεσσ. συξ. V 21 τῶν λοιπῶν om. D ἡ μία p ἀσύστατός ἐστιν colloc. FVp χωριστὴ] ἀρχὴ E: χωριστὸν M 22 ποιοῦσα p: om. codd. χωριστὸν DEM 23 εἰσιν — ποιοῦσαι om. E ἀχώριστον DM ποιοῦσαι εἰσιν V 24 ἀχώριστον DEM 24. p. 96,1 αἱ κατὰ συμβ. καὶ κοινῶς εἰσιν ὥσπερ τὸ καθέζεσθαι, ἰδίως δὲ ὡς ἡ γρυπότης, ἰδιαίτατα δὲ ὥσπερ τὸ λογικόν p

ὥσπερ ἡ γρυπότης. δόξειε δ' ἂν καὶ ἕτερόν τι διάφορον εἶναι, τὸ τῶν 27r
χωριστῶν καὶ ἄλλο ποιουσῶν· κατὰ ἀλήθειαν δὲ καὶ αὕτη ἡ συζυγία ἀσύ- 11
στατός ἐστι· τὸ μὲν γὰρ λογικὸν καθ' αὑτὸ ὑπάρχει τῷ ἀνθρώπῳ (καθ'
αὑτὸ γὰρ ὁ ἄνθρωπος λογικὸς ὑπάρχει, διὸ καὶ ἄνθρωποι πάντες λογικοί),
5 τὸ δὲ γρυπὸν ἢ μέλαν ἢ ἑστάναι ἤ τι τῶν παραπλησίων οὐ καθ' αὑτό·
οὐ γὰρ καθὸ ἄνθρωπος. γρυπός ἐστιν ἢ μέλας ἤ τι τῶν λοιπῶν, ἐπεὶ ἔδει
πάντας ἀνθρώπους μέλανας ἢ γρυποὺς εἶναι. ὥστε κἂν μὴ ᾖ τις γρυπὸς 15
ἢ μέλας, οὐδὲν ἧττον ἄνθρωπός ἐστιν. οὐδεμία ἄρα τῶν τοιούτων δια-
φορῶν ποιεῖ ἄλλο τι πρᾶγμα· ἀσύστατος ἄρα.

10 p. 9,14 Ἐν τῷ τῆς οὐσίας λαμβάνονται λόγῳ.

Ἀντὶ τοῦ ἐν τῷ λόγῳ τῷ δηλοῦντι τὴν φύσιν τοῦ πράγματος, τοῦτ'
ἔστι τῷ ὁρισμῷ· οἱ γὰρ ὁρισμοὶ ἐκ γένους καὶ τῶν συστατικῶν εἰσι δια- 20
φορῶν, τοῦτ' ἔστι τῶν εἰδοποιῶν, αἵτινες οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ
τὸ ἧττον· οὐ γὰρ λέγεταί τις μᾶλλον λογικὸς οὐδὲ μᾶλλον θνητὸς καὶ
15 ἧττον λογικὸς ἢ ἧττον θνητός· καὶ γὰρ καὶ οἱ μικροὶ παῖδες ὁμοίως εἰσὶ
λογικοί, ἐμποδίζονται δὲ ὑπὸ τοῦ ὀργάνου πρὸς τὰς λογικὰς ἐνεργείας. καὶ
ἁπλῶς δεῖ εἰδέναι. ὅτι ἐκεῖνα ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον, ὅσα
περὶ τὰ αὐτὰ ὑποκείμενα συνίστανται ἐναντία ὄντα. ἅτινα καὶ μίγνυνται 25
ἀλλήλοις· οἷον λευκὸν λευκοῦ μᾶλλον γίνεται λευκὸν καὶ ἧττον, ἐπειδὴ τὸ
20 αὐτὸ ὑποκείμενον ποτὲ μὲν λευκὸν γίνεται ποτὲ δὲ μέλαν καὶ μίγνυται
ταῦτα ἀλλήλοις, τὸ λευκὸν λέγω τῷ μέλανι, καὶ ποῦ μὲν καθαρώτερα ποῦ
δὲ ἐπιμεμιγμένα συμβαίνει γίνεσθαι. ἐπὶ δὲ τῶν οὐσιῶν οὐκ ἔστι τὸ μᾶλ-
λον καὶ τὸ ἧττον, ἐπειδὴ οὐδὲ ἐναντίον ἐστὶ τῇ οὐσίᾳ, οὐδὲ τὸ λογικὸν 30

1 δείξειε F καὶ om. E τι καὶ ἕτερον colloc. V διάφορον εἶναι DFp: διαφορῶν εἶναι E: εἶδος εἶναι διαφορῶν M: διαφορά εἶναι V 2 ἄλλο τι V αὕτη] ἄλλη M 3 ὑπάρχει — καθ' αὑτὸ γὰρ om. V 3. 4 καθ' αὑτὸ (post ἀνθρώπῳ) — ὑπάρχει] καθ' ὅ γάρ ἐστιν ἄνθρωπος, ὑπάρχει λογικός p 4 λογικὸν EM πάντες ἄνθρ. Fp: πάντες οἱ ἄνθρ. V 6 ἐπειδὴ p 8 ἄνθρ. οὐδὲν ἧττον colloc. p 9 ἀσύστατος ἄρα M: ἀσύστατον τὸ δὲ χωριστὸν καὶ ἀλλοῖον ἀχώριστον D: ἀσύστατον καὶ ἄλλο EF: ἀλλὰ ἀλλοῖον. τὸ δε λογικὸν καθ' αὑτὸ προσὸν τῷ ἀνθρώπῳ ἄλλο ποιεῖ ὅπερ ἐστὶν ἀσύστατον τοῦ ἀλλοῖον p: om. V (fort. recte) 10 λόγῳ λαμβ. colloc. FMp 12 τῶν om. D 12. 13 διαφ. εἰσὶ colloc. D 13. 14 τὸ μᾶλλον καὶ ἧττον M 14. 15 μᾶλλον λογ. οὔτε (sic) μᾶλλον θνητὸς καὶ ἧττον λογ. ἢ ἧττον θνητός D: μᾶλλον θνητὸς οὔτε μᾶλλον λογ. καὶ ἧττον λογ. ἢ ἧττον θνητός EM: μᾶλλον θνητὸς οὔτε μᾶλλον λογ. καὶ ἧττον λογ. FV: μᾶλλον θνητὸς ἢ ἧττον θνητὸς οὔτε μᾶλλον λογ. καὶ ἧττον λογ. p 15 post θνητός add. ἐπεὶ τὸ μὲν τῆς ἐνεργείας ἐστί, τὸ δὲ τῆς οὐσίας ἤγουν (ἤ M) τῆς ὑπάρξεως DM: om. EFVp καὶ (post γάρ) om. FVp 16 ἐμποδίζονται δὲ DEFMV: κἂν ἐμποδίζωνται p τῶν ὀργάνων V 17 δεῖ] χρὴ V ἐκεῖναι F ὅσαι F 18 τὸ αὐτὸ ὑποκείμενον p συνίσταται p μίγνυται FV 19 γίνεται] λέγεται Fp λευκὸν (post γίνεται) om. V post ἧττον add. καὶ μέλαν μέλανος μᾶλλον καὶ ἧττον p 20 μίγνυνται M 21 ποῦ — ποῦ] πῇ — πῇ M καθαρώτερα MVp: καθαρώτερον DEF 22 ἐπιμιγνύμενα D οὐκ ἔστι] οὐκέτι p 23 καὶ ἧττον F post ἧττον add. φιλεῖ γίνεσθαι p ἐναντίον ἐστὶ] ἐναντία ἐστὶ M: ἐναντίον ἐστί τι p

καὶ τὸ ἄλογον περὶ τὸ αὐτὸ ὑποκείμενον συνίσταται. εἰ δέ τις εἴποι 'πῶς 27r
οὖν ὁ Ἀριστοτέλης ἐν Κατηγορίαις εἶπεν "οὐσία δέ ἐστιν ἡ κυριώτατά τε
καὶ πρώτως καὶ μάλιστα λεγομένη"; ἰδοὺ γὰρ "μάλιστα" εἶπεν ὡς ἂν τὸ
μᾶλλον καὶ τὸ ἧττον ἐπιδεχομένης', φαμὲν ὡς πρῶτον μὲν ὡς πρὸς τὴν
5 ἡμετέραν γνῶσιν ἐκεῖνο λέγεται· πρώτην γὰρ εἶπε καὶ μάλιστα τὴν ἄτομον
διὰ τὸ συνεγνῶσθαι μᾶλλον ἡμῖν καὶ πρώτην κατειλῆφθαι· ἐκ ταύτης γὰρ 35
χρόνῳ καὶ ἐπιστήμῃ προκόψαντες πρόιμεν καὶ ἐπὶ τὴν δευτέραν, τὴν κατὰ
τὰ γένη καὶ εἴδη. ἔπειτα εἰ καὶ συγχωρήσειέ τις ἐν αὐταῖς τὸ μᾶλλον
καὶ τὸ ἧττον εἶναι, οὐκ ἐν ταῖς κατὰ πλάτος ἔσται, ἀλλ' ἐν ταῖς κατὰ
10 βάθος· οὐ γὰρ ἄνθρωπος ἀνθρώπου μᾶλλον ἄνθρωπος ἢ μᾶλλον λογικὸς 27v
οὐδ' ὁ ἵππος τοῦ βοὸς μᾶλλον ζῷον ἢ τούτων ὁ ἄνθρωπος, ἀλλ' ἐν ταῖς
κατὰ βάθος, ὡς εἶπον, δυνατόν πως θεωρῆσαι τοῦτο· αἱ γὰρ ἐπάνω τῶν
ὑποκάτω τρανέστεραι, ὅσῳ καὶ ἀπολαύουσι τῶν κρειττόνων, οἷον μᾶλλον τὸ
λογικὸν ἐν νῷ ἧττον δὲ ἐν τῇ ψυχῇ, καὶ μᾶλλον ἐν ἀγγέλοις, ἧττον δὲ
15 ἐν οὐρανίοις σώμασιν, εἴπερ καὶ αὐτὰ ἔμψυχά εἰσι καὶ λογικά, καὶ εἰ τοῦτο,
μᾶλλον ἐν τούτοις ἢ ἐν ἡμῖν. καὶ ἄλλως· ἡ οὐσία μᾶλλον ἐν τῷ ζῴῳ ἢ 5
ἐν τῷ ἀνθρώπῳ, καὶ μᾶλλον ἐν τούτῳ ἢ ἐν τῷ Σωκράτει· εἰ γὰρ μὴ ἀμέ-
σως ἡ οὐσία τῷ Σωκράτει, ἀλλὰ διὰ μέσου τοῦ ζῴου, κἀκ τούτου πάλιν
διὰ μέσου τοῦ ἀνθρώπου ἐπιφοιτᾷ, πρόδηλον ὅτι τὰ πρώτως καὶ ἀμέσως
20 τινὸς μετέχοντα τῶν δευτέρων καὶ διὰ μέσου μετεχόντων μᾶλλον μετέχει,
καὶ καλῶς εἴρηται, ὡς αἱ μὲν κατὰ πλάτος οὐκ ἐπιδέχονται τὸ μᾶλλον καὶ 10
τὸ ἧττον, αἱ δὲ κατὰ βάθος ἐπιδέχονται· εἰ γὰρ αἱ κατὰ πλάτος ἐπεδέ-
χοντο τὸ μᾶλλον καὶ τὸ ἧττον, οὐκ ἂν οὐδὲ ἡ αὐτὴ ἀπόστασις ἦν αὐτῶν
ἀπὸ τοῦ γένους, τοῦ τε λογικοῦ φημι καὶ τοῦ ἀλόγου καὶ τοῦ θνητοῦ καὶ
25 τοῦ ἀθανάτου.

---

1 περὶ] ἐπὶ p συνίσταται MVp post συνίστανται add. οὐ λέγεται γὰρ μᾶλλον καὶ ἧττον· οὐδὲ γὰρ λογικὸς ἄνθρωπος λογικοῦ ἀνθρώπου μᾶλλον ἐλλόγιμός ἐστι D εἴποι D¹FMp: εἴπῃ D²EV 2 εἶπεν ἐν ταῖς κατηγ. V: ἐν ταῖς κατηγ. ἔφη p (cf. c. 5 p. 2a11) δὲ om. F κυριώτατά τε p: κυριωτάτη DE: κυριώτατα τά τε F: κυριώτατα MV 3 τὸ μάλιστα (alterum) p ἂν om. M 4 δείξῃ ἐπιδεχομένην p καί φαμεν D ὡς (post μὲν) om. EMp 5 ἐκεῖνο λέγεται DEM: ταῦτα ἐκείνω λέγεται FV: αὐτῷ ταῦτα ἐκεῖνα λέλεκται p μὲν γὰρ F 6 γὰρ ταύτης colloc. FV 7 προκύψαντες Vp προίεμεν Mp καὶ (ante ἐπὶ) om. V 8 τὰ γένη καὶ τὰ εἴδη FV: τὰ εἴδη καὶ τὰ γένη p 9 εἶναι καὶ τὸ ἧττον colloc. FVp κατὰ (ante πλάτος) om. E τὸ πλάτος DEM 10 τὸ βάθος M 11 ὁ (ante ἵππος) om. V τοῦ βοὸς iter. E 13 ὅσων F: ὅσον V 14 τῇ om. Mp (fort. recte) 15 εἴπερ] ὥσπερ F¹ εἰσι] εἴη p εἰ τοῦτο DV: εἴτε τὸ EFMp 16 μᾶλλον ἦν V τῷ om. p 17 τῷ om. FVp τούτῳ] τούτοις p ἢ ἐν τῷ σωκράτει D: ἢ ἐν τῷ σώματι EM: ἢ ἐν σωκράτει, ὁμοίως τὸ ζῷον μᾶλλον ἐν ἀνθρώπῳ ἢ ἐν σωκράτει (σώματι V) FV: ὁμοίως τὸ ζῷον μᾶλλον ἐν ἀνθρώπῳ ἢ ἐν σωκράτει p 17. 18 εἰ γὰρ — τῷ σωκράτει Dp: om. EFMV ἀμέσως p: ἄλλως D 18 πάλιν διὰ μ. τ. ἀνθρ. om. M: διὰ μ. τ. ἀνθρ. om. EFV 19 πρόδηλον οὖν p ὅτι] ὡς FVp πρώτης M 20 μετέχ. τινὸς colloc. V 21 καὶ καλῶς] καλῶς ἄρα p αἱ μὲν DVp: εἰ μὲν E: εἰ αἱ μὲν F: εἰ μὴ M πλάτος in lit. D 21. 22 καί ἧττον V 22. 23 αἱ δὲ — ἧττον om. EFM 22 γὰρ] οὖν V αἱ (post γὰρ) om. V 22. 23 ἐπεδέχοντο scripsi: ἐπιδέχονται Dp: om. V 23 ἡ αὐτὴ] αὕτη ἡ D 24 τε om. p φησι p καὶ τοῦ θνητοῦ] τοῦ τε θνητοῦ p

p. 9,17 Αἱ δὲ κατὰ συμβεβηκός, κἂν ἀχώριστοι ὦσιν, ἐπίτασιν 27v
καὶ ἄνεσιν λαμβάνουσιν.

Ἀντὶ τοῦ 'ἐπιδέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον'· ταῦτα δὲ εἴληπται τὰ ὀνόματα ἀπὸ μεταφορᾶς τῶν χορδῶν· ἐκεῖ μὲν γὰρ ἡ μὲν ἐπιτεινομένη 15 σφοδρὸν ἀποτελεῖ ψόφον ἡ δ' ἀνειμένη ἐλάττονα. οὕτως οὖν οἱ φιλόσοφοι ἐπίτασιν μὲν λέγουσι τὴν σφοδρὰν ἀντίληψιν τοῦ πράγματος, ἄνεσιν δὲ τὴν ἐλάττονα.

p. 9,20 Αὗται μὲν γάρ εἰσιν αἱ τὸν ἑκάστου λόγον συμπληροῦσαι.

Αἱ διαφοραὶ αἱ τῆς οὐσίας συμπληρωτικαί. αὗται δὲ καὶ τῶν ὁρισμῶν εἰσι συμπληρωτικαί· οἱ δὲ ὁρισμοὶ τοῦ αὐτοῦ οἱ αὐτοί εἰσιν ἀεί· οὐ γὰρ ποτὲ μὲν ζῷον λογικὸν ὁ ἄνθρωπος ποτὲ δὲ οὔ, ἀλλ' ἀεὶ ὡσαύτως οὔτε 20 ἐπίτασιν οὔτε ἄνεσιν ἐπιδεχόμενος.

p. 9,22 Ἢ κεχρῶσθαί πως.

Τοῦτ' ἔστι μέλαν ἢ λευκὸν εἶναι· ἐπιτείνεται γὰρ καὶ ἀνίεται· ἔστι γὰρ ἄλλο ἄλλου λευκότερον καὶ μελανώτερον.

p. 9,24 Τριῶν οὖν εἰδῶν τῆς διαφορᾶς θεωρουμένων καὶ τῶν μὲν οὐσῶν χωριστῶν τῶν δὲ ἀχωρίστων, καὶ πάλιν τῶν ἀχωρίστων τῶν μὲν οὐσῶν καθ' αὑτὸ τῶν δὲ κατὰ συμβεβηκός.

Ὑπέσχετο ὁ Πορφύριος περὶ τῶν προκειμένων διδάσκειν λογικώτερον· βούλεται τοίνυν ἐκ τῶν διαφορῶν κἀνταῦθα διδάξαι τινὰ συμβαλλόμενα πρὸς τὴν ὁριστικὴν καὶ διαιρετικὴν μέθοδον. φησὶν οὖν ὅτι τῶν εἰδοποιῶν διαφορῶν αἱ μέν εἰσι συστατικαὶ αἱ δὲ διαιρετικαί, οὐκ ἄλλαι καὶ ἄλλαι, ἀλλ'

---

1 δὲ om. D 3 ante ἀντὶ add. ἐπίτασιν καί ἄνεσιν λαμβάνουσιν p εἴληπται post χορδῶν transp. p 4 μὲν (prius) om. Vp (alterum) om. FM ἐπιτειν. FMV: ἀποτειν. DEp 8 πληροῦσαι M 9 αἱ (ante διαφοραὶ) om. Vp αὗται δὲ] ἀλλὰ M 10 εἰσι συμληρωτικαί om. M ἀεί] ἄν F 11 ὁ ἄνθρωπος λογικὸν colloc. V post λογικὸν add. θνητὸν p οὔ] ἄλλο V ἀλλ' ἀεί] ἀλλ' ἢ F post ὡσαύτως add. ἔχει V 11. 12 οὔτε ἐπίτασιν — μελανώτερον (v. 15) om. M 12 ἄνεσιν οὔτε ἐπίτασιν colloc. V post ἐπιδεχόμενος add. οὐ γὰρ ποτὲ μὲν μᾶλλον ζῶον λογικὸν (θνητὸν add. p) ἐστιν ὁ ἄνθρωπος, ποτὲ δὲ ἧττον (ἧττον δὲ ποτέ V) Vp 13 ἢ] τὸ V 14 μέλλαν D λευκὸν ἢ μέλαν colloc. p ἐπιτείν. γάρ] καὶ γὰρ ἐπιτείν. V: ἐπιτείν. (γὰρ om.) p 15 ἄλλου ἄλλο colloc. D καὶ] ἢ V μελανόταρον Vp post μελανώτ. add. καὶ γρυπώτερον DE: καὶ γρυπότερον F: καὶ σιμότερον καί γρυπότερον Vp 18 καθ' αὑτὸ] καθ' αὑτὰς Porph., quod reponas. 19 περὶ τοῦ προκειμένου V λογικ. post ὑπέσχετο transp. Fp: post πορφύριος V 21 διαιρ. καὶ ὁριστ. colloc. FVp καὶ διαιρετικὴν in mrg. suppl. D

αἱ αὐταὶ πῇ μὲν γίνονται συστατικαὶ πῇ δὲ διαιρετικαί, ἄλλως καὶ ἄλλως 27v
παραλαμβανόμεναι· τὸ γὰρ λογικὸν καὶ τὸ ἄλογον τὸ θνητὸν καὶ τὸ ἀθά- 30
νατον τοῦ ζῴου εἰσὶ διαφοραί, καὶ εἰσὶν αὗται διαιρετικαὶ (τὸ γὰρ ζῷον
εἰς ταῦτα διαιρεῖται)· ἐὰν δὲ αἱ δυνάμεναι συμπλακῆναι ἅμα ληφθῶσιν
5 οἷον τὸ λογικὸν καὶ τὸ θνητόν, γίνονται συστατικαὶ τοῦ ἀνθρώπου διαφοραί·
συνιστῶσι γὰρ καὶ συμπληροῦσιν αὐτοῦ τὴν φύσιν. δῆλον οὖν ὅτι αἱ μὲν
διαιρετικαὶ διαφοραὶ χρησιμεύουσι πρὸς τὴν διαιρετικὴν μέθοδον, εἴπερ
κατὰ ταύτας γίνονται αἱ τῶν γενῶν εἰς τὰ εἴδη διαιρέσεις, αἱ δὲ συστατι- 35
καὶ εἰς τὴν ὁριστικήν, εἴπερ οἱ ὁρισμοὶ ἐκ γενῶν εἰσι καὶ τῶν τοιούτων
10 διαφορῶν. ἰστέον δ' ὅτι συντιθέμεναι αὗται ποιοῦσι τέσσαρας συζυγίας,
ὧν αἱ μὲν τρεῖς συνίστανται ἡ δὲ μία ἀσύστατός ἐστιν. οἷον ἔστω λογικὸν
καὶ ἄλογον, θνητὸν καὶ ἀθάνατον. ἰδοὺ τοί|νυν λογικὸν καὶ θνητὸν συνί- 28r
σταται, ἔστι γὰρ ὁ ἄνθρωπος, λογικὸν καὶ ἀθάνατον ὁ θεός, ἄλογον δὲ καὶ
θνητὸν ὁ ἵππος, οὐκ ἔστι δέ τι ἄλογον καὶ ἀθάνατον· ζητεῖται γὰρ περὶ
15 τῆς λοιπῆς συζυγίας, τῆς τοῦ ἀλόγου φημὶ καὶ τοῦ ἀθανάτου, πότερον
συνέστηκε καὶ ἔστι τι ἄλογον καὶ ἀθάνατον, οἷόν τι δοκεῖ καὶ περὶ τῆς
Σκύλλης ὁ ποιητὴς λέγειν

ἀλλ' ἀθάνατον κακόν ἐστιν, 5

ἢ οὔ· οἱ μὲν γάρ φασιν εἶναί τι δαιμονίων ἀλόγων γένος ἀθάνατον, ὅπερ
20 δὴ μείονα ἐπέχει τάξιν, οὓς καὶ ἀποτρεπόμεθα. οἱ δέ φασι καὶ τὸ τοι-
οῦτον γένος θνητὸν εἶναι· ὃ γάρ ἐστιν ἀθανάτου, καὶ λογικόν ἐστι πάν-
τως. ἔλθωμεν καὶ ἐπὶ τὴν οὐσίαν, καὶ τὰ αὐτὰ εὑρήσομεν· καὶ γὰρ καὶ
ἐνταῦθα δύο οὐσῶν ἀντιθέσεων, ἐμψύχου καὶ ἀψύχου, αἰσθητικοῦ καὶ ἀναι-
σθήτου, καὶ τούτων συμπλεκομένων τρεῖς μόναι συνίστανται συζυγίαι, ἡ 10
25 δὲ λοιπὴ ἀσύστατός ἐστι· τὸ μὲν γὰρ ἔμψυχον καὶ αἰσθητικὸν τὸ ζῷον,
τὸ δὲ ἔμψυχον καὶ ἀναίσθητον τὸ φυτόν, τὸ δὲ ἄψυχον καὶ ἀναίσθητον ὁ
λίθος, ἄψυχον δὲ καὶ αἰσθητικὸν οὐδέν ἐστιν· ὃ γὰρ ἂν ἔχῃ αἴσθησιν,
πολλῷ μᾶλλον τὴν φυσικὴν ἔχει ψυχήν· ὅπου γὰρ φυσική, οὐ πάντως
καὶ αἰσθητική, ὅπου δὲ αἰσθητική, πάντως καὶ φυσική.

---

1 μὲν γὰρ p διαιρ. πῇ δὲ συστ. colloc. FVp 2 καὶ τὸ θνητὸν D καὶ ἀθάν. D
5 διαφ. τ. ἀνθρ. colloc. V 6 συμπληρῶσι F ὅτι om. V 7 πρὸς] εἰς V
8 κατὰ ταύτας scripsi: κατὰ ταῦτα DE: κατὰ ταύτην FVp: κατ' αὐτὰς M τῶν γε-
νῶν V 10 συντεθειμέναι DEM 12. 13 συνίστανται FV 13 λογικὸν ὁ ἄνθρ.
colloc. V 14 οὐκ ἔστι δέ τι FM: οὐκέτι δέ τι DE: οὐκέτι δέ ἐστιν Vp ζητεῖ-
ται — πάντως (v. 21) eicias 15 καὶ ἀθαν. FV 16 ἄλογον ἀθάν. F 17 ὁ
ποιητὴς] Hom. μ 118 19 ἄλογον V ἀθάν. γένος colloc. M 20 δὴ μείονα]
δημίων V ἐπέχει DEM: ἐπέχειν φησὶ F: φασὶ ἐπέχειν V: ἐπέχειν φασὶ p 21 γάρ
ἐστιν] γὰρ ἂν ᾖ p 21. 22 ἐστι πάντως DFV: πάντως ἐστίν EM: εἶναι πάντως p
22 post ἔλθωμεν add. τοίνυν p καὶ (ante ἐπὶ) om. E τὰ αὐτὰ] ταῦτα V
πάντως εὑρήσομεν M εὑρίσκομεν FV καὶ γὰρ καὶ DVp: καὶ γὰρ EFM 23 post
ἐμψύχου add. φημὶ p καὶ (ante ἀψύχου) om. F αἰσθητικῆς D αἰσθητικοῦ τὲ
|||αισθήτου (partim oblitt.) M 25 αἱ δὲ λοιπαὶ τρεῖς ἀσύστατοί εἰσι p 25. 26 καὶ
αἰσθητ.—ἔμψυχον om. EFM 25 αἰσθητικόν ἐστι Vp 27 post λίθος add. ἔμψυχον δὲ
καὶ αἰσθητικὸν τὸ ζῶον M ἔχῃ DEM: ἔχοι FV: ἔχει p 28 τὴν om. V ἔχει
τὴν φύσιν (sic) ψυχήν M post ψυχήν add. ἄλλως τὴν ζωτικήν V 29 ἐκεῖ πάντως καὶ p

Ἀλλ' αὗταί γε αἱ διαιρετικαὶ διαφοραὶ τῶν γενῶν· ὥσπερ γάρ εἰσί 28r
τινα μόνως εἴδη, τινὰ δὲ καὶ γένη καὶ εἴδη, οὕτως καὶ ἐπὶ τῶν διαφορῶν· 15
τῶν γὰρ εἰδοποιῶν διαφορῶν αἱ μέν εἰσι μόνως διαιρετικαὶ αἱ τῶν γενικω-
τάτων, αἱ δὲ μόνως συστατικαὶ αἱ τῶν εἰδικωτάτων, αἱ δὲ συστατικαί τε
5 καὶ διαιρετικαὶ αἱ τῶν ὑπαλλήλων· αἱ μὲν γὰρ τῆς οὐσίας διαφοραί, τὸ
σῶμά φημι καὶ τὸ ἀσώματον, διαιρετικαὶ μόνως τῆς οὐσίας, οὐδαμῶς δὲ
συστατικαί, αἱ δὲ τοῦ ἀνθρώπου διαφοραί, οἷον τὸ λογικὸν καὶ τὸ θνη-
τόν, μόνως συστατικαὶ τοῦ ἀνθρώπου, αἱ δὲ τῶν μέσων, οἷον αἱ τοῦ ζῴου 20
τὸ θνητὸν καὶ ἀθάνατον, τὸ λογικὸν καὶ τὸ ἄλογον, καὶ συστατικαὶ καὶ δι-
10 αιρετικαί. διότι ἔχουσί τι πρὸ αὐτῶν ἐπαναβεβηκός· αἱ μὲν γὰρ ἐναντίαι
διαιρετικαὶ τοῦ ζῴου, ὅτι αὗται διαιροῦνται εἰς ἕτερα εἴδη, οἷον τὸ θνητὸν
καὶ ἀθάνατον (εἰς ταῦτα γὰρ διαιρεῖται τὸ ζῷον), καὶ τὸ λογικὸν καὶ τὸ
ἄλογον ὁμοίως. αἱ δὲ ὑπάλληλοι τῶν εἰδῶν εἰσι συστατικαί· λογικὸν μὲν
γὰρ καὶ θνητὸν ἀνθρώπου συστατικά, λογικὸν δὲ καὶ ἀθάνατον ἀγγέλου,
15 ἄλογον δὲ καὶ θνητὸν ἵππου, αἱ δὲ τοῦ ἀλόγου καὶ τοῦ θνητοῦ τῶν ἀλό- 25
γων ζῴων. παρέλειψεν ὁ Πορφύριος τὸ ἄλογον καὶ τὸ ἀθάνατον ὡς ἀμ-
φιβαλλόμενον, εἴτε εἰσὶ τοιαῦται οὐσίαι εἴτε οὔ· εἰσὶ γάρ, ὡς εἶπον, τὰ
ἄλογα δαιμόνια μείω τάξιν ἐν τῷ παντὶ ἐπέχοντα καὶ ἀφορισθέντα πρὸς
τὸ τὰς ἀξίας κολάζειν ψυχάς, ἅπερ ὑπό τινων μὲν ἀθάνατα ὑπό τινων δὲ
20 θνητὰ εἶναι νενόμισται.

p. 10,19 Καὶ τούτων γε μάλιστα χρεία εἰς τὰς διαιρέσεις τῶν 30
γενῶν.

Τὸ μάλιστα προσέθηκεν, ὅτι πολλάκις διὰ τὴν ἀνθρωπείαν ἀσθένειαν
ἀποροῦντες τοιούτων διαφορῶν παραλαμβάνομεν ἐκ τῶν κατὰ συμβεβηκός.

---

1 αἱ om. EMp εἰσί] ἐστί p τινα μὲν F 2 τινὰ δὲ] τὰ δὲ F 3 τῶν γὰρ διαφ. τῶν εἰδοποιῶν FV 3. 4 αἱ τ. γενικ.] τῶν γενικωτάτων (αἱ om.) in mrg. suppl. et in textu haec add. οὐ γὰρ ἔχουσι τὸ πρὸ αὐτῶν τὸ ὀφεῖλον διαιρεθῆναι καὶ ποιῆσαι τὰς γενικωτάτας γένους συστατικὰς διαφοράς. διὰ τοῦτο οὐδὲ ὅρος τοῦ γενικωτάτου γένους. τὸ ἄτομον συστατικὸν οὐκ ἔχον (sic) ὅθεν οὐδὲ ποσῶς ὁρίζεται D 4 μόνως om. V αἱ (post συστ.) om. V 9 καὶ τὸ ἀθάν. M τὸ λογικόν τε FV καὶ ἄλογον FV καὶ (ante συστ.) om. p 9. 10 συστατικὸν καὶ διαιρετικόν E 10 διότι — ἐπαναβεβηκός om. FV αἱ μὲν γὰρ ἐναντίαι — νενόμισται (20) ab Ammonio aliena esse videntur 10. 11 ἐναντ. καὶ διαιρ. V 11 ὅτι — εἴδη om. FV 12 καὶ τὸ ἀθάν. FM καὶ (ante τὸ λογ.) om. M 14 συστατικά DV: συστατικόν EFMp 15. 16 αἱ δὲ—ζῴων nescio quid post verba ἄλογον δὲ καὶ θνητὸν ἵππου sibi velint 16 παρέλειψε δὲ p 16. 17 ἀμφιβαλλόμενα Vp 17 εἴτε οὔ] ἢ οὔ E εἴπομεν V 18 μείω EM: δημίων DV: μείονα F: τὰ μείονα p ἐπέχοντα EFVp: ἔχοντα DM 19 ἅπερ] ἅτινα D 21 γε om. M 21. 22 τοῦ γένους V 12 post lemma add. σκόπει πῶς ὧδε ἐν τῷ λέγειν εἰς τοὺς ὁρισμοὺς λαμβάνονται αἱ διαφοραὶ αὗται δηλοῖ ὅτι καὶ αἱ φωναὶ ἐπὶ τῶν ὁρισμῶν τῶν συμβεβηκότων οὐσιώδεις εἰσίν· οἱ γὰρ ὅροι ἐξ οὐσιωδῶν φωνῶν σύγκεινται, οἷον λευκόν ἐστι χρῶμα διακριτικὸν ὄψεως DEMp: om. FV 23 τὸ δὲ DEMp ἀνθρωπίνην FV 24 κατὰ τὸ συμβ. D

οἷον ἐπὶ τοῦ κόρακος ἀντὶ διαφορᾶς τὸ μέλαν λαμβάνομεν καὶ ἐπὶ τοῦ 28v
κύκνου τὸ λευκόν, ὡς ὅταν ἵππον ὁριζόμενοι εἴπωμεν, ζῷον εἶναι ἄλογον 36
χρεμετιστικόν. τὸ ἴδιον ἐπουσιῶδες ὂν ἀντὶ διαφορᾶς οὐσιώδους λαμβάνομεν
διὰ τὸ μὴ δύνασθαι οὐσιώδη διαφορὰν ἵππου | φέρε καὶ ὄνου εὑρεῖν. 28v

5 p. 10,22 Ἃς δὴ καὶ ὁριζόμενοί φαμεν· διαφορά ἐστιν ᾗ περισσεύει τὸ εἶδος τοῦ γένους.

Ἀπαριθμησάμενος τὰ σημαινόμενα τῆς διαφορᾶς καὶ εἰπὼν περὶ ποίου σημαινομένου μάλιστα τοῖς φιλοσόφοις ὁ λόγος, βούλεται ταύτης τὴν ὑπογραφὴν ἀποδοῦναι. φησὶν οὖν ὅτι διαφορά ἐστιν ᾗ περισσεύει τὸ εἶδος τοῦ γένους· ὁ γὰρ ἄνθρωπος τῷ λογικῷ καὶ τῷ θνητῷ περιτ- 5
τεύει τοῦ ζῴου. ἀπορίαν δέ τινα ἀπορεῖ ὁ Πορφύριος ἐκ τοῦ ὁρισμοῦ τούτου καὶ ἐπιλύεται ταύτην. προλαμβάνει δὲ τῆς ἀπορίας δύο ἐναργῆ τινα ἀξιώματα, ἃ οὕτω καλοῦνται ὑπὸ τῶν Περιπατητικῶν ὡς οἰκοθεν τὸ ἀξιόπιστον ἔχοντα. εἰσὶ δὲ τὰ ἀξιώματα ταῦτα· πρῶτον μὲν ὅτι οὐδὲν γίνεται ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, οἷον τὸ ἀβάκιον γέγονεν ἐκ τοῦ ξύλου, ὃ πῇ μὲν ὂν ὑπῆρχε (ξύλον γὰρ ἦν), πῇ δὲ μὴ ὄν· οὔπω γὰρ ἦν ἀβάκιον· 10
εἰ γὰρ ἦν, οὐκ ἔχρηζε τέκτονος τοῦ ποιοῦντος. καὶ οἱ λίθοι πῇ μέν εἰσιν ὄντες ὡς λίθοι, πῇ δὲ οὐκ ὄντες, ὅτι οὔπω οἶκος. ἐκ δὲ τοῦ μηδαμῇ μηδαμῶς ὄντος πῶς ἄν τι γένοιτο; δεύτερον δὲ ὅτι τὰ ἐναντία ἐν τῷ αὐτῷ ὑποκειμένῳ κατὰ τὸν αὐτὸν χρόνον ἅμα οὐκ ἐνδέχεται εἶναι· ἀναιρετικὰ γὰρ ἀλλήλων τὰ ἐναντία εἰσί. τούτων προλεχθέντων ἡ ἀπορία προβαίνει τοῦτον τὸν τρόπον· ἀνάγκη τὰς διαφορὰς ἢ ἐκ τοῦ γένους τοῖς εἴ- 15
δεσιν ἐπιγίνεσθαι προϋπαρχούσας ἐν αὐτῷ ἢ ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος. ἑκάτερον δὲ τούτων ἄτοπον· εἰ γάρ εἰσιν ἐν τοῖς γένεσιν αἱ διαφοραί, ἔσονται τὰ ἐναντία ἐν τῷ αὐτῷ κατὰ τὸν αὐτὸν χρόνον, τὸ θνητὸν καὶ τὸ ἀθάνατον, τὸ λογικὸν καὶ τὸ ἄλογον, ὅπερ ἄτοπον. εἰ δὲ μὴ εἰσὶν αἱ διαφοραὶ ἐν τοῖς γένεσι, πόθεν γίνονται ἐν τοῖς εἴδεσιν; ἔσται γάρ τι γινόμενον ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, ὅπερ ἄτοπον· οὐ γὰρ ἐξ ἄλλου 20

---

1 οἷον—τὸ λευκόν (v. 2) eicias διαφορᾶς FV: διαφορῶν DEMp παραλαμβάνομεν F 3 τὸ δὲ ἴδιον libri: δὲ induxi ἐπουσ.] scribas μὴ οὐσ. (cf. p. 33,20 not.) παραλαμβ. FVp 4 οὐσιώδεις διαφορὰς V ἵππου — εὑρεῖν] ἵππου φέρε καὶ ὄνου εἰπεῖν M: ὄνου φέρε εἰπεῖν καὶ ἵππου εὑρεῖν V: ἵππου φέρε εἰπεῖν καὶ ὄνου εὑρεῖν p 5 φαμεν] φασι Porph. 7 σημαιν.] γένη M 8 μάλιστα post λόγος transp. Vp παρὰ τοῖς φιλ. Vp ταύτης DM: ταύτην EFVp 10 γὰρ] δὲ V 12 προσλαμβ. M τὴν ἀπορίαν E τινὰ ἐναργῆ colloc. MV 14 οὐδὲν γίν.] οὐ γίν. τὶ M 15 ἀββάκιον (ubique) DEMV ἐκ τ. ξύλου γέγ. colloc. V ὃ] ὅτι M 16 οὔπω] οὕτω V 17 τοῦ τέκτ. τοῦ M καὶ οἱ λίθοι—οἶκος (v. 18) om. Vat. 2189 (recte) 18 ὅτι] ὅτε V 19 δὲ om. F ἐν om. M 21 εἰσὶ post γὰρ transp. FV 22 τὸν τρ. τοῦτον colloc. F 24 ἑκατέρων V post διαφοραί add. σώμασιν οὖσιν p 25 ἐν τῷ αὐτῷ post χρόνον transp. V 26 μὴ εἰσὶν Marc. 201: μὴ ὦσιν DEFMVp 27 ἐν τοῖς εἴδ. πόθεν γίν. colloc. DEM γίνεται D ἔσται FMV: ἔστι DEp

τινὸς δύνανται εἶναι, ἐπεὶ μηδὲ ἔστι μεταξὺ γένους καὶ εἴδους ἄλλο, εἰ μὴ 28v
αἱ διαφοραί. δῆλον οὖν ὅτι ἀπορώτατος ὁ λόγος.

Ἀπορήσας τοίνυν ἐπιλύεται τὴν ἀπορίαν περιπατητικῶς· λέγει γὰρ ὁ Πορφύριος, ὅτι τὰ ἐναντία ἐν τῷ αὐτῷ κατὰ τὸν αὐτὸν χρόνον ἐνεργείᾳ μὲν εἶναι οὐ δύναται, δυνάμει μέντοι δύναται εἶναι. ἵνα δὲ σαφῆ γένηται τὰ λεγόμενα, εἴπωμεν οὕτως· ἄλλο τί ἐστι τὸ δυνάμει εἶναί τι καὶ ἄλλο τὸ ἐνεργείᾳ· δυνάμει μὲν γὰρ λέγεται τὸ ἀτελὲς καὶ μὴ προαχθὲν εἰς ἐνέργειαν, δυνάμενον μέντοι καὶ ἐπιτηδείως ἔχον ἐνεχθῆναι ἐπὶ τὸ ἐνεργείᾳ· οἷον τὸ παιδίον δυνάμει μὲν γραμματικόν ἐστι (δύναται γὰρ γενέσθαι γραμματικόν) καὶ τὸ ψυχρὸν ὕδωρ λέγεται δυνάμει θερμόν. τοῦτο οὖν ἐστι τὸ δυνάμει. ἐνεργείᾳ δὲ λέγεται γραμματικὸς ὁ ἤδη τὴν γραμματικὴν ἐπιστήμην κατὰ τὴν ἕξιν τελειωθεὶς καὶ παραδιδοὺς τοὺς γραμματικοὺς λόγους, καὶ τὸ μὲν ψυχρὸν ὕδωρ δυνάμει λέγεται εἶναι θερμόν, τὸ δ' ἤδη θερμανθὲν λέγεται ἐνεργείᾳ θερμόν. φησὶν οὖν ὅτι τὰ ἐναντία οἷον τὸ ψυχρὸν καὶ τὸ θερμὸν ἐνεργείᾳ μὲν ἅμα τινὶ παρεῖναι ἀδύνατον, δυνάμει δὲ δυνατόν· τὸ γὰρ χλιαρὸν ὕδωρ οὔτε θερμὸν οὔτε ψυχρόν ἐστιν ἐνεργείᾳ, δυνάμει δέ ἐστιν ἀμφότερα, καὶ τὸ βρέφος δυνάμει καὶ ἀρετὴν ἔχει καὶ κακίαν, καὶ ἡ ὕλη δυνάμει πάντα ἐστὶ τὰ ἐναντία. εἰ οὖν καὶ τὸ γένος ὕλης λόγον ἐπέχει, ὡς ἑξῆς φησι, δῆλον ὅτι ἕξει ἐν ἑαυτῷ δυνάμει πάσας τὰς ἐναντίας διαφοράς. καὶ ἄλλως δὲ δυνατὸν ἐν ἑνὶ τὰ ἐναντία εἶναι, εἰ μὲν τὸ ἕτερον ἐνεργείᾳ ἔχει τὸ δὲ λοιπὸν δυνάμει· τὸ γὰρ ἐνεργείᾳ ψυχρὸν δυνάμει ἐστὶ θερμόν, εἰ πεφύκοι μεταβάλλειν εἰς τὸ θερμόν. τοῦτο δὲ εἶπον, ἐπειδή ἐστί τινα | θατέρου μόνου τῶν ἀντικειμένων δεκτικά· ὁ γὰρ 29r
κρύσταλλος ψυχρὸς ὢν οὐδέποτε ἂν θερμανθείη, οὐδὲ τὸ πῦρ τὴν ἐναντίαν ψύξιν δέξαιτο ἄν. ὁ ἀὴρ μέντοι καὶ τὸ ὕδωρ παρὰ μέρος ἑκατέρου τῶν

---

1 μηδὲ DEM: οὐδὲ FVp 3 τῶν περιπατητικῶν M 5 εἶναι om. V δύνανται (priore loco) DEFMV μέντοι] δὲ p εἶναι δύν. colloc. M 5. 6 σαφές γένοτὸ λεγόμενον p γένηται post λεγόμ. transp. M 6 τι (post ἄλλο) om. FVp 7 μὲν om. V 8 μέντοι] δὲ FV ἐπιτηδειότητα FV ἐνεχθ.] ἐγχωρεῖν M τὸ ἐναργές M: τὰς ἐνεργείας V 9 γραμμ. δυνάμει ἐστί (μὲν om.) V γραμματικόν oblitt. M 9. 10 γραμμ. γενέσθαι colloc. D γεν. γραμματικὸς M 10 λέγεται δυνάμει θερμόν FV Marc. 201: δύναται γενέσθαι δυνάμει θερμόν DE: δύναται γενέσθαι θερμόν M: δυνάμει θερμόν, δύναται γὰρ γενέσθαι δυνάμει θερμόν p 11 γραμματικὸν DEF post ἤδη add. κατὰ EMp: om. DFV 12 κατὰ om. M παραδοὺς p 13 εἶναι λέγεται colloc. M 13. 14 τὸ δ' ἤδη—θερμόν om. F 14 λέγεται om. p οὖν FMVp: om. DE οἷον FV: ὅτι D: ἤτοι p: om. EM 16 γὰρ om. M ἐστιν post θερμὸν transp. V 17 καὶ κακίαν ἔχει colloc. V 18 πάντα ἐστὶ DEF: ἐστὶ πάντα MV: πάντα ἔχει p οὖν] γοῦν V 18. 19 λόγον ὕλης colloc. V 19 ἑξῆς] cf. p. 11,19 20 καὶ ἄλλως—διαφορὰς δυνάμει (p. 103,5) eicias 20. 21 εἰ μὲν τὸ] καὶ τὸ μὲν D 21 ἐνεργείᾳ ἔχει Mp: ἐνεργείᾳ ἔχειν DE (?): ἔχει ἐνεργείᾳ FV 22 εἰ πεφύκοι FVp: εἰ πεφύκει DEM μεταβάλλεσθαι p 23 εἶπεν D τῶν ἀντικ. μόνου colloc. V 23. 25 ὁ γὰρ — δέξαιτο ἄν] οὐδὲ τὸ πῦρ . . . ἐπιδέξοιτ' ἂν οὐδὲ ὁ κρύσταλος ψυχρὸς ὢν ποτε ἂν θερμανθείη V 24 κρύσταλος DEMp 25 δέξαιτο M: δέξοιτο DE: ἐπιδέξοιτο FVp μέντοι FV: μὲν DEMp ἑκατέρου scripsi: ἑκάτερα D: ἑκάτερον EFMVp

ἐναντίων ἐστὶ δεκτικά· δύναται γὰρ τὰ ἐναντία ἐν τῷ αὐτῷ παρεῖναι ἅμα 29r
δυνάμει· εἰ μὴ γὰρ τὰ δύο εἶχε δυνάμει, οὐκ ἂν καὶ ἐνεργείᾳ εἰς ἑκάτερον
μετέβαλλεν, ἀλλ' ἐπειδὴ τὰ ἐναντία ἔχει δυνάμει, διὰ τοῦτο εἰς ἑκάτερον 5
μεταβάλλει παρὰ μέρος. οὕτως οὖν φησι καὶ τὰ γένη ἔχειν τὰς ἐναντίας
5 διαφορὰς δυνάμει, καὶ οὔτε ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος γίνεται οὔτε
τὰ ἐναντία ἐν τῷ αὐτῷ ἐστιν ἐνεργείᾳ. ταύτῃ τῇ λύσει κέχρηνται οἱ ἐκ
τοῦ Περιπάτου, ἣν καὶ ὁ Πορφύριος ἀπέδωκεν, ἐπειδήπερ, ὡς ἤδη εἴρηται,
χρησιμεῦον πρὸς τὰς Ἀριστοτέλους Κατηγορίας γράφει τὸ βιβλίον.

Ἰστέον δὲ ὅτι οἱ Πλατωνικοὶ ἐναντιοῦνται τῇ ἐπιλύσει ταύτῃ· καὶ γὰρ 10
10 ἐνεργείᾳ εἶναι λέγουσι τὰς διαφορὰς ἐν τοῖς γένεσι, καί φασιν ὅτι οὐ δεῖ
φοβεῖσθαι ἐνεργείᾳ ὑποθέσθαι ἐν τοῖς γένεσι τὸ λογικὸν καὶ τὸ ἄλογον, τὸ
θνητὸν καὶ τὸ ἀθάνατον. κέχρηνται δὲ εἰς ἀπόδειξιν τούτου τοιούτοις λό-
γοις· πρῶτον μὲν γάρ φασιν, οὐκ ἔστιν ἐναντίον τὸ λογικὸν τῷ ἀλόγῳ
οὐδὲ τὸ θνητὸν τῷ ἀθανάτῳ· τὰ γὰρ ἐναντία φθείρει ἄλληλα, ταῦτα δὲ
15 οὐ μόνον οὐ φθαρτικά ἐστιν ἀλλήλων ἀλλὰ καὶ ὑποστατικὰ ἀλλήλων· τὸ 15
γὰρ λογικὸν καὶ τὸ ἀθάνατον ὑποστατικά ἐστι τοῦ θνητοῦ καὶ τοῦ ἀλόγου·
ὁ γὰρ θεὸς ἀθάνατος ὢν καὶ λογικὸς ὑφίστησι τὰ θνητὰ καὶ ἄλογα, καὶ ὁ
ἄνθρωπος λογικὸς ὢν κηδεμὼν τοῦ ἀλόγου γίνεται καὶ σωτήρ, καὶ οἱ ἄγ-
γελοι ἀθάνατοι ὄντες τῶν θνητῶν εἰσι κηδεμόνες καὶ φύλακες. ὥστε οὐκ
20 ἐναντία τὸ λογικὸν καὶ τὸ ἄλογον οὐδὲ τὸ θνητὸν καὶ τὸ ἀθάνατον· εἰ δὲ
μὴ ἐναντία, οὐκ ἀδύνατον ἅμα εἶναι ταῦτα ἐν τῷ γένει, ἐπεὶ καὶ αἱ ἄλογοι 20
δυνάμεις, θυμός φημι καὶ ἐπιθυμία καὶ αἴσθησις καὶ ἡ λογικὴ ζωή, ἅμα
ἐν ἑνὶ ζῴῳ τῷ ἀνθρώπῳ θεωροῦνται. ἔπειτα δέ φασιν, εἰ καὶ ἐναντία
ἐστίν, οὐδὲν ἄτοπον εἶναι αὐτὰ ἐν τῷ γένει τῷ αὐτῷ ἐνεργείᾳ, ἐπειδὴ οὐχ
25 ὡς ἐν ὑποκειμένῳ εἰσὶ σώματι ἀλλ' ἔν τινι ἀσωμάτῳ (ἀσώματον γὰρ τὸ
γένος), δύνανται δὲ ἐν ἀσωμάτοις τὰ ἐναντία εἶναι· διὰ τοῦτο γὰρ ἐν ὑπο-
κειμένῳ τινὶ σώματι τὰ ἐναντία οὐ δύνανται εἶναι διὰ τὸ βούλεσθαι ἀμ- 25
φότερα μετέχειν τοῦ ὑποκειμένου· μεριστὸν δὲ ὂν τὸ σῶμα ἅμα κατὰ
ταὐτὸν τὰ φθαρτικὰ ἀλλήλων οὐ δύναται δέξασθαι· ἐπὶ δὲ τῶν ἀσωμάτων

1 δεκτικά DEMp: δεκτικός FV 1. 2 δυνάμει γὰρ δύναται colloc. p
2 τῇ δυνάμει (altero loco) FV 3 μετέβαλλον E: μετεβέβλητο p καὶ τὰ ἐναν-
τία V ἑκάτερα Ep 4 παραβάλλει καὶ μεταβάλλεται p 5 οὔτε (prius) ex οὕ-
τως corr. F ὄντος om. D: scribas ὄντος ⟨τι⟩ γίνεται (cf. Porph.) 6 ἐνεργείᾳ ἐστιν
colloc. V ἐκ] ἀπὸ F 7 εἴρηται ἤδη colloc. V 9 ἐπιλύσει] λύσει V
10 λέγουσι post γένεσι transp. V τῷ γένει FV 11 τὸ ἄλογον FMV: ἄλογον DEp
11. 12 καὶ τὸ θνητὸν FV 12 καὶ ἀθάν. p δὲ om. V 13 φασιν ὅτι Mp
15 οὐ (post μόνον) om. Mp φθαρτὰ E εἰσιν EVp ἀλλήλων (alterum) DEM:
ἄλληλα FV: om. p 16 ὑποστατικόν F 17 θνητά τε FMVp 18 σωτήρ]
θεός E καὶ οἱ ἄγγελοι—φύλακες (v. 19) eicias 19 τῶν θνητῶν FMVp: θνητῶν D:
τῷ θνητῷ E 20 ἐναντίον D 21 ἐναντίον V ταῦτα εἶναι colloc. FVp
αἱ om. EMp ἀλόγων F 23 θεωροῦνται scripsi: θεωρεῖται DEFMp (post φημι
v. 22 transp.) V ἐναντίον V 24 τὰ αὐτὰ V 25 σώματα EF 26 ἀσω-
μάτοις D: ἀσωμάτῳ EFMVp 27 οὐ δύν. τὰ ἐν. colloc. FV post εἶναι add.
ἅμα p 28. 29 ἅμα κατὰ ταὐτὸν FV: ἅμα κατὰ τὸν αὐτὸν DE: ἅμα κατὰ τὸν αὐτὸν
χρόνον M: καθ' αὑτὸ p (cf. p. 104,3. 7) 29 ἀλλήλοις M δύνανται EV

οὐκ ἔστι τοῦτο. ἀμέλει καὶ ἡ φύσις ἔχει τοὺς λόγους πάντων τῶν ἐναν- 29r
τίων καὶ ὑφεστῶσα, οἷον ὁ ὀφθαλμὸς ἅμα προβάλλεται τοὺς τοῦ λευκοῦ
καὶ τοῦ μέλανος λόγους καὶ ἡ ψυχὴ ἅμα κατὰ ταὐτὸν τὸν τῶν ἐναντίων
ἔχει λόγον, ἀγαθοῦ καὶ κακοῦ, ψυχροῦ καὶ θερμοῦ, εἴπερ τῶν ἐναντίων 30
5 μία ἐστὶν ἐπιστήμη. ὥστε οὐδὲν ἄτοπον συμβαίνει τῷ λόγῳ τῷ λέγοντι
τὰς διαφορὰς ἐνεργείᾳ ἐν τοῖς γένεσιν εἶναι. ὡσαύτως καὶ ἐν τῷ ἀβακίῳ
σωματικῶς μὲν καὶ κατὰ ταὐτὸν καὶ τρίγωνον καὶ τετράγωνον καὶ στρογ-
γύλον ποιῆσαι οὐ δυνάμεθα, ἐπειδὴ ὑπ' ἀλλήλων συγχέονται οἱ τύποι, ἐν
δὲ τῇ ψυχῇ ἔχομεν ταῦτα πάντα ἀσυγχύτως, ὅθεν καὶ ἀσυγχύτως προ-
10 βαλλόμεθα αὐτὰ καὶ δείκνυμεν καὶ τὸ πρῶτον θεώρημα καὶ τὸ δεύτερον 35
καὶ τὸ τρίτον καὶ περὶ στρογγύλου καὶ περὶ τετράγωνου καὶ περὶ τριγώνου.
ὥστε ἐπὶ ἀσωμάτων δυνατὸν ἅμα τὰ ἐναντία εἶναι ἐνεργείᾳ. ἄλλως τε
δέ εἰ δυνάμει εἰσὶν αἱ διαφοραὶ ἐν τοῖς γένεσι, τί ἐστι τὸ ποιῆσαν αὐτὰς
ἐνεργείᾳ ἐν τοῖς εἴδεσι; πᾶν γὰρ τὸ δυνάμει ὂν ἄγεται εἰς ἐνέργειαν | διά 29v
15 τινος ἐνεργείᾳ τοιούτου ὄντος· τὸ γὰρ ὕδωρ τὸ ψυχρὸν δυνάμει ὂν θερμὸν
γίνεται ἐνεργείᾳ θερμὸν διὰ τοῦ πυρὸς ἐνεργείᾳ ὄντος θερμοῦ, καὶ τὸ
παιδίον δυνάμει ὂν γραμματικὸν ἐνεργείᾳ γίνεται γραμματικὸν διὰ τοῦ ὄντος
ἐνεργείᾳ γραμματικοῦ. εἰ οὖν δυνάμει εἰσὶν ἐν τοῖς γένεσιν αἱ διαφοραί,
προάγονται δὲ εἰς ἐνέργειαν, δεήσονται ἄλλου τινὸς ἐνεργείᾳ ἔχοντος τὰς 5
20 διαφοράς· οὐδὲν δέ ἐστιν ἄλλο παρὰ ταῦτα· οὐκ ἄρα δυνάμει εἰσὶν αἱ δια-
φοραὶ ἐν τοῖς γένεσιν. πάλιν δὲ πᾶν μὲν τὸ δυνάμει ὂν ἀτελές ἐστι, τὸ
δὲ ἐνεργείᾳ τέλειον· εἰ οὖν τὰ μὲν εἴδη ἐνεργείᾳ ἔχει τὰς διαφορὰς τὰ δὲ
γένη δυνάμει, ἔσται τὰ μὲν εἰδικώτατα πάντων τελεώτερα καὶ ἐντιμότερα
τὰ δὲ γενικώτατα πάντων ἀτελέστερα καὶ ἀτιμότερα, ὅπερ ἄτοπον· ἔσονται
25 γὰρ τὰ αἰτιατὰ τελεώτερα καὶ κρείττονα τῶν αἰτίων. ἀνάγκη ἄρα τὰς δια- 10
φορὰς ἐν τοῖς γένεσιν ἐνεργείᾳ εἶναι.

Ἆρα οὖν ἀπόβλητός ἐστι παντελῶς ὁ τῶν Περιπατητικῶν λόγος;
φαμὲν οὖν οὐδαμῶς· τριττῶν γὰρ ὄντων τῶν γενῶν, ὡς πολλάκις ἔφαμεν,
οἱ μὲν Πλατωνικοὶ περὶ τῶν πρὸ τῶν πολλῶν ἔλεγον (ἐν γὰρ τοῖς πρὸ
30 τῶν πολλῶν γένεσιν ἐνεργείᾳ ὑπάρχουσιν αἱ διαφοραί· οἱ γὰρ λόγοι πάν-
των ἐκεῖ εἰσιν ἐνεργείᾳ), οἱ δὲ Περιπατητικοὶ περὶ τῶν ἐν τοῖς πολλοῖς·
ἰστέον γὰρ ὅτι ἡ φύσις ἀπὸ τῶν καθολικωτέρων ἐπὶ τὰ μερικώτερα ὁδεύει 15

---

1 πάντως τοὺς λ. colloc. V 2 καὶ ὑφεστῶσα D: καὶ ὑφιστῶσα EFM: καὶ ὑφίστησιν V: καὶ ὑφιστᾷ p: an ὡς ὑφεστῶσα? ὁ om. EFV 2. 3 λευκοῦ ἢ τοῦ μέλ. V 3 ἅμα καὶ κατὰ Fp 3. 4 τοὺς . . . λόγους FV 4 ὥστ' εἰ ὡς V 6 ἐνεργείας E ἐν μὲν τῷ ἀβ. F ἀββακίῳ DEMV 9 ἀσυγχύτως (alterum)] ἀσωμάτως M 11 καὶ περὶ τετραγώνου om. FV τριγώνου καὶ περὶ τετραγ. colloc. M περὶ (ante τριγ.) om. V 12 ἀσωμάτων γε FVp 13 δὲ om. V ἐν τ. γέν. αἱ διαφ. colloc. V αὐτὰς MVp: αὐτὸ DE: αὐτὰ F 15 ἐνεργεία τοιούτου ὄντος M: ἐνεργείας τοιούτου ὄντος DEF: ἐνεργεία ὄντος τοιούτου V: ἐνεργείας τοιαύτης οὔσης p ψυχρὸν in lacuna om. E 17 γραμματικὸς (utrobique) M ἐνεργεία et γραμματικὸν (alterum) om. V 20 παρὰ] περὶ p 21 μὲν om. V 22 ἔχουσι V 27 παντελῶς post λόγος transp. V 28 φαμὲν] φασὶ μὲν V τριττῶν] περιττῶν M 32 γὰρ] δὲ V

καὶ τὰ μερικὰ δυνάμει ἐν τοῖς καθολικωτέροις προϋπέστησεν. οἷον ἐκ τοῦ 29r
καταβληθέντος σπέρματος δημιουργεῖ πρῶτον τὸ σαρκίον. ὥς φασιν οἱ ἰατροί.
ἐν τῇ μήτρᾳ. ὃ σῶμά ἐστι· τὸ δὲ σῶμα καθολικόν· ἀλλὰ τοῦτο ὡς μὲν
σῶμα ἐνεργείᾳ ἐστίν. ὡς δὲ ἔμψυχον δυνάμει· οὔπω γὰρ ἐστιν ἐνεργείᾳ
5 ἔμψυχον. ὅταν δὲ τραφὲν καὶ αὐξηθὲν ψυχωθῇ, ἐνεργείᾳ μὲν λέγεται ἔμ-
ψυχον. δυνάμει δὲ ζῷον. μήπω τυχὸν αἰσθήσεως καὶ κινήσεως. ὅταν δὲ 20
ἤδη τούτων μετάσχῃ, γίνεται ἐνεργείᾳ ζῷον. ὅταν δὲ ἐκκριθῇ καὶ λόγου
μετάσχῃ, γίνεται ἐνεργείᾳ λογικόν. ἰδοὺ οὖν ἐν τοῖς γένεσι τοῖς ἐν τοῖς
πολλοῖς δυνάμει θεωροῦνται αἱ διαφοραί, καὶ καλῶς οἱ φυσικοὶ οὕτω λέ-
10 γουσιν. ὅθεν ὁ Πορφύριος ἐπειδὴ προέθετο ἐκθέσθαι τὸ σύγγραμμα τοῦτο
οὐ πρὸς Πλατωνικὰς συμβαλλόμενον πραγματείας ἀλλὰ πρὸς Ἀριστοτελικάς. 25
διὰ τοῦτο τῇ τῶν Περιπατητικῶν ἐχρήσατο ἐπιλύσει. πάντα ἤδη προκατε- 30r
βαλλόμεθα· λοιπὸν σαφὴς ἡ λέξις. ἀναγνῶμεν οὖν αὐτήν, καὶ εἴ πού τι
προσπίπτει. σαφηνίσωμεν.

15 p. 11,2 Οὔτε οὐδὲν τούτων ἐστί.

Τοῦτ' ἔστιν ἀμέτοχον· προσυπακουστέον γὰρ τὸ τοιοῦτον· εἰ γὰρ μὴ 5
μετεῖχε λογικοῦ καὶ θνητοῦ τὸ ζῷον, πόθεν εἶχε τὸ εἶδος δέξασθαι;

—

1 προϋπέστησεν DEFVp: προϋπέστη M 3 ὅ] ὅπερ p 6 καὶ κινήσεως om. E
7 ἤδη om. V τούτων] ὥτων E γίνεται ἐνεργείᾳ ζῶον DM: γίνεται ἐνεργείᾳ
ζῷον — ἐνεργείᾳ v. 8 om.) E: ἐνεργείᾳ μὲν ζῶον δυνάμει δὲ λογικόν FVp 7. 8 ὅταν
δὲ—λογικόν om. M ἐκκριθῇ D: ἐκπτυσθῇ FVp 8 γίνεται ἐνεργείᾳ λογικόν] ἐνεργ.
γίνεται λογ. colloc. V: ἐνεργείᾳ μὲν γίνεται ζῶον λογικόν, δυνάμει δὲ γραμματικόν p
τοῖς (post γένεσι)] τῶν p ἐν τοῖς πολλοῖς] πρὸ τῶν πολλῶν M 9 αἱ δ. δυνάμει
θεωρ. colloc. V 10 ἐπειδὴ ὁ πορ. colloc. FV 11 πλατωνικὰς συμβ. πραγματείας
ἀλλὰ πρὸς ἀριστοτελικάς FVp: πλατωνικοὺς συμβ. ἀλλὰ πρὸς ἀριστοτελικούς D: πλατωνικὰ
συμβ. πράγματα ἀλλὰ πρὸς ἀριστοτελικά E: πλατωνικὴν συμβ. πραγματείαν ἀλλὰ πρὸς ἀριστο-
τελικήν M 12 post ἐπιλύσει add. ἀλλ' ἐπειδήπερ ἄνωθεν εἴπομεν ὅτι ἀσώματοί εἰσιν αἱ
πέντε φωναὶ ἀναποδείκτως, φέρε καὶ τοῦτο ἀποδείξωμεν. καὶ πρῶτον μὲν τὸ σῶμα οὐδέποτε
ἐν μείζονι καὶ ἐλάττονι ὡσαύτως θεωρεῖται οἷον ἐπὶ ἐλέφαντος καὶ μύρμηκος· αἱ δὲ πέντε
φωναὶ ὡσαύτως καὶ ἐν μείζονι καὶ ἐλάττονι. ἔπειτα δὲ πᾶν σῶμα σώματι προστιθέμενον αὔξη-
σιν ποιεῖται τοῦ ἐνδεχομένου τὴν προσθήκην· τὸ δὲ γένος καὶ τὸ εἶδος καὶ τὰ λοιπὰ τῷ σω-
κράτει προστιθέμενα οὐδὲν προστιθέασιν. ἄλλως· οὐδέποτε ταὐτὸν σῶμα ἐν τῷ αὐτῷ καιρῷ ἐν
πᾶσι θεωρεῖται. κἂν γὰρ ὅμοιον, ἀλλ' οὖν οὐ τὸ αὐτό, οἷον εἰ ἐν τῷ πλάτωνος μηρῷ φανείη
ὀστοῦν ἐλέφαντος, οὐ ταὐτόν ἐστι καὶ ἐν τῷ τοῦ ὀρέστου· τὸ δὲ γένος καὶ τὸ εἶδος ἐν τῷ
αὐτῷ καιρῷ ἐν πολλοῖς θεωρεῖται. ἄλλως· οὐδέποτε τὰ σώματα μεριζόμενα τὸ ἓν εἶδος ἢ
τὸ ἓν ποσὸν φυλάττει οἷον ὁ στατὴρ μερίζεται εἰς πολλά, οὐκοῦν τὰ μεριζόμενα οὐ φυλάττουσι
τὸ ἓν εἶδος, ἢ τὸ ἓν ποσὸν τοῦ στατῆρος· τὰ δὲ γένη καὶ τὰ εἴδη σώζουσι τὸ οἰκεῖον εἶδος
μεριζόμενα εἰς σωκράτην καὶ πλάτωνα καὶ τοὺς λοιπούς. ἄλλως τε | δέ πᾶν σῶμα ἐξ ὕλης καὶ
εἴδους σύγκειται· τὸ δὲ γένος καὶ εἶδος οὐχ οὕτως, εἶδος γὰρ ἐξ εἴδους οὐ σύγκειταί ποτε·
ἀσώματοι ἄρα αἱ πέντε φωναί ex Davidis commentario hausta p 12 post πάντα
add. οὖν D: om. EFMVp 13 an λοιπὸν ⟨εἰ⟩? πού om. D 16 τοιοῦτον]
σῶμα D μὴ γὰρ colloc. F 17 καὶ om. F ταῦτα δέξασθαι p

p. 11,3 Οὔτε δὲ πάσας τὰς ἀντικειμένας.

Ἐπεὶ ἔσονται τὰ ἐναντία ἅμα.

p. 11,4 Ἀλλ' ὡς ἀξιοῦσιν.

Ἐπειδὴ ὁ Πορφύριος Πλατωνικὸς ὢν οὐ τὸ αὐτῷ ἀρέσκοντα λέγει, εἶπεν ὡς ἀξιοῦσιν οἱ Περιπατητικοί· φυσιολογοῦντες γὰρ καλῶς οὕτω προσθεῖσιν, ὅτι τὰ καθόλου δυνάμει πρότερον ἔχει τὰ μερικά, καὶ οὕτως εἰς τὴν ἐνέργειαν προκόπτει.

p. 11,7 Ὁρίζονται δὲ αὐτὴν καὶ οὕτως.

Ἐνταῦθα τελείαν ὑπογραφὴν λέγει λαμβανομένην ἐκ τῆς τῶν φωνῶν διαιρέσεως τῆς λεγούσης, τῶν φωνῶν αἱ μὲν ἄσημοι αἱ δὲ σημαντικαί.

p. 11,12 Τῶν γὰρ πραγμάτων ἐξ ὕλης καὶ εἴδους συνεστώτων.

Τὴν αἰτίαν νῦν ἀποδίδωσι, διὰ τί τὸ μὲν γένος ἐν τῷ τί ἐστι κατηγορεῖται, ἡ δὲ διαφορὰ ἐν τῷ ὁποῖόν τί ἐστι. λέγει τοίνυν ὅτι πάντα τὰ ὄντα ἢ κυρίως ἐξ ὕλης καὶ εἴδους ὑπάρχει ἢ ἀνάλογον ὕλῃ καὶ εἴδει τὴν σύστασιν ἔχουσι. πᾶσι μὲν οὖν τοῖς φυσικοῖς πράγμασίν ἐστι τὸ ὑποκείμενον, ὃ καλοῦσι κυρίως ὕλην, τὴν ἀκαλλῆ καὶ ἀνείδεον. ἔστι δὲ καὶ κυρίως εἶδος τὸ κοσμοῦν αὐτὴν καὶ ἐν αὐτῇ γινόμενον. οὕτως μὲν οὖν ἡ κυρίως ὕλη καὶ τὸ κυρίως εἶδος ἐν τοῖς φυσικοῖς πράγμασι θεωρεῖται, ἐν δὲ τοῖς τεχνητοῖς τὸ ἀνάλογον. οἷον ἐκ χαλκοῦ γίνεται ἀνδριάς· οὐκοῦν ὁ χαλκὸς λέγεται ὕλη, ἀλλ' οὐ κυρίως, ἀναλόγως δέ· οὐ γὰρ ἀνείδεος ὁ χαλκός, ἀλλ' ἐπειδὴ ὑπέστρωται τῷ τεχνίτῃ καὶ ἐπιδέχεται τὸ τοῦ ἀνδριάντος εἶδος, ὥσπερ καὶ ἡ κυρίως ὕλη, διὰ τοῦτο ὕλη λέγεται. καὶ τὸ σχῆμα δὲ εἶδει ἀνάλογον καλεῖται, ἐπειδὴ τυποῖ τὸν χαλκόν· διότι γὰρ ὑπόκειται τοῖς φυσικοῖς μία τις ὕλη, διὰ τοῦτο καὶ εἰς ἄλληλα μεταβάλλουσι πάντα.

1 οὔτε δὲ FMVp Porph.: οὔτε DE ἀντικ. ἔχει p 2 ἐπεὶ—ἀξιοῦσιν (v. 3) om. V 4 οὐ FVp: om. DEM αὐτῷ] αὐτῷ p λέγει scripsi: λέγων libri 5 post γὰρ add. τουτέστι περὶ φυσικῶν λέγοντες γενῶν καὶ εἰδῶν καὶ οὐχ ὡς οἱ Πλατωνικοὶ θεολογικῶς περὶ αὐτῶν πραγματευόμενοι D οὕτω] ταῦτα λέγουσι καὶ V 6 καθόλου] καθολικὰ V πρότερα F 7 εἰς τὸ ἐνεργεία F 8 δὲ αὐτὴν καὶ οὕτως p Porph.: δὲ οὕτως DEV: δὲ οὕτως αὐτήν F: καὶ οὕτως M 9 τῆς τῶν πέντε φωνῶν διαιρ. V 10 λεγούσης ὅτι FVp (fort recte) μέν εἰσιν EMp 11 εἴδους καὶ ὕλης colloc. M 12 αἰτίαν] ἐναντίαν E 14 ὄντα] πράγματα FV εἴδει καὶ ὕλῃ colloc. D 16 ἀνίδεον (ι in ras.) E καὶ (ante κυρίως) om. Fp 17 οὖν om. V 19 τεχνικοῖς p ἀνδρ. γίνεται colloc. M 20 γὰρ] δὲ F ἀνείδεος] εἰ eras. E 24 τοῖς φυσικοῖς post ὕλη transp. FV φυσικοῖς] ὑλικοῖς M

ἀδύνατον δὲ ἦν εἰς ἄλληλα ἅπαντα μεταβάλλειν, εἰ μὴ μία τις καὶ κοινὴ 30r
ὕλη πᾶσιν ὑπέκειτο. οὕτω γοῦν τὰ χαλκᾶ σκεύη δυνατὰ εἰς ἄλληλα μεταβάλλειν κοινὴν ἔχοντα ὕλην, οἷον ἐκ λέβητος εἰς ἀνδριάντα· τὰ γὰρ μὴ 25
ἔχοντα μίαν ὕλην οὐ δύναται μεταβάλλειν εἰς ἄλληλα· οὐ γὰρ ἂν γένοιτό
5 ποτε ἐκ λέβητος τὸ ἀβάκιον. γίνεται δὲ ἐξ ἀέρος ὕδωρ καὶ ἐξ ὕδατος ἀὴρ καὶ ἐξ ἀέρος πῦρ τῷ μίαν ἔχειν τὴν ὑποκειμένην ὕλην· δῆλον ὅτι δεξαμένη αὐτὴ ψυχρότητα καὶ ὑγρότητα γίνεται ὕδωρ, θερμότητα δὲ καὶ ξηρότητα γίνεται πῦρ, καὶ τὰ ἄλλα ὁμοίως. πάντα οὖν τὰ φυσικὰ πράγματα 30
ἐξ ὕλης ἐστὶ κυρίως καὶ εἴδους, ὥσπερ ἄνθρωπος καὶ ἵππος καὶ τὰ ἄλλα,
10 τὰ δὲ τεχνητὰ ἐξ ἀναλόγου μὲν τῇ ὕλῃ, οἷον τῶν ξύλων, ἐξ ἀναλόγου δὲ τῷ εἴδει, τοῦ τοιούτου σχήματος. φησὶν οὖν ὅτι τὸ μὲν γένος ὕλης ἔχει λόγον, αἱ δὲ διαφοραὶ εἴδους· ὥσπερ γὰρ κατὰ μὲν τὴν οὐσίαν οὐδὲν διαφέρει ἀλλήλων οἷον τὰ χαλκᾶ σκεύη, ἡ δὲ διαφορὰ κατὰ τὸ σχῆμα γίνεται, οὕτω κατὰ μὲν τὸ γένος, καθ' ὃ ζῷά ἐσμεν, οὐδὲν διαφέρει ἄνθρωπος, 35
15 ἵππος, κύων καὶ τὰ ἄλλα, κατὰ μέντοι τὰς διαφορὰς διαφέρει· τὸ γὰρ ζῷον δεξάμενον τὸ λογικὸν καὶ τὸ θνητὸν ποιεῖ τὸν ἄνθρωπον, τὸ δ' ἄλογον καὶ τὸ θνητὸν πάλιν δεξάμενον ποιεῖ τὸν ἵππον. ὥστε ὕλῃ μὲν ἀναλογεῖ τὸ γένος, εἴδει δὲ αἱ διαφοραί. ἐπεὶ οὖν ἡ μὲν ὕλη ἑκάστῳ τὸ εἶναι παρέχει, τὸ δ' | εἶδος τὸ τοιόνδε καὶ τὸ τοιόνδε, εἰκότως τὸ μὲν γένος ἐν 30v
20 τῷ τί ἐστι κατηγορεῖται ὡς ἀναλογοῦν τῇ ὕλῃ, ἡ δὲ διαφορὰ ἐν τῷ ὁποῖόν τί ἐστιν ὡς ἀναλογοῦσα τῷ εἴδει.

p. 11,15 Ὁ κοινός τε καὶ εἰδικός.

Κοινὸς ὁ καθόλου, εἰδικὸς δὲ ὁ καθ' ἕκαστα.

p. 11,18 Ὑπογράφουσι δὲ καὶ οὕτως· διαφορά ἐστι τὸ χωρίζειν
25 πεφυκὸς τὰ ὑπὸ τὸ αὐτὸ γένος.

Προσελθὸν γὰρ τὸ λογικὸν καὶ τὸ θνητὸν ἐχώρισε τὸν ἄνθρωπον ἀπὸ τοῦ ἵππου.

1 μεταβάλειν F: μεταβαλεῖν V μὴ om. V 2 καὶ τὰ χαλκᾶ p δυνατὸν FV 3 γὰρ] δὲ V 4 μεταβαλεῖν V 4. 5 ποτε γένοιτο colloc. p 5 ἀββάκιον DEMV 6 τὴν om. F post δῆλον ὅτι add. γὰρ MV: fort. eras. D: om. EFp 7 αὐτὴ DFMV: ἐστὶν αὕτη E: αὕτη p 8 ante γίνεται add. καὶ F 9 καὶ (ante ἵππος) om. FVp 10 τεχνιτὰ V: τεχνικὰ p τῶν ξύλων Ep: τὰ ζῶα D: τοῦ ζώου FMV 11 τοιούτου] τοιοῦδε E φησὶν EFMp: φασὶν DV 12. 13 διαφέρουσιν F 14 καθ' ὃ καὶ ζῶα V 15 καὶ ἵππος καὶ κύων F μέντοι] δὲ p διαφέρουσιν F 17 πάλιν δεξ. πάλιν ποιεῖ D τὸν om. F 18 εἴδη M τὸ εἶναι ἑκάστῳ colloc. FV 19 τὸ τοιόνδε καὶ τὸ τοιόνδε F: τὸ ποῖον καὶ τὸ τοιόνδε DEp: τὸ τοῖον καὶ τοιόνδε M: τὸ τοιόνδε καὶ τοιόνδε V 23 ὁ καθέκαστα εἰδικὸς ὁ καθόλου colloc. FV 24 δὲ om. D δὲ τὰς τοιαύτας διαφορὰς καὶ οὕτως Porph. 26 καὶ τὸ θνητὸν eicias 27 τοῦ ἵππου] τῶν ἄλλων V

p. 12,2 Μὴ τὸ τυχόν φασι τῶν χωριζόντων. 30v

Οὐχ ἡ τυχοῦσα γὰρ διαφορά· οὐδὲ γὰρ ἡ κοινῶς οὐδὲ ἡ ἰδίως οὐδὲ 6
τὸ καθέζεσθαι καὶ ἑστάναι ἢ τὸ σιμὸν καὶ τὸ γρυπὸν χωρίζει, ἀλλ' ἡ
ἰδιαίτατα ἢ συστατική, τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν εἶναι· τοῦτο γὰρ
5 μόνῳ ἀνθρώπῳ ὑπάρχει, ἐπεὶ οὐδὲ θεῷ ὡς κρείττονι πάσης γνώσεως, οὐδὲ
τοῖς ἀλόγοις ὡς μηδὲ πεφυκόσι, καὶ πάλιν οὐ τῆσδέ τινος ἐπιστήμης 10
(ἐπεὶ εἰ γραμματικῆς μόνης, γραμματικὸν παραλαμβάνεις), ἀλλὰ πάσης.

p. 12,3 Καὶ τοῦ τί ἦν εἶναι καὶ ὃ τοῦ πράγματός ἐστι μέρος.

Ἀντὶ τοῦ 'καὶ εἰς τὸν ὁρισμόν'· τὸ γὰρ τί ἦν εἶναι σημαίνει παρὰ
10 Ἀριστοτέλει τὸν ὁρισμόν (ὥσπερ ⟨παρὰ⟩ τοῖς γραμματικοῖς ἡ μῆνις τὴν
ὀργήν), ἐπειδὴ ὁ ὁρισμὸς τὸ τί ἐστιν ἑκάστου καὶ τὸ εἶναι σημαίνει. ὃ
οὖν μέρος ἐστὶ τοῦ ὁρισμοῦ, ἐκεῖνο διακρίνει· τὸ γὰρ νοῦ καὶ ἐπιστήμης
δεκτικὸν μέρος γίνεται τοῦ ὅρου· διὰ τοῦτο αὕτη ἡ διαφορὰ ἀπὸ τῶν
ἄλλων διακρίνει τὸν ἄνθρωπον. 15

15 p. 12,4 Οὐ γὰρ τὸ πεφυκέναι πλεῖν.

Οὐ λέγει τὸ πλεῖν τὸ νήχεσθαι ἢ τὸ φέρεσθαι ἐπὶ τοῦ ὕδατος (οὕτως
γὰρ καὶ τὰ ἄλογα καὶ τὰ ἄψυχα πεφύκασι πλεῖν), ἀλλὰ τὸ ναυτίλλεσθαι·
τοῦτο γὰρ ἴδιον ἀνθρώπου. ἀλλ' οὐ κατὰ τὸ ναυτίλλεσθαι ὁ ἄνθρωπος
χαρακτηρίζεται, ἐπεὶ εἰ οὕτω, οἱ μὴ ναυτιλλόμενοι οὐκ ἂν ἦσαν ἄνθρωποι.

20 Περὶ ἰδίου.

p. 12,13 Τὸ δὲ ἴδιον διαιροῦσι τετραχῶς. 20

Πληρώσας τὸν περὶ τῆς διαφορᾶς λόγον περὶ τοῦ ἰδίου λοιπὸν δια-

---

2 γὰρ (post τυχοῦσα) om. MVp γὰρ (post οὐδὲ) om. p 3 τὸ ἑστάναι V καὶ (post σιμὸν)] ἢ FV 4 ἢ] ἡ MV συστατικὸν Fp τὸ V: τοῦ DEFMp 5 οὐδὲ—οὐδὲ] an οὔτε—οὔτε? πάσης γν. κρείττονι colloc. Ep 6 ὡς μηδὲ πεφυκόσι DEFM: ὡς μὴ πεφύκασι V: ἐπεὶ οὐδ' αὐτοῖς πέφυκε p; cogitando suppleveris ἐπιστήμης δεκτικοῖς εἶναι οὐ] οὐδὲ V 7 ἐπεὶ εἰ EM: ἐπεὶ DF: ἐπειδὴ εἰ V: οὐδὲ p τῆς γραμματικῆς p γραμματικὸν παραλαμβάνεις om. p γραμματικὸν DFV: γραμματικὴν E: γραμματικούς M ἀλλὰ πάσης in lac. XII litter om. F 8 καὶ ὃ τοῦ τί ἦν εἶναι τοῦ πρ. Porph., quod etiam hic restitui iubet comm. 10. 11 ὥσπερ—ὀργήν fort. eicias 10 ὥσπερ παρὰ τοῖς γρ. scripsi: ὥσπερ τοῖς γρ. DEF: ὥσπερ ἐν τοῖς γρ. M (?) p: oblitt. V post μῆνις add. σημαίνει V 11 ἕκαστον V 13 εἶναι δεκτ. V: δεκτ. εἶναι p διὰ τοῦτο οὖν M 16 οὐ λέγει—πλεῖν (v. 17) om. F τὸ (ante πλεῖν) om. V νήχεσθαι] πορεύεσθαι V 17 ἄψυχα καὶ τὰ ἄλογα colloc. D ναυτλεσθαι (ubique) F 18 τοῦ ἀνθρ. V 19 εἰ οὕτω D: οὕτως EFMVp 20 τοῦ ἰδίου Ep 21 διαιροῦσι om. M 22 τῶν διαφορῶν F

λέγεται· τοῦτο γὰρ ἦν ἀκόλουθον κατὰ τὴν εἰρημένην τάξιν· διαλεχθεὶς 30v
γὰρ περὶ τῶν οὐσιωδῶν, ἀναγκαίως καὶ περὶ τῶν ἐπουσιωδῶν διαλέγεται.
ἀλλὰ ἀπὸ τοῦ ἰδίου ἄρχεται ὡς μεταιχμίου ὄντος· κοινωνεῖ γὰρ καὶ τοῖς
οὐσιώδεσι, καθὸ μόνῳ καὶ παντὶ καὶ ἀεὶ ὑπάρχει τὸ κυρίως ἴδιον, ὥσπερ 25
5 καὶ τὰ οὐσιώδη (καὶ γὰρ ταῦτα καὶ πᾶσι καὶ ἀεὶ ὑπάρχει, οἷς ὑπάρχει),
κοινωνεῖ δὲ καὶ τοῖς συμβεβηκόσιν, ὅτι ὥσπερ ἐκεῖνα τῇ ἐπινοίᾳ χωρίζεται
τοῦ ὑποκειμένου, οὕτω καὶ τὸ ἴδιον τῇ ἐπινοίᾳ χωρίζεται. πάλιν δὲ κατὰ
τὸ αὐτὸν τύπον τῆς διδασκαλίας πρότερον τὰ σημαινόμενα ἀπαριθμεῖται,
καὶ οὕτως λέγει ποίου πέρι τοῖς φιλοσόφοις ὁ λόγος. τρόπον οὖν τινα
10 διαιρεῖ εἰς τέσσαρα τὸ ἴδιον καί φησιν οὕτως· τὸ ἴδιον ἢ μόνῳ τινὶ εἴδει 30
ὑπάρχει ἢ οὐ μόνῳ, καὶ εἰ μόνῳ, ἢ παντὶ τῷ εἴδει ἢ οὐ παντί, καὶ εἰ
μὴ μόνῳ, πάλιν ἢ παντὶ ἢ οὐ παντί, ἢ ἀεὶ ἢ οὐκ ἀεί. ἡ μὲν οὖν διαίρεσις
αὕτη. καὶ ἔστιν ἓν μὲν σημαινόμενον καὶ πρῶτον ὃ μόνῳ τινὶ συμβέβηκεν,
οὐ παντὶ δέ, ὡς τῷ ἀνθρώπῳ τὸ ἰατρεύειν τὸ φιλοσοφεῖν τὸ ἀστρονομεῖν
15 τὸ γεωμετρεῖν ἤ τι τῶν τοιούτων. δεύτερον δὲ ὃ παντὶ μέν, οὐ μόνῳ δέ,
ὡς ἀνθρώπῳ τὸ εἶναι δίποδι· παντὶ γὰρ ἀνθρώπῳ ὑπάρχει, οὐ μόνῳ δέ· 35
καὶ γὰρ καὶ πετεινοῖς ὑπάρχει τὸ δίποσιν εἶναι. τρίτον δὲ ὃ καὶ μόνῳ καὶ
παντί, οὐκ ἀεὶ δὲ ἀλλὰ ποτέ, ὡς ἀνθρώπῳ τὸ ἐν γήρᾳ πολιοῦσθαι· μόνῳ
γὰρ καὶ παντί, ἀλλ' οὐκ ἀεὶ πεπολίωται, ἀλλ' ἐν γήρᾳ. τέταρτον δὲ ἐφ'
20 οὗ συνδεδράμηκε καὶ τὸ μόνῳ καὶ παντὶ καὶ ἀεί, οἷον τῷ ἀνθρώπῳ τὸ 31r
γελαστικὸν καὶ τῷ ἵππῳ τὸ χρεμετιστικὸν καὶ κυνὶ τὸ ὑλακτικόν. τούτων
δὲ ἕκαστον λέγεται κατὰ δύναμιν, οὐ κατ' ἔνεργειαν· οὐ γὰρ καθὸ γελᾷ
ἢ χρεμετίζει, γελαστικὸν λέγεται ἢ χρεμετιστικόν, ἀλλὰ καθὸ πέφυκε. 5
τοῦτο γὰρ ἐστι τὸ κυρίως ἴδιον τὸ μόνῳ καὶ παντὶ καὶ ἀεὶ ὑπάρχον, ᾧτινι
25 ὁ Πορφύριος κατεχρήσατο ἐπὶ τῶν ἄλλων σημαινομένων καὶ ἁπλῶς τὸ
κοινότερον λεγόμενον ἴδιον λαβὼν εἰς τέσσαρα διεῖλε. τριῶν οὖν οὐσῶν
ἀντιθέσεων, ἐξ ὧν τὰ τοῦ ἰδίου σημαινόμενα εἴληπται, τούτων πρὸς ἄλληλα
συμπλεκομένων, πλείονες γίνονται σχέσεις αὐτῶν, ἐξ ὧν αἱ μέν εἰσιν ἀσύ-
στατοι αἱ δὲ συνιστάμεναι, ὡς διὰ τῶν ὑπογραμμάτων δείκνυται.

---

2 ἀναγκαίως om. V ἐπουσ.] cf. p. 33,20 not. 3 post ἀλλὰ add. καὶ FVp μεταιχμίου τινὸς p 4 ἀεὶ καὶ παντὶ colloc. D post ὑπάρχει add. οἷς ὑπάρχει V 5 καὶ γὰρ καὶ V 7 χωρίζονται V 8 τύπον DEFVp: τρόπον M post πρότερον add. αὐτοῦ FVp ἀπαριθμεῖ M 9 ποίου πέρι D: ποίου περὶ E: περὶ ποίου FMVp 10 διαιρεῖται V εἴδει om. DEM: post ὑπάρχει (11) transp. p 11 post εἴδει add. ὑπάρχει Vp post παντί addas ἢ ἀεὶ ἢ οὐκ ἀεί 12 μὴ om. V 14 δὲ om. V 15 τῶν τοιοῦτον V δὲ καὶ ὃ M οὐ] μὴ FV 16 ὡς τῷ ἀνθρ. FVp 17 καὶ (ante μόνῳ) om. FV 18 τῷ ἀνθρ. Fp 21 καὶ ἵππῳ EM καὶ τῷ κυνὶ p 23 χρεμμετίζει D χρεμετικόν E 24 τὸ καὶ κυρίως F τὸ τῷ μόνῳ p ὑπάρχειν F ὥτινι M: ὥστε DEFVp 24 κατεχρήσατο] οὐκ ἐχρήσατο M 26 ἴδιον λαβὼν λεγ. colloc. F τριῶν—δείκνυται (v. 29) eicias aut ante καὶ ἔστιν ἓν μὲν (v. 13) transponas οὖν om. V 27 σημαινομένου M 28 αἱ superscr. E 29 συνιστάμεναι DEFMp: συστατικαὶ V ὑπογραμμάτων] ὑπογραφετῶν M: ὑπογραμμῶν Vp

p. 12,19 Τοῦτο δ' αὐτῷ ἀεὶ σύμφυτον. 31r

Τῷ εἰπεῖν σύμφυτον τὴν δύναμιν καὶ τὸ πεφυκέναι ἐδήλωσεν, οὐ τὴν ἐνέργειαν· εἰ γὰρ καὶ μὴ ἀεὶ γελῶμεν, ἀλλὰ γελαστικοὶ εἶναι λεγόμεθα ἀεί· δυνάμει γὰρ ἔχομεν τὸ γελᾶν ἀεὶ καὶ πεφύκαμεν γελᾶν ἀεί. γελαστικοὶ οὖν ἐσμεν οὐ γελῶντες ἀεί· ἄλλο γὰρ τὸ γελᾶν καὶ ἄλλο τὸ γελαστικόν, καὶ ἄλλο τὸ χρεμετίζειν καὶ ἄλλο τὸ χρεμετιστικόν.

Περὶ συμβεβηκότος.

p. 12,24 Συμβεβηκὸς δέ ἐστιν ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς.

Τῶν προκειμένων πραγμάτων πρὸς τὴν διδασκαλίαν ὑστάτην τάξιν ἔχει τὸ συμβεβηκός· λείπεται τοίνυν περὶ τούτου τὸν λόγον ποιήσασθαι. ἰστέον δὲ ὅτι οὐ κατὰ τὴν εἰωθυῖαν διδασκαλίαν καὶ περὶ τούτου ἐδίδαξεν· ἐπὶ μὲν γὰρ τῶν ἄλλων φωνῶν πρότερον ἀπηριθμήσατο τὰ διάφορα αὐτῶν σημαινόμενα καὶ τότε ἔλεγε περὶ ποίου τοῖς φιλοσόφοις ὁ λόγος· ἐνταῦθα δὲ οὐ τοῦτο ποιεῖ, ἀλλ' εὐθὺς τὴν ὑπογραφὴν τοῦ συμβεβηκότος λέγει εἰδὼς ὅτι περὶ πάντων τῶν σημαινόμενων τοῦ συμβεβηκότος ὁ λόγος τοῖς φιλοσόφοις. εἰ δὲ τὸ συμβεβηκὸς γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, δῆλον ἐντεῦθεν, ὡς οὐκ εἰσὶ σώματα τὰ συμβεβηκότα· εἰ γὰρ ἦσαν σώματα, προστιθέμενα μὲν τοῖς σώμασιν εἶχον αὐτὰ δηλονότι αὔξειν, ἀφαιρούμενα δὲ μειοῦν· εἰ δὲ μήτε προστιθέμενα μήτε ἀφαιρούμενα λυμαίνεται τὰ σώματα, ἀσώματα ἄρα ἐστί. καὶ ἄλλως· εἰ ἦσαν σώματα, ἔμελλεν εἷς τόπος σωμάτων εἶναι περιεκτικὸς πλειόνων, ὅπερ ἀδύνατον· ἐν γὰρ τῷ μήλῳ ἔστι καὶ εὐωδία καὶ χροιὰ καὶ γλυκύτης, καὶ ταῦτα εἰ ἦν σώματα, οὐκ ἔμελλεν ἕνα ἔχειν τόπον, ὅπερ ἀδύνατον· σῶμα γὰρ διὰ σώματος χωρῆσαι ἀδύνατον. καὶ ὅτι μὲν τὰ χωριστὰ συμβεβηκότα τὸ ὑποκείμενον οὐ λυμαίνεται αὐτῷ γινόμενα καὶ ἀπογινόμενα,

1 τοῦτο—σύμφυτον MV: τούτω δ' αὐτῶ ἀεὶ σύμφυτα τέσσαρα DEFp 2 τῷ δὲ εἰπεῖν p σύμφυτον] σύμφυτα D ἐδήλωσεν post σύμφυτον transp. V 3 γελαστικὰ λεγόμεθα (εἶναι et ἀεί om.) V 4 ἀεὶ γὰρ ἔχ. τὸ γ. δυνάμει colloc. V ἀεὶ τὸ γελᾶν colloc. M καὶ] κἂν μὴ V ἀεὶ γελᾶν colloc. FV 6 χρεμμετίζειν D 8 δέ om. D 10 ὑστάτην scripsi: ὑστέραν libri 11 ποιεῖσθαι FV 12 οὐ MVp: om. DF: superscr. E 13 διάφορα] δια iter. V αὐτῶν] τούτων V 15 εὐθέως F 16. 17 τοῖς φιλ. ὁ λόγος colloc. M 18 τὰ om. DE 19 ἦσαν] ἦν M 20. 21 ἀφαιρ. μήτε προστιθ. colloc. V 21 λυμαίνονται MV τοῖς σώμασιν V ἄρα ἀσώμ. ἐστί V: ἄρα τὰ συμβεβηκότα ἀσώμ. ἐστί p εἰσί DEM 22 πλειόνων post τόπος transp. FVp εἶναι σωμ. colloc. F 23 ἐν γὰρ—ὅπερ ἀδύνατον (v. 24) eicias 24 οὐκ] πολλὰ σώματα V 25 χωρίσαι MV 26 τὸ ὑποκείμενον F: τοῦ ὑποκειμένου DEVp: τῶ ὑποκειμένω M αὐτῶ M: αὐτὸ (?) D: αὐτὰ EFp: αὐτοῖς V

δῆλον (τὸ γὰρ καθῆσθαι ἢ ἑστάναι ἢ θερμαίνεσθαι ἢ ψύχεσθαι γίνονται 31r
καὶ ἀπογίνονται μὴ φθείροντα τὸ ὑποκείμενον)· ἆρα οὖν καὶ τὰ ἀχώριστα
ἀπογίνεται μὴ λυμαινόμενα τὸ ὑποκείμενον, σιμότης λέγω καὶ γρυπότης
καὶ μελανία ἡ ἐν τῷ κόρακι; φαμὲν οὖν ὅτι εἰ καὶ μὴ τῇ ἐνεργείᾳ, ἀλλ'
5 οὖν γε τῇ ἐπινοίᾳ καὶ ταῦτα χωρίζεται· κἂν γὰρ εὐθεῖαν ἢ καμπύλην 35
νοήσῃς τὴν ῥῖνα, μένει ῥὶς οὐδὲν ἧττον.

Εἴωθε δέ τινα περὶ τοῦ ἀποδιδομένου ὁρισμοῦ ἀπορεῖσθαι· φασὶ γάρ,
ὡς ἤδη εἴρηται, μὴ πᾶσιν ἁρμόζειν τοῖς συμβεβηκόσι τὸν ὁρισμὸν ἀλλὰ
τοῖς χωριστοῖς. τὸ γίνεσθαι καὶ ἀπογίνεσθαι· τὸ γὰρ ἐν τῷ Αἰθίο πι 31v
10 ἢ τῷ κόρακι μέλαν ἀδύνατον ἀπογίνεσθαι χωρὶς τῆς τοῦ ὑποκειμένου φθο-
ρᾶς. εἴπομεν δὲ ἤδη ὅτι εἰ καὶ μὴ κατ' ἐνέργειαν ἀπογίνεται, ἀλλ' οὖν
τῇ ἐπινοίᾳ ὁ κόραξ καὶ ὁ Αἰθίοψ λευκός, τοῦ δὲ ἀνθρώπου τὸ ζῷον οὐδὲ
τῇ ἐπινοίᾳ χωρίσαι δυνατόν· ἅμα γὰρ τῷ νοῆσαι ἄνθρωπον μὴ εἶναι ζῷον
φθείρομεν αὐτόν, ἐπινοήσαντες δὲ τὸν κόρακα μὴ εἶναι μέλανα ἢ τὸν Αἰ- 5
15 θίοπα οὐ φθείρομεν αὐτοῦ τὴν οὐσίαν ὡς κόρακος ἢ ἀνθρώπου. ἀμέλει
καὶ εἰ ἀφέλοι τις τοῦ κόρακος τὰ πτερά, οὐδὲν ἧττον ἔσται κόραξ, καὶ τὸν
Αἰθίοπα εἰ λευκὸν ἐπινόησεις, οὐδὲν ἧττόν ἐστιν ἄνθρωπος, ὥστε καὶ τὰ
ἀχώριστα εἰ καὶ μὴ τῇ ἐνεργείᾳ ἀπογίνεται, ἀλλ' οὖν τῇ ἐπινοίᾳ. ἀπο-
ρεῖται δὲ καὶ τοῦτο, πῶς λέγεται γίνεσθαι καὶ ἀπογίνεσθαι χωρὶς
20 τῆς τοῦ ὑποκειμένου φθορᾶς· ὁ γὰρ πυρετὸς γινόμενος φθείρει τὸν 10
ἄνθρωπον. φαμὲν οὖν ὅτι καθάπερ ἐν ταῖς χορδαῖς ἐπιτεινομένων καὶ
ἀνιεμένων τὴν ἁρμονίαν λύεσθαι συμβαίνει, τὸ μέντοι ὑποκείμενον οὐ φθεί-
ρεται, οὕτω καὶ ἐνταῦθα θερμότητος ἢ ψύξεως ἀμέτρου γινομένης ἤ τινος
τῶν παραπλησίων τὴν μὲν συμμετρίαν καὶ ἁρμονίαν τὴν ἐν τῷ ζῴῳ συμ- 15
25 βαίνει φθείρεσθαι, σώζεται δὲ τὸ ὑποκείμενον, τοῦτ' ἔστι τὸ σῶμα· τὸ γὰρ
τῇ θέρμῃ ἢ τῇ ψύξει ὑποκείμενον οὐχ ἁπλῶς τὸ ζῷόν ἐστιν, ἀλλὰ τὸ
σῶμα. σύνθετον δὲ τοῦτό ἐστιν ἐκ τῶν ἐναντίων ψυχρῶν καὶ θερμῶν,

1 ἢ (ante ἑστάναι)] καὶ FV θερμαίνεσθαι Vp: μελαίνεσθαι DEFM 1. 2 γίνεται καὶ ἀπογίνεται FVp 2 οὖν] δὲ FV 3 μὴ superscr. D λυμαιν.] φθείροντα V τῷ ὑποκειμένῳ M 4 ἡ μελ. ἡ ἐν F ἐν τῷ κόρακι μελ. (ἡ om.) colloc. V μὴ καὶ colloc. F 5 γε om. M χωρ. καὶ ταῦτα colloc. V εὐθεῖα ἢ E 6 τὴν ῥῖνα νοήσῃς colloc. V 7 ἀποδεδομένου F 9 τὸ γίνεσθαι λέγω FVp (fort. recte) καὶ τὸ ἀπογίν. D 10 ἀπογενέσθαι FVp 11 εἴπωμεν V εἰ καὶ μὴ FVp: εἰ μὴ DEM 12 λευκός] τοῦ μέλανος χωρίζεται V 13 τὸ νοῆσαι Dp τὸν ἄνθρ. FVp 14 ἐπινοοῦντες V 15 αὐτοῦ] αὐτῶν V (fort. recte) ἢ ὡς ἄνθρ. V 16 εἰ superscr. D τὰ τοῦ κ. πτερά V πτερά] πτηνά M ἔσται — ἧττον (v. 17) om. (ἐστὶ κόραξ superscr.) E ἔσται] ἐστί p 17 ἐπινοήσῃς p 18 εἰ καὶ μὴ D: εἰ μὴ EFMVp (cf. v. 4. 11) 19 λέγεται om. V 20. 21 τὸν ἄνθρωπον] τὸ ζῶον FVp 21 ante φαμὲν add. φαμὲν τοίνυν ὡς τοῦτο οὐ περὶ (οὐκ ἐπὶ p) τοῦ πυρετοῦ (πυρέττειν p) μόνον ἔδει ἀπορεῖν, ἀλλὰ καὶ περὶ ἀμέτρου ψύξεως καὶ ξηρότητος καὶ ὑγρότητος· ταῦτα γὰρ πάντα προσγινόμενα φθείρει τὸ ζῶον Vp οὖν] τοίνυν FV 22 ἀνιεμένων F: ἀνειμένων DEMVp τὴν ἁρμονίαν— ὑποκείμενον om. E λύεσθαι] γίνεσθαι p 24 τὴν ἐν τῷ ζῷῳ om. V 25 σώζεσθαι corr. ex σώζεται E δὲ iter. F 26 θέρμει E 27 ἐκ] εἰς τὸ V 27. p. 112,1 ψυχρῶν καὶ θερμῶν, ξηρῶν καὶ ὑγρῶν D: ψυχρῶν καὶ θερμῶν

ξηρῶν καὶ ὑγρῶν ("εἰ γὰρ ἓν ἦν ὁ ἄνθρωπος", φησὶν ὁ Ἱπποκράτης, "οὐκ 31v
ἂν ἤλγεεν, εἰ δὲ καὶ ἤλγεεν, ἓν ἦν καὶ τὸ ἰώμενον αὐτόν") κραθέντων
ἀλλήλοις καὶ εἰς ἕνωσιν καὶ φιλίαν ἁρμοσθέντων· οὐκ ἐκ τῶν εἰρημένων 20
δὲ μόνον ἐναντίων ποιοτήτων συντίθεται τοῦ ζῴου τὸ σῶμα, ἀλλὰ καὶ ἐξ
5 ὑποκειμένου τινὸς τριχῇ διαστατοῦ κατὰ τὸν ἴδιον λόγον ἀποίου σώματος,
ἐν ᾧ ὑφίσταται πᾶσα ποιότης. οὐδεμία δὲ ποιότης μάχεται τῷ ἰδίῳ ὑπο-
κειμένῳ ἢ φθείρει τὸ ἐν ᾧ τὴν ὑπόστασιν ἔχει· φθείρουσα γὰρ τὸ ὑποκεί-
μενον καὶ ἑαυτὴν συμφθείρει· τοῦ γὰρ ἐν ᾧ τὴν ὕπαρξιν ἔχει φθαρέντος
καὶ αὐτὴν συμφθείρεσθαι ἀνάγκη καθ' ἑαυτὴν εἶναι μὴ δυναμένην. οὐδὲν 25
10 δέ ἐστιν ἑαυτοῦ φθαρτικόν· ποιότης γὰρ ποιότητι μάχεται, οὐχ ὑποκει-
μένῳ καὶ σώματι. ὥστε ἀδύνατον τὸν πυρετὸν ἢ ἑτέραν ὅλως ποιότητα
φθείρειν τὸ ἴδιον ὑποκείμενον· ἕκαστον γὰρ τοῦ εἶναι ἐφίεται. ἐπειδὰν
γοῦν μίαν τῶν ἐναντίων τούτων ποιοτήτων ἐξ ὧν τὸ σῶμα κέκραται
πλεονάσαι συμβαίῃ, φθείρεσθαι τὴν τοῦ παντὸς σώματος ἁρμονίαν ἀνάγκη·
15 καταλαβεῖν γὰρ σπουδάζουσα τὸ ὑποκείμενον ὡς ἐν τούτῳ σωζομένη φθεί- 30
ρει τὴν μαχομένην αὐτῇ, ἵν' ἐκείνην ἐξωθήσασα τὸν αὑτῆς καταλάβῃ
τόπον, ὥσπερ οἱ περὶ κοινοῦ χωρίου πολεμοῦντες ἀλλήλοις· σπεύδει γὰρ
ἕκαστος τὸν ἀντικείμενον ἀπωθήσας αὐτὸς ἐν καθέξει τοῦ χωρίου γενέσθαι.
οὕτως οὖν φέρε καὶ τοῦ θερμοῦ καὶ ψυχροῦ μαχομένων περὶ τὸ αὐτὸ ὑπο-
20 κείμενον ἐν ὅσῳ μὲν οὐδέτερον ἐπικρατεῖ, ἐν συμμετρίᾳ ἐστὶ τούτων τὸ
ὑποκείμενον, θατέρου δ' ἐπικρατήσαντος τὸ μὲν ἀντικείμενον φθαρὲν ὑπὸ 35
τοῦ ἐπικρατήσαντος ἐξίσταται, τὸ δ' ὑποκείμενον οὐδὲν πάσχει, οὐδ' ὑπὸ
τῆς ἐπικρατούσης ποιότητος φθείρεται. ὥστε ὑπὸ τοῦ πυρετοῦ ἡ μὲν
ἁρμονία καὶ ἡ εὐκρασία τῶν ἐν τῷ σώματι ποιοτήτων φθείρεται, αὐτὸ δὲ
25 τὸ σῶμα, ὅπερ ὑποκείμενον ἦν ταῖς ποιότησιν, οὐ φθείρεται.

Ἴσως δ' | ἄν τις ἐνσταίη ἡμῖν πρὸς τὰ εἰρημένα, ὡς τῷ πυρετῷ ὑπο- 32r
κείμενόν ἐστιν οὐχ ἁπλῶς τὸ σῶμα, ἀλλὰ τὸ τοιῶσδε κεκραμένον τοῦ

καὶ ὑγρῶν καὶ ξηρῶν E: θερμῶν καὶ ψυχρῶν, ξηρῶν τε καὶ ὑγρῶν F: ψυχροῦ καὶ θερμοῦ M: ψυχρῶν τε καὶ θερμῶν ξηρῶν τε καὶ ὑγρῶν Vp 1 ἦν ἓν colloc. p ὁ (ante Ἱπποκρ.) om. FMVp (cf. Περὶ φύσιος ἀνθρώπου c. 3. I 350 Kühn.) 1. 2 οὐκ ἂν] οὐδέποτ' ἂν Hippocr. 2 εἰ δὲ καὶ ἤλγεεν DE: εἰ δ' οὖν καὶ ἀλγήσει Hippocr.: om. FMVp ἓν ἦν] ἦν δ' ἂν ἓν p: ἀνάγκη . . . ἓν εἶναι Hipp. καὶ τὸ ἰώμενον Fp Hippocr.: τὸ ἰώμενον DEMV κραθέντων οὖν V: νῦν δὲ κραθέντων αὐτῶν p 3 ἀλλήλοις scripsi: ἀλλήλων libri post ἁρμοσθέντων add. τῶν τοιούτων στοιχείων V 4 ποιοτήτων post εἰρημένων transp. V συντίθεται D: συντέθειται EFMVp τὸ τοῦ ζ. σῶμα colloc. FVp 6 ποιότης πᾶσα colloc. V 8 συμφθείρει FMVp: φθείρει (συμ superscr.) D: φθείρει E 9 αὐτὴν F: ἑαυτὴν DEMVp μὴ om. V 10 οὐχὶ τῷ p 11 καὶ om. Vp τὸν om. p πυρετὸν ex περιττὸν corr. E ὅλως om. V 12 ἐπειδὰν—φθείρεται (25) eicias 13 γοῦν] οὖν FV τῶν ἐν. μίαν colloc. M τούτων om. V κέκραται τὸ σῶμα colloc. p συγκέκραται V 14 συμβαίῃ DEFM: συμβαίνει V: συμβῇ p 15 καταλαβεῖν] καταβαλεῖν M 15. 16 ὡς ἐν τούτῳ—αὐτῇ Dp: om. EFMV 16 post αὐτῇ add. καὶ ἐναντίαν p ἐξωθήσωσι E ἑαυτῆς V 18 καὶ ἕκαστος F 19 καὶ (ante τοῦ θερμοῦ) EMVp: om. DF τοῦ ψυχροῦ καὶ θερμοῦ colloc. V τοῦ ψυχροῦ M περὶ τὸ αὐτὸ μαχ. colloc. FV 23. 24 ἡ μὲν εὐκρασία καὶ ἁρμονία M 24 φθείρεται] μάχεται D 27 οὐ τὸ ἁπλῶς colloc. M κεκραμμένον EFp: κεκρασμένον V

ζῴου σῶμα, ὅπερ φθείρεται ἀμέτρως αὐτῷ ἢ πυρετοῦ ἢ ψύξεως ἐπιγινο- 32r
μένων ἤ τινος τῶν παραπλησίων· οὐ γὰρ ἡ τυχοῦσα ἄμετρος θερμότης
πυρετός ἐστιν, οἷον ἡ ἐν τῷ σιδήρῳ ἢ ἐν τῷ πυρί, ἀλλ' ἡ ἐν ζῴου σώ-
ματι· ἀμέλει φθειρομένου τούτου καὶ ὁ πυρετὸς συμφθείρεται ὡς ἐν αὐτῷ 5
5 τὸ εἶναι ἔχων. ἐπιλυόμεθα οὖν τὴν ἀπορίαν ταύτην ἐξ ἀρχῆς τοῦτον τὸν
τρόπον· αἱ κινήσεις καὶ αἱ μεταβολαὶ ἐν τέσσαρσι γίνονται κατηγορίαις· ἢ
γὰρ ἐν οὐσίᾳ ἢ ἐν ποσῷ ἢ ἐν ποιῷ ἢ ἐν τῇ ποῦ κατηγορίᾳ. καὶ ἡ μὲν
κατ' οὐσίαν μεταβολὴ ποιεῖ τὴν γένεσιν καὶ τὴν φθορὰν (γένεσις μὲν γάρ
ἐστιν ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν μεταβολή, φθορὰ δὲ ἡ ἐκ τοῦ ὄντος
10 εἰς τὸ μὴ ὄν). κατὰ ποσὸν δὲ αὔξησις καὶ μείωσις, κατὰ ποιὸν δὲ ἀλλοίω- 10
σις λεύκανσις μέλανσις καὶ θέρμανσις καὶ αἱ κατὰ τὰς λοιπὰς ποιότητας
κινήσεις. ἔτι δὲ καὶ ἡ κατὰ τόπον μεταβολή, ἣν καλοῦσι φορά. εἰ τοίνυν
ἡ γένεσις οὐσιώδης ἐστὶ μεταβολὴ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν ἄγουσα καὶ
ἡ ἀντικειμένη ἄρα ταύτῃ φθορὰ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὂν ἄγουσα. καὶ
15 αὕτη κατ' οὐσίαν ἐστί μεταβολή· ὥστε ὁ πυρετὸς εἰ φθείρει τὸ ὑποκεί- 15
μενον, οὐκ ἂν εἴη συμβεβηκὸς ἀλλὰ κατ' οὐσίαν μεταβολή· ἐπειδὴ γὰρ
ἡ γένεσις καὶ ἡ φθορὰ ἀλλοίωσις μὲν οὐκ ἔστιν, οὐκ ἄνευ δὲ ἀλλοιώσεως
γίνονται, ὅταν μὲν οὖν μετρία γένηται ἀλλοίωσις, θερμασία ἢ ψύξις, ὥστε
μὴ φθείρειν τὴν τοῦ ζῴου συμμετρίαν, συμβεβηκὸς ἡ τοιαύτη ποιότης
20 ἐστίν, ἥτις καὶ ἀπογίνεται μὴ φθείρουσα τὸ ὑποκείμενον. ὅταν δὲ ἐπὶ
πλεῖστον ἐκταθῇ, ὡς τὴν συμμετρίαν τῆς τοῦ ὑποκειμένου κράσεως φθεῖ- 20
ραι, τότε λοιπὸν οὐκ ἔστιν ἀλλοίωσις τὸ τοιοῦτον οὐδὲ κατὰ συμβεβηκὸς
μεταβολὴ ἀλλ' αὐτῆς τῆς οὐσίας. ὥστε οὐ πᾶς πυρετὸς φθείρει τὸ ὑπο-
κείμενον, ἀλλ' ὁ ἄμετρος, ὃς οὐδὲ συμβεβηκός ἐστιν, ἀλλ' εἰς τὸ μὴ ὂν
25 μεταβολή.

Ἀποροῦσι δὲ καὶ περὶ τῆς φαλάκρας· φασὶ γὰρ φθείρειν τὸ ὑποκεί-
μενον, τὰς τρίχας. ἰστέον τοίνυν, ὅτι οὐχ ὑπόκεινται τῇ φαλάκρᾳ αἱ τρί-
χες ἀλλ' ἡ κεφαλή, καὶ αὕτη οὐ φθείρεται.

1 ἢ ψύξεως ἢ πυρετοῦ M: ψύξεως ἢ πυρετοῦ (ἢ prius om.) V 1. 2 ἐπιγινομένων D²Ep: ἐπιγενομένων D¹FM: ἐπιγινομένου V 2 τυχοῦσα] τυχότης M θερμασία V 3 ἡ (post οἷον) om. EM ἐν σιδήρῳ FVp ἐν πυρί EFMVp ἡ (post ἀλλ')] ὡς F 4 συμφθείρεται] φθείρεται D (cf. p. 112,8) 5 ἔχον F ἐπιλυόμεθα] ἐπιλαβόμεθα V τῆς ἀπορίας V ταύτην ἐξ ἀρχῆς F: τὴν ἐξ ἀρχῆς DEMp: τῆς ἐξ ἀρχῆς V 5. 6 τοῦτον τὸν τρόπον D: οὕτως EMp: τὸν τρόπον τοῦτον FV 6 αἱ (ante μεταβ.) om. FV τέτρασι EFVp 7 ἐν (ante ποιῷ) om. EMV τῇ τοῦ ποῦ FMVp 9 ὄν] εἶναι D (cf. v. 10) 10 ποιὸν δὲ FMVp: ποιὸν DE 11 καὶ μέλανσις F: om. p (recte) 12 φορά] φθορὰν E¹M εἰ om. EM οὐσιώδης] οὐσιότης M 13 ἐκ τοῦ μὴ—μεταβολή (v. 15) om. EFM 14 ἀντικειμένη ἄρα ταύτῃ om. V 16 post μεταβολή add. ἣν καλοῦσι φθορὰν p 18 γίνεται V οὖν om. FV γένηται] γίνεται E: γίνηται FV ἡ ἀλλοίωσις M 21 ἐπιταθῇ F 21. 22 διαφθεῖραι M 23 φθείρει πυρετὸς colloc. V¹ 23. 24 τὸ ὑποκείμενον D: om. DFMVp μὴ om. F 26 τὰς φαλάκρας V φησὶ M 27 ἤγουν τὰς τρίχας p 28 ἀλλὰ τῇ κεφαλῇ E αὕτη] αὐτὴ F

p. 12,26 Τὸ δὲ μέλαν εἶναι ἀχωρίστως τῷ κόρακι καὶ τῷ Αἰθίοπι. 32r

Καλῶς εἶπε τῷ κόρακι καὶ τῷ Αἰθίοπι· εἰσὶ γὰρ πολλὰ μέλανα, ἃ λευκαίνονται. εἶπον δὲ ὅτι καὶ τὰ ἀχώριστα συμβεβηκότα ἔστι χωρίσαι τῇ ἐπινοίᾳ, τὰς δὲ ἰδιαίτατα διαφορὰς οὐδὲ τῇ ἐπινοίᾳ· οὐδὲ γὰρ τὸν ἄνθρωπον ἐκτὸς τοῦ λογικοῦ ἐννοῆσαι δυνατόν, ἐπεὶ οὐδ' ἂν εἴη ἄνθρωπος, οὔτε τοὺς ἀγγέλους τοῦ ἀθανάτου, ἐπεὶ οὐκέτι ἄγγελοί εἰσι.

p. 13,3 Συμβεβηκός ἐστιν ὃ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν ἢ μὴ ὑπάρχειν.

Ἄλλην ὑπογραφὴν ἀποδίδωσι τοῦ συμβεβηκότος ἀκριβεστέραν τῆς προτέρας· μᾶλλον γὰρ ἐφαρμόζει καὶ τοῖς ἀχωρίστοις τὸ εἰπεῖν ὃ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν ἢ μὴ ὑπάρχειν. 30

p. 13,4 Ἢ ὃ οὔτε γένος ἐστὶν οὔτε διαφορὰ οὔτε εἶδος οὔτε ἴδιον, ἀεὶ δέ ἐστιν ἐν ὑποκειμένῳ ὑφιστάμενον.

Ἄλλην ὑπογραφὴν ἀποδίδωσι τοῦ συμβεβηκότος δυναμένην καὶ ἐπὶ ταῖς τέσσαρσι φωναῖς ἀποδίδοσθαι, ἐκ τῆς τῶν λοιπῶν ἀναιρέσεως· καὶ γὰρ γένος ἐστὶ ὃ μήτε εἶδός ἐστι μήτε διαφορὰ μήτε ἴδιον μήτε συμβεβηκός, καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. ἀλλ' ἐκείνας οὕτως οὐχ ὡρίσατο, ἐπειδὴ ἄγνωστοι ἦσαν αἱ ἐφεξῆς φωναί. νῦν δὲ μετὰ τὸ πάσας διδάξαι εἰκότως 32v οὕτως ὡρίσατο τὸ συμβεβηκός. ἐπειδὴ δὲ ἡ τῶν τεσσάρων ἀναίρεσις οὐ μόνον τὸ συμβεβηκὸς εἰσφέρει, ἀλλὰ καὶ τραγέλαφον καὶ ἄλλα πλεῖστα, προσέθηκεν ὅτι ἀεὶ δὲ ἐν ὑποκειμένῳ τὸ εἶναι ἔχει.

p. 13,5 Ἀεὶ δέ ἐστιν ἐν ὑποκειμένῳ ὑφιστάμενον.

Ἐπειδὴ εἶπε τί οὐκ ἔστιν (ἐξ ἀποφάσεως γὰρ ἐποιήσατο τὴν ὑπογρα-

---

3 καλῶς — Αἰθίοπι om. E καλῶς δὲ V 4 εἶπα M 5 post ἐπινοίᾳ add. δυνατόν p ἰδιαιτάτας E¹M 6 νοῆσαι D¹: ἐπινοῆσαι F 7 οὔτε τοὺς ἀγγέλους—ἄγγελοί εἰσι eicias ἐπειδὴ V ἄγγελοι iter. V 10 ἀκριβεστέραν—συμβεβηκότος (v. 15) om. MV 12 post ὑπάρχειν add. ἢ τὸ γίνεται καὶ ἀπογίνεται p 13 ἢ om. D 16 ταῖς om. E τέτρασι EFMVp 16. 18 καὶ γὰρ ὃ μὴ γένος ἐστὶ φησὶ μήτε εἶδος μήτε διαφορὰ μήτε ἴδιον μήτε συμβεβηκός, ἀεὶ δέ ἐστιν ἐν ὑποκειμένῳ ὑφιστάμενον. ἔχει τοίνυν εἰπεῖν τις καὶ ἐπ' ἐκείνας (sic) οἷον ἐπὶ τοῦ γένους· ὃ μήτε διαφορά ἐστι μήτ' ἴδιον μήτε συμβεβηκός, ἀεὶ δὲ ὑφέστηκε. καὶ ἁπλῶς ἐπὶ πασῶν. οὐχ ὡρίσατο δὲ ἐκείνας οὕτως p 19 αἱ om. F διδάξαι πάσας colloc. p 20 οὕτως F: om. DEMVp ἐπειδὴ] ἐπεὶ p δὲ om. M 22 ὅτι om. D ἀεὶ δέ ἐστιν ἐν ὑποκειμένῳ ὑφιστάμενον p 23 δὲ om. M 24 ante ἐπειδὴ lemmate omisso add. εἰπὼν (εἰπὼν δὲ p) ἀεὶ ἐν ὑποκειμένῳ ἐστὶν ὑφιστάμενον τὸ συμβεβηκὸς ἐξέωσε τὸν τραγέλαφον· οὐχ ὑφίσταται γὰρ ἐν ὑποκειμένῳ, ἀλλ' ἔστιν ἐν ψιλῇ ἐπινοίᾳ Vp ἐπειδὴ δὲ οὐκ εἶπε τί ἐστιν p τί ἐστιν οὐκ ἔστιν E γὰρ om. FVp

φὴν εἰρηκὼς ὅτι οὔτε γένος ἐστὶν οὔτε τὰ λοιπά). καὶ τί ἐστι λέγει, ὅτι 32v
ἐν ὑποκειμένῳ ὑφίσταται.

p. 13,10 Κοινὸν μὲν δὴ πάντων τὸ κατὰ πλείονων κατηγορεῖσθαι.

Ἐν πᾶσι τοῖς πράγμασι τρία ταῦτα θεωροῦνται, οὐσία ταυτότης ἑτε- 10
5 ρότης. οὐσίαν λέγω οὐ τὴν ἀντικειμένην τοῖς συμβεβηκόσιν, ἀλλὰ τὴν ἑκάστου ὕπαρξιν, διὸ καὶ ὄντα λέγεται. ἔχει δὲ καὶ ταυτότητα· ἐπεὶ γὰρ μία τῶν πάντων ἀρχή, ἀνάγκη τὰ πάντα κοινωνίαν τινὰ ἔχειν πρὸς ἄλληλα. πάλιν ἐπειδὴ καὶ πολλά ἐστι πάντα τὰ ὄντα, ἀνάγκη καὶ ἑτερότητά τινα ἔχειν, ἵνα καὶ πολλὰ ᾖ· ὅπου γάρ τι πλῆθος, ἐκεῖ καὶ ἑτερότης. δεῖ 15
1 κατὰ] καὶ πρὸς b ἕτερος ἔφησε πρὸς αὐτὸν M τοὺς πόδας M 3 αὐτὸ τὸ ὕδ.] αὐτῷ τὸ ὕδ. b 4 ἔφησεν M 5 ψεύδεται M ὁ θεῖος πλάτων M (cf. Reip. VI 27 p. 511 B) 6 οὐ (ante κατόπιν)] ὅτι F εἰσέρχονται Mb 7 αὐτὰ] αὐτῶν b τε καὶ M 8 ὀνομάζονται δὲ] ἕκτον ἢ ὀνομάζονται F: ἕκτον ὀνομάζεται b οἱ om. M 9 ὁ θεῖος πλάτων M ἐθέλων M 10 εὐσθενέστερον M: ἀθενέστ. b 11 ἤγουν — ἀριστοτέλης om. Mb 12 post περιπάτου add. διεδέξαντο δὲ ξενοκράτης τε καὶ ἀριστοτέλης M: διεδ. δὲ ὁ Ξεν. καὶ ὁ Ἀρ. b 12. 13 ὧν ὁ μὲν ἐν λ. ἐπαίδ. ὁ ἀριστοτέλης M: ὧν ἐν Λυκ. μὲν ἐπαίδευσεν Ἀρ. b 15 ἀκαδημιακοί M 17 ταύτην] αὐτὴν M ἣν — δὴ (18) om. F 18 παντελῆ] πολλὴν b 20 τε om. b 21 δεύτερον om. Mb 22 ποιήσωμεν b οὖν] τοίνυν Mb 23 ἐν τῷ om. b μερικῶν] κατὰ μέρος Mb 25 ἔστι om. b 25. 26 τὸ (tribus locis)] ἢ M: ἡ b 27 ἔγραψεν Fb post γέγραφεν add. ταῦτα μὲν οὖν οὔτε πρός τινας ἀποτεινόμενος ἰδίᾳ ἐξέθετο, οὐ μὴν οὐδὲ καθόλου εἰσί· τῶν δὲ μεταξύ εἰσι καὶ Mb ὡς om. Mb αἱ om b 28 γέγραφεν post ἃς transp. M 29 εἰσίν om. Mb ἢ τῶν δείνων] καὶ ἡ τῶν δέ τινων M: ἢ τῶν δεινῶν b εἰ] ἡ F

καθόλου οὐκ ἂν εἴη), ἔγραψε δὲ ἵνα οἱ ἐντυγχάνοντες μετ' αὐτὸν ἄνθρωποι καὶ κρίνοντες, κατὰ τί μὲν ὀρθῶς ἐπολιτεύοντο κατὰ τί δὲ οὐχ οὕτως, τὰ μὲν ἕλωνται τὰ δὲ φύγωσι, καὶ ταύτῃ ὠφελῶνται. τὰ μὲν οὖν μερικὰ καὶ μεταξὺ χαιρέτω, τῶν δὲ καθόλου τὰ μέν ἐστι συνταγματικὰ τὰ δὲ 25
5 ὑπομνηματικά. ὑπομνηματικὰ δὲ καλοῦνται ἐν οἷς τὰ κεφάλαια μόνα ἀπογράφονται· ἰστέον γὰρ ὅτι τὸ παλαιὸν εἴ τις προῄρητο συγγράψασθαι, τὰ εὑρισκόμενα κατὰ μέρος αὐτοῖς εἰς τὴν τοῦ προκειμένου ἀπόδειξιν συμβαλλόμενα κεφαλαιωδῶς ἀπεγράφοντο. πολλὰ δὲ ἐξ ἀρχαιοτέρων βιβλίων 30
νοήματα ἐλάμβανον, ἵνα τὰ μὲν ὀρθῶς ἔχοντα κρατύνωσι τὰ δὲ μὴ οὕτως
10 ἐξελέγξωσιν· ὕστερον μέντοι τάξιν τέ τινα αὐτοῖς ἐπιπροσθέντες καὶ κάλλει λόγων καὶ ἀπαγγελίας ἀσκήσει φαιδρύναντες ὤφαινον τὰ συγγράμματα. καὶ ταύτῃ διενήνοχε τὰ ὑπομνηματικὰ τῶν συνταγματικῶν τάξει τε καὶ ἑρμηνείας κάλλει. τῶν δὲ ὑπομνηματικῶν τὰ μὲν μονοειδῆ, ὡς ὅταν περὶ ἑνός 35
τινος ποιῆται τὴν ζήτησιν, τὰ δὲ ποικίλα, ὅταν περὶ πολλῶν. καὶ πάλιν τῶν
15 συνταγματικῶν τὰ μέν ἐστι διαλογικά, ὡς ὅσα δραματικῶς διεσκεύασται κατὰ πεῦσιν καὶ ἀπόκρισιν πλειόνων προσώπων. τὰ δὲ αὐτοπρόσωπα ὡς 40
ὅσα γέγραφεν ὡς ἀφ' ἑαυτοῦ.

Καλεῖται δὲ τὰ μὲν διαλογικὰ καὶ ἐξωτερικά, τὰ δὲ αὐτοπρόσωπα καὶ ἀξιωματικὰ ἤτοι ἀκροαματικά. καὶ ἄξιον ζητήσεως τί δή ποτε οὕτως
20 ὠνομάσθησαν. τινὲς μὲν οὖν λέγουσιν ὅτι τὰ διαλογικὰ καὶ ἐξωτερικὰ ἐκάλεσαν, ἐπειδὴ τὸν ἴδιον σκοπὸν οὐκ ἐκτίθεται ἐν αὐτοῖς ἀλλ' ὡς ἐξ ἄλλων | προσώπων ἀναπλάττει τὰ τυχόντα. τοῦτο δὲ ψευδές ἐστιν· ἐξω- 36ᵃ
τερικὰ γὰρ ὠνόμασται, ἐπειδὴ πρὸς τοὺς ἐπιπολαίως συνιέντας γέγραπται ἐπιτηδεύσαντος τοῦ φιλοσόφου ἐν αὐτοῖς φράσιν τε σαφεστέραν καὶ τὰς
25 ἀποδείξεις οὐκ ἀποδεικτικὰς ἀλλὰ μᾶλλον πιθανὰς ἐξ ἐνδόξων, τὰ δὲ 5
ἀκροαματικὰ ὡς ἂν δέον αὐτῶν ἀκροάσασθαι τὸν σπουδαῖόν τε καὶ τῷ ὄντι γνήσιον ἐραστὴν τῆς φιλοσοφίας.

Τῶν δὲ ἀκροαματικῶν τὰ μέν ἐστι θεωρητικὰ τὰ δὲ πρακτικὰ τὰ δὲ ὀργανικά· θεωρητικὰ μὲν ὅσα περὶ τὴν διάκρισιν ἔχει τοῦ ἀληθοῦς καὶ
30 τοῦ ψευδοῦς, πρακτικὰ δὲ ὅσα περὶ τὴν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ. ἀλλ'

---

2 post κρίνοντες add. εἰ M πολιτεύονται M 5 post καλοῦνται add. ταῦτα Mb
5. 6 ὑπογράφονται M: ἐπιγρ. b 6 κατὰ τὸ παλαιὸν M εἴ τινες προήρηντο M
8 πολλὰ δὲ καὶ M βιβλίων post ἐλάμβ. colloc. F 9 ἀπελάμβανον M 10 τε om. Mb 10. 11 κάλλος λόγου M 11 post ἀσκήσει add. ἤγουν ἐπιμελεία F φαιδρύνοντες M 12 τὰ ὑπομνηματικὰ τῶν συνταγμάτων F: τῶν συνταγματικῶν τὰ ὑπομνηματικὰ M: τὰ ὑπομνήματα τῶν συνταγμάτων b 12. 13 ἐν ἑρμηνείαις b
13 ὡς ὅταν] τὰ δὲ ποικίλα· μονοειδῆ μὲν ἐν οἷς Mb 14 ποιῆται Paris. 1973: ποιεῖται FMb post ζήτησιν add. μᾶλλον δὲ τὴν τῶν κεφαλαίων ἀνάμνησιν Mb τὰ δὲ ποικίλα ὅταν] ποικίλα δὲ ἐν οἷς Mb 15 ὡς] τὰ δὲ αὐτοπρόσωπα· διαλογικὰ μὲν Mb
16 τὰ δὲ αὐτοπρ. ὡς] αὐτοπρ. δὲ Mb 17 ὡς om. b 19 ζητῆσαι b 20 λέγουσιν om. b τὸν διαλογικὸν καὶ ἐξωτερισμὸν F 21 ἐκτίθεται] ἐδήλωσεν b ἐν om. M 23 συνιόντας F 25 ἀλλὰ μᾶλλον] μᾶλλον δὲ b 26 ἀκροᾶσθαι M τε om. F 30 τοῦ (ante ψευδοῦς) om. Fb ὅσα τὴν διάκρισιν ἔχει τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ M

ἐπειδὴ τὸ θεωρητικὸν ὑποδύεταί τινα ὡς ἀληθῆ μὲν δοκοῦντα μὴ ὄντα δὲ ἀληθῆ, καὶ τὸ πρακτικὸν ὁμοίως τινὰ τῷ τοῦ ἀγαθοῦ κεχρωσμένα ὀνόματι μὴ ὄντα ἀγαθά, δεῖ ἡμῖν ὀργάνου τινὸς τοῦ διακρίνοντος τὰ τοιαῦτα. τί δέ ἐστι τοῦτο; ἡ ἀπόδειξις. πάλιν δὲ τῶν θεωρητικῶν τὸ μὲν θεολογικὸν τὸ δὲ μαθηματικὸν τὸ δὲ φυσιολογικόν, καὶ τῶν πρακτικῶν τὸ μὲν ἠθικὸν τὸ δὲ οἰκονομικὸν τὸ δὲ πολιτικόν, καὶ τῶν ὀργανικῶν τὰ μὲν εἰς τὰ περὶ τῶν ἀρχῶν τῆς μεθόδου τὰ δὲ εἰς τὰ περὶ αὐτῆς τῆς μεθόδου τὰ δὲ εἰς τὰ περὶ τῶν ἄλλως εἰς τὴν μέθοδόν συντελούντων, τὴν ἀποδεικτικὴν λέγω· ἐπειδὴ γὰρ ἡ ἀπόδειξις συλλογισμός ἐστιν ἐπιστημονικός, δεῖ πρὸ τούτου εἰδέναι τὸν καθόλου συλλογισμόν. ἀλλ' ἐπεὶ τοῦτο τὸ τοῦ συλλογισμοῦ ὄνομα οὐχ ἁπλοῦν τι δηλοῖ ἀλλὰ σύνθετον (συλλογὴν γάρ τινα λόγων σημαίνει), οὐκοῦν πρὸ ἐκείνου δεῖ μαθεῖν τὰ ἁπλᾶ ἐξ ὧν συντίθεται, ταῦτα δέ εἰσιν αἱ προτάσεις. ἀλλὰ καὶ αὗται σύγκεινται ἐξ ὀνομάτων καὶ ῥημάτων, ἃ διδάξουσιν αἱ Κατηγορίαι, τὰς δὲ προτάσεις τὸ Περὶ ἑρμηνείας, τὸν δὲ καθόλου συλλογισμὸν τὰ Πρότερα ἀναλυτικά. ταῦτα τοίνυν εἰσὶν αἱ ἀρχαὶ τῆς μεθόδου· τὰ δὲ Δεύτερα ἀναλυτικὰ αὐτὴν ἡμᾶς διδάξει τὴν μέθοδον, τοῦτ' ἔστι τὸν ἀποδεικτικὸν συλλογισμόν. ἀλλὰ πάλιν ὥσπερ οἱ ἰατροὶ τὰ ἰατρικὰ παραδιδόντες τοῖς νέοις μαθήματα μέμνηνται σὺν τοῖς ὠφελοῦσι καὶ τῶν δηλητηρίων ὑπὲρ τοῦ τὰ μὲν ἑλεῖν τὰ δὲ φυγεῖν, οὕτω κἀνταῦθα, ἐπειδὴ οἱ σοφισταὶ πράγματα παρέχουσι τοῖς τῆς ἀληθείας εὑρεταῖς σοφιστικοῖς τισι συλλογισμοῖς αὐτοὺς ἐθέλοντες παρακρούεσθαι, γράφει καὶ τούτους ὁ φιλόσοφος, ἵνα φεύγωμεν αὐτούς, καὶ λέγονται οὗτοι ἄλλως συμβάλλεσθαι τῇ μεθόδῳ, ὥσπερ εἴ τις θελήσας διδάξαι πῶς δεῖ λόγον συντάξαι, πρότερον διέλθοι περὶ ὀνομάτων καὶ ῥημάτων καὶ πρὸ ἐκείνων περὶ τῶν συλλαβῶν καὶ ἔτι πρὸ ἐκείνων περὶ τῶν στοιχείων, καὶ λέγεται τὰ μὲν στοιχεῖα καὶ αἱ συλλαβαὶ καὶ τὰ ὀνόματα καὶ τὰ ῥήματα ἀρχαὶ τῆς μεθόδου τῆς ὅπως δεῖ λογοποιεῖν, τὰ δὲ περὶ αὐτῆς τῆς λογοποιίας περὶ αὐτῆς τῆς μεθόδου· εἰ δ' ἀπαριθμήσαιτο καὶ τὰς τοῦ λόγου κακίας, λέγοιτ' ἂν οὗτος διειλέχθαι καὶ περὶ τῶν ἄλλως συμβαλλομένων τῇ μεθόδῳ. καὶ αὕτη ἡ τῶν Ἀριστοτελικῶν συγγραμμάτων διαίρεσις.

Ζητήσωμεν τρίτον πόθεν ἀρκτέον. ἀκόλουθον μὲν ἦν ἀπὸ τῆς

1 δοκοῦντα scripsi: ὄντα libri 2 τινὰ om Fb 3 ἡμῖν] ἡμᾶς b 4 ἡ om. Mb 6 πολιτ.] μαθητικόν b 7 τὰ δὲ εἰς τὰ περὶ αὐτῆς τῆς μεθόδου] τὰ δὲ εἰς αὐτὴν τὴν ἀποδεικτικὴν F: om. b 9 συλλογισμός τίς ἐστιν ἐπ. M: συλλογισμοὶ ἐπιστημονικοί b 10 εἰδέναι post συλλογισμόν transp. Mb ἐπεὶ] αὐτὸ Mb τοῦτο om. b 11 δηλοῖ ante οὐχ transp. Mb τινων b 12 οὐκοῦν] ἐκεῖ F συντίθενται Fb 13 αὗται] αὐταὶ Fb σύγκεινται om. b 14 ἃ] οὐκοῦν δεῖ ταῦτα προμαθεῖν. τὰ ὀνόματα (μὲν add. b) οὖν καὶ τὰ ῥήματα Mb 15 εἰσὶν post μεθόδου colloc. b αἱ om. F 16 διδάξαι M 18 μαθήματα] θεωρήματα M 20. 21 ἐφευρεταῖς M 22 τούτους] τοῦτο b λέγωνται M 23 τῇ μεθόδῳ] τῇ μαθήσει τῆς μεθόδου M ὥσπερ εἴ] εἰ γὰρ F ἐθελήσας b λόγους Fb 24 πρῶτον διέλθῃ b 26 αἱ om. F 27 τῆς (ante ὅπως) om. M ὅπως] ὥσπερ b περὶ αὐτῆς τῆς λογοποιίας om. F 28 περὶ αὐτῆς τῆς μεθόδου] ἤγουν τῆς μεθόδου M ἀπηριθμήσατο F 29 οὕτως F διηλέχθαι F τῶν ἄλλων τῶν b 30 καὶ αὕτη] τοιαύτη b συνταγμάτων M 31 ἔτι ζητήσ. (τρίτον om.) M μὲν] τοίνυν M

ἠθικῆς ἄρξασθαι πραγματείας, ὡς ἂν πρότερον τὰ ἑαυτῶν ἤθη κοσμήσαντες 45
οὕτω τῶν ἄλλων ἐντὸς γενώμεθα λόγων. ἀλλ' ἐπειδὴ | καὶ ἐν ἐκείνῃ 36b
κέχρηται ἀποδείξεσι καὶ συλλογισμοῖς, ἐμέλλομεν δὲ αὐτοὺς ἀγνοεῖν ἀνήκοοι
τῶν τοιούτων ὑπάρχοντες λόγων, διὰ τοῦτο ἄρα ἀπὸ τῆς λογικῆς ἀρκτέον,
5 προκοσμήσαντας μέντοι τὰ ἑαυτῶν ἤθη καὶ δίχα τῆς ἠθικῆς πραγματείας.
μετὰ δὲ τὴν λογικὴν ἰτέον ἐπὶ τὴν ἠθικήν, καὶ οὕτως ἀντιληπτέον τῶν 5
φυσικῶν, καὶ μετ' ἐκεῖνα τῶν μαθηματικῶν, καὶ οὕτως ἐσχάτων τῶν
θεολογικῶν.

Τέταρτον ἐπὶ τούτοις ζητητέον τί τὸ τέλος καὶ τὸ ἀναφαινόμενον
10 ἡμῖν χρήσιμον ἐκ τῆς Ἀριστοτελικῆς φιλοσοφίας. καὶ λέγομεν ὅτι τὸ ἀνε-
νεχθῆναι ἐπὶ τὴν κοινὴν ἁπάντων ἀρχὴν καὶ γνῶναι ὅτι μία ἐστὶν αὕτη
ἀσώματος ἀμερὴς ἀπερίληπτος ἀπεριόριστος ἀπειροδύναμος αὐτοαγαθότης· 10
οὐ γὰρ μόνον ἀγαθόν· ἰστέον γὰρ ὅτι ὥσπερ λευκὸν λέγομεν τὸ δεδεγμένον
σῶμα τὴν λευκότητα, λευκότητα δὲ αὐτὴν τὴν ποιότητα, οὕτως ἀγαθὸν
15 μὲν λέγεται τὸ δεδεγμένον σῶμα τὴν ἀγαθότητα καὶ μετέχον αὐτῆς, ἀγα-
θότης δὲ οἷον οὐσία καὶ ὕπαρξίς τις οὖσα. 15

Πέμπτον ἐπὶ τούτοις ζητήσωμεν τίνα τὰ ἀνάγοντα ἡμᾶς ἐπὶ τὴν
εἰρημένην ἀρχήν. καὶ λέγομεν ὅτι πρῶτον μὲν ἡ ἠθικὴ πραγματεία,
ἔπειτα μετ' ἐκείνην ἡ περὶ τῶν φυσικῶν, καὶ οὕτως ἡ μαθηματική, καὶ
20 ἐσχάτης ἐπὶ τούτοις ἀντιληψόμεθα τῆς θεολογίας.

Ἕκτον ζητήσωμεν πῶς δεῖ παρασκευάσασθαι τὸν μέλλοντα ἀκροά- 20
σασθαι τῶν Ἀριστοτελικῶν συγγραμμάτων. καὶ λέγομεν ὅτι δεῖ πεπαι-
δευμένον τὰ ἤθη εἶναι καὶ τὴν ψυχὴν κεκαθαρμένον· 'μὴ καθαρῷ γὰρ
καθαροῦ ἐφάπτεσθαι οὐχὶ θεμιτόν,' ὁ Πλάτων ἔφησεν.

25 Ἕβδομον ἡμῖν πρόκειται ζητῆσαι τί τὸ εἶδος τῆς ἀπαγγελίας. καὶ
λέγομεν ὅτι διαφερόντως ὁ φιλόσοφος ἑρμηνεύσας φαίνεται· ἐν μὲν γὰρ τοῖς 25
ἀκροαματικοῖς κατὰ μὲν τὰ νοήματα πυκνός ἐστι καὶ συνεστραμμένος καὶ
ἀπορητικός, κατὰ δὲ τὴν φράσιν ἀπέριττος διὰ τὴν τῆς ἀληθείας εὕρεσίν
τε καὶ σαφήνειαν, ἔστι δὲ ὅπῃ καὶ ὀνοματοθετῶν, εἰ δέοι· ἐν δέ γε τοῖς

---

2 γινώμεθα M ἐκείνοις Mb 5 μέντοι] μὲν Fb 7 ἔσχατον Fb (cf. v. 20) 9 τέταρτον om. M 10 ἀριστοτελικῆς] τοῦ ἀριστοτέλους M 12 ἀμερὶς F[1] 13 μόνον γὰρ colloc. F 14 λευκ. (prius)] λαμπρότητα b οὕτω καὶ ἐπὶ τῆς ἀγαθότητος· ἀγαθὸν Mb 15 μὲν] γὰρ b καὶ τὸ μετέχον Mb 16 οἷον] ἡ M post οὖσα add. αὐτῆς, tum pergit καὶ ταῦτα τοῦ ἀριστοτέλους ἀκούσομεν, οὐχ ὡς ἔτυχεν οὐδὲ χωρὶς ἀποδείξεως λέγοντος· οὐδὲ ἂν οὕτως ἰδιώτου διοίσειεν· ἀλλὰ μετὰ ἀποδείξεως ἀραγοῦς, ἔνθα καὶ τὸ ἐμβριθὲς ἐκεῖνο ἀναφθέγγεται· οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω M 17 πέμπτον om. M ἐπὶ τούτοις ζητήσωμεν om. F ἡμᾶς post εἰρημ. colloc. M: post ἀρχήν b post ἀρχήν add. ἥτις ἡμῖν ἐκ τῆς ἀριστοτέλους ἀναφαίνεται (φαίν. b) φιλοσοφίας Mb 19 ὁ μαθηματικός F 20 ἀναληψόμεθα M 21 ἕκτον] ἔτι M 21. 22 μέλλοντα ἀκρ.] ἀκροασόμενον Mb 22 δεῖ — εἶναι (23)] τὸν πεπαιδευμένον τὰ ἤθη Mb 23 καθαρὸν Mb 24 οὐ b ὁ θεῖος πλάτων M (cf. Phaedo. p. 67 B) 25 ἕβδομον] ἔτι M ζητῆσαι om. b post ἀπαγγ. add. τῶν Ἀριστοτελικῶν συγγραμμάτων b 26 γὰρ μὲν (numeris superscr. corr.) F 27 νοήματα] ὀνόματα F 28 φράσιν] φύσιν F 29 ὀνοματοθετεῖ b γε om. F

διαλογικοῖς, ἃ πρὸς τοὺς πολλοὺς αὐτῷ γέγραπται, καὶ ὄγκου φροντίζει τινὸς καὶ περιεργίας λέξεων καὶ μεταφορᾶς, καὶ πρὸς τὰ τῶν λεγόντων πρόσωπα μετασχηματίζει τὸ εἶδος τῆς λέξεως, καὶ ἁπλῶς ὅσα λόγου καλλωπίζειν οἶδεν ἰδέαν. ἐν δέ γε ταῖς ἐπιστολαῖς φαίνεται κατωρθωκὼς τὸν ἐπιστολιμαῖον χαρακτῆρα, ὃν καὶ σύντομον εἶναι δεῖ καὶ σαφῆ καὶ ἀπηλλαγμένον πάσης περισκελοῦς συνθέσεώς τε καὶ φράσεως.

Ὅγδοον ζητήσωμεν τί δή ποτε τοιαύτην ἀσαφῆ διδασκαλίαν ἠγάπησεν ὁ φιλόσοφος. καὶ λέγομεν ὅτι καθάπερ ἐν τοῖς ἱεροῖς κέχρηνται παραπετάσματί τισιν ὑπὲρ τοῦ μὴ πάντας ἤδη καὶ τοὺς βεβήλους ἐντυγχάνειν τοῖς ὧν οὐκ εἰσὶν ἄξιοι τυχεῖν, οὕτω καὶ ὁ Ἀριστοτέλης προκαλύμματι τῆς αὐτοῦ φιλοσοφίας κέχρηται τῇ ἀσαφείᾳ, ἵνα οἱ μὲν σπουδαῖοι δι' αὐτὸ τοῦτο ἔτι μᾶλλον τὰς ἑαυτῶν συντείνωσι ψυχάς, οἱ δὲ κατερραθυμημένοι τε καὶ χαῦνοι τοῖς τοιούτοις προσιόντες λόγοις ὑπὸ τῆς ἀσαφείας διώκωνται. |

Ἑπόμενον δὲ ἔνατόν ἐστι ζητῆσαι πόσα καὶ ποῖα δεῖ προλαμβάνεσθαι τῆς ἐξηγήσεως παντὸς Ἀριστοτελικοῦ βιβλίου. καὶ λέγομεν ὅτι ἓξ τὸν ἀριθμόν· τὸν σκοπὸν τοῦ βιβλίου (ὥσπερ γὰρ ὁ τοξότης, εἰ τύχοι, σκοπόν τινα ἔχει πρὸς ὃν βάλλει καὶ οὗ θέλει τυχεῖν, οὕτω καὶ ὁ γράφων τι πρός τι τέλος ἀφορᾷ κἀκείνου σπουδάζει τυχεῖν· δεῖ τοίνυν τοῦτο ἐπιζητεῖν ὅ τι ποτέ ἐστι), δεύτερον ἐπὶ τούτῳ τί χρήσιμον ἕξομεν ἐκ τοῦ συγγράμματος, εἰ μὴ συναναφαίνοιτο τῷ σκοπῷ (ἐπὶ πολλῶν γὰρ τοῦτο συμβαίνει), τρίτον τίς ἡ τάξις, τέταρτον τίς ἡ αἰτία τῆς ἐπιγραφῆς, εἰ μὴ καὶ αὕτη

---

1 πολλοὺς] ἄλλους M ὄγγου F φροντίζειν F¹ 2 περιεργείας M¹ 3 μετασχημ.] σχηματίζει Mb 3. 4 οἶδε καλλ. b 4 γε om. b 5 ante χαρακτῆρα add. ἀκριβῶς M 7 ὄγδοον] ἔτι M ζητήσωμεν om. F ἠγάπησεν] ἐζήλωσεν Mb 8 ὅτι om. b 9 τισιν om. b 10 οὐκ ἔστιν ἄξιον τυγχάνειν b ὁ om. b 11 αὐτοῦ FM 12 μᾶλλον ἔτι b 12. 13 κατερραθυμημένως τε καὶ χαύνως M: ῥαθύμως τε καὶ χαύνως b 14 διώκονται F post διώκωνται add. οὕτω καὶ οἱ ποιηταὶ πλάττουσι μύθους, ἄλλα μὲν κατὰ τὸ φαινόμενον δοκοῦντες λέγειν, ἄλλα δὲ τῷ ὄντι κρύπτοντες· οὐ γὰρ δήπου τὸν ποιητὴν τοῦτο ἂν ὑπέλαβον ἐννοεῖν ὃ καὶ φησίν, ὅτι ὁ κρόνος τοὺς πρώτως αὐτῷ (τοὺς ἐξ αὐτοῦ b) τικτομένους υἱεῖς κατέπινέ τε καὶ ἤμει· τοῦτο γὰρ ἀνόητόν ἐστιν· οὐδ' ὅτι οἱ θεοὶ μοιχεύουσι· τῶν ἀτοπωτάτων (ἀτόπων b) γὰρ ἂν (ἂν om. b) εἴη τοὺς μὲν ἐν ἀνθρώποις μοιχοὺς (μοιχ. ἀνθρώπους b) κολάζεσθαι, θεοῖς δὲ τὰ τοιαῦτα (δὲ αὐτὰ b) συγχωρεῖν, ἀλλὰ δῆλον ὅτι ἄλλα (μὲν add. b) τινά ἐστι τὰ (τὰ om. b) κατὰ τὸ κεκρυμμένον ἀληθῆ (ἄλλα δὲ τὰ φαινόμενα add. b). ὅθεν καὶ δέος ἐστὶ μὴ τὰ τοιαῦτα πλάσματα ἐνριζωθῇ (ἐρριζῶσθαι b) ταῖς ψυχαῖς τῶν νέων ὡς (ὡς om. b) ἀπαλαῖς οὔσαις καὶ μὴ (μὴ om. b) δυσμεταθέτως ἐχούσαις περὶ αὐτά. καὶ διὰ τοῦτο τῶν ποιητῶν τοῖς (τοῖς om. b) τοὺς τερατωδεστέρους ἀναπλάττουσι μύθους χάριν ὁμολογοῦμεν (χάρ. ὁμ. om. b), ἵν' ἐξ αὐτῶν τὸ ἄπιστον ἔχωσι. διὰ τοῦτο τοίνυν ὁ φιλόσοφος, ὡς εἰρήκαμεν, ἀσάφειαν ἐπετήδευσεν (ἀσ. ἐπ., ὡς εἰρ. b) Mb 15 δὲ ἔνατον om. M 16 καὶ λέγομεν — βιβλίου (17) om. b 17 γὰρ om. b τύχη Fb 18 οὗ om. M 18. 19 πρὸς τὸ τέλος b 19 τοίνυν δεῖ colloc. F: δεῖ οὖν b ἐπιζητεῖν] ζητεῖν Mb 20 τούτῳ] τοῦτο F τί χρήσ. ὅ M ἐκ] ἀπὸ M 21 post συμβαίνει add. ὥσπερ ἀμέλει ἐν τῷ περὶ ψυχῆς αὐτόθεν τῷ σκοπῷ συμμανθάνομεν ὅτι χρήσιμόν ἐστι περὶ τῆς (τῆς om. b) ψυχῆς ἐπεσκέφθαι Mb 22 τάξις] λέξις b

πρόδηλος εἴη, ὡς ἐν τῷ Περὶ οὐρανοῦ ἢ ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς, πέμπτον εἰ νόθον ἢ γνήσιον τοῦ φιλοσόφου τὸ βιβλίον (πολλοὶ γὰρ αὐτῶν συντιθέντες ἐπέγραφον τῷ Ἀριστοτέλους ὀνόματι, οὓς ἐλεγκτέον ἔκ τε τοῦ εἴδους καὶ τῆς ὕλης· εἶδος μὲν οὖν ἐστιν ἡ ποικιλία τῶν νοημάτων καὶ ἡ ἐπανθοῦσα τοῖς λόγοις ἀλήθεια, ὕλη δὲ ἡ φράσις καὶ ἡ τῆς ἀπαγγελίας διδασκαλία), ἕκτον δεῖ ζητεῖν τίς ἡ εἰς τὰ κεφάλαια διαίρεσις· ὥσπερ γὰρ ὁ ἐπεσκεμμένος ἕκαστον τῶν τοῦ ἀνθρώπου μελῶν τε καὶ ἄρθρων οὕτος ἄριστα ἂν εἰδείη καὶ τὸ ἐξ αὐτῶν συντεθειμένον ὅλον τὸν ἄνθρωπον, οὕτω καὶ ὁ τὰ κεφάλαια τοῦ λόγου διελθὼν εἰς ἃ διῄρηται ἄριστα καὶ αὐτὸν εἴσεται τὸν λόγον.

Δέκατον ἐπὶ πᾶσι δεῖ ζητεῖν ὁποῖον δεῖ εἶναι τὸν ἐξηγούμενον τὰ Ἀριστοτέλους συγγράμματα. καὶ λέγομεν ὅτι δεῖ καὶ ἄριστα εἰδέναι αὐτὸν ἃ μέλλει ἐξηγεῖσθαι, εἶναι μέντοι καὶ ἄνδρα ἔμφρονα, ὡς τὸ μὲν παριστᾶν τὴν τοῦ φιλοσόφου διάνοιαν τὸ δὲ τὴν ἐν τοῖς λεγομένοις ἀλήθειαν ἐξετάζειν· οὐδὲ γὰρ δεῖ ὥσπερ ἐκμεμισθωκέναι πάντως ἑαυτὸν καὶ ἀνέχεσθαι ὅ τι ἂν λέγηται καὶ σπουδάζειν πάντως ἐκεῖνα κρατῦναι ἃ ἐξηγεῖται ὡς ἀληθῆ πάντα, κἂν μὴ οὕτως ἔχῃ, ἀλλὰ δεῖ ἕκαστον κρίνοντα βασανίζειν ἐπίπροσθεν Ἀριστοτέλους θέμενον. εἰ τύχοι, τὴν ἀλήθειαν. οὕτως οὖν ἐξηγεῖσθαι χρὴ τὸν ἐξηγούμενον.

Ἀλλ' ἐπειδὴ τοῦ τῶν Κατηγοριῶν βιβλίου βουλόμεθα ἅψασθαι, φέρε τὰ μικρὸν ἀνωτέρω εἰρημένα ζητήσωμεν, καὶ πρῶτον τὸν σκοπόν. ἰστέον τοίνυν ὅτι διηνέχθησαν οἱ ἐξηγηταὶ περὶ τούτου, οἱ μὲν περὶ φωνῶν εἰρη-

---

1 τῷ] τῇ (utrobique) b 2 τὸ βίβλ. τοῦ φιλ. colloc. F: τὸ βιβλίον om. b 3 αὐτῶν Par. 2051 b: αὐτὸ F: αὐτὰ M; malim τὰ αὐτῶν 3 τῷ τοῦ ἀριστ. Mb 4 τε om. Fb ἐστιν om. Fb 6 post διδασκαλία add. ἀλλ' ἐνταῦθα γενόμενοι ζητήσωμεν κατὰ πόσους τρόπους ἐνοθεύθησαν τὰ συγγράμματα. καὶ λέγομεν κατὰ τέσσαρας· δι' αἰσχροκέρδειαν, ὡς ἐπὶ τῶν συγγραμμάτων τοῦ ὁμήρου συνέβη· διασκορπισθέντων γὰρ αὐτῶν ὁ φιλολογότατος (sic) πεισίστρατος βασιλεὺς ὢν τῶν Ἀθηνῶν ἐπειράσατο ταῦτα συναγαγεῖν καὶ δεῖ (corrige δὴ) τοῖς κομίζουσιν αὐτὰ καὶ μισθὸν ἐπηγγείλατο· δαρεικὸν γὰρ νόμισμα τῶ κομίζοντι στίχον ἐδίδου. καί τινες πένητες βουλόμενοι κερδαίνειν ἐποίουν στίχους καὶ προσέφερον πεισιστράτω ὡς τοῦ ὁμήρου. ἢ διὰ φιλίαν τὴν πρὸς τὸν μυσταγωγόν, ὥσπερ τοῦ πυθαγόρου μὴ συγγράμματα ποιήσαντος οἱ τούτου μαθηταὶ ἑβδομήκοντα δύο στίχους ἡρωικοὺς ἐπέγραψαν τὰ χρυσᾶ ἔπη τοῦ πυθαγόρου. ἢ κατὰ κενοδοξίαν, οἷον εἴ τις οὐκ ἐκδοὺς σχέδη ἄξια τοῦ ἀναγινώσκεσθαι θέλων ταῦτα ἐκδίδοσθαι ἐπιγράφει ταῦτά τινος ἔνδοξα ἐκδότου ὀνόματα. νοθεύονται δὲ καὶ κατὰ ἄλλους δύο τρόπους, ἢ κατὰ ὁμωνυμίαν τῶν συγγραψάντων ἢ κατὰ ὁμωνυμίαν τῶν συγγραμμάτων (ἢ κατὰ ὁμ. τῶν συγγρ. in mrg.), ἀλλ' ἐπανιτέον ὅθεν ἐξέβημεν F ἕκτον τοίνυν F 8 οὕτως F τὸ] τὸν M συντιθέμενον Mb 8. 9 αὐτὸν τὸν ἄνθρ. M 11 δέκατον] ἔτι M ὁποῖον δεῖ εἶναι post ἐξηγ. colloc. FM: post συγγρ. b; correxi ex Vat. 2173 12 καὶ (ante ἄριστα) om. M 13 μέλλοι F ἔμφρ. ἄνδρα b ὡς] ἵνα M: om. b τὸ μὲν — τὸ δὲ (14) Paris. 2051: τῶ μὲν — τῶ δὲ FM: τὸ μὲν γὰρ — τὸ δὲ b παριστᾶν — ἐξετάζειν (15)] παρίστησι — ἐζετάζη M: παρίστησι — ἐξεταζει b 15 οὐδὲ γὰρ δεῖ Paris 1973: οὐδὲ γὰρ F: οὐ δεῖ γὰρ Mb ἑαυτὸν πάντως b 16 λέγοιτε F ἐκεῖνα πάντα b κρατῦναι] κρατεῖν F 18 τύχῃ b 19 χρὴ ἐξηγ. colloc. F 21 τὰ post ἀνωτ. colloc. F μικρῶ M ἀνώτερον b 22. p. 9,1 post εἰρηκότες add. ἐθέλειν Mb

κότες τὸν φιλόσοφον διαλαβεῖν οἱ δὲ περὶ πραγμάτων οἱ δὲ περὶ νοημάτων. καὶ κρατύνουσιν ἕκαστοι τὰ ὑφ' ἑαυτῶν λεγόμενα ἔκ τινων τοῦ βιβλίου λέξεων, οἱ μὲν περὶ φωνῶν λέγοντες ὅτι φαίνεται διαιρῶν τὰς φωνάς, ὅταν λέγῃ ὅτι "τῶν λεγομένων τὰ μὲν κατὰ συμπλοκὴν λέγεται τὰ δὲ ἄνευ συμ-
5 πλοκῆς", οἱ δὲ περὶ πραγμάτων, ὅτι ταῦτα φαίνεται διαιρῶν, ὅταν λέγῃ ὅτι 15
"τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου τινὸς λέγεται ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστιν", οἱ δὲ περὶ νοημάτων, ὅτι μετὰ τὸ πληρῶσαι τὸν περὶ τῶν δέκα κατηγοριῶν λόγον φησὶ 'περὶ τῶν γενῶν ἱκανὰ καὶ ταῦτα·' γένη δὲ δηλονότι φησὶ τὰ ὑστερογενῆ καὶ ἐννοηματικά. ὅθεν καὶ ὁ Πορφύριος 37b
10 εἶπεν "οὐδὲν ἄρα περιττὸν οὐδὲ ἐλλεῖπον περιέχει ἡ τοῦ γένους ῥηθεῖσα ὑπογραφὴ τῆς ἐννοίας·" ὥστε καὶ ὁ σκοπὸς αὐτῷ περὶ μόνων νοημάτων. καὶ ταῦτα μὲν ἕκαστοι λέγοντες δοκοῦσι διαφωνεῖν, τῷ ὄντι δὲ πάντες 5
ἀληθεύουσιν, εἰ καὶ οὐ τελείως ἀλλ' ἐκ μέρους· ὥσπερ εἴ τις ὁριζόμενος τὸν ἄνθρωπον λέξῃ ὅτι ἄνθρωπός ἐστι ζῷον, ἄλλος δέ τις λέξῃ ὅτι λογικὸν
15 μόνον ἀρκεῖ, καὶ ἄλλος πάλιν ὅτι θνητόν, οἱ τρεῖς ἀληθεύουσιν, ἀλλ' οὐ τέλειον ἕκαστος εἶπεν ὅρον.

Ἔστιν οὖν σκοπὸς ἐνταῦθα τῷ φιλοσόφῳ διαλαβεῖν περὶ φωνῶν ση- 10
μαινουσῶν πράγματα διὰ μέσων νοημάτων. ὅτι δὲ ἀνάγκη τὸν λέγοντα περὶ ἑνὸς τούτων τῶν εἰρημένων εἶναι τὸν σκοπὸν συνάγειν καὶ τὰ λοιπὰ
20 δύο, ταύτῃ δείξομεν· ὅτε γὰρ περὶ φωνῶν λέγων περὶ σημαντικῶν λέγει (καὶ γὰρ περὶ ἀσήμων οὐδὲ εἷς παρὰ τοῖς φιλοσόφοις λόγος), αὗται δὲ 15
αἱ σημαντικαὶ σημαίνουσι πράγματα διὰ μέσων δηλονότι νοημάτων (ὁ γὰρ λέγων τι πρᾶγμα τὴν περὶ αὐτοῦ πρῶτον ἔννοιαν ἔχων τότε αὐτό φησιν), ὥστε περὶ τῶν τριῶν ἐξ ἀνάγκης πάντως διαλέξεται. ἀλλὰ δὴ καὶ οἱ περὶ
25 πραγμάτων λέγοντες εἰς μέσον ἀγέσθωσαν. ἐπειδὴ τοίνυν καὶ τούτων τὰ 20
μὲν ἐν ψιλῇ ἐπινοίᾳ ἐστίν, ὡς τὸ τραγέλαφος καὶ ὅσα τοιαῦτα, τὰ δὲ καὶ ὄντως ὑφεστῶτά ἐστιν, οὐ δήπου περὶ τῶν ἐν ψιλῇ ἐπινοίᾳ κειμένων ἐροῦσι

---

2 καὶ κρατ.] κρατ. δὲ M 3 ὅτι φαίνεται διαιρῶν] διαιρεῖν F 3. 4 ὅταν λέγῃ] Cat. p. 1a16 5 ὅταν λέγῃ om. M (cf. Cat. p. 1a20) ὅτι (alt.) om. F 6 τινὸς om. F 8 φησὶ] Cat. p. 11b15 9 ὁ Πορφύριος] Isag. p. 9,19 10 ἐλεῖπον F περιέχει — ἐννοίας (11)] καὶ τὰ ἑξῆς F 12 λέγουσι καὶ Mb δὲ ὄντι M: δὲ ὄντι ὅτι b οὐ διαφωνοῦσιν ἀλλὰ πάντες ἀληθ. Mb 13 εἰ καὶ] πλὴν Mb ὥσπερ — ὅρον (16)] ὥσπερ γὰρ εἰ τρεῖς τινες ὁριζόμενοι (ὁρ. τινες b) τὸν ἄνθρωπον ἀληθῆ μὲν ὅρον (ὅρον om. b) εἴπωσιν, ἡμιτελῆ δὲ παραδόντες λέγουσιν. οὐ γὰρ καὶ τέλειον εἴπωσιν. οὐ γὰρ καὶ τέλειον παραδόντες λέγουσι b)· φέρε γὰρ ἐξ ὑποθέσεως λέγειν τινὰ ὅτι (ὅτι om. b) ἄνθρωπός ἐστι ζῶον, ἄλλον δὲ λέγειν 'ἀλλὰ λογικὸν μόνον ἀρκεῖ' καὶ ἄλλον ὅτι θνητόν· ἰδοὺ πάντες ἀληθεύουσι μὴ λέγοντες τέλειον ὅρον (ὁρισμόν b) Mb εἴ om. F 14 λέξῃ post λογικὸν colloc. F 18 δὲ καὶ ἀνάγκη Mb 19 τούτων om. Mb συνεισάγειν M 20 ταύτῃ] ταυτὶ F γὰρ δὲ b λέγων — πράγματα (22)] λέγω ἢ (ἢ om. b) περὶ ἀσήμων φησὶν (φημὶ b) ἢ περὶ (περὶ om. b) σημαντικῶν, ἀλλὰ περὶ μὲν (μὲν om. b) ἀσήμων οὔ φησι (φημι b), περὶ τούτων γὰρ οὐδὲ εἷς λόγος τοῖς φιλοσόφοις, περὶ σημαντικῶν δ' (δ' om. b) ἄρα. σημαίνουσι δ' αὗται πράγματα Mb 24 τριῶν πρῶτον b πάντως om. b 25 εἰς om. F ἐναγέσθ. b 26 ἐπινοία μόνον Mb post τραγέλ. add. καὶ ἱπποκένταυρος Mb 27 ὑφεστηκότα εἰσίν M 27. p. 10,1 διαλαβεῖν (διαλαμβάνειν b) ἐροῦσι colloc. Mb

διαλαβεῖν τὸν φιλόσοφον, ἀλλὰ περὶ τῶν ὄντως ὄντων καὶ ὑφεστηκότων· ταῦτα δὲ ἡμᾶς διδάξει οὐ τῷ δακτύλῳ ἐπιδεικνύς, ἀλλὰ διὰ φωνῶν τινων σημαινουσῶν αὐτὰ διὰ μέσων νοημάτων. ἀλλὰ μὴν καὶ πρὸς τοὺς λέγοντας περὶ νοημάτων μόνον εἶναι τὸν σκοπὸν ἐροῦμεν ὅτι τὰ νοήματα πραγμάτων ἐστὶ νοήματα καὶ ὁ διδάσκων αὐτὰ ταῖς σημαινούσαις αὐτὰ διδάξει φωναῖς· ὥστε ὅ τι ἄν τις εἴπῃ τῶν τριῶν, ἐξ ἀνάγκης ὁμολογήσει καὶ τὰ ἄλλα δύο. καλῶς τοίνυν ἡμεῖς ἐλέγομεν ὅτι σκοπός ἐστι τῷ φιλοσόφῳ διαλεχθῆναι περὶ φωνῶν σημαινουσῶν πράγματα διὰ μέσων νοημάτων. καὶ τοῦτο εἰκότως· τὸ γὰρ προκείμενον βιβλίον καὶ τῆς λογικῆς πραγματείας καὶ πάσης τῆς Ἀριστοτελικῆς φιλοσοφίας ἐστὶ πρῶτον. ὡς μὲν οὖν πρῶτον τῆς λογικῆς πραγματείας περὶ φωνῶν διδάσκει, ὡς δὲ προηγούμενον καὶ τῆς ἄλλης Ἀριστοτελικῆς φιλοσοφίας τῶν ὄντων, τοῦτ' ἔστι τῶν πραγμάτων, ποιεῖται διαίρεσιν. ἐκ δὲ τούτου δῆλον ὅτι διὰ μέσων νοημάτων· τὰ γὰρ ἄκρα διδασκόμενα καὶ τὸ μέσον ἐξ ἀνάγκης συνδιδάσκει.

Ἐλέγομεν δὲ ὀλίγον ἔμπροσθεν ὅτι τῆς φιλοσοφίας δύο ἐστὶ μέρη, τό τε θεωρητικὸν καὶ τὸ πρακτικόν, καὶ ὅτι τὸ μὲν θεωρητικὸν ἔχει περὶ τὴν κατάληψιν τοῦ ψευδοῦς καὶ τοῦ ἀληθοῦς, τὸ δὲ πρακτικὸν περὶ τὴν διάκρισιν τοῦ τε ἀγαθοῦ καὶ τοῦ κακοῦ. ἀλλ' ἐπειδὴ τούτων ἑκάτερον ὑποδύεταί τινα μὲν ὡς ἀληθῆ μὴ ὄντα ἀληθῆ, τινὰ δὲ ὡς ἀγαθὰ μὴ ὄντα ἀγαθά, ἵνα μὴ ἀπατῶνται ἀπ' αὐτῶν οἱ ἄνθρωποι, δεῖ αὐτοῖς τινος ὀργάνου διακρίνοντος αὐτοῖς τὰ τοιαῦτα, ἵνα ὥσπερ γνώμονί τινι καὶ κανόνι χρώμενοι τὰ μὴ ἐφαρμόζοντα ἀπωθῶνται· τοῦτο δέ ἐστιν ἡ ἀπόδειξις.

1 ὄντως ὄντων καὶ] τῷ ὄντι M 2 δὲ om. b post ἐπιδεικνύς add. ὅτι τόδε μὲν ξύλον τὸ δ' εἰ τύχοι (τόδε δὲ εἰ τύχῃ b) λίθος Mb ἀλλὰ καὶ διὰ M 3 διὰ μέσων δηλονότι M 4 μόνων Mb 5 εἰσὶ b τὰς σημαινούσας — φωνάς Mb διδάσκει Fb 6 εἴποι b ὁμολογήσειε M 7 post ἡμεῖς add. συνελθόντες M: συνελόντες b λέγομεν Mb post ἐστι add. ἐνταῦθα Mb 8 τῶν φωνῶν M τῶν σημαιν. M 10 τῆς om. Fb ὡς μὲν — πραγματείας (11) om. F 11 post φωνῶν add. γὰρ F 11. 12 τῆς ἄλλης Ἀρ. φιλ. om. F 12. 13 ποιεῖται διαίρ. τουτέστι τῶν πραγμάτων Mb 13 τούτων M 14 συνδιδ.] διδάσκει M 15 ἐλέγομεν δὲ ὀλίγον ἔμπροσθεν ὅτι] ἀλλ' ἵν' (ἵνα καὶ b) ἀκριβέστερον ἀντιλαβώμεθα τοῦ σκοποῦ (τοῦ σκ. ἀντιλ. b), φέρε τῶν ὀλίγον ἔμπροσθεν εἰρημένων ἀναμνήσωμεν. ἐλέγομεν ὅτι Mb ὀλίγον ἔμπροσθεν] p. 4,28 sq. 16 μὲν om. Fb post ἔχει add. πραγματείαν M περὶ om. F 17 τοῦ ψεύδους καὶ τοῦ ἀληθοῦς F: τοῦ ψεύδους καὶ τῆς ἀληθείας M: τοῦ ψευδοῦς καὶ τοῦ γ' ἀληθοῦς b περὶ om. M 18 τε om. M 20 ἀπ'] ὑπ' Mb 21 τοῦ διακρίνοντος M αὐτῶν Fb γνώμῃ b 22 τὰ μὴ ἐφαρ.] τὰ μὲν ἐφαρμόζοντα αὐτῶν δέχωνται τὰ δὲ μὴ ἐφαρ. M ἀπωθοῖντο Fb post ἀπόδειξις add. ἀλλ' εἰδέναι χρὴ ὅτι περὶ τὴν τῶν γενομένων γένεσίν τε καὶ ποίησιν δύο τινῶν ἐστι χρεία, θεωρίας τε καὶ πράξεως, καὶ ἀντιπεπονθότως ἔχουσι τὰ δύο πρὸς ἄλληλα· τὸ γὰρ (τοῦ add. b) ἑτέρου πέρας τῷ ἑτέρῳ γίνεται ἀρχή (καὶ ἡ τοῦ ἑτέρου ἀρχὴ τῷ ἑτέρῳ γίνεται πέρας add. b). ἀλλ' ἵνα ἡμῖν ἡ διδασκαλία σαφεστέρα γένηται, φέρε χρησώμεθα παραδείγματι. βούλεταί τις ἑαυτῷ κατασκευάσαι κώλυμα θάλπους καὶ ψύχους καὶ ἀνέμων καὶ ὄμβρων (ὄμβρου b), τουτέστιν ὀροφήν. ὁ τοιοῦτος σκοπεῖ ὅτι μετέωρος ἡ ὀροφὴ μένειν οὐ δυνήσεται· δεῖ τοίνυν τινῶν τῶν ὀχούντων αὐτήν· ταῦτα δ' ἂν εἶεν οἱ τοῖχοι. ἀλλ' ἵνα καὶ (καὶ om. b) οὗτοι στῶσιν, αὐτῶν δεῖ προκαταβληθῆναι θεμέλια (δεῖ. θ. πρ. αὐτ. b). ἵνα δὲ καὶ αὐτὰ (ἀλλ' ἵνα ταῦτα b) καταβληθῶσι, δεῖ τὴν γῆν ὀρύξαι. οὕτω γοῦν (γοῦν: μὲν b) θεωρῶν ἤρξατο μὲν ἀπὸ τῆς ὀροφῆς, ἔληξε δὲ παρὰ τὴν ὄρυξιν τῆς γῆς. οὐκοῦν ἀνάπαλιν ἐν τῇ πράξει μὲν ἄρχεται (ἄρ. μὲν. b) ὀρύττειν τὴν γῆν, ὀρύξας δὲ καταβάλλει τοὺς θεμελίους,

ἡ δὲ ἀπόδειξις συλλογισμός ἐστι, ὁ δὲ συλλογισμός, ὡς ἤδη εἴρηται, οὐχ 38a
ἁπλοῦν πρᾶγμα ἀλλὰ συλλογή ἐστι λόγων καὶ συντίθεται ἐξ ὀνομάτων καὶ 20
ῥημάτων, αἵπερ εἰσὶ προτάσεις. καὶ ὅτι ὑπόκειται τὰ ὀνόματα κατηγορεῖται δὲ
τὰ ῥήματα, καὶ ταῦτα σύγκεινται ἐκ τῶν συλλαβῶν, ἀλλ' αὐτὰ καθ' αὑτὰ
5 οὐδὲν σημαίνουσιν, ὅθεν οὐδεὶς περὶ τούτων τῷ φιλοσόφῳ λόγος, οὐδὲ ἐπὶ 25
τῶν ὀνομάτων καὶ ῥημάτων στησόμεθα, οὐδὲ ἐπὶ τῶν συλλαβῶν αἵπερ
εἰσὶν ἐπέκεινα. τοιγαροῦν ἀνάγκη εἶναι ἐν μέσῳ αὐτῶν τι. λέγομεν τοίνυν 30
ὅτι ἔστι πρὸ τούτων ἡ πρώτη θέσις τῶν ἁπλῶν φωνῶν· εἰδέναι γὰρ δεῖ
ὅτι ἡ φύσις γινώσκουσα ὅτι κοινωνικὸν ἔμελλε γενέσθαι τὸ ζῷον τοῦτο,
10 ἔδωκεν αὐτῷ φωνήν, ἵνα διὰ ταύτης ἀλλήλοις σημαίνωσι τὰ ἑαυτῶν νοή-
ματα. καὶ συνελθόντες οἱ ἄνθρωποι συνέθεντο πρὸς ἀλλήλους τόδε μέν, 35
εἰ τύχοι, ξύλον ὀνομάζεσθαι τόδε δὲ λίθον καὶ τὴν μὲν Σωκράτης φωνὴν
τῆσδέ τινος οὐσίας εἶναι σημαντικὴν τὴν δὲ περιπατεῖν τῆσδέ τινος ἐνερ-
γείας. κατὰ τοῦτο μὲν οὖν τὸ σημαινόμενον ἅπασαι φωναὶ ὀνομάζονται.
15 κατὰ δευτέραν δὲ ἐπιβολὴν ἐπεσκέψαντο ὅτι ταῖς μὲν τῶν φωνῶν δύναται 40
συντάττεσθαι ἄρθρα, χρόνοι δὲ οὐχί, ἅπερ ἐκάλεσαν ὀνόματα, ταῖς δὲ
χρόνοι μὲν συντάττονται, ἄρθρα δὲ οὔ, ἅπερ εἰσὶ ῥήματα. σκοπὸς τοίνυν
ἐστὶ τῷ Ἀριστοτέλει διαλαβεῖν οὐ περὶ ὀνομάτων ἁπλῶς καὶ ῥημάτων, ἀλλὰ 45
περὶ τῆς πρώτης θέσεως τῶν ἁπλῶν φωνῶν σημαινουσῶν ἁπλᾶ πράγματα

ἐπὶ τοῖς θεμελίοις τοὺς τοίχους, ἐπὶ τοῖς τοίχοις τὴν ὀροφήν, καὶ εἰς τὴν ἀρχὴν τῆς θεωρίας ἐτελεύτησεν ἡ πρᾶξις. οὕτως οὖν κἀνταῦθα ἐπὶ τῆς ἀποδείξεως Mb 1 ἡ δὲ ἀπόδειξις — ἀνάγκη (7)] ἐπειδὴ γὰρ ἀπόδειξιν εἰδέναι βουλόμεθα, ἡ δὲ ἀπόδειξις συλλογισμός τίς ἐστι, πρὸ ἐκείνης ἄρα ζητητέον τίς ὁ ἁπλῶς (ἁπλοῦς b) συλλογισμός. ἀλλ' ἐπειδὴ καὶ (καὶ om. b) ὁ ἁπλῶς (ἁπλοῦς b) οὗτος συλλογισμὸς οὐκ ἔστιν ἁπλοῦν πρᾶγμα ἀλλὰ σύνθετον, ὡς καὶ αὐτὸ τὸ ὄνομα δηλοῖ, συλλογή γάρ τίς ἐστι λόγων, δεῖ ἄρα πρῶτον μαθεῖν μ. πρ. b τὰ ἐξ ὧν συντίθενται, ταῦτα δέ εἰσιν αἱ προτάσεις. ἀλλ' ἐπειδὴ (ἐπεὶ b) καὶ αὗται σύγκεινται ἐξ ὑποκειμένου καὶ κατηγορουμένου καὶ ὑπόκειται μὲν τὰ ὀνόματα κατηγορεῖται δὲ τὰ ῥήματα, ἐπισκεπτέον ἄρα καὶ περὶ τούτων. ἀλλὰ καὶ ταῦτα σύγκεινται ἐκ τῶν συλλαβῶν, ἀλλ' αὗται καθ' αὑτὰς (αὐτὰ καθ' αὑτὰ b) οὐδὲν σημαίνουσιν, ὥστε περὶ τούτων οὐδὲν ὁ φιλόσοφος ζητήσει· περὶ γὰρ τῶν ἀσήμων εἰρήκαμεν ὡς οὐδὲ εἷς αὐτῶ ἐστι (ἐστι om. b) λόγος. ἆρ' οὖν ἐπὶ τῶν ὀνομάτων καὶ (τῶν b) ῥημάτων στησόμεθα; λέγομεν ὅτι οὔ. ἀλλ' ἐπέκεινα προβησόμεθα. ἀλλ' ἐπέκεινα (ἐπ. δὲ b) τούτων αἱ συλλαβαί εἰσι (εἰσι om. b). ζητήσωμεν (ζητήσομεν b) οὖν περὶ συλλαβῶν; λέγομεν ὅτι οὐδὲ ταύτας. οὐκοῦν εἰ καὶ τῶν ὀνομάτων τε (τε om. b) καὶ (τῶν b) ῥημάτων ἐπέκεινα βαδιούμεθα καὶ περὶ συλλαβῶν οὐδὲν διαλεξόμεθα, ἀνάγκη Mb εἴρηται] p. 5,10 2 καὶ συντίθεται — προτάσεις (3) correctione egent; scribas αἵπερ εἰσὶ προτάσεις καὶ συντίθενται ἐξ ὑποκειμένου καὶ κατηγορουμένου 3 ὑπόκειν-ται F 7 ἐπέκεινα] ἔκεινα F τι ante εἶναι colloc. M: post εἶναι b λέγει F 9 κοινωνεῖν b ἤμελλεν b γενέσθαι] εἶναι M: om. b 10 δέδωκεν M ἀλλήλοις] αἱ ψυχαὶ M: αἱ φωναὶ (αἱ κοινωνίαι?) b σημαίνουσι F 11 οἱ om. Mb post ἄνθρωποι add. ὅσοι τῆς αὐτῆς ἠβούλοντο κοινωνῆσαι πολιτείας Mb 12 τύχῃ b ὀνομ. ξύλον b ὀνομάσαι M τόδε δὲ Paris 1973: τὸ δὲ FMb σωκράτους F 14 κατὰ] καὶ M 15 ἐπέσκηψαν Mb δύνανται M 16 συντάττεσθαι] συνάπτεσθαι Mb ἄρθρον M χρόνος M ἅπερ ἐκάλεσαν ὀνόματα om. Mb 17 ἅπερ εἰσὶ ῥήματα] καὶ τὰ μὲν ἐκάλεσαν ὀνόματα ὅπου τὰ ἄρθρα, τὰ δὲ ὅπου χρόνοι ῥήματα Mb post ῥήματα add. καὶ λέγονται κατὰ τὴν πρώτην ἐπιβολὴν πρώτην θέσιν ἐσχηκέναι αἱ φωναί, κατὰ δὲ τὴν δευτέραν (θέσιν add. b) δευτέραν Mb ἐνταῦθα τοίνυν ὁ σκοπὸς M: ὁ τοίνυν σκ. b 19 πρώτης om. F

διὰ μέσων ἁπλῶν νοημάτων. | ἆρ' οὖν περὶ πασῶν τῶν φωνῶν διαλέγεται 38b
ἐν ταῖς Κατηγορίαις; οὐ δήπου· ἄπειροι γάρ εἰσι, τὰ δ' ἄπειρα πρὸς ἐπι-
στήμην οὐ παραλαμβάνεται. ἀλλ' εἰς καθόλου τινὰς ἀνάγει φωνάς,
οὐκ ἀορίστους δέ, ἀλλὰ τῷ τῆς δεκάδος ἀριθμῷ περικεκλεισμένας· 10
5 ὑπὸ δὲ ταύτας ἀνάγονται πᾶσαι αἱ φωναί, αἵ εἰσιν οὐσία ποσὸν ποιὸν 46

1 post νοημάτων add. καὶ κατὰ μὲν τὴν θεωρίαν οὕτως ἀναλύοντες ἐληλύθαμεν παρὰ τὴν πρώτην θέσιν. ἀρξάμεθα δὲ (μὲν b) ἀπὸ τῶν κατηγοριῶν, ἐν αἷς ἡ πρώτη θέσις τῶν ἁπλῶν φωνῶν ἡμῖν παραδίδοται. μετ' ἐκεῖνο δὲ τὸ περὶ ἑρμηνείας ἀνελεξάμεθα (ἀναλεξόμεθα b), ἐν ᾧ καὶ περὶ ὀνομάτων καὶ περὶ (περὶ om. b) ῥημάτων καὶ περὶ τῶν (τῶν om. b) προτάσεων. εἶτα τὰ πρῶτα ἀναλυτικά, ἐν οἷς τὸν καθόλου συλλογισμὸν ἔστι μαθεῖν (εὑρεῖν b), καὶ οὕτως ὕστερον τὰ ἀποδεικτικά Mb ἆρ' οὖν ἐν ταῖς κατ. περὶ πασῶν ὁ φιλόσοφος (ὁ φιλόσοφος om. b) τῶν φωνῶν διαλήψεται (διαλέγεται b) καὶ πᾶσαν ἡμῖν ἐνταῦθα παραδώσει φωνήν (φων. ἐντ. παραδίδωσιν b); οὐ δήπου Mb 2 ἄπειροι] ἄπειρα Fb 2. 3 ἐπιστήμη οὐ περιλαμβάνονται b 3 παραλαμβάνονται M post παραλ. add. ὥστε διὰ τοῦτο οὐ διαλήψεται περὶ πασῶν τῶν κατὰ μέρος Mb ἀνάγων Mb 4 οὐκ ἀορίστους δέ] καὶ ταύτας οὐκ ἀορίστως (ἀορίστους b) Mb 5 αἱ φωναί om. Mb αἵ εἰσιν οὐσία] αἵ εἰσιν οὐσίαι F: ὥσπερ γὰρ οἱ γραμματικοὶ τὰς λέξεις πάσας (ταύτας b) ὑπό τινας ὀκτὼ γενικὰς κοινότητας (κοινοτάτας b) συνέλαβον, ὄνομα ῥῆμα μετοχὴν ἄρθρον ἀντωνυμίαν πρόθεσιν ἐπίρρημα σύνδεσμον, καὶ οἵαν δήποτέ τις ἐπινοήσειεν ἐπὶ (ὑπὸ b) μίαν τούτων ἀνάγεται, οὕτω καὶ οἱ φιλόσοφοι πάντα τὰ ὄντα βουλόμενοι διδάξαι, ἐπειδὴ (τὰ add. b) κατὰ μέρος ἀπερίληπτα ἦν (εἰσί b), συναγαγόντες (συνάγοντες b) ἅπαντα περιέκλεισάν τε καὶ περιέγραψαν ὑπό τινας δέκα φωνάς. λαβόντες γάρ, εἰ τύχοι (τύχῃ b), τὴν σωκράτης φωνὴν καὶ πλάτων καὶ ἀλκιβιάδης, ὑπὸ καθολικώτερον εἶδος ἀνήγαγον τὴν ἄνθρωπος φωνήν, ὁμοίως δὲ (δὲ om. b) καὶ τῶν κατὰ μέρος κυνῶν ὑπὸ ἓν εἶδος τὸ τοῦ κυνός, ὁμοίως δὲ καὶ (ὁμ. δὲ καὶ om. b) τῶν κατὰ μέρος ἵππων οἷον ξάνθου καὶ βαλίου ὑπὸ τὴν ἵππος (τοῦ ἵππου b). ταῦτα πάντα τὰ εἴδη συναγαγόντες εἰς ἓν (τι add. b) καθολικώτερον συνήγαγον τὸ ἄλογον. ὁμοίως δὲ καὶ ἄγγελον καὶ ἄνθρωπον ὑπό τι ἓν συναγαγόντες (συν. ἓν b) ἐποίησαν τὸ λογικόν. πάλιν τὸ λογικὸν καὶ τὸ ἄλογον συναγαγόντες εἰς ἓν κοινὸν (εἰς ἓν συναγ. b) ἐποίησαν τὸ ζῶον. εἶτα συναγαγόντες πλάτανον καὶ συκῆν καὶ κυπάριττον καὶ τὰ κατὰ μέρος εἴδη ἀνήγαγον ὑπὸ ἕν τι μέρος (ἓν γένος b) τὸ φυτόν. ὁμοίως δὲ συναγαγόντες ἐχίνους (καὶ add. b) ὄστρεα (ὄστρα b) καὶ τὰ ἄλλα τὰ ὅμοια τούτοις ἀνήγαγον ὑπὸ ἓν γένος τὸ ζωόφυτον μέσον ὂν (ὂν om. b) τοῦ ζώου καὶ τοῦ φυτοῦ, ἐπειδὴ οὔτε κινοῦνται κατὰ τόπον ὡς τὰ ζῶα οὔτε μὴν ἀναίσθητά εἰσιν (εἰσιν om. b) ὡς τὰ φυτά. ταῦτα πάλιν τὰ τρία, λέγω δὴ τὸ ζῶον καὶ τὸ φυτὸν καὶ τὸ ζωόφυτον, συναγαγόντες εἴς τι κοινὸν ἐποίησαν τὸ ἔμψυχον, λίθον δὲ καὶ ξύλον (ξύλα b) συναγαγόντες καὶ τὰ ἄλλα (ἄλλα om. b) τούτοις ὅμοια ἀνήγαγον ὑπὸ τὸ ἄψυχον, καὶ αὖθις τὸ ἔμψυχον καὶ τὸ (τὸ om. b) ἄψυχον συναγαγόντες ἀνήγαγον ὑπὸ τὸ σῶμα, εἶτα ψυχὴν καὶ ἄγγελον καὶ τὰ ὅμοια τούτοις ὑπὸ τὸ ἀσώματον, εἶτα ταῦτα συναγαγόντες πάντα (πάντα om. b) ἀνήγαγον εἰς τὴν γενικωτέραν (γενικωτάτην b) οὐσίαν· ταύτης γὰρ ἀνωτέρω (ἀνώτερον ἕτερον b) οὐδέν ἐστι. πάλιν συναγαγόντες ἀριθμὸν καὶ (καὶ om. b) δίπηχυ καὶ τρίπηχυ ἀνήγαγον ὑπὸ τὸ (τὸ om. b) ἓν γενικώτατον τὴν ποσότητα. πάλιν συναγαγόντες λευκὸν καὶ μέλαν καὶ γραμματικὴν (-κὸν b) καὶ ἐπιστήμην (-στῆμον b) καὶ θερμὸν καὶ ψυχρὸν ἀνήγαγον γενικῶς ὑπὸ τὸ ἓν (κοινῶς ὑπὸ ἓν b) γενικώτατον τὴν ποιότητα, καὶ αὖθις δεξιὸν καὶ ἀριστερὸν καὶ φίλον καὶ ἐχθρὸν ὑπὸ τὴν (τὰ b) πρός τι. καὶ πάλιν ὅσα ἐν τόπῳ λέγεταί τινι (τ. λέγ. b) εἶναι οἷον ἐν λυκείῳ ἐν ἀκαδημίᾳ (ἢ add. b) ἐν ἀγορᾷ ὑπὸ τὴν τοῦ (τοῦ om. b) τοῦ κατηγορίαν ἀναφέρονται. ὅσα (καὶ ὅσα b) δὲ ὑπό τινα χρόνον ἀνάγονται, ὑπὸ τὴν τοῦ (τοῦ om. b) ποτὲ κατηγορίαν εἰσίν (ἐστίν b), ὅσα δὲ ἀνακεῖσθαι λέγονται (λέγ. om. b) ἢ καθέζεσθαι, ἀναφέρονται (ἀναφ. om. b) ὑπὸ τὴν τοῦ (τοῦ om. b) κεῖσθαι, ὅσα δὲ ὑποδεδέσθαι καὶ ὡπλίσθαι ὑπὸ τὸ ἔχειν, ὅσα δὲ καίεσθαι ἢ τέμνεσθαι (τ. ἢ κ. b) ὑπὸ τὸ πάσχειν, ὅσα δὲ καίειν (ἢ add. b) τέμνειν ὑπὸ τὸ ποιεῖν. ἔσχον οὖν οὐσίαν Mb (cf. *Ammon. in Porph. Isag.* p. 17 sq.) ποιόν, ποσόν b

πρός τι ποῦ ποτὲ ποιεῖν πάσχειν κεῖσθαι ἔχειν. καὶ ὁ μὲν σκοπὸς οὗτος.

Τὸ δὲ χρήσιμον αὐτόθεν δῆλον· εἰ γὰρ ἀρχή ἐστι τῆς λογικῆς πραγ- | ματείας τὸ τῶν Κατηγοριῶν βιβλίον, ἡ δὲ λογική, ὡς εἰρήκαμεν, ἡμῖν 39a
5 διακρίνει τὸ ἀληθὲς ἀπὸ τοῦ ψεύδους καὶ τὸ ἀγαθὸν ἀπὸ τοῦ κακοῦ, συμβάλλεται ἄρα ἡμῖν τὸ προκείμενον βιβλίον. ἀλλὰ μὴν καὶ ἡ τάξις αὐτόθεν ἡμῖν ἀναφαίνεται. εἰρηκότων ἡμῶν ὅτι ἡ μὲν πρώτη θέσις τῶν ἁπλῶν 5
φωνῶν προηγεῖται τῶν ὀνομάτων καὶ ῥημάτων, τὰ δὲ ὀνόματα καὶ τὰ ῥήματα τῶν ἁπλῶν λόγων, οὗτοι δὲ τῶν συλλογισμῶν τῶν καθόλου, οὗτοι
10 δὲ τῶν ἀποδεικτικῶν συλλογισμῶν· πρὸς τοίνυν τὴν τάξιν τούτων καὶ τὰ βιβλία πεποίηνται.

Ζητητέον δὲ τί δή ποτε Κατηγορίας ἐπέγραψε τὸ βιβλίον. λέγομεν τοίνυν ὅτι πρόκειται αὐτῷ διδάξαι περὶ γενῶν καὶ εἰδῶν καὶ ὅτι τὰ μὲν 11
εἴδη τοῖς αὐτῶν γένεσιν ὑπόκειται, τὰ δὲ γένη κατηγορεῖται τῶν εἰδῶν
15 ἑαυτῶν, ὥστε τὰ μὲν ἄτομα μόνως ὑπόκειται, τὰ δὲ ὑπάλληλα τοῖς μὲν 15
πρὸ αὐτῶν ὑπόκειται, τῶν δὲ μετ' αὐτὰ κατηγορεῖται, τὰ δὲ γενικώτατα μόνως κατηγορεῖται. ἐπειδὴ τοίνυν αἱ δέκα φωναὶ τῶν γενικωτάτων εἰσὶ καὶ μόνως κατηγοροῦνται μηδενὶ ὑποκείμεναι, διὰ τοῦτο Κατηγορίας ἐπέγραψεν.

20 Εἰδέναι δὲ δεῖ ὅτι ἐν ταῖς παλαιαῖς βιβλιοθήκαις τῶν μὲν Ἀναλυτικῶν 20
τεσσαράκοντα βιβλία εὕρηνται, τῶν δὲ Κατηγοριῶν δύο· τὸ μὲν ἕτερον εἶχεν ἀρχὴν "τῶν ὄντων τὰ μὲν ὁμώνυμα λέγεται τὰ δὲ συνώνυμα", τὸ δὲ δεύτερον, ὅπερ νῦν προκείμενον ἔχομεν· καὶ προτετίμηται τοῦτο ὡς 25
τάξει καὶ πράγματι πλεονεκτοῦν καὶ πανταχοῦ πατέρα τὸν Ἀριστοτέλην
25 κηρῦττον. ὅτι δὲ γνήσιον τοῦ φιλοσόφου τὸ σύγγραμμα πάντες ὁμολογοῦσι· φαίνεται γὰρ ἐν πᾶσι τοῖς αὐτοῦ βιβλίοις μεμνημένος τῶν ἐνταῦθα θεωρημάτων· διόπερ εἰ τοῦτο νόθον, κἀκεῖνα, εἰ δὲ ἐκεῖνα γνήσια, καὶ τοῦτο 30

---

3 αὐτόθι Mb τῆς λογ. ἐστὶ Mb 4 εἰρήκαμεν] p. 4,28 sq. 6 ἄρα συμβ. b 7 μὲν om. b 8 καὶ τῶν ῥημάτων M τὰ (ante ῥήματα) om. M 9 οὗτοι (alt.)] λέγω F 10 πρὸ τῆς τάξεως τοίνυν b 10. 11 τὸ βιβλίον (τοῦτο add. b) πεποίηται Fb 13 πρόκειται αὐτῷ] ἐπέγραψε τῷ ὀνόματι τούτῳ τὸ σύγγραμμα οὐχ ὥσπερ ἐν δικαστηρίοις (δικαστηρίῳ b) ποικίλλεται αὕτη ἡ φωνή, οὐ γὰρ πρόκειται αὐτῷ ῥητορεῦσαι, ἀλλὰ μᾶλλον Mb καὶ μαθεῖν ὅτι Mb 14 αὐτῶν F 14. 16 ὑπόκεινται Mb 15 μόνον Mb ὑπόκεινται M post ὑπάλληλα add. τουτέστι τὰ μεταξὺ M: τουτέστι τὰ πρὸ αὐτῶν b μὲν (alt.) om. F 16 μετὰ ταῦτα M: μεταξὺ ταῦτα b κατηγοροῦνται M καὶ ὅτι τὰ γενικ. F 17 post φωναὶ add. αὗται M 18 μόνον b κατηγορεῖται F 20 δὲ] γὰρ M 21 δύο] δώδεκα. καὶ τέως δύο τὰ κρείττω F 22 εἶχεν ἀρχὴν F: εἶχε τὴν ἐπιγραφήν, τὴν ἀρχήν φημι, οὕτως M: εἶχε τὴν ἐπιγραφήν, οὕτως δέ φημι τὴν ἀρχήν b 23 ἔχ. προκ. b post ἔχομεν add. εἶχε τὴν ἐπιγραφὴν τοιαύτην· ὁμώνυμα λέγεται ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ κατ' ὄνομα λόγος (ὁ δὲ ὅρος b) τῆς οὐσίας ἕτερος Mb καὶ προτετίμ.] προτ. γοῦν M: προτ. δὲ b 24 τάξει ex πράξει corr. F 26 post γὰρ add. αὐτὸς ὁ ἀριστοτέλης M: ὁ ἀρ. αὐτὸς b αὐτοῦ libri ἐνταῦθα λεγομένων θεωρημάτων M 27 διόπερ — ἔσται (p. 14,1) correxi: διόπερ εἰ τοῦτο νόθον, κἀκεῖνα· εἰ δὲ τοῦτο γνήσιον, κἀκεῖνα γήσια ἔσται F: εἰ τοίνυν φήσομεν εἶναι νόθον (ν. εἶν. b) τοῦτο (τοῦτο om. b) τὸ βιβλίον, κἀκεῖνα πάντα συννοθεύσομεν τούτῳ, εἰ δ' (ἢ εἰ b) ἐκεῖνα γνήσια, καὶ τοῦτο δηλονότι σὺν αὐτοῖς Mb

γνήσιον ἔσται. δεῖ μέντοι εἰδέναι ὅτι τὰ εὑρήματα τῶν κατηγοριῶν οὐκ ἔστιν αὐτοῦ ἀλλὰ προϋπῆρχεν, ἡ δὲ τούτων σύνταξις ὑπάρχει αὐτοῦ.

Διαιρεῖται δὲ τὸ βιβλίον εἰς τρία, εἰς τὰ πρὸ τῶν κατηγοριῶν, | εἰς τὰς 39b
κατηγορίας αὐτάς, εἰς τὰ μετὰ τὰς κατηγορίας. τὰ δὲ πρὸ τῶν κατηγοριῶν
5 συμβαλλόμενα ἡμῖν ἔσται εἰς τὴν τῶν κατηγοριῶν διδασκαλίαν· ἐπειδὴ γὰρ 7
ἔμελλεν ἐν τῇ τῶν κατηγοριῶν διδασκαλίᾳ μνημονεύειν λέξεών τινων ἡμῖν
ἀγνώστων, διὰ τοῦτο περὶ αὐτῶν προδιδάσκειν θέλει, ἵνα μὴ δόξῃ τὸν λόγον
συνταράττειν. διαλέγεται δὲ ἐν τῷ τέλει περὶ τῶν μετὰ τὰς κατηγορίας· 10
ἐπειδὴ γὰρ ἐν τῷ διδάσκειν τὰς κατηγορίας ἐχρήσατο λέξεσί τισιν οὐκ
10 ἐγνωσμέναις, διαλήψεται καὶ περὶ αὐτῶν. ἀλλὰ ζητητέον τί δή ποτε καὶ
πρὸ τῶν κατηγοριῶν ἐδίδαξε· καὶ λέγομεν ὅτι τῶν μὲν κατ' ἀρχὴν ἐμνη-
μόνευσε προλαβὼν ὡς πάντῃ ἀγνώστων, τὰ δὲ ἐφύλαξεν ἐν τῷ τέλει ὡς 16
ἂν ἐγνωσμένα ἐν τῇ συνηθείᾳ, οὐ μὴν διηρθρωμένην ἡμῶν ἐχόντων τὴν
περὶ αὐτῶν γνῶσιν, ὅθεν καὶ μήπω διαλαβὼν περὶ αὐτῶν ἐχρήσατο τούτοις
15 ἐν τῇ τῶν κατηγοριῶν διδασκαλίᾳ· πάντες γὰρ ἄνθρωποι χρῶνται κατὰ τὴν
συνήθειαν τῇ τε ἅμα λέξει καὶ τῇ πρότερον καὶ τῷ τῆς κινήσεως ὀνόματι· 20
παραδίδωσι τοίνυν ἀκριβῶς τίνα ποτέ ἐστι τὰ ὑπ' αὐτῶν σημαινόμενα.
τινὲς δὲ εἰρήκασι ταῦτα προσγεγράφθαι νόθα ὑπὸ τῶν βουλομένων ἀναγι-
νώσκεσθαι τοὺς Τόπους μετὰ τὰς Κατηγορίας εὐθέως· ἀμέλει τοι καὶ τὸ
20 προκείμενον βιβλίον οὕτως ἐπιγράφουσι Πρὸ τῶν τόπων. οὗτοι δὲ καὶ τῇ 25
ἐναργείᾳ καὶ τῇ τάξει ἀντικρὺς μάχονται, εἴ γε ἐδίδαξεν ὅτι τῶν μὲν ὀνο-
μάτων καὶ ῥημάτων προηγεῖται ἡ πρώτη θέσις τῶν ἁπλῶν φωνῶν προσ-
εχῶς, διδάσκει δὲ ἐν μὲν ταῖς Κατηγορίαις περὶ θέσεως τῶν ἁπλῶν
φωνῶν, ἐν δὲ τῷ Περὶ ἑρμηνείας περὶ ὀνομάτων καὶ ῥημάτων· ὥστε
25 ἑκάτερα ἔχονται ἀλλήλων ὥσπερ σειρά τις, καὶ οὔτε πρὸ ἐκείνου δύναταί 30
τις ἄλλο ἀναγινώσκειν ἢ τὰς Κατηγορίας οὔτε μετὰ ταύτας ἄλλο ἢ τὸ Περὶ

---

2 αὐτοῦ ὑπάρχει colloc. M 4 καὶ εἰς τὰ b τὸ δὲ—συμβαλλόμενον (5) b 5 ἔσται] ἐστὶν M post διδασκαλίαν add. ὥσπερ γὰρ (γὰρ om. b) οἱ γεωμέτραι πρὸ τῆς τῶν γραμματικῶν (γραμμικῶν b) θεωρημάτων διδασκαλίας διδάσκουσιν ἡμᾶς τί ἐστι σημεῖον καὶ τί ἐστιν εὐθεῖα καὶ τί γωνία (τί γων. κ. τί εὐθ. b) ὡς ἂν συμβαλλόμενα αὐτοῖς (ᾗ add. b) εἰς τὴν περὶ (περὶ om. b) τούτων διδασκαλίαν, οὕτω καὶ ὁ φιλόσοφος ἐνταῦθα Mb γὰρ om. Mb 6 μνημονεύσειν b 7 προδιδάσκειν θέλει] διδάσκει M μὴ post λόγον transp. Mb δόξῃ Philop.: δείξῃ Fb: evan. M 8 διαλέγεται δὲ ἐν τῷ τέλει] εἶτα μετὰ ταῦτα (μ. τ. om. b) διδάξει περὶ αὐτῶν τῶν (δέκα add. b) κατηγοριῶν καὶ ὕστερον ἐν τῷ τέλει διαλέξεται Mb 9 ἐπεὶ M γὰρ] δὲ Mb 10 ζητητέον] ζητήσεως ἄξιον M 10. 11 καὶ πρὸ τῶν κατ. (in mrg. add. m.² καὶ μετὰ τῶν κατηγοριῶν) F: καὶ μετὰ ταῦτα καὶ πρὸ τῶν κατ. M: καὶ μετὰ ταῦτα περὶ τῶν κατ. b 12 παντὶ M: πάνυ b post ἀγνώστων add. εἰ οὖν καὶ ταῦτα σὺν αὐτοῖς ἔταξε, τὸ προοίμιον ἐπιμήκιστον (ἐπιμήκ. om. b) ἐκτείνεσθαι συνέβαινεν Mb τὰ δὲ ἐφύλ.] ἐφύλαξε δὲ νῦν αὐτὰ M: ἐφ. αὐτὰ τοίνυν b 13 ἐγνωσμένων b ἐν] μὲν M ὑμῶν F: om. b ἐχόντων post αὐτῶν colloc. F 14 μὴ προδιαλαβὼν Mb 16 πρότερα Fb τοῦ κινήματος Fb 17 παραδώσει Fb 18 ταῦτα om. b προσγεγράφθαι b: προγεγράφθαι codd. 21 ἐνεργεία Fb ἐδίδαξα b 22 τῶν ῥημ. Mb 23 διδάσκει—φωνῶν] αἵπερ εἰσὶν αἱ κατηγορίαι F θέσεων b 24 ὀνομάτων τε καὶ Mb 25. 26 δύναταί τις] τί δύνασαι M 26 ἢ τὰς κατηγορίας om. M ταύτας] τοῦτο M: ταῦτα b

ἑρμηνείας, καὶ ὁ αὐτὸς λόγος τε καὶ ἡ τάξις ἄχρι τῶν Δευτέρων ἀναλυτικῶν, τοῦτ' ἔστι τῶν Ἀποδεικτικῶν.

p. 1a1 Ὁμώνυμα λέγεται ὧν ὄνομα μόνον κοινόν. F f. 89r

Εἰ μὲν αἱ ψυχαὶ ἄνω ἦσαν χωρὶς τοῦ σώματος τούτου, πάντα ἂν ἐγίνωσκον ἑκάστη οἴκοθεν μηδενὸς ἑτέρου προσδεόμεναι, ἀλλ' ἐπειδὴ κατεληλύθασι πρὸς τὴν γένεσιν καὶ συνδέδενται τῷ σώματι καὶ τῆς ἐξ αὐτοῦ ἀχλύος ἀναπιμπλάμεναι ἀμβλυώττουσι καὶ οὐχ οἷαί τέ εἰσι τὰ πράγματα γινώσκειν ὡς ἔχει φύσεως, διὰ τοῦτο τῆς ἀλλήλων ἐδεήθησαν κοινωνίας διακονούσης αὐταῖς τῆς φωνῆς εἰς τὸ διαπορθμεύειν ἀλλήλαις τὰ νοήματα. δηλοῦνται δὲ πάντα καὶ δι' ὀνομάτων καὶ διὰ λόγων. καὶ τοῦτό γε εἰκότως, εἴ γε τῶν ὄντων ἕκαστον καὶ ἕν τί ἐστι καὶ σύγκειται ἐκ πλειόνων | μερῶν οἰκείων, ἃ συνελθόντα ἐπλήρωσαν αὐτοῦ τὴν φύσιν· οἷον ὁ ἄνθρωπος 89v καὶ ἕν τί ἐστι καὶ σύγκειται ἐκ γένους καὶ τῶν συστατικῶν αὐτοῦ διαφορῶν· ὡς μὲν οὖν ἓν ὧν δηλοῦται ὑπὸ τῆς ἄνθρωπος φωνῆς, ἥτις ἁπλοῦν ἐστιν ὄνομα, ὡς δὲ συγκείμενος ἔκ τινων δηλοῦται ὑπὸ τοῦ λόγου ἑκάστην τῶν τοῦ ἀνθρώπου ἰδιότητων ἐπεξιόντος, οἷον ζῷον λογικὸν θνητόν. τούτων τοίνυν οὕτως εἰρημένων εἰ λάβοιμεν δύο πράγματα, ταῦτα ἢ κατὰ ἀμφότερα κοινωνοῦσι, λέγω δὴ κατὰ τὸ ὄνομα καὶ τὸν λόγον, ἢ κατ' ἄμφω διαφέρουσιν, ἢ κατὰ μὲν τὸ ἓν κοινωνοῦσι, κατὰ δὲ τὸ ἕτερον διαφέρουσι· καὶ τοῦτο διχῶς· ἢ γὰρ κατὰ μὲν τὸν λόγον κοινωνοῦσι κατὰ δὲ τὸ ὄνομα διαφέρουσιν, ἢ ἀνάπαλιν κατὰ μὲν τὸ ὄνομα κοινωνοῦσι κατὰ δὲ τὸν λόγον διαφέρουσιν· ὥστε τέσσαρας εἶναι διαφοράς. εἰ μὲν οὖν κατ' ἄμφω κοινωνοῦσιν, ὁνομάζεται συνώνυμα ὡσανεὶ σὺν τῷ ὀνόματι καὶ τοῦ ὁρισμοῦ μεταδιδόντα ἀλλήλοις, ὥσπερ κατηγορεῖται τὰ γένη τῶν οἰκείων εἰδῶν· ὁ γὰρ ἄνθρωπος καὶ ζῷον λέγεται καὶ οὐσία ἐστὶν ἔμψυχος αἰσθητική. εἰ δὲ κατ' ἄμφω διαφέροιεν, ὁνομάζεται ἑτερώνυμα, ὥσπερ ἔχει ὁ ἄνθρωπος καὶ ὁ ἵππος· οὐ γὰρ τὸν ἄνθρωπον εἴποις ἵππον οὐδὲ τὸν ἵππον ἄνθρωπον, οὐ μὴν οὐδὲ τὸν αὐτὸν ἔχουσιν ὁρισμόν, ἀλλ' ἄλλον καὶ ἄλλον. εἰ δὲ κατὰ μὲν τὸ ὄνομα κοινωνοῖεν, κατὰ δὲ τὸν λόγον διαφέροιεν, ὁμώ-

---

1 αὐτὸς ὁ colloc. Fb 2 post ἀποδεικτικῶν add. δέκα οὖν (δέκα οὖν om. b) ἐστι τὰ ὀφείλοντα προλέγεσθαι πάσης ἀριστοτελικῆς φιλοσοφίας Fb 3 titulum superscr. περὶ ὁμωνύμου F ὁμώνυμα δὲ F 4 ante εἰ μὲν superscr. σχόλια εἰς τὰς κατηγορίας ἀμμωνίου φιλοσόφου F αἱ ψυχαὶ εἰ μὲν colloc. M 5 post ἐγίνωσκον add. αὐται M 6 πρὸς] εἰς M συνδένδενται F 10 καὶ — καὶ] ἢ — ἢ καὶ M γε] γέγονεν M 12 ὁ om. M 14 ὧν] ὂν libri ἀνθρώπου F (cf. p. 11,36) 15 συγκείμενον F ὑπὸ τοῦ λόγου τοῦ λέγοντος ζῶον λογ. θν. τοῦ λόγου τούτου ἑκάστην κτλ. M ἑκάστην — ἰδιοτήτων (16)] ἑκάστης τῆς. τοῦ ἀνθρ. ἰδιότητος F 17 ταυτὰ M ἀμφότερον F 19 μὲν — δὲ om. M 19. 20 καὶ τοῦτο διχῶς om. M 23 ὁνομάζεται συνώνυμα scripsi: ὁνομάζεται συνώνυμον FM 24 καὶ κατ. F 25 καὶ ζῶον — αἰσθ.] οὐσία λέγεται αἰσθ. καὶ ζῶον F 26 ἑτερώνυμον M 27 ὁ om. M αὐτὸν γὰρ τὸν ἄνθρ. οὐκ ἂν εἴποις M 28 οὐ μὴν om. M

νυμα λέγεται, ὥσπερ ἔχουσιν οἱ δύο Αἴαντες· οὗτοι γὰρ κοινὸν μὲν ὄνομα ἔχουσι τὸ Αἴας, ὁρισμὸν δὲ οὐ τὸν αὐτόν· τὸν γὰρ Τελαμῶνος ὁριζόμενοι λέγομεν 'ὁ ἐκ Σαλαμῖνος' 'ὁ μονομαχήσας Ἕκτορι' καὶ ὅσα τοιαῦτα, τὸν δὲ ἄλλον πάλιν ἄλλως 'ὁ Ὀιλέως' 'ὁ Λοκρός'. εἰ δὲ κατὰ μὲν τὸν λόγον κοινωνοῦσι κατὰ δὲ τὸ ὄνομα διαφέρουσιν, ὀνομάζεται πολυώνυμα, ὡς ἔχει τὸ ἄορ ξίφος μάχαιρα.

Ἐκ τῶν τεσσάρων τοίνυν τούτων περὶ τῶν δύο μόνον ἐνταῦθα ὁ Ἀριστοτέλης διαλέγεται, λέγω δὴ τῶν ὁμωνύμων καὶ τῶν συνωνύμων, ἐπείπερ ταῦτα μόνον αὐτῷ συμβάλλεται χρήσιμα ὄντα ἐν τῇ τῶν κατηγοριῶν διδασκαλίᾳ, καὶ ὅτι ἐκ τούτων δηλοῦται καὶ τὰ λοιπὰ δύο ὡς ἀντικείμενα τούτοις· ἀντίκειται γὰρ τοῖς μὲν ὁμωνύμοις τὰ πολυώνυμα, εἴ γε ταῦτα κατὰ μὲν τὸ ὄνομα κοινωνεῖ, κατὰ δὲ τὸν λόγον διαφέρει, τὰ δὲ πολυώνυμα εἰρήκαμεν κατὰ μὲν τὸ ὄνομα διαφέρειν κατὰ δὲ τὸν λόγον κοινωνεῖν ἀλλήλοις. τοῖς δὲ συνωνύμοις ἀντίκειται τὰ ἑτερώνυμα· καὶ γὰρ ταῦτα μὲν κοινωνεῖ κατ' ἀμφότερα, ἐκεῖνα δὲ κατ' ἀμφότερα διαφέρει· ὥστε ὁ ταῦτα εἰδὼς ἐξ αὐτῶν καὶ τὰ ἀντικείμενα εἴσεται. τοῦτο δὲ διὰ βραχυλογίαν ὁ φιλόσοφος ἐπετήδευσεν· τῶν γὰρ ἀντικειμένων ἡ αὐτή ἐστιν ἐπιστήμη. ὥστε δεῖ τῷ περὶ τῶν δύο λόγῳ καὶ τὰ λοιπὰ δύο συνδιδαχθῆναι. προέταξε δὲ τὰ ὁμώνυμα τῶν συνωνύμων, οὐκ ἐπειδὴ τὸ ὂν κατηγορεῖται ὁμωνύμως τῶν δέκα κατηγοριῶν. ἀλλ' ὅτι δεῖ τὰ ἁπλούστερα τῶν μὴ τοιούτων ἀεὶ προτάττεσθαι κατὰ τὴν διδασκαλίαν, ἔστι δὲ τὰ ὁμώνυμα τῶν συνωνύμων ἁπλούστερα, εἴ γε ταῦτα μὲν | τὴν κατὰ τὸ ὄνομα 90r μόνον κοινωνίαν ἔχει, τὰ δὲ συνώνυμα σὺν ταύτῃ καὶ τὴν κατὰ τὸν λόγον.

Ἔστι δὲ εἰπεῖν ὅτι ἄλλα μέν ἐστιν ἕτερα, ἄλλα δὲ ἑτερώνυμα· καὶ ἕτερα μέν ἐστι τὰ παντελῶς ἠλλοτριωμένα, ὡς ἄνθρωπος καὶ ἵππος (ταῦτα γὰρ οὔτε ὄνομα τὸ αὐτὸ ἔχουσιν οὔτε ὁρισμὸν τὸν αὐτόν), ἑτερώνυμα δὲ ὅσα τούτοις διαφέρει καὶ τῷ ὑποκειμένῳ ταὐτά ἐστιν, ὥσπερ ἀνάβασις καὶ κατάβασις· τούτων γὰρ οὔτε ὄνομα τὸ αὐτὸ οὔθ' ὁρισμὸς ὁ αὐτός, τῷ μέντοι ὑποκειμένῳ ταὐτά ἐστι· περὶ γὰρ τὴν αὐτὴν κλίμακα θεωροῦνται.

---

1 λέγεται] καλεῖται M 1. 2 ἓν μὲν ὄνομα κοινὸν ἔχουσι M 2 τόν τε γὰρ M τελαμῶνα M 4 ἄλλον πάλιν ἄλλως] ἕτερον M ὁ λοκρὸς ὁ ὀιλέως καὶ ὅσα τοιαῦτα M 6 post μάχαιρα add. σπάθη M 7 ἐκ τοίνυν τῶν τεσσάρων M τούτων om. M μόνων M ἐνταῦθα] ἐν τούτοις M 8 τῶν τε ὁμ. M 9 ἐπείπερ] πρῶτον μὲν ὅτι M ταῦτα αὐτῷ μόνα M 10 καὶ ὅτι] ἔπειτα M 12 μὲν κατὰ colloc. F διαφέρονται M 13 διαφέρειν Laur. 72,22: διαφέρεσθαι F: διαφέρεται M 14 κοινωνεῖ M ἀντίκειται om. M καὶ γὰρ] εἴ γε M 15 κοινωνεῖ om. M διαφέρουσιν F 16 ante εἴσεται add. αὐτοῖς M 17 τῶν γὰρ—ἐπιστήμη (18) om. M 18 δεῖ τῷ—λόγῳ] διὰ τοῦ—λόγου M δύο (post λοιπὰ) om. M 19 προέταξε—συνωνύμων] ἀλλὰ καὶ τῶν δύο τούτων τὰ ὁμώνυμα τῶν συνωνύμων προέταξεν M οὐχ ὥς τινες λέγουσιν ἐπειδὴ καὶ τὸ ὂν M 20 ὁμων. κατηγορεῖται colloc. M δέκα om. M 23 τῶν λόγων M¹ 24 ἔστι δὲ εἰπεῖν—μέλλον σπέρμα (p. 17,3) eicias τὰ ἕτερα—τὰ ἑτερών. M 24. 25 καὶ ἕτερα] καὶ ἑτερώνυμα M 25 ὁ ἵππος M 26 ἔχουσι τὸ αὐτὸ colloc. M 27 καὶ τούτοις M 28 ὁ ὁρισμὸς M

ὁμοίως δὲ καὶ σπέρμα καὶ καρπὸς κατ' ἀμφότερα διαφέροντα περὶ τὸν αὐτὸν σῖτον θεωροῦνται· οὗτος γὰρ πρὸς μὲν τὸ ἤδη πεφυκέναι λέγεται καρπός, πρὸς δὲ τὸ μέλλον σπέρμα.

p. 1a1 Ὁμώνυμα λέγεται ὧν ὄνομα μόνον κοινόν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος.

Ἡ μὲν ἔννοια τῆς λέξεως ὅλη δήλη· ταῦτα γάρ ἐστι, φησίν, ὁμώνυμα, ὅσα κατὰ μὲν τὸ ὄνομα κοινωνεῖ, κατὰ δὲ τὸν ὁρισμὸν διαφέρει. ζητεῖ δὲ ὁ λόγος ταῦτα· διὰ τί εἶπεν ὁμώνυμα καὶ μὴ 'ὁμώνυμον'; καὶ διὰ τί εἶπε λέγεται καὶ οὐχὶ 'λέγω' ἢ 'λέγονται'; καὶ διὰ τί εἶπεν ὄνομα κοινὸν καὶ μὴ εἶπεν ἔτι καὶ 'ῥῆμα': ἔπειτα δὲ καὶ διὰ τί εἶπεν ὁ δὲ λόγος τῆς οὐσίας καὶ μὴ εἶπεν 'ὁ ὁρισμὸς' ἢ '⟨ἡ⟩ ὑπογραφή'; καὶ διὰ τί μὴ καὶ τῶν συμβεβηκότων ἐμνημόνευσεν; [οὕτω γὰρ ὁ φιλόσοφος κατὰ τάξιν ἐξηγήσατο παραλείψας τὰ εἰρημένα ἐνταῦθα. πρῶτον γοῦν περὶ τοῦ τόνου καὶ τῆς πτώσεως διδάσκει, καὶ ὕστερον αὐτὰ ὡς ἐν παρέργῳ εἰσφέρων ἐμνημόνευσεν].

Ὅρα πῶς ἀκριβῶς οὐκ εἶπεν αὐτὰ ὁμώνυμον ἀλλ' ὁμώνυμα, πληθυντικῶς χρησάμενος τῇ φωνῇ, ἐπειδὴ ταῦτα θεωρεῖται ἐν πλείοσι πράγμασιν ἢ ἐν δύο τὸ ἐλάχιστον, ἐν ἑνὶ δὲ οὐδέποτε λέγεται. δεῖ δὲ εἰδέναι ὅτι τὰ ὁμώνυμα δέεται πάντως τούτων τῶν τριῶν, τόνου πτώσεως πνεύματος· εἰ γὰρ εὕρωμεν ὀνόματα εἰς ἕν τι τούτων διαφέροντα, οὐκ εἰσὶν ὁμώνυμα, οἷον ὡς ἐπὶ τοῦ ἀργὸς καὶ ἄργος· ὁ γὰρ τόνος ἐνταῦθα ἐνήλλακται, καὶ τὸ παροξυνόμενον σημαίνει πόλιν τινὰ ἐν Πελοποννήσῳ, τὸ δ' ὀξυνόμενον σημαίνει τὸν βραδύτερον ἄνθρωπον. ταῦτα οὖν οὐ λέγεται ὁμώνυμα διὰ τὴν ἐναλλαγὴν τοῦ τόνου. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς πτώσεως· λέγομεν γὰρ 'ὁ ἐλάτης' καὶ σημαίνομεν τὸν ὁρμῶντα, καὶ λέγομεν 'τῆς ἐλάτης' καὶ

1. 2 τὸν αὐτὸν σῖτον] τὸ αὐτὸ F 2 οὕτω F μὲν om. M τὸ] τῷ F 3 post μέλλον add. λέγεται M 4 ὁμώνυμα δὲ M ὁ δὲ — ἕτερος (5) om. M 6 ὅλη τῆς λ. ἔννοια δήλη ἐστί M εἰσι F φῆσαι M 7 post διαφέρει add. δεῖ δὲ κατὰ μέρος ἑκάστην ἐπισκέψασθαι λέξιν· οὕτω γὰρ ἂν εἴημεν ἀκριβῶς τὸ ζητούμενον κατωρθωκότες M 8 δὲ om. M καὶ διὰ] εἴθ' οὕτως διὰ M 9 τὸ λέγεται M οὐχὶ] μὴ εἶπε M τὸ λέγω M ἢ λέγονται om. M καὶ (ante διὰ)] ἔπειτα M 9. 10 ὧν ὄνομα μόνον κοινὸν M 10 ἔτι δὲ καὶ M post ῥῆμα add. ζητητέον διὰ τί εἶπε κοινόν M ἔπειτα δὲ καὶ] καὶ ἔπειτα F 11 post οὐσίας add. ἕτερος M ὁ δὲ ὁρισμὸς M ἡ addidi 12 τοῦ συμβεβηκότος M οὕτω — ἐμνημόνευσεν (15) inclusi 14 τοῦ τόνου] τούτων οὗ F 14 post πτώσεως add. καὶ τοῦ πνεύματος M διδάσκων, εἰ καὶ ὕστερον M 15 post ἐμνημόνευσεν add. σχεδὸν ὅτε εἶπεν αὐτὰ ὁμώνυμα M 16 ὅρα δὲ F αὐτὰ om. M 16. 17 πληθυντικῇ M 17 πλείοσι τοῖς πράγμ. M 18 ἢ] καὶ M 21 καὶ τοῦ ἄργος M ὁ γὰρ] ἰδοὺ ὁ M διήλλακται F 21. 22 καὶ τὸ] τὸ γὰρ M 22 σημαίνει τὴν πελοπόνησον (sic) M πελοπονήσῳ F 23 post ἄνθρ. add. λέγομεν γὰρ περί τινος πολλάκις ἀργός ἐστι M τοῦτο οὖν ὡς εἴρηται οὐ λ. ὁμώνυμον M 25 ὁ ἐλλάτης F 25. p. 18,1 καὶ σημαίνομεν — ξύλον] καὶ τῆς ἐλάτης, καὶ διὰ μὲν τοῦ ὁ ἄρθρου ἐσήμανα τὸν ἐλαύνοντα, διὰ δὲ τοῦ τῆς γενικῆς πτώσεως ἐσήμανα τὸ ξύλον M 25 post τὸν add. ἀπὸ τῆς ἑλλάδος F ὁρμῶντα scripsi: ὁρμώμενον F τῆς ἐλάτης] ἡ ἐλάτη F

σημαίνομεν τὸ ξύλον τὴν ἐλάτην· ὥστε οὐδὲ ταῦτα ὁμώνυμα διὰ τὴν ἐναλλαγὴν τῆς πτώσεως. τὰ αὐτὰ λέγομεν καὶ ἐπὶ τοῦ πνεύματος· λέγομεν γὰρ 'οἷον', καὶ τὸ μὲν δασυνόμενον σημαίνει τὸ ὁποῖον, τὸ δὲ ψιλούμενον σημαίνει τὸ μόνον, καὶ οὐδὲ τοῦτο ὁμώνυμον. ἐπί δέ γε τῆς Αἴας φωνῆς καὶ τόνος ἐστὶν ὁ αὐτὸς καὶ πτῶσις ἡ αὐτή, ἀλλὰ μὴν καὶ τὸ πνεῦμα κοινὸν ἐπ' ἀμφοτέρων· συμβήσεται οὖν εἶναι αὐτὰ ὁμώνυμα.

Εἰδὼς δὲ ὁ φιλόσοφος ὅτι τὰ ὁμώνυμα εἰ καὶ πλείονά εἰσιν, ἀλλ' οὖν ὑπὸ μιᾶς φωνῆς δηλοῦνται, διὰ τοῦτο καὶ αὐτὸς ἐχρήσατο τῷ λέγεται. οὐκ εἰρηκὼς 'λέγονται·' ἀεὶ γὰρ ἔθος ἐστὶ τοῖς Ἀττικοῖς τῇ τοιαύτῃ φωνῇ κεχρῆσθαι, | ὥσπερ οὖν καὶ ὁ Πλάτων φησί· "λέγεται ταῦτα, ὦ Γοργία, 90v περὶ Θεμιστοκλέους". καὶ δηλοῖ ὅτι παρὰ τοῖς παλαιοῖς τὸ ὄνομα τοῦτο φέρεται καὶ οὐκ αὐτοῦ ἐστιν ἡ τοιαύτη θέσις· ὅταν γὰρ ᾖ αὐτοῦ, λέγει 'καλῶ', ὡς ἐν τοῖς Ἀναλυτικοῖς φησιν· "ὅρον δὲ καλῶ εἰς ὃν διαλύεται ἡ πρότασις".

p. 1a1 Ὁμώνυμα δὲ λέγεται.

Ὑπακουστέον πράγματα.

p. 1a1 Ὧν ὄνομα μόνον κοινόν.

Ἄρα οὖν ἐν τοῖς ῥήμασιν οὐχ εὑρίσκομεν ὁμωνυμίαν; καὶ μὴν λέγομεν 'ἐρῶ', σημαίνει δὲ τοῦτο καὶ τὸ λέξω καὶ τὸ ἐρωτικῶς διάκειμαι· πῶς οὖν φησι ταῦτα ὁμώνυμα εἶναι τὰ μόνον ὄνομα κοινὸν ἔχοντα; ἐροῦμεν πρὸς τοῦτο ὅτι ὄνομα ἐνταῦθα λαμβάνει οὐ τὸ ἀντιδιαστελλόμενον πρὸς τὸ ῥῆμα. ἀλλὰ τὸ κοινότερον, καθὸ πᾶσα φωνὴ σημαντικὴ ὄνομα λέγεται, ὡς ἐν τῷ Περὶ ἑρμηνείας φησίν· "αὐτὰ μὲν οὖν καθ' ἑαυτὰ τὰ ῥήματα ὀνόματά ἐστιν". ὥστε τὸ ἐρῶ ὁμώνυμόν ἐστι καὶ ἔχει ὄνομα κοινόν, ὅρον δὲ διάφορον, καὶ ἔστιν ἐν τοῖς ῥήμασιν ὁμωνυμία.

---

1 ὥστε οὐκ ἂν εἴη ὁμώνυμον M 2. 3 λέγομεν γὰρ] ὡς M 3 καὶ τὸ μὲν] τὸ μὲν γὰρ M 4 τὸν μόνον F καὶ] ὥστε οὖν M τοῦτό ἐστιν M ὁμώνυμα F 5 τὸ om. F 6 ἀμφότερα F αὐτὰ] καὶ M 7 πλειόνων F 8 μιᾶς δηλοῦται φωνῆς M ἐχρήσατο τῷ λέγ.] ἑνικῷ ἐχρήσατο M 9 post λέγονται add. ἀλλὰ λέγεται M ἀεὶ γὰρ — Θεμιστοκλέους (11) eicias 10 ὁ πλ. φησί] παρὰ πλάτωνι εὑρίσκομεν M (cf. Gorg. p. 455 E) ἐν τῷ γοργίᾳ F 11 παρὰ θεμιστ. FM post Θεμιστ. add. ἀλλ' οὖν ὁ ἀριστοτέλης διὰ τὴν εἰρημένην αἰτίαν τῷ τοιούτῳ τῆς λέξεως ἐχρήσατο σχήματι. λέγεται· ὑπακουστέον πράγματα, ἵνα οὕτως ᾖ· ὡμώνυμα λέγεται πράγματα (cf. v. 16) M καὶ δῆλον ὅτι F: ἡνίκα δὲ εἴπῃ λέγεται, δηλοῖ ὅτι καὶ M τοῦτο om. M 12 οὐκ αὐτοῦ] οὐ κατ' αὐτὸν M post θέσις add. τοῦ ὀνόματος M γὰρ] δ' M ᾖ] εἴη FM 13 ἐν τοῖς Ἀναλυτ.] Anal. pr. p. 24b16 ἀναλύεται F 15 ὁμώνυμα — πράγματα (16) om. M (cf. v. 11 not.) δὲ om. Arist. 17 ὧν — κοινόν] ὄνομα M 18 ὁμωνυμίαν οὐχ εὑρ. M ὁμώνυμα F μὴν om. F 19 σημ. δὲ] καὶ σημ. M καὶ (post τοῦτο) om. M λέγω F 20 ταῦτα om. M ἐροῦμεν — ὅτι (21) om. F 21 λαβάνει F 22. 23 ἐν τῷ Περὶ ἑρμ.] p. 16b19 23 τὰ ῥήμ. καθ' ἑαυτὰ colloc. F λεγόμενα τὰ ῥήμ. Arist. 24 post ἐστιν add. καὶ δηλοῦσί τι M ὥστε] ὡς F ἐρῶ — κοινόν] λέξω καὶ τὸ ἐρωτικῶς διάκειμαι ὁμώνυμά ἐστι· κοινὸν γὰρ ἔχει ὄνομα τὸ ἐρῶ M 25 ὁμώνυμα F

p. 1a1 Μόνον.

Διχῶς λέγεται τὸ μόνον, εἴτε τὸ ἀντιδιαστελλόμενον πρὸς τὸ ὁμόζυγον, ὡς ὅταν λέγωμεν μόνον ἄνθρωπον ἐν τῷ βαλανείῳ ἀντιδιαστέλλοντες πρὸς ἄλλον ἄνθρωπον ἢ ὡς ὅταν εἴπωμεν μόνον τὸν καταλειφθέντα ἐν πολέμῳ (καὶ μὴν ἔχων μεθ' ἑαυτοῦ, εἰ τύχοι, δόρυ καὶ ἐσθῆτα ἢ ἄλλο τι οὐκ ἔστι μόνος, ἀλλὰ μόνος ἐκλήθη τῇ στερήσει τῶν ἑπομένων αὐτῷ), ἢ τὸ μοναδικόν, καθὸ λέγομεν μόνον ἥλιον. ἐνταῦθα δὲ τῷ πρώτῳ ἐχρήσατο.

p. 1a1 Κοινόν.

Τὸ κοινὸν λέγεται τετραχῶς· ἢ τὸ ἀδιαιρέτως μεθεκτόν, ὥσπερ ἐπὶ τοῦ ζῴου (αὐτοῦ γὰρ πάντες μετέχομεν ἀδιαιρέτως· οὐ γὰρ τὰ μὲν οὐσίας μόνης ἀπολαύει, τὰ δὲ ἐμψύχου μόνου, τὰ δὲ αἰσθήσεως μόνης). ἢ τὸ διαιρετὸν μεθεκτὸν ὡς ἀγρός· ἔτυχον γὰρ οὐ πάντες ὅλου, ἀλλ' ἕκαστος μέρους. περὶ οὖν τοῦ ἀδιαιρέτως μεθεκτοῦ λέγει ἐνταῦθα.

p. 1a1 Ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος. οἷον ζῷον ὅ τε ἄνθρωπος καὶ τὸ γεγραμμένον.

Τὰ παραδείγματα πάντα ἀσφαλῶς εἴρηκεν ὁ φιλόσοφος, ἐπεὶ ὑπελάμβανεν ἄν τις μηδὲ εἶναι ὅλως ὁμώνυμα ἀλλὰ συνώνυμα· οἱ γὰρ Αἴαντες ἔχουσιν ὄνομα κοινὸν καὶ ὁρισμὸν τὸ ζῷον λογικὸν θνητόν. καλῶς οὖν εἶπεν ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος, ἵνα μὴ τὸν τυχόντα ὁρισμὸν λαμβάνωμεν, ἀλλὰ τὸν κατὰ τὸ ὄνομα, καθ' ὃ κοινωνοῦσι· τῶν γὰρ Αἰάντων ὁ μέν ἐστι Τελαμῶνος υἱὸς Σαλαμίνιος, ὃς ἐμονομάχησεν Ἕκτορι, ὁ δὲ ἕτερος Ὀιλέως υἱὸς Λοκρὸς πόδας ταχύς· ὥστε ὁ κατὰ τὸ

2 διχῶς δὲ F εἴτε] ἢ M 3 ἄνθρωπος F διαστελλ. M 5 καὶ μὴν οὐκ ἔστι μόνος· ἔχει γὰρ μεθ' ἑαυτοῦ M ἐσθῆτας M ἢ] καὶ M 6 ἐκλήθη τῇ] κατελείφθη M 7 τὸ] τὸν M πρῶτω μόνω λεγομένω M 10 τετραχῶς] corrigas διχῶς, nisi malis in iis quae sequuntur defectum statuere, Philop. Olymp. quattuor genera afferunt post τετραχῶς add. τὸ ἀδιαίρετον ἢ τὸ διαιρετόν· καὶ ἀδιαίρετον μέν ἐστιν ὥσπερ ἐπὶ τοῦ ζώου, διαιρετὸν δὲ ὥσπερ ἐπὶ τοῦ ἀγροῦ M ἀδιαίρετον M 11 ἐπὶ om. M post ζώου add. καὶ τῆς τοῦ κήρυκος φωνῆς F αὐτοῦ γὰρ om. M μετέχ. πάντες colloc. M 12 μόνου om. F 13 ante μεθεκτὸν add. μὲν M οἱ πάντες οὐχ ὅλου M 14 ἀδιαιρέτου μεθεκτοῦ κοινοῦ M post ἐνταῦθα add. οὐδὲ γὰρ τῆς αἴας φωνῆς τὸ μὲν $\overline{\alpha\iota}$ κατηγορεῖται ἑνός, τὸ δὲ $\overline{\alpha\varsigma}$ ἑτέρου, ἀλλ' ὅλον ἀδιαιρέτως ἑκατέρου κατηγορεῖται τὸ αἴας καὶ τοῦ τελαμῶνος καὶ τοῦ ὀιλέως M 15 λόγος—γεγρ. (16) om. M 17 πάντα πάνυ M 18 μηδὲ scripsi: μήτε F: μὴ M 19 καὶ τὸ ὄνομα M 20 λόγος—ἕτερος om. M τὸν om. M 21 ὃ] ὃν F 22 σαλαμίνιος M: ἐκ σαλαμῖνος F 23 τοὺς πόδας (?) M

ὄνομα ὁρισμὸς ἑκατέρου ἕτερος. εἴποι δ' ἄν τις ὅτι δυνατὸν τὰ ὁμώνυμα καὶ συνώνυμα καλέσαι, οἷόν τι ὡς ἐπὶ τῶν δύο Αἰάντων· οὗτοι γὰρ ὁμώνυμοί εἰσι, καθὸ τὸ μὲν ὄνομα ἔχουσι κοινόν, τὸν δὲ ὁρισμὸν τὸν κατὰ τοὔνομα διάφορον· ὁ μὲν γάρ ἐστι Τελαμῶνος, ὁ δὲ Ὀιλέως. ἀλλὰ πάλιν εἴποι ἄν τις 'καὶ κατὰ τὸν λόγον τὸν κατὰ τοὔνομα συνώνυμοί εἰσιν· ἀμφότεροι γὰρ ὅ τε Ὀιλέως καὶ ὁ Τελαμῶνος ἄνθρωποί εἰσι καὶ ἔσονται συνώνυμοι'. | τίνι οὖν διενηνόχασιν ἀλλήλων; τούτῳ ὅτι τὰ μὲν ὁμώνυμα 91r οἷον οἱ Αἴαντες ἔχουσι τὴν κοινωνίαν πρὸς ἀλλήλους τὴν κατὰ τοὔνομα, ἤγουν τοῦ Αἴαντος, ἔχουσι δὲ κοινωνίαν ἀμφότεροι καὶ πρὸς αὐτὴν τὴν ὁμωνυμίαν, καθὸ μετέχουσι ταύτης τῆς ὁμωνυμίας. τὰ μέντοι γε συνώνυμα οὐκ ἔχουσιν οὕτως· ἐνταῦθα γὰρ μόνην τὴν πρὸς ἄλληλα σχέσιν παραλαμβάνομεν.

p. 1a2 Λόγος.

Διὰ ποίαν αἰτίαν ἀντὶ ὁρισμοῦ τὸν λόγον εἴρηκε; φαμὲν ἐπειδήπερ οὐκ ἐπὶ πάντων τῶν πραγμάτων εὐποροῦμεν ὁρισμοὺς ἀποδιδόναι· τὰ γὰρ γενικώτατα τῶν γενῶν ὁρισμοὺς οὐκ ἐπιδέχονται. ἀλλ' ἔστιν ὅτε καὶ ὑπογραφαῖς κεχρήμεθα. ἔστι δὲ ὁμωνυμία καὶ ἐν τοῖς πράγμασιν, ἐν οἷς ὑπογραφαῖς κεχρήμεθα. διὰ τοῦτο οὐκ εἶπεν 'ὁρισμός', ἐπειδὴ παρελίμπανε τὰ δι' ὑπογραφῆς σημαινόμενα. καὶ πάλιν εἰ εἶπεν 'ὧν ἡ ὑπογραφή', παρέλιπεν ἂν τὰ δι' ὁρισμῶν σημαινόμενα· διὰ τοῦτο οὖν τῷ λόγῳ ἐχρήσατο· κατηγορεῖται γὰρ οὗτος κοινῇ τοῦ ὁρισμοῦ καὶ τῆς ὑπογραφῆς.

p. 1a2 Τῆς οὐσίας.

Ἆρα οὖν οὐκ ἔστιν ἐν τοῖς συμβεβηκόσιν ὁμωνυμία; καὶ μὴν ὁρῶμεν· τὸ γὰρ ὀξὺ κατηγορεῖται καὶ χυμοῦ καὶ φωνῆς καὶ φθόγγου καὶ μαχαίρας· λέγομεν γὰρ 'ὀξὺς χυμὸς' καὶ ἐπὶ παντὸς τῶν ἄλλων ὁμοίως. πῶς οὖν ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας; φαμὲν οὖν ὅτι οὐσίαν λέγει ἐνταῦθα οὐ τὴν ἀντιδιαστελλομένην πρὸς τὰ συμβεβηκότα, ἀλλὰ κοινότερον τὴν σημαίνουσαν τὴν ἑκάστου ὕπαρξιν, καθὸ καὶ τὰ συμβεβη-

---

1 εἴποι — παραλαμβάνομεν (12) eicias δ'] γὰρ M δυνατὸν] δύναται F 2. 3 καὶ τὰ ὁμών. συν. colloc. M 2 τι om. M οὗτοι] αὐτοὶ (?) M 5 κατούνομα F συνώνυμοι Vat. 2173: συνώνυμα FM post εἰσιν add. καθὸ γὰρ αἴαντές εἰσι, κοινωνοῦσιν ἀλλήλοις κατὰ τὸ ὄνομα τὸ αἴας, ἀλλὰ μὴν καὶ κατὰ τὸν λόγον τὸν κατὰ τοὔνομα M 5. 6 ἀμφότερα F 6 καὶ (prius) om. M καὶ πάλιν ἔσονται M 8 οἱ om. M 9 ἤγουν τοῦ αἴαντος om. M 10 καθὰ F μετέχουσιν ἀμφότεροι M 11 γὰρ] δὲ M μόνον M ἀλλήλους M 13 λόγος τῆς οὐσίας M 14 τοῦ ὁρισμοῦ M εἰρήκαμεν F post φαμὲν add. οὐκ M 15 ἀποδοῦναι M 18 ἐπεὶ M παρελίμπανε F Philop.: παρέλιπεν ἂν M 20 καὶ διὰ τ. οὖν F 21 τοῦ ὁρ.] τοῦ τε ὅρου M 23 οὖν] δὲ M καὶ ἐν τοῖς συμβ. M ὁμώνυμα F 25 παντὸς om. M 26 post οὐσίας add. ἕτερος M 27 ἀντιδιαστ. M Philop. Olymp.: διαστ. F 28 κοινώτερον F

κότα λέγεται ὑπάρχειν ἐν τοῖς οὖσι. τῆς οὐσίας οὖν φησιν ἀντὶ τοῦ τῆς φύσεως ἑκάστου καθ' ἣν ὑφέστηκεν.

p. 1a4 Ἐὰν γὰρ ἀποδιδῷ τις τί ἐστιν.

Ἐὰν γὰρ βούληταί τις, φησί, τὸν ὁρισμὸν ἀποδοῦναι ἑκατέρου αὐτῶν ὡς ζῴου ὄντος, ἄλλον καὶ ἄλλον ὁρισμὸν ἀποδώσει, τοῦ μὲν ἀληθινοῦ ἀνθρώπου ζῷον λογικὸν θνητόν, τοῦ δὲ γεγραμμένου, εἰ τύχοι, ζῷον γεγραμμένον ἀπὸ χρωμάτων τοίων ἢ τοίων.

p. 1a5 Τὸ ζῴῳ εἶναι, ἴδιον ἑκατέρῳ.

Καὶ διὰ τί οὐκ εἶπε ζῷον εἶναι ἀλλὰ ζῴῳ; καὶ λέγομεν ὅτι τὰ πράγματα ἢ ἀπὸ τῆς ὕλης χαρακτηρίζεται ἢ ἀπὸ τοῦ εἴδους ἢ ἀπὸ τοῦ συναμφοτέρου, τοῦτ' ἔστιν ἀπὸ τῆς ὕλης καὶ τοῦ εἴδους· εἰ οὖν εἶπε ζῷον, ἐσήμανεν ἂν τὴν ὕλην καὶ τὸ εἶδος, εἰπὼν δὲ τὸ ζῴῳ εἶναι ἐσήμανε καθ' ὃ χαρακτηρίζεται, τοῦτ' ἔστι τὸ εἶδος· τὸ γὰρ εἶναί τινος τὸ εἶδος αὐτοῦ ἐστιν, καὶ οἱ κυρίως ὁρισμοὶ ἐκ τούτου λαμβάνονται, εἴ γε ἐκ γένους δεῖ αὐτοὺς εἶναι καὶ τῶν συστατικῶν διαφορῶν.

Ἔστι δὲ ἡ διαίρεσις τῶν ὁμωνύμων αὕτη· τῶν ὁμωνύμων τὰ μὲν ἀπὸ τύχης (καὶ λέγεται ταῦτα κατὰ συμβεβηκός), οἷον εἴ τις κατὰ τύχην εὑρεθείη ἐνταῦθα λεγόμενος Σωκράτης καὶ ἐν τῷ Βυζαντίῳ. καὶ ταῦτα μὲν μένουσιν ἀδιαίρετα. τὰ δέ εἰσιν ἀπὸ διανοίας, ὧν τὰ μὲν καὶ ἀλλήλοις εἰσὶν ὁμώνυμα ⟨καὶ⟩ ἀφ' οὗ παρώνυμα λέγεται. καὶ ἐκ τούτων τὰ μὲν ἀπὸ ποιητικοῦ λέγεται αἰτίου ὡς τὸ ἰατρικὸν σμιλίον ἢ βιβλίον (ταῦτα δέ ἐστι τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν· ἀφ' ἑνὸς μὲν ἀπὸ τοῦ ποιητικοῦ, πρὸς ἓν δὲ πρὸς τὸ τελικόν), τὰ δὲ ἀπὸ τοῦ τελικοῦ οἷον τὸ ὑγιεινὸν φάρμακον. τὰ δὲ καὶ ἀλλήλοις ὁμώνυμα καὶ ἀφ' ὧν λέγεται ὁμώνυμα, ὧν τὰ μὲν διαφέρει κατὰ χρόνον ἐκείνου ἀφ' οὗ λέγεται (καὶ τούτων τὰ μὲν | λέγεται 91v κατὰ μνήμην, οἷον μεμνημένος τις ἰδίου πατρὸς ἢ διδασκάλου ἤ τινος τοιούτου καλέσῃ τὸν ἑαυτοῦ παῖδα τῷ ἐκείνου ὀνόματι, τὰ δὲ κατὰ τύχην, ὡς ὅταν τις τὸν παῖδα Εὐτυχῆ εἴπῃ, τὰ δὲ κατ' ἐλπίδα, ὡς * ἐλπίζων

---

3 τις ἀποδιδῶ Arist. τί ἐστιν αὐτῶν M 4 βουληθῆ M φησί, τὸν om. M 5 ἀποδώσειε F¹M ἢ τοῦ μὲν M 6 τύχη F 8 lemmatis loco exhibet καὶ ταῦτα μὲν οὕτως. καιρὸς ἂν εἴη εἰπεῖν M ἑκατέρου Arist. 9 καὶ διὰ τ[] δι' ἣν αἰτίαν M ζῴῳ] τὸ ζῶω εἶναι M καὶ (alt.) om. M ὅτι om. F 11 ἀπὸ ὕλης καὶ εἴδους M 13 scribas ⟨κυρίως⟩ χαρακτ. τὸ εἶδος τινὸς colloc. F 15 τῶν om. M 16 ἔστι δὲ ἡ διαίρεσις — καὶ κορυφή (p. 22,19) om. M (fort. recte) 17 ταῦτα scripsi: τοῦτο F 18 λεγόμενος Paris. 1928 Vind. 10: λέγομεν ὡς F 20 καὶ inserui ex Paris. 1928 Vind. 10 21 ταῦτα — τελικόν (23) post φάρμακον ponas 25 διαφέρει Paris. 1928 Vind. 10: διαφέρουσι F 26 an οἷον ⟨ὅταν⟩? 27 καλέσει F 28. p. 22,1 ὡς — ὠνόμασεν mutila sunt: ὡς ὅταν τις τὸν ἴδιον υἱὸν προσδοκῶν ἔσεσθαι φιλόσοφον καλέσῃ πλάτωνα Philop.: ὡς εἴ τις τὸν ἑαυτοῦ υἱὸν σωκράτην ὀνομάσει ἢ πλάτωνα τοιοῦτον αὐτὸν ἐλπίζων γενέσθαι οἷοι ἐκεῖνοι γεγόνασι Olymp.

γενέσθαι ὠνόμασεν), τὰ δέ εἰσιν οὐ διαφέροντα κατὰ χρόνον τοῦ ἀφ' οὗ λέγεται. καὶ τούτων πάλιν τὰ μὲν κατὰ τὴν τῶν πραγμάτων ὁμοιότητα λέγεται, ⟨ὡς ὅταν λέγωμεν τὸν φρόνιμον ἄνθρωπον φρόνησιν⟩, τὰ δὲ κατὰ μέθεξιν οἷον μουσικὴ γυνὴ καὶ μουσικὴ ἐπιστήμη, γραμματικὴ γυνὴ καὶ γραμματικὴ ἐπιστήμη, τὰ δὲ κατὰ ἀναλογίαν, οἷον ὡς ἔχει τόδε πρὸς τόδε, οὕτω τόδε πρὸς τόδε, ὡς πόδες κλίνης καὶ πόδες ὄρους. καὶ τῶν μὲν κατὰ τὴν τῶν πραγμάτων ὁμοιότητα ⟨τὰ μὲν διὰ τὴν τῆς ἐνεργείας ὁμοιότητα⟩ οἷον Γοργίας ἀπὸ τοῦ γοργεύεσθαι τόνδε τινά, τὰ δὲ διὰ τὴν τῆς μορφῆς ὁμοιότητα οἷον ἐπὶ τῆς εἰκόνος καὶ τοῦ παραδείγματος, τὰ δὲ κατὰ μεταφορὰν ὡς πόδες Ἴδης καὶ κορυφή.

p. 1a6 Συνώνυμα δὲ λέγεται.

Μετὰ τὸ πληρῶσαι τὸν περὶ τῶν ὁμωνύμων λόγον περὶ τῶν συνωνύμων διαλαμβάνει. ἐκ δὲ τῶν ὁμωνύμων σαφής ἐστιν ἡ περὶ τῶν συνωνύμων διδασκαλία. τῷ δ' αὐτῷ παραδείγματι ἐχρήσατο κἀνταῦθα, βουλόμενος δεῖξαι ὡς τὸ αὐτὸ ὁμώνυμον καὶ συνώνυμον πολλάκις οἷόν τε λέγειν, κατ' ἄλλο μέντοι καὶ ἄλλο, οἷον ὁ Αἴας καὶ ὁμώνυμός ἐστι τῷ ἄλλῳ Αἴαντι καὶ συνώνυμος· ὁμώνυμος μέν, ὅτι τῷ μὲν ὀνόματι κοινωνεῖ, διαφέρει δὲ κατὰ τὸν ὁρισμὸν τὸν καθὸ Αἴας. δύναται δὲ κοινωνεῖν καὶ κατὰ τὸν ὁρισμὸν τὸν καθὸ ἄνθρωπος καὶ ἔσται συνώνυμος.

p. 1a12 Παρώνυμα δὲ λέγεται ὅσα ἀπό τινος.

Ἰστέον ὅτι ἐν τοῖς παρωνύμοις τέσσαρά τινα θεωρεῖται, δύο μὲν ἤγουν κοινωνία καὶ διαφορὰ περὶ τὸ ὄνομα, καὶ δύο ἤγουν κοινωνία καὶ διαφορὰ περὶ τὸ πρᾶγμα, ὥσπερ γραμματικὴ καὶ γραμματικός· ἔστι γὰρ ἐπὶ τούτοις κοινωνία μὲν περὶ τοὔνομα φανερῶς, καὶ ἡ διαφορὰ δὲ κατὰ τὴν τελευταίαν συλλαβήν, ὅτι ἐπὶ μὲν τοῦ ἐστι κος, ἐπὶ δὲ τοῦ κη. ὁμοίως

---

3 ὡς—φρόνησιν Paris. 1928 Vind. 10: om. F 6 καὶ τῶν—κορυφή (10) posterius irrepserunt τῶν μὲν Paris. 1928: τὰ μὲν F Vind. 10 (superscr. ῶν) 7 τὰ μὲν—ὁμοιότητα Paris. 1928 Vind. 10: om. F 10 κορυφῆς F 11 ante lemma add. titulum περὶ συνωνύμων F λέγεται om. F 12 τῶν (ante ὁμων.) om. F 15 ὡς] εἰς F τὸ αὐτὸ ὁμωνυμίαν καὶ συνωνυμίαν F οἷόν τέ ἐστι καὶ λέγειν (ν eras.) F 16 μέντοι] μὲν M ὁ om. M καὶ ὁμώνυμός ἐστι] ὁμώνυμος F 17 καὶ ὁμών. μὲν M μὲν (ante ὀνόματι) om. F 18 καθὸ] κατ' F (cf. v. 19) 20 ante lemma add. tit. περὶ παρωνύμου F 21 ante ἰστέον add. εἰπὼν περὶ τῶν ὁμωνύμων καὶ συνωνύμων τήν τε κοινωνίαν καὶ τὴν διαφοράν, καθὸ τὰ ὁμώνυμα κατὰ τὸ ὄνομα μόνον κοινωνεῖ τοῖς συνωνύμοις, οὐκέτι δὲ κατὰ τὸ πρᾶγμα, νῦν περὶ τῶν παρωνύμων ὁ φιλόσοφος διαλαμβάνει M ἰστέον δὲ M δύο μὲν—πρᾶμα (23)] δύο μὲν περὶ τὸ ὄνομα καὶ δύο περὶ τὸ πρᾶγμα· κοινωνία τε καὶ διαφορὰ κατὰ τὸ ὄνομα καὶ πάλιν κοινωνία καὶ διαφορὰ κατὰ τὸ πρᾶγμα M 22. 23 κοινωνίαι καὶ διαφοραὶ (alt. loco) F 24 ἐπὶ τούτων M περὶ] κατὰ F ἡ om. F δὲ om. F κατὰ τὴν] περὶ F 25 ἐστι om. F

δὲ καὶ περὶ τὸ πρᾶγμα· * καὶ γὰρ ὁ γραμματικὸς οὐσία ἐστίν, ἡ δὲ γραμματικὴ ἐπιστήμη τις ἤγουν ποιότης καὶ κατὰ συμβεβηκός. ἐὰν γὰρ ἓν τούτων ἀπολειφθῇ, οὐκ ἔστι παρώνυμα· ἔστω γὰρ περὶ τὸ ὄνομα κοινωνία καὶ διαφορά, ἔστω δὲ καὶ ἡ περὶ τὸ πρᾶγμα κοινωνία, διαφορὰ δὲ μὴ εἴη, καὶ οὐκ ἔσται παρώνυμα, οἷον πλάτανος καὶ πλατάνιστος· ἐνταῦθα γὰρ οὐκ ἂν εἴποιμεν παρώνυμα· ταὐτὸ γάρ ἐστιν. πάλιν ἔστω τὰ ἄλλα πάντα ἀκολούθως, κοινωνία δὲ μὴ εἴη κατὰ τὸ πρᾶγμα, καὶ ὁμοίως οὐκ ἔσται παρώνυμα, ὡς ἐπὶ τῆς Ἑλένης καὶ τοῦ Ἑλένου. πάλιν ἔστω τὰ ἄλλα πάντα ἀκολούθως, διαφορὰ δὲ μὴ εἴη κατὰ τὴν τελευταίαν συλλαβήν, | καὶ 92r
οὐκ ἔσται παρώνυμα, ὡς ἐπὶ τῆς μουσικῆς ἐπιστήμης καὶ μουσικῆς γυναικός· ὁμώνυμα γὰρ ⟨ταῦτα⟩ καὶ οὐ παρώνυμα. πάλιν ἔστω τὰ ἄλλα, κοινωνία δὲ μὴ εἴη περὶ τὸ ὄνομα, καὶ ὁμοίως οὐκ ἔσται παρώνυμα, ὡς ἐπὶ τῆς ἀρετῆς καὶ τοῦ σπουδαίου. χρὴ γοῦν τὰ παρώνυμα πάντα ἔχειν τὰ εἰρημένα, ὡς ἐπὶ τῆς γραμματικῆς τέχνης καὶ τοῦ γραμματικοῦ· λέγεται γὰρ ἐπ' αὐτῶν παρωνύμως. πάνυ οὖν συντόμως ὁ φιλόσοφος πάντα τὰ εἰρημένα περιέλαβεν· εἰρηκὼς γὰρ τὸ ἀπό τινος τὴν κατὰ τὸ πρᾶγμα κοινωνίαν καὶ ἑτερότητα ἐδήλωσεν· εἰ γὰρ ἀπό τινος, δῆλον ὅτι ἔχει κοινωνίαν πρὸς ἐκεῖνο, εἰ δὲ ὅλως ἀπ' αὐτοῦ, δῆλον ὅτι καὶ διαφέρει· εἰ γὰρ μὴ διέφερεν, ἀπό τινος οὐκ ἐλέγετο, ἀλλ' αὐτὸ τὸ πρᾶγμα ἂν ἦν. εἰπὼν δὲ διαφέροντα τῇ πτώσει τὴν κατὰ τοὔνομα προσηγορίαν ἔχει τὴν κοινωνίαν καὶ τὴν διαφορὰν παρίστησι τοῦ ὄνοματος· διαφέρει γὰρ τῇ πτώσει κατὰ τὸ τέλος τοῦ ὀνόματος γραμματικὴ γραμματικός· πτῶσιν γὰρ ὁ φιλόσοφος καλεῖ τὴν ἀναλογίαν τῆς τελευταίας συλλαβῆς καὶ οὐχ, ὡς οἱ γραμματικοί, τὴν ἀπὸ τῆς ὀρθῆς ἐπὶ τὴν γενικὴν καὶ δοτικὴν ἑτερότητα.

Ἰστέον δὲ ὅτι τινὲς τὰ παρώνυμα μέσα εἶναι λέγουσιν ἀκριβῶς τῶν τε ὁμωνύμων καὶ τῶν συνωνύμων, κοινωνοῦντα μὲν αὐτοῖς, καθὸ καὶ ταῦτα κἀκεῖνα κοινωνίαν ὀνόματος ἔχειν ἐθέλει, διαφέροντα δὲ τῶν μὲν ὁμωνύμων, διότι ἐκεῖνα μέν, τὰ ὁμώνυμά φημι, παντελῶς διάφορα ἔχει τὰ πράγματα, ταῦτα δὲ κοινωνοῦντα, τῶν δὲ συνωνύμων διαφέροντα τὰ παρώ-

---

1 περὶ] κατὰ M post πρᾶγμα ex Olympiodoro inseras ἔστι γὰρ καὶ κοινωνία πράγματος, καθὸ ὁ τῆς γραμματικῆς μετέχων γραμματικὸς λέγεται, ἔστι δὲ καὶ διαφορὰ πράγματος. καὶ γὰρ — συμβ. (2)] κοινωνία τις καὶ διαφορά M 2 post τις add. οὖσα del. F 3 παρώνυμον M 6 εἴπωμεν M παρώνυμον M ταὐτὸ] ταυτότης M 8. 10. 12 παρώνυμον M 8 τοῦ om. F 9 πάντα F Philop.: om. M κατὰ] περὶ M 9. 10 καὶ πάλιν οὐκ M 10 ὡς καὶ ἐπὶ M 11 ταῦτα Philop.: om. FM 13 οὖν M 13. 14 προειρημένα M 15 ὁ φιλ. συντόμως colloc. F 16 συμπεριέλαβεν M 18 ἀπ' αὐτοῦ] ἀπό M διαφέρουσι F 19 ἀπό τινος] οὕτως ἀπὸ M ἂν om. M εἰπὼν — ἑτερότητα (24)] εἰπὼν δὲ διαφέροντα τῇ πτώσει ἐδήλωσε τὸν μετασχηματισμὸν τῆς τελευταίας συλλαβῆς· πτῶσιν γὰρ ὁ φιλόσοφος καλεῖ τὴν ἀναλογίαν τῆς τελευταίας συλλαβῆς καὶ οὐχ ὡς οἱ γραμματικοὶ τὴν ἀπὸ τῆς ὀρθῆς ἐπὶ γενικὴν καὶ δοτικὴν ἑτερότητα. τὴν δὲ κατ' οὔνομα προσηγορίαν ἔχειν ἐδήλωσε τὴν κοινωνίαν τοῦ ὀνόματος M 20 κατούνομα F 22 πτῶσιν — συλλαβῆς (23) om. F 24 τὴν (ante ἀπὸ) om. F 24 ἑτερότητα] ἢ ἕτερα τινά F 26 τῶν om. M 27 κοινωνυμίαν F θέλει F μὲν om. F 28 φημὶ τὰ ὁμών. colloc. M 29 καὶ κοινωνοῦντα M

νυμα, διότι ἐκεῖνα μὲν παντελῆ κοινωνίαν ἐπιφέρει τοῖς πράγμασι, τὰ δὲ παρώνυμα καὶ διαφορὰν ἐπιζητεῖ. εἰδέναι δὲ δεῖ ὅτι ἀκριβῶς μέσα οὐκ ἔστι τὰ παρώνυμα, ἀλλὰ μᾶλλον πλησιάζει τοῖς συνωνύμοις· κοινωνεῖ γὰρ αὐτοῖς καὶ κατὰ τὴν κοινωνίαν τοῦ ὀνόματος καὶ τοῦ πράγματος, πλὴν τοσοῦτον μόνον αὐτῶν διαφέρει, ὅτι τὰ παρώνυμα οὐ παντελῆ κοινωνίαν ἔχει τοῦ πράγματος καὶ τοῦ ὀνόματος, ἀλλά τινα ἐλάττονα καὶ διαφορὰν ἐν τούτοις ἔχει. τῶν δὲ ὁμωνύμων οὐκ ὀλίγῳ τινὶ διέστηκε τὰ παρώνυμα, τοσοῦτον μόνον αὐτοῖς πλησιάζοντα κατὰ τὴν κοινωνίαν τοῦ ὀνόματος, ἀλλὰ καὶ ἐν ταύτῃ τῇ κοινωνίᾳ θεωρεῖταί τις διαφορά· τὰ μὲν γὰρ ὁμώνυμα παντελῆ κοινωνίαν ἐθέλει ἔχειν αὐτοῦ τοῦ ὀνόματος, τὰ δὲ παρώνυμα καὶ διαφορὰν ἐθέλει τινὰ ἔχειν· ὥστε μᾶλλον τοῖς συνωνύμοις πλησιάζει τὰ παρώνυμα. |

p. 1a16 Τῶν λεγομένων τὰ μὲν κατὰ συμπλοκήν. | 92v

Διὰ τίνα αἰτίαν τὰ κατὰ συμπλοκὴν προέταξε τῶν ἄνευ συμπλοκῆς; 93r
εἰκότως· ἐπειδὴ γὰρ τὰ ἄνευ συμπλοκῆς μέλλει διαιρεῖν, διὰ τοῦτο ὕστερον αὐτὰ εἶπεν, ἵνα εὐθέως ποιήσηται τὴν διδασκαλίαν περὶ αὐτῶν. διαιρεῖ δὲ αὐτά, ὅταν λέγῃ τὰ δὲ ἄνευ συμπλοκῆς οἷον ἄνθρωπος βοῦς τρέχει νικᾷ. ἐξεπίτηδες τὰ δύο ἅμα ὀνόματα τάττει καὶ τὰ δύο ἅμα ῥήματα, ἵνα μή τις κατὰ συμπλοκὴν αὐτὸν λέγειν νομίσῃ τὸ ὄνομα τῷ ῥήματι συναναγινώσκων.

p. 1a20 Τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου.

Ἀκόλουθον ἦν περὶ αὐτῶν τῶν κατηγοριῶν ποιήσασθαι τὸν λόγον, ἀλλ' ἐπειδήπερ πρὸ τῆς αὐτῶν διδασκαλίας βούλεται διαίρεσίν τινα τετραδικὴν ὁλοσχερεστέραν ποιήσασθαι, ταύτην προτάττει, ἐπείπερ ἀπὸ μονάδος συντιθέντες μέχρι τῆς τετράδος πρώτως τὸν δέκα ἀριθμὸν ποιοῦμεν, οἷον ἓν δύο τρία τέσσαρα, καὶ οὕτω γίνονται δέκα· οὐσία γὰρ τῆς δεκάδος καὶ οἷον γένεσις ἡ τετράς ἐστιν, ὥσπερ αὕτη πάλιν ἀπὸ δυάδος γίνεται. διελὼν οὖν τὰ λεγόμενα διχῇ νῦν τὰ ὄντα διαιρεῖ τετραχῇ καὶ ἔπειτα τὰ συναμφό-

---

1 παντελῶς F 2 ἀκριβῶς ὅτι colloc. F 4 καὶ (post αὐτοῖς) om. M ante τοῦ πράγματος add. κατὰ τὴν κοινωνίαν M 5 οὐ] οὔτε M παντελῶς F 7 ἔχουσι libri 10 ἐθέλει ἔχειν] ἔχει M αὐτοῖς τὴν ὀνόματος M 11 διαφ. τινὰ ἔχει M ὥστε εἰκότως εἴρηται ὅτι μᾶλλον M 11. 12 τὰ παρών.] ἢ τοῖς ὁμωνύμοις M 13 ante lemma add. tit. ἀριστοτέλους περὶ τῶν λεγομένων F 14 διατί τίνα F 16. 17 διαιρεῖ δὲ αὐτά] μέλλει δ' αὐτὰ διαιρεῖν M 17 λέγῃ] εἴπῃ (?) M 18 τάττει] πλάττει M ἅμα (ante ῥήματα) om. F 19 τὰ ὀνόματα F 21 ante lemma add. tit. περὶ τῶν ὄντων F 23 αὐτῶν Marc. 201: τῶν αὐτῶν τῶν κατηγοριῶν F: αὐτῶν τῶν κατ. M διδασκαλίας superscr. F 25 πρῶτον F δέκατον F 26 ἓν] εἷς FM τρεῖς τέσσαρες F γίνεται F 27 γέννησις F ἐστιν om. M πάλιν om. F ἀπὸ] ὑπὸ M 28 διχῇ om. M τετραχῶς F τὰ (post ἔπειτα) om. F

τερα δεκαχῇ διὰ τῶν οἰκειοτάτων ἀριθμῶν τῆς διαιρέσεως φοιτῶν καὶ ἐπὶ τὸ πᾶν αὐτῶν καὶ τελειότατον πέρας καταντῶν. καὶ δεῖ εἰδέναι ὅτι τὴν μὲν τῶν ὄντων διαίρεσιν εἰς τέσσαρά τινα κατὰ τὸ συμπλεκόμενον ποιεῖ, | 93v ὕστερον δὲ τὴν τῶν δέκα γενῶν ἀσυμπλόκως ἀπαρίθμησιν ποιεῖται.

Ἔστι δὲ ἡ διαίρεσις αὕτη· τῶν ὄντων τὰ μέν ἐστι καθόλου τὰ δὲ μερικά, καὶ πάλιν τῶν ὄντων τὰ μέν ἐστιν οὐσίαι τὰ δὲ συμβεβηκότα· γίνονται τοίνυν συζυγίαι ἕξ, καθὼς ἐν τῇ Εἰσαγωγῇ ἐμάθομεν, ὧν αἱ δύο ἀνυπόστατοι, αἱ δὲ λοιπαὶ τέσσαρες, φημὶ δὴ τάς τε ὑπαλλήλους καὶ τὰς διαγωνίους, συνεστᾶσιν. εἰσὶ δὲ αὗται· τῶν ὄντων τὰ μὲν καθόλου οὐσίαι τὰ δὲ μερικὰ συμβεβηκότα, καὶ τὰ μὲν καθόλου συμβεβηκότα τὰ δὲ μερικαὶ οὐσίαι, οἷον ἄνθρωπος καὶ τὸ τὶ λευκὸν ἢ τὶς ἐπιστήμη καὶ λευκὸν καὶ τὶς ἄνθρωπος. ἔστι δ' ἡμῖν ἐν παραδείγματι τόδε



ἀλλ' εἰ μὲν ταύταις ταῖς φωναῖς ἐχρήσατο ὁ Ἀριστοτέλης, σαφὲς ἂν ἦν τὸ λεγόμενον· ἑτέροις δὲ ὀνόμασιν ἐκέχρητο διὰ τὸ τῆν ἀσάφειαν αὐτὸν ἐπιτηδεύειν, ὡς εἴρηται, καὶ διὰ τὸ βούλεσθαι αὐτὸν οἰκειοτέροις ὀνόμασι χρῆσθαι. ἐκάλεσε δὲ τὸ καθόλου καθ' ὑποκειμένου, διότι πάντως κατά τινος ὑποκειμένου λέγεται, τὸ δὲ μερικὸν οὐ καθ' ὑποκειμένου, διότι οὐ λέγεται κατά τινος ὑποκειμένου (ἐκάλεσε δὲ αὐτὸ τῇ ἀποφάσει τοῦ ἑτέρου), τὸ δὲ συμβεβηκὸς ἐν ὑποκειμένῳ, διότι δέεται ἄλλου τινὸς ὑποκειμένου εἰς τὸ ὑποστῆναι, τὴν δὲ οὐσίαν εἶπεν οὐκ ἐν ὑποκειμένῳ. ὅθεν καὶ ἄξιον ζητῆσαι τίνος ἕνεκεν οὐκ ἐκάλεσεν αὐτὴν ὑποκείμενον, ἀλλὰ τῇ ἀποφάσει τῆς φωνῆς τῆς

---

1 δεκαχῶς M 2 αὐτοῦ F τελειώτατον M καὶ (alt.) om. F 3 ποιεῖ] malim ποιεῖται 4 ἀπαρίθμησιν] τὴν διαίρεσιν F 5. 6 τὰ δὲ μερικὰ — οὐσίαι in mrg. suppl. F² 6 οὐσία M 7 ἐν τῇ Εἰσαγωγῇ] spectare videtur Ammon. in Porph. Isag. p. 95,19 8 τε om. F 9 συνιστῶσιν F 11 τὸ τὶ] τουτὶ τὸ F ἢ τις] καὶ ἡ τὶς M ἢ τὶς ἐπισήμη om. Marc. 201 (recte) καὶ καθόλου λευκὸν M 12 τόδε M: τῶδε F figuram recepi ex F, nisi quod infra lineas diagonales exhibet καὶ τὶς ἄνθρωπος et ἡ τὶς ἐπιστήμη καὶ λευκόν: codex M ita abhorret, ut ad angulos καθ' ὑποκειμένου, οὐ καθ' ὑποκειμένου, ἐν ὑποκειμένῳ, οὐκ ἐν ὑποκειμένω, ad lineas καθόλου συμβεβηκός, μερικὴ οὐσία, καθόλου οὐσία, μερικὸν συμβεβηκός appareant 13 ἂν om. F 14 ἐχρήσατο M τὸ superscr. F αὐτῶν F 15 εἴρηται] p. 7,7 17 ὅτι F 20 οὐσίαν δὲ colloc. M 21 αὐτὴν οὐκ ἐκάλ. colloc. M

σημαινούσης τὸ συμβεβηκός. ἐροῦμεν ὅτι πρῶτον μὲν οὐ πᾶσα οὐσία ἐστὶν ὑποκείμενον (οὐ γὰρ δήπου καὶ αἱ πρῶται καὶ αἱ θεῖαι οὐσίαι εἰσὶν ὑποκείμενα), ὥστ' εἰκότως οὐκ ἐκάλεσεν αὐτὴν ὑποκείμενον. ἔπειτα δὲ καὶ τὴν διαίρεσιν ποιούμενος τῶν πραγμάτων ἠθέλησεν ἐξ ἀποφάσεως καὶ καταφάσεως αὐτὴν ποιήσασθαι, ἵνα ἄφυκτος ὑπάρχῃ καὶ τῷ ὄντι πάντα περιλάβῃ, ὡς ἂν εἰ ἔλεγε 'τῶν χρωμάτων τὰ μέν εἰσι μέλανα τὰ δὲ οὐ μέλανα'· ὁ γὰρ οὕτως εἰπὼν πάντα συμπεριέλαβεν, ὁ δέ γε εἰπὼν ὅτι τῶν χρωμάτων τὰ μέν εἰσι μέλανα τὰ δὲ λευκά, οὐ πάντα περιέλαβεν· οὐ γὰρ δὴ τὰ ὠχρὰ καὶ τὰ φαιὰ καὶ τὰ ἄλλα χρώματα. καλῶς οὖν ἐξ ἀποφάσεως καὶ καταφάσεως παρέδωκε τὴν διαίρεσιν. ἢ ὅτι τὸ ὑποκείμενον διχῶς λέγεται, τὸ μὲν πρὸς ὕπαρξιν ὡς ἡ οὐσία τοῖς συμβεβηκόσι, τὸ δὲ πρὸς κατηγορίαν ὡς αἱ μερικαὶ οὐσίαι ταῖς καθόλου· ὑπόκεινται γὰρ αὐταῖς αἱ μερικαί, οὐχ ἵνα ὑποστῶσι (προὔφεστήκασι γὰρ αἱ καθόλου), ἀλλ' ἵνα κατ' αὐτῶν ῥηθῶσιν· εἰ οὖν ἁπλῶς εἶπεν ὑποκείμενον τὴν οὐσίαν, ἐνίστατό τις λέγων μήποτε τὴν μερικὴν μόνην οὐσίαν λέγει τὴν πρὸς κατηγορίαν ὑποκειμένην τοῖς καθόλου. καὶ τούτοις τοῖς ὀνόμασι κεχρημένος ἐκτίθεται τὰς τέσσαρας συζυγίας, καὶ πρώτην τὴν καθόλου οὐσίαν, ὡς τιμιωτέραν, ἔπειτα τὸ ἀντικείμενον, λέγω δὴ τὸ μερικὸν συμβεβηκός, εἶτα προετίμησε τὸ καθόλου συμβεβηκὸς τῆς μερικῆς οὐσίας, διότι περὶ τῶν καθόλου τοῖς φιλοσόφοις ὁ λόγος. |

Σκοπῆσαι δὲ δεῖ πῶς ὁ φιλόσοφός φησι τῶν ὄντων τὰ μὲν 94r
καθ' ὑποκειμένου τινὸς λέγεται, ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστι· καὶ ῥητέον ὅτι ἐνταῦθα μὲν περὶ φωνῶν διαλεγόμενος ἐχρήσατο τῷ λέγεται, ἡνίκα δὲ περὶ οὐσιῶν, τῷ ἐστίν.

p. 1a24 Ἐν ὑποκειμένῳ δὲ λέγω.

Τὰ τέσσαρα τὰ ἀναφανέντα ἡμῖν ἐκ τῶν ἓξ συζυγιῶν πρόκειται νῦν τῷ Ἀριστοτέλει σαφηνίσαι, λέγω δὴ τὸ μερικὸν συμβεβηκὸς καὶ τὴν μερικὴν οὐσίαν καὶ τὸ καθόλου συμβεβηκὸς καὶ τὴν καθόλου οὐσίαν, καὶ τὴν ἀρχὴν ποιεῖται ἐκ τοῦ μερικοῦ συμβεβηκότος ὡς σαφεστέρου αὐτοῦ ὄντος καὶ ἁπλουστέρου. ἐπεὶ οὖν τὰ πράγματα ἐκ τῶν ὁρισμῶν μανθάνομεν, ἀποδίδωσιν αὐτοῦ τινα οὐχ ὁρισμὸν μὲν ἀνάλογον δὲ μᾶλλον ὁρισμῷ· ἀναλογεῖ δὲ τὸ μὲν ἕν τινι γένει, τὰ δὲ λοιπὰ διαφοραῖς· λέγεται γὰρ τὸ ἕν τινι ἑνδεκαχῶς, ἐν χρόνῳ ἐν τόπῳ ἐν ἀγγείῳ ὡς μέρος ἐν ὅλῳ ὡς ὅλον ἐν τοῖς μέρεσιν ὡς εἶδος ἐν γένει ὡς γένος ἐν εἴδει ὡς τὰ τῶν

2 καὶ αἱ (ante θεῖαι) om. F 2. 3 εἰσὶν ὑποκείμεναι M 5 ἄφυκτος] ἄψεκτος M ὑπάρχει F 6 περιλαμβάνοι F 6. 8 χρωμάτων] ὄντων F 7 post συμπεριέλαβεν add. καὶ οὐδέν ἐστι τῶν χρωμάτων ὃ ἐκφεύγει τὴν διαίρεσιν ταύτην ἢ μὴ ὑποπίπτει τῇ διαιρέσει ταύτῃ. M 9 δὴ om. M τὰ φαιὰ καὶ τὰ ὠχρὰ colloc. M ἢ τὰ ἄλλα M 10 ἢ om. M 13 ὑφεστήκασι γὰρ αὐταῖς αἱ M 15 μόνην post οὐσίαν colloc. M λέγη M 26 πρόκεινται M 31 αὐτὸς F 32 τὸ (utrobique)] τῷ F

ἀρχομένων ἐν τῷ ἄρχοντι ὡς εἶδος ἐν ὕλῃ ὡς ἐν τέλει ὡς ἐν ὑποκειμένῳ οἷον τὸ συμβεβηκὸς ἐν οὐσίᾳ. τοῦτο οὖν τὸ ἔν τινι παραλαμβάνει ἐν τῷ ὁρισμῷ ὡς γένος κατὰ πολλῶν λεγόμενον. προσέθηκε δὲ τὸ μὴ ὡς μέρος ὑπάρχον, ἵνα διακρίνῃ αὐτὸ ἀπὸ τῶν ἔν τινι ὄντων ὡς μερῶν, οἷον ἡ τὶς χείρ· αὕτη γὰρ οὖσα ἐν τῷ ἀνθρώπῳ ὅμως ὡς μέρος αὐτοῦ ὑπάρχει. ἵνα οὖν τούτων αὐτὸ χωρίσῃ, προσέθηκε τὸ μὴ ὡς μέρος ὑπάρχον. τὸ δὲ ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστι προσέθηκεν, ἵνα χωρίσῃ αὐτὸ τῶν λοιπῶν.

Ἰστέον δὲ ὅτι τινὲς κακίζουσι τὸν ὁρισμὸν τοῦτον κατ' ἄμφω τὰς κακίας τῶν ὁρισμῶν, φημὶ δὴ κατὰ τὸ ὑπεραίρειν καὶ ὑπερβάλλειν τὸν ὁρισμὸν τοῦ πράγματος καὶ μέντοι καὶ κατὰ τὸ ἐλλείπειν καὶ μὴ τὸ πᾶν περιορίζειν, λέγοντες ὡς οὐκ ἀντιστρέφει πρὸς τὸ ὁριστόν, ὅπερ δεῖ ἔχειν τοὺς ὅρους πρὸς τὰ ὁριστά, ὡς ἔφαμεν. οἷον ἄνθρωπός ἐστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· τοῦτο ἀντιστρέφει· καὶ γὰρ εἴ τι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, τοῦτο ἄνθρωπος. φασὶν οὖν οἱ μὲν τὸν ἀποδεδομένον ὁρισμὸν μὴ πᾶσι τοῖς συμβεβηκόσιν ἐφαρμόζειν, οἱ δὲ καὶ ἑτέροις τισὶ παρὰ τὰ συμβεβηκότα· λέγουσι γὰρ ὅτι ὁ Σωκράτης ἐν τόπῳ ὢν ἔν τινί ἐστι καὶ οὐχ ὡς μέρος ἐν ὅλῳ (οὐ γὰρ μέρος ἐστὶ τοῦ τόπου) καὶ ἀδύνατον χωρὶς αὐτὸν εἶναι τοῦ ἐν ᾧ ἐστιν (ἀδύνατον γὰρ χωρὶς εἶναι τόπου), ὥστε κατὰ τοῦτον τὸν λόγον ὁ Σωκράτης συμβεβηκὸς ὑπάρχει, ὅπερ ἄτοπον. φαμὲν οὖν ὅτι δυνατὸν χωρὶς εἶναι τὸν Σωκράτην τοῦ ἐν ᾧ ἐστι· κἂν γὰρ ὑποθώμεθα αὐτὸν καταλιπόντα τὸν τόπον, ἐν ᾧ ἦν πρότερον, πορευθῆναι εἰς ἕτερον τόπον, οὐδὲν ἧττον Σωκράτης ἐστί· τὸ δὲ συμβεβηκὸς χωρισθὲν τοῦ ὑποκειμένου ἔφθαρται. ἰστέον δὲ ὅτι παρέπεται τῷ Σωκράτει ὁ τόπος οὐχ ὡς συμπληρῶν αὐτοῦ τὴν οὐσίαν ἀλλ' ὡς παρακολούθημα, ὥσπερ τῷ ἐν φωτὶ βαδίζοντι ἡ σκιὰ παρέπεται μηδαμῶς αὐτοῦ συμπληροῦσα τὴν οἰκείαν οὐσίαν. ἄλλως τε τὸ ἐν τῷ ὑπάρχον συντακτέον, ἵνα ᾖ 'ὅ τινι ἐνυπάρχον', ἐνυπάρχειν δὲ ἐν τόπῳ τὴν οὐσίαν οὔ φαμεν, ἀλλ' ὑπάρχειν· | ἐκεῖνο γὰρ ἐπὶ μόνων τῶν συμβε- 94v
βηκότων φαμέν, τὸ ἐνυπάρχειν φημί. πάλιν φασὶ 'τὸ εἶδος ἐν τῇ ὕλῃ ἐστὶ καὶ οὐκ ἔστι μέρος τῆς ὕλης καὶ ἀδύνατον χωρὶς εἶναι τῆς ὕλης· οὐκοῦν κατὰ τὸν προειρημένον λόγον καὶ τὸ εἶδος συμβεβηκός ἐστι'. φαμὲν οὖν

---

1 post ὕλῃ add. τουτέστιν ὡς ἀνδριὰς ἐν τῷ χαλκῷ F τέλει M: τελικῷ F post τέλει add. ἤγουν ὡς ἰατρὸς ἐν τῇ ἰατρικῇ F 3 κατὰ πολλῶν] κατὰ τῶν πολλῶν F: καὶ κατὰ πολλῶν M 4 αὐτῷ F ἀπὸ τῶν om. F μερῶν] μέρος F 6 ἵνα—ὑπάρχον om. F 7 ἐστι om. F 8 αὐτὸ] ἀπὸ F 10 ὑπεραίρειν καὶ ὑπερβάλλειν] ὑπερβάλλειν καὶ ὑστερεῖν F 11 ἐλλεῖπον codd. 12 δεῖ om. F 13 ὡς om. F ἔφαμεν] cf. Ammon. in Porph. Isag. p. 67,14 sq. ζῶον om. F 14 εἴ τι] ὁ M 16 οἱ μὲν post ὁρισμὸν transp. M 17 γὰρ] μὲν F 18 ἐν τόπῳ om. F 19 αὐτὸν om. F ἐν ᾧ—χωρὶς εἶναι (20) om. F 20 καὶ κατὰ M 21 ἄποπον] ἀδύνατον F 26 ἐν τῷ φωτὶ F 27 μηδαμῶς—οὐσίαν om. F ἄλλως—φημι (30) cicias, praesertim cum et Philop. et Olymp. ea omittant τὸ ἐν] ὅτε F 28 ὅ τινι] ὅτε F τῷ τόπῳ (?) M 29 οὐ ante ἐνυπάρχειν (28) colloc. M 30 φημὶ τὸ ἐνυπ. colloc. M 31 ἐστὶ (prius) om. F καὶ οὐκ—ὕλης post εἶναι τῆς ὕλης colloc. F

ὅτι πρῶτον μὲν τὸ εἶδος εἰ καὶ μὴ ἔστι μέρος τῆς ὕλης, ἀλλ' οὖν τοῦ συναμφοτέρου (οὕτω γὰρ καὶ τὴν χεῖρά φαμεν οὐ τοῦ λοιποῦ σώματος μέρος εἶναι, ἀλλὰ τοῦ παντός). ἔπειτα δὲ τὸ μὲν εἶδος συμπληρωτικόν ἐστι τῆς ἑκάστου οὐσίας καὶ τούτου φθαρέντος φθείρεται τὸ ὑποκείμενον, τὸ δὲ συμβεβηκὸς οὔτε συμπληροῖ τὴν οὐσίαν τοῦ ὑποκειμένου καὶ φθαρέντος αὐτοῦ οὐδὲν ἐβλάβη τὸ ὑποκείμενον. καὶ ταῦτα μὲν πρὸς τοὺς λέγοντας τὸν ὁρισμὸν ἐφαρμόζειν καὶ ἑτέροις.

Οἱ δὲ λέγοντες μὴ πᾶσιν αὐτὸν ἐφαρμόζειν ταῦτά φασιν, ὅτι μόνα τὰ ἀχώριστα ὡρίσατο· ἰδοὺ γὰρ ἡ ἐν τῷ μήλῳ εὐωδία χωρίζεταί τε καὶ πόρρω ὄντος τοῦ μήλου χωρεῖ πρὸς ἡμᾶς, ἔστι δὲ συμβεβηκός· εἰ οὖν χωρίζεται τοῦ ὑποκειμένου, οὐ συμπεριείληπται τῷ ἀποδοθέντι ὁρισμῷ. φαμὲν δ' ἡμεῖς πρὸς αὐτοὺς ὅτι διχῶς τοῦτο ἐπιλυόμεθα· πρῶτον μὲν ὅτι οὐκ εἶπεν ὁ Ἀριστοτέλης 'ἐν ᾧ ἦν', ἀλλ' ἐν ᾧ ἔστιν (οὐκοῦν ἀδύνατον χωρὶς εἶναι τὴν εὐωδίαν τοῦ [μήλου] ἐν ᾧ ἐστι τόπῳ· ἢ γὰρ ἐν τῷ μήλῳ ἐστὶν ἢ ἐν τῷ ἀέρι), ἔπειτα δὲ ὅτι οὐ μόνη ἡ τοῦ μήλου εὐωδία χωρεῖ πρὸς ἡμᾶς, ἀλλὰ μετά τινος οὐσίας τοῦ μήλου. τεκμήριον δὲ τούτου ἐστὶ τὸ ἐν χρόνῳ πλείονι μειοῦσθαι τὸ μῆλον καὶ ῥυτιδοῦσθαι, ὅθεν δῆλον ὅτι διαφορεῖταί τις οὐσία τοῦ μήλου ἐν ᾧ ἡ εὐωδία ὑπῆρχεν. εἰ δέ τις λέγει 'καίτοι γε ὄντος ἔτι ἐν τῷ δένδρῳ τοῦ μήλου οὐδὲν ἧττον ἐχώρει πρὸς ἡμᾶς ἡ εὐωδία μετὰ τοῦ μὴ ῥυτιδοῦσθαι μῆλον ἔσθ' ὅτε δὲ καὶ αὔξεσθαι', φαμὲν πρὸς αὐτὸν 'ὡς ἀγνοεῖς τὴν θρεπτικήν τε καὶ αὐξητικὴν τῆς φύσεως δύναμιν· ἢ οὐχ ὁρῶμεν κἀπὶ τῶν ζῴων ἁπάντων τὴν αὔξησιν γινομένην; καὶ οὐ δήπου διὰ τοῦτο φήσομεν αὐτὰ μὴ διαφορεῖσθαι ἡμέρας ἑκάστης, ἀλλ' ὅμως διὰ τὸ πλείονα εἶναι τὴν εἰσφερομένην λόγῳ τροφῆς ποσότητα τῆς ἀπορρεούσης· οὕτω διοικούσης τῆς φύσεως οὐ μόνον ἀνεπαίσθητος ἡ διαφόρησις. ἀλλὰ τοὐναντίον αἰσθητὴ μᾶλλον ἡ αὔξησις'. οὕτως οὖν κἀπὶ τοῦ μήλου φαμέν· οὐ γὰρ ὅτι ἀνεπαίσθητος ἡμῖν ἐστιν ἡ ἐν τῷ δένδρῳ ἀπόρροια, διὰ τοῦτο οὐ διαφορεῖταί τις οὐσία ἐξ αὐτοῦ, ἀλλ' ὅτι πλείων ἡ λόγῳ τροφῆς εἰς αὐτὸ φερομένη οὐσία τῆς ἀπορρεούσης. ὑπάρχει δὲ καὶ ἄλλως τοῦτο πιστοῦσθαι· παρερχόμενοι γὰρ δυσώδη τόπον ἐμφράττομεν τὰς ῥῖνας τῷ ἱματίῳ καὶ εἰσπνέομεν ἀέρα χωρὶς δυσωδίας, ὅθεν δῆλον ὡς οὐ δύναται τὸ ἱμάτιον διαπερᾶν ἡ δυσωδία διὰ τὴν παχύτητα αὐτοῦ· ὁ γὰρ ἀὴρ λεπτομερὴς ὢν διοδεύει· ὥστε δῆλον

---

1 τὸ πρῶτον μὲν colloc. F οὖν] οὐ M 3 δὲ om. F 9 post ὡρίσατο add. τὰ χωριστά φασιν οὐκ ἠδύνατο μὴ χωρισθῆναι ἀλλὰ καὶ ἀναγκαῖον F 12 δ' ἡμεῖς F: οὖν M 14 μήλου inclusi τόπῳ] an τόπου? 15 ὅτι om. F ἡ τοῦ μ. εὐωδ. Philop.: ἡ εὐωδ. τοῦ μ. F: τοῦ μ. εὐωδ. (ἡ om.) M 16. 17 τούτου scripsi: τοῦτο libri 17 τὸ (prius)] τῶ F 18 διαφορεῖ τὸ τῆς οὐσίας F 19 γε supra scr. F 20 μετὰ] πρὸ M 21 δὲ om. M ἀγνοεῖ M τε om. F 22 ἁπάντων om. F 23 γενομένην F καὶ οὐ δήπου δ. τ. οὐ φήσομεν αὐτὰ διαιρεῖσθαι M 24 ὡς ἡμέρας μᾶλλον δὲ ὥρας ἑκ. M τὴν τῶν εἰσφερομένων F 25 τῆς (prius) om. F 26 ἀνεπαισθήτως F: ἀναίσθητος M 27 ἀνεπαίσθητον F: ἀναίσθητος M 28 διεφορεῖτο F 29 οὐσία] ποσότης M 31 τῶ om. F 32 δυνατὸν — τὴν δυσωδίαν F τῶ ἱματίῳ M 33 ὥστε Paris. 1928 Vind. 10: ὡς M: om. F

ὅτι ἡ ὀσμὴ αὕτη μετά τινος οὐσίας τοῦ ὑποκειμένου χωρεῖ πρὸς ἡμᾶς. δηλοῦσι δὲ τοῦτο καὶ οἱ ἐκ τοῦ θυμιάματος ἀναδιδόμενοι ἀτμοὶ αὐτόθεν τῇ ὄψει | ὑποπίπτοντες διὰ τὴν ἀθρόαν διαφόρησιν καὶ τὴν παχύτητα τῆς 95r ὑποκειμένης οὐσίας.

Λέγεται δὲ τὸ ἕν τινι ἑνδεκαχῶς, ὡς ἤδη λέλεκται· ἐν χρόνῳ (ἕν τινι γὰρ χρόνῳ γεγόνεν ὁ Τρωικὸς πόλεμος ἢ ὁ Πελοποννησιακός), ἐν τόπῳ (λέγομεν γὰρ τὸν Σωκράτην ἐν τόπῳ εἶναι οἷον ἐν Λυκείῳ), ἐν ἀγγείῳ (λέγομεν γὰρ τὸν οἶνον ἐν τῷ κεράμῳ εἶναι· διαφέρει δὲ τὸ ἐν τόπῳ τοῦ ἐν ἀγγείῳ, διότι τὸ μὲν ἀγγεῖον τόπος ἐστὶ μεταφορητός, ὁ δὲ τόπος ἀγγεῖον ἀμεταφόρητον), ὡς μέρος ἐν ὅλῳ ὡς ὁ δάκτυλος ἐν τῇ χειρὶ ἢ ἡ χεὶρ ἐν ὅλῳ τῷ σώματι, ὡς ὅλον ἐν μέρεσιν (ὅλον γὰρ τὸν ἄνθρωπόν φαμεν θεωρεῖσθαι ἐν τοῖς μέρεσι καὶ οὐκ ἐν μέρει), ὡς εἶδος ἐν γένει ὡς ἄνθρωπος ἐν τῷ ζῴῳ, ὡς γένος ἐν εἴδει ὡς τὸ ζῷον ἐν ἀνθρώπῳ, ὡς τὰ τῶν ἀρχομένων ἐν τῷ ἄρχοντι (λέγομεν γὰρ ὅτι τόδε τὸ πρᾶγμα ἐν τῷδε τῷ ἄρχοντί ἐστιν), ὡς εἶδος ἐν ὕλῃ ὡς τὸ ἀνθρώπινον εἶδος ἐν τῇ ὕλῃ ἢ τὸ τρίγωνον ἢ τετράγωνον σχῆμα ἐν τῷ χαλκῷ, ὡς ἐν τέλει ὡς ⟨λέγομεν⟩ τὴν ἰατρικὴν ἐν τῇ ὑγείᾳ, ὡς ἐν ὑποκειμένῳ ὡς τὸ συμβεβηκὸς ἐν οὐσίᾳ. εἴποι δ' ἄν τις τὸ γένος ἐν εἴδει ἢ τὸ εἶδος ἐν γένει ὡς τὸ ὅλον ἐν μέρεσιν ἢ ὡς τὰ μέρη ἐν ὅλῳ θεωρεῖσθαι· φαμὲν οὖν πρὸς τοῦτο ὅτι οὐ γὰρ τὸ ὅλον ἐκτὸς τῶν οἰκείων πάντων μερῶν σώζεται, τὸ δὲ γένος καὶ ἑνὸς εἴδους ἢ ἑνὸς ἀτόμου σωζομένου σώζεται· ὁ γὰρ Σωκράτης καὶ Σωκράτης ἐστὶ καὶ ἄνθρωπος καὶ ζῷον· ὥστε δῆλον ὅτι τὸ μὲν ἓν μέρος οὐ πληροῖ τὸ ὅλον, τὸ δὲ ἓν εἶδος πληροῖ τὸ γένος.

Σαφηνίσας δὲ ἡμῖν ὁ φιλόσοφος τὸ μερικὸν συμβεβηκὸς παραδίδωσιν ἡμῖν παράδειγμα τοῦ καθόλου συμβεβηκότος καί φησι τὰ δὲ καθ' ὑποκειμένου τε λέγεται καὶ ἐν ὑποκειμένῳ ἐστί. παραδοὺς δὲ παρα-

---

1 αὕτη] αὐτὸν F καὶ χωρεῖ F 2 αὐτόθι F 5 λέγεται—γένος (23) eicias λέγεται—λέλεκται M: ὡς δὲ ἤδη εἰρήκαμεν ἑνδεκακῶς τὸ ἕν τινι λέγεται F πρῶτον ἐν χρόνῳ ὡς νῶε ἐν τῷ καιρῷ τοῦ κατακλυσμοῦ, δεύτερον ἐν τόπῳ ὡς ἱερεὺς ἐν τῷ ναῷ τρίτον ἐν ἀγγείῳ ὡς οἶνος ἐν κρατῆρι, τέταρτον ὡς μέρος (10) κτλ. F 9 μεταφορητός Vat. 2173: μεταφορικός M 10 ὡς ὁ] ὥσπερ F ἡ om. F 11 πέμπτον ὡς ὅλον F μέρεσιν] μέρει F ὅλον γὰρ—μέρει (12)] ὡς σωκράτης ἐν τοῖς οἰκείοις μέλεσι, κεφαλῇ τε καὶ χερσὶ καὶ ποσί· τοῦτο δὲ οὐκ ἔστιν ἕν τινι ἀλλ' ἕν τισι F 12 ante ὡς εἶδος add. ς F 13 ἐν τῇ διαιρέσει τοῦ ζώου. ζ' F ἐν τῷ ὁρισμῷ τοῦ ἀνθρώπου. η' F 14 γὰρ om. M τόδε om. F τῶδε om. F 14. 15 post ἄρχοντί ἐστιν add. ὁ δὲ δαμασκηνὸς ὡς ἐν τῷ ποιητικῷ αἰτίῳ ὡς τὰ πάντα ἐν τῷ θεῷ φησί. θ' F 15 ἀνθρώπινον—σχῆμα (16)] εἶδος τοῦ ἀνδριάντος F 16 ι' ὡς ἐν τῷ τελικῷ αἰτίῳ ὡς ἡ κλίνη ἐν τῇ τῶν ἀνθρώπων ἀναπαύσει· καὶ γὰρ διὰ τὴν ἀνάπαυσιν τῶν ἀνθρώπων γίνεται ἡ κλίνη ἢ ἐν τέλει F λέγομεν ex Philopono addidi 17 τῇ om. F ια' ὡς ἐν ὑποκ. F ἐν τῇ οὐσίᾳ ἤγουν τὸ λευκὸν ἐν τῷ σώματι. ἰστέον δὲ ὅτι μέρη ὅλου λέγονται, ὅλον δὲ μερῶν οὐδαμῶς ἀλλ' ὅλον ἐν μέρεσιν F 19 ἢ] ἐστι καὶ M θεωρεῖται F 22 ἓν om. F 24 ante σαφ. add. lemma τὰ δὲ καθ' ὑποκειμένου τε λέγεται M δὲ om. M παραδίδωσιν—παράδειγμα (25)] νῦν τρέπεται ἐπὶ τὸ παράδειγμα ἡμῖν παραδοῦναι M 25 καί φησι—ἐν ὑποκ. ἐστί (26) om. M 26 ante παραδοὺς add. lemma τὰ δὲ οὔτε ἐν ὑποκειμένῳ ἐστί M δὲ] ἡμῖν ὁ φιλόσοφος M

δείγματα τῶν τε καθόλου καὶ τῶν μερικῶν συμβεβηκότων νῦν μέτεισιν ἐπὶ τὸ παράδειγμα τῆς μερικῆς οὐσίας λέγων τὰ δὲ οὔτε ἐν ὑποκειμένῳ ἐστὶν οὔτε καθ' ὑποκειμένου λέγεται. παρεισφέρει δὲ καὶ τὸ θεώρημα τοῦτο ἁπλῶς δὲ τὰ ἄτομα καὶ ἓν ἀριθμῷ κατ' οὐδενὸς ὑποκειμένου λέγεται, βουλόμενος δι' αὐτοῦ δεῖξαι ὅτι οὐδὲν τῶν ἀτόμων τῶν τε συμβεβηκότων καὶ τῶν οὐσιῶν κατά τινος κατηγορεῖται. ἔτι μὴν διορίζει αὐτὸ καὶ διαχωρίζει τὰ συμβεβηκότα ἄτομα τῶν ἀτόμων τῶν αὐθυποστάτων. τὸ δὲ ἁπλῶς τριχῶς λέγεται· ἢ γὰρ κυρίως ἢ μοναχῶς ἢ καθόλου. τῷ οὖν σημαινομένῳ καθόλου ἐχρήσατο ἐνταῦθα· λέγει γὰρ 'καθόλου τὰ ἄτομα καὶ ἓν ἀριθμῷ'. ὁσαχῶς δὲ τὸ ἄτομον λέγεται, κατὰ πλάτος ἐγράφομεν ἐν τῇ Εἰσαγωγῇ Πορφυρίου. περὶ δὲ τοῦ ποσαχῶς τὸ ἓν λέγεται ἤδη ἐροῦμεν· πολλαχῶς γὰρ καὶ αὐτό· ἢ γὰρ τῷ εἴδει ἕν, ὡς Σωκράτην καὶ Πλάτωνα ἕνα τῷ εἴδει λέγομεν καθὸ ἀνθρώπους, ἢ τῷ γένει ἕν, ὡς ὅταν λέγωμεν ἄνθρωπον καὶ βοῦν καὶ ἵππον τῷ γένει ἓν καθὸ ζῷα, | ἢ τῷ ἀριθμῷ, ὡς ὅταν λέγωμεν Πλά- 95v τωνα ἕνα εἶναι, λέγεται δὲ καὶ τὸ ἓν ἄτομον, ὅπερ αὐτὸς σαφηνείας ἕνεκεν λέγων φησὶ τὸ ἕν. τὰ ἄτομα οὖν τὰ ἓν ὄντα τῷ ἀριθμῷ οὐδέποτε μὲν κατά τινος ὑποκειμένου λέγεται, εὑρίσκονται δὲ πολλάκις ἐν ὑποκειμένῳ ὡς τὸ τὶ λευκὸν ἐν σώματι. διὰ τοῦτο οὖν προσέθηκεν τὸ οὐδὲν κωλύει, ἐπειδὴ οὐ πάντα ἐν ὑποκειμένῳ ὑπάρχει· ὁ γὰρ Σωκράτης οὐκ ἔστιν ἐν ὑποκειμένῳ, ἡ δὲ τὶς γραμματική, καθώς φησι καὶ αὐτός, ἐν ὑποκειμένῳ ἐστὶ τῇ ψυχῇ. καὶ καθόλου εἰπεῖν, τὰ τῷ ἀριθμῷ ἓν οὐσίαι μὴ ὄντα κατ' οὐδενὸς ὑποκειμένου λέγεται, ἐν ὑποκειμένῳ δέ ἐστιν.

p. 1b10 Ὅταν ἕτερον καθ' ἑτέρου κατηγορῆται.

Τὸ παράδειγμα τοῦτο τῆς καθόλου οὐσίας ἐστίν· ὅταν τινός τι κατη-

1 τῶν συμβ. μερικῶν καὶ τῶν καθόλου M 2 λέγων—λέγεται (3) om. M 3 ante παρεισφέρει add. lemma ἁπλῶς δὲ τὰ ἄτομα M 3. 4 τοῦτο τὸ θεώρ. ἐν μέσω παρεισφ. ὁ φιλόσοφος M 4 ἁπλῶς—λέγεται (5) om. M 6 τε om. M 7 αὐτὸ scripsi: αὐτὸς F: αὐτοῦ M διαχωρίζει—αὐθυποστάτων (8)] δηρύσεται (sic) καὶ ἐκ ποταμοῖο. καὶ οὐδ' ἐν ἀριθμῶ καὶ ἑνὸς καθ' ὑποκειμένη (sic) M 8 τὸ δὲ ἁπλῶς—τὸ ἕν (17) eicias ante τὸ δὲ ἁπλῶς add. ἁπλῶς F δέ om. M 9 τῷ οὖν τὸ καθόλου σημαίνοντι M 10 καὶ ἓν ἀριθμῷ] πάντα, τουτέστι καὶ τὰ οὐσιώδη ἄτομα τὰ αὐθυπόστατα καὶ τὰ συμβεβηκότα μὴ λέγεσθαι καθόλου. κατά τινος ὑποκειμένου M ὁσαχῶς—πορφυρίου (11) F: ἐπειδὴ τὸ ἄτομον πολλαχῶς λέγεται· λέγεται γὰρ ἄτομον τὸ φύσει ἀδιαίρετον ὡς ἡ μονὰς καὶ τὸ σημεῖον, λέγεται δὲ καὶ τὸ δυσδιαίρετον μὲν ὅμως δὲ διαιρούμενον ὡς ὁ ἀδάμας, λέγεται δ' ἄτομον καὶ τὸ μὴ δυνάμενον διαιρεθῆναι εἰς εἴδη ὡς σωκράτης καὶ πλάτων, λέγεται δὲ καὶ τὸ πεφυκὸς διαιρεῖσθαι μήπω δὲ διαιρεθὲν ὡς ἀγρός, λέγεται δὲ καὶ τὸ ἓν ἄτομον ὅπερ αὐτὸς σαφηνείας ἕνεκα λόγων (sic) φησὶ τὸ ἕν. M 11 ἐν τῇ Εἰσαγ. Πορφ.] in Ammonii in Porph. Isag. comm. hoc non invenitur περὶ—πολλαχῶς γὰρ καὶ αὐτό (12)] ἐπεὶ δὲ τὸ ἓν πολλαχῶς λέγεται M 13 ἕνα] ἓν M 14 ἄνθρωποι (priore l.) F λέγομεν F 15 τῷ (prius) om. F 16 λέγεται—τὸ ἕν (17) om. M (cf. v. 10 not.) 17 λέγων ante σαφ. ponas τὰ (ante ἓν) om. F 18 μὲν om. F λέγονται M εὑρίσκονται] λέγονται F 19 τὸ (alt.) om. F οὐδὲν supra scr. F 21 καὶ αὐτὸς φησί colloc. M 22 οὐσία F 24 κατηγορεῖται F 25 τὸ παράδειγμα—ἐστίν] νῦν περὶ τῆς καθόλου οὐσίας διαλέγεται ὁ φιλόσοφος καὶ παραδείγματα ταύτης παραδίδωσι. φησὶν οὖν M

γορῆται οὐσιωδῶς, φησί, τούτου δὲ ἕτερόν τι πάλιν κατηγορῆται, τοῦτο κἀκείνου κατηγορηθήσεται. πρὸς ὃ φήσειεν ἄν τις 'εἰ ἀληθῶς ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, τοσαῦτα καὶ κατὰ τοῦ ὑποκειμένου κατηγορηθήσεται, κατηγορεῖται δὲ τοῦ μὲν ζῴου τὸ γένος, τοῦ δὲ ἀνθρώπου τὸ ζῷον, καὶ τοῦ ἀνθρώπου ἄρα κατηγορηθήσεται τὸ γένος'. ἀλλ' οὐχ οὕτως εἴρηται· τὸ γὰρ ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, τοῦτ' ἔστιν ὡς πράγματα αὐτοῦ καὶ ὡς χαρακτηρίζοντα τὴν οὐσίαν αὐτοῦ, τοσαῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται εἴρηκεν ὁ φιλόσοφος. καλῶς δὲ εἶπε καὶ τὸ ὡς καθ' ὑποκειμένου ἀντὶ τοῦ οὐσιωδῶς καὶ πραγματικῶς· εἰ γάρ τι κατὰ τοῦ κατηγορουμένου κατὰ συμβεβηκὸς κατηγορεῖται, οὐκ ἀνάγκη τοῦτο καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθῆναι· τὸ γὰρ γένος τοῦ ζῴου κατὰ συμβεβηκὸς καὶ κατὰ σχέσιν κατηγορεῖται.

p. 1b16 Τῶν ἑτερογενῶν καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων.

Λημμάτιά τινα προλαμβάνει χρήσιμα αὐτῷ ἐσόμενα πρὸς τὴν διδασκαλίαν καί φησιν ὅτι πάντως τῶν ἑτερογενῶν ἕτεραι ὑπάρχουσιν αἱ εἰδοποιοὶ διαφοραί, οἷον τῆς οὐσίας καὶ τοῦ ποσοῦ· τῆς μὲν γὰρ οὐσίας διαφοραὶ τὸ ἔμψυχον καὶ τὸ ἄψυχον, τοῦ δὲ ποσοῦ τὸ συνεχὲς καὶ τὸ διωρισμένον. ἕτεραι οὖν ὑπάρχουσιν αἱ διαφοραὶ ἑτέρων ὄντων τῶν γενῶν. ἐπειδὴ δὲ τὰ ἑτερογενῆ πολλαχῶς λέγεται (λέγεται γὰρ ἕτερα τὰ πάντῃ | διεστηκότα 96r ἀλλήλων, ὡς ἡ ἐπιστήμη καὶ τὸ ζῷον, καὶ τὰ μὴ πάντῃ κεχωρισμένα, οἷον τὸ πτηνὸν καὶ τὸ ἔνυδρον· ἔχει γὰρ ⟨ταῦτα⟩ κοινὸν γένος τὸ ζῷον· λέγεται δὲ καὶ τὰ ὑπάλληλα γένη ἕτερα. ὡς ἡ οὐσία καὶ τὸ σῶμα), διὰ τοῦτο εἶπε καὶ μὴ ὑπ' ἄλληλα τεταγμένων· τούτων γὰρ ἐνδέχεται τὰς αὐτὰς εἶναι διαφοράς, οἷον τοῦ ἐμψύχου καὶ τοῦ ζῴου θνητὸν καὶ ἀθάνατον λογικὸν καὶ ἄλογον. καλῶς δὲ τῷ εἴδει προσέθηκεν· ἰδοὺ γὰρ ἐπὶ ἑτέρων γενῶν αἱ αὐταὶ διαφοραί· λέγομεν γὰρ 'τῶν σκευῶν τὰ μέν ἐστιν ἄποδα οἷον θυΐσκη καὶ δοίδυξ καὶ ὅσα τοιαῦτα, τὰ δὲ ὑπόποδα ὡς θρόνος καὶ κλίνη καὶ τὰ ὅμοια', ὁμοίως καὶ τῶν ζῴων, φαμέν, τὰ μέν ἐστιν ἄποδα τὰ δὲ ὑπόποδα· ἀλλ' αὗται αἱ διαφοραὶ οὐκ εἰσὶν εἰδοποιοὶ οὐδὲ κυρίως λεγόμεναι, ἀλλὰ κατὰ ἀναλογίαν τινά.

1 φησί om. M κατηγορεῖται F 2 τις ἄν colloc. F τὰ κατὰ M 3. 4 κατηγ.] ῥηθήσεται M 4 ζώου μὲν (?) M 6 τὸ] an τὰ? 7 ὡς] ὥσπερ M 7. 8 τοσαῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται om. F 8 εἴρηκεν ὁ φιλ. om. M 9 καὶ τὸ om. M 10 κατὰ τοῦ συμβεβηκὸς F 11 τὸ γὰρ — κατηγορεῖται (12) om. M 14 προλαμβ. Philop.: προσλαμβ. FM 15 αἱ] καὶ F 16 γὰρ om. M 17 τὸ (ante ἄψ.) om. F 18 δὲ om. M 19 ἕτερα γένη M 20 ἀποκεχωρισμένα M 21 ταῦτα Vind. 10: om. FM 24 θνητοῦ καὶ ἀθανάτου λογικοῦ καὶ ἀλόγου F 26 τὰ μέν ἐστιν ἄποδα τὰ δὲ ὑπόποδα M 27 οἷον] καὶ ἄποδα μὲν M θυΐσκη F: θυία M τὰ δὲ ὑπόπ.] ὑπόπ. δὲ M ὡς om. M 28 καὶ ὁμοίως colloc. M εἰσιν FM

p. 1ᵇ28 Ζῴου μὲν γὰρ διαφοραί.

Αἱ τῶν γενῶν διαφοραὶ πολλαχῶς δύνανται διαιρεῖσθαι, οἷον τοῦ ζῴου διαφοραὶ λογικὸν καὶ ἄλογον, ἀλλὰ καὶ ἀπὸ τοῦ μονίμου τῆς ζωῆς ὡς θνητὸν καὶ ἀθάνατον καὶ ἀπὸ τοῦ τόπου ὡς πτηνὸν καὶ ἔνυδρον καὶ
5 πεζὸν καὶ ἀπὸ τῶν ποδῶν ὡς ὑπόπουν καὶ ἄπουν· καὶ αὗται ἕτεραί εἰσιν αἱ διαφοραί. ὁ δὲ Ἀριστοτέλης παραδείγματι χρησάμενος τῷ ἀπὸ τοῦ τόπου παρενέβαλεν ἐν τῷ μέσῳ καὶ ἑτέρας διαφοράς, ἐπίτηδες βουλόμενος διδάξαι ὡς ἀδιάφορον καὶ ἑτέρας παραλαμβάνειν διαφοράς.

p. 1ᵇ20 Τῶν δὲ ὑπ' ἄλληλα γενῶν.

10 Καλῶς οὖν εἶπεν οὐδὲν κωλύει· οὔτε γὰρ ἐξ ἀνάγκης αἱ αὐταί εἰσι διαφοραὶ τῶν ὑπαλλήλων γενῶν, ἀλλ' αἱ μὲν οὐσιώδεις διαφοραὶ τῶν ὑπαλλήλων γενῶν πάντῃ τε καὶ πάντως αἱ αὐταί εἰσιν, αἱ δὲ συμβεβηκυῖαι οὐ πάντως. διὰ τοῦτο οὖν προσέθηκε τὸ οὐδὲν κωλύει. πολλάκις μέντοι συμβαίνει τὰς αὐτὰς εἶναι διὰ τὸν προειρημένον κανόνα τὸν λέγοντα
15 ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, τοσαῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται.

p. 1ᵇ25 Τῶν κατὰ μηδεμίαν συμπλοκήν.

Παραδοὺς ἡμῖν πρότερον ὁ Ἀριστοτέλης τὴν εἰς τέσσαρα διαίρεσιν 96ᵛ
τῆς τε καθόλου οὐσίας καὶ τῆς μερικῆς καὶ τοῦ καθόλου συμβεβηκότος
20 καὶ τοῦ μερικοῦ, νῦν τὴν εἰς δέκα διαίρεσιν παραδίδωσι διὰ παραδειγμάτων, ἵνα εἰς ἔννοιάν τινα ἡμᾶς τούτων προαγάγῃ, ὕστερον δὲ περὶ ἑκάστου διηρθρωμένως διδάξῃ. ἔστι δὲ τοῦτο προσεχὲς τῷ ἀνωτέρῳ ῥητῷ τῷ λέγοντι "τῶν λεγομένων τὰ μὲν κατὰ συμπλοκὴν λέγεται, τὰ δὲ ἄνευ συμπλοκῆς". λέγει δὲ ἀκολούθως τοῦτο τῶν κατὰ μηδεμίαν συμπλοκήν.
25 τῷ δὲ εἰπεῖν κατὰ μηδεμίαν δηλοῖ πλείονας εἶναι συμπλοκάς· ἢ γὰρ φωνὴν ἁπλῆν οὖσαν κατὰ τὸ σημαινόμενον συμπλέκομεν, ὡς ὅταν εἴπω 'τρέχω' (δηλῶ γὰρ ἐμαυτὸν καὶ τὴν ἐνέργειαν), ἢ ἡ μὲν φωνὴ κατὰ

---

1 ζώων F 3 ἄλογος F¹ 8 διδάξει] δεῖξαι M διαλαμβ. διαφ. F: διαφ. παραλαμβ. M post διαφοράς add. ὡς τὸ λογικὸν καὶ τὸ ἄλογον. τὸ γὰρ λογικὸν πολλαχῶς λαμβάνεται καὶ τὸ ἄλογον πολλαχῶς ὁμοίως F 9 δέ γε Aristot. ὑπαλλήλων F 10 καλῶς — κωλύει] φησὶν οὐδὲν κωλύει καὶ καλῶς πρόσκειται τοῦτο F οὔτε] scribas οὐδὲ 11 τῶν γὰρ ὑπαλλ. F 11. 12 ἀλλ' αἱ — τῶν ὑπαλλήλων γενῶν om. F 12 αἱ αὐταί εἰσιν αἱ οὐσιώδεις F 13 οὖν om. M τὸ om. M 14 συμβαίνει om. F εἰρημ. M 19 καὶ (ante τοῦ καθόλου) om. M 21 προαγάγῃ Vat. 2173: προαγάγοι M: προάξῃ F περὶ ἑκάστου] ἕκαστον F 23 συμπλοκήν τινα M 24 δὲ] an δή? τοῦτο F: τούτω τοῦτο M; an τούτῳ τὸ? 25 τῷ] τὸ F 26 συμπλέκομεν] δὲ συμπλεκομένην F: πλέκομεν M 27 καὶ] κατὰ F

συμπλοκήν ἐστι, τὸ δὲ σημαινόμενον ἁπλοῦν, ὡς τὸ ζῷον λογικὸν θνητόν (ἡ μὲν γὰρ φωνὴ σύνθετος, ἄνθρωπος δὲ τὸ σημαινόμενον), ἢ καὶ ἀμφότερα σύνθετα, ὡς ὅταν εἴπω 'Σωκράτης περιπατεῖ', ἢ ἀμφότερα ἁπλᾶ, ὡς αὗται αἱ κατηγορίαι. τῶν οὖν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ποιεῖται νῦν τὴν διαίρεσιν, τοῦτ' ἔστι τῶν δέκα κατηγοριῶν.

p. 1ᵇ27 Ἔστι δὲ οὐσία μὲν ὡς τύπῳ εἰπεῖν οἷον ἄνθρωπος ἵππος.

Φιλανθρώπως ποιῶν κεφαλαιωδῶς παραδίδωσιν ἡμῖν τὴν ἐξήγησιν τῶν κατηγοριῶν, ἵνα πρότερον ἡμᾶς εἰς ἔννοιαν ἀγάγῃ τῆς περὶ αὐτῶν διδασκαλίας καὶ οὕτως ὕστερον ἀκριβῶς ἰδίᾳ ἑκάστην κατηγορίαν ἐπισκεψώμεθα, καί φησιν οὐσίαν εἶναι ἄνθρωπον καὶ ἵππον. σὺ δὲ ὑπάκουε οὐσίας καὶ τὰ λοιπὰ ὅσα αὐθυπόστατα πράγματά εἰσι καὶ μηδενὸς ἑτέρου δεόμενα εἰς τὸ ὑπόστῆναι. καὶ ταῦτα μὲν περὶ τῆς οὐσίας, τὰς δὲ λοιπὰς κατηγορίας σαφῶς κατὰ λέξιν μαθησόμεθα.

p. 2ᵃ3 Ἔχειν δὲ οἷον ὑποδέδεται ὥπλισται.

Ζητοῦσί τινες τί δή ποτε ὥσπερ τῷ ποιεῖν τὸ πάσχειν ἀντίκειται καὶ κατηγορίαν αὐτοῦ ἔταξε, λέγω δὴ τὴν τοῦ πάσχειν, πῶς καὶ τοῦ ἔχειν ἀντικειμένου ὄντος τοῦ ἔχεσθαι οὐκ εἶπε καὶ τούτου κατηγορίαν, φημὶ δὴ τὴν τοῦ ἔχεσθαι, ἀλλὰ μόνην τὴν τοῦ ἔχειν. φαμὲν ὅτι ὑπὸ τὴν τοῦ κεῖσθαι ἀναχθῆναι τοῦτο δύναται τὸ ἔχεσθαι, τὸ δὲ ἔχειν ὑπ' οὐδεμίαν τῶν ἄλλων, καὶ διὰ τοῦτο ἠναγκάσθη κατηγορίαν αὐτῷ ἀφορίσαι.

Τινὲς δέ φασιν ὅτι οὐ πάντα τὰ ὄντα ὑπὸ τὰς δέκα κατηγορίας ἀναχθῆναι δύναται· τὸ γοῦν σημεῖον καὶ τὴν στέρησιν ὑπὸ ποίαν κατηγορίαν ἀνάξομεν; καὶ περὶ μὲν τοῦ σημείου φαμὲν ὅτι νῦν ὁ Ἀριστοτέλης διαλέγεται περὶ πραγμάτων τῇ τε αἰσθήσει γνωρίμων καὶ τοῖς πολλοῖς, τὸ

---

2 γὰρ om. F καὶ scripsi: κατὰ F: κατ' M 3 σύνθετα — ἢ ἀμφότερα om. F σύνθετα scripsi: σύνθετος M ἁπλῆν F 4 μὲν οὖν F 8 φιλανθρ. δὲ F post ποιῶν add. ὁ ἀριστοτέλης M 9 εἰς ἔννοιαν ἡμᾶς colloc. M αὐτὰς M 10. 11 ἐπισκεψόμεθα F 11 καὶ (prius) om. M οὐσίαν (sic) ὑπάκουε M 14 post μαθησόμεθα add. τοῦτο μέντοι ἐνταῦθα δεῖ ἐπισημήνασθαι ὅτι τῆς ποιότητος πάσης μὲν οὔσης ἐν ὑποκειμένῳ οὐ πάσης δὲ τὸ αὐτὸ ὑποκείμενον κατ' εἶδος λαχούσης ἀλλὰ τῆς μὲν ἐν σώματι συνισταμένης οἷον θερμότητος ψυχρότητος τῆς δὲ ἐν ψυχῇ τὸ εἶναι ἐχούσης οἷον γεωμετρίας βουλόμενος ὁ φιλόσοφος διὰ τῶν παραδειγμάτων ἐνδείξασθαι τὸ διττὸν εἶδος τῆς ποιότητος ἐπεφώνησε λέγων 'ποιὸν δὲ οἷον λευκὸν γραμματικόν' τῆς μὲν ἐν ὑποκειμένῳ σώματι ποιότητος ἀπόδειγμα (sic) λαβὼν τὸ λευκὸν τῆς δὲ ἐν ψυχῇ τὸ εἶναι λαχούσης τὸ γραμματικόν M 15 ὑποδεδέσθαι M ὡπλίσθαι M 16 τινες om. F τὸ ποιεῖν τῷ πάσχειν F ἀντίκειται F 17 αὐτὴν F τὴν om. M 18 καὶ ex κατὰ corr. F τούτου] ταύτην F 19 τὴν (post δή) om. F φαμὲν — ἔχεσθαι (20)] ὅτι τὸ ἔχεσθαι ὑπὸ τὸ πάσχειν ἀνάγεται F τοῦ (tertium) Vat. 2173: om. M 23 ἀχθῆναι F 24 ἄξομεν F καὶ om. M

δέ γε σημεῖον αὐτὸ μέν τι πρᾶγμα ὑφεστηκὸς οὐκ ἔστιν, ἀρχὴ δέ ἐστιν ὅλως πραγμάτων. ὁμοίως γὰρ ἄν τις ἀπορήσειε καὶ περὶ τῆς ὕλης καὶ τοῦ εἴδους. ἀλλ' ὡς ἔφαμεν οὔτε περὶ τῆς ἁπλῆς καὶ κρείττονος τῆς συνθέτου οὔτε περὶ τῆς ἁπλῆς καὶ χείρονος τῆς συνθέτου, ἀλλὰ περὶ τῆς
5 συνθέτου οὐσίας | αὐτῷ νῦν ὁ λόγος. τὴν δὲ στέρησίν τινες ἔφασαν ὑπ' 97r
ἐκείνην τὴν κατηγορίαν αὐτὴν ἀνάγεσθαι, ὑφ' ἣν καὶ ἡ ἕξις ἀνάγεται· τὰ γὰρ ἀντικείμενα ὑπὸ τὴν αὐτὴν ἀνάγεται κατηγορίαν. ἡμεῖς δέ φαμεν οὐδὲ ἀνάγεσθαι αὐτὴν ὅλως ὑπό τινα τῶν κατηγοριῶν· αἱ μὲν γὰρ κατηγορίαι τῶν ὄντων εἰσίν, ἡ δὲ στέρησις ὂν μὲν οὐκ ἔστι, στέρησις δὲ
10 ὄντος.

p. 2a4 Ἕκαστον δὲ τῶν εἰρημένων.

Βουλόμενος ἡμῖν παραστῆσαι ὡς οὐ περὶ καταφάσεως ἢ ἀποφάσεως πρόκειται νῦν αὐτῷ διαλαβεῖν, φησὶν ὅτι ἑκάστη τῶν κατηγοριῶν αὐτὴ μὲν καθ' αὑτὴν οὔτε ἀληθές τι οὔτε ψευδὲς σημαίνει· ἐὰν γὰρ εἴπω 'Σωκρά-
15 της περιπατεῖ', εἰ μὲν τύχοι περιπατῶν, ἠλήθευσα, εἰ δὲ οὔ, ἐψευσάμην. καὶ ἐπὶ τῶν ἀποφάσεων ὁμοίως· ἐὰν δὲ μυριάκις εἴπω 'ἄνθρωπος', οὔτε ἀληθεύω οὔτε ψεύδομαι. ὁμοίως δὲ καὶ 'περιπατεῖ'. εἰ δέ τις εἴποι ὅτι ἐὰν εἴπῃ τις 'περιπατῶ', ἀληθεύει ἢ ψεύδεται (εἰ γὰρ τύχοι περιπατῶν, ἀληθεύει, εἰ δὲ μή, ψεύδεται). ἐροῦμεν ὅτι ἀλλ' ὁ εἰρηκὼς 'περιπατῶ'
20 δυνάμει συμπεριέλαβε τὸ ἐγώ, ὡς ἂν εἰ ἔλεγε 'περιπατῶ ἐγώ', ὥστε πάλιν ἡ ἀντωνυμία τῷ ῥήματι συμπαρελήφθη πρὸς γένεσιν ἀληθείας ἢ ψεύδους, ἐπεὶ οὐκ ἠδύνατο μία κατηγορία αὐτὴ καθ' αὑτὴν τοῦτο ποιῆσαι· δῆλον γὰρ ὅτι ἑκάστη τῶν κατηγοριῶν αὐτὴ καθ' ἑαυτὴν οὔτε κατάφασις οὔτε ἀπόφασίς ἐστι, συμπλεκόμεναι δὲ πρὸς ἀλλήλας τοῦτο ποιοῦσιν, οἷον
25 ἄνθρωπος περιπατεῖ· ἔκ τε οὐσίας καὶ τοῦ ποιεῖν γέγονε κατάφασις· προσλαβοῦσα δὲ μέσον τὸ ἀρνητικὸν μόριον γίνεται ἀπόφασις, οἷον ἄνθρωπος οὐ περιπατεῖ.

p. 2a5 Ἐν οὐδεμιᾷ καταφάσει.

Τὰ πολλὰ τῶν βιβλίων τὰ καλῶς δοκοῦντα ἔχειν οὐκ ἔχει ἢ ἀπο-
30 φάσει· εἰ γὰρ κατάφασιν οὐδεμία τῶν κατηγοριῶν σημαίνει, πολλῷ μᾶλ-

---

1 μέν τι Vat. 2173: μέντοι M: μὲν F ἐστιν (alt.) om. F 3 ὡς ἔφαμεν] corrigas ὡς φήσομεν (cf. p. 35.27 sqq.) οὔτε περὶ τῆς ἁπλῆς ἢ (sic) κρείττονος τῆς συνθέτου in mrg. suppl. F3 4 οὔτε περὶ τῆς ἁπλῆς καὶ χείρ. τῆς συνθ. om. M 8 οὐδὲ scripsi: οὔτε codd. 12 τοῦτο βουλόμενος M οὐ om. F 13 νῦν αὐτῷ πρόκ. colloc. M μὲν om. F 14 τι om. M ψεῦδος M post σημαίνει add. ὅπερ ἴδιον καταφάσεως M ἐὰν γὰρ] οἷον ἐὰν M εἴπωμεν M 15. 18 τύχῃ F 16. 17 οὔτε ἀληθεύω om. M 17 εἴποι scripsi: εἴπῃ codd. 19 ὁ om. M 21 συμπαρελ. Vat. 2173: παρελ. FM 22 μία om. M 23 δῆλον ὡς ἑκάστη M 23. 24 ἀπόφασίς τίς ἐστιν οὔτε κατάφασις M 26 οἷον om. F

λον οὐδὲ ἀπόφασιν, ἐπειδὴ δεῖται ἑτέρου ἀρνητικοῦ μορίου καὶ μᾶλλον ὑποπτεύσει τις τὸ ποιεῖν κατάφασιν δηλοῦν ἢ ἀπόφασιν.

p. 2a7 Ἅπασα γὰρ δοκεῖ κατάφασις ἢ ἀπόφασις.

Τὸ δοκεῖ πρόσκειται, ἐπειδὴ οὐ πάντως ἡ κατάφασις ἀληθεύει οὐδὲ πάντως ἡ ἀπόφασις ψεύδεται, οἷον ἐὰν εἴπῃ τις 'τρέχω' ἢ 'οὐ τρέχω'. ἐπειδὴ οὖν ἐν τούτοις δυνάμει προσυπακούεται τὸ ἐγώ, τούτου χάριν εἶπε δοκεῖ. ἢ τοῦτο ἢ ὅτι παρέλκεται τὸ δοκεῖ ἢ ὅτι σφάλμα καλλιγράφου ἐστὶν ἢ ὅτι ἀντὶ τοῦ 'οὕτω δοκεῖ πᾶσιν'.

Περὶ οὐσίας.

p. 2a11 Οὐσία δέ ἐστιν ἡ κυριώτατά τε καὶ πρώτως καὶ μάλιστα λεγομένη.

Πρώτην τάξιν ἔχει ἡ οὐσία ἐν ταῖς κατηγορίαις καὶ διὰ τοῦτο εἰκότως τῶν ἄλλων αὐτὴν προέταξεν· αὕτη γὰρ συνεισφέρεται μὲν ταῖς λοιπαῖς κατηγορίαις, οὐ συνεισφέρει δὲ αὐτάς, καὶ συναιρεῖ μὲν αὐτάς, 97v οὐ συναιρεῖται δὲ ὑπ' αὐτῶν, ὅτι αὕτη αὐθυπόστατός ἐστιν, ἐν αὐτῇ δὲ αἱ ἄλλαι κατηγορίαι τὸ εἶναι ἔχουσιν· οὐσίας γὰρ οὔσης οὐκ ἀνάγκη τὰς ἄλλας εἶναι κατηγορίας, ταύτης δὲ μὴ οὔσης οὐ δυνατὸν τὰς ἄλλας ὑποστῆναι. τῆς δὲ οὐσίας ἡ μέν ἐστιν ἁπλῆ ἡ δὲ σύνθετος, καὶ τῆς ἁπλῆς ἡ μὲν κρείττων τῆς συνθέτου ἡ δὲ χείρων. ἔστι δὲ σύνθετος μὲν οὐσία ἄνθρωπος καὶ τὰ τοιαῦτα, ἁπλῆ δὲ καὶ κρείττων τῆς συνθέτου ἡ τῶν θείων οὐσία, ἁπλῆ δὲ καὶ χείρων τῆς συνθέτου ἡ ὕλη ἡ πρώτη καὶ τὸ εἶδος· ταῦτα γὰρ τῶν συνθέτων ἕνεκα παραλαμβάνονται, ἀεὶ δὲ τὰ δι' ἕτερόν τι παραλαμβανόμενα χείρονά εἰσιν ἐκείνου οὗ ἕνεκα παραλαμβάνονται· οὕτω γὰρ καὶ τῶν τεχνῶν χείρονά φαμεν εἶναι τὴν χαλινοποιητικὴν τῆς ἱππικῆς, ὅτι τῷ τῆς χαλινοποιητικῆς ἀποτελέσματι ὡς ὀργάνῳ κέχρηται ἡ ἱππική, καὶ ἔστιν ὁ μὲν χαλινὸς ἕνεκά του, ἡ δὲ ἱππικὴ οὐ ἕνεκα. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. διαλέξεται δὲ ἐνταῦθα ὁ Ἀριστοτέλης οὐ περὶ τῆς ἁπλῆς καὶ κρείττονος τῆς συνθέτου (τοῦτο γὰρ θεολογίας)

---

1 οὐδὲ Philop.: οὔτε codd. ἑτέρου om. F 2 ὑποπτεύει M δηλοῦμεν F 3 ἅπασα γὰρ] πᾶσα F ἢ ἀπόφασις M: καὶ ἀπόφασις Aristot.: om. F 5 ἢ οὐδὲ F 6 ἐπειδὴ] ἐπεὶ M τοῦτο χάριν F 7 ἢ (alt.) om. F δοκεῖ Philop.: δοκεῖν codd. καλλιγράφου] supra scr. ἀντι F 7. 8 ἐστὶ καλλ. colloc. M 8 post δοκεῖ add. ἀρέσκει F 9 tit. ἀρχὴ τῶν δέκα κατηγοριῶν. περὶ οὐσίας F: περὶ οὐσίας ἀμμωνίου M 10 τε om. M πρώτως — λεγ. om. M 12 ἔχει τάξιν colloc. M 14 αὐτὰς (prius) om. F 15 καὶ ὅτι μὲν αὕτη M 16 οὐκ om. F 21 post πρώτη add. ἤγουν τὸ γένος F 22 post εἶδος add. τὸ ἔνυλον M ἀεὶ — παραλαμβάνονται (23) in mrg. suppl. F³ ἀεὶ δὲ τὰ] τὰ δὲ M 23 τι om. F ἐστιν M ἐκείνων ὧν F 24 γὰρ] γοῦν M 26. 27 οὗ ἕνεκα] οὐχ ἕνεκά του F 28 οὐ] οὔτε M θεολόγου M

οὐδὲ περὶ τῆς ἁπλῆς καὶ χείρονος τῆς συνθέτου (τοῦτο γὰρ φυσιολογίας), ἀλλὰ περὶ τῆς συνθέτου καὶ σχετικῆς, καθὸ τοιῶσδε σημαίνεται. λέγει δὲ ταύτης τῆς οὐσίας τὴν μὲν εἶναι πρώτην τὴν δὲ δευτέραν, πρώτην μὲν τὴν μερικὴν καλῶν, δευτέραν δὲ τὴν καθόλου. ὅθεν ἄξιον ζητῆσαι διὰ τί οὕτω φησίν, εἴπερ τῶν μερικῶν τὰ καθόλου τιμιώτερα. φαμὲν οὖν ὅτι τὰ φύσει πρότερα ἡμῖν δεύτερά ἐστι καὶ τὰ ἡμῖν πρότερα τῇ φύσει δεύτερα, οἷον ἡ ὕλη καὶ τὸ εἶδος εἶτα τὰ κοινὰ στοιχεῖα πρότερα τῇ φύσει, ἐκ τούτων δὲ τὸ σπέρμα καὶ τὸ αἷμα καὶ εἶθ' οὕτως ὁ ἄνθρωπος· ἡμῖν δὲ πρότερος ὁ ἄνθρωπος· γνωρίζομεν γὰρ ἡμεῖς πρότερον τὸν ἄνθρωπον, εἶτα τὰ προειρημένα τὰ ἕνεκά του παραλαμβανόμενα. ἐπεὶ οὖν ὁ λόγος αὐτῷ ὡς πρὸς εἰσαγομένους, τοῖς δὲ εἰσαγομένοις σαφέστερα τὰ προσεχῆ, εἰκότως τὴν μερικὴν πρώτην εἶπεν ἐν τῷ παρόντι· ἀπὸ γὰρ τῶν μερικῶν ἀναγόμεθα ἐπὶ τὰ καθόλου. διὸ ὡς μὴ ἀρέσκοντα αὐτῷ λέγων οὐκ εἶπε 'καὶ πρώτως καὶ μάλιστά ἐστιν', ἀλλὰ λεγομένη. ἐπιστῆσαι δὲ χρὴ πῶς αὐτὰ φράζει ὁ Ἀριστοτέλης· ἐπειδὴ γάρ, ὡς εἴπομεν, ἀπαρεσκόντως λέγει τὴν μερικὴν οὐσίαν πρώτην, φησὶν ἢ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται· ἡ γὰρ ὄντως πρώτη οὐσία, τοῦτ' ἔστιν ἡ καθόλου, καθ' ὑποκειμένου τινός ἐστιν. ὡς ἀπαρεσκόμενος οὖν λέγεται εἶπεν. ἐπειδὴ δὲ οἶδεν ὅτι κἂν ᾖ πρώτη οὐσία κἂν ᾖ δευτέρα, οὐκ ἔστιν ἐν ὑποκειμένῳ, εἶπε τὸ ἔστιν· ἐν ὑποκειμένῳ δὲ οὐδενί ἐστιν. ἐνταῦθα οὖν τὸ ἔστι προσέθηκεν, ἐπεὶ καὶ αὐτῷ ἤρεσκεν.

p. 2a12 Ἢ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται.

Ζητοῦσι δέ τινες τί δή ποτε δι' ἀποφάσεων τὸ τιμιώτερον ὡρίσατο, εἴπερ τῶν καταφάσεών εἰσιν αὗται ἀτιμότεραι. φαμὲν ὅτι οὐδὲν ἄτοπον· καὶ γὰρ ἡμεῖς τὸ θεῖον σημᾶναι βουλόμενοι οὐ καταφάσκομέν τι περὶ αὐτοῦ, ὥς φησιν ὁ Πλάτων, ἀλλ' εἰς ἀποφάσεις τρεπόμεθα. | ἀποροῦσι 98r

---

1 οὐδὲ] οὔτε M φυσιολόγου M 2 περὶ om. F καὶ σχετικῆς om. M λέγεται F 3 δὲ (prius)] γὰρ M καὶ πρώτ. μὲν F 5 διὰ τίνα αἰτίαν M οὖν om. M 6 δεύτερα] δεύτερον F: ὕστερα M 7 post οἷον add. εἰ τύχοι τῇ φύσει πρότερα ἐστιν M ἥ τε ὕλη M 7. 8 πρότερα γὰρ τῇ φύσει ταῦτα M 8 δὲ τούτων colloc. M 9 πρότερος om. F γνωρίζομεν — ἄνθρωπον om. M 10 post παραλαμβ. add. ὥστε οὖν σαφέστερα ἡμῖν ἐστι τὰ προσεχῆ M 11 σαφέστερα τὰ προσεχῆ (12)] πρὸς διδασκαλίαν τὰ πρὸς αἴσθησιν ἐναργῆ τυγχάνει, φιλανθρώπως γε ποιῶν συγκαταβαίνει τῇ διανοίᾳ ἡμῶν M 12 εἰκότως οὖν M 13 μερῶν F λέγων om. F 14 ἐπιστῆσαι — ἤρεσκεν (21) eicias 15 δὲ om. F αὐτὸ M 17 post λέγεται add. καὶ οὐκ εἶπεν ἐστίν M 19 κἂν (alterum) F: καὶ M 20 οὐδὲν F 21 post ἤρεσκεν add. ἀνωτέρω δὲ εἶπε τὸ λέγεται· ἀπήρεσκε γὰρ αὐτῷ M 23 τινες om. F δι' ἀποφάσεων scripsi: δι' ἀποφάσεως F: ἀποφάσει (post τιμιώτερον colloc.) M 24 ἀτιμώτεραι F 25 σημῆναι M 26 ὁ θεῖος πλ. M Πλάτων] potius Plotinus, cf. Enn. V, 3,14 (p. 511) post τρεπόμεθα add. ἐρωτῶντος γὰρ σωκράτους τὸν τίμαιον τί ἐστιν ὁ θεός, λέγει ἐκεῖνος 'ὅ τι μὲν οὐκ ἔστιν οἶδα· ὅτι μὲν γὰρ οὔτε σῶμα οὔτε χρῶμα οὔτε ἄγγελος οὔτε τι τῶν τοιούτων, κρείττων δὲ ἡ κατὰ ταῦτα οἶδα, τί δὲ ἔστιν οὐκ οἶδα'. ὥστε κοσμοῦσιν ἔστιν ὅτε οἱ ὁρισμοὶ οἱ

δέ τινες λέγοντες μήποτε καὶ τῇ ὄντως πρώτῃ καὶ θείᾳ οὐσίᾳ ἁρμόζει ὁ ἀποδεδομένος ὁρισμὸς τῆς οὐσίας καὶ τῇ μερικῇ ψυχῇ· καὶ γὰρ ὁ θεὸς οὔτε καθ' ὑποκειμένου τινὸς λέγεται οὔτε ἐν ὑποκειμένῳ ἐστί, καὶ μέντοι καὶ ἡ ψυχή. φαμὲν οὖν ὅτι οὐδετέρῳ ἁρμόζει ὁ ὁρισμός, ἐπὶ μὲν γὰρ τῆς θείας οὐσίας ἀνόητον ὅλως τὸ ἐπινοεῖν τοῦτον τὸν ὁρισμόν· τὸ γὰρ μὴ εἶναι καθ' ὑποκειμένου πρὸς ἀντιδιαστολὴν τῶν ἐν ὑποκειμένῳ ὄντων εἴρηται καὶ ἁρμόζει πράγμασι σχέσιν τινὰ ἔχουσι πρὸς τὰ ἐν ὑποκειμένῳ, τὸ δὲ θεῖον ἄσχετον παντελῶς καὶ πάντων ἐξῃρημένον τῶν τε ἐν ὑποκειμένῳ καὶ τῶν μὴ ἐν ὑποκειμένῳ ὄντων, γινομένων δὲ τοῖς συμβεβηκόσιν ὑποκειμένων. ἐπὶ δὲ τῆς ψυχῆς εἰ μὲν τὴν ἐξῃρημένην λαμβάνει τις, οὐχ ἁρμόσει πάλιν ὁ ὁρισμὸς διὰ τὴν αὐτὴν αἰτίαν (πάντων γὰρ ἔχουσα τοὺς λόγους καὶ τὴν γνῶσιν παρ' ἑαυτῇ ἄσχετος καὶ αὐτὴ καὶ ἐξῃρημένη), εἰ δέ γε τὴν μερικήν, ἴσως ἐφαρμόζει ταύτῃ· πεσοῦσα γὰρ εἰς τὴν σχέσιν καὶ λήθῃ κατασχεθεῖσα εἶτα εἰς ἀνάμνησιν ἐπειγομένη τῶν προτέρων γίνεται ὑποκείμενον ποτὲ μὲν τῇ γραμματικῇ ποτὲ δὲ τῇ ἰατρικῇ καὶ ταῖς ἄλλαις τέχναις ὁμοίως. καὶ οὐδὲν θαυμαστὸν τῇ ψυχῇ ποτὲ μὲν ἐφαρμόζειν τὸν ὁρισμὸν ποτὲ δὲ οὔ· μέσην γὰρ ἔχει τάξιν πρὸς τὰ πάντῃ ἐξῃρημένα τῆς ὕλης καὶ τὰ πάντῃ ἔνυλα, καὶ ὅτε μὲν ἡ ψυχὴ ἐξήρηται τῶν σωμάτων, οὐκ ἐφαρμόσει αὐτῇ ὁ ὁρισμός, ὅτε δὲ πεσοῦσα ἐν ὕλῃ ἐπιλανθάνεται, τηνικαῦτα ἐφαρμόσει, καὶ οὐδὲν ἄτοπον.

p. 2a14 Δεύτεραι δὲ οὐσίαι λέγονται.

Ἄξιον δὲ ζητῆσαι ποίῳ τρόπῳ κέχρηται διαιρέσεως ἐν τῇ οὐσίᾳ·

τοιοῦτοι τὸ ὑποκείμενον χωρίζοντες αὐτὸ πάντων τῶν καταδεεστέρων. καὶ ἐπὶ τῆς ὕλης δὲ τοῦτο εἰώθαμεν σημαίνειν F 1 καὶ θεία om. (post τῆς οὐσίας (2) add. ἤγουν τῇ θεία) F 2 post ὁρισμὸς add. ὑπὸ τοῦ ἀριστοτέλους M καὶ ἔτι τῇ M μερικῇ eicias (cf. p. v. 10 sq.) 4 ἁρμόττει codd. μὲν om. F 5 οὐσίας om. F 7 ἁρμόττει M τὰς ἐν ὑποκ. M 8 τε om. M 9 ante καὶ add. ὄντων M ὄντων post μὴ colloc. M 11 πάλιν ὁμοίως M 11. 12 τὴν γνῶσιν καὶ τοὺς λ. (num. superscr. corr.) F 12 αὐτὴ M: αὕτη F 13 ἐφαρμόττει codd. ταύτῃ] αὕτη M σχέσιν] γνῶσιν M 14 λήθην F 15 ποτὲ μὲν γραμματικῆς ποτὲ δὲ ἰατρικῆς F 16 ὁμοίως τέχναις colloc. M ἐφαρμ. ante τῇ ψυχῇ colloc. F 17 ἔχουσα M 18 καὶ (alt.) om. M 18. 19 ὅτε] ὅτι (utrobique) F 18 ἡ ψυχὴ om. M 19. 20 ἐφαρμ. τηνικαῦτα colloc. F 20 post ἄτοπον add. ἐν τῷ οὖν λέγειν μάλιστα ἐσήμανεν ὅτι αὕτη ἐστὶν ἡ μᾶλλον οὐσία τῶν εἰδῶν καὶ τῶν γενῶν. ἀλλὰ καὶ πρώτως ἀντὶ τοῦ πρώτως καὶ κυριωτάτη εἴη οὐ μόνον σημαινομένω ἀλλὰ καὶ πράγματι οὖσα. ζητοῦμεν δὲ διὰ τί τοσούτοις ἐγκωμίοις τὴν πρώτην οὐσίαν ἐτίμησεν. καί φαμὲν ὅτι ἡ κατὰ φύσιν κατηγορία γίνεται ταύτης τῆς ἀτόμου οὐσίας ὑποκειμένης καὶ κατηγορουμένου αὐτῆς ἢ τοῦ γένους ἢ τοῦ εἴδους, καὶ τοῦ μὲν γένους ὡς ὅταν εἴπω ὁ σωκράτης ζῶον ἐστί, τοῦ δὲ εἴδους ὡς ὅταν εἴπω σωκράτης ἄνθρωπος ἐστίν. ἀλλὰ δὴ καὶ τὰ συμβεβηκότα, ὅταν ἐν αὐτῇ κατηγορῶνται, οἷον σωκράτης λευκός ἐστι. καὶ πάλιν ὅταν αὕτη ἡ ἄτομος οὐσία τοῦ εἴδους καὶ τοῦ γένους κατηγορεῖται, οἷον οὗτος ὁ ἄνθρωπος σωκράτης ἐστί, τόδε τὸ ζῶον σωκράτης ἐστίν. ἔστι δὲ ὅτε οὐκ ἀληθεύει ἡ παρὰ φύσιν κατηγορία, ὡς ὅταν εἴπω ὁ ἄνθρωπος σωκράτης ἐστί, τὸ ζῶον σωκράτης ἐστί. λέγεται δὲ παρὰ φύσιν κατηγορία, ὅταν ἡ ἄτομος οὐσία κατηγορεῖται τοῦ συμβεβηκότος, ὡς τόδε τὸ λευκὸν σωκράτης ἐστί. καὶ διὰ τοῦτο πολλοῖς αὐτὴν ἐγκωμίοις ἐτίμησεν F

τῶν γὰρ διαιρουμένων τὰ μὲν ὡς γένος εἰς εἴδη διαιρεῖται. τὰ δὲ ὡς 98ᵛ
ὅλον εἰς μέρη, τὰ δὲ ὡς φωνὴ ὁμώνυμος εἰς διάφορα σημαινόμενα. καί
φαμεν ὅτι πρῶτον μὲν οὐχ ὡς γένος εἰς εἴδη, ὅτι οὐδέποτε τῶν διαιρε-
θέντων εἰδῶν τὸ ἓν περιέχει τὸ ἕτερον· οἷον τοῦ ζῴου τὸ μὲν λογικὸν τὸ
5 δὲ ἄλογον, οὐ δυνάμεθα δὲ εἰπεῖν 'τοῦ ζῴου τὸ μὲν ἄλογον τὸ δὲ ἵππος'·
περιέχεται γὰρ ὑπὸ τοῦ πρώτου τὸ δεύτερον. οὕτω γοῦν καὶ ἡ πρώτη οὐσία
ὑπὸ τῆς δευτέρας περιέχεται. ἀλλὰ μὴν οὐδ' ὡς ὅλον εἰς μέρη διαιρεῖται·
οὐδὲ γὰρ οἷόν τε εἰπεῖν 'τοῦ ὅλου τὸ μὲν χεὶρ τὸ δὲ δάκτυλος' (περιέχεται
γὰρ ὁμοίως καὶ ἐν τῇ χειρὶ ὁ δάκτυλος), ἀλλὰ τοῦ ὅλου τὸ μὲν χεὶρ τὸ
10 δὲ πούς. ἀλλὰ μὴν οὐδ' ὡς φωνὴ ὁμώνυμος εἰς διάφορα σημαινόμενα διὰ τὴν
αὐτὴν αἰτίαν· οὐδὲ γὰρ ἐν τοῖς διαιρουμένοις ὡς φωνὴ ὁμώνυμος εἰς διά-
φορα σημαινόμενα εὑρίσκομεν περιεχόμενον τὸ ἕτερον ὑπὸ τοῦ ἑτέρου, οἷον ἡ
κύων φωνὴ κατηγορεῖται κατὰ τοῦ ἀστρῴου καὶ κατὰ τοῦ φιλοσόφου καὶ
κατὰ τοῦ χερσαίου κυνός, οὐδὲν δὲ τούτων ὑπὸ τοῦ ἑτέρου περιέχεται.
15 ἄλλως τε ἐπὶ τῶν διαιρουμένων ὡς φωνὴ ὁμώνυμος εἰς διάφορα σημαι-
νόμενα μόνη ἡ ὁμωνυμία εὑρίσκεται, οὐ μέντοι καὶ κοινωνία ὁρισμοῦ,
ἐπὶ δὲ τῆς πρώτης καὶ δευτέρας οὐσίας οὐ μόνον κοινωνία ὀνόματός ἐστιν,
ἀλλὰ καὶ ὁρισμοῦ· ὁ γὰρ Σωκράτης πρώτη ὢν οὐσία καὶ τῷ τῆς δευτέρας
ὀνόματι καλεῖται, τοῦτ' ἔστι τῷ τοῦ ἀνθρώπου, καὶ τὸν ὁρισμὸν δὲ τὸν
20 αὐτὸν ἔχει ὅ τε Σωκράτης καὶ ὁ καθόλου ἄνθρωπος· ὁμοίως γὰρ καὶ τὸ
ζῷον οὐσία ἔμψυχος αἰσθητικὴ καὶ ζῷον καλεῖται. φαμὲν οὖν ὅτι τάξιν
παραδίδωσιν αὐτῆς, οὐκέτι δὲ καὶ διαίρεσιν. |

---

2 ὁμώνυμα F post σημαινόμενα add. ἴδωμεν οὖν κατὰ ποίαν τούτων τῶν διαιρέσεων διαιρεῖ τὴν οὐσίαν ὁ ἀριστοτέλης M καὶ om. M 6 οὕτω — οὐσία (7)] οὐκοῦν οὐδ' ἐνταῦθα ἐροῦμεν τὴν διαίρεσιν γεγενῆσθαι ὡς γένος εἰς εἴδη· ἡ πρώτη γὰρ οὐσία M γοῦν corr. F² 7 διαιρεῖται om. M 8 οὐδὲ scripsi: οὔτε codd. τὸ δὲ δακτ.—χεὶρ (9) in mrg. suppl. F³ δάκτυλον F 9 γὰρ] τὰ F καὶ om. M τοῦ ὅλου scripsi: οὐδὲ ὡς τὸ ὅλου F: ὅλον τοῦ ὅλου M 10 post πούς add. οὕτω καὶ ἐνταῦθα περιέχεται ἡ δευτέρα οὐσία τῇ πρώτῃ F διὰ — σημαινόμενα (15. 16) om. M: διὰ — σημαινόμενα (12) om. etiam F: exhibent Paris. 1928 Vind. 10 11 οὐδὲ scripsi: οὔτε codd. 12 post εὑρίσκομεν add. γὰρ F 16 ante μόνη add. ἐν οἷς M ἡ om. F καὶ om. F 18 δευτέρας οὐσίας M 19 post ἀνθρώπου add. ὀνόματι M δὲ om. M 20 an ὁμοίως καὶ τὶ ζῷον? 21 ὅτι om. M 22 αὐτοῖς M post διαίρεσιν add. lemma φανερὸν (p. 2ª19) — κατηγορηθήσεται (p. 2ª33), tum hanc expositionem Μετὰ τὸ εἰπεῖν τὰ ἐγκώμια τῆς οὐσίας καὶ διδάξας περὶ αὐτῆς ὅτι καὶ λέγεται καὶ νοεῖται καὶ ἐστί, καὶ διὰ μὲν τοῦ κυριώτατα σημάνας τὸ λέγεται (τὰ γὰρ λεγόμενα ἢ κυρίως ἢ καταχρηστικῶς λέγεται), καὶ διὰ τοῦ πρώτως τὸ νοεῖται σημάνας (τὰ γὰρ νοούμενα ἢ πρώτως ἢ διὰ μέσων τινῶν νοοῦνται), διὰ δὲ τοῦ μάλιστα τὸ ὅτι ἐστὶ σημάνας, δείκνυσι καὶ διὰ θεωρίας καὶ διὰ πορίσματος καὶ διὰ λήμματος, ὅτι ἡ ἄτομος οὐσία καὶ πρώτως καὶ μάλιστα ἐστὶν οὐσία. δεῖ δὲ ἡμᾶς εἰδέναι τί ἐστι θεωρία καὶ τί πόρισμα καὶ τί λῆμμα. θεωρία τοίνυν ἐστὶν ἡ τοῦ πράγματος ἀνάμνησις, ὡς ὅταν εἴπω ἄνθρωπος οὐσία καὶ θεωρήσω πῶς ἐστὶν οὐσία. πόρισμα δὲ τὸ τῆς θεωρίας συμπέρασμα, ὡς ὅταν εἴπω ἄνθρωπος ζῶον, τὸ ζῶον οὐσία, ἀνεφάνη οὖν ἡμῖν ὅτι ὁ ἄνθρωπος οὐσία ἐστί. πόρισμα οὖν ἐστὶ τὸ ἀναφαινόμενον ἐκ τοῦ πράγματος, ὡς ὅταν τις βουλόμενος ἡμῖν δεῖξαι ὅτι ἀθάνατος ἡ ψυχή, ἀναφαίνη (ἀναφανῇ F) ἡμῖν ὅτι ἐστὶν αὐτοκίνητος. λῆμμα δέ, ὅταν αὐτὸ τὸ συμπέρασμα τοῦ συλλογισμοῦ, ὅπερ ἐστὶ

p. 2a14 Ἐν οἷς εἴδεσιν αἱ πρώτως λεγόμεναι οὐσίαι. 99r

Διὰ τί μὴ εἶπε 'δεύτεραι οὐσίαι λέγονται τὰ γένη καὶ τὰ εἴδη καθόλου, ἀλλ' ἐν οἷς εἴδεσι; λέγομεν ὅτι πάνυ ἀσφαλῶς· εἰ γὰρ εἶπε τὰ γένη καὶ τὰ εἴδη, ἐπειδήπερ ἐν ταῖς ἄλλαις κατηγορίαις εἰσὶ γένη καὶ εἴδη (οἷον ἐν τῷ ποιῷ γένος μὲν τὸ χρῶμα εἶδος δὲ τὸ λευκὸν καὶ τὸ μέλαν), εἴχομεν ὑπολαβεῖν τὰς δευτέρας οὐσίας εἶναι καὶ ἐν τοῖς συμβεβηκόσι· διὰ τοῦτο οὐ τὰ τυχόντα εἴδη εἶπεν, ἀλλ' ἐν οἷς εἴδεσιν εὑρίσκονται αἱ πρῶται οὐσίαι.

p. 2a15 Ταῦτά τε καὶ τὰ τῶν εἰδῶν τούτων γένη.

Ἐνταῦθα συνάγει ὁ φιλόσοφος τὸ παρ' αὐτοῦ εἰρημένον καὶ διὰ τοῦ εἰπεῖν ταῦτά τε ἐσήμανε τὴν πρώτην οὐσίαν, διὰ δὲ τοῦ εἰπεῖν καὶ τὰ τῶν εἰδῶν γένη ἐσήμανε τὴν δευτέραν οὐσίαν.

p. 2a16 Οἷον ὁ τὶς ἄνθρωπος.

Παράδειγμα λαμβάνει τῆς πρώτης οὐσίας. ἐκ δὲ τοῦ παραδείγματος 99v φανερὸν ὅτι ἡ πρώτη οὐσία περιέχεται ἐν τῇ δευτέρᾳ· ὁ γὰρ τὶς ἄνθρωπος ἐν εἴδει μὲν ὑπάρχει τῷ ἀνθρώπῳ, γένος δὲ τοῦ εἴδους τούτου ἐστὶ τὸ ζῷον· ἐπειδὴ γὰρ τὸ μὲν ζῷον τὸν καθόλου ἄνθρωπον περιέχει, ὁ δὲ

πόρισμα, λάβω ἀρχὴν ἑτέρου συλλογισμοῦ, οἷον ὁ ἄνθρωπος οὐσία, ἡ οὐσία οὐκ ἐν ὑποκειμένῳ, ὁ ἄνθρωπος οὐκ ἐν ὑποκειμένῳ. εὑρήσεις οὖν καὶ θεωροῦντα αὐτὸν ἐν τῷ δεῖξαι πρώτην τὴν ἄτομον. καὶ διὰ πορίσματος δείκνυται ὅτι εἰκότως πρώτη οὐσία λέγεται, ὅτι καὶ αἱ δεύτεραι οὐσίαι καὶ τὰ συμβεβηκότα κατηγοροῦνται αὐτῆς. μέμνηται δὲ τῆς εἰδικῆς καὶ τοῦ καθόλου συμβεβηκότος ὡς τῶν ἀτόμων οὐσιῶν κατηγορουμένων, τῶν δὲ ἀτόμων ὑποκειμένων, καὶ οὔτε τοῦ γένους οὔτε τῶν μερικῶν συμβεβηκότων ὡς εὐσυνόπτων ἢ ὡς σύντομον καὶ ἡμῖν καταλιμπάνων τοῦτο εἰδέναι, ὅτι καὶ ταῦτα κατηγοροῦνται αὐτῶν. εἶτα φησὶν ὅτι τὰ εἴδη μᾶλλον οὐσία τοῦ γένους. καὶ ἀποροῦσι τινὲς τρεῖς ἀπορίας, ὧν ἡ πρώτη ἐστίν· ἡ οὐσία τὸ μᾶλλον καὶ ἧττον οὐκ ἐπιδέχεται, ὡς αὐτὸς δείξει, καὶ πῶς ἐπὶ τῶν εἰδῶν τὸ μᾶλλον λέγομεν; ὅτι περὶ τῶν κατὰ βάθος οὐσιῶν εἶπεν, ὅτι εὑρεῖν ἐστὶ μᾶλλον· τὰ γὰρ ἐπάνω τῶν ὑποκάτω ὡς καθολικώτερα ἔχουσι τὸ μᾶλλον. ἐν δὲ τῇ κατὰ πλάτος οὐκ ἔστιν εὑρεῖν τὸ μᾶλλον, οἷον ὡς ἐπὶ τοῦ ἀνθρώπου καὶ ἵππου· οὐδέτερα γὰρ μᾶλλον οὐσία. ἔτι φασὶν 'ἐπεὶ αἱ δεύτεραι οὐσίαι ὁμοίως δὲ καὶ τὰ συμβεβηκότα δέονται τῶν πρώτων οὐσιῶν, ὡς φησί, τί μὴ καὶ τὰ συμβεβηκότα ὦσιν οὐσίαι'; φαμὲν οὖν ὅτι αἱ δεύτεραι οὐσίαι πρὸς μόνην κατηγορίαν δέονται αὐτῶν, τὰ δὲ συμβεβηκότα καὶ διὰ κατηγορίαν καὶ διὰ ὕπαρξιν. ἔτι μᾶλλον οὐσία ἔφησεν τοῦ γένους τὸ εἶδος, διὰ τί μὴ δευτέραν οὐσίαν ἐκάλεσεν αὐτὸ καὶ τρίτην τὸ γένος; καὶ φαμὲν ὅτι τὸ εἶδος γένους ἐστὶν εἶδος καὶ ἀντιστρέφει. διὰ γοῦν τὴν σχέσιν οὐκ ἐδύνατο χωρίσαι αὐτὰ ἀπ' ἀλλήλων. F 1 οὐσίαι om. M: ante λεγ. colloc. Aristot. 2 τά τε εἴδη καὶ τὰ γένη M 3 καθόλου F: καὶ τὰ καθόλου M 3 εἰ M: οὐ F 5 μὲν γὰρ F 6 ἀπολαβεῖν M 9 τε] δὲ F τὰ om. F 10 τοῦ Vat. 2173: τὸ F: evan. M 11 τε om. F 16 τούτου om. F 17 ἐπειδὴ — λέγονται (p. 40,2) om. M

καθόλου ἄνθρωπος τὸν τινὰ ἄνθρωπον, ὁ δὲ τὶς ἄνθρωπος πρώτη οὐσία, ὁ ἄνθρωπος ἄρα ὁ καθόλου καὶ τὸ ζῷον δεύτεραι οὐσίαι λέγονται.

p. 2a17 Δεύτεραι οὖν αὗται λέγονται οὐσίαι.

Καλῶς δὲ τὸ λέγονται εἴρηκεν, ἐπειδήπερ κατὰ φύσιν αὗται πρῶται οὐσίαι εἰσίν.

p. 2a20 Ἀναγκαῖον καὶ τοὔνομα καὶ τὸν λόγον κατηγορεῖσθαι τοῦ ὑποκειμένου.

Πόρισμά συνάγει ὁ Ἀριστοτέλης ἐνταῦθα τοιοῦτο· φησὶ γὰρ ὅσα κατά τινος λέγεται ὡς καθ' ὑποκειμένου, μεταδίδωσι τῷ ὑποκειμένῳ καὶ τοῦ ὀνόματος καὶ τοῦ ὁρισμοῦ (ὁ γὰρ Σωκράτης ἄνθρωπος λέγεται καὶ ζῷον λογικὸν θνητόν), ὅσα δὲ ἐν ὑποκειμένῳ ἐστί, τοῦ μὲν ὁρισμοῦ οὐδέποτε μεταδίδωσι, τοῦ δὲ ὀνόματος ἐνίοτε· ἡ γὰρ λευκότης ἐν σώματί ἐστι καὶ τοῦ μὲν ὁρισμοῦ οὐ μεταδίδωσιν (οὐ γὰρ ἂν εἴποιμεν τὸ σῶμα χρῶμα διακριτικὸν ὄψεως) τοῦ δὲ ὀνόματος μεταδίδωσι· λέγομεν γὰρ λευκὸν σῶμα.' ἰστέον δὲ ὅτι οὐκ ἀεί· ἰδοὺ γὰρ ἡ ἀρετὴ οὔτε τοῦ ὀνόματος οὔτε τοῦ ὁρισμοῦ μεταδίδωσι τῷ ὑποκειμένῳ· οὐ γὰρ λέγεται ἀρεταῖος ὁ ἀρετῆς μετέχων ἀλλὰ σπουδαῖος.

p. 2a34 Τὰ δ' ἄλλα πάντα.

Καλῶς πάλιν τὸ λέγεται εἶπεν· οὐ γὰρ δέεται τὰ καθόλου τῶν πρώτων οὐσιῶν, τοῦτ' ἔστι τῶν μερικῶν, ἵνα συστῇ, ἀλλ' ἵνα κατ' ἐκείνων ῥηθῇ.

p. 2a35 Ἢ ἐν ὑποκειμέναις | αὐταῖς ἐστι. 100r

Καλὸν καὶ ἐνταῦθα τὸ ἐστί· τὰ γὰρ συμβεβηκότα ἐν ταῖς μερικαῖς οὐσίαις τὸ εἶναι ἔχουσιν. ἐγκώμιον οὖν βούλεται εἰπεῖν τῆς πρώτης οὐσίας· ἐπειδὴ γὰρ εἰς τρία τὰ πράγματα διαιρεῖται, εἰς καθόλου οὐσίας εἰς μερικὰς εἰς συμβεβηκότα, δέεται, φησίν, ἑκάτερα τῶν πρώτων οὐσιῶν

---

3 lemma om. F 4 post δὲ add. πάλιν M τὸ λέγ. εἴρ.] εἶπε τὸ λέγ. M αὗται πρῶται] πρώτως αὗται F 8 ἐνταῦθα om. M τοιοῦτο] τοῦτο M 9 λέγονται M 10 post ὁρισμοῦ add. οἷον ὁ καθόλου ἄνθρωπος λέγεται κατὰ σωκράτους καὶ τοῦ ὁρισμοῦ ἑαυτοῦ μεταδίδωσιν ὁ ἄνθρωπος τῷ σωκράτει F 13 οὐ (prius)] οὐδέποτε M εἴποιμεν scripsi: εἴπω F: εἴπωμεν M 14 λέγωμεν F 14. 15 λευκὸν σῶμα] αὐτὸ λευκόν M 15 post σῶμα add. οἷον σωκράτης λευκός F 15. 16 οὔτε ὁρισμοῦ οὔτε ὀνόματος F 16 λέγ. γὰρ colloc. F ἀρετὴν F 19 δεῖται F 21 ῥηθῇ] ἀρκεσθῇ M 22 εἰσί F 23 καλῶς M καὶ] οὖν εἶπεν M 25 ἐπεὶ M τὰ om. M πράγ. ταῦτα M

τὰ μὲν ἵνα ὑποστῇ (ἐν ταύταις γὰρ τὰ συμβεβηκότα τὸ εἶναι ἔχει), τὰ δ' ἵνα κατηγορηθῇ (κατὰ τίνος γὰρ τὰ καθόλου κατηγορεῖται ἢ κατὰ τῶν μερικῶν;), καὶ ἀναιρεθεισῶν τῶν πρώτων οὐσιῶν ἀναιρεῖται καὶ τὰ συμβεβηκότα μὴ ἔχοντα ἔν τινι ὑποστῆναι, ὡσαύτως δὲ καὶ τὰ καθόλου μὴ ἔχοντα κατά τινος ὑποκειμένου ῥηθῆναι. καθόλου δὲ λέγεται οὐ τὰ πρὸ τῶν πολλῶν, ἀλλὰ τὰ ἐν τοῖς πολλοῖς. τούτου χάριν πρόσκειται τοῦτο διὰ τὸ ἐν τῇ Εἰσαγωγῇ Πορφυρίου εἰρημένον, ὅτι ἐνδέχεται τῶν εἰδῶν πάντων καθ' ὑπόθεσιν ἀνῃρημένων τὸ γένος εἶναι· ἐκεῖ οὖν διελέγετο περὶ τῶν νοητῶν γενῶν καὶ εἰδῶν τῶν πρὸ τῶν πολλῶν, ἐνταῦθα δὲ περὶ τῶν αἰσθητῶν γενῶν καὶ εἰδῶν διαλέγεται, τοῦτ' ἔστι περὶ τῶν ἐν τοῖς πολλοῖς.

p. 2ᵇ5 Ἢ ἐν ὑποκειμέναις αὐταῖς ἐστι.

Τοῦτ' ἔστιν αἱ μὲν καθόλου οὐσίαι κατὰ τῶν μερικῶν λέγονται, τὰ δὲ συμβεβηκότα ἐν ταῖς μερικαῖς οὐσίαις τὸ εἶναι ἔχει· μὴ οὐσῶν οὖν τῶν πρώτων οὐσιῶν οὔτε αἱ καθόλου εἰσὶν οὔτε τὰ συμβεβηκότα. εἰκότως οὖν αἱ μερικαὶ οὐσίαι πρῶται εἶναι λέγονται. καὶ καλῶς ἔταξεν ἐν μὲν τοῖς καθόλου τὸ λέγεται, ἐν δὲ τοῖς συμβεβηκόσι τὸ ἔστι.

p. 2ᵇ7 Τῶν δὲ δευτέρων οὐσιῶν μᾶλλον.

Νῦν σύγκρισιν ποιεῖται τῶν δευτέρων οὐσιῶν πρὸς ἀλλήλας, τοῦ τε εἴδους καὶ τοῦ γένους, καὶ ἀπὸ δύο ἐπιχειρημάτων δείκνυσι μᾶλλον οὐσίαν τὸ εἶδος ἢ τὸ γένος· ἑνὸς μὲν ἀπὸ τῆς σχέσεως τῆς πρὸς τὴν πρώτην οὐσίαν, τοῦτ' ἔστι τῆς ἐγγύτητος (ἐγγύτερον γὰρ τὸ εἶδος τῆς πρώτης ἤγουν μερικῆς οὐσίας ἤπερ τὸ γένος), ἑτέρου δὲ ἀπὸ τῆς ἀναλογίας· ὡς γὰρ ἔχει ἡ πρώτη οὐσία πρὸς τὸ εἶδος, οὕτω καὶ τὸ εἶδος πρὸς τὸ γένος.

p. 2ᵇ8 Εἂν γὰρ ἀποδιδῷ τις τὴν πρώτην οὐσίαν τί ἐστι.

Κἂν γὰρ ἀποδιδῷ τις τί ἐστι Σωκράτης, οἰκείως μὲν καὶ ἄνθρωπος

---

1 τὰ μὲν—ἔχει] ἤγουν αἱ καθόλου καὶ τὰ συμβεβηκότα δέονται τῶν μερικῶν, τὰ μὲν συμβεβηκότα (δέονται—συμβ. in mrg. suppl. F³) ἵνα ὑποστῇ ἐν ταύταις F 1. 2 τὰ δὲ καθόλου ἵνα F 2 τὰ om. F 2. 3 ἢ κατὰ τῶν μερικῶν om. F 3 καὶ ἀναιρ.—ῥηθῆναι (5) om. M 5 δὲ om. M λέγει M 6 καὶ πρόσκ. F 7 ἐν τῇ Εἰσαγ. Πορφ.] cf. p. 15,18 sq. 8 ἀνῃρ. καθ. ὑπόθ. colloc. F 9 νοητῶν—πολλῶν] νοημάτων F 12 αὐταῖς ἐστι] αὐταῖς εἰσι F: ἐστὶν αὐταῖς M 14 τὸ om. F 16 οὐσίαι πρῶται λέγονται οὐσίαι εἶναι F καὶ καλῶς—λέγεται (17)] καλῶς δὲ πάλιν καὶ ἐνταῦθα ἐν μὲν τοῖς καθ. τῇ παρ' αὐτῷ πρώτῃ οὐσία τὸ λέγεσθαι ἔταξεν M 19 νῦν om. M 20 ἀπὸ δύο—γένος (21)] φησὶ μᾶλλον εἶναι οὐσίαν τὸ εἶδος τοῦ γένους καὶ δείκνυσι τοῦτο ἀπὸ δύο ἐπιχειρημάτων M μᾶλον F οὐσία F 22 ἐγγύτερον—γένος (23) post ἀναλογίας colloc. M 23 ἤγουν μερ. οὐσ.] οὐσίας τουτέστι τῶν ἀτόμων M 23. 24 ὡς γὰρ] καὶ πάλιν ὡς M 25 τί ἐστι om. F 26 κἂν—Σωκρ.] ἤγουν τὸν σωκράτην τί ἐστιν F

καὶ ζῷον ἀποκριθείη, οἰκειότερον δὲ μᾶλλον ἄνθρωπος ἢ ζῷον· ζῷον γὰρ εἰπόντες πολλὰ εἰσφέρομεν (καὶ γὰρ λογικὸν καὶ ἄλογον σημαίνει), καὶ οὐκ ἐσημάναμεν εἴτε λογικὸν εἴτε ἄλογον, ἄνθρωπος δὲ ἀποκριθέντες προσεχέστερον τὴν φύσιν τοῦ Σωκράτους ἀποδώσομεν.

p. 2ᵇ12 Τὸ μὲν γὰρ ἴδιον μᾶλλον τοῦ τινός.

Τοῦ γὰρ Σωκράτους ἴδιόν ἐστι μᾶλλον τὸ ἄνθρωπον εἶναι ἢ τὸ ζῷον εἶναι· τοῦτο γὰρ κοινότερόν ἐστι ⟨καὶ⟩ κατὰ πλειόνων εἰδῶν. τὴν αὐτὴν δὲ ἀναλογίαν λαβὲ καὶ ἐπὶ τῶν δένδρων καὶ τοῦ φυτοῦ.

p. 2ᵇ15 Ἔτι αἱ πρῶται οὐσίαι. |

Καὶ τοῦτο ἐκ τοῦ δευτέρου ἐπιχειρήματος τοῦ ἐκ τῆς ἀναλογίας ἐστί· 100ᵛ διὰ τοῦτο, φησίν, αἱ πρῶται οὐσίαι πρῶται λέγονται διὰ τὸ καὶ τοῖς συμβεβηκόσιν ὑποκεῖσθαι πρὸς ὕπαρξιν καὶ τοῖς καθόλου πρὸς κατηγορίαν· ὡς γὰρ ἔχουσιν αἱ πρῶται οὐσίαι πρὸς τὰ συμβεβηκότα καὶ τὰ καθόλου, οὕτως ἔχουσι τὰ εἴδη πρὸς τὰ γένη· ὑπόκειται γὰρ τὰ εἴδη τοῖς γένεσι πρὸς κατηγορίαν, οὐκέτι δὲ καὶ τὰ γένη τοῖς εἴδεσι· τὰ μὲν γὰρ γένη κατὰ τῶν εἰδῶν κατηγορεῖται (λέγομεν γὰρ 'πᾶς ἄνθρωπος ζῷον'. καὶ ὑπόκειται μὲν ὁ ἄνθρωπος, τοῦτ' ἔστι τὸ εἶδος, κατηγορεῖται δὲ τὸ ζῷον, ἤγουν τὸ γένος), τὰ δὲ εἴδη κατὰ τῶν γενῶν οὐκ ἀντιστρέφει· οὐκέτι γὰρ δυνάμεθα λέγειν 'πᾶν ζῷον ἄνθρωπος'. ὡς λέγομεν 'πᾶς ἄνθρωπος ζῷον'. ὥστε καὶ ἐκ τούτων τὸ εἶδος τοῦ γένους μᾶλλον οὐσία.

p. 2ᵇ22 Αὐτῶν δὲ τῶν εἰδῶν ὅσα μή ἐστι γένη.

Καλῶς δὲ προσέθηκε τὸ ὅσα μή ἐστι γένη, ἵνα μὴ λάβῃς τὸ ζῷον· καὶ γὰρ τὸ ζῷον εἶδός ἐστιν, ἀλλὰ καὶ γένος. δεῖ τοίνυν οὐ ταῦτα λαμ-

2 καὶ γὰρ — σημαίνει] τῶ λογικὰ καὶ ἄλογα σημαίνειν M καὶ οὐκ — ἄλογον (3) om. M 3 ἐσημάναμεν εἴτε λ. εἴτε Philop.: ἐσήμανεν οὔτε λ. οὔτε F ἄνθρ. δὲ ἀποκρ.] τὸ δὲ ἄνθρωπος M 5 μᾶλλον τοῦ om. F 6 τοῦ] τοῦτο F ἄνθρωπος F 6. 7 τὸ ζῶον εἶναι] ζῶον M 7 καὶ inserui κατὰ ἄλλων πλ. M τὴν αὐτὴν — φυτοῦ (8) om. M 10 καὶ τοῦτο — ἐστί] τὸ δεύτερον ἐπιχείρημα τὸ ἐκ τῆς ἀναλ. τοῦτό ἐστι M 11 διὰ — οὐσίαι] φησὶ γὰρ ὅτι αἱ πρ. οὐσ. διὰ τοῦτο M 12 ὑποκ.] κεῖσθαι F 12. 13 ὡς γὰρ] καὶ ὡς M 14 τὰ εἴδη τοῖς γέν.] αὐτοῖς M 15 post εἴδεσι add. καὶ τὰ ἄλλα πάντα κατὰ τούτων κατηγορεῖσθαι. Πάνυ ἀκριβῶς προσέθηκε τὸ κατηγορεῖσθαι ἢ ἐν ταύταις εἶναι. αἱ γὰρ πρῶται οὐσίαι ὑπόκεινται μὲν πᾶσιν, οὐχ ὁμοίως, ἀλλὰ τοῖς συμβεβηκόσι πρὸς ὕπαρξιν, τοῖς δὲ καθόλου πρὸς κατηγορίαν M 16 καὶ om. F 17 τοῦτ' ἔστι τὸ εἶδος om. M ἤγουν τὸ γένος] τουτέστιν ὑπόκειται μὲν τὸ εἶδος κατηγορεῖται δὲ τὸ γένος M 18 τὰ δὲ εἴδη — ἀντιστρ. om. M γὰρ] δὲ M 19 ὡς — ζῶον om. M 20 τὸ εἶδος τὸ εἶδος (sic) τοῦ γένους F: τοῦ εἴδους τὸ γένος M 21 post γένη add. οὐδὲν μᾶλλον τὸ ἕτερον τοῦ ἑτέρου οὐσία ἐστί M: om. F 22 καλῶς — γένη in mrg. suppl. F³: τὸ ὅσα μή ἐστι γένη φησὶν ἀσφαλῶς M 23 post ζῶον add. καὶ ἄνθρωπον καὶ ἵππον F

βάνειν, τοῦτ' ἔστι τὰ ὑπάλληλα, ἀλλ' ὅσα μόνον εἴδη ἐστί, τοῦτ' ἔστι τὰ εἰδικώτατα. οἷον ἄνθρωπον καὶ ἵππον.

p. 2b24 Οὐδὲν γὰρ οἰκειότερον.

Διεξελθὼν τὴν κατὰ βάθος τῆς οὐσίας ἐξέτασιν, τοῦτ' ἔστι τὴν ἀπὸ τῶν ἀτόμων ἐπὶ τὸ εἶδος καὶ ἀπὸ τοῦ εἴδους ἐπὶ τὸ γένος, νῦν βούλεται ὥσπερ κατὰ πλάτος τὴν παραβολὴν ποιήσασθαι, ὅπερ ἐστὶν εἴδους πρὸς εἶδος καὶ ἀτόμου πρὸς ἄτομον. φησὶ τοίνυν ὅτι οὐδὲν διοίσει εἶδος εἴδους πρὸς τὸ εἶναι δευτέραν οὔτε | ἄτομον ἀτόμου πρὸς τὸ εἶναι πρώτην 101r οὐσίαν.

p. 2b25 Ἢ κατὰ τοῦ τινὸς ἵππου τὸν ἵππον.

Ὃν γὰρ ἔχει λόγον ὁ ἄνθρωπος πρὸς τὸν τινὰ ἄνθρωπον, τοῦτον καὶ ὁ ἵππος πρὸς τὸν Ξάνθον· ὥσπερ γὰρ κατὰ τοῦ Σωκράτους οὐδὲν οἰκειότερον εἴποις τοῦ ἀνθρώπου, οὕτως οὐδὲ κατὰ τοῦ Ξάνθου τοῦ ἵππου.

p. 2b29 Εἰκότως δὲ μετὰ τὰς πρώτας οὐσίας.

Νῦν τὴν αἰτίαν λέγει δι' ἣν τὰ γένη καὶ τὰ εἴδη δευτέρας οὐσίας ἐκάλεσε, τὰ δὲ συμβεβηκότα οὐκέτι τρίτας οὐσίας εἶπε. διττὴν δὲ ἐπιχείρησιν κομίζει, τὴν μὲν πρώτην ἀπὸ τῆς ἀποδόσεως τοῦ ὁρισμοῦ· φησὶ γάρ· ἐὰν ἐρωτηθέντες 'τί ἐστι Σωκράτης' εἴπωμεν 'ἄνθρωπος' ἢ 'ζῷον', οἰκείως καὶ γνωρίμως ἀποδώσομεν, ἐὰν δὲ 'λευκὸς' ἢ 'τρέχει' ἤ τι τοιοῦτον, ἀλλοτρίως καὶ ἀγνώστως. εἰκότως οὖν τὰ μὲν εἴδη καὶ τὰ γένη δευτέρας οὐσίας λέγομεν, τὰ δὲ συμβεβηκότα ὅλως οὔ φαμεν οὐσίας.

p. 2b37 Ἔτι αἱ πρῶται οὐσίαι.

Τοῦτο δεύτερον ἐπιχείρημα τὸ ἐκ τῆς ἀναλογίας· φησὶ γὰρ ὅτι ὥσπερ αἱ πρῶται οὐσίαι διὰ τοῦτο πρῶται λέγονται διὰ τὸ τοῖς ἄλλοις ὑποκεῖ-

1 τοῦτ' ἔστι τὰ ὑπάλληλα om. M μόνως M 2 εἰδικ.] οἰκειότατα F καὶ om. F 3 lemma om. M 4 διεξελθὼν δὲ M τῆς om. M ἐξέτασιν] ὑπόστασιν F: an ἀπόστασιν? τὴν ἀπὸ superscr. F³ 5 τοῦ εἴδους] τούτου M νῦν βούλ.] καὶ νῦν βουλόμενος M 6 an ἥπερ? εἴδους Philop.: εἶδος FM 7 τοῦτο καὶ M ἀτόμου Philop.: ἄτομον FM τοίνυν om. M ὅτι om. F 8 οὔτε] an οὐδὲ? 10 lemma om. F τοῦ Vat. 2173: om. M 11 ὁ om. M 12 post ξάνθον add. ἵππον F 12. 13 κατὰ om. M 13 εἴπε F 13. 14 τὸν ἵππον M 15 δὲ] οὖν F 16 τὰ μὲν εἴδη καὶ τὰ γένη M 17 οὐσίας om. M εἶπε] ἐκάλεσε M 18 παραδόσεως M 18. 19 φησὶ γάρ] τὴν δὲ δευτέραν ἐξ ἀναλογίας. καί φησι τὴν πρώτην οὕτως M 20 λέγομεν τουτέστιν ἀποδώσομεν F 24 τὸ om. F ὥσπερ om. F

σθαι, οὕτω τὰ εἴδη καὶ τὰ γένη δεύτεραι οὐσίαι λέγονται διὰ τὸ καὶ αὐτὰ ἄλλοις ὑποκεῖσθαι. ὑπόκεινται δὲ τὰ εἴδη καὶ τὰ γένη τοῖς συμβεβηκόσιν· εἰκότως οὖν ταῦτα δεύτεραι οὐσίαι λέγονται. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

5 p. 3a7 Κοινὸν δὲ κατὰ πάσης οὐσίας τὸ μὴ ἐν.

Διελὼν τὴν οὐσίαν εἴς τε τὴν πρώτην καὶ τὴν δευτέραν καὶ παραβαλὼν αὐτὰς πρὸς ἀλλήλας, νῦν εὐτάκτως ποιῶν τὸν ὁρισμὸν τῆς οὐσίας 101v
ἀποδοῦναι βούλεται. ἐπειδὴ δὲ ἡ οὐσία γένος ἐστὶ γενικώτατον, τῶν δὲ γενικωτάτων ὁρισμὸν οὐ δυνάμεθα ἀποδοῦναι διὰ τὸ τοὺς ὁρισμούς,
10 ὡς ἴσμεν, ἐκ γένους καὶ συστατικῶν διαφορῶν λαμβάνεσθαι, τῆς οὐσίας τὸ ἴδιον ἐπιζητεῖ· ἔοικε γάρ πως τοῦτο τῷ ὁρισμῷ· ὥσπερ γὰρ ὁ ὁρισμὸς μόνῳ καὶ παντὶ ὑπάρχει, οὗ ἐστιν ὁρισμός, καὶ πρὸς τὸ ὁριστὸν ἀντιστρέφει, οὕτω τὸ ἴδιον μόνῳ καὶ παντὶ ὑπάρχει, οὗ ἐστιν ἴδιον, καὶ ἀντιστρέφουσι πρὸς ἄλληλα. διὰ ταύτην οὖν τὴν αἰτίαν ἴδιον τῆς οὐσίας
15 ἀποδοῦναι βούλεται. οὐ παραδίδωσι δὲ εὐθὺς τὰ ἀρέσκοντα αὐτῷ, ἀλλὰ πρῶτον τοῦτο λέγει τῆς οὐσίας ἴδιον τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι, ὃ πάσῃ μὲν ἁρμόζει, οὐ μόνῃ δέ, ἀλλὰ καὶ ταῖς διαφοραῖς· δεῖ δὲ τὸ ἴδιον μόνῳ καὶ παντὶ ὑπάρχειν. διὰ δὲ τοῦ εἰπεῖν κοινὸν δὲ δοκεῖ ἐναντία ἑαυτῷ λέγειν· εἰ γὰρ ἴδιον βούλεται τῆς οὐσίας ἀποδοῦναι, πῶς φησι
20 κοινόν; λέγομεν ὅτι δεῖ πάντως δύο τινὰ ὑπάρχειν τῷ ἰδίῳ, λέγω δὴ τὸ μόνῳ καὶ παντί· διὰ οὖν τοῦ εἰπεῖν κοινὸν ἐσήμανε τὸ πάσῃ. τὸ δὲ ἀποδοθὲν ἴδιον φανερὸν μέν ἐστι καὶ ἐπὶ τῶν πρώτων οὐσιῶν, δῆλον δὲ ὅτι καὶ ταῖς δευτέραις ὑπάρχει ἐκ τούτου· τὸ γὰρ ζῷον καὶ ὁ ἄνθρωπος ἐν τῷ μερικῷ ἀνθρώπῳ πώς εἰσιν οὐχ ὡς ἐν ὑποκειμένῳ ἀλλ' ὡς καθ'
25 ὑποκειμένου.

p. 3a15 Ἔτι δὲ τῶν ἐν ὑποκειμένῳ ὄντων τὸ μέν.

Καὶ διὰ τούτου βούλεται δεῖξαι ὅτι αἱ δεύτεραι οὐσίαι οὐκ εἰσὶν ἐν ὑποκειμένῳ τῷ μερικῷ ἀνθρώπῳ· φησὶ γὰρ ὅτι τὰ ἐν ὑποκειμένῳ ὄντα τοῦ μὲν ὀνόματος ἔσθ' ὅτε μεταδίδωσι τῷ ὑποκειμένῳ, τοῦ δὲ ὁρισμοῦ
30 οὐδέποτε· λέγομεν γὰρ λευκὸν σῶμα, καὶ ἡ λευκότης ἐν ὑποκειμένῳ

---

1 οὕτω—ὑποκεῖσθαι (2) om. F 2 ὑπόκειται—γένη] εἰκότως οὖν ὑπόκειται τὰ γένη καὶ τὰ εἴδη F 3 εἰκότως—λέγονται om. F οὖν inserui ex F (cf. not. 2): om. M 4 post ἄλλων add. ἤγουν τῶν συμβεβηκότων F 6 τὴν (ante δευτ.) om. M 7. 8 τῆς οὐσ. τὸν ὁρ. βούλ. ἀποδ. colloc. F 12 ὁρισμός—οὗ ἐστιν (13) om. M 16 ὃ om. M 17 μὲν γὰρ M 18 τοῦ] τὸ F δοκεῖ Vat. 7123: δόξει F: evan. M 19 ἑαυτῷ] αὐτῷ F 20 ὑπάρχει F τοῖς ἰδίοις M1 δὴ] δὲ F 21 οὖν τοῦ] οὖν τὸ F: τοῦ οὖν M 23 ὁ om. M 24 ὡς (prius) om. M 24. 25 ἀλλ' ὡς καθ' ὑποκειμένου om. F 26 ἔτι δὲ τῶν Vat. 2173: τῶν δέ γε F: ἔτι δὲ τῶν μὲν M 27 τούτου Vat. 2173: τοῦτο FM αἱ δεύτεραι—ἔσθ' ὅτε (29) om. F 28 ἀνθρώπῳ eicias 29 post ὑποκ. add. τοῦ ὀνόματος F 30 ἡ om. M

οὖσα τῷ σώματι τοῦ ὀνόματος μεταδέδωκε τῷ ὑποκειμένῳ, τοῦ δὲ ὁρισμοῦ οὔ· οὐ γὰρ λέγομεν τὸ σῶμα χρῶμα διακριτικὸν ὄψεως. αἱ δὲ δεύτεραι οὐσίαι καὶ τοῦ ὀνόματος καὶ τοῦ ὁρισμοῦ μεταδιδόασιν· ὁ γὰρ Σωκράτης λέγεται καὶ ἄνθρωπος καὶ ζῷον λογικὸν θνητόν. |

5 p. 3a21 Οὐκ ἴδιον δὲ τῆς οὐσίας τοῦτο, ἀλλὰ καὶ ἡ διαφορὰ 102r
τῶν μὴ ἐν ὑποκειμένῳ ἐστί.

Τὸ ἀποδεδομένον τῆς οὐσίας ἴδιον ἐκβάλλει ὡς μὴ μόνον ταύτῃ ὑπάρχον ἀλλὰ καὶ ταῖς διαφοραῖς. καὶ ἐκ τούτου δῆλός ἐστι χωρίζων τὰς διαφορὰς τῶν οὐσιῶν· ὥστε συμβαίνει αὐτὰς συμβεβηβότα εἶναι, ὅπερ
10 ἄτοπον· καὶ αὐτῷ γὰρ τῷ Ἀριστοτέλει δοκεῖ οὐσίας αὐτὰς εἶναι, ὥστε ἐκ τούτων καὶ τὰ εἴδη συμπληροῦσθαι καὶ οὐσιωδῶς αὐτῶν κατηγορεῖσθαι· εἰ γὰρ μὴ ἦσαν οὐσίαι, συνέβαινεν ἐκ συμβεβηκότων οὐσίαν γενέσθαι, ὅπερ ἄτοπον. εἴπερ οὖν αἱ διαφοραὶ οὐσίαι εἰσί (τὰ γὰρ τῆς οὐσίας μέρη οὐσίαι εἰσὶ καὶ ὁ ὁρισμὸς ἐκ τῶν τῆς οὐσίας μερῶν συνίσταται), πῶς
15 φησιν ὁ Ἀριστοτέλης οὐκ ἴδιον δὲ οὐσίας τοῦτο ἀλλὰ καὶ τῶν διαφορῶν ὡς τῶν διαφορῶν δηλονότι ἑτέρων οὐσῶν παρὰ τὴν οὐσίαν; φαμὲν οὖν ὅτι τῶν οὐσιῶν αἱ μέν εἰσι νοηταὶ αἱ δὲ αἰσθηταί, καὶ τῶν αἰσθητῶν αἱ μὲν ἀίδιοι ὡς τὰ οὐράνια αἱ δὲ ἐν γενέσει καὶ φθορᾷ, καὶ τούτων αἱ μέν εἰσιν ἁπλαῖ ὡς τὸ λογικὸν τὸ θνητόν, ἅσπερ διαφορὰς
20 οὔσας οὐσιώδεις ἡ φύσις συνεκέρασε πρὸς γένεσιν ἀνθρώπου, αἱ δὲ σύνθετοι ὡς τὰ γένη καὶ τὰ εἴδη καὶ τὰ ἄτομα. διδάσκει οὖν ἐνταῦθα ὁ Ἀριστοτέλης περὶ μόνης τῆς συνθέτου οὐσίας τῆς ἐν γενέσει καὶ φθορᾷ,

---

2 οὔ] οὐδέποτε μεταδίδωσιν M οὐ] οὔτε M 3 μεταδιδοῦσιν F 4 θνητόν om. F post θνητόν add. ἀποροῦσι δέ τινες, εἰ τὰ ἐν ὑποκειμένῳ κατηγορεῖται τῶν ἀτόμων οὐσιῶν, ὁμοίως δὲ καὶ αἱ δεύτεραι οὐσίαι. καὶ φαμὲν ὅτι τὰ ἐν ὑποκειμένῳ ὁμωνύμως κατηγοροῦνται τῶν ἀτόμων οὐσιῶν, ἐκεῖναι δὲ συνωνύμως, οὐκ ἄρα εἰσὶν ἐν ὑποκειμένῳ. ἄλλως τε δὲ πολλάκις τὰ ἐν ὑποκειμένῳ οὐδὲ ὁμωνύμως κατηγοροῦνται αὐτῶν ἀλλὰ παρωνύμως. ἔτι τὰ ἐν ὑποκειμένῳ ἀεί ποτε ἄλλο ἐν ἄλλῳ ἐστίν, ὡς τὸ λευκὸν ἐν σώματι, ταῦτα δὲ οὐκέτι. ἔτι τὰ ἐν ὑποκειμένῳ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον καὶ κατὰ πλάτος, αὗται δὲ οὐδαμῶς· ἔτι οὐδέποτε τὰ ἐν ὑποκειμένῳ ἐν τοῖς ἰδίοις ἀτόμοις τὴν ὕπαρξιν ἔχουσιν (οὐδὲ γὰρ ἡ ἐπιστήμη ἐν τῇ γραμματικῇ καὶ ἐν τοῖς λοιποῖς), ταῦτα δὲ ἐν τοῖς ἀτόμοις εἰσὶν ἤγουν τὰ εἴδη καὶ τὰ γένη. ἔτι τὰ ἐν ὑποκειμένῳ ἢ ἐνεργεία ἢ ἐν ἐπινοίᾳ χωρίζεται τοῦ ὑποκειμένου, ταῦτα δὲ οὔτε ἐνεργείᾳ οὔτε ἐπινοίᾳ. ἰστέον δὲ ὅτι τῶν πραγμάτων τὰ μὲν καθ' αὑτὰ εἰσίν, ὡς ἐπὶ τῆς θεωρίας ἤδη εἴρηται, τὰ δὲ ἐν σχέσει, καὶ ταῦτα ἢ πρὸς τὰ παρελθόντα λαμβάνεται καὶ καλεῖται πόρισμα ἢ πρὸς τὰ μέλλοντα καὶ καλεῖται λῆμμα. F 5 τοῦτο τῆς οὐσ. Aristot. τῆς om. F 8 χωρίζον F 9 συμβαίνειν F αὐτὰ F 10 δοκεῖ τῶ ἀρ. colloc. M τῷ om. F 11 ἐκ τούτων καὶ Laur. 72,5: ἐκ τούτων F: καὶ ἐκ τούτων M 12 ἦσαν οὐσίαι] οὕτως ἦσαν F γίνεσθαι M 13 εἴπερ] ἐπεὶ M οὐσίαι εἰσὶ Par. 1928 Vind. 10: οὐσία ἐστὶ FM 15. 16 τῶν διαφορῶν] αἱ διαφοραὶ M 16 παρὰ] περὶ M 17 ὅτι om. F 19 τούτων] τῶν ἐν γενέσει καὶ φθορᾷ M 20 οὔσας om. F οὐσιώδεις om. M ἀνθρώπων M 21 post ἄτομα add. γένη δὲ καὶ εἴδη ἐροῦμεν τὰ ἐπὶ τοῖς πολλοῖς, ἅτινα φαμὲν φθαρτὰ εἶναι διὰ τὴν ἐν τοῖς ἀτόμοις φθοράν M 22 post φθορᾷ add. ὡς καὶ πρόσθεν ἐλέγομεν M

λέγω δὴ περί τε ἀτόμων καὶ εἰδῶν καὶ γενῶν. ἀμέλει τοι καὶ παραβάλλων τὰς οὐσίας πρὸς ἀλλήλας παρέβαλλε τὰ εἴδη μόνα καὶ τὰ γένη, ἔτι δὲ καὶ τὰ ἄτομα, ἐπειδὴ καὶ περὶ τούτων πρόκειται αὐτῷ διδάξαι, τῶν δὲ διαφορῶν μνήμην οὐδαμοῦ ἐποιήσατο. ἐπειδὴ ἁπλαῖ εἰσιν. τῶν δὲ συν-
5 θέτων, ὡς εἴρηται, τὸν λόγον ποιεῖται. διὰ ταύτην οὖν τὴν αἰτίαν εἶπεν ὁ Ἀριστοτέλης ὅτι οὐκ ἴδιον τῆς οὐσίας ὑπάρχει τοῦτο, οὐχ ἁπλῶς δὲ πάσης εἶπεν, ἀλλὰ τῆς συνθέτου. εἰκότως δὲ τοῦτο· ὑπάρχει γὰρ οὐ μόνον τῇ συνθέτῳ, ἀλλὰ καὶ τῇ ἁπλῇ, τοῦτ' ἔστι ταῖς διαφοραῖς, τῷ λογικῷ καὶ τῷ ἀλόγῳ. καὶ διὰ τοῦτο ἔδοξεν ἀφορίζειν τὰς διαφορὰς τῶν
10 οὐσιῶν.

Ἄλλοι δέ φασιν ὅτι αἱ διαφοραὶ ἁπλῶς οὐκ εἰσὶν οὐσίαι, ἀλλὰ τούτων αἱ μέν εἰσι πρὸς τῇ οὐσίᾳ ὡς τὸ λογικὸν καὶ τὸ θνητόν, αἱ δὲ πρὸς τοῖς συμβεβηκόσι καὶ τούτοις μᾶλλον γειτνιάζουσαι ὡς τὸ ἐν κόρακι μέλαν ἢ ἐν τῷ κύκνῳ λευκόν, αἱ δὲ ἀκριβῶς ἐν μέσῳ τῶν οὐσιῶν καὶ
15 τῶν συμβεβηκότων ὡς ἐν τῷ πυρὶ ἡ θερμότης· αὕτη γὰρ μετέχει μὲν συμβεβηκότος καθὸ ποιότης, μετέχει δὲ καὶ οὐσίας καθὸ συμπληρωτικὴ τοῦ ὑποκειμένου. οὗτοι δὲ εὐφυῶς μὲν ἐπέβαλλον, οὐ μὴν πάντῃ ἀληθῶς· ὑπὸ ποίαν γὰρ κατηγορίαν | ταῦτα ἀνάξομεν; ἢ δεηθῶμεν ἑνδεκάτης; 102v
ὅπερ ἄτοπον.

20 p. 3a29 Μὴ ταραττέτω δὲ ἡμᾶς τὰ μέρη τῶν οὐσιῶν.

Ὅπερ ἔμελλε τῷ Ἀριστοτέλει τις ἀπορήσειν, τοῦτο φθάσας αὐτὸς ἐπελύσατο· ἠπόρησε γὰρ ἄν τις λέγων ‘ἐπειδὴ τὰ μέρη τῶν οὐσιῶν ἔν τινι (ἐν γὰρ τῷ ἀνθρώπῳ θεωροῦνται χεῖρες καὶ σκέλη), καὶ τὰ συμβεβηκότα δὲ ἔν τινι ὁμοίως, ⟨ὡς⟩ εἰ τύχοι ἐν τῷ ἀνθρώπῳ θεωρεῖται λευκό-
25 της θερμότης· τὰ μέρη ἄρα τῶν οὐσιῶν συμβεβηκότα, ὅπερ ἄτοπον’. ἐπιλύων οὖν τοῦτο λέγει ὅτι ἀπεδόθη, πῶς εἰρήκαμεν τὸ συμβεβηκὸς ἔν τινι· ⟨τὸ γὰρ συμβεβηκὸς ἔν τινι⟩ οὐχ ὡς μέρος τοῦ ὑποκειμένου, αἱ δὲ διαφοραὶ χρείαν τῷ ὅλῳ παρέχουσι καὶ αὗται τὸ ὑποκείμενον συνιστᾶσιν· ὥστε εἰ καὶ κοινωνοῦσι κατὰ τὸ ἔν τινι, ἀλλ' οὖν ἔστι τις ἐν αὐτοῖς δια-

---

1 καὶ (ante εἰδῶν) om. F τοι καὶ] τοίνυν M 1. 2 παραβαλὼν F 2 παρέβαλε F 3 καὶ περὶ τούτων Laur. 72,5: δὲ περὶ τούτων (δὲ superscr.) F: περὶ τούτων καὶ μόνων M 4 ἁπλᾶ ἐστι F 4. 5 scribas περὶ δὲ τῶν συνθ., nisi malis τῶν δὲ συνθ.—οὐσιῶν (10) eicere. 5 -την οὖν iter. M 6 ὁ ἀρ. ὅτι om. F 7 εἰκότως—ἀλόγῳ (9)] εἰ δὲ τοῦτο ὑπάρχει οὐ μόνον τῇ συνθέτῳ ἀλλὰ καὶ ταῖς ἁπλαῖς, τουτέστι ταῖς διαφοραῖς τῷ λογικῷ καὶ τῷ ἀλόγῳ, εἰκότως μὴ ἴδιον ὑπάρχειν εἶπε τοῦτο τῆς οὐσίας M 13 γειτνιάζουσιν F 14 τὸ λευκὸν M τῶν τε οὐσιῶν M 16 συμπληρωτικὸν F 17 ἐπέβαλον M μὴν δὲ F 20 ὑμᾶς F 21 ἀπορεῖν F τοῦτο om. F 22 ἐπιλύεται M 23 σκέλη F 24 ὡς ex Laur. 72,5 inserui θεωροῦνται F 26 εἰρήκαμεν om. M 27 τὸ γὰρ συμβεβηκὸς ἔν τινι ex Laur. 72,5 inserui post ὑποκειμ. add. μᾶλλον γὰρ θλίβει τὸν (sic) ὑποκείμενον F 28 συνιστῶσιν F 29 καὶ om. F ἐν (alt.) om. M

φορά, καθὸ αἱ μὲν συμπληροῦσι καὶ μέρη ὑπάρχουσι, τὸ δὲ οὐδαμῶς. ἰστέον δὲ ὅτι οὐ περὶ αἰσθητῶν μερῶν τῆς οὐσίας ὁ λόγος αὐτῷ ἐστιν οἷον χειρῶν καὶ ποδῶν ἢ τοιούτων, ἀλλὰ περὶ νοητῶν τῶν καὶ ὄντως μερῶν οἷον λογικοῦ καὶ θνητοῦ· τῶν γὰρ μερῶν τὰ μέν ἐστιν αἰσθητὰ τὰ δὲ νοητά· περὶ οὖν τῶν νοητῶν μερῶν αὐτῷ ὁ λόγος· οὕτω γὰρ καὶ καιρὸν ἔχει τοῦ θεωρήματος τούτου ἡ τάξις· ἐπειδὴ γὰρ εἶπεν 'οὐκ ἴδιον οὐσίας ἐστὶ τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι, ἐπειδὴ καὶ αἱ διαφοραὶ μὴ ἐν ὑποκειμένῳ εἰσίν', ἵνα μὴ νομίσῃ τις τοῦτο αὐτὸν εἰρηκέναι ὡς τῶν διαφορῶν μὴ οὐσῶν οὐσιῶν, αἵτινές εἰσι κυρίως οὐσίαι, διὰ τοῦτο εἶπε μὴ ταραττέτω δὲ ἡμᾶς τὰ μέρη τῶν οὐσιῶν ὡς ἐν ὑποκειμένοις ὄντα τοῖς ὅλοις. ἐπεὶ ἀκαίρως δόξει τοῦτο τὸ θεώρημα ἐμβεβλῆσθαι, εἰ μὴ ἀποδεξόμεθα αὐτὸν λέγειν περὶ τῶν νοητῶν μερῶν τοῦ τε λογικοῦ καὶ τοῦ θνητοῦ, ἅπερ ἰδίως μέρη εἰσὶ τοῦ ἀνθρώπου· ἐκ γὰρ αὐτῶν ὁ ἄνθρωπος.

p. 3a31 Οὐ γὰρ οὕτω τὰ ἐν ὑποκειμένῳ ἐλέγετο.

Τοῦτό ἐστι τὸ λεγόμενον· τὰ συμβεβηκότα εἰ καὶ ἕν τινί ἐστιν, οὐχ ὡς τὰ μέρη τῶν οὐσιῶν. ἀλλ' εἴρηται πῶς ἕν τινί ἐστιν ἐκεῖνα, ὅτι οὐχ ὡς μέρος ἐν ὅλῳ.

p. 3a33 Ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ ταῖς διαφοραῖς. |

Ἐπὶ δεύτερον παρακολούθημα μεταβέβηκε τῆς οὐσίας, εὐθὺς δὲ 103r κατέγνω καὶ τούτου. δῆλον δέ ἐστιν ἐκ τοῦ συνάψαι τὰς διαφοράς· δηλοῖ γὰρ καὶ ταύταις πάλιν ἐφαρμόζειν καὶ τοῦτο τὸ ἴδιον. ἄλλως τε δὲ οὐ κατὰ τοῦτο μόνον οὐκ ἐφαρμόζει τὸ ἴδιον τοῦτο ταῖς οὐσίαις, ἀλλὰ καὶ διὰ τὸ πάσῃ τῇ οὐσίᾳ μὴ ὑπάρχειν αὐτό· ἡ γὰρ πρώτη οὐσία κατ' οὐδενὸς κατηγορεῖται.

p. 3a35 Ἤτοι κατὰ τῶν ἀτόμων κατηγοροῦνται.

Πρῶτον διδάσκει τίνα ἐστὶ τὰ δεχόμενα τὴν κατηγορίαν, εἶτα οὕτως

---

1 post μὲν add. οὐσιώδεις F τὸ δὲ οὐδαμῶς] αἱ δὲ οὐχ οὕτως εἰσίν F 2 τῆς οὐσίας om. F αὐτῷ ante μερῶν colloc. F 3 ἢ τοιούτων om. M 4 λογικὸν καὶ θνητόν M εἰσιν M 5 post λόγος add. οὐ γὰρ περὶ τῶν αἰσθητῶν μερῶν τοῦ ἀνθρώπου νῦν διαλαμβάνει M γὰρ om. M καὶ supra scr. F 6 εἶπεν] ἔφησεν M 7 ἐστὶ] εἶναι M ἐπειδὴ — εἰσίν (8)] διὰ τὸ καὶ ταῖς διαφοραῖς ὑπάρχειν τὸ μὴ εἶναι ἐν ὑποκειμένῳ M 8 μὴ μόνον F τοῦτο — οὐσιῶν (9)] τὰς διαφορὰς ἐκβάλλειν τῆς οὐσίας M 9 δὲ om. F 10 ὑμᾶς F ὡς om. M ὑποκειμένῳ F 11 ἐκβεβλῆσθαι F 12 τοῦ (ante θνητοῦ) om. F 13 ἰδίως] κυρίως M 15 τινι εἰσίν F 16 οὐσιῶν εἰσίν F εἰσιν M 19 μεταβαίνει M post οὐσίας add. καταγνοὺς τοῦ προτέρου. νῦν δὲ τὸ κυρίως ἴδιον οὐ ζητεῖ τῆς οὐσίας M 20 δηλοῖ] δῆλον F 21 ταύταις] ταυτὸν M 22 τοῦτο om. F 23 τὸ om. F ὑπάρχει F 23. 24 κατηγ. κατ' (ὑπ' M¹) οὐδενὸς colloc. M 26 εἰσὶ F

τὴν συνώνυμον ἐπ' αὐτῶν ἐφαρμόζει κατηγορίαν· τὰ μὲν γὰρ ἄτομα κατ' οὐδενὸς ὑποκειμένου λέγεται, τὰ δὲ εἴδη τῶν ἀτόμων, καὶ πάλιν τὰ γένη κατ' ἀμφοτέρων. ταῦτα δὲ καὶ συνωνύμως καθ' ὧν κατηγορεῖται λέγεται· ὅσα γὰρ κατὰ τοῦ κατηγορουμένου λέγεται, τοσαῦτα καὶ κατὰ τοῦ ὑποκει-
5 μένου ῥηθήσεται· λέγεται γὰρ ὁ Σωκράτης οὐσία ἔμψυχος αἰσθητικὴ καὶ ζῷον λογικὸν θνητόν. λέγεται καὶ ὁ ἄνθρωπος οὐσία ἔμψυχος αἰσθητική. καὶ τοῦτο εἰκότως· ἐπειδὴ γὰρ τὸ γένος τοῦ εἴδους κατηγορεῖται καὶ τοῦ ἀτόμου, τὸ δὲ εἶδος τοῦ ἀτόμου, ὅσα δέ κατὰ τοῦ κατηγορουμένου λέγεται, τοσαῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται, εἰκότως τὸ μὲν γένος
10 κατὰ τῶν ἀτόμων καὶ κατὰ τῶν εἰδῶν συνωνύμως κατηγορεῖται, τὸ δὲ εἶδος τῶν ἀτόμων. |

p. 3ᵇ10 Πᾶσα δὲ οὐσία δοκεῖ τόδε τι σημαίνειν. 103ᵛ

Ἀπωσάμενος τὰ πρότερα δύο παρακολουθήματα τῆς οὐσίας τό τε μὴ ἐν ὑποκειμένῳ εἶναι καὶ τὸ συνωνύμως πάντα ἀπ' αὐτῶν λέγεσθαι. ἐπὶ
15 τρίτον μεταβέβηκε τὸ τόδε τι σημαίνειν. καὶ ἔστι μὲν οὖν τὸ τόδε τῆς δείξεως σημαντικόν, τὸ δὲ τὶ τῆς κατὰ τὸ ὑποκείμενον οὐσίας, ὅτι ὑπομένει καὶ οὐ δέεταί τινος οὐδὲ ἔστιν ἐν ὑποκειμένῳ, ἀλλ' αὐτὴ ὑποκείμενον πᾶσίν ἐστι καὶ τῆς ἑνότητος αἰτία, τοῦτ' ἔστι τοῦ ἓν σημαίνειν,

---

1 αὐτοῖς F 2 τὸ γένος F 3 δὲ καὶ] γὰρ F 4 τοσαῦτα — ῥηθήσεται om. F 5 καὶ ζῶον — αἰσθητική (6) om. M 8 ὅσα — ῥηθήσεται (9) om. F 9 γένος om. F 10 κατὰ (ante τῶν εἰδῶν) om. M 12 ante lemma add. Aristotelis verbis πᾶσα δὲ οὐσία (p. 3ᵇ10) — τὸν ἄνθρωπον (p. 3ᵇ23) intermissis hoc scholion Μετὰ τὸ ἀποδοκιμάσαι τὰ πρῶτα δύο ἴδια τῆς οὐσίας, ἐπὶ τὸ τρίτον μεταβέβηκε, καὶ ζητοῦμεν τὴν τάξιν αὐτῶν, ἔπειτα διὰ τί τῶ τόδε τι ἐχρήσατο, καὶ (καὶ iter. F) τρίτον διὰ τί τῶ σημαίνειν ἐχρήσατο, καὶ οὐχὶ τὸ (sic) σημαίνεται. τὸ γὰρ σημαίνειν φωνῶν ἐστί, τὸ δὲ σημαίνεσθαι πραγμάτων. ἐπειδὴ τοίνυν τῶ οὐκ ἐν ὑποκειμένω πολλαχῶς ἐχρήσατο, καὶ τὸν τρόπον δὲ τῆς κατηγορίας πῶς γίνεται ἤδη ἐνδείξας, ἀναγκαῖον προέταξεν ἴδιον τῆς οὐσίας τὸ οὐκ ἐν ὑποκειμένω εἶναι. δεύτερον δὲ τὸ συνωνύμως ἀπ' αὐτῶν λέγεσθαι, διότι καὶ ἄλλα παρὰ τὰς δευτέρας οὐσίας συνωνύμως κατηγοροῦνται τῆς ἀτόμου οὐσίας ὡς αἱ διαφοραί. τρίτην δὲ τάξιν ἀπένειμε τῶ τόδε τι, ἐπειδὴ τὰ λοιπὰ ἴδια ἐπὶ πραγμάτων λαμβάνονται ὡς τὸ μᾶλλον καὶ ἧττον καὶ τὸ μὴ ἔχειν ἐναντίον· τούτω δὲ ἐπὶ μόνων φωνῶν ἐχρήσατο τῶ τόδε τι. ἐπειδὴ δὲ ὁ ἀριστοτέλης τὸ τόδε τι ὡρισμένως δεικτικὸν ἐπὶ ὡρισμένων πραγμάτων καὶ ὑπαρχόντων ἐλάμβανε, τὸ δὲ τοιόνδε ἐπὶ τοῦ ἀορίστου καὶ τοῦ καθόλου (εἰκότως γὰρ ἐπέχει λόγον τὸ καθόλου πάντων ἁπλῶς), ὁ δὲ πλάτων τῶ τόδε τι ἐπὶ τοῦ καθόλου ἐλάμβανεν ἀναγκαίως ὡς ὡρισμένον ὡς ἐπὶ τῶν ἰδεῶν (ἔλεγε γὰρ ταύτας ἐν ὑπάρξει καὶ οὐσίας εἶναι) τὸ δὲ τοιόνδε ἐπὶ τοῦ καθέκαστα (ταῦτα γὰρ ἔλεγεν ἀόριστα διὰ τὸ μὴ εἶναι ἐν στάσει ἀλλ' ἐν ῥοῆ καὶ ἀπορροῆ τὸ εἶναι ἔχειν), ἀμφότερα οὖν κατ' ἄλλο καὶ ἄλλο λαμβάνοντες καλῶς ἔλεγον. τὸ δὲ σημαίνειν εἴρηκεν, ἐπειδὴ ἔστιν ὅτε ὁ ἀριστοτέλης τὸ πάθος τοῦ πράγματος ἐπὶ τὴν φωνὴν ἀνάγει καὶ τὸ (τῶ F) τῆς φωνῆς πάθος ἐπὶ τὸ πρᾶγμα, ὡς ἐπὶ τοῦ σωκράτης περιπατεῖ τὴν ἐνέργειαν ἐπὶ τὴν τοῦ σωκράτους φωνὴν ἀνάγει, πάλιν ὁ ἄνθρωπος νοεῖ, ὅπερ τῆς ψυχῆς ἴδιον τὸ νοεῖν, πάλιν ὁ ἄνθρωπος τεκταίνεται, ὅπερ μόνον σώματος. F 13 ἀπωσάμενος — σημαίνειν. (15) om. F 15 καὶ om. F καὶ ἔστι — ἄνθρωπος (49,1) eicias 16 δείξεως] ἕξεως M τὸ ἀποκείμενον F: τοῦ ὑποκειμένου M 16. 17 ὑπομαίνει F 17 τινος om. M αὕτη F

ὡς τόδε τὸ ξύλον ὅδε ὁ ἄνθρωπος· τὸ γὰρ τόδε τι λέγεται ἐπὶ τῆς κατὰ τὸ ὑποκείμενον οὐσίας, τοῦτ' ἔστι τῆς ἀτόμου τῆς φαινομένης· αὕτη γάρ ἐστιν ἡ καὶ τὴν δεῖξιν καταδεχομένη. καταγινώσκει δὲ καὶ τούτου τοῦ ἰδίου ὡς μόνῃ μὲν τῇ οὐσίᾳ παρακολουθοῦντος, οὐ πάσῃ δέ· τὰ γὰρ εἴδη, φησί, καὶ τὰ γένη ὡς ὁ ἄνθρωπος καὶ τὸ ζῷον δοκεῖ μὲν τόδε τι σημαίνειν διὰ τὸ τὸν ἑνικὸν χαρακτῆρα ἐμφαίνειν, σημαίνει δὲ μᾶλλον πλῆθος καὶ ποιότητά τινα· τὴν γὰρ κοινωνίαν καὶ συναγωγὴν τῶν κατὰ μέρος ἐμφαίνει. διό φησιν 'οὐκ ἔστι ποιὸν ὡς τὸ συμβεβηκός, ἀλλὰ περὶ οὐσίαν τὸ ποιὸν ἀφορίζει', τοῦτ' ἔστι τὴν συναγωγὴν καὶ συνάθροισιν τῶν κατὰ μέρος ἀνθρώπων· τὸ μὲν γὰρ ποιὸν ὡς συμ|βεβηκὸς ἐπεισέρχεται τῇ 104r οὐσίᾳ ὑστερογενὲς ὂν καὶ δεόμενον αὐτῆς πρὸς σύστασιν, τοῦτο δὲ οὐδαμῶς.

p. 3ᵇ24 Ὑπάρχει δὲ ταῖς οὐσίαις καὶ τὸ μηδὲν αὐταῖς ἐναντίον.

Ἐπὶ τέταρτον παρακολούθημα μεταβέβηκε τῆς οὐσίας, καταγινώσκει δὲ καὶ τούτου ὡς καὶ ἄλλοις τισὶ προσόντος· τῷ γὰρ ποσῷ οὐδέν ἐστιν ἐναντίον, οἷον τῷ διπήχει, ὁμοίως οὐδὲ τῷ ἀριθμῷ οὐδέν ἐστιν ἐναντίον· τί γὰρ ἂν εἴη τῷ δέκα ἐναντίον; ἐὰν γὰρ εἴπῃς τὰ τρία τῷ δέκα ἐναντία. τότε τὸ μέγα καὶ τὸ μικρὸν λαμβάνεις, καὶ ταῦτα οὐκ ἔστιν ἐναντία ἀλλὰ πρός τι, οἷς οὐδέν ἐστιν ἐναντίον.

p. 3ᵇ26 Οὐδέ γε τῷ ἀνθρώπῳ ἢ τῷ ζῴῳ.

Οὐ γὰρ ὥσπερ τῷ θερμῷ τὸ ψυχρόν ἐστιν ἐναντίον τῷ δὲ λευκῷ τὸ μέλαν, οὕτω καὶ τῷ Σωκράτει ἐστί τι ἐναντίον ἢ τῷ ἀνθρώπῳ ἢ τῷ ζῴῳ.

---

1 ὡς ὅδε F: ὅσδε M 4 παρακολουθοῦντες F ὥς φησι F 6 τὸ τὸν] τὸ (ν eras.) F 8 οὐσίας M 9 συνάθρ.] τὴν ἄθροισιν M 11 πρὸς συστ.] ἐν στάσει F τοῦτο] τὸ M 12 ante lemma add. Aristotelis verbis ὑπάρχει (p. 3ᵇ24) — οὐδέν ἐστιν ἐναντίον οὐδενί (sic, p. 3ᵇ32) intermissis hoc scholion Φασί τινες τὸ λογικὸν καὶ τὸ ἄλογον τὸ θνητὸν καὶ τὸ ἀθάνατον καὶ τὸ σῶμα καὶ τὸ ἀσώματον ὅτι ἐστὶν ἐναντία. καί φαμεν πρὸς αὐτοὺς κατά τε ἔνστασιν καὶ ἀντιπαράστασιν. κατὰ ἔνστασιν μὲν ὅτι ταῦτα οὐ μόνον οὐ φθείρει ἄλληλα ὡς ἐναντία, ἀλλὰ καὶ σωστικά εἰσιν ἀλλήλοις. ἐὰν γὰρ τὸ ἀθάνατον ὡς κρεῖττον τοῦ συνθέτου (συνθέτου Par. 1973: συνελθόντος F) λάβωμεν, σώζει τὸ θνητὸν ὡς θεὸς τὸν ἄνθρωπον. εἰ δὲ τὸ ἀσώματον, ὡς χεῖρον τοῦ συνθέτου σώζεται ὑπὸ τοῦ σώματος ὡς εἶδος. κατὰ ἀντιπαράστασιν δέ, ὅτι εἰ καὶ ἐναντία αὐτὰ δεξόμεθα, ἀλλ' ὡς διαφοραὶ οὐσιώδεις ἁπλαῖ εἰσί, περὶ δὲ τῶν συνθέτων ὁ λόγος τῷ ἀριστοτέλει. ὥστε οὐ ψευδὴς ὁ λόγος ὅτι οὐδέν ἐστιν ἐναντίον τῇ οὐσίᾳ ἣν ὡρίσατο. ἔτι ἀποροῦσι περὶ τῆς τοῦ πυρὸς θερμότητος καὶ τῆς τοῦ ὕδατος ψυχρότητος ὡς τούτων τῶν οὐσιωδῶν διαφορῶν ἐναντίων οὐσῶν. καὶ φησὶ πρὸς αὐτοὺς ἀλέξανδρος 'πῶς λέγετε αὐτὰ ἐναντιοῦσθαι; εἰ μὲν καθὸ σώματα, εὑρεθήσονται αὐτὰ ἑαυτοῖς μαχόμενα, εἰ δὲ ὡς ποιότητες ἐν σώματι, οὐδὲν ἄτοπον κατ' ἄλλο καὶ ἄλλο μάχεσθαι.' F αὐταῖς om. M 13 post οὐσίας add. τὸ λέγον μηδὲν ἐναντίον αὐταῖς εἶναι M 15 post διπήχει add. οὐδέν ἐστιν ἐναντίον M ὁμοίως δὲ M οὐδέν om. F 16 γὰρ om. F τῷ δέκα εἶναι τὰ τρία M 17 καὶ ταῦτα Vat. 2173: κἀνταῦθα FM εἰσὶν F 18 οἷς οὐδέν] οὐδὲν δὲ F 19 γε Vat. 2173: om. FM 20 οὐ] οὐδὲ F ἐστιν om. F δὲ om. F 21 καὶ om. F τι post ἐναντίον colloc. F

p. 3b30 Εἰ μή τις τὸ πολὺ τῷ ὀλίγῳ φαίη.

Κατ' ἀλήθειαν οὐδὲ ταῦτά ἐστι κυρίως ἐναντία, ὡς καὶ αὐτὸς ἀποδείξει ὀλίγον ὕστερον. κατὰ δὲ συγχώρησίν φησιν ὅτι εἰ καὶ ἐναντία ἐστὶ ταῦτα, οὐδὲν ἄτοπον ἀκολουθήσει τὸ προκείμενον πρᾶγμα· ἱκανὸν γὰρ ἓν καὶ μόνον ἀνατρέψαι τὸ καθόλου. εἰ οὖν τῷ διπήχει οὐδέν ἐστιν ἐναντίον, δῆλον ὅτι οὐ μόνῃ τῇ οὐσίᾳ ὑπάρχει τὸ μηδὲν ἔχειν ἐναντίον.

p. 3b33 Δοκεῖ δὲ ἡ οὐσία μὴ ἐπιδέχεσθαι. 104v

Τοῦτο πέμπτον παρακολούθημα. εἰκότως δὲ οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον ἡ οὐσία, ἐπειδὴ οὐδὲ ἐναντιότητα ἔχει· ἐν οἷς γὰρ ἡ ἐναντιότης, ἐν τούτοις τὸ μᾶλλον καὶ ἧττον, καὶ ἐν οἷς τὸ μᾶλλον καὶ τὸ ἧττον, ἐν τούτοις καὶ ἐναντιότης· ὑφέσει γὰρ τοῦ ἐναντίου τίκτεται τὸ μαχόμενον. οὐκ ἐπήγαγε δὲ πρὸς τῷ τέλει αὐτοῦ ὅτι 'οὐκ ἴδιον δὲ οὐσίας τοῦτο· καὶ γὰρ τὸ ποσὸν οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον'· ἐπειδὴ γὰρ συνηγμένα εἰσὶ τὰ παρακολουθήματα, σοὶ κατέλιπεν ἐννοῆσαι καὶ προσυπακοῦσαι τοῦτο ὃ ἐπάνω ἦν εἰρηκώς.

p. 3b34 Λέγω δὲ οὐχ ὅτι οὐσία οὐσίας.

Ἐπειδὴ γὰρ ἀνωτέρω εἶπε μᾶλλον οὐσίαν τοῦ εἴδους τὴν ἄτομον οὐσίαν ἢ τὸ εἶδος τοῦ γένους, νῦν φησιν ὅτι οὐ τοῦτο λέγω ὅτι οὐσία οὐσίας οὐκ ἔστι μᾶλλον καὶ ἧττον οὐσία, ἀλλ' ὅτι ἡ αὐτὴ οὐσία οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, οἷον ὁ Σωκράτης οὐ λέγεται ποτὲ μὲν μᾶλλον Σωκράτης ποτὲ δὲ ἧττον, οὔτε ἄνθρωπος λέγεται μᾶλλον καὶ ἧττον ἄνθρωπος.

p. 3b39 Οὐ γάρ ἐστιν ἕτερος ἑτέρου μᾶλλον.

Οὐ γὰρ Σωκράτης ποτὲ μὲν γίνεται μᾶλλον ἄνθρωπος ποτὲ δὲ ἧττον οὔτε πάλιν ὁ Σωκράτης Πλάτωνος μᾶλλον ἄνθρωπος καθὸ ζῷον λογικὸν θνητόν, ὥσπερ τὸ λευκὸν ἕτερον ἑτέρου μᾶλλον λευκὸν καὶ ἐπὶ τῶν ἄλλων

---

2 οὐδὲ scripsi: δὲ οὔτε F: οὔτε M εἰσὶ F 3 post ὕστερον add. λαβών M 4 ἄτοπον et πρᾶγμα om. M 5 διπήχει F 6 ἔχειν] ὑπάρχειν F 9 τοῦτο — παρακ.] ἐπὶ πέμπτον παρακ. μετῆλθε, λέγω δὴ τὸ προκείμενον M δὲ] φησιν F 10 ἡ οὐσία om. M 11 τούτοις Vat. 2173: αὐτοῖς F: evan. M καὶ τοὐναντίον ἐν οἷς M 12 καὶ ἐναντ.] ἡ ἐναντ. F 15 γὰρ om. F εἰσὶ] ἦσαν M κατέλιπεν Vat. 2173: κατέλειψεν F: παρακατέλειψεν M 17 λέγει F 20 καὶ ἧττον om. M ἡ αὐτὴ] αὕτη ἡ M 21 ὁ om. M 22. 26 οὔτε] an οὐδὲ? 27 ἕτερον — λευκὸν om. M

ὁμοίως. λέγεται δὲ καὶ ἑαυτοῦ μᾶλλον λευκὸν γενέσθαι· τὸ γὰρ νῦν λευκὸν δύναται ὕστερον λευκότερον ἑαυτοῦ γενέσθαι ἐπιτεταμένης τῆς λευκότητος.

p. 4a10 Μάλιστα δὲ ἴδιον τῆς οὐσίας. | 105r

Τοῦτο ἕκτον παρακολούθημα ἴδιον ἀπέδωκε τῆς οὐσίας καὶ ἓν μὲν 105v ἀριθμῷ φησιν, ἵνα φυλαχθῇ τὸ ὑποκείμενον ἕν, ταὐτὸν δὲ ἵνα μὴ μεταβάλῃ καθ' ὑπόστασιν (τὸ γὰρ χρῶμα ἀπὸ λευκοῦ μέλαν γίνεται καὶ μεταβάλλει κατὰ ὑπόστασιν, ὁ δὲ Σωκράτης ⟨μένων εἷς καὶ ὁ αὐτὸς ποτὲ μὲν θερμὸς γίνεται ποτὲ δὲ ψυχρός, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως⟩), δεκτικὸν τῶν ἐναντίων, τοῦτ' ἔστιν ἐπιτηδειότητα ἔχον τοῦ παρὰ μέρος δέχεσθαι τὰ ἐναντία· ⟨οὐ γὰρ εἶπε δέχεσθαι τὰ ἐναντία⟩, ἐπεὶ ἐν ταὐτῷ καὶ κατὰ ταὐτὸ ἔσται τὰ μαχόμενα, ἀλλὰ τῷ δεκτικὸν εἶναι τὴν δύναμιν μόνον ἐσήμανε. πῶς δὲ ἴδιον τῆς οὐσίας δόξει εἶναι τοῦτο; οὐκέτι γὰρ καὶ ταῖς δευτέραις οὐσίαις ἁρμόζει. ἐροῦμεν ὅτι εἰ καὶ μὴ πάσῃ, ἀλλ' οὖν μόνῃ παρακολουθεῖ. μᾶλλον δὲ ἰδιάζει τὰ μόνῳ ὑπάρχοντα, εἰ καὶ μὴ παντί, ἢ τὰ παντὶ μὲν μὴ μόνῳ δέ. καὶ τοῦτο εἰκότως· πῶς γὰρ εἴη ἴδιον τοῦδέ τινος, ὃ καὶ ἑτέροις ὑπάρχει; | τῶν δὲ ἀποδεδομένων τῆς 106r

---

1 λέγεται—γενέσθαι] λέγεται νῦν ἢ πρότερον λευκόν ut lemma M 2 post γενέσθαι add. τουτέστι μᾶλλον λευκόν M 3 post λευκότητος add. ἀποροῦσι δέ τινες περὶ τῆς τοῦ πυρὸς θερμότητος καὶ τῆς τοῦ ἀέρος, ὅτι ὁ ἀὴρ ὑπερθερμαινόμενος φθείρεται μεταβάλλων εἰς πῦρ. καί φαμεν πρὸς τούτους ὅτι ἑτέρα ἐστὶν ἡ τοῦ ἀέρος θερμότης κατ' εἶδος τοῦ πυρός· ὥστε εἰ καὶ ὑπέρτασις γίνεται τῆς τοῦ πυρὸς θερμότητος, οὐκ ἔστιν αὕτη κατ' εἶδος ἡ μεταβάλλουσα εἰς πῦρ. δῆλον οὖν ὅτι αὗται αἱ διαφοραὶ οὐδὲν ἧττον τὰ οἰκεῖα χαρακτηρίζουσιν ὑποκείμενα, ἡ μὲν τοῦ ἀέρος τὴν τοῦ ἀέρος καὶ ἡ τοῦ πυρὸς τὴν τοῦ πυρός, καὶ μᾶλλον ἑαυτῶν θερμότεραι γίνονται. ἔτι οὐδέποτε τὸ μᾶλλον φθαρτικὸν ἑαυτοῦ γίνεται, οἷον ἡ μᾶλλον ὑγεία οὐ φθείρει τὴν ὑγείαν, ἐπὶ δὲ τοῦ ἀέρος ἡ μᾶλλον θερμότης φθείρει ἑαυτὴν μεταβάλλουσα εἰς πῦρ. F 5 τοῦτο τὸ ἕκτον M ἀποδέδωκε M 6 φυλάττῃ M ἕν om. M 8 μεταβάλῃ F 8 μένων—ὁμοίως (9) ex Philopono inserui: om. codd. 9. 10 ante δεκτικὸν add. οὕτως M δεκτικὸν] δεκτικὸς ὢν F 10 τὸ ἐπιτηδ. M ἔχων F τοῦ] τὸ codd. 11 οὐ γὰρ—ἐναντία ex Philopono inserui: om. codd. ἐπεὶ] εἴπερ τὰ F: ἐπεὶ γὰρ M 11. 12 ἐν ταὐτῷ καὶ κατὰ ταὐτὸ] μὴ ἐν αὐτῷ καὶ κατ' αὐτὸ F: ἢ ἐν αὐτῷ κατὰ ταὐτὸ M 12 ἔσται] ἐστι M τῷ Laur. 72,5: τὸ FM 13 τῆς om. M 14 ἁρμόσει M 15 παρακολουθῇ F 15. 16 τὰ (utrobique) M: τῷ F 15 ὑπάρχοντι F 16 καὶ τοῦτο om. M 17 post ὑπάρχει add. ἐνταῦθα ἀποροῦσι τινὲς περὶ τῆς τοῦ πυρὸς θερμότητος καὶ τῆς τοῦ ὕδατος ψυχρότητος· ἰδοὺ γὰρ φασὶν οὐσῶν οὐσιῶν, ὡς αὐτὸς ἔδειξε, διαφοραὶ γάρ εἰσιν, οὐκ εἰσὶ τῶν ἐναντίων δεκτικαί, οἷον ἡ θερμότης ἡ ἐν τῷ πυρὶ οὐκ ἔστι δεκτικὴ τῆς ψυχρότητος τῆς ἐν ὕδατι. φαμὲν οὖν πρὸς αὐτοὺς ὅτι τὰ ἐναντία πάντα φθείρουσιν ἄλληλα. ἐν δὲ τούτοις καὶ γένεσιν ἀλλήλων ὁρῶμεν, ὡς ὅταν ἐξ ὕδατος πῦρ γεννᾶται. ἔτι οὐκ εἶπεν ὁ ἀριστοτέλης ὅτι ἡ οὐσία οὐκ ἐπιδέχεται πάντα τὰ ἐναντία, ἀλλ' ὅτι ἐστὶ δεκτικὴ τῶν ἐναντίων, εἰ καὶ μὴ πάντων. συμβαίνει οὖν εἰ καὶ μὴ ταύτας τὰς ἐναντιότητας δέχεται τὸ πῦρ, ἀλλὰ τὴν εἰς τὰ ἄνω καὶ κάτω καὶ δεξιὰ καὶ ἀριστερὰ κίνησιν. ὥστε κἂν τοῦτο (l. κἂν τούτοις) σώζεται ὁ λόγος. ἕτεροι φασὶν ὅτι οὐ μόνῃ τῇ οὐσίᾳ ὑπάρχει τοῦτο τὸ ἴδιον, ἀλλὰ καὶ τῇ ἐπιφανείᾳ· λειότης γὰρ καὶ τραχύτης ἐναντία, καὶ σκληρότης καὶ μαλακότης. φαμὲν οὖν πρὸς αὐτοὺς

οὐσίας ἓξ ἰδίων τὸ μὲν πρῶτον καὶ τὸ τέταρτον καὶ τὸ πέμπτον πάσῃ ὑπάρχει, οὐ μόνῃ δέ, τὸ δὲ δεύτερον καὶ τὸ τρίτον καὶ τὸ ὕστερον μόνῃ μέν, οὐ πάσῃ δέ. διὸ τὰ μὲν τρία τὰ πάσῃ ὑπάρχοντα, οὐ μόνῃ δέ, ἀποφατικῶς ὡρίσατο ὡς πόρρω τῆς τῶν ἰδίων ὄντα φύσεως. τὸ δέ γε δεύτερον καὶ τὸ τρίτον καὶ τὸ ἕκτον καταφατικῶς ὡς μᾶλλον ἴδια τῶν ἄλλων διὰ τὸ ὡς ἔφαμεν μόνῳ δεῖν ὑπάρχειν τὸ ἴδιον ἐκείνῳ οὗ ἐστιν ἴδιον. προτετίμηται δὲ τὸ τελευταῖον τοῦ δευτέρου καὶ τοῦ τρίτου καίτοι δοκοῦν ταὐτὸν ἐκείνοις σημαίνειν (τὰ τρία γὰρ μόνῃ καὶ οὐ πάσῃ ὑπῆρχεν), διότι τὸ μὲν τόδε τι σημαίνειν καὶ τὸ πάντα συνωνύμως ἀπ' αὐτῆς λέγεσθαι κατὰ τὴν φωνὴν εἴληπται, τὸ ὕστερον δὲ ἐξ αὐτῆς τῆς ὑπάρξεως. εἴη δ' ἂν τὸ ὕστερον καὶ μόνῃ καὶ πάσῃ, εἰ ὀλίγον τι προσθῶμεν εἰπόντες οὕτω μετὰ τὸ ἀποδιδόμενον ἴδιον 'ἢ τὸ περιέχον τὸ ἓν καὶ ταὐτὸν ὂν καὶ τῶν ἐναντίων δεκτικόν'· καὶ γὰρ οὕτως εἰρηκότες συμπεριλαμβάνομεν τὰ εἴδη καὶ τὰ γένη.

p. 4ª21 Ἐπὶ δὲ τῶν ἄλλων οὐδενὸς φαίνεται.

Ὅπερ τις ἔμελλεν ἀπορεῖν, αὐτὸς προλαβὼν ἐπιλύεται· φησὶ γὰρ τὸν προφορικὸν λόγον καὶ τὴν δόκησιν εἶναι τῶν ἐναντίων δεκτικά· ὁ γὰρ λόγος ὁ λέγων 'Σωκράτης κάθηται', εἰ μὲν τύχοι καθεζόμενος ὁ Σωκράτης, ἀληθεύει, εἰ δὲ τύχοι περιπατῶν, ψεύδεται. ὁμοίως καὶ περὶ τῆς δόξης· ὁ γὰρ δοξάζων περὶ Πλάτωνος ὅτι κάθηται, εἰ μὲν τύχοι καθεζόμενος, ὀρθῶς δοξάζει, εἰ δὲ μή, ψευδῶς. ὥστε ὁ αὐτὸς λόγος καὶ ἡ αὐτὴ δόξα δεκτική ἐστιν ἀληθείας καὶ ψεύδους. ἐπιλύεται δὲ τοῦτο διχῶς κατά τε

ὅτι οὐχ ἁπλῶς ἡ ἐπιφάνεια τούτων ἐστὶ δεκτική, ἀλλ' ἡ τοῦ σώματος ἐπιφάνεια, ὥστε τὸ σῶμα ἐστὶ τὸ ἐν αὐτῇ (?) τὸ ταῦτα δεχόμενον. ἔτι φασὶ περὶ τῆς γραμμῆς, ὅτι δέχεται εὐθύτητα καὶ καμπυλότητα. καὶ φαμὲν ὅτι εἰ μὲν τὴν μαθηματικὴν γραμμὴν φατέ, ἄλλη ἐστὶν ἡ καμπύλη παρὰ τὴν εὐθείαν. εἰ δὲ τὴν ἐν σώματι, τὸ σῶμα ἐστὶ τὸ μετὰ τῆς γραμμῆς ἢ καμπτόμενον ἢ εὐθυνόμενον. ἕτεροι φασὶν ὅτι καὶ τὸ ποσὸν ἐστὶ τῶν ἐναντίων δεκτικόν· ἰδοὺ γὰρ ὁ ἀριθμὸς ἐστὶν ἄρτιος καὶ περιττός. καὶ φαμὲν πρὸς αὐτούς· ποῖον ἀριθμὸν φατέ; τὸν ἀριθμοῦντα καὶ ἐν τῇ ψυχῇ ὄντα ἢ τὸν ἀριθμούμενον; εἰ μὲν τὸν ἀριθμοῦντα, ἕτερος ἐστὶν ὁ ἄρτιος καὶ ἕτερος ὁ περιττός, εἰ δὲ τὸν ἀριθμούμενον, δηλονότι οὐκέτι σώζεται εἷς τῷ ἀριθμῷ ὁ περιττὸς καὶ ὁ ἄρτιος, οἷον ὁ γ' πρὸς τὸ εἶναι δ'· οὐδὲ γὰρ ὁ δ' γ' ἔσται ποτέ. εἰ δὲ εἴποιεν ὡς ἐπὶ μεγέθους τυχὸν εἰ βουληθείην | τεμεῖν, εἰς γ' τὸ μέγεθος τέμνω, ἔτι (l. ἔστι) δὲ καὶ τὰ γ' ποιῆσαι δ'. ταῦτα εἰσὶν ἄρτια καὶ περιττά, λέγομεν ὅτι εἰ μὲν δυνάμει φατὲ δύνασθαι τὸ μέγεθος εἰς ταῦτα διαιρεθῆναι, ὡς οὐσίαν αὐτὸ φατὲ δυναμένην τὰ ἐναντία δέξασθαι, οἷον τὸ ἄρτιον καὶ τὸ περιττόν, εἰ δὲ ἐνεργείᾳ, οὐκέτι τὰ ἐναργῶς εἰς τρία διαιρεθέντα δύναται τὰ αὐτὰ τῷ ἀριθμῷ καὶ τέσσαρα εἶναι F 1 πρῶτον Philop.: πρότερον F: ἓν τὸ πρότερον M 2 τὸ δὲ δεύτερον — οὐ μόνῃ δέ (3) om. F 6 τὸ (ante ὡς)] τί F ὑπάρχει F 7 προτετίμηκε F 8 ταυτὰ F τὰ τρία γὰρ] τὸ γὰρ τρίτον F ὑπάρχει M 9 ἀλλὰ διότι F 10 δὲ ὕστερον colloc. M 11 εἰ] ἢ F τι καὶ προσθ. F 12 ἀποδεδομένον M 15 οὐδὲν F 16 ὅπερ — δεκτικά (17) om. F (lemmate ad δεκτικά 4ª23 continuato) 18 ὁ Vat. 2173: om. F: evan. M 20 τύχῃ F καθεζόμ.] καθήμενος M

τὴν λεγομένην ἔνστασιν καὶ ἀντιπαράστασιν. καὶ ἔνστασις μέν ἐστι τὸ ὅλως τὴν ἀπορίαν μὴ δέξασθαι, ἀλλ' ἀνατρέψαι αὐτὴν οὕτως ἔχουσαν, ὡς ἠπορήθη, ἀντιπαράστασις δέ ἐστι τὸ καταδέξασθαι μὲν τὴν ἀπορίαν καὶ ἐνδοῦναι ταῖς προτάσεσι, δεῖξαι δὲ ὅτι καὶ οὕτως ἔχουσαι οὐδὲν λυμαίνον-
5 ται τὸ λεγόμενον· προέταξε δὲ ἐνταῦθα τὴν ἀντιπαράστασιν τῆς ἐνστάσεως ὡς πρὸς εἰσαγομένους σαφηνείας χάριν.

p. 4a34 Ὁ δὲ λόγος καὶ ἡ δόξα.

Ἰστέον ὅτι τὰ ἐπὶ τῶν οὐσιῶν ἐναντία αὐτὰ εἰς ἄλληλα μεταβάλλει (τὸ γὰρ θερμὸν ψυχρὸν γίνεται καὶ τοὐναντίον τὸ ψυχρὸν θερμόν, ὁμοίως δὲ
10 καὶ τὸ μέλαν λευκὸν καὶ τὸ λευκὸν μέλαν), ἐπὶ δὲ τοῦ λόγου καὶ τῆς δόξης οὐχ οὕτως· οὐ γὰρ τὸ ψεῦδος εἰς ἀλήθειαν μεταβάλλει οὔτε ἡ ἀλήθεια εἰς ψεῦδος, ἀλλὰ τοῦ πράγματος κινουμένου καὶ μεταβάλλοντος τὸ ψεῦδος καὶ ἡ ἀλήθεια γίνεται· οὐ γὰρ ἐκ τοῦ λόγου ἢ τῆς δόξης ἀλήθεια ἢ ψεῦδος γίνεται.

15 p. 4b2 Ὥστε τῷ γε τρόπῳ ἴδιον ἂν εἴη τῆς οὐσίας.

Τοῦτ' ἔστιν ἄλλῳ τρόπῳ ἡ οὐσία τῶν ἐναντίων ἐστὶ ἐπιδεκτικὴ | ἢ ἡ δόξα καὶ ὁ λόγος. 106v

p. 4b4. Εἰ καί τις ταῦτα παραδέχοιτο τὸν λόγον καὶ τὴν δόξαν δεκτικὰ τῶν ἐναντίων εἶναι.

20 Τῇ ἀντιπαραστάσει κατὰ συγχώρησιν· κατὰ ἀλήθειαν γὰρ οὐκ ἔστι τῶν ἐναντίων δεκτικά· ὅ τε γὰρ λόγος καὶ ἡ δόξα οὐ τῷ αὐτὰ δεδέχθαι τι τῶν ἐναντίων λέγεται εἶναι δεκτικά· πῶς γὰρ ὅλως δέξονται τὰ ἐναντία ὑπόστασιν ὅλως τινὰ μὴ ἔχοντα, ὅπερ δεῖ ἔχειν τὸ μέλλον ἐπιδέχεσθαι τὰ ἐναντία; ὁ δὲ λόγος καὶ ἡ δόξα ἅμα τῷ προφέρεσθαι καὶ ἔφθαρται.
25 Περὶ μὲν οὐσίας τοσαῦτα εἰρήσθω νυνί, ἑξῆς δὲ περὶ ποσοῦ ῥητέον.

---

1 λεγ. ἀντιπαράστασιν καὶ κατὰ ἔνστασιν M καὶ ἔνστασις—ἠπορήθη (3) post λεγόμενον (5) colloc. M καὶ ἔνστ. μέν] ἔνστασις δὲ M τὸ καὶ αὐτὴν ὅλως τὴν ἀπ. M 4 καὶ om. F 5 post λεγ. add. καὶ κατ' αὐτὰ μὲν ἡ ἀντιπαράστασις M ἐνταῦθα om. M 9 τὸ (prius)] ὅ F καὶ τοὐν. τὸ ψ. θ.] καὶ ὅ ψυχρὸν θερμὸν καὶ τοὐναντίον F 11 οὔτε] an οὐδὲ? 13 καὶ ἡ om. F 14 post γίνεται add. ὡσαύτως δὲ καὶ ἐπὶ τῆς δόξης M 15 τῷ τρόπῳ τούτῳ τουτέστιν ἄλλῳ τρόπῳ ἴδιον F τρόπῳ γε Aristot. 16 τοῦτ' ἔστι—οὐσία om. F ἐπιδ. εἶναι τῶν ἐν. F 17 ἢ] καὶ ἄλλως M 18 δέ τις καὶ Aristot. ταῦτα] τὰ αὐτὰ M παραδέξοιτο F 20 τῇ] τὸ M 22 εἶναι om. M 23 τινὰ om. F ὑποδέχ. M 24 τῷ] τὸ F προσφέρεσθαι F καὶ ἔφθαρται] διέφθαρται F 25 Περὶ—ῥητέον om. M

Περὶ ποσοῦ

p. 4b20 Τοῦ δὲ ποσοῦ τὸ μέν ἐστι διωρισμένον.

Πληρώσας τὸν περὶ τῆς οὐσίας λόγον, περὶ τοῦ ποσοῦ νῦν διαλαμβάνει. δευτέραν γὰρ ἔχει τάξιν ἐν ταῖς κατηγορίαις τὸ ποσόν· | ἡ γὰρ 107r
πρώτη ὕλη ἀνείδεος οὖσα καὶ ἀσώματος πρότερον τὰς τρεῖς διαστάσεις δέχεται καὶ γίνεται τριχῇ διαστατὸν τὸ καλούμενον δεύτερον ὑποκείμενον, εἶθ' οὕτως τὰς ποιότητας καὶ γίνεται σύνθετον ποσόν, ⟨οἷον⟩ τὸ τριχῇ διαστατὸν θερμότητα μὲν δεξάμενον καὶ ξηρότητα γίνεται πῦρ, ψυχρότητα δὲ καὶ ὑγρότητα γίνεται ὕδωρ, καὶ τἆλλα ὁμοίως. εἰκότως οὖν δευτέραν τάξιν ἔχει ἐν ταῖς κατηγορίαις τὸ ποσόν, τρίτην δὲ τὸ ποιόν· τὰ γὰρ πρός τι σχέσις τίς ἐστιν ἑτέρων κατηγοριῶν, ὁ δὲ τόπος καὶ ὁ χρόνος καὶ τὰ λοιπὰ ἀπὸ τούτων σεσόληται. πάλιν δὲ διαιροῦμεν τὴν οὐσίαν εἰς πρώτην καὶ εἰς δευτέραν, αὐτὸ δὲ τὸ πρῶτον καὶ τὸ δεύτερον τοῦ ἀριθμοῦ, ὥστε τῷ ἀριθμῷ προσκέχρηται τῷ τριχῇ διαστατῷ, ὁ δὲ ἀριθμὸς τοῦ ποσοῦ. εἰκότως τοίνυν περὶ τοῦ ποσοῦ δευτέρως διαλαμβάνει ὁ Ἀριστοτέλης.

Διαιρεῖ οὖν τὸ ποσὸν εἰς συνεχὲς καὶ διωρισμένον, καὶ τὸ μὲν διωρισμένον εἰς δύο, εἰς ἀριθμὸν καὶ λόγον, τὸ δὲ συνεχὲς εἰς πέντε, εἰς γραμμὴν ἐπιφάνειαν σῶμα χρόνον τόπον. πάλιν δὲ ἐπιδιαιρεῖται τὸ ποσὸν εἴς τε τὸ

---

1 tit. Περὶ ποσοῦ F: ἀμμωνίου (post Photii expositionem, quae inscribitur Φωτίου περὶ ποσοῦ) M 2 δὲ om. M 3 ἐπλήρωσε M περὶ om. καὶ περὶ τοῦ M 4 δευτέραν — ποσόν· ἡ γὰρ πρώτη (5)] καὶ ζητοῦμεν τὴν τάξιν. ὁ γὰρ ἀρχύτας ἐν ταῖς αὐτοῦ κατηγορίαις | τὸ ποιὸν προτάτει τοῦ ποσοῦ φάσκων ὅτι μετὰ τὸ εἰπεῖν ἀριστοτέλην ἴδιον οὐσίας τὸ τόδε τι σημαίνειν εἶπε περὶ τῶν δευτέρων οὐσιῶν, ὅτι περὶ οὐσίας τὸ ποιὸν ἀφορίζουσι, καὶ πάλιν τῆς ἀτόμου οὐσίας κατηγόρησε τὸ ποιόν. τὸ γὰρ πῦρ θερμὸν φησὶ καὶ τὸ μέλι γλυκύ. εἰκότως τοίνυν τὸ ποιὸν ἐστὶ μετὰ τὴν οὐσίαν. φαμὲν οὖν πρὸς αὐτὸν ὅτι ποῖον φῆς ποιὸν τὸ οὐσιῶδες ἢ τὸ κατὰ συμβεβηκός; εἰ μὲν τὸ οὐσιῶδες, οὐ περὶ τοῦτο ὅλως διαλαμβάνει ὁ ἀριστοτέλης (εἶπε γὰρ ἤδη περὶ αὐτοῦ ἐν τῇ οὐσία), εἰ δὲ τὸ κατὰ συμβεβηκός, αὐτὸς ἔφη ὁ ἀριστοτέλης ὡς αἱ δεύτεραι οὐσίαι ποιὸν μᾶλλον σημαίνουσιν, οὐ καθὼς δὲ τὸ συμβεβηκὸς ποιὸν σημαίνει. ἵνα οὖν μὴ μόνον ἀνατρέψωμεν ἀλλὰ καὶ δείξωμεν ὅτι δευτέραν τάξιν ὀφείλει ἔχειν τὸ ποσόν, εἴπωμεν ὅτι ἡ πρώτη F 7 οὕτως καὶ F συνθέτου ποσοῦ F οἷον ex Philop. inserui 8 δεξ. μὲν θερμ. colloc. M 10 τρίτον F 12 δὲ om. F 13 εἰς supra scr. F 14 ὥστε] ὡς F post ποσοῦ add. ἄλλως τε τὸ ποσὸν συνυφέστηκε τῇ οὐσία τῇ ἀνειδέῳ τῇ πρώτῃ, λέγω δὲ τῇ ὕλῃ· αὕτη γὰρ ἢ ἕν τι ἐστὶν ἢ πολλά· ταῦτα δὲ τοῦ ποσοῦ M 15 τοίνυν] οὖν M δεύτερον F 16 ὡρισμένον F post διωρ. add. εὐλόγως δὲ ὁ μὲν ἀρχύτας τὸ ποιὸν δεύτερον ἔταξε. τὰς γὰρ δευτέρας οὐσίας πρώτας ἔταττε τῇ φύσει ἑπόμενος αὐτῶν, διότι καθόλου εἰσίν, τὰ δὲ καθόλου ἐξ εἰκόνος καὶ ὁμοιώσεως λαμβάνεται, ὡς ἐκ τῶν κατὰ μέρος ἀνθρώπων καὶ τῆς αὐτῶν ὁμοιώσεως ἐπὶ τὸ καθόλου ἀνατρέχομεν. εἰ οὖν ἡ εἰκὼν καὶ ἡ ὁμοίωσις τοῦ ποιοῦ ἐστιν, εἰκότως τὸ ποιὸν ἔταξε δεύτερον ὁ ἀρχύτας, ὁ δὲ ἀριστοτέλης τὸ ποσὸν ἐκ τοῦ πρώτως τὴν οὐσίαν ποσοῦσθαι ταῖς διαστάσεσι καὶ εἶθ' οὕτως ποιοῦσθαι. διαρεῖ τοίνυν αὐτὸ εἴς τε διωρισμένον καὶ συνεχές F μὲν om. M 17 εἰς (ante γραμμὴν) om. M

ἐκ θέσιν ἐχόντων τῶν μορίων συνεστηκὸς καὶ τὸ ⟨ἐξ⟩ οὐκ ἐχόντων θέσιν, καὶ τὸ μὲν ἐκ θέσιν ἐχόντων τῶν μορίων εἰς γραμμὴν ἐπιφάνειαν σῶμα τόπον, τὸ δὲ ἐκ μὴ ἐχόντων θέσιν εἰς χρόνον καὶ λόγον καὶ ἀριθμόν. τινὲς δὲ τὰ κυρίως εἴδη τοῦ ποσοῦ φασιν εἶναι τρία, ἀριθμὸν ὄγκον δύνα-
5 μιν, τοῦτ' ἔστι ῥοπήν· φασὶ γὰρ ὅτι ὁ λόγος καὶ ὁ χρόνος ταὐτόν ἐστι τῷ ἀριθμῷ, ἡ δὲ γραμμὴ καὶ ἡ ἐπιφάνεια καὶ τὸ σῶμα εἴς τι κοινὸν ἀνάγεται. τὸ μέγεθος, | ὁ δὲ τόπος ὁ αὐτός ἐστι τῇ ἐπιφανείᾳ, ὥστε τοῦ 107v
ποσοῦ τὸ μέν ἐστιν ἀριθμὸς τὸ δὲ μέγεθος τὸ δὲ δύναμις· ὑπὸ ταύτην γὰρ τό τε βαρὺ καὶ τὸ κοῦφον ἀνάγεται, ἅτινά εἰσι ῥοπαὶ τοῦ ποσοῦ·
10 ὑπὸ γὰρ αὐτὸ ἀνάγονται. πῶς δὲ τῆς κινήσεως οὐκ ἐμνημόνευσε; καί φαμεν ὅτι ἡ κινήσις ἐνέργειά τις οὐκ ἔστιν, ἀλλὰ ἀόριστον πρᾶγμα, διὸ οὐκ ἐμνήσθη αὐτῆς ὡς πρὸς εἰσαγομένους ποιούμενος τὸν λόγον· αὐτὴ γὰρ ἡ κίνησις οὐδὲν ἕτερόν ἐστιν ἢ ὁδὸς ἀπὸ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ. |

---

1. 2 τῶν (ante μορίων) om. F 1 συνεστηκὸς — μορίων (2) in mrg. suppl. F³ ἐξ inserui 2 ἐκ om. M ἐχόντ. θέσιν colloc. M εἰς om. F 3 ἐκ om. F 6 εἴς τι] ἐπὶ F 8 τὸ μὲν μέγεθος τὸ δὲ ἀριθμὸς M ὑπὸ ταύτην] τουτέστι ῥοπὴ· ὑπ' αὐτὸ F 9 τε om. F 10 ἀλλὰ πῶς καὶ τῆς F καί om. M 11 ἡ om. M 12 οὐκ] οὔτε M αὕτη γὰρ M 13 ὁδὸς τῆς ἀπὸ M post ἐνεργείᾳ add. φασὶ δὲ τινὲς περὶ τῆς διαιρέσεως ὅτι κακῶς διεῖλεν ὡς γένος εἰς εἴδη διαιρούμενος. ἀμήχανον εὑρεῖν εἶδος ἐν εἴδει περιεχόμενον ἢ εἶδος ὑπὸ ἄλλου εἴδους συνιστάμενον, ἐν δὲ τῷ ποσῷ τὸ συνεχὲς γίνεται ἐκ τοῦ διωρισμένου καὶ τὸ διωριζόμενον (sic) ἐκ τοῦ συνεχοῦς. ἰδοὺ γὰρ τὸ μέγεθος συνεχὲς ὂν διαιρεῖται, πάλιν τὸ σῶμα συνεχές ὂν γίνεται ἐκ γραμμῆς καὶ ἐπιφανείας, ἅπερ ἄμφω λαμβανόμενα διῃρημένα εἰσί. φαμὲν οὖν πρὸς αὐτοὺς ὅτι οὔτε τὸ διωρισμένον ἐκ τοῦ συνεχοῦς γίνεται· ἰδοὺ γὰρ ὁ λόγος διωρισμένος ὢν ἐξ οὐδενὸς γέγονε συνεχοῦς, ἀλλ' οὐδὲ ὁ ἀριθμός, ἀλλὰ μὴν οὐδὲ τὸ σῶμα συνεχὲς ὂν (ὢν F) εἰ καὶ γέγονεν ἐκ γραμμῆς καὶ ἐπιφανείας, οὐ δήπου καὶ ἡ γραμμὴ καὶ ἐπιφάνεια ἐκ συνεχῶν γεγόνασιν οἷον τοῦ σημείου· ἀμερὲς γάρ ἐστι καὶ οὐ δύναται ἢ συνεχὲς εἶναι ἢ διωρισμένον. καλῶς οὖν διεῖλεν ὡς γένος εἰς εἴδη τὸ ποσόν. ἕτεροι δὲ φασὶ, διὰ τί μὴ καὶ ῥοπῆς ἐμνήσθη ἐν τῇ διαιρέσει, ἵνα ἡ διαίρεσις ἢ εἰς τρία; καὶ φαμὲν ὅτι συνεχοῦς μεμνημένος καὶ ῥοπῆς ἐμνήσθη. ἐν γὰρ τῷ συνεχεῖ ποσῷ οἷον ἐν σώματι ἡ ῥοπή. ἕτεροι (ἕτερα F) δὲ πρὸς τοῦτο ἀπαντῶντες οὐ πάντως φασὶν ἐν τῷ συνεχεῖ ἡ ῥοπή· ἰδοὺ γὰρ τὰ οὐράνια σώματα συνεχῆ, καὶ αἱ ἀυλότητες δὲ τῶν στοιχείων συνεχεῖς, καὶ ῥοπὴ ἐν αὐτοῖς οὐδεμία. ἡ γὰρ ῥοπὴ σωμάτων τῶν ἀπὸ τοῦδε εἰς τόδε (τοῦδε F) κινουμένων ἐστί, ταῦτα δὲ καθόλου οὐ κινοῦνται, ἵνα ἄνω ἢ κάτω γένωνται. λέγοντες οὖν ἀκριβέστερον ἐπιλυόμεθα, ὅτι ἡ ῥοπὴ ἐν σώμασιν ἐστίν, τῶν δὲ σωμάτων τὸ ἴσον καὶ ἄνισον κατηγορήσεις, ὅπερ ἐστὶ ποσοῦ, τῆς δὲ ὁλκῆς οὐκέτι, ἀλλὰ μᾶλλον τὸ ὅμοιον ἢ ἀνόμοιον, ὅπερ ἐστὶ ποιοῦ. διὸ ἐν τῷ περὶ ποσοῦ λόγῳ οὐκ ἐμνήσθη αὐτῆς. φασὶ δέ τινες ὅτι πλεονασμῷ ἐχρήσατο ἐν τῷ μνησθῆναι ἐπιφανείας καὶ τόπου· ἡ γὰρ ἐπιφάνεια τόπος ἐστί. καὶ λέγομεν ὅτι ὁ τόπος εἰ καὶ μῆκος ἐστὶ καὶ πλάτος τῶν σωμάτων, ἀλλὰ καὶ πέρας ἐστί. τόπος οὖν ἐστιν ἐπιφάνεια περατοῦσα. ἐμνήσθη οὖν ἐπιφανείας, ἀνάγκη λοιπὸν καὶ τοῦ πέρατος μνησθῆναι, ὅπερ ἐστὶν ὁ τόπος. ἰστέον δὲ ὅτι πᾶν περατοῦν τοῦ περατουμένου μιᾷ λείπεται διαστάσει, οἷον ὁ τόπος τοῦ σώματος· τὸ γὰρ σῶμα τριχῇ διαστατόν, ὁ δὲ τόπος διχῇ, πάλιν ἡ γραμμὴ πέρας οὖσα τῆς | ἐπιφανείας λείπεται αὐτῆς μιᾷ διαστάσει. ἕτεροι δὲ λέγουσιν, ὅτι τοῦ σώματος ἐνταῦθα οὐκ ὤφειλε μνησθῆναι· ἐν γὰρ τῇ οὐσίᾳ ἐμνήσθη αὐτοῦ διελὼν αὐτὴν εἰς σῶμα καὶ ἀσώματον. λέγομεν οὖν ὅτι ἐκεῖ περὶ τοῦ φυσικοῦ καὶ συνθέτου σώματος, ἐνταῦθα δὲ περὶ τοῦ μαθηματικοῦ, ἤγουν τῆς ἀστρονομίας. καὶ ταῦτα μὲν περὶ τοῦ συνεχοῦς. τὸ δὲ διωρισμένον εἰς λόγον καὶ ἀριθμόν. διωρισμένον δέ ἐστιν, οὗ τὰ μόρια οὐδεὶς ὅρος κοινὸς συνάπτει. ποῖος οὖν ὅρος κοινὸς ἔσται ὁ συνάπτων τὰ πέντε καὶ τὰ πέντε, ἵνα

p. 4b21 Καὶ τὰ μὲν ἐκ θέσιν ἐχόντων πρὸς ἄλληλα. 108r

Ἀντὶ τοῦ 'ὧν τὰ μόρια ὑπομένοντα καὶ συνυφεστῶτα τάξιν ἔχει τινὰ καὶ συνέχειαν πρὸς ἄλληλα ἐν τῷ ὑποκειμένῳ τεταγμένα'.

p. 4b22 Τὰ δὲ οὐκ ἐξ ἐχόντων θέσιν.

Τοῦτ' ἔστιν ἅτινα ἐν τῷ γενέσθαι ἔχει τὸ εἶναι. θέσιν δὲ λέγει οὐ τὴν ἐν τόπῳ τὴν κυρίως λεγομένην, ἀλλὰ τὴν κατὰ σχέσιν.

p. 4b22 Ἔστι δὲ διωρισμένον μέν.

Διωρισμένον ἐστί, καθὼς | καὶ αὐτός φησιν, οὗ τὰ μόρια πρὸς οὐδένα 108v κοινὸν ὅρον συνάπτει ἀλλήλοις, συνεχὲς δέ ἐστιν οὗ τὰ μόρια πρὸς ἕνα κοινὸν ὅρον συνάπτει.

γένηται δέκα; ἆρα μία τῶν μονάδων τοῦ δέκα ἀριθμοῦ; οὐδαμῶς, ἐπεὶ εὑρεθήσεται ἡ δεκὰς ἐννὰς ἐξαιρουμένης τῆς μονάδος ἐκείνης. ἀλλ' ἑτέρα παρὰ τῶν δέκα; ἔσται ἑνδεκα, ὅπερ ἄτοπον. ἐμνήσθη οὖν ἀφ' ἑτέρας ἀρχῆς 'ἔτι δὲ καὶ ὁ χρόνος καὶ ὁ τόπος', ἐπειδὴ ὁ χρόνος καὶ ὁ τόπος ὑπὸ τὴν ἀστρονομίαν ἀνάγεται καὶ ὑπὸ τὴν μαθηματικήν, κατ' ἄλλο δὲ καὶ ἐπὶ τὴν φυσιολογίαν. ἐν γὰρ τούτοις ἅπασι καὶ τόπου χρεία καὶ χρόνου. F 1 τὰ] τὸ Aristot. 3 ἐν τῷ ὑποκ.] ὑπομένει M 4 τὰ] τὸ Aristot. 6 τὴν (post τόπῳ) om. M κατὰ om. F post σχέσιν add. καὶ τῶν θέσιν ἐχόντων γραμμὴ ἐπιφάνεια τόπος καὶ σῶμα, οὐκ ἐχόντων θέσιν χρόνος ἀριθμὸς καὶ λόγος. τὰ γοῦν θέσιν ἔχοντα τρία θέλει ἔχειν, ἐν τόπῳ εἶναι, τουτέστι κεῖσθαί που, καὶ δεῖξιν ἔχειν οἱονεὶ αἴσθησιν, καὶ συνεχὲς εἶναι. ἐπειδὴ δὲ ὁ χρόνος καὶ κεῖταί που καὶ συνεχής ἐστι, δεῖξιν δὲ οὐκ ἔχει (ἅμα γὰρ παρῆλθε καὶ ἔφθαρται, ἐν γὰρ τῷ γενέσθαι τὸ εἶναι ἔχει), τούτου χάριν μετὰ τῶν μὴ ἐχόντων θέσιν ἀπαριθμεῖται αὐτόν. πάλιν τὰ συνεχῆ καὶ τάξιν ἔχει. διὸ καὶ ὁ χρόνος τάξιν ἔχει. τὰ δὲ τάξιν ἔχοντα οὐ πάντως καὶ θέσιν ἔχει· ἰδοὺ γὰρ ὁ χρόνος θέσιν μὲν οὐκ ἔχει, τάξιν δὲ ἔχει. εἶτα τρίτην διαίρεσιν φησὶ τοῦ ποσοῦ, ὅτι τὸ ποσὸν ἢ καθ' αὑτό ἐστιν ἢ κατὰ συμβεβηκός. ὄντος γὰρ τοῦ μεγάλου καὶ μικροῦ καὶ πολλοῦ καὶ ὀλίγου τὸ μὲν μέγα καὶ μικρὸν τῶν συνεχῶν κατηγορεῖται, τὸ δὲ πολὺ καὶ ὀλίγον τῶν διωρισμένων. ὅσα οὖν τούτων ἢ μέγα ἢ μικρὸν ἢ πολὺ ἢ ὀλίγον ἀμέσως κατὰ τοῦ ποσοῦ λέγονται, ταῦτα κυρίως εἰσὶ ποσά, ὅσα δὲ διὰ μέσου τινός, κατὰ συμβεβηκός. οἷον κυρίως ποσόν, ὅταν εἴπω πολλὴν τὴν ἐπιφάνειαν, κατὰ συμβεβηκὸς δὲ ὅταν εἴπω πολὺ τὸ λευκόν· διὰ γὰρ τὴν ἐπιφάνειαν λέγω, ἐν ᾗ ἐστὶ τὸ λευκόν. πάλιν πολὺς ὁ χρόνος κυρίως, πολλὴ δὲ ἡ πρᾶξις οὐ κυρίως. ἰστέον ὅτι τὸ ποσὸν ἀντιδιήρηται καὶ τῷ μεγάλῳ καὶ τῷ πολύ. μετὰ τοῦτο ἑτέραν διαίρεσιν παραδέδωκεν, ὅτι τὸ ποσὸν ἢ ὡρισμένον ἐστὶν ἢ ἀόριστον F 7 ἔστι] ἔτι F 8 ante διωρισμένον add. Ζητητέον τίνος χάριν εἶπεν 'ἔτι δὲ παρὰ ταῦτα χρόνος καὶ τόπος', καὶ μὴ εἶπεν οὕτω 'συνεχὲς δὲ γραμμὴ ἐπιφάνεια σῶμα τόπος χρόνος'. πρὸς ὃ ἐροῦμεν, ὅτι ἡ μὲν γραμμὴ καὶ τὸ σῶμα καὶ ἐπιφάνεια συνεχῆ ἀλλήλοις ἐστίν. ἐξ ἀλλήλων γὰρ τίκτεται. ὁ δὲ τόπος καὶ ὁ χρόνος ἕτερα παρὰ ταῦτα. διὸ τούτου χάριν ἔδοξε ταῦτα χωρίζειν ἐκείνων M διωρ. οὖν M 9 ἀλλήλοις — συνάπτει (10) om. F

p. 4b25 Τῶν μὲν γὰρ τοῦ ἀριθμοῦ μορίων οὐδείς ἐστι κοινὸς ὅρος, πρὸς ὃν συνάπτει τὰ μόρια αὐτοῦ.

Ὅτι μὲν ποσόν ἐστιν ὁ ἀριθμός, οὐ κατασκευάζει ὡς ἐναργές, ὅτι δὲ διωρισμένον, ἀποδείκνυσιν ἐκ τοῦ μηδένα ἔχειν αὐτὸν κοινὸν ὅρον τὸν τὰ μόρια αὐτοῦ συνάπτοντα πρὸς ἄλληλα.

p. 4b28 Καὶ τὰ τρία γε καὶ τὰ ἑπτὰ πρὸς οὐδένα κοινὸν ὅρον συνάπτει.

Τοῦτ' ἔστι φύσει διωρισμένος ὁ ἀριθμός ἐστι· τὰ γὰρ πέντε καὶ τὰ πέντε ἀεὶ διώρισται καὶ πρὸς οὐδένα κοινὸν ὅρον συνάπτει.

p. 4b32 Ὅτι μὲν γὰρ ποσόν ἐστιν.

Δείκνυσι περὶ τοῦ λόγου ὅτι ποσὸν καὶ ὅτι διωρισμένον ποσόν ἐστιν, ἀλλὰ πρῶτον ὅτι ποσόν. οὐχ ἁπλῶς ὁμολογουμένου τοῦ τὸν λόγον εἶναι ποσόν, εἰ μὴ μετά τινος ἀποδείξεως τοῦτο προβῇ. φησὶ δὴ διὰ τοῦτο τὸν μετὰ φωνῆς λεγόμενον λόγον ποσὸν εἶναι, ὅτι καταμετρεῖται ὑπὸ συλλαβῶν· οὐ γὰρ καθὸ σημαίνει τι οὐδὲ καθὸ σύνθετος· εἰ γάρ τι ὑπό τινος καταμετρεῖται, τὸ καταμετρούμενον τοῦ καταμετροῦντος ἢ διπλάσιον ἢ πολυπλάσιόν ἐστι· ταῦτα δὲ ἴδια τοῦ ποσοῦ. εἰ οὖν φαίνεται τῷ λόγῳ τὸ ἴδιον τοῦ ποσοῦ παρακολουθοῦν, ποσὸν ἂν καὶ ὁ λόγος εἴη. ἀλλὰ πῶς ὁ λόγος ὢν τῶν ἐν συμπλοκῇ θεωρουμένων, εἴ γε ἐξ ὀνόματος καὶ ῥήματος σύγκειται, ὑπὸ μίαν τῶν κατηγοριῶν πίπτει, εἴ γε αἱ κατηγορίαι τῶν ἄνευ συμπλοκῆς εἰσιν; ἐροῦμεν πρὸς τοῦτο ὅτι δεῖ κοινότερον ἀκούειν τοῦ λόγου ὡς σημαίνοντος τὴν λέξιν. ἐπειδὴ δὲ ὁ λόγος πολλαχῶς λέγεται (λέγεται γὰρ καὶ ὁ προφορικὸς λόγος, λέγεται καὶ ὁ ἐνδιάθετος λόγος), νῦν περὶ τοῦ προφορικοῦ λόγου φησίν.

p. 5a1 Ἡ δὲ γραμμὴ συνεχής ἐστι.

Εἰκότως· ἕκαστον γὰρ αὐτῆς μόριον συνάπτει πρὸς ἄλλο κοινῷ ὅρῳ

---

1 ἐπὶ μὲν γὰρ τῶν F 3 συναργές F 4 διωριμένων (sic) F 6 γε] γὰρ M
8 ἐστὶν ὁ ἀρ. colloc. M τὰ δὲ πέντε καὶ πέντε M 11 πρότερον περὶ τοῦ λόγου δείκνυσιν ὅτι ὁ λόγος ποσόν ἐστιν, εἶθ' οὕτως ὅτι καὶ διωρισμένον ἐστὶν ὁ λόγος δείκνυσιν ἀλλὰ πρῶτον M 12 ποσὸν] τὸ ποσὸν M: om. F 13 ποσοῦ F δὴ Paris. 1973: δὲ FM
14 post ὅτι additum καὶ del. F 17 πολλαπλάσιον M 18 ἀλλὰ] ἄξιον δὲ ζητήσεως M
21 ἐροῦμεν οὖν M 22 ἐπειδὴ — φησίν (24) eicias 23 λέγεται γὰρ — ἐνδιάθετος λόγος] ὁ προφορικὸς γὰρ καὶ ἐνδιάθετος λόγος λέγεται F 24 ante νῦν add. ὡσαύτως καὶ ὁ ψυχικός F 25 συνεχές M καὶ εἰκότως F 26 ἄλλο scripsi: ἄλλω F: evan. M

τῷ σημείῳ. δεῖ δὲ λαβεῖν τὴν διαίρεσιν νῷ καὶ μὴ ἐνεργείᾳ, ἐπεὶ διαιρήσεις αὐτὴν καὶ οὐκ ἐάσεις εἶναι συνεχῆ.

p. 5a3 Τὰ γὰρ τοῦ ἐπιπέδου μόρια.

Ὁ μὲν γεωμέτρης ἐπίπεδον καλεῖ τὴν ἀποτεταμένην ἐπιφάνειαν, οἱ δὲ παλαιοὶ τὸ ἐπίπεδον ἐπὶ πάσης ἐπιφανείας ἔλεγον. ὁ δὲ κοινὸς ὅρος τῆς ἐπιφανείας, πρὸς ὃν τὰ μόρια αὐτῆς συνάπτουσι πρὸς ἄλληλα, ἐστὶν ἡ γραμμή. λέγεται δὲ καὶ τὸ σῶμα ποσὸν κατὰ τὰς τρεῖς διαστάσεις καὶ μόνον ἐπεὶ καθὸ ὑποκείμενόν ἐστι τοῖς συμβεβηκόσι καὶ ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ ὂν δεκτικὸν τῶν ἐναντίων, τῇ οὐσίᾳ ὑποτάσσεται. συνῆπται δὲ τὸ ποσὸν τῇ σωματικῇ οὐσίᾳ, διὸ καὶ εὐλόγως περὶ τούτου μετὰ τὴν οὐσίαν λέγει.

p. 5a6 Ἔστι δὲ καὶ ὁ χρόνος καὶ ὁ τόπος τῶν τοιούτων.

Ἤγουν τῶν συνεχῶν· ὁ γὰρ παρεληλυθὼς χρόνος καὶ ὁ μέλλων συνάπτει πρός τινα κοινὸν ὅρον τὸν νῦν.

p. 5a8 Πάλιν ὁ τόπος τῶν συνεχῶν.

Τόπος δέ ἐστιν, ὡς ἐν τῇ Φυσικῇ ἀκροάσει λέγεται, πέρας τοῦ περιέχοντος, καθὸ περιέχει τὸ περιεχόμενον· οἷον τοῦ οἴνου τόπος ἡ τοῦ κεράμου κοίλη ἐπιφάνεια· οὐδὲ γὰρ ὅλος ὁ κέραμος· οὗτος γὰρ | ἔχων 109r κοιλότητα καὶ κυρτότητα ἐν τῇ κοιλότητι περιέχει τὸ τοῦ οἴνου σῶμα· κἂν γὰρ ξέσωμεν τῆς ἐκτὸς ἐπιφανείας μέρος τι ὡς σώζεσθαι τὴν ἐντός, οὐδὲν ἧττον περιέχεται ὁ οἶνος. ὃ οὖν λέγει, τοῦτό ἐστιν· εἰ πᾶν σῶμα ἐν τόπῳ, τὸ δὲ σῶμα συνεχὲς καὶ πρός τινα κοινὸν ὅρον τὰ μόρια αὐτοῦ συνάπτει, καὶ ὁ τοῦ σώματος ἄρα τόπος συνεχὴς καὶ πρός τινα κοινὸν ὅρον αὐτοῦ τὰ μόρια συνάπτει· εἰ γὰρ μὴ συνάπτει τὰ τοῦ τόπου μόρια πρός τινα κοινὸν ὅρον, ἀλλὰ διῄρηνται ἀπ' ἀλλήλων, ἔσται τι τῶν τοῦ σώματος μορίων μὴ ὂν ἐν τόπῳ, ὅπερ ἐστὶν ἄτοπον.

p. 5a13 Ἔτι τὰ μὲν ἐκ θέσιν ἐχόντων.

Διελὼν τὸ ποσὸν εἴς τε τὸ διωρισμένον καὶ τὸ συνεχὲς καὶ ἐπι-

---

1. 2 διαιρεῖς καὶ οὐκ ἐᾷς αὐτὴν M 4 ὁ μὲν γὰρ F ἐπιτεταμένην F 5 πάσης τῆς F 7 καὶ om. M τὰς om. M 8 ἐπεὶ eicias ante τοῖς συμβ. add. τὸ σῶμα F 9 ὂν om. M τῇ] ἐστι F 10. 11 μετὰ τ. οὐσ. π. τούτου colloc. M 12 ἔστι — τοιούτων] ὁ γὰρ νῦν χρόνος συνάπτει M 13 ἤγουν τῶν συνεχῶν] ἐκ τούτων δείκνυσι τὸν χρόνον τῶν συνεχῶν M 15 καὶ ὁ τόπος πάλιν F 16 ἐν τ. φ. ἀκρ.] τῇ φυσικῇ F (cf. Δ 4 p. 212a20) 18 ὅλως F 19 κυρτ. καὶ κοιλ. colloc. M 23 συνεχὲς M 24 μὴ γὰρ colloc. M τοῦ τόπου] τούτου M 25 ἔστι M 26 μορίων om. F 28 εἴς] πρός M

διελὼν εἴς τε τὸ ἐκ θέσιν ἐχόντων τῶν μορίων καὶ μή, διαλεχθεὶς πρότερον περὶ τῶν | συνεχῶν καὶ διωρισμένων, νῦν τὴν ἐπιδιαίρεσιν ἐπισκέπτε- 109v
ται. δεῖ δὲ τὰ ἐξ ἐχόντων θέσιν τρισὶ τούτοις χαρακτηρίζεσθαι. τῷ τε ὑποκειμένῳ καὶ τῷ κεῖσθαι αὐτῶν τὰ μόρια καὶ μὴ ἀφανίζεσθαι, τοῦτ'
5 ἔστιν ἕν τινι εἶναι. καὶ τῷ τάξιν ἔχειν πρὸς ἄλληλα.

p. 5a22 Ἐπὶ δὲ τοῦ ἀριθμοῦ.

Τὰ γὰρ τοῦ τόπου μόρια κεῖται ἕν τινι, τῷ σώματι οὗ ἐστιν ὁ τόπος *

p. 5a25 Ἡ ποιά γε πρὸς ἄλληλα συνάπτει τῶν μορίων. οὐδὲ
10 τὰ τοῦ χρόνου.

Οὐδὲ γὰρ ὅλος ὁ χρόνος ἅμα ὑφίσταται, ἀλλὰ κατὰ μόνον τὸ νῦν, ἐν δέ γε τῷ γίνεσθαι καὶ φθείρεσθαι μόνον τὸ εἶναι ἔχει. ὃ οὖν οὐχ ὑπομένει, πῶς ἔχοι τινὰ θέσιν λαβεῖν:

p. 5a28 Ἀλλὰ μᾶλλον τάξιν τινά.

15 Τάξιν δὲ λέγει φυσικήν· πρότερον γὰρ τὸ νῦν τοῦ μέλλοντος, οὐκέτι δὲ τὸ μέλλον τοῦ νῦν πρότερον. καὶ τοῦτό ἐστι τάξις φυσική, ὅταν μὴ ἀνακάμπτῃ. πρὸς ἡμᾶς δὲ τάξις ἐστίν, ὅταν ἀδιαφόρως ἀνακάμπτῃ, οἷον †'πρῶτος ὅδε τῶνδε' ἀπὸ τῶν δεξιῶν ἀρξάμενοι τοῦ πρώτου, καὶ πάλιν εἰ βουληθείημεν ἀπὸ τῶν ἀριστερῶν ἀρξάμενοι εἰπεῖν.

20 p. 5a23 Καὶ ἐπὶ τοῦ ἀριθμοῦ δὲ ὁμοίως.

Ἐπειδὴ ὁ ἀριθμὸς διττός, ὁ μὲν ἐν τῇ ψυχῇ ἀριθμῶν, ὁ δὲ ἐν τοῖς ἀριθμητοῖς (ὥσπερ καὶ ξέστης διττός, ὁ μὲν ὡς μετρῶν οἷον ὁ χαλ-

---

1 τῶν om. M μὴ eras. M ante διαλεχθεὶς add. καὶ F² 3. 4 ὑποκειμένω] ὑπομένειν M 4 καὶ τῷ κεῖσθαί που τουτέστιν ἕν τινι εἶναι καὶ σώζεσθαι αὐτῶν τὰ μόρια καὶ μὴ ἀφαν. καὶ τῷ τάξιν ἔχειν π. ἀ. M αὐτοῦ F 4. 5 τοῦτ'—εἶναι post ὑποκειμένῳ collocaveris 6 δέ γε Aristot. 7 ὁ om. M 8 post τόπος defectum signavi 9 συνάπτει—χρόνου (10) om. M post μορίων fort. scholion interiit 11 ὅλος ἅμα ὁ χρ. colloc. M τὸν νῦν F 12 γε om. M γενέσθαι F μόνον εὐθὺς M δ] εἰ M 13 ἔχει M θέσιν λ. τινα colloc. M 14 μᾶλλον] μόνον F 15 δὲ om. M φυσ. λέγει colloc. M 16 καὶ τὸ μέλλον M 17 ἀνακάμπτῃ] ἀναστραφῇ M 18 πρῶτος—εἰπεῖν F: πρῶτος ὅσδε (sic) τῶνδε ἀπὸ τῶν δεξιῶν ἀρχόμενοι τούτου ἐροῦμεν, ἀλλὰ ἔξεστι καὶ τὸ ἀνάπαλιν ἐκ τῶν ἀριστερῶν ἀρχόμενοι εἰπεῖν M; locus sanari vix potest: οἷον ὅταν ἀπὸ τῶν δεξιῶν ἀρξάμενοι πρῶτον εἴπωμεν τὸν δεξιόν, πάλιν δὲ εἰ βουληθείημεν ἀπὸ τῶν ἀριστερῶν ἄρξασθαι τὸν ἀριστερὸν πρῶτον εἴπωμεν Philop. 22 καὶ supra scr. F μετρῶν Philop.: μέτρον F: μετρεῖν M 22. p. 60,1 χαλκὸς F

κοῦς ξέστης, ὁ δὲ ὡς μετρούμενος οἷον οἴνου καὶ μέλιτος), ἐπεὶ οὖν ὁ ἀριθμὸς διττός, ὡς εἴρηται, ὁ μὲν ἐν τῇ ψυχῇ ὁ δὲ ἐν τοῖς αἰσθητοῖς, ὁ μὲν ἐν τῇ ψυχῇ ἀριθμὸς δῆλον ὅτι οὐκ ἂν εἴη ἐκ θέσιν ἐχόντων μορίων (οὐ γὰρ ἔχει τινὰ θέσιν τὰ μόρια αὐτοῦ, ἀλλ' ἔστι μόνον ἐν τῇ ψυχῇ
5 νοητός), ὁ δὲ ἐν τοῖς ἀριθμητοῖς οἷον ἐν τοῖς δέκα ἀνθρώποις ἢ ἵπποις ἐξ ἐχόντων θέσιν ἐστί· τὰ γὰρ μόρια αὐτοῦ κεῖταί που καὶ θέσιν τινὰ ἔχει πρὸς ἄλληλα· διὰ τοῦτο οὕτως εἶπεν θέσιν δὲ οὐ πάνυ λάβοις ἄν, καὶ οὐκ εἶπεν 'οὐδαμῶς λάβοις ἄν'.

p. 5a33 Καὶ ὁ λόγος δὲ ὡσαύτως.

10 Τοῦτ' ἔστι καὶ ὁ λόγος τῶν μὴ ἐχόντων θέσιν ἐστίν· ἐπειδὴ γὰρ ἐν τῷ λέγεσθαι τὸ εἶναι ἔχει καὶ οὐδὲν αὐτοῦ τῶν μορίων μένει, ἵνα καί τινα θέσιν λάβῃ.

p. 5b1 Οἷον πολὺ τὸ λευκόν.

Ἔργον ἐπιστήμονος μὴ μόνον τὰ ὑποβεβλημένα αὐτῷ πράγματα
15 σκοπεῖν, ἀλλὰ καὶ τὰ δοκοῦντα μὲν εἶναι, κατὰ ἀλήθειαν δὲ οὐκ ὄντα διεξέρχεσθαι καὶ διελέγχειν. ἐπεὶ οὖν τὸ λευκὸν δοκεῖ ποσὸν εἶναι (λέγομεν γὰρ πολὺ καὶ ὀλίγον λευκόν, ἅπερ ἐστὶ τοῦ ποσοῦ, ἀλλὰ καὶ τὴν πρᾶξιν λέγομεν μακράν), φησὶν ὅτι κυρίως οὐκ εἰσὶ ταῦτα ποσά, ἀλλὰ κατὰ συμβεβηκός· ἐπειδὴ γὰρ τὸ λευκὸν ἐν ἐπιφανείᾳ, ἐκείνης πολλῆς ἢ
20 ὀλίγης οὔσης λέγομεν τὸ λευκὸν πολὺ ἢ ὀλίγον εἶναι. ὁμοίως δὲ καὶ ἐπὶ τῆς πράξεως οἷον πόλεμος μακρὸς λέγεται κατὰ συμβεβηκός· ἐπειδὴ γὰρ ὁ πόλεμος ἔν τινι χρόνῳ γέγονεν οἷον ἐν δέκα ἔτεσι, λέγομεν | ⟨δὲ⟩ τὸν 110r
χρόνον μακρὸν εἶναι, διὰ τοῦτο καὶ τὴν πρᾶξιν κατὰ συμβεβηκὸς μακρὰν εἶναι λέγομεν. καὶ ἡ κίνησις πολλὴ λέγεται τῷ τὸν χρόνον πολὺν εἶναι· ὁ
25 χρόνος γὰρ μέτρον ἐστὶ κινήσεως· μῆνα γὰρ λέγομεν τὴν τῆς σελήνης ἀποκατάστασιν, ἐνιαυτὸν δὲ τὴν τοῦ ἡλίου, νυχθήμερον δὲ τὴν τοῦ παντὸς οὐρανοῦ· ἐὰν γάρ τις ἐρωτηθῇ πόση τίς ἐστιν ἡ πρᾶξις, τὸν χρόνον ἀποκρίνεται, οἷον δεκαετής. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἐπιφανείας· ὅση γὰρ ἂν ἡ ἐπιφάνεια ᾖ, τοσοῦτον καὶ τὸ λευκὸν φήσειεν εἶναι· ἐὰν γὰρ ἐρωτη-

---

1 post ξέστης add. εἰ τύχοι M οἴνου ξέστης ἢ καὶ μέλιτος M 2 ὁ δὲ — ψυχῇ (3) om. F 5 ἀριθμοῖς M 7 τοῦτο δὲ F λάβῃ τις ἄν F 8 λάβῃς F 10 τοῦτ' ἔστι καὶ ὁ λ.] φησὶ F 13 οἷον om. F 15 σκοπεῖν πρ. colloc. F 16 διελλέγχειν F δοκεῖ τὸ λευκὸν colloc. M 17 λευκὸν καὶ πολὺ καὶ ὀλ. M ἅπερ] ἅτινα F τοῦ ποσοῦ ἐστι colloc. M 20 ἢ ὀλίγον εἶναι ἢ πολλὸ (sic) F δὲ om. F 21 ὁ πόλεμος F 21. 22 γὰρ ὁ πόλεμος om. F 22 λέγ. δὲ Philop.: καὶ διὰ τοῦτο λέγ. F: λέγ. M 23 χρόνον] πόλεμον F διὰ τοῦτο καὶ τὴν πρ.] ὁμοίως καὶ τὴν πρ. διὰ τοῦτο F 23. 24 λέγ. μακράν (εἶναι om.) M 24 καὶ ἡ κίνησις — πολὺν εἶναι] ὥστε τὰ κυρίως λεγόμενα ποσὰ μόνα τὰ εἰρημένα ἐστί, τὰ δ' ἄλλα κατὰ συμβεβηκὸς λέγεται. tum lemma τῷ γε τὸν χρόνον πολὺν εἶναι M 24. 25 ὁ γὰρ χρ. M 26 τὴν τοῦ ἡλίου — τὴν τοῦ om. F 27 οὐρανοῦ om. M τις (prius) om. F 29 φησὶν M

θῶμεν πόσον ἐστὶ τὸ λευκόν, λέγομεν δίπηχυ, ὅση ἐστὶν ἡ ἐπιφάνεια ἡ ἔχουσα τὸ λευκόν. ὥστε οὐκ αὐτὸ τὸ λευκὸν λέγομεν πολὺ ἢ ὀλίγον εἶναι, ἀλλὰ τὴν ἐπιφάνειαν· δύναται γὰρ τὸ ἐν πηχυαίᾳ ἐπιφανείᾳ λευκὸν μᾶλλον εἶναι λευκὸν τοῦ ἐν διπήχει, καὶ τότε οὐ λέγομεν λευκὸν πλέον, ἀλλὰ λευκὸν λευκοῦ μᾶλλον.

p. 5b11 Ἔτι τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον.

Παραδοὺς ἡμῖν τὴν διαίρεσιν τοῦ ποσοῦ καὶ εἰπὼν ποῖά τέ ἐστι τὰ κυρίως ποσὰ καὶ ποῖα τὰ κατὰ συμβεβηκὸς λεγόμενα, βούλεται νῦν, ὥσπερ ἐπὶ τῆς οὐσίας πεποίηκεν, ἴδιον ἀποδοῦναι τοῦ ποσοῦ. |

---

1. 2 ἡ ἔχουσα τὸ λευκόν] ἐν ᾗ ἐστι τὸ λευκόν M 2 ὥστε — ἐπιφάνειαν (3)] ἢ πολὺ ἢ ὀλίγον ὡς πρὸς τὸ ὑποκείμενον M αὐτὸ Philop.: ἂν F 3 γὰρ] δὲ M τὸ ἐν πηχυαία ἐπιφ. Philop.: ἡ ἐν πήχει ἐπιφάνεια FM λευκὸν] λευκὴ οὖσα F 4 λευκὸν] λευκὴ F: om. M τοῦ] τῆς F τότε] ὅτι γε F 6 ἔτι τῷ ποσῷ] τῷ δὲ ποσῷ M 7 παραδοὺς — ἀποδοῦναι τοῦ ποσοῦ (9)] Δύο ταῦτα ζητοῦμεν ἐνταῦθα, τουτέστι πῶς τῷ ἔτι δὲ ἐχρήσατο, ὡς δηλονότι καὶ ἑτέρου προαποδεδομένου (πρὸς ἀποδ. F) ἰδίου, καὶ πάλιν πῶς ἐν τῷ τῆς οὐσίας λόγῳ φθάσας εἶπε τὸ 'οὐδὲ τῷ ποσῷ ἐστὶν ἐναντίον' καὶ ἐνταῦθα πάλιν αὐτοῦ ἐμνήσθη, καὶ ταῦτα φιλοσύντομος ὢν ἀεί. καὶ πρὸς μὲν τὸ πρῶτον φαμὲν ὅτι καὶ ἕτερον ἴδιον λεληθότως ἀποδέδωκε, τοῦτο δέ ἐστι τὸ καταμετρεῖσθαι. ἔλεγε γὰρ ὅτι ὁ λόγος μακρᾶ καὶ βραχεῖα συλλαβῇ καταμετρεῖται, καὶ ὁ ἀριθμὸς δὲ τῷ ἀρτίῳ καὶ τῷ περιττῷ, καὶ ὁ χρόνος δὲ εἰ τύχη μηνὶ καὶ ἐνιαυτῷ. καὶ διὰ τοῦτο τῷ ἔτι ἐχρήσατο. πρὸς δὲ τὸ δεύτερον φαμὲν ὅτι ἐν τῷ τῆς οὐσίας λόγῳ τὸ ὅτι οὐ μόνῳ τῷ ποσῷ ὑπάρχει μὴ ἔχειν ἐναντίον ἔδειξεν, ἐνταῦθα δὲ ζητεῖ πότερον (πρότερον F) παντὶ ὑπάρχει (ὑπάρχειν F) ἢ μὴ παντί. λοιπὸν δεικνύομεν ὅτι οὐδέν ἐστιν ἐναντίον τῷ πολὺ καὶ ὀλίγῳ ἐκ τοῦ τὰ ἐναντία φθαρτικὰ εἶναι ἀλλήλων, τὸ δὲ πολὺ ἐκ τοῦ ὀλίγου συμπληροῦται. οὐκ ἄρα ἐστὶν ἐναντίον. μετὰ ταῦτα ζητοῦμεν, πῶς εἰ τῷ διωρισμένῳ ποσῷ τὸ πολὺ καὶ ὀλίγον κυρίως λέγεται, εὑρίσκομεν καὶ ἐπὶ τοῦ συνεχοῦς πολὺ καὶ ὀλίγον λεγόμενον, οἷον πολὺ τὸ σῶμα, πολὺ τὸ ὕδωρ, ἅπερ ἐστὶ συνεχῆ. καὶ λέγομεν πρὸς τοῦτο ὅτι τὸ συνεχὲς δύναται καὶ ἐνεργείᾳ καὶ ἐπινοίᾳ διαιρεθῆναι, τὸ δὲ διαιρεθὲν οὐκέτι καὶ συνεχὲς εἶναι. διὰ τοῦτο τὸ μὲν πολὺ καὶ τὸ ὀλίγον ἐπὶ τῶν συνεχῶν λέγονται, οἷον τὸ μέγα καὶ τὸ μικρὸν ἐπὶ τῶν διωρισμένων. οὔτε δὲ φαμὲν ἐπιδέχεσθαι ἐναντιότητα τὸ ποσόν, ὥσπερ ἐπὶ τῆς γραμμῆς φαμὲν ὅτι τὸ πάθος αὐτῆς ἐστιν ἡ εὐθύτης καὶ ἡ καμπυλότης, καὶ τοῦ ἀριθμοῦ τὸ ἄρτιον καὶ τὸ περιττόν, οὕτω φαμὲν πάθος εἶναι τοῦ ποσοῦ τὸ μέγα καὶ τὸ μικρὸν καὶ πολὺ καὶ ὀλίγον, ὅτι περὶ τὸ ποσὸν συμβαίνουσιν ἐν ἄλλῳ καὶ ἄλλῳ χρόνῳ, ὡς αὐτῷ τῷ ἀριστοτέλει δοκεῖ ἐν τοῖς μετὰ τὰ φυσικὰ καὶ πλάτωνι καὶ πλωτίνῳ ἐν τοῖς ἐννεάσιν. ἔτι δὲ φαμὲν ὅτι τὰ μετρούμενα ἢ ἴσα ἴσοις μετροῦνται (μετρῶνται F) ὡς δέκα ξύλα πήχεα δέκα πήχεσιν ἴσοις ἢ ἀνίσοις πήχεσιν μετροῦνται (ὡς — μετροῦνται F³), ἢ ἄνισα ἀνίσοις, ὡς ὅταν καὶ τὰ μετρούμενα καὶ τὰ | μετροῦντα ἄνισα ἑαυτῶν ὦσιν. μετὰ τοῦτο φησὶν ὁ ἀριστοτέλης ὅτι μᾶλλον δοκεῖ ἡ ἐναντιότης περὶ τὸ ἄνω καὶ κάτω, ἐὰν ἄρα θέλωσι τινὲς ἐναντιότητα τοῦ ποσοῦ εἰπεῖν. πρὸς οὓς φαμὲν ὅτι τὸ ἄνω καὶ κάτω διττόν· ἢ γὰρ πρὸς ἡμᾶς ἢ πρὸς τὴν φύσιν. καὶ εἰ μὲν πρὸς ἡμᾶς εἴποιεν, λέγομεν ὅτι τὸ ἄνω πρὸς τὸ κάτω λέγεται καὶ τὸ κάτω ὡς πρὸς τὸ ἄνω, ὥστε τῶν πρός τι εἰσὶ καὶ οὐ τοῦ ποσοῦ. εἰ δὲ πρὸς τὴν φύσιν, ἐπειδὴ οὐδέποτε μεταβάλλεται τὸ (τῷ F) ἄνω καὶ γίνεται κάτω ἢ ἐναλλάξ, ἴδιον δὲ τῶν ἐναντίων τὸ μεταβάλλειν εἰς ἄλληλα, οὐκ ἄρα εἰσὶν ἐναντία. F

p. 5b14 Εἰ μὴ τὸ πολὺ τῷ ὀλίγῳ. 111r

Ἐνταῦθα οἰκείως τὸν περὶ τούτων ἐξετάζει λόγον, εἰ τὸ μέγα καὶ τὸ μικρὸν ἐναντία εἰσίν· ἐν γὰρ τῷ περὶ τῆς οὐσίας λόγῳ μνησθεὶς μόνον παρῆλθε. συγχωρήσας αὐτὰ ἐναντία εἶναι τῇ ἀντιπαραστάσει. ἔστι δὲ τοῦ ποσοῦ τὰ μὲν ὡρισμένα, τὰ δὲ ἀόριστα· ὡρισμένα μὲν ὡς τὸ δίπηχυ καὶ τὸ τρίπηχυ, ἃ καὶ κυρίως ποσά ἐστιν, ἀόριστα δὲ ὡς τὸ μέγα καὶ μικρὸν καὶ πολὺ καὶ ὀλίγον. ἔστι δὲ τὸ μὲν μέγα καὶ μικρὸν ἀπὸ τοῦ συνεχοῦς (μέγα γὰρ σῶμα καὶ μικρὸν λέγομεν, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων συνεχῶν καὶ θέσιν ἐχόντων), τὸ δὲ πολὺ καὶ ὀλίγον ἀπὸ τοῦ διωρισμένου καὶ θέσιν μὴ ἔχοντος· πολὺς γὰρ ὁ χρόνος καὶ ὀλίγος λέγεται, ὁμοίως καὶ ὁ ἀριθμός. διὸ καὶ ἐπὶ τῶν παραδειγμάτων γυμνάσας τὸ μέγα καὶ μικρὸν ἐπὶ τοῦ ὄρους ἔλαβε καὶ τῆς κέγχρου, ἅπερ ἦν τοῦ συνεχοῦς· σῶμα γὰρ ἑκάτερον.

p. 5b16 Οὐδὲν γὰρ αὐτὸ καθ' αὑτὸ μέγα λέγεται ἢ μικρόν.

Πάλιν ἐνταῦθα κατὰ συγχώρησιν· εἰ γὰρ καὶ ἐναντία εἰσὶ τὸ μέγα καὶ τὸ μικρόν, οὐκ εἰσὶ ποσά, ἀλλὰ τῶν πρός τι· τὸ γὰρ μέγα τοῦ μικροῦ λέγεται μέγα καὶ τὸ μικρὸν τοῦ μεγάλου μικρόν. ὕστερον δὲ δείκνυσιν ὅτι οὐδὲ ἐναντία εἰσιν, ἀλλὰ πρὸς ἕτερον ἀναφέρεται.

p. 5b18 Οἷον ὄρος μὲν μικρόν.

Εἰ γὰρ αὐτὸ καθ' αὑτὸ ἐλέγετο τὸ μέγα καὶ τὸ μικρόν, οὐδέποτε τὸ μὲν ὄρος μικρὸν ἡ δὲ κέγχρος μεγάλη ἐλέγετο. οὐκοῦν τὸ μὲν ὄρος μικρὸν λέγομεν δηλονότι πρὸς ἄλλο ὄρος αὐτὸ παραβάλλοντες, τὴν δὲ κέγχρον μεγάλην ἄλλης δηλονότι μείζονα. οὐκ ἄρα αὐτὸ καθ' αὑτὸ λέγεται μέγα ἢ μικρόν, ἀλλὰ πρὸς ἄλλο. τὸ δ' αὐτὸ γυμνάζει καὶ ἐπὶ πολλῶν καὶ ὀλίγων, ἅπερ οὐκ εἰσὶ τοῦ ἀριθμοῦ, τοῦτ' ἔστι τοῦ διωρισμένου, ἀλλὰ μᾶλλον τῶν πρός τι.

---

1 μή τις F: μὴ ἄρα Aristot. πολὺ καὶ τῷ F 2 τὸν om. F εἰ om. F 2. 3 τὸ μέγα φησὶν τῷ μικρῷ ἐναντίον ἐστίν F 3 ἐν τῷ περὶ τῆς οὐσίας λ.] p. 3b29 μνημονεύσας M 5. 6 ὡς τὰ εἰρημένα ἃ καὶ κ. π. ἐστι, τὸ δίπηχυ καὶ τὸ τρίπηχυ M 8 γὰρ] δὲ M 11 καὶ (prius) om. M 12 κέχρου F (ubique) ἦν om. F 14 οὐδὲν — μικρόν] μεταβέβηκεν ἐπὶ τὸ πολύ καὶ ὀλίγον, ἅπερ ἦν τοῦ διωρισμένου καὶ μὴ ἔχοντος θέσιν καὶ μεταβαίνων γυμνάζει ἐπὶ πολλῶν καὶ ὀλίγων, ἅπερ ἐστὶ τοῦ ἀριθμοῦ, τουτέστι τοῦ διωρισμένου. Ἀλλὰ τῶν πρός τι M οὐδὲν] οὐδὲ F 15 εἰσὶ] ἐστι M 16 τὸ (ante μικρόν) om. M 17 μέγα] μεῖζον M μεγάλου ἐστὶ μικρόν F 18 οὐδὲ] οὔτε F 21 ἡ δὲ — ἐλέγετο] τὴν δὲ κέγχρον μεγάλην ἐλέγομεν, ἀλλὰ τοὐναντίον M ἡ δὲ κέχρος δὲ F οὐκοῦν τὸ μέν] νῦν δὲ καὶ M 22 post παραβάλλ. add. οὐκοῦν τὸ μὲν ὄρος μικρὸν λέγομεν δηλονότι ἄλλου ὄρους μικρότερον M 23 μείζονος F 24 τὸ μέγα τι καὶ μικρὸν λέγεται M ἄλλο καὶ ἄλλο M τὸ δ' αὐτὸ — πρός τι (26) om. M

p. 5ᵇ26 Ἔτι τὸ μὲν δίπηχυ καὶ τρίπηχυ.

Ἄλλο ἐπιχείρημα κατασκευάζων τὸ μέγα καὶ τὸ μικρὸν μὴ εἶναι τοῦ ποσοῦ, ἀλλὰ μᾶλλον τῶν πρός τί ⟨φησι⟩· φησὶ γὰρ ὅτι τὸ κυρίως ποσὸν καὶ πεπερασμένον ἐστίν, οἷον ἥδε ἡ γραμμὴ καὶ ποσόν ἐστι καὶ τῇ ἑαυτῆς φύσει πεπέρασται δίπηχυς οὖσα, φέρε εἰπεῖν, ἢ δεκάπηχυς. ὁμοίως καὶ τἆλλα ποσὰ ὡρισμένα εἰσί. τὸ δὲ μέγα καὶ τὸ μικρὸν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον οὐκ εἰσὶν ὡρισμένα, οὔτε πρὸς ἡμᾶς οὔτε καθ' ἑαυτά, ἀλλ' ἀόριστα. ὥστε τὸ μέγα καὶ τὸ μικρὸν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον οὐκ εἰσὶ τοῦ ποσοῦ.

p. 5ᵇ30 Ἔτι ἐάν τε τιθῇ τις ταῦτα.

Δείξας ὅτι τῶν πρός τί εἰσι καὶ οὐ τοῦ ποσοῦ, νῦν κατὰ ἀντιπαράστασιν συγχωρῶν φησιν ὅτι κἂν τοῦ ποσοῦ ὦσιν, ὅμως οὐκ εἰσὶν ἐναντία τὸ μέγα τῷ μικρῷ καὶ τὸ πολὺ | τῷ ὀλίγῳ. 111ᵛ

p. 5ᵇ30 Οὐκ ἔστιν αὐτοῖς ἐναντίον.

Ὃ λέγει τοιοῦτόν ἐστι· δεῖ τὰ ἐναντία πρῶτον εἶναι καθ' ἑαυτὰ ἀπολελυμένην ἔχοντα τὴν ὑπόστασιν, εἶτα οὕτως συνέρχεσθαι καὶ τὴν μάχην ἀναδέχεσθαι, τοῦτ' ἔστιν ἀντικεῖσθαι, ὅπερ ἐπὶ τῶν πρός τι ἀδύνατον, διὸ οὔτε πολεμεῖ ἀλλήλοις, ἀλλὰ μᾶλλον καὶ συνεισάγει. ταύτῃ γὰρ διαφέρει τὰ πρός τι τῶν ἐναντίων. ὅτι τὰ μὲν ἐναντία πρῶτον καθ' ἑαυτά ἐστιν. ἔπειτα συμβάλλει καὶ μάχεται, τὰ δὲ πρός τι ἀλλήλοις συντίκτεται. οὕτως οὖν κἂν μηδαμῶς ᾖ λευκόν, μένει τὸ μέλαν, τὸν δὲ πατέρα ἐὰν ἀφέλῃς, οἴχεται ὁ υἱός. ἐπεὶ οὖν τὸ μέγα καὶ τὸ μικρὸν οὐ καθ' αὑτὰ ἀλλὰ πρὸς ἕτερον, ὁμοίως καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον, καὶ οὐκ ἄν αὐτὸ καθ' ἑαυτὸ οὔτε τὸ μέγα οὔτε τὸ μικρὸν ὑποσταίη. δῆλον ὡς οὐκ εἰσὶν ἐναντία.

p. 5ᵇ33 Ἔτι δὲ εἰ ἔσται τὸ μέγα καὶ τὸ μικρόν.

Ἕτερον ἐπιχείρημα διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· φησὶ γὰρ ὅτι εἰ τὸ μέγα καὶ τὸ μικρὸν φαίημεν εἶναι ἐναντία, συμβήσεται τὸ αὐτὸ

---

1 ἔτι οὖν F 2 κατασκευάζων Paris. 1973: κατασκευάζον FM 2. 6 τὸ (ante μικρὸν) om. F 3 φησί inserui ὅτι om. M 5 οὖσα om. M 7. 9 ἔστι M 10 τε τιθῇ] τεθῇ F ταῦτα] αὐτὰ F 11 ἐστι M 12 συγχωρῶν om. F ὦσιν] εἰσίν codd. ὅμως οὐκ εἰσίν suppl. F³ 14 ἐν αὐτοῖς F 15 πρῶτα M 17 τουτέστιν ἀντικ. post συνέρχεσθαι colloc. F 18 ante οὔτε addas οὔτε καθ' ἑαυτά ἐστιν 19 διαφέρει post ἐναντ. colloc. M μὲν om. F 21 ᾖ] εἴη codd. 22 οἴχεται] οὐκέτι ἔσται M 26 δὲ om. M ἔστι M 27 ὅτι om. M 28 καὶ τὸ μικρὸν] τῷ μικρῷ M φαίημεν] φαίνει (sic) M ἐναντίον M ταυτὸν M

μέγα εἶναι καὶ μικρὸν πρὸς ἄλλο καὶ ἄλλο δηλονότι παραβαλλόμενον, ὥστε τῶν ἐναντίων δεκτικὸν εἶναι κατὰ τὸν αὐτὸν χρόνον, καὶ ἔσται αὐτὸ ἑαυτῷ ἐναντίον, ὅπερ ἐστὶν ἀδύνατον. ὥστε τὸ μέγα καὶ τὸ μικρὸν οὐκ ἔστιν ἐναντία.

5 p. 6a1 Οἷον ἐπὶ τῆς οὐσίας· δεκτικὴ μὲν τῶν ἐναντίων.

Δεκτικὴ μὲν γὰρ ἡ οὐσία τῶν ἐναντίων ἐστίν, οὐ μέντοι κατὰ τὸν αὐτὸν χρόνον ἐν τῷ αὐτῷ μέρει ἅμα τὰ ἐναντία ἐπιδέχεται· οὐδέποτε γὰρ ἔσται τὸ αὐτὸ κατὰ τὸν αὐτὸν χρόνον ψυχρὸν καὶ θερμὸν ἢ λευκὸν καὶ μέλαν.

10 p. 6a4 Καὶ αὐτὰ ἑαυτοῖς συμβαίνει ἐναντία εἶναι.

Ἐπιτείνων οὖν τὸ ἄτοπόν φησιν ὅτι εἰ ἔστι τὸ μέγα τῷ μικρῷ ἐναντίον, συμβήσεται οὐ μόνον τὸ αὐτὸ ἅμα κατὰ τὸν αὐτὸν χρόνον τῶν ἐναντίων εἶναι δεκτικόν, ἀλλὰ καὶ αὐτὸ ἑαυτῷ μάχεσθαι, ὅπερ ἀδύνατον· οὐδὲν γὰρ τῶν ὄντων αὐτὸ ἑαυτῷ μάχεται.

15 p. 6a8 Οὐκ ἔστιν ἄρα τὸ μέγα.

Πρότερον ὑποθέμενος αὐτὰ ἐναντία εἶναι ἔδειξεν ὅτι ποσὰ οὐκ ἔστιν, ἔπειτα ὑπέθετο ποσὰ καὶ ἔδειξεν ὅτι οὐκ εἰσὶν ἐναντία. τὸ δὲ ἀληθὲς οὔτε ποσά ἐστιν οὔτε ἐναντία, τῶν δὲ πρός τι. ἀλλ' εἴπερ ἄρα τῶν πρός τί ἐστι, δεῖ αὐτὰ εἶναι ἐν ἑτέρᾳ κατηγορίᾳ, ἵνα δέξηται τῶν πρός τι
20 τὴν σχέσιν. ποῦ δ' ἂν εἴη εἰ μὴ ἐν τῇ τοῦ ποσοῦ, εἴ γε ἐναντία οὐκ ἔστι;

p. 6a12 Μάλιστα δὲ ἡ ἐναντιότης.

Εἰ βούλεταί τις, φησίν, ἐν τῷ ποσῷ ἐναντιότητα θεωρῆσαι, λάβοι τὸ ἄνω καὶ τὸ κάτω· ταῦτα γὰρ καὶ πλεῖστον διεστήκασιν ἀλλήλων, τοῦτ' ἔστι
25 τὸν ὁρισμὸν τῶν ἐναντίων ἐπιδέχεται· οὕτω γὰρ καὶ ὁρίζονται τὰ ἐναντία

---

1 εἶναι μέγα M 2 ὥστε αὐτὸ ἑαυτὸ ἑαυτῷ ἐναντίον καὶ τῶν ἐν. (καὶ ἔσται om.) M εἶναι om. M 2. 3 αὐτὰ ἑαυτῶν ἐναντία F ὅπερ ἐστὶν ἀδ.] ἄτοπα F 4 ἐναντία Laur. 72,5: ἐναντίον FM 5 οἷον ἐπὶ τῆς οὐσίας om. M 6 γὰρ om. F 8 ἐστὶ M ἢ om. F 10 ante καὶ add. ἐπεὶ FM, quod eieci δ' ἑαυτοῖς Aristot. 11 ἐπιτείνων οὖν] ὅπερ ἐπιτείνων M τῷ μέγα τὸ μικρὸν F 13 μάχεται M ἀδύν.] ἄτοπον M 14 αὐτῷ ἑαυτὸ F 15 καὶ οὐκ ἔστιν F 17 οὔτε ὑπέθετο F καὶ om. F 18 εἰσιν M 19 δεῖ] δεῖται M δέξωνται F 23 εἰ βούλ. τις, φησίν] ἐπειδήπερ ἀπέδειξε τὸ μέγα καὶ τὸ μικρὸν καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον ἐν τοῖς προλαβοῦσι μήτε ποσὰ εἶναι μήτε ἐναντία, νῦν φησιν ὅτι εἰ βούλ. τις M ἐν τῷ ποσῷ] ἐπὶ τοῦ ποσοῦ M λάβη F: καὶ λάβοι M 24 γὰρ] δὲ F τουτέστι] καὶ F

'τὰ πλεῖστον ἐν τῷ αὐτῷ γένει ἀπ' ἀλλήλων διεστηκότα.' τούτῳ δὲ οὐκ ἀρέσκεται· οὐ γὰρ ἔστιν ὅλως ἄνω καὶ κάτω, ἀλλὰ πέριξ καὶ μέσον, ἃ οὐκ ἔστιν ἐναντία ἀλλὰ τῶν πρός τι· τὸ γὰρ πέριξ μέσου τινὸς πέριξ λέγεται.

p. 6a17 Τὰ γὰρ πλεῖστον ἀλλήλων.

Ὅρα πῶς ἡ φύσις | βουλομένη ἑνῶσαι τὰ ἐναντία, ὑπὸ τὸ αὐτὸ γένος 112r
αὐτὰ ἐποίησε· λευκοῦ γὰρ καὶ μέλανος ἐναντίων ὄντων γένος τὸ χρῶμα, καὶ θερμοῦ καὶ ψυχροῦ τὸ ποιόν. καὶ εἰς ἓν δὲ ὑποκείμενον τὴν μάχην ποιοῦνται.

p. 6a19 Οὐ δοκεῖ δὲ τὸ ποσὸν ἐπιδέχεσθαι.

Εἰπὼν ὅτι ἴδιον τοῦ ποσοῦ τὸ μηδὲν ἔχειν ἐναντίον καὶ δείξας ὅτι παντὶ τοῦτο ὑπάρχει, οὐκ εἶπεν ὅτι οὐ μόνῳ (δῆλον γὰρ ἦν ἐκ τῶν περὶ τῆς οὐσίας εἰρημένων τοῦτο), ἀλλ' ἐφ' ἕτερον μεταβέβηκε τοῦ ποσοῦ ἴδιον, τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. καὶ τοῦτο εἰκότως· ὅπου γάρ ἐστιν ἐναντιότης, ἐκεῖ τὸ μᾶλλον καὶ ἧττον, ὅπου δὲ οὐκ ἔστιν, οὐδὲ τὸ μᾶλλον καὶ ἧττον εὑρίσκεται· τὸ γὰρ μᾶλλον καὶ ἧττον ἐκ τῆς τῶν ἐναντίων μίξεως γίνεται. ἰστέον δὲ ὅτι καὶ τοῦτο πάλιν ἀποδοκιμάζει ὡς καὶ τῇ οὐσίᾳ ἁρμόζον καὶ ἐπὶ ἕτερον μεταβέβηκεν ἴδιον, ὃ καὶ κυρίως κέκληκεν ἴδιον.

p. 6a26 Ἴδιον δὲ μάλιστα τοῦ ποσοῦ τὸ ἴσον τε.

Οὐκ εἶπε περὶ τοῦ προαποδεδομένου ἰδίου ὅτι οὐκ ἔστι τοῦτο ἴδιον τοῦ ποσοῦ· δῆλον γὰρ ἦν ἐκ τῶν ῥηθέντων ἐν τῷ περὶ τῆς οὐσίας λόγῳ. τοῦτο δὲ κυρίως ἴδιόν ἐστι τοῦ ποσοῦ τὸ ἴσον τε καὶ ἄνισον λέγεσθαι. εἰ δὲ καὶ ἐπ' ἄλλου τινὸς λέγομεν τὸ ἴσον τε καὶ ἄνισον, οὐ καθ' αὑτὸ ἀλλὰ κατὰ συμβεβηκός· οἷον ἴσον λέγομεν εἶναι τοῦτο τὸ λευκὸν σῶμα τούτῳ τῷ λευκῷ σώματι, καὶ ἄνισον δὲ ὡσαύτως, οὐ καθὸ λευκὸν ἀλλὰ καθὸ σῶμα. εἴποι δ' ἄν τις | τῶν ἀκριβῶς ἀκροωμένων 'πῶς ὁ Ἀριστο- 112v
τέλης τὸ σῶμα ἔταξεν ὑπὸ τὴν οὐσίαν καὶ πάλιν ὑπὸ τὸ ποσόν, καίτοι εἴπομεν ἐν τοῖς προοιμίοις ὅτι οὐδὲν τῶν ὄντων ὑπὸ δύο κατηγορίας ἀνάγεται;' φαμὲν οὖν ὅτι κατ' ἄλλο καὶ ἄλλο λαμβάνει τὸ σῶμα· ἔστι γὰρ

---

1 διεστῶτα M 1. 2 οὐκ ἀρέσκεται] ἀπαρέσκονται F 2 τὸ ἄνω καὶ τὸ κάτω M 3 πέριξ λέγ.] ἐστι πέριξ M 5 ἑνῶσαι βουλ. M 18 ἴδιον μεταβαίνει M ὃ — ἴδιον om. M 20 εἶπε τοῦτο F προαποδ.] ἀποδεδομένου F 21 τῆς om. F 22 ἐστι] ἀποδέδωκεν εἶναι F 24 λέγομεν ἴσον colloc. M εἶναι] ἐστὶ M 26 post σῶμα add. τοίνυν κυρίως ἴδιον τοῦ ποσοῦ τὸ ἴσον καὶ ἄνισον. φαμὲν οὖν τρία εἰσί· ταὐτὸν ἕτερον ἴσον καὶ ἄνισον ὅμοιον καὶ ἀνόμοιον. καὶ τὸ μὲν ταὐτὸν καὶ ἕτερον ἐπὶ τῆς οὐσίας ἁρμόσεις, ταὐτὸν γὰρ ἄνθρωπος ἀνθρώπῳ, ἕτερον δὲ ἄνθρωπος ἵππῳ, τὸ δὲ ἴσον καὶ ἄνισον τοῦ ποσοῦ, τὸ δὲ ὅμοιον καὶ ἀνόμοιον τοῦ ποιοῦ, ἐξ ὧν καὶ αἱ λοιπαὶ γίνονται κατηγορίαι F εἴποι — θεωρ. ἔλαβεν (p. 66,3) eicias (cf. p. 58,7) εἴπῃ F 28 ἐν προοιμίοις F (supra id non invenitur)

ἔνυλον σῶμα, οἷον φέρε εἰπεῖν λίθος ἢ ξύλον, ἔστι δὲ καὶ τὸ λόγῳ θεωρούμενον σῶμα ⟨οἷον⟩ τὸ μαθηματικόν. ἐν οὖν τῇ οὐσίᾳ τὸ ἔνυλον σῶμα ἔλαβεν, ἐν δὲ τῷ ποσῷ τὸ λόγῳ θεωρούμενον ἔλαβεν.

Περὶ τῶν πρός τι. 113v

Πρὸ τῆς τῶν πρός τι διδασκαλίας πέντε ταῦτα χρὴ ζητεῖν· τὴν τάξιν 114r αὐτῶν τὴν αἰτίαν τῆς ἐπιγραφῆς τὴν ὑπόστασιν τὸν τρόπον τῆς διδασκαλίας τὴν εἰς τὰ εἴδη διαίρεσιν. καὶ πρῶτον τὴν τάξιν. διὰ ποίαν αἰτίαν τὰ πρός τι προτέτακται τοῦ ποιοῦ, εἴπερ ἁπλῆ τίς ἐστι κατηγορία, ἡ δὲ τῶν πρός τι σύνθετος, ῥᾷον δὲ τὰ ἁπλᾶ μανθάνομεν τῶν πολυσχεδῶν; φαμὲν οὖν ὅτι ἐπειδὴ ἐν τῇ τοῦ ποσοῦ διδασκαλίᾳ ἐμνήσθη τῶν πρός τι, ἵνα μὴ ἐπὶ πολὺν χρόνον ἐάσῃ τὸν ἀκροατὴν ἀγνοοῦντα περὶ αὐτῶν, διὰ τοῦτο εὐθέως περὶ αὐτῶν ποιεῖται τὴν διδασκαλίαν, ὥσπερ καὶ ἐν τῇ οὐσίᾳ μνησθεὶς τοῦ ποσοῦ μετὰ τὴν οὐσίαν εὐθὺς περὶ τούτου διαλέγεται. διὰ τί δὲ Περὶ τῶν πρός τι ἐπιγέγραπται, καὶ οὐχὶ περὶ τοῦ πρός τι ἑνικῶς; λέγομεν ὅτι ἐπειδὴ οὐχ οἷόν τε ἓν πρᾶγμα αὐτὸ καθ' αὑτὸ εἶναι τῶν πρός τι, ἀλλὰ πάντως ἐν δυσὶ θεωρεῖται τὰ πρός τι· τὸ γὰρ δεξιὸν ἀριστεροῦ ἐστι δεξιόν, οὐκ ἂν δὲ εἴποις αὐτὸ καθ' αὑτὸ δεξιόν. καὶ διὰ τοῦτο πληθυντικῶς Περὶ τῶν πρός τι ἐπέγραψεν, ἐπὶ δὲ τῆς οὐσίας ἑνικῶς· δυνατὸν γὰρ ἓν πρᾶγμα οἷον ἄνθρωπον ξύλον εἶναι οὐσίαν, ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ποσοῦ δυνατὸν τὸ δίπηχυ μόνον ποσὸν λέγεσθαι· ἐπὶ δὲ τῶν πρός τι οὐχ ὁμοίως. περὶ δὲ τῆς ὑποστάσεως αὐτῶν τινὲς μὲν ἔλεγον μηδὲν εἶναι τῶν πρός τι φύσει ἀλλὰ θέσει, οἷον τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν καὶ ὅσα τοιαῦτα, οἵτινες οὐκ ὀρθῶς λέγουσιν· οὕτω γὰρ ἔγνωσται ταῦτα τῇ φύσει, ὡς καὶ τὰ μόρια τοῦ σώματος σχέσει τινὶ πρὸς ἄλληλα θεωρεῖται, οἷον τὸ μὲν ἧπαρ δεξιὸν ὁ δὲ σπλὴν ἀριστερός, καὶ οὐκ ἄν ποτε γένοιτο οὔτε τὸ ἧπαρ ἀριστερὸν οὔτε ὁ σπλὴν δεξιός. τινὲς δὲ πάντα πρός τι ἔλεγον, ὧν εἷς ἐστι Πρωταγόρας ὁ σοφιστής· οὗτος γὰρ ἔλεγεν ὅτι πᾶς ὁ ὁτιοῦν λέγων ἀληθεύει· ὁ γὰρ λέγων ὅτι τὸ μέλι

---

1 οἷον om. M καὶ τὸ Paris. 1972: καὶ τῷ F: om. M 2 οἷον Laur. 72, 5: om. FM 3 ἐν δὲ—ἔλαβεν] τὸ σῶμα ποσόν, τὸ ποσὸν συμβεβηκός, τὸ σῶμα ἄρα συμβεβηκός. τὸ ἁπλῶς τριχῇ διαστατὸν οὐσιωδῶς ἐστιν ἐν τῷ σώματι, τὸ δὲ ποσὸν δὴ ποσόν ἐστι κατὰ συμβεβηκός. F 4 tit. περὶ τῶν πρός τι F: ἀμμωνίου περὶ τῶν πρός τι in mrg. M 6. 7 τὴν διδασκαλίαν F 8 an ⟨αὕτη⟩ ἁπλῆ? 12 αὐτῶν (prius) M: τούτου F 13. 14 μετὰ—διαλέγεται] δευτέραν τὴν περὶ τούτου διδασκαλίαν ἐπήνεγκε μετὰ τὴν οὐσίαν εὐθὺς M 15 ἑνικῶς] ὥστε εἶναι τὴν ἐπιγραφὴν ἑνικήν M 17 εἴπης F 18 καὶ διὰ τοῦτο πληθ.] διὰ τοῦτο οὖν ἐπειδὴ τὰ πρός τι ἐν δυσὶ θεωρεῖται M ἐπέγρ.] ἔγραψεν F δὲ scripsi: γὰρ codd. 19 δυνατὸν] δύναται F ἄνθρωπος F ἢ ξύλον M εἶναι οὐσ. post πρᾶγμα colloc. M οὐσία F δὲ om. F 20 ἐπὶ (prius) om. F 23 ὅσα] τἄλλα τὰ M 24 ὡς] ὥστε F 25 θεωρεῖται scripsi: θεωρεῖσθαι codd. 26 post γένοιτο add. τὸ ἀνάπαλιν M 28 ὁ (prius) om. M ὁτιοῦν (ubique) F ὁ γὰρ] οἷον ὁ M ὅτι om. M

γλυκύ ἐστιν ἀληθεύει (πρός τινας γὰρ γλυκύ ἐστι), καὶ ὁ λέγων αὐτὸ πικρὸν ἀληθεύει· πρὸς γὰρ τοὺς ἰκτεριῶντας πικρόν ἐστι. τοῦτον οὖν Πλάτων ἐλέγχων φησὶν ὅτι 'ὦ Πρωταγόρα, ἀληθεύεις λέγων, ὅτι πᾶς ὁ ὁτιοῦν λέγων ἀληθεύει, ἢ ψεύδῃ· εἰ μὲν οὖν ψεύδῃ, εἰκότως διὰ τοῦτό σοι οὐ πιστεύσομεν. εἰ δ' ἀληθεύεις λέγων ὅτι πᾶς ὁ ὁτιοῦν λέγων ἀληθεύει, λέγομεν δὲ περὶ σοῦ ὅτι ψεύδῃ, ἀληθεύομεν ἄρα, ὥστε πάλιν ψεύδῃ, καὶ οὐ πάντα τῶν πρός τί ἐστι.' τινὲς δὲ ὀρθῶς εἶπον ὅτι τῶν πραγμάτων τὰ μέν ἐστι πρός τι, τὰ δὲ αὐτὰ καθ' αὑτά, πρός τι μὲν οἷον δεξιὸν ἀριστερόν, αὐτὰ δὲ καθ' αὑτὰ οἷον σῶμα ἄνθρωπος· καὶ γὰρ ὁ ἄνθρωπος καθὸ ἄνθρωπος οὐκ ἔστι τῶν πρός τι. καὶ ταῦτα μὲν περὶ τῆς ὑποστάσεως τῶν πρός τι. τρόπῳ δὲ διδασκαλίας κέχρηται τοιῷδε· πρότερον ἀποδίδωσι τὸν ὁρισμὸν αὐτῶν, ὃν οἱ παλαιοὶ ἔθεντο, εἶτα δείκνυσιν ἄτοπα πολλὰ τῷ ὁρισμῷ τούτῳ ἑπόμενα, καὶ οὕτως ἕτερον αὐτὸς ἴδιον αὐτῶν ἀποδίδωσιν, ὃ καὶ μόνοις καὶ πᾶσιν ὑπάρχει. ἵνα δὲ μὴ δόξῃ τῶν παλαιῶν κατατρέχειν, | πρότερον τὸν αὐτῶν ὁρισμὸν ὡς ἴδιον τῶν πρός 114v τι ἀποδίδωσιν. ἡ δὲ διαίρεσις τῶν πρός τί ἐστιν αὕτη· τῶν πρός τι τὰ μὲν καθ' ὁμωνυμίαν ὡς τὸ ὅμοιον τῷ ὁμοίῳ ὅμοιον, τὰ δὲ καθ' ἑτερωνυμίαν ὡς τὸ δεξιὸν ἀριστεροῦ δεξιόν. καὶ τούτων τὰ μὲν κατὰ τὸ περιέχον καὶ περιεχόμενον ὡς τὸ διπλάσιον ἡμίσεος διπλάσιον, τὰ δὲ κατὰ τὸ ἄρχον καὶ ἀρχόμενον ὡς ὁ δεσπότης δούλου δεσπότης, τὰ δὲ κατὰ τὸ κρῖνον καὶ κρινόμενον ὡς τὸ αἰσθητὸν αἰσθήσει αἰσθητόν, τὰ δὲ κατὰ τὸ μετέχον καὶ μετεχόμενον ὡς ὁ ἐπιστήμων τῷ μετέχειν ἐπιστήμης λέγεται ἐπιστήμων, τὰ δὲ κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν ὡς ὁ πατὴρ υἱοῦ πατήρ, τὰ δὲ κατὰ τὸ ποιοῦν καὶ πάσχον ὡς ὁ τύπτων τυπτόμενον τύπτει, τὰ δὲ κατὰ τὴν ἐν τόπῳ διαφορὰν ὡς ἀριστερὸς δεξιοῦ ἀριστερὸς καὶ δεξιὸς ἀριστεροῦ δεξιός.

p. 6a36 Πρός τι δὲ τὰ τοιαῦτα λέγεται.

Τῷ λέγεται ἐχρήσατο ὡς μὴ ἀρεσκόμενος τῷ λόγῳ· παρακατιὼν γὰρ δείκνυσιν ἄτοπα πολλὰ τούτῳ τῷ ὁρισμῷ ἑπόμενα, καὶ οὕτως ἄλλον τίθησιν ὁρισμόν.

---

1 ἐστιν om. M τινα M 2 πρὸς γὰρ — πικρόν ἐστι] πρός τινα γὰρ πικρόν ἐστιν ὡς πρὸς τοὺς ἰκτεριῶντας. οὕτως οὖν πᾶς ὁ ὁτιοῦν λέγων ἀληθεύει M ὁ πλάτων] ὁ om. F (spectare videtur Theaet. p. 170 C sq.) 3 ὅτι om. M 4. 5 ἢ ψεύδῃ — πιστεύσομεν om. F 7 πάντα τὰ πράγματα M 9 αὐτὰ δὲ καθ' αὑτὰ] καθ' αὑτὰ δὲ F 10 καὶ ταῦτα — πρός τι (11) om. F 12 οἱ παλαιοὶ αὐτοὶ M 14 καὶ (ante μόνοις) om. F 15 τὸν αὐτῶν ὁρισμὸν Philop.: τὸν αὐτῶν F: αὐτῶν M 16 δὲ om. M τῶν πρός τι] αὐτῶν M 17 οἷον ὡς M 19 ἡμίσεως F 21 καὶ τὸ κρινόμ. F 22 καὶ τὸ μετεχόμ. M ὁ] τὸ F 25 ἀριστερὸς δεξ. ἀρ. καὶ om. M ὁ δεξιὸς M 27 lemma om. M 28 τῷ] τὸ F

p. 6a36 Ὅσα αὐτὰ ἅπερ ἐστίν.

Οἷον δεξιὸς ἄνθρωπος οὐ καθὸ ἄνθρωπος ἑτέρου λέγεται δεξιός, ἀλλὰ καθὸ δεξιός.

p. 6a37 Ἢ ὁπωσοῦν ἄλλως.

Ἐπειδὴ εἶπεν ὅσα ἑτέρων, ἵνα μὴ ὑπολάβῃς ὅτι πρὸς μόνην γενικὴν ἀποδίδοται, φησὶν ὅτι ἢ ὁπωσοῦν ἄλλως, τοῦτ' ἔστιν εἴτε πρὸς δοτικὴν εἴτε πρὸς αἰτιατικήν.

p. 6b2 Ἔστι δὲ καὶ τὰ τοιαῦτα τῶν πρός τι.

Ἐπειδὴ γὰρ τὰ πρότερα τοῦ ποσοῦ ἐστι ταῦτα δὲ τοῦ ποιοῦ, εἰκότως ἔδοξεν αὐτὰ χωρίζειν εἰρηκὼς ἔστι δὲ καὶ τὰ τοιαῦτα, ἢ ὅτι ἐκεῖνα μὲν πρὸς γενικὴν ταῦτα δὲ καὶ πρὸς δοτικὴν καὶ αἰτιατικὴν ἔχει τὴν ἀντιστροφήν.

p. 6b2 ⟨Ἕξις⟩, διάθεσις, αἴσθησις, ἐπιστήμη, θέσις.

Ἐκτιθέμενος τὰ παραδείγματα τέχνας ἡμῖν παραδίδωσι τῆς ἀνακάμψεως τῶν πρός τι· ἡ γὰρ ἕξις ὅπερ ἐστὶ πρὸς γενικὴν ἀποδίδοται (ἑκτοῦ γὰρ λέγεται ἕξις) καὶ ἀνάπαλιν τὸ ἕκτον ἕξει ἕκτον ὅ ἐστι πρὸς δοτικὴν ἀποδίδοται, καὶ ἡ διάθεσις ὁμοίως διαθετοῦ διάθεσις καὶ τὸ διαθετὸν διαθέσει διαθετόν, καὶ ἡ ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη καὶ τὸ ἐπιστητὸν ἐπιστήμῃ ἐπιστητόν.

p. 6b11 Ἔστι δὲ καὶ ἡ ἀνάκλισις καί. |

Καὶ ἡ ἀνάκλισις καὶ ἡ στάσις καὶ ἡ καθέδρα, φησί, θέσεις εἰσίν· εἴδη 115r
γὰρ ταῦτα τῆς θέσεως, ἡ δὲ θέσις τῶν πρός τι, καὶ ταῦτα ἄρα τῶν πρός τι· ἢ γὰρ ὅλον τὸ σῶμα ὀρθόν ἐστι καὶ καλεῖται στάσις, ἢ ὅλον πλάγιον κεῖται καὶ καλεῖται ἀνάκλισις, ἢ μέρος μέν τι αὐτοῦ ἵσταται μέρος δὲ κέκλιται καὶ καλεῖται καθέδρα.

---

3 καθὸ δεξιὸς ἀριστεροῦ F 6 ἀποδίδωσι F 8 τῶν om. F 10 εἰρηκὼς—τοιαῦτα om. F 11 καὶ (ante πρὸς) om. F 11. 12 ἕχει τὴν ἀντιστροφήν] ἀντιστρέφει M 13 ἕξις inserui 16 an ἕξει ἑκτὸν ⟨ὂν⟩? ὅ ἐστι—ἀποδίδοται (17) om. F 17 ὁμοίως δὲ καὶ ἡ διάθεσις M 21 ἐπειδὴ εἶπεν ὅτι ἡ ἀνάκλ. M φησί om. M 22 τῆς om. M καὶ ταῦτα—πρός τι (22. 23) om. F 23 ἢ ὅλον—ἀνάκλισις (24) om. F 24 μέν τι] μέντοι F κέκλιται μέρος δὲ ἵσταται colloc. M 25 καὶ καλεῖται ἀνάκλισις ἢ κάθηται καὶ λέγεται καθέδρα F

p. 6ᵇ12 Τὸ δὲ ἀνακεῖσθαι ἢ ἑστάναι ἢ καθῆσθαι.

Ταῦτα, φησίν, οὐκ εἰσὶ θέσεις, εἴ γε ἡ μὲν θέσις πρός τί ἐστιν. ταῦτα δὲ θέσεις μὲν οὐκ εἰσί, παρωνύμως δὲ ἀπὸ τῶν εἰρημένων εἰδῶν τῆς θέσεως μετηνέχθησαν, ἀπὸ μὲν τῆς στάσεως τὸ ἑστάναι, ἀπὸ δὲ τῆς ἀνα-
5 κλίσεως τὸ ἀνακεκλίσθαι, ἀπὸ δὲ τῆς καθέδρας τὸ καθέζεσθαι. ὥσπερ δὲ ἀπὸ τῶν εἰδῶν τῆς θέσεως μετηνέχθησαν, οὕτω καὶ ἀπὸ τοῦ γένους τούτων, τοῦτ' ἔστι τῆς θέσεως, μετενεχθήσεται τὸ κεῖσθαι, ἥτις ἐστὶ μία τῶν κατηγοριῶν· αὕτη γὰρ γένος ἐστὶ τοῦ ἑστάναι καὶ ἀνακεῖσθαι καὶ ἀνακεκλίσθαι καὶ καθέζεσθαι. ὥστε ἓν εἶδος τῶν πρός τι, τοῦτ' ἔστιν ἡ
10 θέσις, μίαν ἔτεκε κατηγορίαν τὴν τοῦ κεῖσθαι. καὶ οὐδὲν θαυμαστόν· καὶ δύο γὰρ εἴδη τοῦ ποσοῦ δύο ἔτεκε κατηγορίας, ὁ τόπος τὴν ποῦ καὶ ὁ χρόνος τὴν ποτέ, οὐχ ὅτι ὁ τόπος λέγεται ποῦ, ἀλλὰ τὰ πράγματα τὰ ἐν τόπῳ ὄντα, ὥσπερ οὐδὲ ὁ χρόνος αὐτὸς ποτέ, ἀλλὰ τὰ ἐν χρόνῳ γινόμενα πράγματα. ἀπορήσειε δ' ἄν τις πρὸς τὸν φιλόσοφον διὰ τί τὴν
15 θέσιν καὶ τὴν στάσιν ὑπὸ τὰ πρός τι ἀνάγει· ταῦτα γὰρ ὑπὸ τὴν τοῦ κεῖσθαι κατηγορίαν ἔδει ἀνάγεσθαι. λέγομεν οὖν ὅτι οὐ πάντως τὰ ἀπό τινος παρωνύμως λεγόμενα ὑπὸ τὴν αὐτὴν κατηγορίαν τελεῖ· ἰδοὺ γὰρ ἀπὸ τῆς γραμματικῆς λέγομεν γραμματικόν, καὶ ἡ μὲν γραμματικὴ ἐπιστήμη οὖσα ὑπὸ τὴν ποιότητα ἀνάγεται, ὁ δὲ γραμματικὸς ὑπὸ τὴν οὐσίαν. οὕτω καὶ
20 ἐπὶ τούτων τὴν μὲν ἐνέργειαν ὑπὸ τὰ πρός τι ἀνάγομεν, αὐτὸ δὲ τὸ κείμενον ὑπὸ τὴν τοῦ κεῖσθαι κατηγορίαν.

p. 6ᵇ15 Ὑπάρχει δὲ καὶ ἐναντιότης.

Ἕτερον παρακολούθημά φησι τῶν πρός τι τὸ ἐπιδέχεσθαι ἐναντιότητα. καὶ τοῦτο εἰκότως· ἐπειδὴ γὰρ παραφυάσιν ἔοικεν εἶναι τὰ πρός
25 τι καὶ πράγματα οὐκ ἔστιν ἀφωρισμένα, ἀλλ' ἐν ταῖς ἄλλαις κατηγορίαις εὑρίσκεται, μιμεῖται ἐκείνας αἷς προσπλέκεται· οἷον ἐπειδὴ τῇ οὐσίᾳ καὶ τῷ ποσῷ οὐδέν ἐστιν ἐναντίον, τοιγαροῦν οὐδὲ τοῖς πρός τι τοῖς περὶ αὐτὰ ἔστιν εὑρεῖν ἐναντίον, οἷον τριπλασίῳ· τὸ γὰρ τριπλάσιον τῶν πρός τί ἐστι (τινὸς γὰρ λέγεται τριπλάσιον), καὶ ὅμως οὐκ ἔχει τι ἐναντίον, ἐπειδὴ
30 συμπλέκεται κατηγορίᾳ μὴ τοῦτο ἐχούσῃ. ὁμοίως δὲ καὶ ἐπὶ τῆς οὐσίας ⟨οἷον⟩ δεσπότῃ υἱῷ δεξιῷ ἀριστερῷ· οὐδὲ γὰρ τούτοις ἐστί τι ἐναντίον διὰ τὸ

---

2 θέσεις] an πρός τι? ταῦτα — θέσεις om. M 3 δὲ (alt.) om. F 4 κατηνέχθησαν M ἀπὸ μὲν — μετηνέχθησαν (6) om. F 8 post κατηρ. add. σύστοιχος τῷ γένει M αὕτη γὰρ Olymp.: ἥτις αὐτὴ F: αὕτη M γένος Philop. Olymp.: γένεσις codd. 9 καὶ καθέζεσθαι om. F 11 ἔτεκον F 11 τὴν ποῦ] τοῦ ποῦ F 12 οὐχ ὅτι] καὶ οὐχ M 13 ὥσπερ om. M 14 ἀπορήσει F 15 καὶ γὰρ ἔδει ἀνάγ. ὑπὸ τὴν τ. κ. κατ. F 16 λέγομεν οὖν om. F 18 λέγομεν om. M γραμματικός F 21 τοῦ om. M 23 τὸ] τῷ M 24 παραφ. F²: παρὰ φύσιν F¹M 26 ἐκείναις F 27 post πρός τι add. οὐ μὴν F: οὐδὲ μὴν M: om. Philop. 28 αὐτῶν F 29 τι om. F 30 τῆς om. M 31 οἷον Philop.: om. FM δεσπότης υἱὸς δεξιὸς ἀριστερός F οὐδὲ] οὔτε codd.

οἷς συμπλέκεται ὑπὸ κατηγορίαν ἀνῆχθαι μηδὲν ἔχουσαν ἐναντίον. ἐπειδὴ δὲ ἡ ποιότης ἐπιδέχεται ἐναντιότητα, ὁμοίως καὶ τὰ περὶ αὐτὴν πρός τι, οἷον ἀρετῇ κακία ἐναντίον καὶ τῇ ἐπιστήμῃ ἄγνοια. ἰστέον δὲ ὅτι ταῦτα μὲν ἀλλήλοις ἐστὶν ἐναντία, ἀλλ' οὐχ ὡς πρός τι | ἀποκρίνεται, οἷον ἡ 115ᵛ
5 ἀρετὴ (σπουδαίου ἀρετὴ καὶ ὁ σπουδαῖος ἀρετῇ σπουδαῖος), ὁμοίως δὲ καὶ ἡ κακία κακοῦ κακία καὶ ὁ κακὸς κακίᾳ κακός· ἐναντίον δ' ἀρετῇ μὲν κακία, σπουδαίῳ δ' ὁ κακός. εἰκότως τοίνυν ἐναντιότης θεωρεῖται ἐν τοῖς πρός τι, καὶ οὐ πᾶσι τοῦτο παρακολουθεῖ.

p. 6ᵇ16 Ἑκάτερον αὐτῶν πρός τι ὄν.

10 Ἰστέον ὅτι ὅσοι λέγουσι τὸν Πλάτωνα οὕτως ὁρίζεσθαι τὰ πρός τι καὶ ἐν τῷ λέγεσθαι οἴεσθαι αὐτὸν εἶναι τὴν τῶν πρὸς τι ὑπόστασιν, συκοφαντοῦσι τὸν φιλόσοφον· καὶ γὰρ ἀπὸ τῶν εἰρημένων ἐν τῷ Γοργίᾳ ἔστι γνῶναι ὅτι τῷ αὐτὰ εἶναι χαρακτηρίζει· φησὶ γὰρ 'εἰ ἔστι τὸ ποιοῦν, ἀνάγκη τι εἶναι καὶ τὸ πάσχον'· εἶναι γὰρ εἶπε, καὶ οὐ λέγεσθαι.

15 p. 6ᵇ20 Δοκεῖ δὲ καὶ τὸ μᾶλλον καὶ τό.

Ἕτερον παρακολούθημα τῶν πρός τί φησι, τὸ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον. καὶ τοῦτο δὲ ὅμοιον τῷ πρὸ αὐτοῦ· ὑπάρχει γὰρ τοῖς πρός τι, οὐ πᾶσι δέ. καὶ τοῦτο εἰκότως· εἴρηται γὰρ ὅτι ὅπου ἐναντιότης θεωρεῖται, ἐκεῖ τὸ μᾶλλον καὶ ἧττον, καὶ τοὐναντίον ὅπου οὐκ ἔστιν ἐναν-
20 τιότης, οὐδὲ τὸ μᾶλλον καὶ ἧττον. εἰ οὖν ἐστιν ἐν τοῖς πρός τι ἐναντιότης, ἔστιν ἐν αὐτοῖς καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον. οὐ πᾶσι δὲ τὸ τοιοῦτον παρακολουθεῖ, ἐπεὶ μηδὲ πᾶσιν ἐναντιότης εὑρίσκετο.

p. 6ᵇ28 Πάντα δὲ τὰ πρός τι.

Τοῦτο ἕτερον παρακολούθημα. ἵνα δὲ μάθωμεν τί ἐστι πρὸς ἀντι-
25 στρέφοντα λέγεσθαι, μάθωμεν πρότερον τί ἐστιν ἀντιστροφή. στροφή ἐστιν ἡ ⟨ἀπὸ⟩ τοῦ αὐτοῦ ἐπὶ τὸ αὐτὸ ἀποκατάστασις. διὰ τοῦτο καὶ στρέφεσθαι λέγομεν τὸ πᾶν, ἐπειδὴ κύκλῳ κινούμενον ἀπὸ τοῦ αὐτοῦ ἐπὶ

---

1 συμπλ.] πλέκεται F 2 ἐπιδέχ.] δέχεται F 3 ἐναντιότης F 4 μὲν ἀλλήλοις] ἄλλοις μὲν M ἀλλ'] ἄλλοις δὲ M ἀποκρίνεσθαι F 5 σπουδαίου ἀρετὴ et ἀρετῇ σπουδαῖος ex Philop. inserui 6 ἐναντίον—κακός (7) om. F 9 αὐτῶν πρός τι ὄν] ὄν τῶν πρός τι Aristot. 10 ante ἰστέον defectum statuas, nisi hoc scholion ex Philopono irrepsisse tibi persuadeas 11 καὶ om. F αὐτῶν F 13 τῷ] τὸ M φησὶ γὰρ] Gorg. p. 476 B εἰ ἔστι] ἔξεστι F 17 τὸ om. M τῷ Vat. 2173: τοῦ FM 18 δὲ om. M εἴρηται] p. 50,10 sq. 65,14. 15 ὅτι om. M 19 καὶ τοὐναντίον—ἧττον (20) om. F 21 ἐν αὐτοῖς] ἑαυτοῖς M 22 μηδὲ om. F; an μηδ' ἐν? εὑρίσκεται M 24 τοῦτο—παρακ.] ἐπὶ ἕτερον παρακολούθημα μεταβέβηκε τῶν πρός τι M 25 λέγεται F πρότερον] πρῶτον F στροφὴ Philop.: ἀντιστροφὴ FM 26 ἀπὸ Philop.; om. FM ἀντικατάστασις M 27 τὸ πᾶν] πάντα F κινούμενα F

τὸ αὐτὸ ἀποκαθίσταται. ἀντιστροφὴ δὲ ἐστιν ἰσοστροφή· τὸ γὰρ ἀντὶ παρὰ τοῖς παλαιοῖς τὸ ἴσον σημαίνει, ὥσπερ τὸ ἀντίθεον ἰσόθεον καὶ ἀντιάνειρα τὴν γυναῖκα τὴν | ἴσην δύναμιν τῷ ἀνδρὶ ἔχουσαν, καὶ τὸν μέγαν 116ʳ δάκτυλόν ⟨φαμεν⟩ ἀντίχειρα διὰ τὸ ἴσην ἔχειν δύναμιν τοῖς ἄλλοις τέσσαρσι δακτύλοις ἐν τῇ χειρί. * τὰ οὖν πρός τι πρὸς ἀντιστρέφοντα λέγεται, οἷον ὁ δοῦλος δεσπότου δοῦλος ⟨καὶ ὁ δεσπότης δούλου δεσπότης⟩. [ἤρξατο ἀπὸ τοῦ δούλου καὶ εἰς αὐτὸν πάλιν ἀποκατέστη. οὐ μόνον δὲ δοῦλος ἀντιστρέφει, ἀλλὰ καὶ δεσπότης].

p. 6ᵇ36 Οὐ μὴν ἀλλὰ καὶ ἐνίοτε οὐ δόξει ἀντιστρέφειν, ἐὰν μὴ οἰκείως.

Τὰ πρός τι, φησίν, ἰσότητα τηρεῖν ὀφείλει πρὸς ἄλληλα, ἵνα καὶ ἀντιστρέφῃ, ὥσπερ ἀντιστρέφει ὁ ἄνθρωπος καὶ τὸ γελαστικόν. ἐὰν δὲ ὦσιν ἄνισα, τῷ μὲν ἐλάττονι τὸ πλέον ἀκολουθεῖ ὡς τῷ ἀνθρώπῳ τὸ ζῷον, τῷ δὲ πλείονι τὸ ἔλαττον οὐχ ἕπεται· οὐκέτι γὰρ τῷ ζῴῳ ὁ ἄνθρωπος ἀκολουθεῖ. οὗτος οὖν ὁ κανὼν ἔστω τῶν πρός τι. ἔστι δὲ ἰσότης, ὡς πατὴρ υἱοῦ, διπλάσιον ἡμίσεος, ⟨ἅπερ⟩ καὶ ἀντιστρέφει. ἐὰν δὲ ἄνισα ὦσιν, οὐκέτι· ἐὰν γὰρ ἀποδοθῇ ὄρνις πτεροῦ, ὡς εἶναι πτερὸν ὄρνιθος, οὐκ οἰκείως ἀποδίδοται· οὐ γὰρ ἐροῦμεν τὴν ὄρνιν πτερῷ ὄρνιν, ἐπειδὴ οὐ πᾶν πτερὸν ὄρνιθός ἐστι πτερόν· εἰσὶ γὰρ πτηνά, ἃ οὐκ εἰσὶν ὄρνιθες· τῶν γὰρ πτηνῶν τὰ μέν εἰσι σχιζόπτερα ὡς τὰ παρ' ἡμῖν, ἃ καὶ μόνα ὄρνιθες καλοῦνται, ὡς καὶ αὐτὸς ἔφησε ἐν τῷ Περὶ ζῴων ἱστοριῶν 'τὰ σχιζόπτερα ὄρνεις καλεῖσθαι', τὰ δέ εἰσι δερμόπτερα ὡς αἱ νυκτερίδες, τὰ δὲ κολεόπτερα ὡς οἱ κάνθαροι, ἅπερ οὐκ εἰσὶν ὄρνιθες. ἐπεὶ οὖν τὸ πτερὸν καὶ ἡ ὄρνις οὐκ ἐξισάζει, ἀλλ' ἐπὶ πλέον τὸ πτερὸν τῆς ὄρνιθος, ἐὰν αὐξήσωμεν τὸ ἔλαττον, τοῦτ' ἔστιν τὴν ὄρνιν, εἰρηκότες πτερωτὸν καὶ ποιήσωμεν οὕτω τὸ πτερὸν πτερωτοῦ πτερόν, οὕτω γὰρ ἀντιστρέφει· λέγομεν γὰρ καὶ τὸ πτερωτὸν πτερῷ πτερωτόν. ἐν τούτῳ μὲν οὖν τῷ παραδείγματι ἔλαττον ἦν ἡ ὄρνις τοῦ πτεροῦ, ὅπερ ηὐξήσαμεν. ἐν δὲ τῷ ῥηθήσεσθαι μέλλοντι ἐπὶ πλέον ἐστί· καὶ γὰρ τὸ πηδάλιον ἐὰν ἀποδοθῇ

---

2. 3 ἀντιάνειραν F 3 τὴν γυναῖκα—ἔχουσαν om. M γυναῖκαν F τὴν (alt.) iter. F 4 φαμεν ex Philop. inserui 4. 5 τέσσ. δακτ. om. M 5 post χειρί defectum signavi 6 οἷον—δούλου δεσπότης om. M: καὶ ὁ δεσπ. δούλου δεσπ. om. etiam F: supplevi ex Philop. ἤρξατο—δεσπότης (8) inclusi ἤρξατο οὖν M 7 post ἀποκατέστη add. καὶ ὁ δεσπότης δούλου λέγεται δεσπότης. ἰδοὺ κἀνταῦθα ἀποκατάστασις καὶ ἰσοστροφὴ ἑκατέρου M 8 post δεσπότης add. τὰ οὖν πρός τι πρὸς ἀντιστρέφοντα λέγεται M 9 ἀλλ' ἐνίοτε Aristot. 11 φησίν om. M ὀφείλουσι F 13 ἀκολουθῇ F 14. 15 γὰρ ζῴω ἄνθρ. M 16 ἅπερ ex Philop. inserui 17 ἐὰν γὰρ—ἐπὶ πλέον ἐστί (29) post πηδαλιωτόν (p. 72,8) transp. M ἐὰν γὰρ] πάλιν ἐὰν M 18. 19 ἐπειδὴ οὐ] ἐπεὶ μηδὲ M 20 ἐστι M ἃ καὶ μόνα Philop.: καὶ μόνα ἃ καὶ F: καὶ μόνα M 21 τῇ περὶ ζ. ἱστορίᾳ M (spectare videtur Hist. an. A 5 p. 490ᵃ12) 21. 22 τὰ δὲ σχιζ. F 22 δερμόπτ.] σαρκόπτερα F αἱ om. M 23 κολεοπτ.] κολλόπτερα F οὖν κἀνταῦθα M 26 γὰρ eicias 27 πτεροῦ M ἐν τούτῳ—πλέον ἐστί (29) om. M 29 μέλλοντι F πλεῖον F καὶ γὰρ om. M

πλοίου πηδάλιον, οὐκέτι ἀντιστρέφει· οὐ γὰρ ἐροῦμεν τὸ πλοῖον πηδαλίου πλοῖον· πολλὰ γὰρ πλοῖα πηδάλια οὐκ ἔχει ὡς τὰ ἀκάτια. ἐπειδὴ οὖν ἄνισά εἰσι, δεῖ ταῦτα ἐξισῶσαι. ἐξισοῦται δὲ τὰ ἄνισα ἢ τοῦ πλείονος ἐλαττωθέντος ἢ τοῦ ἐλάττονος αὐξηθέντος. εἰ τοίνυν τὸ πλοῖον μὲν ἐπὶ πλέον, τὸ δὲ πηδάλιον ἐπ' ἔλαττον, ἐξισώσαιμεν ἄν, εἰ τὸ πλέον ἐλαττώσομεν εἰρηκότες πηδαλιωτόν. ὅπως καὶ ἀντιστρέφῃ ἐξισωθέν. οὐκοῦν εἴπωμεν τὸ πηδάλιον πηδαλιωτοῦ πηδάλιον καὶ πάλιν τὸ πηδαλιωτὸν πηδαλίῳ πηδαλιωτόν. οὕτως οὖν ἐν μὲν τῷ πρώτῳ παραδείγματι ἐπ' ἔλαττον ἦν ἡ ὄρνις τοῦ πτεροῦ, ὅπερ ηὐξήσαμεν. ἐν δὲ τῷ δευτέρῳ ἐπὶ πλέον ἦν τὸ πλοῖον τοῦ πηδαλίου, ὅπερ ἠλαττώσαμεν.

p. 7a5 Ἐνίοτε δὲ καὶ ὀνοματοποιεῖν. |

Τότε ἡμῖν ἀνάγκη ὀνοματοθετεῖν, φησίν, ἐὰν μὴ κείμενον ᾖ ὄνομα 116v πρὸς ὃ δεῖ ἀντιστρέφειν, οἷον ἐποίησεν ἐπὶ τοῦ πηδαλιωτοῦ. πάλιν ἡ κεφαλὴ ἐὰν ἀποδοθῇ πρὸς τὸ ζῷον καὶ εἴπωμεν 'ζῴου κεφαλή', οὐκ ἀντιστρέφει· οὐ γὰρ ἐροῦμεν τὸ ζῷον κεφαλῇ ζῷον· εἰσὶ γάρ τινα ζῷα κεφαλὴν μὴ ἔχοντα ὡς ὁ καρκίνος. ἀνάγκη οὖν ὀνοματοθετεῖν καὶ τὴν συνήθειαν καινοτομεῖν διὰ τὸ οἰκείως ποιεῖσθαι τὴν ἀντιστροφήν· οἰκείως οὖν ἀποδίδοται, ἐὰν οὕτως εἴπωμεν 'ἡ κεφαλὴ κεφαλωτοῦ κεφαλή'· οὕτω γὰρ καὶ ἀντιστρέφειν δυνάμεθα τὸ κεφαλωτὸν κεφαλῇ κεφαλωτὸν εἰπόντες. καὶ καθόλου ὅταν ὀνοματοποιεῖν βουλώμεθα, ἀπὸ τῶν πρώτων καὶ ἀντιστρεφόντων παρώνυμον ποιήσομεν ὄνομα οἷον ἀπὸ τοῦ πηδαλίου τὸ πηδαλιωτὸν καὶ ἀπὸ τῆς κεφαλῆς τὸ κεφαλωτόν, ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων. καὶ οὕτω πάντα τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται.

p. 7a19 Εἰ ἀπὸ τῶν πρώτων.

Κανόνα ἡμῖν παραδίδωσι, δι' οὗ δυνησόμεθα ὀνοματοποιεῖν οἰκείως, ἐὰν ⟨ἐν⟩ τῇ κοινῇ συνηθείᾳ ὄνομα μὴ εὑρίσκηται. |

---

3 ταῦτα] αὐτὰ M 5 ἐπ' ἔλαττον ὄν M (ut videtur) ἐξισώσαιμεν — πλέον] ἐξισῶσαι θελήσαιμεν τὸ πλοῖον M 6 ἀντιστραφῇ F 8 οὕτως — ἠλαττώσαμεν (10)] ἐν μὲν οὖν τῷ πρώτῳ παραδείγματι ἐπὶ πλέον ἦν τὸ πλοῖον, ὅπερ ἠλαττώσαμεν, ἐν δὲ τῷ δευτέρῳ τὸ ἀνάπαλιν ἐπ' ἔλαττον ἦν ἡ ὄρνις, ὅπερ ηὐξήσαμεν M 12 τότε — ἀντιστρέφειν (13)] ἐὰν γὰρ μὴ ἔχωμεν ἐκ τῆς συνηθείας ὠνομασμένον, πρὸς ὃ δεῖ ἀντιστρέφειν, τότε ἡμᾶς ἀνάγκη ὀνοματοθετεῖν M ᾖ] εἴη F 13 post πηδαλιωτοῦ add. καὶ ἐπὶ τοῦ μέλλοντος ῥήθήσεται (sic) F 13. 14 ἡ κεφαλὴ τῶν πρός τι· τινὸς γὰρ κεφαλή. ἐὰν οὖν ἀποδοθῇ M 16 ὀνοματ. ἐνταῦθα M 19 δύναται M τὸ] τὸν F εἶναι εἰπόντες F 21 ποιήσωμεν F 23 post λέγεται add. Οὐ γὰρ ἡ πλοῖα ταύτη· οὐ γὰρ καθὸ πλοῖον ἔχει καὶ πηδάλιον. εἰσὶ γάρ τινα πλοῖα πηδάλια μὴ ἔχοντα ὡς τὰ ἀκάτια. Ἢ ὁπωσοῦν ἄλλως· ὄνομα γάρ. οὐ γάρ ἐστιν ἐν τῇ συνηθείᾳ ὄνομα τὸ πηδαλιωτόν· εἴτε γὰρ ἄλλο τι οἰκεῖον λέγομεν, οὐδὲν διαφέρει M 24 lemma om. F 25 λαμβάνει κανόνα καὶ ἡμῖν M κανόνας . . . δι' ὧν F παρέδωκε F 26 ἐν Philop.: om. FM οὐχ εὑρίσκεται (ὄνομα om.) F post εὑρίσκ. add. ἔστι δὲ ὃ ἐν ὀλίγῳ πρόσθεν εἰρήκαμεν M

p. 7a22 Πάντα οὖν τὰ πρός τι. 117r

Πάντα γὰρ οἰκείως ἀποδοθέντα ἀντιστρέφει. ἐὰν δὲ μὴ οἰκείως ἀποδοθῇ, οὐδὲ τὰ ὁμολογουμένως ἀντιστρέφοντα ἔτι δύναται ἀντιστρέφειν· οἷον οἰκείως ἀποδίδομεν καὶ λέγομεν 'ὁ δοῦλος δεσπότου δοῦλος', καὶ ἀντι-
5 στρέφει 'ὁ δεσπότης δούλου δεσπότης'. ἐὰν μέντοι ὁ δοῦλος μὴ οἰκείως ἀποδοθῇ, ἤγουν δεσπότου, ἀλλὰ ἀνθρώπου, οὐκέτι ἀντιστρέφει· οὐδὲ γὰρ δυνατὸν λέγειν 'ὁ ἄνθρωπος δούλου ἄνθρωπος'. ὥστε ἐὰν μὴ οἰκείως ⟨ἀποδοθῇ⟩, οὐκέτι ἀντιστρέφει· ἡ γὰρ ἀντιστροφὴ ἐν μόνῃ καὶ πάσῃ τῇ οἰκείᾳ ἀποδόσει γίνεται.

10 p. 7a31 Ἔτι δὲ ἐὰν μέν τι οἰκείως ἀποδεδομένον ᾖ.

Ἐάν, φησίν, οἰκείως τὰ πρός τι ἀποδοθῇ, τῶν ἄλλων πάντων περιαιρουμένων καταλιμπανομένου δὲ μόνου τοῦ πρὸς ὃ οἰκείως ἀποδοθήσεται σώζεται ἡ ἀντιστροφὴ καὶ ὅλως τὰ πρός τι· οἷον ὁ δοῦλος ἐὰν τοῦ δεσπότου ἀποδοθῇ, ἀφαιρεθῇ δὲ τὸ δίπουν εἶναι ἢ τὸ ἐπιστήμης δεκτικόν, ὁμοίως
15 μένει δοῦλος πρός τι λεγόμενος, ἐὰν δὲ ἀφαιρεθῇ ὁ δεσπότης, οὐκέτι λέγεται δοῦλος.

p. 7a32 Περιαιρουμένων τῶν ἄλλων ὅσα.

Καὶ οὐδὲν θαυμαστὸν ὅτι ταῦτα συμβεβηκότα εἶπεν· οὐχ ἁπλῶς γὰρ συμβεβηκότα εἶπεν, ἀλλὰ ταῦτα ὅσα πρὸς τὴν τοῦ δούλου σχέσιν εἶεν ἂν
20 συμβεβηκότα καὶ δευτέρως κατηγορούμενα, πρώτως δὲ καὶ καθ' ἑαυτὸ ὁ δεσπότης φύσει. |

p. 7b15 Δοκεῖ δὲ τὰ πρός τι ἅμα. 117

Ἕτερον παρακολούθημα τῶν πρός τί φησι τὸ ἅμα αὐτὰ τῇ φύσει

---

1 pro lemmate exhibet σὺ δὲ γίνωσκε ὅτι πάντα τὰ πρός τι ἐάνπερ οἰκείως ἀποδίδωται, πρὸς ἀντιστρέφοντα πάντως λέγεται F 2 πάντα scripsi: πάντως FM 3 δύνανται F 4 οἷον οἰκείως] οἰκείως οὖν F 4. 6 δεσπότου ex δεσπότης corr. F 5 ἐὰν μέντοι] εἰ δὲ F 6 ἤγουν δεσπότου om. M 7 δοῦλος ἀνθρώπου F 8 ἀποδοθῇ inserui ἐν om. F 9 ἀποδώσει F 10 ἔτι δὲ om. M μέν τι] μέν τοι FM 11 φησίν om. M λέγηται καὶ ἀποδοθῇ F 12 καταλιμπ. — δοῦλος (16)] οἷον δοῦλος ἐὰν τοῦ δεσπότου ἀφαιρεθῇ τὸ δίπουν εἶναι ἢ τὸ ἐπιστήμης δεκτικόν, ὁμοίως μένει ὁ δοῦλος δοῦλος· καταλιμπανομένου τοῦ πρὸς ὃ οἰκείως ἀποδοθήσεται, τουτέστι τοῦ δεσπότου, καὶ ἡ ἀντιστροφὴ ὅλως τῶν πρός τι. ἐὰν δὲ ἀφαιρεθῇ ὁ δεσπότης, οὐκέται λέγεται δοῦλος F 12 δὲ Laur. 72,5: om. M 17 περιαιρουμένων — φύσει (21)] οὐδὲν δὲ θαυμαστὸν εἰ συμβεβηκότα εἶπε (ἀλλὰ συμβεβηκότα add. F^2) πρὸς τὴν τοῦ δούλου σχέσιν. εἶεν ἂν καὶ δευτέρως κατηγορούμενα (κατηγορεῖσθαι F^1), πρώτως δὲ ὁ δεσπότης F 18 γὰρ Vat. 2173: om. M 19 an ὅσον? 23 ἕτερον — φύσει] δοκεῖ δὲ τὰ πρός τι ἅμα τῇ φύσει F

εἶναι καὶ μηδέποτε δύνασθαι τοῦ ἑτέρου ὄντος τὸ ἕτερον μὴ εἶναι· ἅμα γὰρ τῷ εἰπεῖν δοῦλον ἀνάγκη τὸν δεσπότην ἐπινοεῖν, καὶ εἰ ἔστι διπλάσιον, ἀνάγκη καὶ ἥμισυ εἶναι καὶ τοὐναντίον. δῆλον δὲ ὡς ἐπὶ τῶν πλείστων εἶπεν, ἐπειδὴ ἐπί τινων ἄλλων μέλλει ἀπορεῖν.

5 p. 7b19 Καὶ συναναιρεῖ δὲ ταῦτα ἄλληλα.

Οὐ μόνον ταῦτα ἅμα ἐστὶ τῇ φύσει, ἀλλὰ καὶ συναναιρεῖ ἄλληλα· ἐὰν γὰρ μὴ ᾖ δοῦλος, οὐδὲ δεσπότης ἐστί, καὶ δεσπότου μὴ ὄντος δοῦλος οὐκ ἔστιν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

p. 7b23 Τὸ γὰρ ἐπιστητὸν πρότερον δόξειε τῆς ἐπιστήμης
10 εἶναι.

Νῦν ἀπορεῖ πρὸς τὰ εἰρημένα, εἰ ἄρα τὰ πρός τι ἅμα ἐστὶ τῇ φύσει καίτοι δοκοῦντος τοῦ ἐπιστητοῦ προτέρου εἶναι τῆς ἐπιστήμης. τὸ μὲν οὖν πρότερον διττόν, τὸ μὲν χρόνῳ τὸ δὲ φύσει. καὶ πρότερον μὲν χρόνῳ ἐστὶν οὗ πρὸς τὸ νῦν πλείων ἡ ἀπόστασις ὡς ἐπὶ τοῦ παρεληλυθότος· διὰ
15 τοῦτο γὰρ λέγομεν τὰ Μηδικὰ πρότερα τῶν Πελοποννησιακῶν, ὅτι αὐτῶν πλείων ἡ ἀπόστασίς ἐστιν ἀπὸ τοῦ νῦν ἢ τῶν Πελοποννησιακῶν. ἐπὶ δὲ τοῦ μέλλοντος τὸ ἐναντίον πρότερόν ἐστιν οὗ ἐλάττων ἀπὸ τοῦ νῦν ἡ ἀπόστασις· πρότερον γὰρ | τὸ αὔριον τοῦ μεταύριον. καὶ οὕτω μὲν τὸ τῷ 118r
χρόνῳ πρότερον. τὸ δὲ φύσει πρότερόν ἐστι τὸ συναναιροῦν μὲν μὴ συναν-
20 αιρούμενον δὲ καὶ τὸ συνεισφερόμενον μὲν μὴ συνεισφέρον δέ, ὡς ἐπὶ τοῦ ζῴου καὶ ἀνθρώπου. τὸ γὰρ ἐπιστητὸν τῆς ἐπιστήμης πρότερον ἂν δόξειεν εἶναι· μὴ ὄντος γὰρ ἐπιστητοῦ οὐδὲ ἐπιστήμη ἐστίν, ἐπιστήμης δὲ μὴ οὔσης τὸ ἐπιστητὸν δύναται εἶναι. ὡσαύτως αἰσθητοῦ μὴ ὄντος οὐδὲ αἴσθησίς ἐστιν, αἰσθήσεως μέντοι μὴ οὔσης οὐδὲν κωλύει τὰ αἰσθητὰ
25 εἶναι, οἷον πῦρ γῆν καὶ τὰ ὅμοια.

p. 7b24 Ὡς γὰρ ἐπὶ τὸ πολὺ προϋπαρχόντων.

Τὸ ὡς ἐπὶ πολὺ αὐτὸς ἐξηγήσατο εἰπὼν ἐπ' ὀλίγων γὰρ ἢ ἐπ' οὐδενὸς ἴδοι τις ἅμα τῷ ἐπιστητῷ τὴν ἐπιστήμην γινο-

---

3 καὶ (prius) Philop.: τὸ FM δὲ om. M 4 δ' εἶπεν M ἄλλων om. F 5 δὲ om. M 6 μόνον] γὰρ M ἐστὶ] εἶναι F 7 οὐδὲ] οὔτε M ἐστί] ἔσται F 9 τῆς ἐπ. πρότ. (δόξειε et εἶναι om.) M ἂν δόξειε Aristot. 11 νῦν ἀπ.] ἐναπορεῖ M τὸ εἰρημένον M 12 καίτοι] καὶ τοῦ M δοκοῦντα F τοῦ (ante ἐπιστ.) Paris. 1973: om. FM τῆς om. M 12. 13 μὲν οὖν] δὲ M 13 πρότερον (prius)] πρῶτον M χρόνος (alt.) M 14 τὸν νῦν M πλείων] πλεῖστον F ἐπὶ τῇ τοῦ F 15. 16 πελοποννησ. FM 16 ἐστὶν ἡ ἀπόστ. colloc. M 18 τὸ (prius) om. F μὲν τὸ] τὰ (sic) μὲν F 19 τὸ δὲ Philop.: τῇ δὲ FM συναναιρεῖν F 20 μὲν om. F 22 ἔσται F 24 μὴ superscr. F² 25 γῆν Philop.: γῇ codd. 26 τὸ om. F 27 γὰρ ἂν Aristot. 28 ἐπ' (ante οὐδενὸς) om. F τις ἂν Aristot.

μένην. ταῦτα δὴ εἶπε διὰ τὰ ἀπό τινος τέχνης καὶ ἐπινοίας εὑρισκόμενα· οἷον ὡς εἴ τις ἐπιτηδεύσει ἄλλον χαρακτῆρα γραμμάτων παρὰ τὸν κοινόν· τότε γὰρ οὐ προὐπάρχει τὸ ἐπιστητόν. ἀλλ' ἅμα τῷ ἐκ τῆς ἐπινοίας προαχθῆναι ἔχει τὴν ἐπιστήμην.

5 p. 7ᵇ27 Ἔτι τὸ μὲν ἐπιστητὸν ἀναιρεθέν.

Ἐκθέμενος τὸ τῷ χρόνῳ πρότερον ἐπὶ τοῦ ἐπιστητοῦ καὶ εἰρηκὼς ὡς γὰρ ἐπὶ τὸ πολὺ προὐπαρχόντων τῶν πραγμάτων τὰς ἐπιστήμας λαμβάνομεν, νῦν πάλιν ἐπὶ τοῦ ἐπιστητοῦ τὸ φύσει ἐκτίθεται πρότερον διὰ τοῦ συναναιρεῖν μὲν μὴ συναναιρεῖσθαι δέ.

10 p. 7ᵇ31 Οἷον καὶ ὁ τοῦ κύκλου τετραγωνισμός.

Οἱ γεωμέτραι τῷ δοθέντι εὐθυγράμμῳ ἴσον τετράγωνον συστησάμενοι ἐζήτουν, εἰ δυνατὸν καὶ τῷ δοθέντι κύκλῳ ἴσον τετράγωνον εὑρεῖν. καὶ πολλοὶ καὶ μέγιστοι ζητήσαντες οὐχ εὗρον. μόνος δὲ ὁ θεῖος Ἀρχιμήδης τὸ σύνεγγυς παντὶ εὗρε, τὸ μέντοι ἀκριβὲς μέχρι τοῦ νῦν οὐχ εὕρη-
15 ται. καὶ τοῦτο ἴσως ἀδύνατον· διὰ τοῦτο γὰρ καὶ αὐτὸς εἶπεν εἴ γε ἔστιν ἐπιστητόν. [καὶ τάχα διὰ τοῦτο εὐθείᾳ τῇ περιφερείᾳ οὐκ ἀνόμοιον ἐγέννησεν, εἰ ἔστιν ἢ οὐκ ἔστιν ἐπιστητόν]. φησὶ τοίνυν ὅτι ⟨εἴπερ⟩ ἔστιν ἐπιστητὸν ὁ τοῦ κύκλου τετραγωνισμὸς τῆς ἐπιστήμης αὐτοῦ μήπω οὔσης, [ὅθεν] καὶ ἐκ τούτου πρότερον τὸ ἐπιστητὸν τῆς ἐπιστήμης.

20 p. 7ᵇ33 Ἔτι ζῴου μὲν ἀναιρεθέντος. |

Πρότερον ἐπὶ ἑνὸς παραδείγματος τῶν πρός τι σκάζειν δείξας τὸ 118ᵛ
παρακολούθημα, νῦν καθολικῶς ἐπὶ πάντων δείκνυσι· ζῴου γὰρ ἀναιρεθέντος ἀναιροῦνται καὶ αἱ ἐπιστῆμαι (ἐν τῇ ψυχῇ γάρ εἰσιν ἐν ὑποκειμένῳ αἱ ἐπιστῆμαι), τὰ μέντοι ἐπιστητὰ οὐκέτι· καθ' αὑτὰ γάρ εἰσιν, ἀλλ' οὐχ
25 ὡς ἐπιστητά, ἀλλ' ὡς πράγματα.

p. 7ᵇ35 Ὁμοίως δὲ τούτοις καὶ τά.

Γυμνάσας τὸν λόγον ἐπὶ τῆς ἐπιστήμης νῦν ἐπὶ τὴν αἴσθησιν

---

1 δὴ] δ' M εὑρισκ.] παραγινόμενα M 2 ἄλλον] ἕτερον M 3 οὐκέτι M ἅμα om. F 5 ἔτι] ἐπεὶ F 6 τῷ om. M 7 τὸ om. F 9 τοῦ] τὸ M 11. 12 συνιστάμενοι F 12 ἴσα F 14 παντὶ] πάνυ M 14. 15 εὑρίσκεται F 15 γὰρ om. M 16 καὶ — ἐπιστητόν (17) inclusi διὰ τοῦτο τάχα εἶπεν M οὐκ om. M 17 εἰ ἔστιν — ἐπιστητόν om. M ὅτι om. M εἴπερ Philop.: om. codd. 17. 18 ἔστι τὸ ἐπιστ. M 19 ὅθεν inclusi 21 ὑποδείγματος M τὸ σκάζον M 23 αἱ om. F τῇ om. M 24 αἱ ἐπιστῆμαι om. F οὐκέτι — εἰσιν, ἀλλ' om. F 25 ὡς (ante ἐπιστ.) om. M post ἐπιστ. add. εἰσίν F 27 post αἴσθησιν add. τῷ λόγῳ F

μεταβέβηκε καὶ δείκνυσιν ὅτι πρότερον τὸ αἰσθητὸν τῆς αἰσθήσεως οἷον σῶμα θερμὸν γλυκὺ πικρόν· κἂν γὰρ μὴ ᾖ ζῷον, σῶμα δύναται εἶναι οἷον πικρὸν ἢ γλυκὺ ἢ μέλαν ἢ λευκόν, ἅπερ ἐστὶν αἰσθητά.

p. 8a6 Ἔτι ἡ μὲν αἴσθησις ἅμα τῷ αἰσθητικῷ.

Αἴσθησιν γὰρ οὐκ ἄν τις ἐπινοήσειεν ἄνευ σώματος, | τὸ δὲ σῶμα 119r
αἰσθητὸν τῷ ἅμα τῇ αἰσθήσει γίνεσθαι, οὐ μέντοι τὸ ἀνάπαλιν· δυνατὸν γὰρ καὶ μὴ οὔσης αἰσθήσεως εἶναι τὸ αἰσθητὸν οἷον πῦρ γῆν ὕδωρ καὶ τὰ τοιαῦτα.

p. 8a11 Ὥστε πρότερον ἂν τῆς αἰσθήσεως.

Ἰστέον ὅτι οὐκ ἐπήγαγε τῶν προειρημένων ἀπορίων τὴν λύσιν. πρὸς τοῦτο οὖν ῥητέον ὅτι τὰ πρός τι διχῶς νοεῖται, ἢ ὡς πράγματα αὐτὰ καθ' αὑτὰ ἀπολελυμένα ἢ ὡς σχέσει δεσμούμενα, οἷον ὁ πατὴρ καὶ ὁ υἱός· ἐὰν γὰρ νοήσωμεν πατέρα μὲν ὡς Σωφρονίσκον τὸν δὲ υἱὸν ὡς Σωκράτην, πρότερον δεῖ εἶναι Σωφρονίσκον τοῦ Σωκράτους· πρότερος γὰρ ὁ πατὴρ ὡς αἴτιον αἰτιατοῦ. τοῦτο δὲ ἔσται, ἐὰν ὡς πράγματα νοήσωμεν αὐτῶν ἑκάτερον (πρότερος γὰρ ἔσται ὁ Σωφρονίσκος τοῦ Σωκράτους), ἐὰν δὲ ὡς πατέρα καὶ υἱόν, ἅμα ἔσται τῇ σχέσει δεσμούμενα. οὕτως οὖν καὶ ἡ ἐπιστήμη καὶ τὸ ἐπιστητόν· ἐὰν μὲν τὸ ἐπιστητὸν ὡς πρᾶγμα νοήσωμεν οἷον τὰ ἄστρα, πρότερον ἔσται τὸ ἐπιστητὸν ὡς πρᾶγμα νοούμενον (πρότερα γὰρ τὰ ἄστρα τῆς περὶ αὐτὰ ἐπιστήμης), ἐὰν δὲ ὡς πρός τι νοήσωμεν, τὸ ἐπιστητὸν ἔσται ἅμα τῇ ἐπιστήμῃ· οὐδὲν γὰρ ἂν εἴη ἐπιστητὸν ἐπιστήμης μὴ οὔσης περὶ αὐτό· ἅμα γὰρ ἐπιστητὸν εἶναί φησι καὶ τὴν περὶ αὐτὸ ἐπιστήμην. εἰ δέ τις εἴποι τὸ ἐπιστητὸν δυνάμει εἶναι καὶ πρὸ τῆς περὶ αὐτὸ ἐπιστήμης, φημὶ ὅτι καὶ ἡ περὶ αὐτοῦ ἐπιστήμη τηνικαῦτα ἔσται δυνάμει. καὶ καθόλου ἐν τοῖς πρός τι ὡς ἂν ἔχοι τὸ ἕτερον, οὕτω καὶ τὸ ἕτερον ἕξει. εἰ μὲν ⟨γὰρ τὸ ἕτερον⟩ ἐνεργείᾳ εἴη, ἐνεργείᾳ καὶ τὸ λοιπὸν ἔσται, ἐὰν δὲ τὸ ἕτερον δυνάμει, καὶ τὸ ἄλλο ἔσται δυνάμει· οἷον ὅταν τὸ ἐπιστητὸν ἐνεργείᾳ ᾖ, ἐξ ἀνάγκης καὶ ἡ περὶ αὐτὸ ἐπιστήμη ἐνεργείᾳ ἔσται, ὅταν δὲ τὸ ἐπιστητὸν δυνάμει ᾖ, καὶ ἡ ἐπιστήμη δυνάμει ἔσται. ὅταν δὲ προεπινοῶμεν τὸ

---

1 μετέβη M 5 γὰρ] δὲ F τὸ δὲ σῶμα — γίνεσθαι (6) haud sana 6 τῇ αἰσθ. τῷ ἅμα F δύναται F 7 γῆ (sic) ὕδωρ F: ὕδωρ γῆν M 12 ἐν σχέσει M 14 εἶναι] εἰδέναι M ὁ] ὡς (?) M 15. 17 ἐστιν M 16 ἔσται om. M 17 τῇ] an τὰ? 18 τὸ ἐπιστ. τὸ ὡς F 19 οἷον ὡς τὰ ἄστρα F ἔσται] εὑρεθήσεται M 20 πρότερα (ex πρότερον corr.) γὰρ τὰ ἄστρα πρότερον F αὐτῶν F ἐὰν] ἂν M 21 τὸ ἐπιστ. καὶ ἁπλῶς ὡς ἐπιστ. ἅμα ἐστὶ M 22 περὶ αὐτὸ μὴ οὔσης M ἅμα γὰρ ἐπ. ἐστιν οὔσης τῆς . . ἐπιστήμης M φησι] quo pertineat nescio 23 εἶναι δυν. colloc. M 25 ἂν ἔχοι] ἔχει F 26 γὰρ τὸ ἕτερον Philop.: om. codd. 28. 29. 30 ἐστί M 28 ᾖ Philop.: εἴη codd. 29 ὅταν δὲ] μὴ οὕτως δ' ἐχούσης οὔτε τὸ ἐπιστητὸν ἐνεργείᾳ. ὡσαύτως ὅταν M 30 ᾖ] εἴη F

ἐπιστητὸν τῆς ἐπιστήμης ἢ τὸ αἰσθητὸν τῆς αἰσθήσεως, οὐχ ὡς ἐπιστητὸν ἢ ὡς αἰσθητὸν ἀλλ' ὡς πρᾶγμα αὐτὸ καθ' αὑτὸ θεωροῦμεν.

p. 8a13 Ἔχει δὲ ἀπορίαν πότερον οὐδεμία.

Συμπεπλήρωκε τὸν τῶν παλαιῶν ὁρισμὸν καὶ τὰ τούτου παρακολου-
5 θήματα· μέλλων τοίνυν τὸν ἑαυτοῦ ὁρισμὸν παρεισφέρειν βούλεται πρότερόν τινα ἄτοπα ἑπόμενα τούτῳ τῷ ὁρισμῷ δεῖξαι· ἔστι δ' ἄτοπον τὸ τὰ μέρη τῶν δευτέρων οὐσιῶν πρός τι εὑρίσκεσθαι, τοῦτ' ἔστι τὰς οὐσίας συμβεβηκότα. διαίρεσις δὲ παραδίδοται τοιαύτη· ἡ οὐσία ἢ καθόλου ἐστὶν ἢ μερικὴ καὶ ἢ ὅλον ἢ μέρος. τέσσαρες οὖν γίνονται δηλονότι συζυγίαι,
10 μία μὲν καθόλου μέρος οἷον κεφαλὴ χεῖρ, ἑτέρα δὲ ὅλον μερικὸν οἷον Σωκράτης καὶ τὰ τοιαῦτα, ἄλλη δὲ καθόλου ὅλον οἷον ἄνθρωπος, καὶ μερικὸν μέρος ὡς ἡ τὶς χεὶρ καὶ ἡ τὶς κεφαλή. τούτων αἱ μὲν τρεῖς οὐκ εἰσὶ τῶν πρός τι, ἡ δὲ μία τὸ καθόλου μέρος, ὅ ἐστι κεφαλὴ 119v
χεῖρ, δόξει τῶν πρός τι εἶναι· τινὸς γὰρ κεφαλὴ καὶ τινὸς χεὶρ λέγεται.
15 τοῦτο οὖν φησιν ἀδύνατον ἢ δυσχερὲς λῦσαι κατὰ τὸν προαποδεδομένον τῶν πρός τι ὁρισμόν.

p. 8a17 Ὁ γάρ τις ἄνθρωπος οὐ λέγεταί τινός τις ἄνθρωπος.

Ὅταν γὰρ λέγηται ἄνθρωπος ἢ βοῦς τινος εἶναι, οὐ καθὸ ἄνθρωπος οὐδὲ καθὸ βοῦς, ἀλλ' ὡς κτῆμα.

20 p. 8a28 Εἰ μὲν οὖν ἱκανῶς ὁ τῶν πρός τι.

Φησὶν ὅτι κατὰ τὸν προαποδοθέντα τῶν πρός τι ὁρισμὸν ἀδύνατον λῦσαι τὸ ἄπορον ἢ τῶν πάνυ χαλεπῶν. τοῦτο δὲ εἶπε τὸ τῶν πάνυ | χαλεπῶν διὰ τὸ δύνασθαί τινα ἀπολογίαν ἔχειν· ἔφη γὰρ ὁ ὁρισμὸς 120r
ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεται· ἡ οὖν κεφαλὴ οὐ καθὸ
25 κεφαλὴ τῶν πρός τί ἐστιν, ἀλλὰ καθὸ μέρος· τὸ γὰρ μέρος τοῦ ὅλου λέγεται μέρος.

p. 8a31 Ἀλλ' ἔστι τὰ πρός τι.

Ὃ βούλεται εἰπεῖν ὁ φιλόσοφος, τοῦτό ἐστιν ὅτι πρός τί ἐστιν ὧν τὸ εἶναι καὶ ἡ οὐσία οὐδὲν ἄλλο ἐστὶν ἢ ἡ πρὸς ἄλλο σχέσις· οὐδὲ γὰρ

---

6 ἔστι δ' ἄτοπα F 7 post οὐσίας add. εὑρίσκεσθαι F 8 καθολικὴ M 9 μερικὸν F 10 μέρος scripsi: μερικὴ F: μερικὸν M 12 καὶ ἡ] ἢ ὡς ἡ M post κεφαλή add. ἔστω δὲ καὶ ἐν ὑπογραφῇ οὕτως M 13 τοῦ καθ. μέρους M 13. 14 καθόλου κεφαλὴ καὶ καθόλου χεὶρ M 15 τῶν προαποδεδομένων F 17 post τις ἄνθρ. pergit ἢ βοῦς τινός τις εἶναι. εἰ γὰρ καὶ λέγεται οὐ καθὸ ἄνθρ. κτλ. F 21 φησὶν—ὁρισμὸν om. F 25 τὸ γὰρ μέρος—μέρος (26) om. M 29 ἄλλο] ἄλληλα F

τὸ λέγεσθαι αὐτὰ καὶ μόνον πρὸς ἄλλο σημαίνει ὅτι τῶν πρός τί ἐστι ταῦτα, ἀλλὰ καὶ τὸ σχέσιν ἔχειν αὐτὰ πρὸς ὃ λέγεται· τὸ μὲν γὰρ ὂν πρός τι οὐ μόνον λέγεται πρὸς ἄλλο, ἀλλὰ καὶ σχέσιν ἔχει πρὸς αὐτό, τὰ δὲ μὴ ὄντα πρός τι δύναται μὲν λέγεσθαι πρὸς ἄλλο, οὐ μέντοι καὶ σχέσιν ἔχει πρὸς αὐτό. ὄντος δὲ τοῦ πρός τι τοιούτου οὐκέτι τὰ μέρη τῶν δευτέρων οὐσιῶν πρός τι γίνεται· ἡ γὰρ κεφαλὴ λέγεται μὲν πρὸς ἄλλο καὶ ἄλλο, ὥσπερ οὖν καὶ πᾶν μέρος (πᾶν γὰρ μέρος ἄλλου ἐστὶ μέρος), οὐ μὴν χαρακτηρίζεται τὸ εἶναι αὐτὴν κεφαλὴν ἐκ τῆς σχέσεως ἧς ἔχει πρὸς ἐκεῖνο οὗ ἐστι κεφαλή. ἔστιν οὖν κεφαλῆς ὡς κεφαλῆς ἀποδοῦναι λόγον αὐτῆς καθ' αὑτήν· οὐσία γάρ ἐστι καὶ ὑποκείμενόν τι ἡ κεφαλή. οὐδὲν δὲ τῶν πρός τι καθ' αὑτό ἐστι πρός τι· τὸ γοῦν ὅμοιον καὶ τὸ ἴσον ὁμολογουμένως ἐστὶ πρός τι, οὐ σημαίνει δὲ πρᾶγμά τι οἰκείαν ἐπιβολὴν ἔχον, ἀλλ' ἔστι τούτων ἑκάστῳ τὸ εἶναι ἐν σχέσει. [τὸν ἴδιον τῶν πρός τι ὁρισμὸν ἐκτίθεται· ὁ γὰρ πρῶτος ὁρισμὸς παρακολούθημα μόνον ἐστίν· εἴ τι γάρ ἐστι πρός τι, τοῦτο καὶ λέγεται, οὐ μέντοι εἴ τι λέγεται, τοῦτο καὶ ἔστι πρός τι διὰ τὰ προειρημένα].

p. 8a35 Ἐκ δὲ τούτων δῆλόν ἐστιν ὅτι.

Ἐκθέμενος τὸν ἴδιον ὅρον πόρισμά τι συνάγει ἀκόλουθον τοῖς προειρημένοις· πόρισμα δέ ἐστι τὸ ἀποδείξει ἑτέρου συναναφαινόμενον καὶ αὐτὸ μέντοι χρήσιμον· οἷον ὡς ἂν εἰ εἰπών τις καὶ προθέμενος δεῖξαι ὅτι ἀθάνατός ἐστιν ἡ ψυχή, λογίσηται ὅτι εἰ μὴ ἦν αὐτὴ κατὰ τὸ ἀληθὲς ἀθάνατος, ἀλλὰ μετὰ τὴν ἀναχώρησιν τοῦ σώματος διεσκεδάννυτο, οὐδὲν διέφερον οἱ σπουδαῖοι ἄνθρωποι τῶν κακῶν, ἐπειδὴ δὲ κατὰ τὸ ἀληθὲς ἅπαντες ἴσμεν ὅτι ἔστι πρόνοια ἀπονέμουσα ἑκάστῃ ψυχῇ ἀμοιβὴν τῶν πράξεων καὶ διὰ τοῦτό τινες τῶν εὐζωίᾳ ζώντων ἐπείγονται τὰς ἀρετὰς κτᾶσθαι ὡς διὰ τοῦτο τὴν ψυχὴν οἰκειοτέραν ποιεῖν τῇ προνοίᾳ (οὐδεὶς γὰρ ἠλίθιός ἐστιν οὕτω τῇ διανοίᾳ ὡς τοῦτο ὅλον ἀγνοῆσαι), ἐὰν οὖν τὰ ἑπόμενα τῇ ψυχῇ λάβῃ καὶ δείξῃ ὅτι κρίνεται, πάντως τῇ τούτου ἀποδείξει συναναφαίνεται ὅτι ἔστι καὶ πρόνοια. φησὶ τοίνυν ὅτι ἐάν τις τῶν πρός τι τὸ ἕτερον εἰδῇ ὡρισμένως, καὶ τὸ ἕτερον ὡρισμένως εἴσεται. κἂν ἀορίστως, ὁμοίως καὶ τὸ ἕτερον ἀορίστως εἴσεται, κἂν ἁπλῶς, ἁπλῶς, καὶ καθόλου ὡς ἂν τὸ ἕτερον εἰδῇ, καὶ τὸ ἕτερον εἴσεται· εἰ γὰρ μὴ οἶδεν ὅλως πρὸς ὃ τοῦτό πως ἔχει, οὐδ' εἰ πρός τί πως ἔχει εἴσεται· | εἰ 120v γάρ τις ἐπίσταται τὸν Σωφρονίσκον ὄντα πατέρα, πάντως καὶ τὸν Σωκρά-

---

1 καὶ eicias 5 ἔχειν M τοιούτου] τούτου F 7 πᾶν γὰρ μέρος in mrg. suppl. F³ 11 πρός τι (alt.) eicias 12 post ἴσον add. ἃ M 13 τὸν ἴδιον — προειρημένα (16) inclusi τῶν] τὸν F 15. 16 εἴ τι καὶ λέγεται, τοῦτο καὶ ἔστι διὰ τὰ προειρ. M 17 δὲ] δὴ M 19. 20 καὶ αὐτὸ μέντοι χρήσιμον in mrg. suppl. F³ 20 προστιθέμενος F 25 τινες om. M εὐζωία F: εὔζωα M: fortasse εὐζωίαν 28 δείξει F πάντως γὰρ M 31 ἁπλῶς καὶ om. M 32 εἰδείῃ F 33 πρὸς ὃ — εἴσεται om. F

τὴν εἴσεται· εἰ δὲ τοῦτο μὴ εἰδείη. οὐδ' εἰ πατήρ ἐστι Σωφρονίσκος εἴσεται.

p. 8b7 Ὡσαύτως δὲ καὶ τόδε τι εἰ οἶδεν.

Εἰ γὰρ οἶδέ τις μέγεθός τι ὡς διπλάσιον, εἴσεται, φησί, καὶ τίνος διπλάσιον· εἰ γὰρ μή, οὐδὲ τὸ διπλάσιον ἐπίσταται. καὶ εἰ οἶδεν ὅτι κάλλιόν ἐστιν, ὀφείλει εἰδέναι καὶ τίνος κάλλιον· εἰ γὰρ μή, ἀλλὰ μόνον ὅτι χείρονος κάλλιον, ἀπατηθήσεται οὕτω τὴν ἁπάντων χείρονα ὕλην πολλάκις λέγων κάλλιον.

p. 8b10 Ὑπόληψις γὰρ τὸ τοιοῦτο γίνεται, οὐκ ἐπιστήμη.

Ἡ μὲν γὰρ ὑπόληψις ἀμυδρὰ καὶ ἀβέβαιός ἐστι γνῶσις, ἡ δὲ ἐπιστήμη γνῶσίς ἐστιν ἄπταιστος.

p. 8b13 Οὐδέν ἐστι χεῖρον αὐτοῦ.

Οὐδὲν γὰρ ἀπεικὸς ὃ λέγομεν κάλλιον κατὰ τύχην εἶναι πάντων χεῖρον ὡς ἐπὶ τῆς ὕλης.

p. 8b15 Τὴν δέ γε κεφαλὴν καὶ τὴν χεῖρα.

Ἐκ τούτων ἀποδείκνυσι λοιπὸν πῶς ἥ τε κεφαλὴ καὶ ὁ πούς καὶ ἡ χεὶρ οὐκ ἔστι τῶν πρός τι· ὑποκείσθω γὰρ ὁ Σωκράτης τὸ μὲν ἄλλο σῶμα ἐγκεκαλυμμένος, μόνην δὲ τὴν χεῖρα γυμνὴν ἔχων, ἐνταῦθα ὡρισμένως μὲν οἶδα ὅτι ἐστὶ χείρ, τίνος δέ ἐστιν οὐκ οἶδα. τῶν δὲ πρός τι ὁ τὸ ἕτερον ὡρισμένως εἰδὼς καὶ τὸ ἕτερον ὡρισμένως εἴσεται· τὴν δὲ χεῖρα ὡρισμένως εἰδὼς τίνος ἐστὶν ὡρισμένως οὐκ οἶδα· δῆλον οὖν ὅτι ἡ χεὶρ οὐκ ἔστι τῶν πρός τι. ὁμοίως δὲ ὁ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων μερῶν.

p. 8b21 Ἴσως δὲ χαλεπὸν ὑπὲρ τῶν.

Πάνυ ἐμφιλοσόφως φησί· βούλεται γὰρ ἡμᾶς μὴ εἰκῇ μηδὲ ὡς ἔτυχεν ἀποφαίνεσθαι καὶ μάλιστα περὶ θεωρημάτων πολλῆς ζητήσεως δεομένων,

---

1 δὲ] γὰρ F εἰδείη] εἰδῇ M 3 δὲ om. F εἰ om. M 4 ante εἰ γὰρ add. εἰ οἶδεν ἀφωρισμένως ὅτι ἔστι διπλάσιον, εἴσεται τίνος διπλάσιον M φησί, καὶ om. M 5 καὶ εἰ] εἰ γὰρ M 6 γὰρ] δὲ F μόνον] μᾶλλον F 7 ἀπατηθ. ante ἀλλὰ colloc. F 9 τοιοῦτον F καὶ οὐκ M ἐπιστήμης F 10 μὲν γὰρ om. F 13 πάντων εἶναι colloc. M 15 γε om. F 16 τε om. F 19 ἐστί (post ὅτι) om. F ἐστιν οὐκ] οὐκέτι F 20 ὁ om. F 21 οὖν Vat. 2173: om. FM 24 ὑπὲρ] περὶ M 26 δεομένων scripsi: ἐχομένων FM

μετὰ πολλῆς δὲ βασάνου καὶ κρίσεως. ἐπειδὴ δὲ ὁδὸς εἰς εὐπορίαν μαθήσεως τὸ ἀπορεῖν, οὐκ ἄχρηστόν φησι τὸ διηπορηκέναι περὶ ἑκάστου αὐτῶν· τὸ γὰρ μὴ ἀπορεῖν δύο ταῦτα σημαίνει, τὸ πάντων ἔχειν τὰς γνώσεις ὡς ἡ πρόνοια (οὐδὲν γὰρ ἐν αὐτῇ ἄπορόν ἐστι) καὶ τὸ παντα-
5 χόθεν ἐστερῆσθαι γνώσεως· ὃ γὰρ μὴ οἶδέ τις, οὐδὲ ἀπορεῖ. ἡμεῖς δὲ μέσοι ὄντες τῶν τε ὑπὲρ ἡμᾶς καὶ τῶν μεθ' ἡμᾶς μέσως πως γινώσκομεν ὁδῷ χρώμενοι τῇ ἀπορίᾳ· καθάπερ γὰρ τὰ πυρία πρὸς ἑαυτὰ παρατριβόμενα πῦρ ἀφιᾶσιν, οὕτω καὶ αἱ ψυχαὶ ἀποροῦσαι διὰ τῆς ζητήσεως ἀφιᾶσι τὸ τῆς ἀληθείας φῶς. ἐπειδὴ οὖν ὁ Ἀριστοτέλης ἐλάβετο ἀνω-
10 τέρω τοῦ ὁρισμοῦ τοῦ λέγοντος πρός τι εἶναι τὰ ἑτέρων λεγόμενα, ὡς κινδυνευουσῶν τινων οὐσιῶν γίνεσθαι τῶν πρός τι, νῦν φησιν ὅτι ἴσως οὐ δεῖ ἡμᾶς διισχυρίζεσθαι ὅτι οὐκ ἔστι πρός τι τὰ ἑτέρων λεγόμενα· πολλάκις γὰρ ἀπολογεῖταί τις πρὸς τὴν εἰρημένην ἐξ ἡμῶν ἀπορίαν. |

Περὶ ποιοῦ καὶ ποιότητος. 121v

15 Τῷ αὐτῷ τρόπῳ τῆς διδασκαλίας | ἐπὶ τῆς ποιότητος κεχρήμεθα, 122r ᾧ καὶ ἐπὶ τῶν πρός τι. δεῖ οὖν ἡμᾶς καὶ ἐνταῦθα προλαβεῖν τινα τῆς διδασκαλίας καὶ ζητῆσαι πρότερον τὴν τάξιν τῆς κατηγορίας, δεύτερον τὸν ὁρισμόν, εἶτα τὴν ἐπιγραφὴν περὶ ποιοῦ καὶ ποιότητος, τέταρτον δὲ ἐπὶ τούτοις καὶ περὶ τῆς διαιρέσεως αὐτῆς. καὶ ἡ μὲν τάξις τῆς κατηγο-
20 ρίας ἤδη ἡμῖν δήλη ἐκ τῶν εἰρημένων ἐν τοῖς πρός τι. περὶ δὲ τοῦ ὁρισμοῦ ζητοῦμεν διὰ τί τῆς ποιότητος τὸν ὁρισμὸν ἀποδιδούς φησιν ὅτι καθ' ἣν οἱ μετέχοντες αὐτῆς ποιοὶ λέγονται, αὐτὸ δὲ ὅπερ ἐζητοῦμεν ὡς σαφὲς παρέλαβε καὶ ὁμολογούμενον. ἐροῦμεν ὅτι οὗτος ὁ λόγος εἰς ἔννοιαν ἡμᾶς ἄγει τῆς ποιότητος διὰ τοῦ ποιοῦ· σαφέστερον γάρ ἐστι
25 τὸ ποιὸν ἅτε δὴ αἰσθήσει ληπτόν, καὶ ὅλως ἀπ' αὐτοῦ εἰς ἔννοιαν τῆς ποιότητος ἐρχόμεθα· θεασάμενοι γὰρ τὸ ἐν γάλακτι λευκὸν καὶ τὸ ἐν χιόνι καὶ τὸ ἐν ψιμυθίῳ εἰς ἔννοιαν ἐρχόμεθα λευκότητος, ὁμοίως γευσάμενοι μέλιτος καὶ φοίνικος καὶ ἰσχάδος εἰς ἔννοιαν ἐρχόμεθα τῆς γλυκότητος. ἐκ τοῦ ποιοῦ οὖν τοῦ δεδεγμένου τὰς προειρημένας ποιότητας,
30 λευκότητα λέγω καὶ γλυκύτητα, ὡς σαφεστέρου ὄντος τὴν διδασκαλίαν ποι-

---

2 μαθήσεως] μαθήσεται F 4 ἡ om. F 6 τε om. M ὑπὲρ] περὶ M μεθ'] καθ' M 7 πρὸς τὰ πυρόβολα ἑαυτὰ F 9. 10 τοῦ ἀνωτέρου ὁρισμοῦ ἐπελάβετο F 11 τινων] τῶν F 13 τὰ εἰρημένα M 14 tit. περὶ ποιοῦ καὶ ποιότητος F: Φωτίου περὶ ποιότητος, tum post Photii expositionem ἀμμωνίου M
15 καὶ ἐπὶ τῆς ποιότ. M 16 ᾧ καὶ] ὡς M 18 post ἐπιγραφὴν add. τί δήποτε μὴ ὡς ἐν ταῖς ἄλλαις κατηγορίαις ἁπλῆν ἐποιήσατο τὴν ἐπιγραφὴν ἀλλὰ M 19 περὶ] ἐπὶ M 23 ἐροῦμεν—ποιότητος (24)] τὴν ποιότητα F 25 δὴ om. M
26 τὸ (prius) ex τῷ corr. F 27 ψιμμιθίῳ M 28 φοίνικος καὶ μέλιτος colloc. F
29 οὖν τοῦ] τοῦ καὶ F 30 σαφεστέρου (ὡς om.) γοῦν ὄντος τοῦ ποιοῦ ἐκ τούτου τὴν διδ. F

εἶται. ἔστι δὲ ποιὸν μὲν αὐτὸ τὸ μετέχον ποιότητος, τὸ δὲ μετεχόμενον ἡ ποιότης· διὰ γὰρ τοῦτο καὶ προέταξε τὸ ποιὸν ἐν τῇ ἐπιγραφῇ ὡς ἐν τούτῳ τῆς ποιότητος θεωρουμένης.

Δεῖ δὲ ἐπὶ τούτοις καὶ τὴν διαίρεσιν τῆς κατηγορίας εἰπεῖν. ἰστέον ὅτι τῆς ποιότητος ὁ Ἀριστοτέλης τέσσαρα ἡμῖν παραδίδωσιν εἴδη, πρῶτον ἕξιν καὶ διάθεσιν, δεύτερον δύναμιν καὶ ἀδυναμίαν, τρίτον παθητικὴν ποιότητα καὶ πάθος, τέταρτον σχῆμα καὶ μορφήν. καὶ ἕξις μέν ἐστιν, ὡς ὅταν λέγωμεν τὸν γεωμέτρην ἕξιν ἔχειν εἰς τὰ γεωμετρικὰ θεωρήματα, διάθεσις δέ ἐστιν, ὡς ὅταν εἴπωμέν τινα παρακούσματα ἔχειν γεωμετρικῶν θεωρημάτων. καὶ τοῦτο μὲν τὸ πρῶτον εἶδος τῆς ποιότητος. τὸ δὲ δεύτερον δύναμις καὶ ἀδυναμία, ὅ ἐστιν ἐπιτηδειότης καὶ ἀνεπιτηδειότης πρὸς τὰ φυσικὰ πράγματα, καὶ τὴν μὲν δύναμιν ἐπιτηδειότητα τὴν δὲ ἀδυναμίαν ἀνεπιτηδειότητα καλοῦμεν. τρίτον δὲ εἶδος παθητικὴ ποιότης καὶ πάθος· ἔστι δὲ παθητικὴ ποιότης ὡς ἡ ἐν τῇ χιόνι ψυχρότης καὶ ἡ ἐν τῷ πυρὶ θερμότης. αὕτη δέ ἐστι διττή, ἢ ὡς πάθος ποιοῦσα ἢ ὡς ἀπὸ πάθους ἐγγινομένη· ἡ μὲν οὖν ψῦξις τῆς χιόνος καὶ ἡ τοῦ πυρὸς θερμασία λέγεται παθητικὴ ποιότης, οὐχ ὡς ἀπὸ πάθους ἐγγινομένη ἀλλ' ὡς πάθος ἐμποιοῦσα (οὔτε γὰρ τροπή τις ἐγένετο περὶ τὸ ὑποκείμενον, ἵνα δέξωνται ταύτας τὰς ποιότητας τό τε πῦρ καὶ ἡ χιών, ἀλλὰ μᾶλλον ταῦτα ἐν ἄλλοις ἐντιθέασι πάθη, θερμότητα καὶ ψυχρότητα), ἡ δὲ ἐν τῷ τεθερμασμένῳ σιδήρῳ θερμασία λέγεται παθητικὴ ποιότης ὡς ἀπὸ πάθους ἐγγινομένη. πάθος δὲ λέγομεν, ἡνίκα τὸν πρότερόν τις χρόνον ὠχρὸς ὢν δι' αἰδῶ ἐρυθριάσῃ· τὸ ἔρευθος τοῦτο ἐροῦμεν εἶναι πάθος. | τέταρτον δὲ εἶδος 122ᵛ τὸ σχῆμα καὶ ἡ μορφή. καὶ εἰδέναι δεῖ ὅτι τὸ μὲν σχῆμα ἐπὶ τῶν ἀψύχων λέγεται, ἡ δὲ μορφὴ ἐπὶ τῶν ἐμψύχων. εἰδέναι δὲ δεῖ ὅτι καὶ ὁ Πλάτων ἐχρήσατο τῷ τῆς ποιότητος ὀνόματι ἐν τῷ διαλόγῳ τῷ Θεαιτήτῳ καὶ αὐτὸς γέγονε πρῶτος δημιουργὸς τοῦ ὀνόματος· φησὶ γὰρ ὅτι 'δοκεῖς μοι ἀγνοεῖν τί σημαίνει τὸ τῆς ποιότητος ὄνομα διὰ τὸ ἀθρόως εἰρῆσθαι'. ὁ δὲ Ἀριστοτέλης ἐπέτεινε τὸ τῆς ποιότητος ὄνομα οὐ μόνον ἄχρι σωμάτων ἀλλὰ καὶ ἐπὶ τὴν ψυχήν, λέγων ποιότητας εἶναι ἐν ψυχῇ ἐπιστήμην καὶ ἀρετήν.

Ἔστι δὲ † ἀπορῆσαι τῷ Ἀριστοτέλει λέγοντας μὴ δεόντως αὐτὸν πεποιῆσθαι τὴν διαίρεσιν· λέγομεν γὰρ ἕξιν οὐ μόνον ἐπὶ τῆς ψυχῆς ἀλλὰ καὶ ἐπὶ τοῦ σώματος· τὴν γὰρ ὑγείαν ἕξιν λέγομεν εἶναι τοῦ σώματος, καὶ πάλιν ἑκτικὸν πυρετόν. ταύτας οὖν τὰς ποιότητας ὑπὸ ποῖον

---

2 καὶ om. F ὑπογραφῇ F 8 τὰ γεωμετρικὰ—εἴπωμεν (9) om. F 9 ἔχειν om. F 10 καὶ τοῦτο—τὸ δὲ om. F 11 δύναμιν FM ἀδυναμίαν M ὅ om. F 12. 13 ἀνεπιτ. ἀδυν. colloc. M¹ 13 δὲ] ἐστιν M 14 ἡ (utrobique) om. M 17 ὡς (post οὐχ) om. F 18 οὔτε] an οὐδὲ? 20 τεθερμ.] θερμ. F 21 ἐγγενομένη F 23 αἰρυθριάσῃ F: ἐρυθριάσει M 24 τὸ σχῆμα supra scr. F μὲν om. F 25 τῶν om. F καὶ εἰδέναι δὲ F 25. 26 ὁ θεῖος πλ. M 26 διαλ.] λόγῳ F Θεαιτήτῳ] p. 182 A 28 post εἰρῆσθαι add. καὶ ὁ μὲν πλάτων οὕτως ἐχρήσατο M 30 ἐν ψυχῇ M: ἤγουν F 32 ἀπορῆσαι] ἐπιστῆσαι coni. Diels 35 ποιῶν F

τῶν τεττάρων εἰδῶν τῆς ποιότητος τῶν ὑπὸ Ἀριστοτέλους εἰρημένων ἀνάγομεν; ἵνα οὖν τελεία ᾖ ἡ διαίρεσις, εἴπωμεν οὕτως· τῆς ποιότητος ἡ μέν ἐστι κατ' ἐπιτηδειότητα ἡ δὲ κατ' ἐνέργειαν, καὶ αὕτη μὲν ἡ κατ' ἐπιτηδειότητα ποιεῖ τὸ δεύτερον εἶδος τὸ ὑπὸ Ἀριστοτέλους εἰρημένον τὸ κατὰ δύναμιν καὶ ἀδυναμίαν, ἡ δὲ κατ' ἐνέργειαν ἢ τελειωτική ἐστιν ἢ κακωτικὴ ἢ οὔτε τελειωτικὴ οὔτε κακωτική. τῆς δὲ τελειωτικῆς ἡ μὲν πάθος ἐμποιεῖ περὶ τὴν ἡμετέραν αἴσθησιν ἡ δὲ οὐ ποιεῖ πάθος. αὕτη ἡ μὴ ποιοῦσα πάθος ἢ δυσαπόβλητός ἐστιν ἢ εὐαπόβλητος. καὶ εἰ μὲν δυσαπόβλητός ἐστι, γίνεται ἕξις, καὶ γίνεται ἢ ἐν ψυχῇ ἢ ἐν σώματι, εἰ δὲ εὐαπόβλητος, γίνεται διάθεσις. ἕξις δὲ ἐν ψυχῇ μὲν ἐπιστήμη ἀρετή, ἐν σώματι δὲ ὡς ὑγεία. εἰ δέ τις εἴποι τὴν ὑγείαν πάθος ἐμποιεῖν (αἰσθανόμεθα γὰρ αὐτῆς), ἐροῦμεν ὅτι οὐ τῆς ὑγείας αἰσθανόμεθα, ἀλλὰ τῶν παθητικῶν ποιοτήτων τῶν ἡγουμένων τῆς ὑγείας· οἱ μὲν γὰρ πυρέττοντες αἰσθάνονται τῆς παρὰ φύσιν θερμασίας παρούσης καὶ πάλιν ἀπούσης, τῆς μέντοι ὑγείας αὐτῆς οὐκ αἰσθάνονται· διὸ καὶ ὅσοι ἀνίατοι, νόσου παρούσης ἀμυδρᾶς οὐκ αἰσθάνονται· οὐ γάρ ἐστι τότε κατάδηλος ἡ νόσος εἰ μὴ μόνοις τοῖς ἰατροῖς, καὶ αὐτοὶ δὲ οἷς ἰατροὶ διαγνώσεως σημεῖά τινα ἔχουσι, δι' ὧν θηρῶνται τὴν νόσον καὶ τὴν ὑγείαν. τῆς δὲ πάθος ἐμποιούσης ἡ μὲν δυσαπόβλητός ἐστιν ἡ δὲ εὐαπόβλητος, καὶ εἰ μὲν εὐαπόβλητος εἴη, τὸ ἓν τμῆμα τοῦ τρίτου εἴδους ποιεῖ τοῦ ὑπὸ Ἀριστοτέλους εἰρημένου. φημὶ δὴ τὸ πάθος, οἷόν ἐστι τὸ ἔρευθος τοῦ δι' αἰδῶ ἐρυθριάσαντος· ἡ γὰρ φύσις τοῦ ἀνθρώπου συνειδυῖα τῷ ἑαυτῆς πταίσματι μὴ βουλομένη | ἄτιμα μηδ' ἔρημα εἶναι τὰ ἐπιπολῆς τὰ τιμιώτερα ἑαυτῆς εἰς 123r προκάλυμμα πέμπει τοῦ πάθους· τιμιώτερα δὲ πάντων τῇ φύσει τό τε πνεῦμα καὶ τὸ αἷμα. καὶ ἡ μὲν φύσις ἀποστέλλει τὸ αἷμα εἰς τὰ ἐπιπολῆς, τὸ δὲ χρῶμα τοῦ χυμοῦ ποιεῖ τὸ ἔρευθος. εἰ δὲ δυσαπόβλητος εἴη, ποιεῖ τὸ ἕτερον τμῆμα τοῦ τρίτου εἴδους, τὴν παθητικὴν ποιότητα τὴν πάθος ἐμποιοῦσαν. εἰ δὲ μήτε τελειωτικὴ εἴη μήτε κακωτική, ἢ περὶ τὴν ἐπιφάνειαν θεωρεῖται ἢ διὰ βάθους κεχώρηκε τοῦ ὑποκειμένου. καὶ εἰ διὰ τοῦ βάθους κεχώρηκεν, ἢ εὐαπόβλητός ἐστιν ἢ δυσαπόβλητος· καὶ εἰ μὲν εὐαπόβλητος εἴη, ποιεῖ πάλιν πάθος τοῦ τρίτου εἴδους τῆς ποιότητος, εἰ δὲ δυσαπόβλητος εἴη, ποιεῖ παθητικὴν ποιότητα, οὐ τὴν πάθος ἐμποιοῦσαν ἀλλὰ τὴν ἀπὸ πάθους ἐγγινομένην, καθάπερ ἐπὶ τοῦ ἐκ γενετῆς ἐρυθροῦ· ὃν γὰρ τρόπον ὁ δι' αἰδῶ ἐρυθριάσας κατὰ πάθος ἔσχε

---

1 τεττάρων om. F 2 ᾖ scripsi: εἴη FM 6 οὔτε (prius)] τε supra scr. F² 9 ἐστι] εἴη M καὶ γίνεται ἢ] γίνεται δὲ M εἰ] ἡ F 11 τῷ σώματι M 12 αὐτήν F 13 τῶν om. F 13. 15 ὑγιείας M 15 μέντοι] μὲν F 16 οὐ] οὐδὲ M 18 ἔχουσι supra scr. M τῆς δὲ πάθος] εἴπωμεν ὅτι τῆς ποιότητος τῆς πάθος F 19 ἐστιν om. F 20 ποιεῖ post ἓν colloc. M 21 τὸ πάθος οἷόν ἐστι om. F 22 τοῦ ἀνθρ. ἑαυτῇ πταίσματι (τῷ om.) συνιδοῦσα καὶ μὴ βουλομένη αὐτὸ σημᾶναι μηδὲ ῥήματι μήτε ἀφύλακτα διαμεῖναι ἀσήμαντον ἀφύλακτα μηδὲ ῥήματα εἶναι τὰ ἐπιπολῆς F 23 εἰς] an ὡς? 24 τιμιώτερον M 25 ante πνεῦμα add. χρῶμα F 26 δυσαπόβλητα F 27 ποιότητα om. F 29 βάθος F 30. 31 εὐαπόβλητον (bis) et δυσαπόβλητον F 31 πάλιν post εἴδους colloc. M 34 γεννητῆς (sic) F

τὸ τοιοῦτον χρῶμα, κατὰ τὸν αὐτὸν τρόπον καὶ ὁ ἐκ φύσεως ἐρυθρὸς κατὰ φυσικὸν πάθος τοιοῦτον ἔσχε χρῶμα.

Ἰστέον δ' ὅτι ὁ Ἀριστοτέλης τὴν ἀλλοίωσιν γενέσθαι λέγει ἐν τῷ ἑβδόμῳ τῆς Φυσικῆς ἀκροάσεως οὐκ ἀπὸ πάσης ποιότητος ἀλλὰ μόνον τῶν παθητικῶν· αἱ γὰρ κατὰ τὴν ἕξιν ποιότητες οὐ ποιοῦσι, φησίν, ἀλλοίωσιν ἀλλ' ὁδόν τινα ἢ ἐπὶ φθορὰν ἢ ἐπὶ γένεσιν· ἡ γὰρ τῆς ἕξεως μεταβολὴ ἐναλλαγὴ τῆς οὐσίας ἐστίν. ἐπιζητῶν γὰρ ὁ φιλόσοφος τὰ εἴδη τῆς μεταβολῆς ἔλεγεν ἓξ εἶναι, γένεσιν φθορὰν αὔξησιν μείωσιν ἀλλοίωσιν τὴν κατὰ τόπον μεταβολήν. θεωροῦνται δὲ αὗται αἱ μεταβολαὶ ἐν τέτρασι κατηγορίαις, ἐν οὐσίᾳ ἐν ποσῷ ἐν ποιῷ ἐν τῇ ποῦ. καὶ ἡ μὲν μεταβολή, φησίν, ἡ γινομένη περὶ τὴν οὐσίαν ἡ μὲν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ ὂν γινομένη λέγεται γένεσις, ἡ δὲ ἀπὸ τοῦ ὄντος εἰς τὸ μὴ ὂν λέγεται φθορά. ἡ δὲ περὶ τὴν τοῦ ποσοῦ κατηγορίαν γινομένη μεταβολὴ καλεῖται αὔξησις καὶ μείωσις, ἡ δὲ ἐν τῇ τοῦ ποῦ κατηγορίᾳ ἡ κατὰ τόπον μεταβολή, ἡ δέ γε ἀλλοίωσις οὐ κατὰ πᾶν εἶδος ποιότητος γίνεται· αἱ γὰρ κατὰ τὴν ἕξιν οὐκ ἂν λέγοιντο ἀλλοιώσεις, ἀλλ' οἷον γενέσεις τινὲς καὶ φθοραί· εἴτε γὰρ ἐν τῇ ψυχῇ εἴη ἕξις, ὡς ἐπιστήμη ἢ ἀρετὴ ἔσται, εἴτε ἐν σώματι, ὡς ὑγεία, καὶ ἐὰν μία τούτων μεταβληθῇ, εἰ μὲν ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ ὄν, γίνεται γένεσίς τις, εἰ δὲ ἀπὸ τοῦ ὄντος εἰς τὸ μὴ ὄν, φθορὰ λέγεται. καὶ ταύτας, φησίν, οὐ δεῖ καλεῖν ἀλλοιώσεις. οὐκοῦν ἐροῦμεν τὴν ἀλλοίωσιν γίνεσθαι, ἡνίκα μεταβολὴ κατὰ τὰς παθητικὰς ποιότητας γένηται, τοῦτ' ἔστιν οὐ κατὰ τὰς οὐσιώδεις ἀλλὰ κατὰ τὰς συμβεβηκυίας τῷ πράγματι. καὶ ταῦτα μὲν περὶ τούτων εἰρήσθω. 123ᵃ

Εἰ δὲ μὴ δι' ὅλης τῆς οὐσίας κεχώρηκεν, ἀλλὰ περὶ τὴν ἐπιφάνειαν μόνην θεωρεῖται, εἰ μὲν ἐν ἀψύχοις εἴη, λέγεται σχῆμα, εἰ δὲ ἐν ἐμψύχοις, λέγεται μορφή· ταύτην γὰρ ἴσμεν διαφορὰν σχήματος καὶ μορφῆς, ἢ ὅτι τὸ μὲν σχῆμα ἐν τῇ φαντασίᾳ τῇ ἡμετέρᾳ θεωρεῖται, ἡ δὲ μορφὴ ἐν τοῖς φυσικοῖς πράγμασιν, ὡς φέρειν τὸ τῆς μορφῆς ὄνομα καὶ κατὰ παντὸς ἀψύχου, φημὶ δὴ λίθου καὶ ξύλου καὶ σιδήρου καὶ εἴ τι ἄλλο τῶν φυσικῶν σωμάτων μετέχει σχήματος. εἰ δέ τις εἴποι δι' ἣν αἰτίαν μὴ καὶ τὰ χρώματα λέγομεν εἶναι μορφήν, ἐπειδὴ καὶ αὐτὰ περὶ τὴν ἐπιφάνειαν θεωροῦνται, ἐροῦμεν ὅτι τὰ χρώματα οὐχ ἁπλῶς ἐν τῇ μεταβολῇ τῆς ἐπιφανείας θεωροῦνται, ἀλλὰ πάντως ἀμείβεται καὶ περὶ τὴν κρᾶσιν τὸ σῶμα, ἐπὶ δὲ τῆς μορφῆς καὶ τοῦ σχήματος τῆς οὐσίας πάντῃ ἀτρέπτου

---

1 ἐρυθρὸς] ἐρυθριάσας F 2 χρῶμα Vat. 2173: τὸ χρῶμα FM 3 ὅτε F λέγει γενέσθαι colloc. M 3. 4 ἐν τῷ ἑβδόμῳ τῆς Φυσικῆς ἀκροάσεως] cf. c. 3 p. 245ᵇ3 sq. 5 ἕξιν] τάξιν F φησίν] φυσικὴν M 6 ἢ (post τινα) om. F 7 μεταλλαγὴ μεταβολὴ F ἐπιζητεῖ F 8 ἔλεγε δὲ F 11 γενομένη F τοῦ om. M 12 ὂν om. F γενόμενον F 14 τοῦ om. M post κατηγ. add. καλεῖται M 15 ἀλλοίωσίς φησιν M 16 λέγοιντο] γένοιντο M 17 ὡς] ἢ F 18 ἔσται] ἐστιν M ὑγίεια M ἐὰν] εἰ F 25 θεωροῖτο M ἀψύχω — ἐμψύχω M 29 φημὶ] λέγω M καὶ (ante ξύλου) om. F 30 σχήματος] σώματος M 31 τὰ χρώματα] κατὰ χρῶμα F περὶ] κατὰ F 33 καὶ om. F κρίσιν F 34 τῆς οὐσίας πάντῃ om. F

μενούσης ἡ μεταβολὴ περὶ μόνην τὴν ἐπιφάνειαν γίνεται· ἐὰν γὰρ εἰληφότες κηρὸν ποιήσωμεν αὐτῷ τρίγωνον σχῆμα, εἶτα πάλιν μεταλλάξαντες αὐτὸν ἀπὸ τοῦ τριγώνου ποιήσωμεν σφαῖραν, οὐδεμίαν μεταβολὴν τῆς οὐσίας ποιήσαντες τὸ σχῆμα μόνον ἠμείψαμεν· οὐδὲν γὰρ ἧττον ἔσται κηρὸς καὶ τριγώνου ἔχων σχῆμα καὶ σφαιρικόν.

p. 9a10 Εἰσὶ δὲ αἱ μὲν ἕξεις καὶ διαθέσεις.

Ὥσπερ γὰρ τοῦ ὀνόματος καὶ τοῦ ῥήματος κατηγορεῖται τὸ ὄνομα, οὕτω καὶ τῆς ἕξεως καὶ τῆς διαθέσεως κατηγορεῖται ἡ διάθεσις, καὶ ἔστι μὲν ἡ ἕξις καὶ διάθεσις κατὰ τὴν κοινὴν αὐτῶν κατηγορίαν, οὐκ ἔστι δὲ ἡ διάθεσις καὶ ἕξις· τῶν γὰρ διαθέσεων ἡ μὲν διαιρεῖται εἰς ἕξιν καὶ διάθεσιν, ἡ δὲ ἀντιδιαστέλλεται πρὸς τὴν ἕξιν.

p. 9a14 Ἕτερον δὲ γένος ποιότητος.

Τῆς ποιότητος γένους οὔσης διὰ τί τῶν εἰδῶν αὐτῆς τὸ μὲν πρῶτον λέγει τὸ δὲ δεύτερον; φαμὲν ὅτι καθὸ μὲν ποιότητες οὐκ ἔστι τὸ μὲν πρῶτον αὐτῶν τὸ δὲ δεύτερον, | ἀλλὰ μόνον ἀξιώματι διαφέρει, ὡς ἂν καὶ ἄνθρω- 124r
πος ἵππου. πῶς δὲ τῆς ποιότητος γένος φησί, καὶ μὴν γενικώτατόν ἐστι γένος; γένος εἶπεν ἀντὶ τοῦ εἴδους, ἵνα δείξῃ ὅτι οὐκ ἔστιν εἰδικώτατον εἶδος, ἀλλὰ γένος μὲν ὑπάλληλον, εἶδος δὲ ὑπὸ τὴν ποιότητα ἀναφερόμενον, ὡς ἂν εἴποιμεν τῆς οὐσίας γένος εἶναι τὸ ζῷον ἀντὶ τοῦ ὑπ' αὐτὴν γένους.

Δεύτερον οὖν τοῦτο ἀποδίδωσιν εἶδος ποιότητος τὸ κατὰ δύναμιν καὶ ἀδυναμίαν. λέγει δὲ πυκτικοὺς ἢ δρομικοὺς τοὺς φύσιν ἔχοντας ἐπιτηδείαν πρός τι τῶν τοιούτων, τοῦτ' ἔστι τοὺς δυνάμει τοιούτους ὄντας. καὶ τὸ μὲν πρῶτον εἶδος τῆς ποιότητος ἐνεργείᾳ θεωρεῖται ἥ τε ἕξις καὶ ἡ διάθεσις, τὸ δὲ δεύτερον δυνάμει· οἱ γὰρ δυνάμει πύκται ἢ δρομικοὶ ἐπιτηδειότητα εἰς τοῦτο ἔχειν λέγονται κατὰ δύναμιν φυσικὴν ἢ ἀδυναμίαν. ἐὰν δὲ πύκτης ἢ δρομεὺς ἐνεργείᾳ ᾖ, οὐκέτι κατὰ δύναμιν φυσικὴν ἢ ἀδυναμίαν λέγεται, ἀλλ' ἕξιν καὶ διάθεσιν.

---

1 γένεται] λέγεται M 2 ποιήσωμεν scripsi: θήσωμεν F: θήσομεν M post σχῆμα add. ἢ κύβον F μαλάξαντες F 3 τρίγωνον M 5 post σφαιρικόν add. Διπλῆν τὴν ἐπιγραφὴν ἐποιήσατο, ἐπεὶ διπλοῦν καὶ τὸ τῆς ποιότητος ὄνομα, ἢ ὡς αὐτὸ καθ' αὐτὸ καὶ νῷ μόνῳ νοούμενον ἢ ὡς αἰσθήσει ληπτόν. καθ' αὐτὸ μὲν ὡς αὐτὸ τὸ τῆς ποιότητος γένος οἷον ἡ καθόλου λευκότης, αἰσθήσει δὲ ληπτὸν ὡς τὸ αἴτιον λαβὸν (potius τὸ μεταλαβόν) αὐτῆς καὶ παρωνύμως ἀπ' αὐτῆς ὀνομασθὲν οἷον τὸ λευκὸν σῶμα. Τὸ πλεοναχῶς ἐνταῦθα οὐ τὸ ὁμωνύμως σημαίνει ἀλλὰ τὸ διαφόρως· γένος γὰρ γενικώτατον ἡ ποιότης συνωνύμως τῶν ἑαυτῆς εἰδῶν κατηγορούμενον M 8 διάθεσις] διάθεσεις (sic) F 11 ἡ δὲ] ἥτις M 12 ἕτερον] δεύτερον M 13 γένους Vat. 2173: γένος FM 14 λέγομεν F 15 ἂν] ἐὰν F 16 τὴν ποιότητα F 17 τοῦ om. M 18. 19 ἀναφερ.] φερόμενον F 20 γένους] γένος F 25 οἱ] οὐ F 26 ἔχοντες M ἀδυν. εἶναι M 27 δὲ] γὰρ M πύκτης ἢ δρομεὺς] δρομεὺς ἢ πυκτικὸς F ἢ ante πύκτης colloc. M 28 ἕξει καὶ διαθέσει M

p. 9a16 Οὐ γὰρ τῷ διακεῖσθαί πως.

Οὐ τῷ εἶναι αὐτοὺς ἐνεργείᾳ τοιούτους λέγομεν, ἀλλὰ τῷ δύναμιν αὐτοὺς ἔχειν τοιαύτην.

p. 9a21 Ὑγιεινοὶ δὲ λέγονται τῷ δύναμιν ἔχειν φυσικὴν τοῦ μηδὲν πάσχειν.

Ἰστέον ὅτι λέγεται δύναμις ἢ τῷ πεφυκέναι ποιεῖν, καθάπερ λέγομεν πύκτην τὸν δυνάμενον πλήττειν. ἢ τῷ πεφυκέναι μὴ πάσχειν, καθάπερ λέγομεν τὸν ὑγιαίνοντα δύναμιν ἔχειν τοῦ μὴ πάσχειν καὶ πάλιν τὸν νοσοῦντα λέγομεν δύναμιν ἔχειν τοῦ πάσχειν. εἰ δέ τις εἴποι τὴν ἀδυναμίαν μὴ εἶναι ποιότητα, ἐλέγχομεν τοῦτον ἐκ τοῦ ἀντικειμένου αὐτῇ· τὴν γὰρ δύναμιν οὐδείς ἐστιν οὕτως ἠλίθιος, ὃς φησι μὴ εἶναι ποιότητα· ἀποδέδεικται δὲ ὅτι ὡς ἂν ἔχῃ τὸ ἕτερον τῶν ἐναντίων, οὕτως ἔχει καὶ τὸ ἕτερον· καὶ γὰρ ὑπὸ τὸ αὐτὸ γένος ἀνάγονται. λέγεται τοίνυν καὶ ἡ ἀδυναμία τριχῶς· λέγεται γὰρ ἀδυναμία ⟨ἐπὶ⟩ τοῦ μὴ πεφυκότος ποιεῖν, ὥσπερ τὸν νοσοῦντα λέγομεν ἀδυναμίαν ἔχειν τοῦ ποιεῖν. λέγεται δὲ καὶ ἐπὶ τοῦ μὴ πεφυκότος πάσχειν, ὥσπερ τὸν ὑγιαίνοντα λέγομεν ἀδυναμίαν ἔχειν τοῦ παθεῖν. λέγομεν δὲ πάλιν τὸν νοσοῦντα ἀδυναμίαν ἔχειν τοῦ μὴ παθεῖν, τοῦτ' ἔστι τὴν τοῦ πάσχειν δύναμιν· ἡ γὰρ ἀπόφασις τοῦ μὴ παθεῖν δύναμιν εἰσάγει τοῦ παθεῖν καὶ τοὐναντίον ἡ ἀπόφασις τοῦ παθεῖν δύναμιν εἰσάγει τοῦ μὴ παθεῖν. ἔστι δὲ καὶ ἄλλως εἰπεῖν· λέγεται γὰρ δύναμις ἢ πρὸς τὸ καθόλου, ὡς ἐὰν λέγωμεν δύναμιν ἔχειν πάντα ἄνθρωπον γεωμετρεῖν, ἢ πρὸς τὸ ῥᾳδίως, ὡς ὅτι ὁ δεῖνα ἄνθρωπος δύναμιν ἔχει τοῦ γεωμετρεῖν ἀντὶ τοῦ ῥᾳδίως δύναται γεωμετρῆσαι. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἀδυναμίας· λέγομεν γὰρ καὶ αὐτὴν ἢ πρὸς τὸ μὴ πεφυκὸς ὅλως γεωμετρεῖν οἷον τὸν κύνα, ἢ πρὸς τὸν δυσχερῶς γεωμετροῦντα οἷον τὸν νωθῆ. οἷον οἱ μὲν νοσώδεις δύναμιν ἔχουσι τοῦ πάσχειν τι ῥᾳδίως, ἀδυναμίαν δὲ τοῦ μὴ πάσχειν, οἱ δὲ ὑγιεινοὶ τὸ ἀνάπαλιν. |

2 οὐ] ἀντὶ τοῦ οὐ γὰρ M ἀλλὰ — τοιαύτην (3) om. F 6 ἰστέον δ' ὅτι πολλαχῶς M 6. 7 τῷ] τὸ F 7 τὸν πύκτην ποιεῖν τῷ δύνασθαι πλήττειν M post πάσχειν addas ἢ τῷ πεφυκέναι πάσχειν 8. 9 λέγ. τὸν νοσοῦντα colloc. M 9 μὴ om. M 10 τοῦτο F 11 οὔ φησι μὴ M 14 τριχῶς — ἀδυναμία om. F ἐπὶ inserui 16 πεφυκότα F 18 ἡ γὰρ ἀπόφασις — τοὐναντίον (19) om. F 19 ἡ ἀπόφ.] ἡ γὰρ ἀπόφ. F 20 ἔστι δὲ καὶ ἄλλως — νωθῆ (25) eicias ἔστι — εἰπεῖν om. F 20. 21 ἢ πρὸς τὸ καθόλου ἢ πρὸς τὸ ῥᾳδίως. ὁμοίως δὲ καὶ ἡ ἀδυναμία. οἷον λέγομεν καθόλου δύναμιν ἔχειν πάντα ἄνθρ. γεωμετρεῖν, πρὸς δὲ τὸ ῥᾳδίως λέγομεν ὅτι ὁ δεῖνα ἄνθρ. δύναμιν ἔχει τοῦ γεωμετρεῖν ἀντὶ κτλ. M 21 λέγωμεν scripsi: λέγομεν F 24 γεωμετρῆσαι F 25 οἷον (primum) om. F τὸν (alt.)] τὸ F: evan. M 25. 26 οἷον οἱ μὲν] οἱ μὲν γὰρ F 27 post ἀνάπαλιν add. τὸ δὲ μὴ πάσχειν ὑπὸ τῶν τυχόντων ῥᾳδίως πάνυ ἀκριβῶς εἶπεν, οἷον ὑπὸ καύματος ἢ ἀνέμου, ἢ ἁπλῶς ὑφ' ὧν οὐχὶ πέφυκε πάσχειν τὰ ὑγιεινά· πάθοι γὰρ ἂν ὑπὸ ξίφους ἢ ἄλλου τινὸς τοιούτου F

p. 9a28 Τρίτον δὲ γένος ποιότητος. | 124v

Πάλιν ὧδε γένος ἀντὶ εἴδους εἶπεν. τοῦτο δὲ θεωρεῖται τετραχῶς· 125r
ἢ γὰρ παντὶ τῷ εἴδει πάρεστι καὶ λέγεται παθητικὴ ποιότης ὡς ἡ ἐν τῇ
χιόνι λευκότης, ἢ οὐ παντὶ μὲν ἀλλὰ τισί, φυσικῶς μέντοι καὶ ἐκ γενετῆς,
5 καὶ ὁμοίως λέγεται παθητικὴ ποιότης ὡς τοῖς Αἰθίοψιν ἡ μελανία, ἢ οὐ
φύσει μὲν ἀλλ' ἐπίκτητον καὶ δυσαπόβλητον καὶ λέγεται πάθος ὑπὸ τὴν
ποιότητα ἀναφερόμενον ὡς ἡ ὑπὸ μακρᾶς νόσου ἢ ἰκτερικοῦ νοσήματος
ὠχρίασις, ἢ ἐπίκτητον καὶ εὐαπόβλητον ὡς ἡ ἐρυθρότης, ὡς ἄν τις ἢ
δι' αἰδῶ ἐρυθριάσῃ ἢ διὰ δέος ὠχριάσῃ, καὶ λέγεται πάθος ὑπὸ τὸ
10 πάσχειν ἀναφερόμενον· οὐ γὰρ δὴ τὰ μετέχοντα ποιὰ κατὰ ταῦτα λέγε-
ται. ἰστέον δὲ ὅτι ταῦτα οὐ μόνον περὶ τὸ σῶμα θεωρεῖται, ἀλλὰ καὶ
περὶ τὴν ψυχήν.

Διχῶς δὲ αἱ παθητικαὶ ποιότητες· ἤτοι γὰρ ἀπὸ τοῦ αὐτὰ πεπονθέναι
καὶ διὰ πάθους πεποιῶσθαι παθητικὴν ἔχειν ποιότητα λέγεται ἢ ἀπὸ τοῦ
15 τὴν αἴσθησιν ἡμῶν πάσχειν κατὰ τὴν τούτων ἀντίληψιν, ὥσπερ ἐπὶ τοῦ
πυρός· οὐ γὰρ αὐτὸ τὸ πῦρ πέπονθεν, ἵνα θερμανθῇ, ἀλλ' ἡμεῖς τοῦτο
πάσχομεν κατὰ τὴν ἀντίληψιν αὐτοῦ θερμαινόμενοι, καὶ τὸ μέλι ὁμοίως.
καὶ τὰ μὲν τοιαῦτα ποιότητές εἰσιν ὡς εἶδος καὶ οὐσία ἐν τῷ ὑποκειμένῳ,
καὶ ἀπὸ τοῦ τὴν αἴσθησιν πάσχειν ὑπὸ τούτων παθητικὰς ποιότητας
20 ἔχειν λέγεται· τὸ μέντοι σῶμα τὸ αὐτὸ λευκὸν γεγονέναι παθὸν παθητι-
κὴν ἔχειν ποιότητα· συμβεβηκὸς γὰρ αὐτῷ τὸ λευκὸν καὶ ἐπίκτητον, ἀλλ'
οὐκ ἐν τῇ οὐσίᾳ αὐτοῦ οὐδὲ εἶδος. πάσχει μὲν οὖν καὶ ἐπὶ τούτων ἡ
αἴσθησις, ἀλλ' ἐπεὶ κυριώτερον παθητικὸν λέγεται τὸ αὐτὸ πεπονθὸς τοῦ
πάθος ἐμποιοῦντος, ἐφ' ὧν ἐστιν ἄμφω, ἐπὶ τούτων ἴσως ἄμεινον ἀπὸ
25 τοῦ κυριωτέρου τὴν ἐπίκλησιν αὐτοῖς γενέσθαι.

p. 9b1 Οὔτε γὰρ τὸ μέλι τῷ πεπονθέναι τι λέγεται γλυκύ.

Οὔτε γὰρ πρότερον δίχα ὂν γλυκύτητος ὕστερον ταύτην ἐδέξατο ἀπό
τινος πάθους, ἀλλ' αὐτὴ ὥσπερ οὐσιώδης ἐστίν.

---

2 πάλιν — εἶπεν] γένος πάλιν εἶπεν ἀντὶ εἴδους M τετρ. θεωρ. colloc. M 4 post λευκότης add. ἢ ἐν κύκνῳ M γενετῆς] γενέσεως F 5 καὶ ὁμοίως — ποιότης om. F; haec post μελανία ponas οὐ om. M 6 ἐπίκτητος καὶ δυσαπόβλητος FM (cf. v. 8) 8 ἐπίκτητος καὶ εὐαπόβλητος M ἢ (post τις) om. M 10 λέγονται F 14 πάθος M πεποιῶσθαι scripsi: πεποιεῖσθαι F: πεποιῆσθαι M 16 τοῦτο om. F 17 ὁμοίως ante καὶ colloc. M 19 ὑπὸ τούτων] ἀπ' αὐτῶν M 20 αὐτὸ — παθητικὴν] αὐτὸ λέγομεν λευκὸν τὸ παθ. F 21 ἔχειν M: ἔχον F 22 οὐδὲ] οὐδὲν F 23 ἐπεὶ κυρ.] ἐπικυρ. M λέγει M 24 πάθος Philop.: πάθους codd. ἴσως ἐπὶ τούτων (ἄμεινον om.) F 25 γενέσθαι om. F 27 οὔτε] an οὐδὲ?

p. 9b11 Ὅτι μὲν οὖν γίνονται διά.

Εἰπὼν τὰ χρώματα παθητικὰς ποιότητας εἶναι | τῷ ἀπὸ πάθους 125v
ἐγγίνεσθαι τοῦτο κατασκευάζει καὶ δείκνυσιν οὕτως ἔχον.

p. 9b19 Ὅσα μὲν οὖν τῶν τοιούτων συμπτωμάτων.

5 Τὰ χρώματα συμπτώματα εἶπε διὰ τὸ ἄλλοις πάθεσιν ἐπισυμβαίνειν.

p. 9b27 Ὁμοίως γὰρ ποιοὶ κατὰ ταῦτα λεγόμεθα.

Ποιότης γάρ ἐστι καθ' ἣν ποιοὶ λέγονται· ⟨εἰ οὖν οὐ λέγονται ποιοὶ⟩ ἀπὸ τῶν εὐαποβλήτων παθῶν, δῆλον ὅτι οὐδὲ ποιότητες ταῦτα λέγονται.

10 p. 9b33 Ὁμοίως δὲ τούτοις καὶ κατὰ τὴν ψυχήν.

Οὐ μόνον, φησί, περὶ τὸ σῶμα θεωροῦνται αἱ παθητικαὶ ποιότητες καὶ τὰ πάθη, ἀλλὰ καὶ περὶ τὴν ψυχήν.

p. 9b35 Ὅσα γὰρ ἐν τῇ γενέσει εὐθύς.

Ὥσπερ γὰρ ἡ ἐν τῷ Αἰθίοπι μελανία ἐκ γενετῆς οὖσα παθητικὴ
15 ποιότης λέγεται, οὕτω καὶ ἡ ἐκ γενετῆς ἔκστασις ἢ ἡ ὀργὴ παθητικαὶ ποιότητες λέγονται.

p. 10a2 Ὁμοίως δὲ καὶ ὅσαι ἐκστάσεις.

Πάλιν ὥσπερ ἡ ἀπὸ μακρᾶς νόσου γενομένη ἄχροια λέγεται παθητικὴ ποιότης, οὕτω καὶ ἡ ἀπό τινος συμπτώματος ἔκστασις ἢ ἄλλο τι
20 παθητικὴ ποιότης λέγεται.

p. 10a12 Τέταρτον δὲ γένος ποιότητος.

Ἔτι δὲ τέταρτον εἶδος παραδίδωσι τῆς ποιότητος, γένος καὶ τοῦτο ἀντὶ τοῦ εἴδους εἰρηκώς. ἔστι δὲ σχῆμα καὶ μορφή. ἐπὶ πλέον δὲ τὸ

---

2 παθητικὴν ποιότητα F 5 τὰ χρώματα om. M 7 lemma om. F ταύτας Aristot. 8 ποιότης γάρ ἐστι] καὶ ποιότης φησὶ (ἐστὶ superscr.) F εἰ οὖν — ποιοὶ Philop.: om. codd. 9 οὐδὲ] καὶ οὐ F 11 φησὶ om. M 13 τε γὰρ F εὐθὺς ἐν τῇ γεν. colloc. M 14 γὰρ om. F 15 καὶ om. M ἡ (ante ὀργὴ) om. F 17 ὅσας ἄλλας ἐκστάσεις F 19 τινων συμπτωμάτων M 22 ἔτι δὲ] τὸ M 23 τοῦ om. F

σχῆμα τῆς μορφῆς· πᾶσα γὰρ μορφὴ καὶ σχῆμα ἔχει, οὐ πᾶν δὲ σχῆμα καὶ μορφὴν ἔχει· διὰ τοῦτο γὰρ ὡς κυριώτερον καὶ καθολικώτερον προέταξε καὶ ὁ Ἀριστοτέλης τὸ σχῆμα τῆς μορφῆς· ἡ γὰρ μορφὴ ἐπὶ τῶν ἐμψύχων μόνον λέγεται, τὸ δὲ σχῆμα καὶ ἐπὶ τῶν ἀψύχων.

5 p. 10a12 Ἔτι δὲ πρὸς τούτοις.

Λέγεται γὰρ καὶ κατὰ ταῦτα ποιὰ τὰ μετέχοντα, οἷον ἀπὸ τῆς εὐθύτητος εὐθεῖα λέγεται γραμμὴ καὶ ἀπὸ τῆς καμπυλότητος ἡ καμπύλη, καὶ ἔστι πάθη τῆς γραμμῆς εὐθύτης καὶ καμπυλότης.

p. 10a16 Τὸ δὲ μανὸν καὶ τὸ πυκνόν.

10 Δόξειεν εἶναί φησιν, ἐπεὶ κατὰ ἀλήθειαν οὐκ εἰσὶ ποιότητες· πυκνὸν γάρ ἐστιν οὗ τὰ μόρια σύνεγγυς κεῖται ὡς μὴ δύνασθαι δέξασθαι ἑτερογενὲς σῶμα, μανὸν δὲ τὸ διεστηκότα ἔχον τὰ μόρια ὡς δύνασθαι δέξασθαι ἑτερογενὲς σῶμα. | οὐκοῦν θέσιν τινὰ μᾶλλον φαίνεται τὰ μόρια αὐτῶν 126r δηλοῦντα. μανὸν δὲ ἔλαβε τὸ ἐξ ἐπιτεχνήσεως, οἷον ἐάν τις τὴν χεῖρα 15 πληρώσῃ καρύων, καὶ φαίημεν τὸ ἐκ πάντων συγκείμενον σῶμα μανὸν διὰ τὴν ἀραίωσιν· αὐτὸς γὰρ ἐν τῇ Φυσικῇ ἀκροάσει ἄλλως διορίζει τὸ μανὸν καὶ τὸ πυκνόν.

p. 10a25 Ἴσως μὲν οὖν καὶ ἄλλος.

Παραστήσας ἡμῖν τὰ τέσσαρα τῆς ποιότητος εἴδη ἐπάγει τὸ συμπέ- 20 ρασμα καί φησιν ὅτι οὗτοι οἱ τρόποι τῆς ποιότητος. βουλόμενος δὲ ἡμᾶς μὴ ἐπαναπαύεσθαι τοῖς παρὰ τῶν ἀρχαίων λεγομένοις μηδ' ἀργοὺς μένειν ἀλλὰ καθ' αὑτοὺς ζητεῖν, φησὶν ὅτι ἴσως ἂν καὶ ἄλλος φανείη τρόπος ποιότητος.

p. 10a27 Ποιότητες μὲν οὖν εἰσι αἱ εἰρημέναι.

25 Ποιότητες, φησίν, οἷον λευκότης μελανία καὶ τὰ τοιαῦτα, | ποιὸν δὲ 126v τὸ μετέχον τῶν ποιοτήτων, οἷον λευκὸν σῶμα καὶ μέλαν καὶ γλυκὺ καὶ τἆλλα. καὶ αἱ μὲν ποιότητες μετέχονται, τὰ δὲ ποιὰ μετέχει καὶ παρω-

---

2 ὡς] ἐπειδὴ F 3 καὶ om. M γὰρ om. F 4 μόνων τῶν ἐμψ. M δὲ om. F post ἀψύχων add. καὶ ἐπὶ ἐμψύχων F 10 δόξειαν μὲν εἶναί φ. ποιότης ἐπεὶ F 11 ἐκ τοῦ σύνεγγυς F 12 ἐπιδέξασθαι M 15 an φῶμεν? ἓν σῶμα εἶναι μόνον (μανὸν om. M) 16 ἀρέωσιν F ἐν τῇ Φυσ. ἀκρ.] cf. Δ 9 p. 216b30 18 οὖν] ἄν τις εἴη F 19 τὰ om. F 22 καθ' αὑτοὺς] καὶ ἡμᾶς αὐτοὺς M ὅτι καὶ F ἄλλως F 24 μὲν om. F εἰσι φησὶν αἱ F 25 ποιότητες φησίν om. F

νόμως ἀπ' αὐτῶν λέγεται. ἐπειδὴ δὲ οὐκ ἐπὶ πάντων τοῦτό ἐστιν ὡς ἐπὶ τῆς ἀρετῆς (οὐ γὰρ λέγεται ὁ μετέχων παρωνύμως ἐκ ταύτης ἀρεταῖος ἀλλὰ σπουδαῖος), διὰ τοῦτο εἶπεν ἢ ὁπωσοῦν ἄλλως.

p. 10a34 Οἷον ὁ δρομικός.

Ὁ γὰρ πυκτικὸς ὁ κατ' ἐπιτηδειότητα λεγόμενος, ἣν φησιν αὐτὸς δύναμιν, οὐκ ἀπό τινος ὠνομάσθη ποιότητος· οὐ γὰρ δὴ ἀπὸ τῆς πυκτικῆς· ἐπιστήμη γὰρ αὕτη. καὶ μὴν οἱ τελείως καὶ ἕξει μετέχοντες αὐτῆς οὗτοι καλοῦνται ἀπ' αὐτῆς πύκται παρωνύμως. ὁμοίως δὲ καὶ ὁ δρομικός· καὶ γὰρ αὐτὸς ἀπὸ τῆς ποιότητος καλεῖται.

p. 10b5 Ἐνίοτε δὲ καὶ ὀνόματος κειμένου.

Πολλάκις δὲ καὶ ὀνόματος κειμένου τῇ ποιότητι οὐ λέγεται παρωνύμως ἐξ αὐτῆς ὁ μετέχων αὐτῆς· οὐδὲ γὰρ λέγομεν ἀρεταῖον ἀλλὰ σπουδαῖον.

p. 10b12 Οἷον ἡ δικαιοσύνη.

Ἐπὶ τὸ ἴδιον τῆς ποιότητος μέτεισι· φησὶν οὖν ἴδιον τῆς ποιότητός ἐστι τὸ ἐπιδέχεσθαι ἐναντιότητα. ἐκβάλλει δὲ αὐτό· οὐ πάσαις γὰρ ὑπάρχει ταῖς ποιότησι· τῷ γὰρ ὠχρῷ ποιῷ ὄντι οὐδέν ἐστιν ἐναντίον, οὐδὲ τῷ πυρρῷ καὶ ὁμοίως οὐδὲ ταῖς ἄλλαις τοιαύταις ποιότησι. δῆλον δέ ἐστι, φησίν, ὅτι ὑφ' ἣν κατηγορίαν ἀνάγεται ἕτερον τῶν ἐναντίων, ὑπὸ ταύτην ἀνάγεται καὶ τὸ ἕτερον ἐκ τοῦ μὴ δύνασθαι ἡμᾶς ὑπὸ ἄλλην κατηγορίαν αὐτὸ ἀναφέρειν.

p. 10a26 Ἐπιδέχεται δὲ τὸ μᾶλλον. |

Ἕτερον παρακολούθημα τοῦ ποιοῦ τὸ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ 127r
ἧττον. καὶ εἰκότως οὐδὲ τοῦτο πάντως παρακολουθεῖ· εἴρηται γὰρ ὅτι ὅπου ἐναντιότης θεωρεῖται, ἐκεῖ τὸ μᾶλλον καὶ τὸ ἧττον, ὅπου δὲ οὐκ

2 ἐκ ταύτης παρ. colloc. M 4 lemma om. F 5 ὁ γὰρ πυκτ.] ὁ πυκτ. φησὶ F 5. 6 ἣν — δύναμιν om. F 6 post ποιότητος add. ἀλλ' ἣν αὐτῆς (?) δύναμιν φυσικήν F 6. 7 post πυκτικῆς add. ὠνομάσθη πυκτικός F 7 μὴν] εἰ μὴ F 8 οὗτοι scripsi: οἱ F: οὕτως M 9 καὶ γὰρ M: καὶ γὰρ καὶ F: scribas οὐδὲ γὰρ 11 πολλάκις — κειμένου om. F 14 pro lemmate habet εἶτα F ἡ om. Aristot. 15 τῆς (alt.) om. M 16 ἐστι τὸ om. M ἐναντιότητας M 16. 17 ὑπάρχει γὰρ οὐ πάσ. colloc. M 18 καὶ ὁμοίως — ποιότησι om. M 19 ἐστι φησίν om. M ἕτερον Philoponi ed. Ald.: ἕκαστον Amm. et Philop. codd. 19. 20 ὑπὸ ταύτην] ὑπ' αὐτὴν M 20 ἀνάγεται scripsi: ἀνάγεσθαι F: om. M 22 δὲ om. F 24 εἰκότως (καὶ om.) post παρακολ. colloc. M εἴρηται] cf. p. 50,10 sq. 65,14. 15

ἔστιν αὕτη, οὐδὲ τὸ μᾶλλον καὶ τὸ ἧττον. ἐπεὶ γοῦν ὑπάρχει ἐν τῷ ποιῷ ἐναντιότης, ὑπάρχει τὸ μᾶλλον καὶ τὸ ἧττον, ἐπειδὴ δὲ οὐ πᾶσιν, οὐδὲ τὸ μᾶλλον καὶ τὸ ἧττον πᾶσιν ὑπάρχει· δικαιοσύνην γὰρ δικαιοσύνης οὐ πάνυ φασὶ μᾶλλον καὶ ἧττον λέγεσθαι, ἧττον μέντοι καὶ μᾶλλον μετέχειν τοὺς μετέχοντας τῆς δικαιοσύνης καὶ τῆς ὑγείας λέγεται.

p. 11a2 Ἀναμφισβητήτως ἐπιδέχεται.

Ὅσα μέντοι ἀπὸ τούτων παρωνύμως λέγεται, ὁμολογουμένως ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. ἀπορήσας δὲ δι' ὃ οὐ λέγεται δικαιοσύνη μᾶλλον καὶ ἧττον, εἴασεν αὐτὸ ἀδιάρθρωτον. φαμὲν τοίνυν ὅτι ἐπιδέχεται ἡ δικαιοσύνη τὸ μᾶλλον καὶ τὸ ἧττον· ἡνίκα γὰρ λέγομεν μᾶλλον δίκαιον τόνδε τοῦδε, δῆλον ὅτι καθὸ μετέχει οὗτος μᾶλλον δικαιοσύνης ἤπερ ὅδε· ὥστε ἐπιδέχεται ἡ δικαιοσύνη τὸ μᾶλλον καὶ τὸ ἧττον.

p. 11a5 Τρίγωνον δὲ καὶ τετράγωνον.

Οὐδὲ γὰρ τρίγωνον τριγώνου μᾶλλον καὶ ἧττόν ἐστι τρίγωνον οὐδὲ τὸ πεντάγωνον τοῦ τετραγώνου μᾶλλον κύκλος ἐστί· δεῖ γὰρ εἰ μέλλοιεν ὡς κύκλοι συγκρίνεσθαι ἀμφότερα ἐπιδέχεσθαι τὸν τοῦ κύκλου λόγον. εἰ δ' οὐκ ἐπιδέχονται, οὐδὲ συγκρίνεσθαι τὴν ἀρχὴν δυνήσονται. οὐδὲ γὰρ εἴποι τις τὸν βοῦν μᾶλλον τοῦ ἵππου εἶναι ἄνθρωπον, ἐπεὶ μηδέτερος αὐτῶν τὸν τοῦ ἀνθρώπου ὁρισμὸν ἐπιδέχεται. οὐκοῦν καὶ ἐπὶ τῶν σχημάτων ὡσαύτως· πάντα γὰρ τὰ σχήματα τὰ ἐπιδεχόμενα τὸν τοῦ κύκλου ὁρισμὸν ὁμοίως κύκλοι εἰσί, καὶ ὅσα τὸν τοῦ τριγώνου ὁρισμὸν ἐπιδέχεται, ὁμοίως τρίγωνά εἰσι, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως.

p. 11a9 Τῶν δὲ μὴ ἐπιδεχομένων.

Ὅσα δὲ οὐκ ἐπιδέχεται τὴν ἀρχήν, οὐδὲ συγκρίνεται· διὸ οὐ πάντα τὰ ποιὰ ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον.

p. 11a15 Τῶν μὲν οὖν εἰρημένων οὐδέν. |

Ἀποδοκιμάζει ἐνταῦθα τὰ δύο παρακολουθήματα τοῦ ποιοῦ ὡς μὴ 127r πάντῃ τῷ ποιῷ παρακολουθοῦντα. μεταβαίνει δὲ εἰς τὸ κυρίως ἴδιον καί φησιν

---

1 αὕτη om. M post ἧττον add. ὑπάρχει M 2 πᾶσιν] πάσῃ F 3 πᾶσιν] πάσῃ F: om. M δικαιοσύνη μὲν γὰρ δικαιοσύνης ut lemma M 3. 4 οὐ πάνυ — λέγεσθαι om. M 4 καὶ μᾶλλον om. F 11 an ὅτι λέγομεν? μετέχειν F οὗτος om. F 11. 12 ἤπερ ὅδε om. F 14 γὰρ om. F 16 ὡς] οἱ F ἀμφότερα ἐπιδέχεσθαι om. F (ἔχειν post λόγον add.) 18 ἐπειδὴ M 20 οὐ πάντα F τὰ (alt.) om. F 21 ἐπιδέχετα om. F 22 τρίγωνόν ἐστι F 23 δὲ om. F 24 τὴν ἀρχήν] scribas τὸν αὐτὸν ὁρισμόν 25 ἐπιδ. τὰ ποιὰ colloc. M 27 ἐνταῦθα om. M 28 παντὶ M

ὅμοια δὲ καὶ ἀνόμοια· ἐπ' οὐδεμιᾶς γὰρ τῶν ἄλλων κατηγοριῶν ἁρμόζει τοῦτο τὸ ἴδιον.

p. 11a20 Οὐ δεῖ δὲ ταράττεσθαι.

Ἐπειδὴ ἤσθετο πολλὰ τῶν πρός τι ἀπαριθμησάμενος διαλαμβάνων περὶ ποιοῦ, φησὶν ὅτι οὐ δεῖ περὶ τούτου ἀπορεῖν, ἐπειδὴ περὶ ποιοῦ ἦν ὁ λόγος· πολλὰ γὰρ τῶν πρός τι ὑπὸ τὸ ποιὸν ἀνηγάγομεν οἷον ἕξιν καὶ διάθεσιν· ἡ γὰρ ἕξις τινὸς ἕξις λέγεται καὶ ἡ διάθεσίς τινος διάθεσις. ἐπιλύεται δὲ τοῦτο διχῶς.

p. 11a23 Σχεδὸν γὰρ ἐπὶ πάντων.

Πρώτη τῆς ἀπορίας ἐπίλυσις αὕτη· φησὶ γὰρ τὰ μὲν γένη τῶν ποιοτήτων ὑπὸ τὰ πρός τι ἀναφέρεσθαι, τὰ δὲ εἴδη ὑπὸ τὸ ποιόν, οἷον ἡ μὲν ἐπιστήμη λέγεται τῶν πρός τι (τινὸς γὰρ ἐπιστήμη λέγεται), ἡ δὲ γεωμετρία οὐκ ἔστι τῶν πρός τι· οὐ γὰρ λέγεταί τινος γεωμετρία, ἀλλ' εἰ ἄρα, τινὸς ἐπιστήμη. καὶ αὕτη μὲν ἐπιπόλαιος ἡ λύσις. ἀκριβεστέρα δὲ ἡ ὕστερον· ἐπιστήμονες γὰρ λεγόμεθα, φησίν, οὐ τῷ μετέχειν ἁπλῶς ἐπιστήμης, ἀλλὰ τῷ μετέχειν ἢ μουσικῆς ἢ γεωμετρίας ἢ ἄλλης τινός. καὶ ἐκείνη μὲν τῶν πρός τι ὡς ἀόριστος οὖσα, τὰ δὲ εἴδη αὐτῆς οὐκέτι· ὥρισται γὰρ καὶ οὐ λέγομεν τὴν μουσικὴν ἢ τὴν γεωμετρίαν τινὸς μουσικὴν ἢ γεωμετρίαν ἀλλὰ ποιότητας· ποιοὶ γὰρ κατὰ ταύτας λεγόμεθα. ὥστε τὸ μὲν γένος ὑπὸ τὰ πρός τι ἀναφέρεται τὰ δὲ εἴδη ὑπὸ τὴν ποιότητα. ἵνα δὲ ἀκριβέστερον τοῦτο μάθωμεν, ἐκ διαιρέσεως λάβωμεν οὕτως· τῶν ὄντων τὰ μέν ἐστιν ὑποκείμενα ὡς ἡ οὐσία, τὰ δὲ ἐν ὑποκειμένῳ ὡς τὰ συμβεβηκότα. | καὶ τῶν ἐν ὑποκειμένῳ ὄντων τὰ μὲν 128r ἐν σχέσει ἐστὶ καὶ γίνεται τὰ πρός τι, τὰ δὲ οὐκ ἐν σχέσει. τῶν δὲ μὴ ἐν σχέσει ὄντων τὰ μὲν ἀμερίστως ὑπάρχει καὶ γίνεται ποιότης, τὰ δὲ μεριστῶς καὶ γίνεται τὸ ποσόν. οὐκοῦν οὐδὲν ἄτοπον τὸ μὲν γένος ὑπὸ τὰ πρός τι, τὰ δὲ εἴδη ὑπὸ τὸ ποιὸν ἀνάγεσθαι. καὶ αὕτη ἐστὶν ἀκριβὴς ἐπίλυσις. ἄλλως τε δὲ οὐδὲν ἄτοπόν τινα τῶν ἀναφερομένων ἐπὶ ἑτέραν κατηγορίαν ἀναφέρεσθαι καὶ ὑπὸ τὰ πρός τι, μᾶλλον δὲ πᾶσα ἀνάγκη τὰ ὑπὸ τὰ πρός τι ἀναγόμενα ἀνάγεσθαι καὶ ὑπὸ ἄλλην τινὰ κατηγορίαν·

1 ὅμοιον — ἀνόμοιον F post ἀνόμοια add. κατὰ μόνας· Τὰ πρῶτα ἀπεδοκίμασε τοῦ ποιοῦ παρακολουθήματα, τοῦτο δὲ ὡς κυρίως ἴδιον προσφέρει τὸ ὅμοιον καὶ ἀνόμοιον λέγεσθαι M γὰρ] δὲ F 5 περὶ τούτου om. F 6 ὑπὸ] ἐπὶ F 7 post διάθεσιν add. εἰ ὠνομάσαμεν ἕξιν καὶ διάθεσιν ἐνταῦθα πρός τι ὄντα M 11 ἀναφέρεσθαι] ἀνέρχεσθαι M 12 τῶν om. F τινὸς — λέγεται om. F 13 οὐκ ἔστι] οὐκέτι M λέγεται γὰρ οὐ colloc. M γεωμετρία (alt.) om. M ante ἀλλ' add. τὰ δ' εἴδη ταύτης ὑπὸ τὸ ποιὸν ἀναφέρεται M 14 εἰ] ἢ F ἐπιπολαίως F 15 φησίν om. M ἁπλῶς] τινὸς F 18. 19 τινὸς — γεωμετρίαν om. F 19 ποιότητας scripsi: ποιά libri 22 αἱ οὐσίαι M 23 ὡς τὰ συμβεβηκότα καὶ om. M τῶν ἐν ὑποκειμένῳ ὄντων om. F 24 δὲ (alt.) om. M 28 δὲ om. M 30 post ἀνάγεσθαι add. πάντως M κατ. τινά coll. F

εἴρηται γὰρ ὅτι ἴδια πράγματα οὐκ ἔχει τὰ πρός τι, ἀλλ' ἐν ταῖς ἄλλαις κατηγορίαις θεωρεῖται. |

Περὶ τοῦ ποιεῖν καὶ πάσχειν. 129v

p. 11b1 Ἐπιδέχεται δὲ καὶ τὸ ποιεῖν καὶ τὸ πάσχειν ἐναντιότητα.

Δεῖ εἰδέναι ὅτι αἱ κυρίως καὶ πρῶται κατηγορίαι τέσσαρές εἰσιν αἱ εἰρημέναι, οὐσία ποσὸν ποιὸν πρός τι, αἱ δὲ ἄλλαι ἐξ γίνονται ἐκ τῆς συμπλοκῆς τῆς οὐσίας πρὸς τὰς λοιπὰς τρεῖς· ἐκ γὰρ τῆς συμπλοκῆς τῆς οὐσίας καὶ τοῦ ποσοῦ ἐγένοντο δύο κατηγορίαι ἥ τε ποῦ καὶ ἡ ποτέ, καὶ πάλιν ἐκ τῆς μίξεως τῆς οὐσίας καὶ τοῦ ποιοῦ γίνονται ἕτεραι δύο τὸ ποιεῖν καὶ τὸ πάσχειν, ἐκ δὲ τῆς συμπλοκῆς τῆς οὐσίας καὶ τῶν πρός τι γίνονται αἱ λοιπαὶ δύο κατηγορίαι τὸ κεῖσθαι καὶ τὸ ἔχειν. ἀποδοὺς δὲ τῶν τεσσάρων κατηγοριῶν τούς τε ὅρους καὶ τὰ παρακολουθήματα τῶν λοιπῶν ἐξ οὔτε τὰ ἴδια εἶπεν οὔτε τοὺς ὁρισμοὺς ἀπέδωκεν οὔτε τὴν εἰς τὰ εἴδη διαίρεσιν ὡς δυναμένων ἡμῶν ἐκ τῶν ῥηθέντων καὶ ταύταις ἐπιστῆσαι. δεῖ οὖν ἡμᾶς ἑκάστου τόν τε ὁρισμὸν ἀποδοῦναι καὶ τὴν εἰς τὰ εἴδη διαίρεσιν. ἔστιν οὖν ποιεῖν μὲν τὸ εἴς τι ἐνεργεῖν. τούτου δὲ εἴδη δύο· τὸ γὰρ ποιοῦν ἢ εἰς ἑαυτὸ ποιεῖ ὥσπερ ἡ ψυχὴ ἑαυτὴν γινώσκουσα ἢ εἰς ἕτερον ὡς τὸ θερμαίνειν. πάσχειν δέ ἐστι τὸ ὑπό τινος ἀλλοιοῦσθαι. ὁμοίως δὲ καὶ τούτου εἴδη δύο· ἢ γὰρ ὡς εἰς φθορὰν ἀγόμενον πάσχει ὡς τὸ καίεσθαι ἢ ὡς εἰς τελειότητα ἀναγόμενον, ὡς ὅταν εἴπωμεν πάσχειν τὴν ὅρασιν ὑπὸ τοῦ ὁρατοῦ.

---

1 εἴρηται] p. 78,11 3 Φωτίου περὶ τοῦ π. κ. π., tum post Photii expositionem ἀμμωνίου M 4 τὸ (ante πάσχειν) om. F 6 δεῖ εἰδέναι — διαίρεσιν (17) post τοιαῦτα (p. 93,6) colloc. F δεῖ δὲ M καὶ om. F 7 πρός τι ποιόν colloc. F 8 τῆς οὐσίας — τρεῖς] τῶν ἄλλων τεσσάρων F 10 δύο ἕτεραι γίν. colloc. F 11 τὸ om. F 12 τὸ (utrobique) om. M ἀποδοὺς — τούς τε (13)] διεξελθὼν δὲ περὶ τῶν τεσσ. κατ. καὶ ἀποδοὺς αὐτῶν τούς τε M 15 εἴδη] ἴδια M ταύτας M 16 τό τε ἴδιον τόν τε ὁρ. M 17 οὖν] τὸ F μὲν om. F ἐνεργοῦν F 19 πάσχειν δέ] καὶ πάσχειν F 20 ὁμοίως δὲ καὶ τούτου] τούτου δὲ M ὡς om. M 21 εἰς (alt.) post τελ. coll. F 22 ἐναγόμενον M post ὁρατοῦ add. ποῦ δέ ἐστι τόπου δηλωτικόν. τούτου δὲ εἴδη ἕξ, ἄνω κάτω δεξιὰ ἀριστερὰ ἔμπροσθεν ὄπισθεν. μέμψαιτο δ' ἄν τις κἀκείνους εὐκαίρως τοὺς οἰομένους κατὰ τὸν ἀριστοτέλη δεικνύναι μηδὲ τὰ γενικώτατα γένη ἀλλὰ κατὰ τὰ ἐλάττονα. πειρῶνται γὰρ οὗτοι τήν τε ποῦ καὶ τὴν ποτὲ κατηγορίαν ὑπὸ τὸ ποσὸν ἀνάγειν συλλογιστικῶς. φασὶ γὰρ ὅτι ἡ μὲν ποτὲ κατηγορία χρόνον σημαίνει, ἡ δὲ ποῦ τόπον, ὁ δὲ χρόνος καὶ ὁ τόπος ὑπὸ τὴν ποσότητα· πῶς οὖν οὐχὶ καὶ αἱ προειρημέναι κατηγορίαι ὑπὸ τὴν ποσότητα ἂν εἶεν; τούτου δὲ ἀληθοῦς ὄντος πῶς ἂν ἔτι ἀληθὲς εἴη τὸ τοῖς δέκα γενικωτάτοις περιέχεσθαι πάντα τὰ ὄντα, ὅπου γέ ἐστι καὶ τούτων ἐλάττω; πρὸς οὓς ῥητέον ὅτι ἡ ποτὲ κατηγορία χρόνον ὡς οἴεσθε οὐ σημαίνει, ἀλλὰ τὸ ἐν χρόνῳ, οὐ μὴν οὐδὲ ἡ ποῦ κατηγορία τόπον δηλοῖ, ἀλλὰ τὸ ἐν τόπῳ. οὐ ταὐτὸν δὲ ὁ χρόνος τῷ ἐν χρόνῳ εἶναι οὔθ'

κεῖσθαι δέ ἐστιν ἡ τοιάδε τοῦ σώματος θέσις, τούτου δὲ εἴδη τρία, ἀνακεῖσθαι καθῆσθαι ἑστάναι. ποτὲ δέ ἐστι χρόνου δηλωτικόν, καὶ τούτου εἴδη τρία, ἐνεστὼς παρεληλυθὼς μέλλων. ποῦ δέ ἐστι τόπου δηλωτικόν, καὶ τούτου εἴδη ἕξ, ἄνω κάτω δεξιὰ ἀριστερὰ | ἔμπροσθεν ὄπισθεν. 130r
5 ἔχειν δέ ἐστιν οὐσίας περὶ οὐσίαν περίθεσις· σημαίνει γὰρ τὸ ὑποδεδέσθαι τὸ ὡπλίσθαι καὶ ἄλλα τοιαῦτα. |

Περὶ τῶν ἀντικειμένων. 131r

p. 11b16 Περὶ δὲ τῶν ἀντικειμένων ποσαχῶς.

Σκοπός ἐστιν ἐνταῦθα τῷ Ἀριστοτέλει διδάξαι ἡμᾶς περὶ τῶν φωνῶν,
10 ὧν ἐν τῇ διδασκαλίᾳ τῶν κατηγοριῶν ἐμνημόνευσεν, οὐ παντάπασι μὲν ἡμῖν ἀγνώστων οὐσῶν ἐκ τῆς συνηθείας, δεομένων δὲ ὅμως τινὸς διαρθρώσεως καὶ διδασκαλίας. καὶ πρῶτον περὶ τῶν ἀντικειμένων φησί· καὶ γὰρ ἐμνημόνευσεν ἐν τοῖς πρός τι τῶν ἀντικειμένων, ἡνίκα ἔλεγε τὸ μέγα τῷ μικρῷ ἀντικεῖσθαι οὐχ ὡς τὰ ἐναντία, ἀλλ' ὡς τὰ πρός τι. βούλεται τοίνυν
15 διδάξαι ποσαχῶς λέγεται τὰ ἀντικείμενα καί φησιν ὅτι τετραχῶς ἀντίκειται, ἢ ὡς τὰ πρός τι ἢ ὡς τὰ ἐναντία ἢ ὡς στέρησις καὶ ἕξις ἢ ὡς κατάφασις καὶ ἀπόφασις. ἵνα δὲ πραγματικῶς τοῦτο μάθωμεν, πῶς τὰ ἀντικείμενα τετραχῶς λέγεται, λάβωμεν αὐτὰ ἐκ διαιρέσεως. τὰ ἀντικείμενα ἢ ἐν λόγοις ἀντίκειται ὡς κατάφασις καὶ ἀπόφασις, οἷον Σωκράτης περιπατεῖ
20 — Σωκράτης οὐ περιπατεῖ, ἢ ἐν πράγμασι, καὶ τούτοις ἢ σχέσιν ἔχουσιν ἢ ὡς καθ' αὑτὰ θεωρουμένοις· καὶ τὰ μὲν κατὰ σχέσιν λέγονται ἀντικεῖσθαι ὡς τὰ πρός τι οἷον δεξιὸν ἀριστερόν, τὰ δὲ οὐ κατὰ σχέσιν ἀλλὰ καθ' αὑτὰ ἀντίκειται, καὶ ταῦτα ἢ μεταβάλλει εἰς ἄλληλα ἢ οὐ μεταβάλλει,

---

ὁ τόπος τῶν ἐν τόπῳ εἶναι, καθάπερ καὶ τὸ ὑποκείμενον τῷ ἐν ὑποκειμένῳ, οὔτε ὅλως τὸ ἕν τινι τὸ αὐτὸ ἐκείνῳ τῷ ἐν ᾧ ἐστιν. εἰ τοίνυν μήτε τὸ ποτὲ χρόνον σημαίνει ἀλλὰ τὸ ἐν χρόνῳ μήτε τὸ ποῦ τὸν τόπον ἀλλὰ τὸ ἐν τόπῳ, οὔτε δὲ τὸ ἐν τόπῳ οὔτε τὸ ἐν χρόνῳ ποσότητος, πῶς οὐχὶ ἀναγκαίως συναχθήσεται μήτε τὴν ποῦ κατηγορίαν μήτε τὴν ποτὲ ὑπὸ ποσότητα εἶναι; συσταῖεν γὰρ συλλογισμοὶ τοιοῦτοι· τὸ ποτὲ τὸ ἐν χρόνῳ σημαίνει, τὸ ἐν χρόνῳ οὐ ποσότητος, τὸ ἄρα ποτὲ οὐ ποσότητος, καὶ πάλιν τὸ ποῦ τὸ ἐν τόπῳ δηλοῖ, τὸ ἐν τόπῳ οὐ ποσότητος, τὸ ποῦ ἄρα οὐ ποσότητος. λέλυται ἄρα τὸ σόφισμα. M 1 κεῖσθαι δέ ἐστιν] ἔστι δὲ καὶ τὸ κεῖσθαι F 2 δέ] γάρ F τὸ τοῦ χρόνου M 3 ποῦ δέ ἐστι — ὄπισθεν post ὁρατοῦ (p. 92,22) transp. M (cf. ibi notam) τὸ δὲ ποῦ ἐστι F 5 ἔχειν — τοιαῦτα om. M 9 ante σκοπός add. πεπλήρωται ὁ περὶ τῶν κατηγοριῶν λόγος καὶ ἄρχεται τοῦ μετὰ τὰς κατηγορίας τμήματος M σκοπός — ἀριστ.] ἔστι δὲ ὁ σκοπὸς ὡς εἴρηται M 10 ἐν om. F 11 ἀγν. ἡμῖν colloc. M 12. 13 καὶ γὰρ ἐμνημ.] ἐμνημ. γὰρ M 13 ἐν τοῖς πρός τι] potius ἐν τῷ ποσῷ, cf. 5b15 sq. 14 τὰ (prius) om. F 15 τὰ ἀντικείμενα Philop.: ἀντικεῖσθαι FM 17 πραγματικῶς Laur. 72,5: πράγματι F: πραγματιωδῶς M 19 post ἀντίκ. add. ἢ ἐν πράγμασιν· ἐν μὲν λόγοις ἀντίκειται M 20 πράγματι F 21 ἢ ὡς] ἢ οὔ. ἢ ὡς M καὶ om. F 22 ἀριστερῷ M 23 ἀντίκ. καὶ ταῦτα fort. eicias

καὶ εἰ μὲν μεταβάλλει, | ἀντίκειται ὡς τὰ ἐναντία οἷον τὸ μέλαν τῷ 132r
λευκῷ, εἰ δὲ μὴ μεταβάλλει, ἀντίκειται κατὰ στέρησιν καὶ ἕξιν οἷον ὡς
ὄψις καὶ τυφλότης.

Τίνος δὲ ἕνεκεν ταύτῃ τῇ τάξει ἐχρήσατο; φαμὲν ὅτι ἀπὸ τῶν
5 μαλακωτέραν ἐχόντων τὴν ἀντίθεσιν, λέγω δὴ τῶν πρός τι, ἤρξατο·
ταῦτα γὰρ σχεδὸν οὐδὲ πέφυκεν ἄλληλα πολεμεῖν· ἀμέλει καὶ συνεισάγει
ἄλληλα καὶ τοῦ ἑτέρου ὄντος πάντως ἐστὶ καὶ τὸ ἕτερον καὶ τοὐναντίον
μὴ ὄντος τοῦ ἑτέρου οὐδὲ τὸ ἕτερον ἔσται. δεύτερον δέ φησι περὶ τῶν
ἐναντίων· σφοδρότερον γὰρ ἀντίκειται τὰ ἐναντία· ταῦτα γὰρ ἀναιρεῖ
10 ἄλληλα, καὶ τοῦ ἑτέρου ὄντος πάντως τὸ ἕτερον ἔφθαρται. ἔτι δὲ τού-
των σφοδρότερα τὰ κατὰ στέρησιν καὶ ἕξιν· τὰ γὰρ ἐναντία εἰ καὶ ἀναιρεῖ
ἄλληλα, ὡς ἐλέγομεν, ἀλλὰ καὶ εἰς ἄλληλα μεταβάλλει (λευκὸν γὰρ ἐκ
μέλανος καὶ τοὐναντίον γίνεται), τὰ δὲ κατὰ στέρησιν καὶ ἕξιν ἀντικείμενα
οὐ μεταβάλλει εἰς ἄλληλα· οὔτε γὰρ τυφλός τις ἀναβλέψαι ἂν οὔτε φαλα-
15 κρὸς φύσαι τρίχας. ἔτι δὲ τούτων σφοδροτέρα ἡ περὶ κατάφασιν καὶ ἀπό-
φασιν ἀντίθεσις· αὕτη γὰρ μόνη ἐπὶ πάντων τῶν ὄντων θεωρεῖται, αἱ δ'
ἄλλαι οὐδαμῶς· ἡ γὰρ τῶν πρός τι ἀντίθεσις οὐκ ἐπὶ πάντων λέγεται· ἂν
γὰρ τύχῃ τις μόνος ὤν, οὐ λέγεται δεξιὸς εἶναι ἢ ἀριστερός. οὔτε τὰ
ἐναντία δὲ ἐπὶ πάντων· τῇ γὰρ οὐσίᾳ οὐδέν ἐστιν ἐναντίον καὶ ἡ φωνὴ
20 οὐ λέγεται λευκὴ εἶναι ἢ μέλαινα κατὰ τὴν τῶν χρωμάτων ἐναντίωσιν.
ὁμοίως οὔτε ἡ κατὰ στέρησιν καὶ ἕξιν ἀντίθεσις λέγεται ἐπὶ πάντων· ὁ
γὰρ λίθος οὐ λέγεται τυφλὸς εἶναι ἢ ὄψιν ἔχειν ἢ φαλακρὸς εἶναι. ἡ δέ
γε τῆς καταφάσεως καὶ ἀποφάσεως ἀντίθεσις ἐπὶ πάντων θεωρεῖται· λέγε-
ται γὰρ ὁ Σωκράτης ἢ δεξιὸς εἶναι ἢ μὴ εἶναι δεξιός, καὶ ἡ οὐσία ἢ
25 ἔχειν ἐναντίον ἢ μή, καὶ ὁ λίθος ἢ ὄψιν ἔχειν ἢ μὴ ὄψιν ἔχειν, ὁμοίως
καὶ ἐπὶ πάντων δὲ τῶν ὄντων εὐπορήσεις καὶ καταφάσεως καὶ ἀποφάσεως
[ταύτην τὴν ἀντίθεσιν ὑπάρχουσαν]. εἰκότως οὖν πρώτην μὲν εἶπε τὴν
τῶν πρός τι, δευτέραν δὲ τὴν τῶν ἐναντίων, τρίτην δὲ τὴν κατὰ στέρησιν
καὶ ἕξιν, τετάρτην δὲ τὴν κατάφασιν καὶ ἀπόφασιν.

---

Elias Ex Eliae commentario derivata scholia[1]) codice Paris. 1942 (A) exhibentur, eademque paucis omissis inveniuntur in codice Mon. 222 (M). haec notis σχόλαιον ἡλίου vel σχόλαιον ornata sunt. aliae adnotationes aut notis σημείωσαι vel ἄθρει ἀκριβῶς instructae aut signis vacuae scholiastae ingenium aperte produnt. tamen etiam in his esse, quae ex commentario sive Eliae sive alio fluxerint, inde apparet, quod scholion signo vacuum cum codice Vind. 10 congruit. nos nunc satis habemus Eliae scholia apponere, quae et scholiastae socordia et scribarum oscitantia ita mutilata atque corrupta sunt, ut saepe difficile sit sensum elicere. de fide eorum iudicii ferendi ansa non praebetur, cum neque cum Eliae in Isagogen et Categorias commentariis neque cum interpretationibus codice Paris. 2064 servatis ulla appareat necessitudo.

f. 171v post Amm. p. 86,10 (σχόλαια ἡλίου).[2]) οὐ δεῖ οἴεσθαι τὸν Ἀριστοτέλην αἰνίττεσθαι νῦν τοὺς (τοῖς A) ἐν τοῖς Σοφιστικοῖς ἐλέγχοις παραδεδομένους ιγ' τρόπους τῶν σο-

---

[1]) ex codice Paris. 1942 a G. Schmitthenner descripta, cum codice Mon. 222 a me collata sunt.

[2]) hoc scholion om. M.

φισμάτων, ς' μὲν παρὰ τὴν λέξιν ζ' δὲ παρὰ τὴν διάνοιαν. καὶ διὰ τὰ λείποντα εἰς τούτους προστεθῆναι τὸ καὶ ὅσα ἄλλα τοιαῦτα (p. 17a35), ἐπειδὴ ἄλλοι εἰσὶν οἱ ἀπηριθμημένοι νῦν τρόποι ἐν τῷ ὁρισμῷ τῆς ἀντιφάσεως παρὰ τοὺς ἐν τοῖς Σοφιστικοῖς ἐλέγχοις· εἰσὶ γὰρ ἐκεῖ οἱ μὲν παρὰ τὴν λέξιν, οὗτοι παρὰ τὴν ὁμωνυμίαν παρὰ τὴν ἀμφιβολίαν παρὰ τὴν σύνθεσιν παρὰ τὴν διαίρεσιν παρὰ τὴν προσῳδίαν παρὰ τὸ σχῆμα τῆς λέξεως, οἱ δὲ παρὰ τὴν διάνοιαν ἀπὸ τοῦ συμβεβηκότος ἀπὸ τοῦ πῇ καὶ ἁπλῶς ἀπὸ τοῦ ἐλέγχου τῆς ἀγνοίας ἀπὸ τοῦ ἑπομένου ἀπὸ τοῦ τὸ μὴ αἴτιον ὡς αἴτιον λαμβάνειν ἀπὸ τοῦ πλείω ἅμα ἐρωτᾶν.

f. 177r ad Amm. p. 102,19 (in mrg. σχόλαιον).[1]) Εἰδέναι δεῖ ὅτι δ' ὄντων τῶν προσδιορισμῶν ἓξ καὶ δέκα γίνονται αἱ πᾶσαι συμπλοκαί. ἐπειδὴ δὲ αἱ ὕλαι τρεῖς, μή' τὰς πάσας συμβαίνει γίνεσθαι συμπλοκάς, ὧν ις' ἀναγκαῖαι καὶ ις' ἐνδεχόμεναι καὶ ις' ἀδύνατοι. ἐπεὶ δὲ αἱ ἡμίσεις καταφάσεις καὶ αἱ ἡμίσεις ἀποφάσεις, ἀνὰ η' ἐφ' ἑκάστης ὕλης (ἐξ ἑκάστου ὕλη cod.) καταφάσεις καὶ ἀνὰ η' ἀποφάσεις (καταφάσεων et ἀποφάσεων cod.). ἐπεὶ δὲ ἀντιφάσκουσι πρὸς ἀλλήλας, αἱ η' ψεύδονται αἱ δὲ η' ἀληθεύσουσιν, εἴτε καταφάσεις εἶεν εἴτε ἀποφάσεις. καὶ σκόπει ἐν τῷ προκειμένῳ διαγράμματι καὶ εὑρήσεις ἐπὶ ἑκάστης ὕλης η' προτάσεις ἀληθεῖς καὶ η' ψευδεῖς.

f. 179r post Amm. p. 109,10 (in marg. σχόλαιον ἡλίου). Ἀριστοτέλει ἀκολουθητέον ἐν ταῖς μεθόδοις μόναις, οὐκ ἐν τοῖς παραδείγμασιν· οὗτος γὰρ τῆς (τὴν A) ἐξ ὑποκειμένου καὶ κατηγορουμένου παράδειγμα λέγει ἐκ γ' προσκατηγορουμένου, καὶ ληπτέον δὲ (καὶ λ. δὲ om. M) βέλτιον τοὺς ὅρους. καὶ ὡς κατὰ τὸν κατηγορούμενον προσδιωρισμένως αἱ ἀποφάσεις οὐκ ἀντιφάσκουσι ἀλλὰ συμψεύδονται μὲν ἐπὶ τοῦ πᾶν συναληθεύουσι δὲ ἐπὶ τοῦ τίς.

f. 189v ad Amm. p. 140,1 (in mrg. σχόλαιον ἡλίου A: σχόλιον M). πρῶτον ἀπὸ τοῦ ἀξιώματος τῆς ἀντιφάσεως· εἰ πάσης ἀντιφάσεως τὸ μὲν ἀληθεύει τὸ δὲ (πρῶτον — δὲ om. A) ψεύδεται, καὶ τῆς καθ' ἕκαστα ἀντιφάσεως καὶ διὰ τὸ λῆμμα ἐφ' ὧν ἀληθεύει, ἐκεῖνα πάντως ἐκβήσεται καὶ διὰ τοῦτο ἀναγκαῖα, ἐφ' ὧν δὲ ψεύδεται, ἐκεῖνα πάντως οὐκ ἐκβήσεται καὶ διὰ τοῦτο ἀδύνατα· τῶν ὄντων ἄρα (ἄρα ὄντων M) τὰ μὲν ἀναγκαῖα τὰ δὲ ἀδύνατα. β' ἀπὸ τῆς ἡμετέρας προγνώσεως (γνώσεως M), εἰ τῶν προλεγόντων ἔσεσθαί τι ἢ μὴ ὁ μὲν ἀληθεύει ὁ δὲ ψεύδεται καὶ διὰ τὸ λῆμμα πάλιν ὡρισμένως ἢ ἔσται ἢ οὐκ ἔσται καὶ πολλῷ μᾶλλον τὰ μὲν ἀναγκαῖά ἐστι τὰ δὲ ἀδύνατα. (f. 190r σχόλαιον ἡλίου iter. A) γ' ἀπὸ τῆς ἐκβάσεως τῶν πραγμάτων· ἃ νῦν ἐκβαίνει προλέγοντες ἐκβήσεσθαι ἀληθεύομεν [ἃ προεκβήσεσθαι λέγοντες ἀληθεύομεν, πάντως ἐκβαίνει, ἃ νῦν ἐκβαίνει], πάντως ἐκβαίνει καὶ διὰ τοῦτο ἀναγκαῖον. καὶ οὐ τὸ ἐν ἀρχῇ ἡγήσατο ὁ Ἀριστοτέλης λαβὼν (λαβεῖν M) νῦν τὰς καθ' ἕκαστα ἀντιφασκούσας ἐπὶ ἐνδεχομένης ὕλης καὶ μέλλοντος χρόνου. πρῶτον γὰρ εἰ μὴ τοῦτο (δὲ add. A) λάβωμεν τὸ ἀξίωμα τῆς ἀντιφάσεως, παραβαίνεται τὸ μὴ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. δεύτερον καὶ εἰ (εἰ καὶ M) παραβαθῇ τὸ ἀξίωμα, οὐδὲν ὠφελοῦσι τὰ ἐνδεχόμενα· εἰ μὲν γὰρ ὅλη ἀληθεύει, πάντα ἀναγκαῖα γίνεται, εἰ δὲ ὅλη ψεύδεται, πάντα ἀδύνατα. ὅτι δὲ ἔστι τὸ ἐνδεχόμενον, ἑξῆς δείκνυσι ὁ Ἀριστοτέλης καὶ τὰ εἰρημένα τρία ἐπιχειρήματα ἀναιρεῖ. καὶ ἡμεῖς δὲ νῦν λογικῶς ἀνέλωμεν τὸ πᾶν ἐξ ἀνάγκης γίνεσθαι· εἰ γὰρ πάντα ἐξ ἀνάγκης γίνεται, τὸ αὐτὸ τὸ λέγειν πάντα ἐξ ἀνάγκης γίνεσθαι ἄρα ἀναγκαῖον ἢ ἐνδεχόμενον; εἰ μὲν γὰρ τὸ δεύτερον, ἔστι τὸ ἐνδεχόμενον, εἰ δὲ τὸ πρῶτον, πῶς οὐχ ὁμογνωμονεῖτε· δοξάζουσι γάρ τινες τὸ ἀντικείμενον, ὅτι ἔστι τινὰ ἐφ' ἡμῖν, τὸ δὲ ἀναγκαῖον ἀπαραίτητον.

f. 196v ad Amm. p. 159, 29 (in mrg. σχόλιον). ὅτι γ' μόρια ἐχούσης τῆς ἐκ γ' προσκατηγορουμένου προτάσεως ἑκάστῳ τὸ οὗ συνταττόμενον διάφορα ποιεῖ προτάσεων εἴδη· τῷ μὲν γὰρ ὑποκειμένῳ ὡρισμένην ⟨ἢ⟩ ἀόριστον, τῷ δὲ κατηγορουμένῳ ἁπλῆν ἢ ἐκ μεταθέσεως, τῷ δὲ προσκατηγορουμένῳ κατάφασιν ἢ ἀπόφασιν. ὅτι ἐπὶ τῶν ἀπροσδιόριστων οὐ τῷ κατηγορουμένῳ συντακτέον τὴν οὗ ἄρνησιν ἀλλὰ τῷ προσκατηγορουμένῳ, εἰ τελειότερον τὸ προσκατηγορούμενον τελειοῦν τὴν πρότασιν καὶ ἐξ αὐτοῦ λέγεσθαι ποιοῦν, εἰ τίθησιν ἡ 'ἄνθρωπος οὐ δίκαιός ἐστιν' ἀλλ' οὐκ ἀναιρεῖ, ὅπερ ἐστὶ καταφάσεως. ἡ ταύτης ἀπόφασις (κατάφασις A) ἡ 'ἄνθρωπος οὐ δίκαιος οὐκ ἔστι'. ἀπόφασις (κατάφασις A) δὲ ἀποφάσεως (καταφάσεως A) οὐκ ἔστι.

---

[1]) hoc scholion om. M.

f. 206v ad Amm. p. 191,5 (in mrg. σχόλαιον ἡλίου). ἡ μετάθεσις τριχῶς· ἡ κατὰ τὸ ὡρισμένον καὶ ἀόριστον. καὶ τοῦτο τριχῶς· ἢ τοῦ ὑποκειμένου οἷον 'ἔστιν ἄνθρωπος λευκός', 'ἔστιν οὐκ ἄνθρωπος λευκός', ἢ τοῦ κατηγορουμένου 'ἔστιν ἄνθρωπος λευκός' 'ἔστιν ἄνθρωπος οὐ λευκός', ἢ ἀμφοτέρων 'ἔστιν ἄνθρωπος λευκός' 'ἔστιν οὐκ ἄνθρωπος οὐ λευκός'. ἢ κατὰ τὸ ὑποκείμενον καὶ κατηγορούμενον ἡ μετάθεσις, ὡς ἐν ταῖς ἀντιστροφαῖς, οἷον 'οὐδεὶς ἄνθρωπος λίθος ἐστί' καὶ 'οὐδεὶς λίθος ἄνθρωπος ἔστιν' (καὶ οὐδεὶς — ἔστιν om. M). ἢ κατὰ τὸ α' καὶ β' τῆς τάξεως τῶν ὀνομάτων καὶ τῶν ῥημάτων, οἷον 'ἔστιν ἄνθρωπος λευκός' καὶ 'ἔστι λευκὸς ἄνθρωπος' (ἔστι λ. ἄνθρ. καὶ ἔστι ἄνθρ. λ. M). καὶ ὅτι αὕτη ἡ μετάθεσις μόνη οὐ ποιεῖ διαφορὰν εἴδους εἰδῶν A) προτάσεως ἢ ὀνομάτων καὶ ῥημάτων. καὶ ὅτι μόνη ἡ τρίτη οὐ ποιεῖ διαφορὰν εἴδους προτάσεως, ἡ ἑτέρα δὲ τοῦ 'ἔστι λευκὸς ἄνθρωπος', ὡς ἐδείξαμεν ἐν τῇ θεωρίᾳ, διὰ τῆς προσθήκης τῶν προσδιορισμῶν. πῶς μετατιθέμενα τὰ ὀνόματα καὶ τὰ ῥήματα τὸ αὐτὸ σημαίνει, εἰ (εἰ om. A) ὁ μὲν λέγων τὸν ἄνθρωπον ζῷον λογικὸν οὐκ ἀδολεσχεῖ, ὁ δὲ λέγων λογικὸν ζῷον αὐτὸν ἀδολεσχεῖ;

f. 208r ad Amm. p. 196,5 (in mrg. σχόλιον). ὅτι ἐὰν μὲν ἄμφω οἱ ὅροι ὅ τε ὑποκείμενος καὶ ὁ κατηγορούμενος ἁπλοῖ ὦσι τῷ σημαινομένῳ τῇ δὲ φωνῇ ἢ ἁπλοῖ ἢ ποικίλοι ἢ ὁ μὲν ἁπλοῦς ὁ δὲ ποικίλος, μία ἡ πρότασις. ἐὰν δὲ τῷ σημαινομένῳ ποικίλοι ὦσιν, εἴτε ἀμφότεροι εἴτε ὁ ἕτερος, καὶ τοῦτο διχῶς, τῇ δὲ φωνῇ ἢ ἁπλοῖ ἢ ποικίλοι ἀμφότεροι ἢ ἀναμὶξ ὁ μὲν ἁπλοῦς τῇ φωνῇ ὁ δὲ ποικίλος, καὶ τοῦτο διχῶς, οὐ μία ἡ πρότασις. tum idem scholion iteratur, sed ad extrema additur ὥστε ὡς ἂν ἔχωσιν αἱ φωναί, οὐδὲν τὸ διάφορον, πλὴν τὸ τῆς σημασίας ζητεῖ· νομίζεται γὰρ καὶ δοκεῖ μία εἶναι μὴ οὖσα (hoc scholion om. M).

f. 215r ad Amm. p. 218, 25 (sine nota) idem scholion legitur, quod in Vind. 10 f. 251v invenitur: τὰς παρὰ (περὶ V) τὸ (τῶν AM: τῷ V) ὡρισμένον καὶ ἀόριστον τῶν ὅρων διαφορὰς ιβ' ἐπὶ τὰς τέσσαρας διαφορὰς τὰς ἀπὸ τοῦ ὑποκειμένου λαβών — γίνονται ἀντιθέσεις μη' — τὰς μη' ἀντιθέσεις εἰς τὸ τριττὸν τοῦ χρόνου τοῦ κατηγορουμένου ἢ τοῦ τρίτου προσκατηγορουμένου παρωχημένον ἐνεστῶτα μέλλοντα πάλιν λαβών — γίνονται ἀντιθέσεις ρμδ' — τὰς ρμδ' ἀντιθέσεις ἐπὶ τὴν τριττὴν σχέσιν τοῦ κατηγορουμένου πρὸς τὸν ὑποκείμενον. ἤτοι τὴν τριττὴν ὕλην, ἐνδεχομένην ἀναγκαίαν ἀδύνατον — γίνονται υλβ' ἀντιθέσεις — τὰς υλβ' ἀντιθέσεις ἐπὶ τοὺς τρεῖς τρόπους, ἐνδεχόμενον ἀναγκαῖον (ἀν. ἐνδ. M) ἀδύνατον, λαβὼν εὑρήσεις ἀντιθέσεις ,ασϛ'. καὶ προτάσεις δὲ πᾶσαι αἱ μετὰ τρόπου ,βφϛβ', αἱ δ' ἐξ ὑποκειμένου καὶ κατηγορουμένου ἀντιθέσεις οβ', προτάσεις ρμδ', αἱ ἐκ τρίτου προσκατηγορουμένου ἀντιθέσεις ρμδ', προτάσεις (τρόποι A) σπη', ὁμοῦ πᾶσαι αἱ ἀντιθέσεις τῶν προτάσεων ,αφιβ', προτάσεις ,γκδ'.

Ex Philopono et Elia nescio an etiam eorum scholiorum origo repetenda sit, quae codicibus Marciano 257 et Laurentiano 72,5 continentur.

Scholia Marciani 257

Marciani 257 chartacei saeculo XII scripti [Zanetti p. 127] scholiorum pauca specimina tradidit Waitz Org. p. 38. quorum exordium (Πρὸ τῆς κατὰ λέξιν ἐξηγήσεως τοῦ Περὶ ἑρμηνείας βιβλίου ζητήσωμεν τὰ ἓξ ταῦτα κεφάλαια) cum prooemiis Philoponi et Eliae concinit, quorum uterque sex capita interpretationibus dicit praemitti oportere (vide Philop. in Cat. p. 9v7, in Anal. p. 141b28 Br., El. p. 27b24 Br.). cetera scholia[1]) non praebent ansam huius cognationis persequendae. propria esse videtur explicatio vocis ἑρμηνεία, cum dicitur ἐπιγέγραπται τὸ παρὸν βιβλίον Περὶ

[1]) ad Arist. p. 20b26 (p. 42 Waitz) legendum esse conicio οὐκ ἔστιν ἡ πρὸς τὰ πολλὰ ταῦτα ἀπόκρισις μία, ἐπεὶ οὐδὲ ἐρώτησις· οὐ γὰρ δύνανται συμφῦναι (συμβῆναι cod.) εἰς ἄλληλα. περὶ ὧν εἴρηται ἐν τοῖς Τοπικοῖς· ἐν γὰρ τοῖς Σοφιστικοῖς ἐλέγχοις ⟨οὐ⟩ διδάσκει περὶ τούτων.

ἑρμηνείας ὡς περὶ μόνου τοῦ ἀποφαντικοῦ λόγου τοῦ ἑρμηνεύοντος καὶ ἐκμαιεύοντος τὸ κεκρυμμένον[1]) νόημα τῆς ψυχῆς.

Scholia Laurentiani 72,5

Laurentianus 72, 5 [vide praefationem Porph. Isag. p. XXIII] f. 50r—67v Aristotelis librum De interpr. exhibet, qui f. 50r—66r[2]) variis est ornatus scholiis, paucis mentioneque indignis inter versus insertis, uberrimis appictis in marginibus. haec discedunt in tria genera temporibus distincta. ex antiquis scholiis saeculo XI vel XII exaratis pauca cum Ammonio ita concinunt, ut ex ipso illius commentario derivata esse videantur. plurima ex commentario posteriore fluxerunt. cuius auctorem facile posse indagare mihi videbar scholiis ad Isagogen et Categorias subsidio adscitis. illa enim unde originem ceperint si memoriam repetiveris (cf. Porph. Isag. p. XXIII et Amm. in Cat. p. XVI), conicias Philopono aut Eliae haec scholia deberi. sed hanc opinionem firmioribus fulcire fundamentis me nequire confiteor. nam inter haec scholia et ea, quae codice Vind. 10 aut Paris. 1942 propagata sunt, consensus non apparuit, nisi quoad origo omnibus scholiis communis valet. altera manu scholia saeculo XIII adiuncta sunt. quae qui addidit interdum priora ita amplificavit, ut tenorem in exponendo servaret, saepius priorum interpretationum ratione non habita suo arbitrio scholia apposuit. quo factum est, ut expositionem priore manu adiectam iisdem verbis usus iteraret. atque etiam quia sive varios commentarios sive collectanea scholia in usum vertit, interdum ita dormitavit, ut ipse eandem interpretationem bis adscriberet. de fontibus hoc potest statui Ammonii commentarium scholiastae praesto non fuisse. tertia scholia saeculo XIV nullo ordine addita disquisitione indigna sunt. nunc ex iis, quae I. Tschiedel descripsit, pauca specimina apponam.

f. 52r (ad Arist. p. 17a1) man. ant. συλλογισμὸν ἐλέγχει ὁ Ἀριστοτέλης τὸν ἀποδεικνύντα φυσικὸν ὄργανον εἶναι τὸν λόγον, ὅς ἐστι τοιοῦτος· ὁ λόγος ὄργανόν ἐστι τῆς φωνητικῆς δυνάμεως ἐν ἡμῖν φύσει οὔσης· πᾶν δὲ ὄργανον φυσικῆς δυνάμεως καὶ αὐτὸ φύσει· ὁ λόγος ἄρα φύσει. φησὶν οὖν ὁ Ἀριστοτέλης μὴ εἶναι αὐτὸν ὄργανον τῆς φωνητικῆς δυνάμεως ἀλλ' ἀποτέλεσμα τῆς διανοητικῆς ψυχῆς χρώμενον ὕλῃ μὲν τῇ ἐν ἡμῖν φωνητικῇ δυνάμει ὀργάνῳ, γλώττῃ καὶ ὑπερῴᾳ καὶ ὀδοῦσι καὶ χείλεσι, δι' ὧν ὁ λόγος ἀποτελεῖται. ἀποτέλεσμα οὖν ὧν θέσει ἐστὶ καὶ οὐ φύσει· εἰ γὰρ τὰ μέρη αὐτοῦ, ὀνόματά τε καὶ ῥήματα, θέσει εἰσίν, καὶ αὐτὸς δηλονότι ὁ ἐκ τούτων συγκείμενος θέσει ἐστὶ καὶ οὐ φύσει (cf. Amm. p. 62,21 25,5).

f. 53v Τὸ γὰρ πᾶς οὐ τὸ καθόλου σημαίνει ἀλλ' ὅτι καθόλου (p. 17b11). man. ant. τουτέστιν ὁ πᾶς προσδιορισμὸς οὐκ αὐτὴν σημαίνει τὴν τοῦ εἴδους τοῦ καθόλου φύσιν, οἷον τοῦ ἀνθρώπου· τὸ γὰρ εἶδος ἓν κατὰ τὴν ἑαυτοῦ φύσιν ἐστὶ καὶ τῆς ἀπειρίας τῶν

---

[1]) κεκρυμμένον correxi ex κεκωμμένον (cf. Mich. Eph. Paris. 1917 f. 17v). quod Waitz coniecit κεκομμωμένον, sensum prorsus pervertit neque in Pseudo-Magentini verbis ullum habet subsidium. is enim dicit (f. I 1v) τὸ οὖν εἶδος τοῦ ἀποφαντικοῦ ἑρμηνείαν καλεῖ ἀντὶ τοῦ τοῦτο ἑρμηνεύειν τὰ νοήματα τῆς ἡμετέρας ψυχῆς. ἰστέον δὲ ὅτι ἑρμηνεία καλεῖται καὶ ἡ λογογραφικὴ ἀπόδειξις καὶ ἡ κεκομψευμένη φράσις, περὶ ὧν οὐδεὶς αὐτῷ λόγος.

[2]) f. 66v scholiis vacat, quae f. 67r leguntur iam ad Analytica pertinent.

ἀτόμων διὰ τοῦτο περιληπτικὸν καὶ ἑνοποιόν· περὶ δὲ ἑνὸς πῶς ἂν ἔχοι χώραν λέγεσθαι τὸ πᾶς; οὐκ αὐτὸ οὖν τὸ καθόλου σημαίνει τὸ πᾶς, ἀλλ᾽ ὅτι καθόλου, τοῦτο δέ ἐστι ἀλλ᾽ ὅτι κατὰ πάντων τῶν ὑπὸ τὸ εἶδος ἀτόμων καταφάσκεσθαι τὸ κατηγορούμενον ἀποφαινόμεθα (cf. Amm. p. 101,3).

f. 55r Εἰ γὰρ ἀληθὲς εἰπεῖν ὅτι λευκόν (p. 18a39) man. ant. τὸ λῆμμα τὸ τετραμερές· τῇ ἀληθείᾳ τῶν λόγων ἕπεται ἡ ὕπαρξις τῶν πραγμάτων καὶ τῷ ψεύδει ἡ ἀνυπαρξία τῶν πραγμάτων, καὶ ἔμπαλιν τῇ ὑπάρξει ἡ ἀλήθεια καὶ τῇ ἀνυπαρξίᾳ τὸ ψεῦδος, εἰ καὶ μὴ ὁμοίως, ἀλλὰ τὰ μὲν πράγματα ὡς αἴτια οἱ δὲ λόγοι ὡς σημεῖα. man. rec. pergit καὶ ἔτι σαφέστερον· τῶν πραγμάτων προταττομένων ἀνάγκη τοὺς περὶ αὐτῶν λόγους ἀληθεῖς εἶναι· ⟨οὐ⟩ γὰρ τῇ λόγων ἀληθείᾳ εὐθὺς ἀκολουθεῖ τὰ πράγματα, ἀλλὰ διὰ τὴν τῶν πραγμάτων ὕπαρξιν ἀληθεῖς ἢ ψευδεῖς εἰσιν οἱ λόγοι· ὄντος γὰρ λευκοῦ ἀνάγκη τὴν λέγουσαν κατάφασιν ἀληθῆ εἶναι.

f. 59v Οἷον ὁ ἄνθρωπος ἴσως (p. 20b16) man. ant. τὸ ἴσως εἴρηται ἢ ὡς ἀδήλου ὄντος, εἰ κατ᾽ οὐσίαν ὑπάρχει τῷ ἀνθρώπῳ τὸ δίπουν καὶ ἥμερον, ἢ τὸ ἐπίσης δηλοῖ νῦν. man. rec. συμβαίνει ποτὲ ἓν δηλοῦσθαι ἐκ τῶν πολλῶν, ὅταν ὦσι συμπληρωτικὰ ἑνός, ὡς ἐπὶ τῶν ὁρισμῶν ἔχει· ἓν γὰρ σημαίνεται ἐκ τοῦ ἄνθρωπος ζῷον λογικὸν θνητόν. διὸ καὶ μία γίνεται πρότασις ἑνὸς κατ᾽ αὐτῶν κατηγορουμένου· οὐ γὰρ πολλαὶ ἀλλὰ μία κατάφασις ἡ ‘βαδίζει ζῷον λογικὸν θνητόν.’ εἰ δὲ τὰ πολλὰ μὴ γίνοιτο ἕν, οὐ μία κατάφασις ἢ ἀπόφασις τυγχάνουσι ἀλλὰ πολλαί. ὁ γὰρ λέγων ‘ἔστιν ἄνθρωπος λευκὸς βαδίζει’ (lege βαδίζων) οὐ μίαν ἀλλὰ πολλὰς ἀντιθέσεις ποιεῖ. ὁ δὲ φιλόσοφος μὴ ἀκριβῶς τὸν ὁρισμὸν τοῦ ἀνθρώπου θεὶς προσέθηκεν τὸ ἴσως τῷ ἄνθρωπον δίπουν ἢ ἥμερον εἶναι φύσει· οὐ γὰρ ἴδιος οὗτος ὁ λόγος τοῦ ἀνθρώπου καὶ ὀρνέοις ὑπάρχων.

f. 60r Οὐδὲ γὰρ ἡ ἐρώτησις (p. 20b25) man. ant. ἐρώτησις διαλεκτική· ἆρά γε ἡ ψυχὴ ἀθάνατος ἢ οὔ; πρὸς ἣν ἔστιν ἀποκρίνασθαι τὸ ναί ἢ τὸ οὔ (Amm. p. 199, 20. 21). ἐρώτησις πυσματική, εἰ τὸ ὑπάρχειν ἐθέλομεν μαθεῖν, οἷον τίς καλῇ; ἢ τί ἐστιν ἄνθρωπος; πρὸς ἣν τὸ μὲν εἶναι (lege ναί) καὶ οὗ χώραν οὐκ ἔχει, λέξεως δὲ ἄλλης, ἐνίοτε δὲ καὶ λόγου πλείονος δεῖ τῷ ἐρωτωμένῳ (Amm. p. 200,5).

f. 60r Σκυτεὺς ἀγαθός (p. 20b36). man. rec. ὁ γὰρ ἀγαθὸς ἄνθρωπος οὐ πάνυ καὶ σκυτεὺς ἀγαθός ἐστι. man. ant. διορίζεται διὰ τούτων πότε καὶ τὰ ἰδίᾳ λεγόμενα καὶ ἅμα λέγεται καὶ πότε τὰ ἅμα λεγόμενα καὶ ἰδίᾳ λέγεται, πότε δὲ οὔ. καὶ πρότερον δείκνυσιν ὅτι οὐ πάντως τὰ ἰδίᾳ κατηγορούμενα καὶ ἅμα λέγεται· εἰ γὰρ τοῦτο, τρία ἄτοπα ἕψεται· ψεύδεσθαι, ἀδολεσχεῖν, ἀδιανόητα λέγειν. ψεύδεσθαι μὲν ἐπὶ Σίμωνος· ἐπὶ γὰρ τούτου ἅμφω ἀληθὲς ἰδίᾳ λέγειν, καὶ ὅτι σκυτεὺς καὶ ὅτι ἀγαθός, τὸ δὲ συμπεπλεγμένον ψεῦδος, ὅτι Σίμων σκυτεὺς ἀγαθός. ἀδολεσχεῖν δέ, εἰ τὸ αὐτὸ πολλάκις ἰδίᾳ κατηγορούμενον καὶ ἅμα λέγοιτο, οἷον Σωκράτης ἄνθρωπος λευκὸς λευκός. ἀδιανόητα δέ, εἰ τὰ μερικὰ τῶν καθόλου προτάξομεν καὶ εἴπομεν (lege προτάξωμεν καὶ εἴπωμεν) τὸν Σωκράτην διὰ τὸ ἄνθρωπον εἶναι ζῷον ἄνθρωπον. τοῦτο γὰρ μάταιον καὶ ἀδιανόητον· τοῖς γὰρ μερικοῖς ἕπεται τὰ καθόλου. τῶν δὴ κατηγορουμένων κατά τινων ὑποκειμένων, ἃ ἐκάλεσεν ἐφ᾽ οἷς κατηγορεῖσθαι συμβαίνει, τὰ μὲν καθ᾽ αὑτὸ κατηγορεῖται τῶν οἰκείων ὑποκειμένων τὰ δὲ κατὰ συμβεβηκός (cf. Amm. p. 206,23).

f. 61r Τούτων δὲ διωρισμένων (p. 21a34) man. ant. ἰστέον ὅτι ἐν τῷδε τῷ τετάρτῳ κεφαλαίῳ διδάσκει ἡμᾶς τὸν τρόπον τῆς ἀντιθέσεως τῶν ἀποφάσεων πρὸς τὰς καταφάσεις καὶ τὴν ἀκολουθίαν τῶν κατὰ τοὺς διαφέροντας τρόπους προτάσεων (cf. Amm. p. 214,8). διαφέρει τρόπος ὕλης τῷ (τὸ cod.) τὴν μὲν ὕλην νοεῖσθαι καὶ μὴ λέγεσθαι τὸν δὲ τρόπον λέγεσθαι, ὡς ἀναπνεῖ ὕλῃ Σωκράτης, ἀναγκαίως ἀναπνεῖ· τοῦτο τρόπος. — ἀεὶ μὲν ἀληθὲς τὰ ἀντικείμενα μὴ διαιρεῖσθαι, οὐκ ἀεὶ δὲ ἀληθὲς τὰ μὴ ἀντικείμενα διαιρεῖσθαι· τί γάρ, εἰ ἄμφω κατὰ συμβεβηκὸς κατηγοροῖτο; man. rec. πρότερον οὐδὲν διδάξας ποίῳ τρόπῳ ὑπάρχει τοῖς ὑποκειμένοις τὰ κατηγορούμενα, νῦν λέγει ὡς τὰ μὲν αὐτῶν ἀναγκαίως ὑπάρχει, οὐδαμῶς χωριζόμενα τῶν ὑποκειμένων, τὰ δὲ ἀναγκαίως μὴ ὑπάρχοντα ἥκιστα ἀληθῶς κατηγορηθήσεται καταφατικῶς, τὰ δὲ δυνάμει ἔχει καὶ ἐνδέχεται ὑπάρξαι καὶ μὴ ὑπάρξαι. διαφέρει δὲ τὸ δυνατὸν τοῦ ἐνδεχομένου μόνῃ σχέσει καὶ οὐ φύσει· μεταξὺ γὰρ κείμενα τοῦ ἀεὶ

ὑπάρχοντος καὶ ἀεὶ μὴ ὑπάρχοντος πρὸς τὸ ἀναγκαίως ὑπάρχον ἐνδέχεσθαι πρὸς δὲ τὸ ἀδύνατον δυνατόν φαμεν αὐτό· οἷόν τε γὰρ ὑπάρχειν καὶ μή· χωρίζεται γὰρ τοῦ ἀδυνάτου τῷ δυνατὸν εἶναι καὶ τοῦ ἀναγκαίου τῷ ἐνδέχεσθαι μὴ εἶναι. διὸ δύο τρόπους θετέον τὸ δυνατὸν καὶ ἐνδεχόμενον καὶ ἑτέρους δύο τὸ ἀναγκαῖον καὶ ἀδύνατον.

Scholia Ambrosiani L. 93

Ambrosianus L. 93 sup. membr. saeculo X exaratus [vide Porph. Isag. praefationem p. XXIV] f. 60ᵛ—79ᵛ scholia in librum De interpr. eadem manu qua Aristotelis verba scripta exhibet. atque ea, quae f. 60ᵛ—69ᵛ leguntur, auctoris nomine carent, f. 70ᵛ—79ᵛ [1]) pauca sunt ex Ammonii commentario hausta eiusque nomine ornata. anonyma scholia magna ex parte ex scholiastae [2]) ingenio profecta esse videntur, quaedam dubium non est quin ex nescio quo commentario fluxerint. hoc vel inde apparet, quod unum scholion (f. 67ʳ) cum adnotatione in Vind. 10 propagata notaque ἰωάννου ornata congruit. amplior consensus non invenitur neque Ammonii vestigia usquam apparent. tamen haec scholia Ammonio vetustiora esse aut eos, qui Ammonium perceperunt, reddere auctoris doctiores [3]) nihil est quod opinemur. Ammonii scholia tam exigua sunt, ut de fide codicis statui non possit. nunc ex iis, quae A. Gercke descripsit, pauca specimina adiciam.

f. 61ʳ (ad Arist. p. 16ᵃ26) ἐπακτροκέλης εἶδος πλοίου λῃστρικοῦ μεταξὺ ἀκάτου καὶ κέλητος, ἅπερ εἰσὶν καὶ αὐτὰ πλοῖα, καὶ Θουκυδίδης ‘εἰς τὸν ἐπακτροκέλητα ἐμβιβάσας’ (potius Αἰσχίνης; cf. Steph. p. 8,22).

f. 61ᵛ (ad p. 16ᵇ1) ὅτι τοὺς πλαγίους οὐ καλεῖ Ἀριστοτέλης ὀνόματα ἀλλὰ πτῶσιν ὀνόματος. μόνην δὲ τὴν εὐθεῖαν ἀξιοῖ καλεῖν ὄνομα καὶ οὐ πτῶσιν· οἱ δὲ γραμματικοὶ τῇ τῶν Στωϊκῶν δόξῃ ἑπόμενοι κοινῶς τὰς πέντε πτώσεις καὶ ὀνόματα καλοῦσιν, οὐχ ὑγιῶς δέ. — τοῦτο διὰ μέσου. — φησὶν ὅτι αἱ πλάγιοι πτώσεις τὸν μὲν ὅρον τοῦ ὀνόματος ἐπιδέχονται ὅλον, διαφέρουσι δὲ ὅτι μετὰ τοῦ ἔστιν ἢ ἦν ἢ ἔσται οὐ ποιοῦσιν ἀπόφανσιν τελείαν· ὁ γὰρ εἰπὼν ‘Φίλωνός ἐστιν’ δεῖ πρὸς τὸ γενέσθαι τέλειον λόγον προσθεῖναι τυχὸν ἢ βιβλίον ἢ ἀγρὸς ἢ ἱμάτιον ἢ ἄλλο τι, οἷον Φίλωνός ἐστιν ⟨βιβλίον⟩· τὸ δὲ ὄνομα, φησίν, ἀεὶ ποιεῖ λόγον μετὰ τοῦ ἔστιν ἢ ἦν ἢ ἔσται, οἷον Φίλων ἔσται.

f. 62ʳ (ad p. 16ᵇ24) αὐτὸ γάρ, φησίν, μόνον τὸ εἶναι οὐδέν ἐστι καθ’ ἑαυτό, παραλαμβανόμενον δὲ κατά τινων ἄλλων σύνθεσίν τινα προσδηλοῖ, ἥντινα σύνθεσιν ἄνευ τούτων ἐξ ὧν σύγκειται ἀδύνατόν ἐστι συνιδεῖν. ἐν γὰρ τῷ ‘Σωκράτης φιλόσοφός ἐστι’ τὸ ἔστι τὴν σύνθεσιν ταύτην σημαίνει τὴν ἐκ τοῦ Σωκράτης καὶ τοῦ φιλοσοφεῖ συγκειμένην. ἰστέον δὲ καὶ τοῦτο ὅτι σύνθεσιν μὲν εἴωθε καλεῖν ὁ φιλόσοφος τὴν κατάφασιν, διαίρεσιν δὲ τὴν ἀπόφασιν.

(ad p. 16ᵇ26) εἰ μὲν εἴπετο τῇ ἐξ ἀρχῆς ἀκολουθίᾳ, μετὰ τὸν περὶ ὀνόματος καὶ ῥήματος λόγον περὶ καταφάσεως καὶ ἀποφάσεως ἤμελλεν διδάσκειν ἡμᾶς· νυνὶ δὲ ἔντεχνον τὴν

[1]) f. 70ʳ scholiis vacat, itemque f. 75, quod Aristotelis p. 22ᵇ4 τοῖς—32 εἶναι exhibens posterius insertum est.

[2]) vel potius scholiastarum, nam plures in his operam posuisse apparet ex interpretatione f. 65ᵛ ad Arist. p. 18ᵃ19 adiecta, quae incommode interrumpitur adnotatione ad Arist. p. 18ᵃ34 pertinente. unde cognoscitur aut alteram partem illius interpretationis postea esse additam aut hanc adnotationem postea interpositam.

[3]) unum (f. 64ʳ), in quo Theophrastus laudatur, Ammonio plus afferre putaveris. sed id, quod Theophrasto tribuitur, tam vanum ac futile est, ut inconveniens esse videatur hoc testimonio illius splendorem obscurare.

διδασκαλίαν ποιήσασθαι βουληθεὶς περὶ λόγου πρῶτον διδάσκει ἡμᾶς. ἐπειδὴ γὰρ ὁριζόμενος τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν ἐν τοῖς ἑφεξῆς ὡς ἐν γένει τῷ λόγῳ εἶναι αὐτὰς ὁριεῖται· τὴν μὲν γὰρ ἐρεῖ λόγον καταφατικὸν τὴν δὲ ἀπόφασιν λόγον ἀποφατικόν· πρῶτον εἰκότως περὶ λόγου διαλαμβάνει, ἵνα δυνηθῶμεν οὕτω συνεῖναι τὸν ὅρον τῆς καταφάσεώς τε καὶ τῆς ἀποφάσεως· ἀγνοοῦντες γὰρ ὅ τι ποτέ ἐστι λόγος, πῶς ἂν ἠδυνήθημεν τὸν ἐκ λόγου συνιστάμενον (συστήμενον cod.) ὅρον ὅ τι ποτὲ δηλοῖ συνιδεῖν.

(ad p. 16b32) διπλοῖς· οὐχ ἁπλῶς πᾶσι τοῖς συνθέτοις ἀκουσόμεθα, ἀλλ' ἐν οἷς συνέφθαρται μὲν ἡ σύνθεσις, ὅμως ἔμφασίς τις ἀμφοτέρων τῶν ἀποτελούντων τὴν σύνθεσιν διασώζεται, οἷον ὡς τὸ Κάλλιππος ἢ τὸ φίλοινος· ἐνταῦθα γὰρ τὸ μὲν ἓν καὶ ὁλόκληρον ὁ οἶνος, τοῦ δὲ ἑτέρου τοῦ φιλεῖν ἔμφασίς τίς ἐστι. ἐν τούτοις δέ φησιν, ὡς καὶ πρὸ βραχέως ἐλέγομεν, βούλεται μέν τι σημαίνειν τὸ μέρος, οὐ μέντοι σημαίνει.

f. 62v (ad p. 17a1) ἐπειδὴ πάντες οἱ περὶ Πλάτωνα καὶ Πυθαγόραν τῶν φύσει ἐνεργειῶν φυσικὰ καὶ τὰ ὄργανα ἔλεγον, οἷον τῆς ὁράσεως φυσικῆς οὔσης καὶ τὸ ὄργανον ᾧ χρώμεθα πρὸς τὴν ὅρασιν φυσικόν.

ὄργανον ἀντὶ τοῦ φύσει· τοῦ γὰρ φιλοσόφου μάλιστα οἰκεῖος οὗτος ὁ λόγος ἅτε περὶ τὴν θήραν τοῦ ἀληθοῦς διατρίβοντος.

(ad p. 17a10) ἐπειδὴ πολλάκις τὸ μὲν ὄνομα δύναται προσυπακούεσθαι οἷον ἐν πρώτῳ καὶ δευτέρῳ προσώπῳ· ἐὰν γὰρ εἴπω ὅτι βαδίζω, προσυπακούεται τὸ ἐγώ, καὶ ὁμοίως ἐπὶ τοῦ δευτέρου προσώπου· τὸ δὲ ῥῆμα ἀδύνατόν ποτε προσυπακοῦσαι διὰ τὸ ἀπείρους εἶναι τὰς ἐνεργείας καὶ τὰς πάθας, αἵτινες διὰ τῶν ῥημάτων σημαίνονται· ἐὰν γὰρ εἴπω 'Σωκράτης', τί ἂν τις προσυπακούσειεν πότερον ὅτι φιλοσοφεῖ ἢ ὅτι διαλέγεται ἢ ὅτι βαδίζει; διὰ τοῦτο εἶπεν ὅτι δεῖ τὸν ἀποφαντικὸν λόγον ἐκ ῥήματος συνεστάναι. τὸ δὲ ἢ πτώσεως, ἐπειδὴ τὰ παρὰ τὸν ἐνεστῶτα ῥήματα ἐν τοῖς ἀνωτέρω πτώσεις ἔφη ῥήματος εἶναι ἀλλ' οὐ ῥήματα.

(ad p. 17a15) ζητήσειεν ἄν τις, ποῖοι λόγοι εἰσὶν οὓς φησι πολλὰ δηλοῦν· εἰ γὰρ εἷς μέν ἐστιν ὁ ἁπλούστατος λόγος οἷον ὡς τὸ 'Σωκράτης φιλοσοφεῖ', συνδέσμῳ δὲ εἷς οἷον ὁ τοιοῦτος 'Σωκράτης καὶ Πλάτων διαλέγονται', πολλοὶ δὲ οἱ τῷ συνδέσμῳ μὴ ἑνούμενοι οἷον ὡς τὸ 'Ἀγαμένων ἐπολέμησεν, Ἀχιλλεὺς ἠρίστευσεν, Μενέλαος ἐνίκησεν,' ποῖος ἂν ἄλλος εἴη λόγος ὁ πολλὰ δηλῶν; καί φαμεν ὅτι περὶ τοῦ μιᾶς οὐσίας πλείονας ἐνεργείας δηλοῦντός φησιν οἷον τοῦ τοιοῦδε 'Ἀχιλλεὺς ἐπολέμησεν καὶ ἠρίστευσεν καὶ ἐνίκησεν.'

f. 63r (ad p. 17a17) διὰ τοῦτο δὲ ὡς εἰ ἔλεγεν, φάσιν ἁπλῆν εἴπωμεν εἶναι τό τε ὄνομα καὶ τὸ ῥῆμα, ὅτι οὐ δυνάμεθα δι' ἑνὸς ἑκάστου αὐτῶν ἀποφαντικὸν λόγον ἢ ἐρωτῶντός τινος ἀποκρίνασθαι ἢ μὴ ἐρωτῶντος, ἀλλ' αὐτοπροαιρέτῳ γνώμῃ προσχρώμενοι· οὔτε γὰρ ἂν ἐρωτῶντός τινος 'τίς ὁ δεῖνα;' εἴπωμεν ὅτι Σωκράτης, ἀποφαντικὸν λόγον ἀποκρινάμεθα· οὐδὲν γὰρ οὔτε ἀληθὲς οὔτε ψεῦδος δηλοῖ αὐτὸ καθ' αὑτὸ ὁ Σωκράτης· οὔτε ἐὰν αὐτοὶ προελόμενοι εἴπωμεν ἐντυχόντες τινὶ ὅτι φιλοσοφεῖ, ἀληθές πω ἢ ψεῦδος εἰρήκαμεν, ὥστε οὐδὲ λόγον ἀποφαντικόν.

(ad p. 17a25) κατάφασις δέ ἐστιν, ὡς εἰ ἔλεγεν, ἡ ἁπλουστάτη τὸ μίαν ἐνέργειαν μιᾶς οὐσίας καταφάσκειν οἷον ὡς τὸ 'Σωκράτης φιλοσοφεῖ', ἀπόφασις ἡ μίαν ἐνέργειαν μιᾶς οὐσίας χωρίζουσα ὡς τὸ 'Σωκράτης οὐ φιλοσοφεῖ.'

(ad p. 17a26) ἐπειδὴ δυνατόν, εἰ καὶ μὴ ἀληθῶς, ἀλλ' οὖν καὶ περὶ τοῦ ὑπάρχοντος ὡς μὴ ὑπάρχοντος διαλέγεσθαι καὶ περὶ τοῦ μὴ ὑπάρχοντος ὡς ὑπάρχοντος, ἅπερ ἐστὶν ἄμφω ψευδῆ, καὶ μέντοι περὶ τοῦ ὑπάρχοντος ὡς ὑπάρχοντος καὶ περὶ τοῦ μὴ ὑπάρχοντος ὡς μὴ ὑπάρχοντος, καὶ οὐ μόνον ἐπὶ ἐνεστῶτος χρόνου ἀλλὰ καὶ ἐπὶ παρεληλυθότος καὶ μέλλοντος· καὶ γὰρ περὶ τοῦ ὑπάρξαντος ὡς μὴ ὑπάρξαντος δυνάμεθα διαλέγεσθαι, ὥσπερ ἐπὶ τοῦ ὑπάρχοντος ἐλέγομεν, καὶ ἐπὶ τοῦ ὑπάρξοντος ὡσαύτως· δῆλον ὅτι πᾶν ὅπως ἄν τις καταφήσῃ, καὶ ἀποφῆσαι δυνατόν, καὶ ἀνάπαλιν ὅπως ἄν τις ἀποφήσῃ, καὶ καταφῆσαι δυνήσεται· ὥστε τοῦτό γε συνάγει· πάσῃ καταφάσει ἀντίκειται ἀπόφασις.

(ad p. 17a33) ἀντίφασις ἔστω, φησίν, αὕτη ἡ ⟨ἐκ⟩ τῆς καταφάσεως καὶ ἀποφάσεως ὁμογενῶν ὑπαρχουσῶν συνισταμένη. ὁμογενῶν δὲ εἶπον διὰ τὸ μὴ ἄλλην κατάφασιν λαβεῖν καὶ ἑτερογενῆ τὴν ἀπόφασιν. οὐκέτι γὰρ οὕτως ἀντίφασις γίνεται, οἷον ἐὰν λέγω τὸ 'Σωκράτης φιλοσοφεῖ — Πλάτων οὐ διαλέγεται,' οὐκέτι γὰρ τοῦτο ἀντίφασις.

(ad p. 17ᵃ34) ταύτην δὲ λέγω, φησί, ἀντίθεσιν καθ' ἣν γίνεται ἡ ἀντίφασις, τὴν τὸ αὐτό, τοῦτ' ἔστι τὸν κατηγορούμενον ὅρον, κατὰ τοῦ αὐτοῦ, τοῦτ' ἔστι τοῦ ὑποκειμένου, καταφάσκουσαν ἢ ἀποφάσκουσαν· δεῖ γὰρ ἐν ταῖς δύο προτάσεσι ταῖς ἀποτελούσαις τὴν ἀντίφασιν τοὺς δύο ὅρους εἶναι τοὺς αὐτούς, διαφέρειν δὲ ἀλλήλων αὐτὰς τῇ τε ποιότητι, οἷον ἵν' ἡ μὲν ᾖ κατάφασις ἡ δὲ ἀπόφασις, καὶ μέντοι τῇ ποσότητι, οἷον ἵν' ἡ μὲν ᾖ καθόλου ἡ δὲ μερική. τεττάρων γὰρ οὐσῶν ἀντιθέσεων, ὡς ἔξεστιν ἰδεῖν (δεῖν cod.) ἐπιβλέψαντα τῷ διαγράμματι, μιᾶς μὲν τῶν δύο καθόλου προτάσεων, τῆς τε πᾶς καὶ τῆς οὐδείς, ἃς ἐναντίας καλεῖ, ἑτέρας δὲ τῶν δύο μερικῶν, τῆς τε τίς καὶ τῆς οὐ πᾶς, ἃς καὶ ὑπεναντίας καλεῖ, δύο δὲ τῶν ἀντιφατικῶν ἀντικειμένων, τῆς τε πᾶς καὶ οὐ πᾶς καὶ τῆς τίς καὶ οὐδείς, αἱ μὲν δύο ἀντιθέσεις αἱ προρρηθεῖσαι ποιότητι μόνον ἀλλήλων διαφέρουσιν, ὅτι ἡ μὲν καταφατική ἐστι τῶν προτάσεων ἡ δὲ ἀποφατική, ποσότητι δέ εἰσιν αἱ αὐταὶ ἄμφω· αἱ μὲν καθόλου εἰσὶν αἱ δὲ μερικαί· αἱ δὲ ἀντιφατικῶς ἀντικείμεναι κατά τε τὸ ποιὸν καὶ τὸ ποσόν, ὅπερ ἐξ *, ἀλλήλων διενηνόχασιν, ὅθεν καὶ παντελὴς ἡ διάστασις γίνεται.

(ad p. 17ᵃ35) ἐπειδή πως ἔφη δεῖν ἐν ταῖς δύο προτάσεσι τὸν αὐτὸν ὅρον κατηγορεῖσθαι τοῦ αὐτοῦ ὑποκειμένου, φησὶν ὅτι ἀλλ' ἵνα μὴ ὁμωνύμως μηδὲ συνωνύμως ἡ κατηγορία γίνοιτο· ὅρα γὰρ πῶς ἐν τοῖς ὁμωνύμοις σοφισμῷ περιπίπτομεν καὶ οὐ γίνεται ἀντίφασις, καίτοι δοκούντων τῶν αὐτῶν ὅρων ἐν ἀμφοτέραις ταῖς προτάσεσι παραλαμβάνεσθαι. λέγω γὰρ ὅτι ὁ κύων τετράπους ἐστὶ καὶ πάλιν οὐκ ἔστιν ὁ κύων τετράπους, καὶ οὐ γίνεται ἀντίφασις· δύναται γὰρ τὰ δύο ἀληθῆ εἶναι, ἡ δὲ ἀντίφασεις διαιρεῖ τὸ ψεῦδος ἀεὶ καὶ τὸ ἀληθές. αἴτιον δὲ τούτου, ὅπερ ἔφην, ἡ ὁμωνυμία. καὶ ὁμοίως ἐπὶ τῶν συνωνύμων, οἷον ἐὰν λέγωμεν 'πᾶς ἄνθρωπός τινα ἀριθμὸν κατέχει — οὐ πᾶς ἄνθρωπος ἀριθμόν τινα κατέχει'· ταῦτα γάρ, ὡς ὁρᾷς, οὐ ποιεῖ ἀντίφασιν· δύναται γὰρ συναληθεύειν.

f. 64ʳ (ad p. 17ᵇ6) ὅταν δὲ ἀπροσδιόριστοι ὦσιν αἱ προτάσεις, ὡς εἰ ἔλεγεν, καὶ μήτε τὸ πᾶς ἔχωσι προσκείμενον μήτε τὸ οὐδείς· ταῦτα γὰρ ὁ Ἀριστοτέλης εἴωθε καλεῖν προσδιορισμούς· οἷον ὡς τὸ ἄνθρωπος λευκὸς καὶ ἄνθρωπος οὐ λευκός, οὐκέτι, φησίν, αἱ τοιαῦται προτάσεις ἐναντίαι εἰσίν, ἐνίοτε μέντοι τὰ σημαινόμενα ὑπ' αὐτῶν ἐναντία ἐστίν.

(p. 17ᵇ14) εἴωθεν ἀεὶ τὸ πᾶς καὶ τὸ οὐδεὶς καὶ ὅλως ὁ προσδιορισμὸς ἐπὶ τοῦ ὑποκειμένου τάττεσθαι ὅρου καὶ οὐκ ἐπὶ τοῦ κατηγορουμένου· τοῦτο οὖν καὶ αὐτὸς ἐνταῦθά φησι ὅτι ψευδὴς ἡ ἀπόφανσις γίνεται, ἐν ᾗ τῷ κατηγορουμένῳ ὅρῳ πρόσκειται ὁ προσδιορισμός. ἀλλ' ἴδωμεν τούτου τὴν αἰτίαν ἡμεῖς· εἴωθεν ὁ κατηγορούμενος ὅρος ὅπου μὲν περιληπτικώτερος εἶναι τοῦ ὑποκειμένου καὶ ἐπὶ πλέον ἐκτείνεσθαι τοὐλάχιστον δὲ ἐξισάζειν ἐπί τινος ὅλης· ὥστ' ὅπου μὲν ψευδῆ ποιήσει τὴν πρότασιν. ἔνθα ὑπερπαίει ὁ κατηγορούμενος· ἐὰν γὰρ εἴπωμεν ὅτι πᾶς ἄνθρωπος πᾶν ζῷον, ψευδόμεθα· οὐ γὰρ δὴ καὶ ὁ ἵππος ἄνθρωπος. ὅπου * (f. 64ᵛ) πρὸς τοῦτό φησιν ὁ Θεόφραστος ὅτι ἐπί τινων ἐὰν μὴ ὁ προσδιορισμὸς ᾖ καὶ ἐπὶ τοῦ κατηγορουμένου, ἡ ἀντίφασις συναληθεύσει, οἷον, φησίν, ἐὰν λέγωμεν 'Φαινίας ἔχει ἐπιστήμην — Φαινίας οὐκ ἔχει ἐπιστήμην', δύναται εἶναι ἀμφότερα ἀληθῆ· ἐγχωρεῖ γὰρ αὐτὸν εἰ τύχοι γραμματικὴν μὲν ἔχειν ἐπιστήμην, ἰατρικὴν δὲ μή. καί φαμεν ὅτι παραλογίζεται ἡμᾶς ὁ τοῦτο λέγων ἄλλον μὲν ἐπὶ τῆς καταφάσεως τὸν κατηγορούμενον λαμβάνων ἄλλον δὲ ἐπὶ τῆς ἀποφάσεως τῇ ὁμωνυμίᾳ τῆς ἐπιστήμης εἰς τὴν ἀπάτην προσχρώμενος· ἔφη γὰρ αὐτὸς Ἀριστοτέλης ὅτι δεῖ τοὺς δύο ὅρους ἐν ἀμφοτέραις ταῖς ἀποφάνσεσι ταῖς ἀποτελούσαις ἀντίφασιν ⟨τοὺς⟩ αὐτοὺς εἶναι.

f. 65ᵛ (ad p. 18ᵃ19) καθ' ὑπόθεσιν λέγει νῦν ὁ Ἀριστοτέλης, οἷον ὅτι εἴ τις ὑπόθοιτο τὸν ἄνθρωπον καὶ τὸν ἵππον ὁμωνύμως ἱμάτιον καλεῖσθαι καὶ εἴπῃ ἱμάτιον λευκόν ἐστιν, οὐκ εἶπεν μίαν κατάφασιν. συνάγει οὖν ὅτι τὰ ὁμώνυμα κἄντε ὀνόματα κἄντε ῥήματα μίαν κατάφασιν ἢ ἀπόφασιν οὐ ποιεῖ.

(ad p. 18ᵃ34) σκοπὸν ἔχει ὁ Ἀριστοτέλης διαλαβεῖν τοὺς ἀστρολόγους, οἵτινες εἱμαρμένην εἶναι δοξάζοντες καὶ ὅτι πάντα ἀναγκαίως τῇ τῶν ἀστέρων φορᾷ ἀποτελεῖται ἀναιροῦσι τὸ ἐφ' ἡμῖν ἤγουν τὸ αὐτεξούσιον ἡμῶν, ὅτι ἀφ' ἡμῶν οὐδὲν ποιοῦμεν, εἰ μὴ ἀναγκαίως ὑπὸ τῆς εἱμαρμένης ἀγόμεθα, οὓς ὁ Ἀριστοτέλης πάνυ ἀρίστως ἐξελέγχει.

(ad p. 18ᵃ19) εἰ μὲν γὰρ διέλοιμεν ταῦτα καὶ εἴποιμεν οὕτως ὅτι ἔστιν ἄνθρωπος λευκός καὶ πάλιν ἔστιν ἵππος λευκός, δύο γενήσονται ἀποφάνσεις καὶ οὐ μία, ὥστε καὶ ἡ

πρώτη ἡ λέγουσα ἔστιν ἱμάτιον λευκόν οὐ μία ἔσται ἀλλὰ δύο, ἐπειδὴ τὸ ἱμάτιον ἄμφω ἐσήμαινε, τόν τε ἵππον καὶ τὸν ἄνθρωπον, ἢ ὅλως οὐδενὸς ἔσται δηλωτική.

f. 67v Vind. 10 f. 200, ubi lemma τὰ μὲν δὴ συμβαίνοντα ἄτοπα ταῦτα καὶ τοιαῦτα ἕτερα (p. 18b26), τοῦτο οἱ μὲν ἐξηγηταὶ ὡς περὶ τῶν προρρηθέντων εἰρημένον ἐκδέχονται· δόξειε δ᾽ ἂν μᾶλλον περὶ τῶν ἑπομένων λέγειν αὐτό· ἐν τούτοις γὰρ κατασκευάζει ὅτι ἀεὶ (l. δεῖ) εἶναι τὴν τοῦ ὁπότερ᾽ ἔτυχεν φύσιν ἐν τοῖς ἀνωτέρω (ἀνωτέροις V) ὡς ὁμολογουμένῳ ἀτόπῳ τῇ ἀναιρέσει αὐτοῦ προσχρώμενος. καίτοι δὲ (γε V) καὶ πρὸς τὰ ἄλλα τὰ ἐκ διαιρέσεως εἰλημμένα μαχεσάμενος πρός τε τὸ μὴ δύνασθαι ἄμφω εἶναι ψευδεῖς ἢ ἄμφω ἀληθεῖς, ὅμως πρὸς τοῦτο μόνον ἐπήγαγε τὸ συμπέρασμα (σύμπαν V) τὸ λέγον ἀφωρισμένως τὴν ἑτέραν ἀληθεύειν· καὶ γὰρ τῷ (τὸ V) ὄντι οὐδὲ ἀντιλογίας δεῖται τὰ ἄλλα.

f. 68r (ad p. 18b30) τὸ ἐνδεχόμενον, ὅπερ δηλοῖ καὶ τὸ ὁπότερ᾽ ἔτυχεν, ⟨τὸ μὲν ἐπίσης⟩ τὸ δὲ ἐπὶ πλέον τὸ δὲ ἐπ᾽ ἔλαττον. ἐπίσης μὲν ἐνδεχόμενον οἷον τὸ περιτυχεῖν τῷδε τῷ φίλῳ ᾧπερ εἰώθαμεν, ἐπὶ πλέον δὲ ὡς τὸ ἐνδέχεται πάντα ἄνθρωπον ἑξηκοντούτη γενόμενον πολιοῦσθαι· τοῦτο γὰρ ὡς ἐπὶ τὸ πολὺ οὕτω συμβαίνει· τὸ δὲ ἐπ᾽ ἔλαττον ὡς τὸ ἐνδέχεται ἐν τοῖς ὑπὸ κύνα καύμασιν ὕσαι· τοῦτο γὰρ σπανίως συμβαίνει.

f. 71r (ad p. 20a31) ἐκ τῶν Ἀμμωνίου. ὁ λόγος οὐδ᾽ ἂν γένοιτο τέλειος, αἱ δὲ φωναὶ (p. 189,5) || expl. ὀνόματος (v. 8).

f. 76r (ad p. 22b36) ἐκ τῶν Ἀμμωνίου. οὐκ ἐπ᾽ αὐτῶν τούτων (p. 241,17) || 18 post λεγ. add. εἶπεν || 21 δυνατῶν || 23. 24 post προστίθ. add. εὐθύς || 26 expl. θερμαίνειν.

f. 76v (ad p. 23a12) ἐκ τῶν Ἀμμωνίου. ὁ καί οὐ μάτην πρόσκειται, ἀλλ᾽ ἵνα δείξῃ ὅτι τυχὸν μὲν (p. 243, 32) || 33 post δύναμις add. ἡ κατ᾽ ἐπιτηδειότητα ἐν τοῖς κινητοῖς || 35 ἐν τοῖς ἀκινήτοις, τοῦτ᾽ ἔστιν om. || 36 expl. θείοις.

(ad p. 23a13) διχῶς γράφεσθαί φησιν ὁ φιλόσοφος Ἀμμώνιος τὸ χωρίον· ἢ γὰρ ὡς πρόκειται νῦν ἢ δυνατὸν εἶναι. καὶ εἰ μὲν τὸ δεύτερον, αὐτόθεν ὁ λόγος ἔσται περὶ τοῦ (p. 244,8) || 9 τῆς—ἐπιτηδειότητα (10) om. || 10 μὲν om. || κατηγορούμενον post ἐνέργειαν coll. || 11 post ἂν add. καὶ || 11 ὡς—πᾶν (15) om. || 15. 16 εἰ—δυνατὸν] εἰ δ᾽ ἡ πρώτη κρατοίη γραφή || 19 expl. εἶναι.

f. 77r (ad p. 23a27) νοθείαν καταψηφίζονταί τινες τοῦ πέμπτου κεφαλαίου, ὧν ἐστιν Πορφύριος καὶ Ἀμμώνιος καὶ ἄλλοι.

Stephanus

Stephanum (Comm. in Arist. XVIII, 3 ed. M. Hayduck) non solum iis locis, quibus Ammonium laudat, sed in omnibus interpretationibus ab Ammonio pendere facile perspicitur, atque etiam quae de vetustioribus interpretibus Alexandro Porphyrio Iamblicho tradit, non ex ipsorum libris hausisse iudicandus est, sed eidem Ammonio debere. unus Galenus,[1]) cuius definitionem nominis ab Ammoniana (p. 45,9) discrepantem Stephanus reicit (p. 12,1), apud Ammonium non occurrit. itaque neque ad Aristotelis verba illustranda, ut recte monet M. Hayduck, neque ad nostram veterum commentatorum scientiam augendam Stephani commentarius multum valet. ac si forte quid supplementi ad Ammonium emendandum inde exspectes, vereor ne spes te fallat, quoniam Stephani liber uno codice Parisino 2064, antiquo illo quidem sed vitiis scatente, continetur.

Psellus

Michaelis Pselli[2]) paraphrasis libri Aristotelici in lucem prodiit editore Aldo[3]) 1503 f. M 1r—O 6r sub titulo Μιχαήλου Ψελλοῦ παρά-

---

[1]) Galenus etiam in Arabum memoria inter commentatores libri De interpr. locum habet (A. Müller *Die griech. Phil. in der arab. Überl.* p. 14).

[2]) de Magentino Psellum laudante cf. p. XXXVI.

[3]) de codice Parisino 1843, qui f. 67r—89v Pselli paraphrasin exhibet, cf. p. XLVIII.

φρασις εἰς τὸ Περὶ ἑρμηνείας incipiens Πρὸ τῆς ἀκριβοῦς ἐκθέσεως τῶν προτάσεων τῶν τε καταφατικῶν καὶ τῶν ἀποφατικῶν τῶν τε καθόλου καὶ τῶν κατὰ μέρος δέον ὁρίσασθαι τὰς ἁπλᾶς φωνάς. in interpretando Aristotelis induit personam[1]) ac subscriptione adiecta hoc de se facit iudicium οὕτω μὲν οὖν ἐγὼ ἐν τῷ λογίῳ τούτῳ θεάτρῳ τοῦ Ἀριστοτέλους πρόσωπον ἐμαυτῷ περιθέμενος τὸν ἐκείνου περὶ τῶν ἀποφαντικῶν λόγων ἐξωρχησάμην ὑπομνηματισμόν, εὐστόχως μὲν παντάπασιν οὐκ ἂν εἴποιμι. ἐπηβολώτατον δὲ καὶ γενναιότατον. ἴσως δὲ καὶ ἄλλοι προστεθήσονται τῇ ἐμῇ ἐπικρίσει καὶ κάλλιστα ἀριστοτελήσαιεν. ὅσον γοῦν αὐτὸς ἐνενόησα προσκείμενα τῇ δεινότητι τοῦ ἀνδρός, οὐδὲν ἀπεκρυψάμην. quamquam ipse non ita multa excogitasse videtur, sed fere omnia deprompsisse ex vetustiorum interpretum commentariis. ex quibus laudat memorabili illo loco Ammonium et Philoponum de modo enuntiati, qui est τὸ ὑπάρχειν, dissentientes. ipse se Philoponi sententiam probare dicit, ac si et similitudines et discrepantias ex Pselli et Ammonii expositionibus conspicuas perpenderis renovarisque memoriam, quae ratio inter Ammonii et Philoponi in Categorias commentarios intercedat,[2]) eum qui Psellum per totum librum maxime se ad Philoponum applicasse opinetur a vero non multum aberrare confiteberis.

Leonis Magentini in librum De interpr. commentarius continetur codicis Coisliniani 170[3]) foliis 229r—285r (C) ac sub titulo Ἐξήγησις τοῦ Περὶ ἑρμηνείας Ἀριστοτέλους incipit Μέλλων διδάξαι ἐν τῇ συλλογιστικῇ με- Leo Magentinus

[1]) haec explicandi ratio tertio capite confecto interrumpitur (f. N 6r) verbis Καὶ ἄλλως ἀπὸ φωνῆς Ἀμμωνίου φιλοσόφου ἀπὸ τοῦ ἀληθὲς δέ ἐστιν εἰπεῖν κατὰ τοῦ τινός καὶ ἁπλῶς (Arist. p. 21a18). Ἐν τούτοις, φησί, ζητεῖται τὸ ἀντικείμενον θέωρημα — ὅπερ καὶ τὸ ἕτερον (Amm. p. 210,17—212,23). quae quidem expositio per errorem in editionem delata est atque in codice Paris. 1843 f. 83r deest. ceterum scriptor non dubitat Ammonium vel Philoponum secutus Aristarchum grammaticum exempli gratia afferre (f. N 5v), neque sibi constat, cum f. N 6r dicit ἐπὶ γοῦν τοῦ τρίτου σημαινομένου τὸ μὴ ὂν ὁ Ἀριστοτέλης ἐξελάβετο. καὶ τέλος ὁμοῦ τε ἐκείνῳ καὶ ἡμῖν τὸ τρίτον τοῦ Περὶ ἑρμηνείας εἴληφε σύνταγμα. quamquam certum de hac re iudicium fieri non potest, priusquam praesidio codicum nixus genuinam commentarii formam restitueris. nam etiam ex aliis libris additamenta irrepsisse apparet ex f. N 2r, ubi verba προλάβωμέν τινα — τῶν ἁπλῶν αἱ στερήσης (N 2v) ex Pseudo-Magentini commentario f. K 3v inserta sunt.

[2]) videas Ammonii in Cat. comm. p. V.

[3]) ex ceteris codicibus, qui Magentini commentarium servarunt, unum memorabo, codicem Vat. 317 bomb. saec. XV [Brand. p. 55], de quo ab I. Graeven Romano certior factus sum. is enim codex hunc librum bis exhibet, priore loco (f. 85v) sub titulo Ἐξήγησις τοῦ Μαγεντηνοῦ εἰς τὸ Περὶ ἑρμηνείας τοῦ Ἀριστοτέλους initio mutilatum atque incipientem Πέντε ὄντων εἰδῶν τοῦ Πορφυρικοῦ (l. προφορικοῦ) λόγου μόνος ὁ ἀποφαντικὸς λόγος ὡς δεκτικὸς ἀληθείας τε καὶ ψεύδους ἐφερμηνεύει καὶ ἀπαγγέλλει καὶ παριστᾷ ἣν ἔχομεν γνῶσιν περὶ τὰ πράγματα, quae leguntur in cod. Coisl. 170 f. 229v inf., altero loco f. 133r—192v titulo omisso plenum commentarium recte incipientem μέλλων διδάξαι ἐν τῇ συλλογιστικῇ μεθόδῳ atque a verbis πέντε ὄντων εἰδῶν (f. 133v) cum priore congruentem. de codice Parisino 1917 (P) vide p. XXXIX.

θόδῳ αὐτοῦ περὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ, οὐκ εὐθὺς εἰσβάλλει εἰς τὴν διδασκαλίαν αὐτοῦ. atque prolegomena continentur f. 229r—231v, commentarius f. 231v lemmate Πρῶτον δεῖ θέσθαι τί ὄνομα καὶ τί ῥῆμα praemisso incipit Τὰ μὲν δὴ σημαινόμενα τοῦ θέσθαι φθάσαντες εἴπομεν ἔν τινι τῶν ἡμετέρων πονημάτων. εἰ δέ τι παρελείψαμεν, ἐροῦμεν καὶ τοῦτο. ab f. 239v Magentinus sub titulo Περὶ λόγου incipit Εἰ καὶ ἐν τῷ προοιμίῳ αὐτοῦ ἔφη διδάξαι ἰδίᾳ περὶ ὀνόματος καὶ ἰδίᾳ περὶ ῥήματος. ab f. 244r (Paris. f. 24r) s. t. Περὶ καταφάσεως καὶ ἀποφάσεως inc. Ὁρισάμενος τὴν ἀπόφανσιν καὶ τεχνολογήσας περὶ αὐτῆς ὅσα δὴ καὶ ἐτεχνολόγησεν. ab f. 245v (Paris. f. 25v) s. t. Ἀρχὴ τοῦ δευτέρου τμήματος. Περὶ τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεων inc. Διδάξας ἐν τῷ πρώτῳ τμήματι περὶ τῶν συμβαλλομένων. ab f. 258v (Paris. f. 31v) s. t. Ἀρχὴ τοῦ τρίτου τμήματος inc. Διδάξας ἐν τῷ δευτέρῳ τμήματι περὶ τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεων νῦν ἐν τῷ τρίτῳ τμήματι, ab f. 269v (Paris. f. 38r) s. t. Ἀρχὴ τοῦ τετάρτου τμήματος inc. Μετὰ τὴν διδασκαλίαν τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου καὶ τρίτου προσκατηγορουμένου προτάσεων διδάσκει καὶ περὶ τῶν μετὰ τρόπου προτάσεων. ab f. 279r (Paris. f. 43r) s. t. Περὶ ἑρμηνείας τμῆμα πέμπτον (Ἀρχὴ τοῦ πέμπτου τμήματος P) inc. Διδάξας περὶ πάντων τῶν εἰδῶν τῶν προτάσεων. genus exponendi idem est quod in commentario ad Porphyrii Isagogen deprehendimus, diffusum atque exile. Ammonium vereor ne omnino neglexerit, cum posteriorum commentatorum libros, in quibus illud vinum aqua iam dilutum erat, in usum vertere mallet. velut Pselli vestigia eum in quavis pagina prementem videmus, atque etiam ea, quae de consequentia enuntiatorum exponit, intellegi omnino non possunt nisi Pselli expositionibus auxilio arcessitis. specimina a me descripta sunt.

f. 233r (ad Arist. p. 16a3) λέγονται δὲ τὰ νοήματα ὁμοιώματα καὶ ἀπεικονίσματα τῶν πραγμάτων.[1])

f. 235r (ad Arist. p. 16a19) ὅτι φύσει τῶν ὀνομάτων οὐδέν ἐστιν, ὁ Πλάτων ποιεῖται διάλογον οὗ καὶ ἡ ἐπιγραφὴ Κρατύλος ἢ περὶ ὀνομάτων ὀρθότητος. ἔνθα τὸν Κρατύλον παράγει διαλεγόμενον μετὰ τοῦ Ἑρμογένους καὶ λέγοντα τὰ ὀνόματα φύσει εἶναι, ὡς παρὰ τῆς φύσεως ἀφορισθέντα ἑκάστῳ τῶν πραγμάτων· ὀνοματοθέτης[2]) δὲ ὁ Κρατύλος ἦν· τοῦ Ἑρμογένους λέγοντος τὰ ὀνόματα θέσει. συνελογίζετο δὲ ὁ Κρατύλος οὕτος ὁ Ἡρακλείτειος οὕτως· τὰ ὀνόματα φωναί, αἱ φωναὶ φύσει, τὰ ὀνόματα ἄρα φύσει.[3]) διαψεύδεται δὲ ὁ συλλογισμός· οὐδὲ γὰρ ἐὰν τὰ ὀνόματα ὡς ὕλῃ χρῶνται τῇ φυσικῇ φωνῇ, ἀνάγκη καὶ ταῦτα φύσει εἶναι.

f. 241r (ad Arist. p. 16b31) αἱ λέξεις μετὰ τῶν οἰκείων πνευμάτων καὶ τόνων σημαντικαί εἰσιν, ἄνευ δὲ τούτων οὐδέν τι σημαίνουσιν, οἷον τὸ ‘ορος’ ἄνευ πνεύματος οὐδέν τι σημανεῖ, ψιλούμενον γὰρ σημαίνει τὸ ὄρος, δασυνόμενον δὲ τὸν ὁρισμόν, καὶ τὸ ‘αγνος’ ἄνευ

---

[1]) πραγμάτων ἀπεικονίσματά εἰσι τὰ νοήματα καὶ ἀπομάξεις καθαραὶ καὶ παντελῶς ὁμοιώματα. Psellus f. M 1r.

[2]) ὁ μὲν γὰρ Πλάτων ἐπεὶ ἐν τῷ Κρατύλῳ ἐπιστήμονα ὀνοματοθέτην εἰσάγει, ἐπιστημόνως αὐτὸν καταναγκάζει καὶ ταῖς ὀνοματοθεσίαις χρῆσθαι. Psellus f. M 1v.

[3]) ὁ δὲ Ἀλέξανδρος φύσει μόνον αὐτά φησι κατασκευάζων οὕτω· τὸ ὄνομα καὶ τὸ ῥῆμα φωναί, αἱ φωναὶ φύσει, τὸ ὄνομα καὶ τὸ ῥῆμα ἄρα φύσει. Pseudo-Mag. f. I 3r.

τόνου καὶ πνεύματος οὐδέν τι σημανεῖ, ὀξυνόμενον δὲ καὶ δασυνόμενον σημαίνει τὸν καθαρόν, ψιλούμενον δὲ καὶ βαρυνόμενον σημαίνει εἶδος βοτάνης. ἅγνος γάρ ἐστι βοτάνη τις. καὶ τὸ ὡς ἐνταῦθα ἀποκοπὲν ἀπὸ τοῦ ὡς ὡς τυλλαβή τις λογισθήσεται ἀσήμαντος.

f. 246r (cf. Amm. p. 88,17) ὕλη[1]) δέ ἐστι σχέσις ἢ συνάπτουσα τὸν κατηγορούμενον ὅλῳ τῷ ὑποκειμένῳ, ὡς τὸ ἄνθρωπος ἀναπνεῖ· ἀπαραίτητον γάρ ἐστι τοῖς ἀνθρώποις καὶ ἀναγκαῖον τὸ ἀναπνεῖν καὶ πᾶσι τοῖς ζῴοις, ὡς καὶ ἄνευ αὐτοῦ μὴ δυνατὸν ὑφίστασθαι· ἢ ἀλλοτριοῦσα τὸν κατηγορούμενον ὅλου τοῦ ὑποκειμένου ὡς μὴ πεφυκότα ὑπάρχειν αὐτῷ, ὡς ἐπὶ τῆς ἀδυνάτου ἔχει ὕλης, οἷον ὁ ἄνθρωπος ἵπταται, ἢ πῇ μὲν προσάπτουσα τὸν κατηγορούμενον τῷ ὑποκειμένῳ πῇ δὲ ἀλλοτριοῦσα, ὡς ἐπὶ τῆς ἐνδεχομένης ὕλης, οἷον ἄνθρωπος λευκός ἐστι· τινὲς γὰρ τῶν ἀνθρώπων εἰσὶ λευκοί, τινὲς δὲ μελάντεροι.

f. 249r (cf. Amm. p. 113,13) ἀναιροῦντες[2]) οὖν τοὺς Πλατωνικοὺς λέγομεν ὅτι ἐπὶ τῆς λογικῆς πραγματείας οὐχ ὑπάρξεις καὶ ἀνυπαρξίας ζητοῦμεν, ἀλλὰ καθόλου καὶ μερικά (cf. Brand. p. 113b not.).

f. 251v (ad Arist. p. 18a28) ἐπεὶ δὲ ἦσάν τινες ἀναιροῦντες τὸ ἐνδεχόμενον καὶ τὴν εἱμαρμένην εἰσάγοντες καὶ τὸ πάντα ἐξ ἀνάγκης γίνεσθαι καὶ διὰ τοῦτο καὶ ἐπὶ τῶν καθ' ἕκαστα προτάσεων λέγοντες τὴν μὲν ἀληθεύειν ὡρισμένως τὴν δὲ ψεύδεσθαι, ἵνα μὴ δόξῃ ἐξ ἐρήμης τούτους ἀναιρεῖν, πρῶτον συνηγορεῖ τούτοις καὶ ὅσα ἦν τούτους (ἐκείνους P) εἰκὸς εἰπεῖν πρὸς σύστασιν τῆς οἰκείας δόξης, ταῦτα καὶ οὗτος προτίθησι (προστίθ. P) ἰσχυροποιῶν τὴν δόξαν αὐτῶν, εἶθ' ὕστερον καὶ πρὸς ἀνατροπὴν αὐτῶν χωρεῖ (cf. Amm. p. 139,26).

f. 252r (cf. Amm. p. 142,1) διαιρεῖται δὲ τὸ ἐνδεχόμενον εἰς τρία· εἰς τὸ ὡς ἐπὶ τὸ πολύ, περὶ ὃ ἡ φύσις καὶ ἡ τέχνη (τέχνη καὶ ἡ φύσις C) καταγίνεται· ὡς ἐπὶ τὸ πολὺ γὰρ καὶ (καὶ om. P) ἡ φύσις πενταδάκτυλον τὸν ἄνθρωπον ποιεῖ (ποιεῖ τὸ ζῷον ἤτοι τὸν ἄνθρωπον P), ἔστι δ' ὅτε καὶ ἀποτυγχάνει καὶ ποιεῖ αὐτὸν (αὐτὸ P) τετραδάκτυλον διὰ τὴν τῆς ὕλης ἔλλειψιν, καὶ ὁ ἰατρὸς ὡς ἐπὶ τὸ πολὺ (πλεῖστον P) ὑγιάζει, ἔστι δ' ὅτε (ἀποτυγχάνει add. P) καὶ θανατοῖ, καὶ ὁ κυβερνήτης ὡς ἐπὶ τὸ πολὺ διασώζει τὸ πλοῖον, ἔστι δ' ὅτε καὶ ἀπολλύει αὐτό. καὶ εἰς τὸ ὡς (ὡς om. P) ἐπ' ἔλαττον, περὶ ὃ καταγίνεται ἡ τύχη· ἐνδέχεται γὰρ τὸν ἀπερχόμενον εἰς τὴν ἀγορὰν ἐν οἷς ἀπέρχεται ἐντυχεῖν θησαυρῷ, ἀλλὰ τοῦτο ὡς ἐπ' ἔλαττον καὶ σπάνιον γίνεται. διαιρεῖται δὲ (δὲ om. P) καὶ εἰς τὸ (τὸ om. P) ὁπότερ' ἔτυχε, περὶ ὃ ἡ ἡμετέρα προαίρεσις καταγίνεται· τὸ γὰρ λουθῆναι τὸν Σωκράτην ἢ μὴ λουθῆναι (καὶ περιπαθῆσαι ἢ μὴ περιπαθῆσαι καὶ φλεβοτομηθῆναι ἢ μὴ φλεβοτομηθῆναι add. P) προαιρετόν ἐστιν.[3])

f. 255v (ad Arist. p. 19a7) εἰ δὴ ταῦτα ἀδύνατα. τινὰ τῶν ἀντιγράφων εἰ δὴ ταῦτα ἀδύνατα ἔχουσι γεγραμμένον καὶ νοεῖται οὕτως· ἐπειδὴ ταῦτα τὰ παρ' ἡμῶν προφερόμενα ἐπιχειρήματα (ἐπιχ. προφ. C) εἰς ἀνατροπὴν τοῦ ἀναγκαίου (ἀναγκ. C: πάντα γίνεσθαι

---

[1]) περὶ δὲ τῶν λεγομένων ὑλῶν τοῦτο χρὴ εἰδέναι, ὅτι σχέσεις τινές εἰσιν ἢ δι' ὅλου συνάπτουσαι τὸν κατηγορούμενον τῷ ὑποκειμένῳ, ὡς τὸ Σωκράτης ἀναπνεῖ, ἢ δι' ὅλου ἀλλοτριοῦσαι, ὡς τὸ τὸν Καλλίαν πτερύσσεσθαι, ἢ πῇ μὲν συνάπτουσαι πῇ δὲ διαιροῦσαι, ὡς ἐπὶ τοῦ ἄνθρωπος λούεται καὶ ἄνθρωπος οὐ λούεται. Psellus f. M 5r.

[2]) ἐγὼ δέ φημι πρὸς αὐτοὺς ὡς σεμνοτέρα ἡ οὐδείς τῆς οὐ πᾶς αὐτῷ τούτῳ τρόπῳ τῷ καθολικωτέρα εἶναι, ἐπεὶ ἐν ταῖς λογικαῖς μεθόδοις οὐχ ὕπαρξιν πραγμάτων καὶ ἀνυπαρξίαν ζητοῦμεν, ἀλλὰ φωνὰς μᾶλλον ἀναιρούσας τι ἢ τιθεμένας. Psellus f. M 6r.

[3]) τὸ γὰρ ἐνδεχόμενον τριττόν· ἐπὶ πλέον ἐπ' ἴσης ἐπ' ἔλαττον. τὸ μὲν ὡς ἐπὶ τὸ πλεῖστον ὡς τὸ τὸν ἄνθρωπον ἐν γήρᾳ πολιοῦσθαι· ὀλίγοι γὰρ οἱ μὴ τοῦτο πάσχοντες· περὶ ὃ τέχνη καὶ φύσις (l. φύσις καὶ τέχνη) καταγίνεται· καὶ αὗται γὰρ ὀλιγάκις μὲν ἁμαρτάνουσι πλειστάκις δὲ κατορθοῦσι. τὸ δὲ ὡς ἐπ' ἔλαττον, ὡς τὸ τὸν ἐξιόντα λούσασθαι θησαυρῷ ἐντετυχηκέναι· σπάνιοι γὰρ οἱ ἐντυγχάνοντες· περὶ ὃ τύχη καὶ τὸ αὐτόματον στρέφονται, ἡ μὲν προαιρέσεως ἐξηρτημένη τὸ δὲ κατὰ τὸ ἀπροαίρετον γινόμενον. τὸ δὲ θάτερον (l. τρίτον) μέρος τοῦ ἐνδεχομένου ἐπ' ἴσης ἐστὶν ὡς τὸ λούσασθαι καὶ μὴ λούσασθαι καὶ τὰ τοιαῦτα. τὸ μὲν οὖν ὁπότερ' ἔτυχεν εἰς τὸ ἐπ' ἴσης ἐνδεχόμενον ἀνακτέον. Psellus f. M 7v.

ἐξ ἀνάγκης P) τὸ ἀναντίρρητον ἔχουσι (καὶ τὸ ἀναμφίβολον add. C), ἀδύνατα λοιπὸν λέγουσιν οἱ τὸ ἀναγκαῖον εἰσαγόντες. ἐν τισὶ δὲ γέγραπται (τὸ add. C) ἢ δὴ ταῦτα ἀδύνατα, ἤγουν οὕτως δὴ ταῦτα τὰ λεγόμενα παρὰ τῶν τὸ ἀναγκαῖον εἰσαγόντων ἀδύνατα.

f. 260r (ad Arist. p. 19b31) ὁμοίως δὲ ἕξει ἡ ἀκολούθησις, κἂν ἡ κατάφασις ᾖ ἐπὶ ὀνόματος, ἤγουν ὑποκειμένου τὸν καθόλου προσδιορισμὸν ἔχοντος. ἢ εἰ βούλει ἐκφυγεῖν τὴν ἀκολούθησιν, οὕτως ἑρμήνευσαι τὸ παρὸν ῥητόν· ὁμοίως δὲ ἕξει, ἤγουν τέσσαρες προτάσεις γίνονται ποιοῦσαι δύο ἀντιθέσεις, κἂν ἡ κατάφασις ληφθῇ μετὰ ὀνόματος ἔχοντος τὸν καθόλου προσδιορισμόν. καὶ εὐθὺς ἀπαριθμεῖται καὶ ταύτας, μίαν ἀντίθεσιν εἰσάγων τὴν 'πᾶς ἄνθρωπος δίκαιός ἐστιν' — 'οὐ πᾶς ἄνθρωπος δίκαιός ἐστιν,' ἥτις ἐστὶ καὶ ἁπλῆ, εἶτα ἄλλην ἀντίθεσιν λέγων τὴν 'πᾶς ἄνθρωπος οὐ δίκαιός ἐστιν' — 'οὐ πᾶς ἄνθρωπος οὐ δίκαιός ἐστιν.' καὶ οὕτως ἑρμηνεύσας τὸ ῥητὸν ἐκφεύξῃ τὸ ἀναλογίαν τινὰ τηρῆσαι τῶν στερητικῶν πρὸς τὰς ἁπλᾶς. ποία γὰρ ἀναλογία ἀληθῶν προτάσεων πρὸς (τὰς add. P) ψευδεῖς; ἡ γὰρ ἀναλογία ὁμοιότης ἐστὶ δύο λόγων, λόγος δὲ μείζονος ὅρου πρὸς ἐλάττονα θεωρία, οἷον . . . εἰ γοῦν ἐπὶ τῶν μετὰ προσδιορισμοῦ τούτων προτάσεων ψεύδονται αἱ καταφατικαὶ (καταφάσεις P) πᾶσαι, ἥ τε 'πᾶς ἄνθρωπος δίκαιός ἐστι' καὶ 'ἡ πᾶς ἄνθρωπος ἄδικός ἐστι' καὶ ἡ 'πᾶς ἄνθρωπος οὐ δίκαιός ἐστι', αἱ δὲ ἀποφατικαὶ πᾶσαι συναληθεύουσι, ἥ τε (τε om. P) 'οὐ πᾶς ἄνθρωπος δίκαιός ἐστι' καὶ ἡ 'οὐ πᾶς ἄνθρωπος ἄδικός ἐστι' καὶ ἡ 'οὐ πᾶς ἄνθρωπος οὐ δίκαιός ἐστι', πῶς ἔψονται ἀλλήλαις αἱ προτάσεις αὗται ἢ πῶς ἡ καταγραφὴ τούτων γένηται ὡς ἐπὶ τῶν ἀπροσδιορίστων, ὡς ποιῆσαι μὲν δύο συστοιχίας καὶ ἐν μὲν τῇ μιᾷ προτάξαι τὴν ἁπλῆν κατάφασιν ὑπὸ δὲ ταύτην τάξαι τὴν στερητικὴν ἀπόφασιν καὶ ὑπὸ ταύτην τὴν ἐκ μεταθέσεως ἀπόφασιν, ἐν δὲ τῇ ἑτέρᾳ συστοιχίᾳ προτάξαι τὴν ἁπλῆν ἀπόφασιν, ὑπὸ δὲ ταύτην τὴν στερητικὴν κατάφασιν καὶ ὑπὸ ταύτην τὴν ἐκ μεταθέσεως κατάφασιν; ὅπως δὲ τῷ σοφωτάτῳ Ψελλῷ[1]) ἔδοξε τηρῆσαι καὶ ἐνταῦθα τὴν αὐτὴν ἀναλογίαν καὶ εἰπεῖν ὡς ὃν λόγον ἔχουσιν αἱ στερητικαὶ πρὸς τὰς ἁπλᾶς, τὸν αὐτὸν λόγον ἔχουσι καὶ αἱ ἐκ μεταθέσεως πρὸς τὰς ἁπλᾶς, οὐ μὴν δὲ καὶ ἀντιστρέψαι, ὅτι ὃν λόγον ἔχουσιν αἱ στερητικαὶ πρὸς τὰς ἐκ μεταθέσεως, τὸν αὐτὸν λόγον ἔχουσι καὶ αἱ ἁπλαῖ πρὸς τὰς ἐκ μεταθέσεως, συνιδεῖν οὐ δεδύνημαι (τὸν αὐτὸν λόγον ἔχουσι καὶ αἱ ἐκ μεταθ. — δεδύνημαι om. P)[2]). ὥστε τὴν προτέραν ἑρμηνείαν, ἣν ἡρμηνεύσαμεν ἀκολουθήσαντες τῷ Ψελλῷ, ὅτι ὁμοίως ἔχει (ἕξει P) ἡ ἀκολούθησις ἐπὶ τῶν προσδιωρισμένων προτάσεων ὡς καὶ (καὶ om. P) ἐπὶ τῶν ἀπροσδιορίστων. ἐάσατε κατὰ σκότον ἠλάσκεσθαι, πλὴν κἂν τέσσαρες γίνονται (γίνωνται C) ἐνταῦθα (κἀνταῦθα C) αἱ προτάσεις ὡς ἐπὶ τῶν ἀπροσδιορίστων. ἀλλ' ἐπὶ μὲν τούτων αἱ κατὰ διάμετρον συναληθεύουσι προτάσεις· ἡ γὰρ (γὰρ om. P) 'ἄνθρωπος δίκαιός ἐστι' συναληθεύει τῇ 'ἄνθρωπος ἄδικός ἐστι' καὶ τῇ 'ἄνθρωπος οὐ δίκαιός ἐστιν', ἤγουν αἱ καταφάσεις ταῖς καταφάσεσι διὰ τὸ ἰσοδυναμεῖν ταῖς προτάσεσι ταῖς ἐχούσαις τοὺς χείρονας προσδιορισμούς, οἷον τῇ 'τὶς ἄνθρωπος δίκαιός ἐστι' καὶ (καὶ om. P) τῇ 'τὶς ἄνθρωπος ἄδικός ἐστι' καὶ (καὶ om. P) τῇ 'τὶς ἄνθρωπος οὐ δίκαιός ἐστιν.' αὗται γὰρ συναληθεύουσιν ἐπὶ τῆς ἐνδεχομένης ὕλης, ὡς μεμάθηκας. ὡσαύτως καὶ αἱ κατὰ διάμετρον ἀποφάσεις συναληθεύουσιν, οἷον ἡ 'ἄνθρωπος δίκαιος οὐκ ἔστι' συναληθεύσει τῇ 'ἄνθρωπος ἄδικος οὐκ ἔστι' καὶ τῇ 'ἄνθρωπος οὐ δίκαιος οὐκ ἔστιν.' ἐπὶ δὲ τῶν προσδιωρισμένων προτάσεων οὐχ ὁμοίως ἕξουσιν· αἱ γὰρ κατὰ διάμετρον καταφάσεις οὐ συναληθεύουσιν ἐπὶ οὐδεμιᾶς ὕλης, οἷον ἡ 'πᾶς ἄνθρωπος δίκαιός ἐστι' καὶ ἡ 'πᾶς ἄνθρωπος οὐ δίκαιός ἐστιν.'

Πλὴν οὐχ ὁμοίως τὰς κατὰ διάμετρον (p. 19b35). τὰς δὲ κατὰ διάμετρον ἀποφάσεις ἐνδέχεται ποτὲ συναληθεύειν, οἷον ἡ 'οὐ πᾶς ἄνθρωπος δίκαιός ἐστι' καὶ ἡ 'οὐ πᾶς ἄνθρωπος οὐ δίκαιός ἐστιν.' εἶπε δὲ τὸ ποτέ, ἵνα δείξῃ ὅτι ἐπὶ τῆς ἐνδεχομένης ὕλης συναληθεύουσιν αἱ ἀποφάσεις. εἰς ταύτην δὲ τὴν γνώμην ἤλθομεν καὶ κατὰ διάμετρον (διαμέτρους C) προτάσεις εἰρήκαμεν ἐπὶ τῶν προσδιωρισμένων προτάσεων ἀκολουθοῦντες τῷ Ψελλῷ. ἀλλ' οὐκ ἀληθὲς τοῦτο· ἐπὶ τούτων γὰρ οὐδὲ ὑπὸ τὴν ἁπλῆν κατάφασιν δεῖ τετάχθαι τὴν ἐκ

[1]) f. N 2v supr.

[2]) cf. Brand. p. 122r not.

μεταθέσεως ἀπόφασιν οὔτε τὴν ἐκ μεταθέσεως κατάφασιν ὑπὸ τὴν ἁπλῆν ἀπόφασιν, οὐδὲ ὅλως συστοιχίας ποιῆσαι.

f. 269v (ad Arist. p. 21a34) τρόποι δέ εἰσι τὸ δυνατὸν τὸ ἐνδεχόμενον τὸ ἀναγκαῖον καὶ τὸ ἀδύνατον. ταῦτα δὲ καὶ ὕλαι λέγονται. καὶ τρόποι μὲν λέγονται, ὅταν ἐνεργείᾳ κεῖνται ταῖς προτάσεσι καὶ ἐκφωνῶνται, οἷον 'ἐνδέχεται τὸν Σωκράτην λουθῆναι, ἀναγκαῖον τὸν ἄνθρωπον (τὸν σωκράτην ἄνθρωπον εἶναι ᾗ C) ἀναπνεῖν, ἀδύνατον τὸν Σωκράτην ἵππασθαι.' [τρόπος δέ ἐστι φωνὴ σημαίνουσα ὅπως ὑπάρχει (ὑπάρξει C) τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ· ἐν γὰρ τῷ 'Σωκράτης καλῶς διαλέγεται' ὁ τρόπος τοῦ διαλόγου δηλοῦται.] ὅταν δὲ ἐν ταῖς προτάσεσειν ἐνεργείᾳ οὐ κεῖνται οὐδ' ἐκφωνῶνται ἀλλὰ ταύταις συναναφαίνωνται καὶ συνεννοῶνται, ὕλαι λέγονται.[1])

f. 279r (ad Arist. p. 23a27) δείκνυσι (Ἀριστ.) τὴν ἀπόφασιν μᾶλλον (μᾶλλον τὴν ἀπ. C) ἐναντίαν εἶναι τῇ ἀληθεῖ καταφάσει παρὰ τὴν κατάφασιν τὴν ἔχουσαν τὸ ἐναντίον ὄνομα (τὴν ἔχ. — ὄνομα om. P). ἐξ οὗ[2]) ὁρμώμενοί τινες λέγουσι μὴ τοῦ Ἀριστοτέλους εἶναι ποίημα τὸ πέμπτον τμῆμα· ἐν γὰρ τῇ Φυσικῇ ἀκροάσει καὶ ἐν τοῖς Τοπικοῖς τὴν κατάφασιν τὴν ἐναντίαν φωνὴν ἔχουσαν (ἔχ. φ. P) ταύτην λέγει ἐναντίαν τῇ ἀληθεῖ καταφάσει, ἀλλ' οὐ τὴν ἀπόφασιν (ἀλλ' — ἀπόφασιν om. P). ἀλλὰ καὶ ἐν ταῖς δέκα Κατηγορίαις[3]) ἐν τῷ τέλει τῆς διδασκαλίας τῶν ἀντικειμένων ῥητῶς οὕτως λέγει "τὸ (τῷ P) γὰρ ὑγιαίνειν Σωκράτην τῷ (τὸ P) νοσεῖν Σωκράτην" ἐναντίον ἐστί. πῶς οὖν τἀναντία ἐν τῷ πέμπτῳ τμήματι διδάσκει καὶ οὐ συμφωνεῖ (ἡ διδασκαλία αὕτη add. C) ταῖς ἄλλαις αὐτοῦ πραγματείαις, αἷς εἴπομεν; ἄλλως τε καὶ τὰ ἐπιχειρήματα δι' (ἀφ' C) ὧν τοῦτο κατασκευάζει σαθρά εἰσι καὶ εὐανάτρεπτα. ἀλλ' ἀρκτέον τοῦ κειμένου. . .

Ab hoc Magentini commentario initio ille discrepat, qui codice Parisino 1917 bomb. saec. XIII scripto [Catal. II p. 418 H. Omont II p. 162] f. 17r — 45r continetur[4]) atque anteposito titulo Σύντομος ἐξήγησις Parisinus 1917

[1]) τρόπος οὖν ἐστι φωνὴ σημαίνουσα ὅπως ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ· εἰ γάρ τις εἴποι ὅτι ἡ σελήνη ταχέως ἀποκαθίσταται, τὸν τρόπον τῆς ἀποκαταστάσεως εἴρηκε, καὶ ἐν τῷ 'Σωκράτης καλῶς διαλέγεται' ὁ τρόπος τοῦ διαλόγου δηλοῦται. τῶν δὲ τρόπων ὁ ἀριθμὸς ἀπερίληπτος μὲν οὐκ ἔστι, δυσπερίληπτος δέ· ἐκεῖνο μὲν τῇ φύσει τοῦτο δὲ ἡμῖν. πολλῶν δὲ τέως ὄντων τέσσαρας μόνους ἐκληπτέον ἡμῖν, τὸν δυνατὸν τὸν ἐνδεχόμενον τὸν ἀναγκαῖον καὶ τὸν ἀδύνατον. . . . ποῦ διοίσουσιν οἱ τρόποι τῶν ὑλῶν; διοίσουσι τοιγαροῦν τὸ (l. τῷ) τὰς μὲν ὕλας μὴ ἐκφωνεῖσθαι ἀλλ' αὐτόθι ταῖς προτάσεσιν ὑποφαίνεσθαι, τοὺς δὲ τρόπους ἐν αὐταῖς ἐνεργείᾳ κεῖσθαι ταῖς προτάσεσιν. Psellus f. N 6v med.

[2]) ὧν Brandis p. 135b not.

[3]) p. 13b14.

[4]) f. 1r — 16v Magentini in Categorias commentarius exhibetur. is post titulum alia manu additum τοῦ μιτυλήνης ἐξήγησις εἰς τὰς δέκα κατηγορίας incipit διαφωνία τις ἐγένετο τοῖς ἐξηγηταῖς περὶ τοῦ σκοποῦ τῶν δέκα κατηγοριῶν congruitque cum Magentini commentario ceteris codicibus servato, sed in fine mutilatus est, nam desinit iam in verbis (f. 16v) τὸ φαῦλον καὶ τὸ σπουδαῖον κατηγορεῖται οὐ μόνον κατὰ ἀνθρώπου ἀλλὰ καὶ κατὰ ἄλλων πολλῶν, ἵππου καὶ βοός (Coisl. 170 f. 217r). in marginibus scholia sunt appicta, quorum plurima ex Elia sumpta sunt, pauca ex Ammonio, velut f. 6r εἰ δέ τις λέγει πῶς ἴδιόν ἐστι τῆς οὐσίας, εἴ γε μὴ πάσῃ τῇ οὐσίᾳ ταῖς δευτέραις οὐχ ὑπάρχει, φαμὲν ὅτι εἰ καὶ μὴ πάσῃ ἀλλ' οὖν μόνῃ παρακολουθεῖ, μᾶλλον δὲ ἰδιάζει τὰ μόνῳ ὑπάρχοντα (cf. Amm. in Cat. p. 51, 14). commentarii in librum De interpr. margines ornati sunt Michaëlis Ephesii commentario, de quo vide p. XLV. f. 45r — 46r pauca in Analytica scholia leguntur. f. 47r — 48v med. figurae methodicae inveniuntur ad Michaëlis Ephesii commentarium pertinentes. sequitur Magentini in Analytica commentarius cum ceteris codicibus congruens.

τοῦ Περὶ ἑρμηνείας ἐκφωνηθεῖσα παρὰ τοῦ Μιτυλήνης κυροῦ Λέοντος τοῦ Μαρεντηνοῦ incipit Ὥσπερ ἀναβαθμοῖς τισι χρώμενος ὁ Ἀριστοτέλης μετὰ τὴν παραδοθεῖσαν ἐν ταῖς Κατηγορίαις θεωρίαν. explicit συλλογίζεται δὲ ἐν δευτέρῳ σχήματι, τὴν δὲ μείζονα πρότασιν τοῦ συλλογισμοῦ ὡς ἀμφίβολον καὶ μὴ ἔχουσαν τὸ βέβαιον ἀποδείκνυσι διὰ προσυλλογισμοῦ. haec extrema verba congruunt cum codice Coisl. 170, atque accuratius mihi codicem Parisinum perscrutanti apparuit iam inde a f. 24ᵛ (Περὶ καταφάσεως καὶ ἀποφάσεως. Ὁρισάμενος τὴν ἀπόφανσιν) duo illos commentarios concinere. quodsi respicias commentarii in Categorias scripti, qui hunc commentarium praecedit, extremam partem in codice Paris. omnino desiderari, tuo iure conicias in exemplari huius codicis quaedam folia finem prioris et initium alterius commentarii continentia interiisse atque eam partem, quae nunc f. 17ʳ—24ʳ legitur, a viro docto esse suppletam. qui quos libros in usum verterit, ex iis exemplis, quae descripsi, facile perspicies.

Paris. 1917 f. 17ᵛ.

τὸ δὲ γνήσιον ἀπὸ πολλῶν ἔστι παραστῆσαι· διά τε τὸ πυκνὸν τῶν θεωρημάτων καὶ τὸ ποικίλον καὶ συνεστραμμένον καὶ συνεσφιγμένον τῆς φράσεως διὰ τὴν συνήθη ἀσάφειαν καὶ ἀπὸ τῆς πρὸς τὰς ἄλλας πραγματείας συμφωνίας· ἐρεῖ ‘μὲν οὖν ταῦτα (l. γὰρ ταῦτα μὲν οὖν) ὥσπερ ἐν τοῖς Ἀναλυτικοῖς εἴρηται, οὕτω τέτακται’ (p. 19ᵇ30)· καὶ ἀπὸ τοῦ ἀτελῆ γίνεσθαι τὴν λογικὴν ἀφῃρημένης ταύτης τῆς πραγματείας· οὐ γὰρ συλλογισμὸς ἔσται, συλλογισμοῦ δὲ μὴ ὄντος οὐδὲ ἀπόδειξις, ἀποδείξεως δὲ μὴ οὔσης τί τὸ διακρῖνον ἐν μὲν τῷ θεωρητικῷ μέρει τῆς φιλοσοφίας τὸ ἀληθὲς ἀπὸ τοῦ ψεύδους, ἐν δὲ τῷ πρακτικῷ τὸ ἀγαθὸν ἀπὸ τοῦ κακοῦ; πανταχόθεν οὖν ἀπεδείχθη ὅτι γνήσιον.

Anon. Coisl. (Laur. 72,1 f. 125ʳ).

ἄλλως τε φαίνεται τὸ παρὸν σύγγραμμα γνήσιον Ἀριστοτέλους . . . καὶ ὅτι εἰ μὴ ἦν τὸ προκείμενον βιβλίον, συλλογισμὸς οὐκ ἐγίνετο, συλλογισμοῦ δὲ μὴ ὄντος οὐδὲ ἀπόδειξις ἦν, ἀποδείξεως δὲ μὴ οὔσης τί τὸ διακρῖνον ἐν μὲν τῷ θεωρητικῷ μέρει τῆς φιλοσοφίας τὸ ἀληθὲς ἀπὸ τοῦ ψεύδους, ἐν δὲ τῷ πρακτικῷ τὸ ἀγαθὸν ἀπὸ τοῦ κακοῦ; γνήσιον οὖν πανταχόθεν δείκνυται ἀπὸ τοῦ χαρακτῆρος τῆς λέξεως ἰσχυοῦ τυγχάνοντος καὶ ἀπὸ τῆς πυκνότητος τῶν νοημάτων καὶ ἀπὸ τῆς τέχνης τῶν θεωρημάτων καὶ ἀπὸ τῆς πρὸς τὰς ἄλλας πραγματείας συμφωνίας· λέγει γὰρ μετὰ μικρὸν ὅτι ‘τοῦτο μὲν ὥσπερ ἐν τοῖς Ἀναλυτικοῖς εἴρηται, οὕτω τέτακται’ καὶ ἀπὸ τοῦ ἀτελῆ γίνεσθαι τὴν λογικὴν ἀπῃρημένης ἀπ’ αὐτῆς τῆς παρούσης πραγματείας.

Paris. 1917 f. 17ᵛ.

καλῶς εἶπε ‘τὰ ἐν τῇ φωνῇ’· διὰ γὰρ τῆς φωνῆς σημαίνεται τὸ ὄνομα καὶ τὸ ῥῆμα· οὐ γάρ εἰσιν ἁπλῶς φωναί· αἱ γὰρ φωναὶ φύσει, οὐχὶ δὲ τὸ ὄνομα καὶ τὸ ῥῆμα. καὶ σημεῖον τούτου ὅτι ἐπὶ μὲν τῶν βωβῶν ἔστιν εὑρεῖν φωνήν, οὐκέτι δὲ ἔναρθρον καὶ ἢ ὄνομα ἢ ῥῆμα.

Pseudo-Mag. (ed. Ald. f. I 2ᵛ).

διὰ τί οὐκ εἶπεν ‘εἰσὶ μὲν οὖν αἱ φωναὶ τῶν νοημάτων σύμβολα’ ἀλλὰ ‘τὰ ἐν τῇ φωνῇ’; καὶ λέγομεν δύο αἰτίας, πρῶτον μὲν ὅτι διὰ τῆς φωνῆς σημαίνεται τό τε ὄνομα καὶ τὸ ῥῆμα· οὐδὲ γάρ εἰσιν ἁπλῶς φωναί· αἱ γὰρ φωναὶ φύσει, οὐχὶ δὲ καὶ τὸ ὄνομα καὶ τὸ ῥῆμα. καὶ σημεῖον τούτου ὅτι ἐπὶ μὲν τῶν βωβῶν ἔστι μὲν εὑρεῖν φωνήν, οὐκέτι δὲ ἔναρθρον καὶ ἢ ὄνομα ἢ ῥῆμα σημαίνουσαν.

Paris. 1917 f. 20ʳ.

ἰστέον ὅτι τὸ φύσει διττόν, ἢ τὸ γενόμενον καὶ προαχθὲν ἐκ τῆς φύσεως, ὡς λέγομεν ἀποτέλεσμα τῆς φύσεως τὸν ὀφθαλμὸν ἢ τὴν

Steph. p. 9,10.

ἰστέον τοίνυν ὅτι διττὸν τὸ φύσει, διττὸν καὶ τὸ θέσει. λέγεται μὲν γὰρ φύσει καὶ τὸ ἀπὸ τῆς φύσεως προαχθέν, ὡς λέγομεν ἀποτέ-

ῥῖνα ἢ τὸ οὖς ἢ τὸν πόδα, ἤ, τὸ ἁρμοδίως κείμενον, οἷον ὅταν λέγωμεν φέρε εἰπεῖν ἄνθρωπον παρὰ τὸ ἄνω ἀθρεῖν. διττὸν δὲ καὶ τὸ θέσει, τὸ ἁπλῶς καὶ ὡς ἔτυχε κείμενον καὶ τὸ ἁρμοζόντως. διὸ οἱ μὲν φύσει ἔλεγον τὰ ὀνόματα ὡς τῆς φύσεως ὄντα δημιουργήματα καὶ ὡς προσφόρως τῇ τοῦ πράγματος φύσει τιθέμενα. καὶ πάλιν οἱ μὲν θέσει ἔλεγον τὰ ὀνόματα, διὸ ἐξὸν ἑκάστῳ ἕκαστον πρᾶγμα ὀνομάζειν ὡς βούλεται, οἱ δὲ ὅτι ὑπὸ τοῦ νομοθέτου τοῦ ἐπισταμένου τὴν φύσιν τῶν πραγμάτων προσφόρως ἐπιτίθενται· τὸν μὲν γὰρ ἥλιον ἀρρενικῶς ἐκάλεσεν τὴν δὲ σελήνην θηλυκῶς, διότι ὁ μὲν φωτίζει ἡ δὲ ἀπολαύει τοῦ ἐκείνου φωτός, καὶ τὸν νοῦν δὲ ἀρρενικῶς τὴν δὲ ψυχὴν θηλυκῶς, ὡς τὸν μὲν ἐλλάμποντα αὐτήν, τὴν δὲ ἐλλαμπομένην, καὶ τοὺς ποταμοὺς ἀρρενικῶς τὴν δὲ θάλασσαν θηλυκῶς. διότι πάντας εἰσδέχεται εἰσρέοντας εἰς αὐτήν. καὶ φανερὸν ὅτι συντρέχει τὸ δεύτερον φύσει τῷ δευτέρῳ θέσει. τοῦτο οὖν καὶ ἐν Κρατύλῳ Πλάτων φησὶ διὰ Σωκράτους, ὅτι οὔτε φύσει ἐστὶ τὰ ὀνόματα κατὰ τὸ πρῶτον σημαινόμενον, ὡς ὁ Κρατύλος ἔλεγεν ἀκολουθῶν Ἡρακλείτῳ, οὔτε θέσει κατὰ τὸ πρῶτον σημαινόμενον, ὡς ἔλεγεν ὁ Ἑρμογένης, ἀλλὰ κατὰ τὸ δεύτερον φύσει τὸ συντρέχον τῷ δευτέρῳ θέσει.

λεσμα τῆς φύσεως εἶναι τὸν ὀφθαλμὸν ἢ ῥῖνα ἢ οὖς ἢ πόδα. λέγεται δὲ πάλιν φύσει καὶ τὸ ἁρμοδίως κείμενον, οἷον ὅταν λέγωμεν φέρε εἰπεῖν . . ἄνθρωπον παρὰ τὸ ἄνω τὴν ὦπα, τοῦτ' ἔστι τοὺς ὀφθαλμοὺς ἄνω δύνασθαι θεωρεῖν . . . οὕτως μὲν οὖν ἐστιν τὸ φύσει διττόν, ἢ τὸ γενόμενον ἐκ τῆς φύσεως ἢ τὸ ἁρμοδίως κείμενον ἐπὶ τῶν εἰρημένων παραδειγμάτων. ⟨διττὸν δὲ καὶ τὸ θέσει· ἢ τὸ ἁρμοζόντως[1]) κείμενον⟩, ὅπερ οὐδὲν διαφέρει τοῦ δευτέρου σημαινομένου τοῦ φύσει, ἢ τὸ ἁπλῶς καὶ ὡς ἔτυχε κείμενον.

Pseudo-Mag. (ed. Ald. f. I 3ᵛ).

ὅτι δὲ θέσει τὰ ὀνόματα, δῆλον ἐκ τῶν ἐξ ἀρχῆς ὀνοματοθετῶν (l. —θεσιῶν)· τὸν μὲν γὰρ ἥλιον ἀρρενικῶς ἐκάλεσαν τὴν δὲ σελήνην θηλυκῶς, διότι ὁ μὲν φωτίζει ἡ δὲ ἀπολαύει τοῦ ἐκείνου φωτός, καὶ τὸν νοῦν δὲ ἀρσενικῶς τὴν δὲ ψυχὴν θηλυκῶς, ὡς τὸν μὲν ἐλλάμποντα αὐτὴν τὴν δὲ ἐλλαμπομένην, καὶ τοὺς ποταμοὺς ἀρρενικῶς τὴν δὲ θάλασσαν θηλυκῶς, διότι πάντας εἰσδέχεται εἰσρέοντας εἰς αὐτήν.

Steph. p. 9,24.

ὁ δὲ Σωκράτης διαιτῶν τῷ λόγῳ ἔλεγεν φύσει εἶναι τὸ ὀνόματα οὔτε κατὰ τὸ α' σημαινόμενον τοῦ φύσει οὔτε κατὰ τὸ β' τοῦ θέσει, ⟨ἀλλὰ κατὰ τὸ β' τοῦ φύσει⟩, ὅπερ ταὐτόν ἐστιν τῷ α' σημαινομένῳ τοῦ θέσει.

Paris. 1917 f. 20ᵛ.

τοῦτο δὲ ἐποίουν διὰ τὸ λέγειν αὐτοὺς ἐπὶ μεμετρημένῳ ὕδατι καὶ ῥέοντι.

Steph. p. 12,19.

τοῦτο δὲ ἐποίουν διὰ τὸ λέγειν αὐτοὺς ἐπὶ μεμετρημένῳ ὕδατι καὶ ῥέοντι.

Magentini nomine etiam ille commentarius est ornatus, qui editione Aldina 1503 f. I 1ʳ—L 3ᵛ (a) sub titulo Μαγεντηνοῦ Μητροπολίτου Μιτυλήνης ἐξήγησις εἰς τὸ Περὶ ἑρμηνείας Ἀριστοτέλους in lucem prodiit.[2]) quae quo ex codice fluxerit, quamquam non apparet, tamen titulum ab editore non ex ingenio additum esse docet codex Vind. 10 [vide praefationem Ammonii in Cat. comm. p. XII], in quo f. 103ᵛ—276ʳ Ammonii in librum De interpr. commentario scripto post Ammonii prolegomena f. 108ᵛ—123ᵛ Pseudo-Magentini commentarii prior pars inserta est titulo anteposito Ἐξήγησις τοῦ πανιερωτάτου Μητροπολίτου Μιτυλήνης τοῦ Μαγεν- Pseudo-Magentinus

[1]) ἁρμοδίως Hayduck.

[2]) scholia ex hoc commentario petita etiam codice Par. 1917 (P) sub nomine Michaëlis Ephesii servantur (cf. p. XLV).

τηνοῦ εἰς τὸ Περὶ ἑρμηνείας Ἀριστοτέλους incipiens Ἀρχόμενος τοῦ προκειμένου συγγράμματος οὐκ εἰς ἀνοδίας ἑαυτοὺς ἐμβάλλειν ἐχρῆν, ἀλλ' εὐθὺς αὐτὸ τὸ σπούδασμα τὴν τῆς προκειμένης πραγματείας ποιήσασθαι διδασκαλίαν, desinens medio in enuntiato καὶ ἐπὶ τῶν ἄλλων δύο ὑλῶν ὡσαύτως (Ald. f. I 7ʳ med.). sed huius codicis testimonio fides ceterorum codicum, quibus genuinus Magentini commentarius continetur, labefactari non potest. nam cum universa disputandi ratio Magentini indolem superare videtur, tum acriter cum illius commentariis in Porphyrii Isagogen et in Categorias scriptis ea pugnant. quae hic post exordium supra allatum leguntur καὶ γὰρ τὰ εἰωθότα προλέγεσθαι τῆς πάσης φιλοσοφίας ἤδη φθάσαντες εἴπομεν ἐν τῇ Πορφυρίου Εἰσαγωγῇ, ἔτι δὲ καὶ τὰ τῆς λογικῆς ἁπάσης ἐν τῇ τῶν Κατηγοριῶν διδασκαλίᾳ.[1]) haec suspicionem movent auctorem non longe afuisse ab Olympiodori vel eius discipulorum scholis, quos has disputationes ante commentarios Isagoges et Categoriarum praemisisse constat. fidei autem christianae num ille addictus iam fuerit, dubium est, quamquam f. I 7ᵛ inf. ἡ ὕλη τῶν χειρόνων εἰδῶν ἐστι δεκτική· οὐ γὰρ δὴ τοῦ ἀγγελικοῦ leguntur. quaerentibus autem nobis, quam auctoritatem habeat hic commentarius, cavendum est, ne clarissimis nominibus Alexandri Iamblichi Porphyrii laudatis de fontibus auctoris fallamur. nam commentatorem Ammonio vetustiorem ab eo evolutum non esse facile est demonstare.[2]) at Ammonii librum multis locis nomine diligenter apposito exscripsit, pluribus in usum vertit. Ammonio posteriores commentatores complures ei interpretationes suppeditasse videntur (f. I 8ʳ med. τινὲς δέ φασιν ὅτι οὐ καλῶς διήτησεν ὁ Ἀμμώνιος). quo factum est, ut interdum dormitans contra se ipse dicat. velut ubi quaeritur, num ἀπόφανσις genus sit affirmationis et negationis, primo loco (f. I 2ʳ) cedit Alexandro iudicanti illam non esse genus sed vocem homonymam, altero (f. I 5ʳ) et tertio (f. I 5ᵛ) Alexandri opinionem impugnat. quare quamquam ad Aristotelis verba rectius intellegenda hic commentarius vix quicquam affert, quod non exhibeat Ammonius, tamen ipsius Ammonii interpretationibus haud raro inde lucem affulsisse ingenue confitemur.

f. I 2ʳ supr. (cf. Amm. p. 15,16) φησὶ δὲ ὁ Ἀλέξανδρος ὅτι οὔτε ὡς γένος εἰς εἴδη (ἡ ἀπόφανσις διαιρεῖται εἰς τὴν κατάφασιν καὶ ἀπόφασιν) καὶ κέχρηται τρισὶν ἐπιχειρήμασι· λέγει γὰρ ὅτι οἱ τῶν γενῶν ὁρισμοὶ ἁρμόζειν ὀφείλουσι τοῖς εἴδεσιν, οἱ δὲ τῶν εἰδῶν οὐκέτι τοῖς γένεσιν· ἐνταῦθα δὲ οἱ τῶν μερῶν ὁρισμοὶ ἁρμόζουσι καὶ τῇ ἀποφάνσει, οἷον κατάφασίς ἐστιν ἡ τὶ κατά τινος, ἀπόφασις δὲ ἡ τὶ ἀπό τινος· ταῦτα δὲ ἁρμόζει ἀμφότερα ἐπὶ τῆς ἀποφάνσεως, οἷον τὶ κατά τινος καὶ τὶ ἀπό τινος * * λέγων.[3]) ἔτι φησὶν ὅτι ἔνθα τὸ πρότερον καὶ

---

[1]) huius in Categorias commentarii iterum mentio fit f. K 3ʳ inf. εἴρηται δὲ ἐν Κατηγορίαις ὅτι καὶ πρῶτον καὶ κρεῖττον τὸ ποσὸν τοῦ ποιοῦ ἐστι.

[2]) Porphyrii commentarium ab eo non esse inspectum pro certo inde colligendum est, quod f. I 3ᵛ med. locum ab Ammonio (p. 44,14) ex Porphyrio transcriptum affert, quasi ab ipso Ammonio sit profectus.

[3]) defectus signavi; excidit refutatio.

τὸ ὕστερον, ἐκεῖ τὸ κοινῶς κατηγορούμενον γένος οὐκ ἔστι· πρώτη δὲ κατάφασις ἀποφάσεως· οὐκ ἄρα γένος αὐτῶν ἡ ἀπόφανσις. ἀπολογούμεθα πρὸς τοῦτο ὅτι πρώτη ἡ κατάφασις οὐ τῇ φύσει ἀλλὰ τῇ ἀξίᾳ· τὸ δὲ πρῶτον καὶ ὕστερον ζητοῦμεν ἐπὶ τῶν εἰδῶν τῶν τῇ φύσει. ἔτι φησὶν ὅτι τὰ εἴδη οὐδέποτε φθείρουσιν ἄλληλα, ἡ δὲ ἀπόφασις φθείρει τὴν κατάφασιν. πρὸς ὃ μὴ δυνάμενοι ἀντειπεῖν ἐδεξάμεθα μᾶλλον ὡς αὐτὸς ἔφη διαιρεῖσθαι αὐτὴν ὡς ὁμώνυμον φωνὴν εἰς διάφορα σημαινόμενα.

f. I 2r inf. (ad Arist. p. 16a6) Ἐπεὶ δὲ τὰ νοήματα παρὰ πᾶσι τὰ αὐτά φησιν, ἐνίσταται πρὸς τοῦτο ὁ Ἀλέξανδρος λέγων ὅτι ‘πῶς τὰ νοήματα παρὰ πᾶσι τὰ αὐτά (ὅτι — αὐτά P: om. a); περὶ γὰρ (ἐπειδὴ πολλάκις περὶ a) τῶν αὐτῶν πραγμάτων διάφορά εἰσι νοήματα παρ᾽ ἡμῖν.’ καί φαμεν πρὸς τοῦτο ὅτι ἐκ πάντων τῶν διαφόρων νοημάτων τὸ ἀληθὲς μόνον ἐν αὐτοῖς καλοῦμεν κυρίως (κύριον P) νόημα (cf. Amm. p. 19,9).

f. I 3r med. (cf. Amm. p. 39,14) Ὁ δὲ Ἀλέξανδρος φύσει μόνον (μέσον P) αὐτά φησιν κατασκευάζων οὕτως· τὸ ὄνομα καὶ τὸ ῥῆμα φωναί, αἱ φωναὶ φύσει, τὸ ὄνομα καὶ τὸ ῥῆμα ἄρα (ἄρα om. P) φύσει. καί φαμεν ὅτι φωναί εἰσι κατὰ τὴν ὕλην, οὐ κατὰ τὸ εἶδος, ἐπεὶ καὶ αὐτοὶ λέξομεν ὅτι ἡ θύρα ξύλον, τὸ ξύλον φύσεως (φύσει P) ἔργον, ἡ θύρα ἄρα φύσεως (φύσει P) ἔργον, ὅπερ ἐστὶ ψεῦδος, ἀλλά φαμεν τὴν θύραν ξύλον τῇ ὕλῃ, οὐ τῷ εἴδει.

f. I 3v (cf. Amm. p. 44,11 sq.) Ἰστέον δὲ ὅτι ὁ Ἀμμώνιος περὶ τῶν Στωϊκῶν φησιν ὅτι λέγουσιν ὥς εἰσι ῥήματα συνταττόμενα ταῖς πτώσεσι καὶ ποιοῦντα λόγον ἀληθῆ ἢ ψευδῆ, οἷον Σωκράτει μεταμέλει, ταῖς δὲ εὐθείαις οὐκέτι, οἷον Σωκράτης μεταμέλει. λέγουσιν οὖν ὅτι τὸ κατηγορούμενον ἤτοι ὀνόματος κατηγορεῖται κτλ.

f. I 5r supr. (cf. Amm. p. 15, 16) Καὶ δή φησιν ὁ Ἀλέξανδρος ὅτι ἡ ἀπόφανσις ὡς ὁμώνυμος φωνὴ διαιρεῖται εἰς κατάφασιν καὶ ἀπόφασιν· εἰ γάρ ἐστι πρώτη κατάφασις ἀποφάσεως, ἐν οἷς δὲ τὸ πρῶτον καὶ τὸ δεύτερον, ἐκεῖ τὸ κοινῶς κατηγορούμενον γένος οὐκ ἔστι, δῆλον ὡς οὐκ ἔστιν ὡς γένος εἰς εἴδη, ἀλλ᾽ ὡς ὁμώνυμος φωνή· λέγομεν οὖν ἡμεῖς ὅτι οὐ καθὸ ἀπόφανσις (l. ἀποφάνσεις εἰσί), τὸ πρῶτον καὶ τὸ ὕστερον ἐν ταύταις· ἑκατέρα γὰρ δεκτικὴ ψεύδους ἐστὶ καὶ ἀληθείας· ἀλλὰ κατά τι συμβεβηκὸς τὸ πρῶτον ἔχουσι καὶ τὸ δεύτερον, ὅπερ ἐστὶ τὴν τῶν λέξεων ἁπλότητα. ἁπλουστέρα γὰρ κατάφασις ἀποφάσεως. ἔτι οὐδέποτε τὰ ὁμώνυμα ὁρισμῷ καθυποβάλλονται· οὐ γάρ ἐστι κοινὴ φύσις τῶν ὁμωνύμων, οἱ δὲ ὁρισμοὶ ἐκ τῆς τῶν πραγμάτων φύσεως λαμβάνονται. ἔτι αὐτὸς ὁ Ἀριστοτέλης ἐν τοῖς ἑξῆς τὸν αὐτὸν ὁρισμὸν τῆς ἀποφάνσεως ἁρμόζει κατά τε καταφάσεως καὶ ἀποφάσεως· οὐδέποτε δὲ τὰ ὁμώνυμα συμπληροῦσι τὸν ὁρισμὸν ἑαυτῶν. λείπεται οὖν λέγειν ὅτι ὡς γένος εἰς εἴδη.

f. I 5r inf. (cf. Amm. p. 72,15) Ἔστι δὲ καὶ ἑτέραν ποιήσασθαι διαίρεσιν, ᾗ καὶ Ἀμμώνιος ἐχρήσατο· δύο περὶ πάντα λόγον ἐξ ἀνάγκης θεωρουμένων κτλ.

f. I 5v med. (cf. f. I 5r supr.) Ἐντεῦθεν εἰσάγεται ὁ λόγος ὁ Ἀλεξάνδρου ὅτι ἔνθα τὸ πρότερον καὶ τὸ ὕστερον, ἐκεῖ τὸ κοινῶς κατηγορούμενον γένος οὐκ ἔστι. φαμὲν οὖν ὅτι οὐ καθὸ ἀποφάνσεις ἔχουσι τὸ πρότερον καὶ τὸ ὕστερον, ἐπεὶ αὐτὴ ἡ ἀπόφανσις καὶ πρὸ ἑαυτῆς ἦν καὶ μεθ᾽ ἑαυτήν, ἀλλὰ κατά τι συμβεβηκός, τὸ συμβαίνειν κατὰ προσθήκην τῆς οὗ τὴν ἀπόφασιν γίνεσθαι ἐκ τῆς καταφάσεως.

f. I 5v inf. (Arist. p. 17a17) Ζητοῦμεν δὲ αὐτὸ τοῦτο, διὰ τί φάσιν αὐτὴν καλεῖ καὶ οὐχὶ φάνσιν· λέγομεν οὖν ὅτι ἡ φάσις ἔχει τινὰ κοινωνίαν ἔν τε καταφάσει καὶ ἀποφάσει κατὰ τὴν κατάληξιν· καὶ ἔστιν αὕτη οὐκ εὔλογος αἰτία, ἀλλὰ μᾶλλον ὅτι καὶ οἱ παλαιοὶ ἐμνήσθησαν τοῦ ὀνόματος τῆς φάσεως, εἰ καὶ μὴ ἐπὶ τοῦ αὐτοῦ σημαινομένου· ὁ γὰρ Πλάτων φάσεις ἐκάλει τὰς τῶν εἰδῶν τῶν ἐνύλων ἐκφάνσεις διὰ τὸ γίνεσθαι αὐτὰ καὶ φθείρεσθαι (cf. Amm. p. 77,21).

f. I 8r med. (cf. Amm. p. 116,13 sq.) Τούτους οὖν εἰς συμφωνίαν ἤγαγεν Ἀμμώνιος ὁ μέγας φιλόσοφος, φάσκων ὅτι καὶ οἱ Πλατωνικοὶ καὶ οἱ Περιπατητικοὶ ἀληθεύουσιν· ἐὰν γὰρ τὴν οὗ ἄρνησιν τάξῃς τῷ ὑποκειμένῳ ἐν τῇ ἀπροσδιορίστῳ, ἰσοδυναμεῖ τῇ καθόλου ἀποφατικῇ προσδιωρισμένῃ· εἴρηται γὰρ ὅτι ἡ κατάφασις ἡ ἀπροσδιόριστος ἰσοδυναμεῖ τῇ μερικῇ καταφατικῇ τῇ ‘τὶς ἄνθρωπος περιπατεῖ’· ἐὰν οὖν τῷ τίς τάξῃς τὴν οὗ, ποιήσεις τὴν ‘οὔτις ἄνθρωπος περιπατεῖ’, ἥτις παρὰ τοῖς ποιηταῖς σημαίνει τὴν οὐδείς καὶ γίνεται ‘οὐδεὶς ἄνθρωπος

περιπατεῖ', ὡς ἔλεγον οἱ Πλατωνικοί. εἰ δὲ τῷ κατηγορουμένῳ τάξεις τὴν οὔ, ποιήσεις μερικὴν ἀποφατικήν, οἷον 'τὶς ἄνθρωπος οὐ περιπατεῖ'· εἴρηται γὰρ ὅτι ἡ 'τὶς ἄνθρωπος περιπατεῖ' ἰσοδυναμεῖ τῇ ἀπροσδιορίστῳ καταφάσει. τινὲς δέ φασιν ὅτι οὐ καλῶς διήτησεν ὁ Ἀμμώνιος· ἐὰν ⟨γὰρ⟩ τῷ ὑποκειμένῳ τάξωμεν τὴν οὔ ἄρνησιν, ὡς ἐπὶ τοῦ 'οὐκ ἄνθρωπος περιπατεῖ', οὐκέτι ἔσται ἀπόφασις καθόλου, ἀλλὰ κατάφασις ἐξ ἀορίστου ὑποκειμένου. ἡμεῖς οὖν δείξωμεν μὴ διαφωνοῦντας τούς τε Πλατωνικοὺς καὶ τοὺς Περιπατητικούς. φαμὲν οὖν ὅτι οἱ Πλατωνικοὶ τῇ φύσει τῶν πραγμάτων προσέχοντες ἔλεγον ἰσοδυναμεῖν τῇ καθόλου ἀποφάσει τὴν ἀπροσδιόριστον ἀπόφασιν, διότι τελείαν ἀνυπαρξίαν εἰσάγει, οἱ δὲ Ἀριστοτελικοὶ τῇ διαλεκτικῇ μεθόδῳ προσέχοντες ἔλεγον τὴν οὔ ἄρνησιν τῷ κυριωτέρῳ δεῖ προσθεῖναι, ὅπερ ἐστὶν ὁ κατηγορούμενος, κἀντεῦθεν ἐγίνετο μερικὴ ἀπόφασις, ἣ καὶ ἰσοδυναμεῖ.

f. K 3v supr. (cf. Amm. p. 161,10.28) Καὶ ταύτας μὲν τὰς ἐκ μεταθέσεως αὐτὸς ὁ Ἀριστοτέλης ἀορίστους ἐκάλεσεν, αἱ δὲ μαθηταὶ αὐτοῦ οἱ περὶ Θεόφραστον ἐκ μεταθέσεως ἢ διὰ τὸ μετατεθεῖσθαι τοὺς ὅρους τῆς προτάσεως ἢ διὰ τὸ τὴν οὔ δίφθογγον μὴ μεῖναι ἐν τοῖς ἰδίοις ὅροις ἢ διὰ τὸ τὴν πᾶσαν πρότασιν μετατεθεῖσθαι.

f. K 4r supr. (cf. Amm. 166,34) Τοῦτο οὖν ἐστιν ὃ λέγει ὁ Ἀριστοτέλης ὧν τὰ μὲν δύο, τὰ ἐκ μεταθέσεως, πρὸς τὴν κατάφασιν καὶ ἀπόφασιν τῶν ἁπλῶν ἕξει κατὰ τὸ στοιχοῦν, ἤγουν ἀναλόγως ὥσπερ καὶ αἱ στερητικαί· ἡ μὲν γὰρ ἐπὶ πλέον, ὡς ἐν τῷ πρώτῳ στίχῳ, ἡ δὲ ἐπ' ἔλαττον, ὡς ἐν τῷ δευτέρῳ, ὅπερ εἶχον καὶ αἱ στερήσεις· καὶ αὗται γὰρ τῷ μᾶλλον καὶ ἧττον διαφέρουσιν. ἐν δὲ τῷ λέγειν τὰ δὲ δύο οὔ ἔδειξεν ὅτι οὐ μὴν καὶ ἀντιστρέφει, διότι αἱ στερήσεις τῆς ἐκ μεταθέσεως πρὸς τὰς ἁπλᾶς ἔτι τὸ μᾶλλον καὶ ἧττον ὑπερέχουσι τῶν ἐκ μεταθέσεως, ὡς ἐν τῷ διαγράμματι δῆλον γεγένηται. καὶ εὐσύνοπτον τὸ ζητούμενον. λέξει δὲ περὶ αὐτῶν καὶ ἐν τῷ τέλει τῶν Προτέρων ἀναλυτικῶν. καὶ ταῦτα μὲν ἡμεῖς. ἕτεροι δὲ καταψευδόμενοι τοῦ Ἀριστοτέλους φασὶν ὅτι τῶν προτάσεων αἱ μέν εἰσι γνήσιαι, αἱ ἁπλαῖ, αἱ δὲ νόθοι, αἱ στερητικαὶ καὶ αἱ ἐκ μεταθέσεως. ὥσπερ οὖν ἰσοδυναμοῦσιν αἱ νόθοι ταῖς νόθοις, οὕτω καὶ αἱ νόθοι ταῖς γνησίαις. καὶ τοῦτό φασιν εἰρηκέναι τὸν φιλόσοφον, ὅπερ οὐκ ἔστιν ἀληθές, ὡς δείξει ἐν τοῖς Ἀναλυτικοῖς. ὁ δέ γε Ἀμμώνιός φησι στερητικὰς λέγεσθαι προτάσεις ἢ τὴν τοῦ εἴδους ἀπουσίαν σημαινομένην κτλ. (Amm. p. 163,14).

f. K 4v inf. (ad Arist. p. 20a23) Ἐνταῦθα διαλεκτικὴν ἡμᾶς ὁ Ἀριστοτέλης διδάσκειν προτίθεται . . . καὶ μήτοι νομίσῃς ὑπομνηματικὸν εἶναι τὸ βιβλίον, ὥς τινες ἐνόμισαν, ἔστι γὰρ συνταγματικόν.[1])

f. K 5v med. (cf. Amm. p. 202,3) Ἰστέον δὲ ὅτι τὴν διαλεκτικὴν ἐρώτησιν πρότασιν καλεῖ ὁ Ἀριστοτέλης καὶ ὁ Ἀλέξανδρος, ὁ μέντοι Ἰάμβλιχος ἀντίφασιν. δεῖ δὲ εἰδέναι ὅτι οὔτε ὁ Ἀριστοτέλης οὔτε ὁ Ἰάμβλιχος διαφωνοῦσι· καὶ γὰρ πρότασίς ἐστιν, ἵνα ἑκάστη ἐρώτησις σχοίη τὴν ἀπόκρισιν, καὶ δῆλον εἴη, οἷον 'ἆρά γε ἡ ψυχὴ ἀθάνατος;' λέγοντες [ὅτι ἀθάνατος] δῆλον ἐποιήσαμεν ὅτι οὐκ ἔστι θνητή· ἑνὸς γὰρ εἰρημένου ἀμφότερα σημαίνονται. ὥστε ἡ διαλεκτικὴ ἐρώτησις ἐνεργείᾳ ἐστὶ μία πρότασις, δυνάμει δὲ ἀντίφασις.

f. K 7r supr. (cf. Amm. p. 216,20) οὐ τρόπος τὸ ὑπάρχειν· ὡς γάρ φησιν ὁ Ἀμμώνιος ἐν τῷ ὑπομνήματι ὅτι εἰ ἦν τρόπος τὸ ὑπάρχειν, εὑρίσκετο ἂν τρόπος τρόπου δηλωτικός.

f. A 2r supr. (Arist. p. 23a24) Δείκνυσιν ἐντεῦθεν ὅτι εἰ καὶ τῷ χρόνῳ ὑστέρα ἡ ἐνέργεια, ἀλλ' οὖν τῇ φύσει προτέρα, ὡς ἐν τοῖς ἀιδίοις οὖσα. ἐπειδὴ δὲ ὁ Ἀμμώνιος ἐν τῷ ὑπομνήματι ταύτην ἐποιήσατο διαίρεσιν τοῦ δυνατοῦ, ἄξιον καὶ αὐτῆς ἐπιμνησθῆναι. φησὶ γὰρ ὅτι τὸ δυνατὸν ἢ κατ' ἐνέργειάν ἐστι κτλ. (Amm. p. 240,1).

f. A 2v inf. (cf. Amm. p. 252, 9) Τινὲς δὲ [ἐνόμισαν τοῦτο τὸ πέμπτον τμῆμα νόθον εἶναι. πόθεν; διότι, φασίν, ὁ Πορφύριος τεσσάρων μέμνηται ἐν τῷ ὑπομνήματι, τούτου δὲ οὐ μέμνηται.

[1]) videas Eliae testimonium, quod supra memoravi (p. V not.).

Michaelis Ephesii in librum De interpr. commentarii frustula in codicis Parisini 1917[1]) f. 17r—45v marginibus exhibentur ad Magentini interpretationes adiecta.[2]) scholia nomine μιχαὴλ τοῦ ἐφεσίου praeposito incipiunt ἡ μὲν πρόθεσίς ἐστιν εἰπεῖν περὶ ἀποφαντικοῦ λόγου, ὃς μερίζει τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν atque notis καὶ ἄλλως vel ἄλλως εἰς τὸ αὐτό interdum additis ipsa se ex variis fontibus fluxisse indicant. sub finem scholiastae vires, ut solent, relanguescunt, ut quinta libri pars interpretationibus propemodum careat. praeter Michaëlem Ephesium auctor non appellatur, sed iis, qui nobis innotuerunt, commentariis ascitis cognoscitur et Pseudo-Magentini et Anonymi Coisliniani libros scholiastae praesto fuisse. horum expositionibus detractis reliqua scholia ex Michaëlis Ephesii commentario derivata esse videntur. neque est cur de fide tituli dubitemus. nam quamvis futiles expositiones in his scholiis deprehendamus, tamen cognatione, quae inter Michaëlis commenta et Stephani Psellique interpretationes intercedit, tituli testimonium confirmari videtur. nunc ut et scholiastae[3]) ratio et Michaëlis commentarii indoles ante oculos ponatur, pauca specimina adiciam. Michaël Ephesius

cod. Paris. f. 17v Μιχαὴλ τοῦ Ἐφεσίου. Ἡ μὲν πρόθεσίς ἐστιν εἰπεῖν περὶ ἀποφαντικοῦ λόγου, ὃς μερίζει τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν. ἐπεὶ δὲ οὗτος διαιρεῖται εἰς κατάφασιν καὶ ἀπόφασιν, πᾶσα δὲ κατάφασις καὶ ἀπόφασις ἐξ ὀνόματος καὶ ῥήματος σύγκειται, δέον ἐστὶ πρῶτον ὁρίσασθαι τί ὄνομα καὶ τί ῥῆμα καὶ τί ἀπόφασις καὶ κατάφασις καὶ τί ἀπόφανσις, ὑφ᾽ ἣν ὡς μέρος ἐν ὅλῳ ἡ κατάφασίς ἐστι καὶ ἡ ἀπόφασις, καὶ πρὸς τούτοις τί λόγος. πρῶτον δὲ ῥητέον ὅτι ἐπειδὴ μὴ περὶ ἀσήμων φωνῶν διαλεγόμεθα ἀλλὰ περὶ σημαντικῶν, εἰδέναι χρὴ ⟨ὅτι⟩ τεττάρων ὄντων, γραμμάτων νοημάτων φωνῶν καὶ πραγμάτων, τὰ μὲν ὀνόματα καὶ τὰ ῥήματα, ἅπερ εἰσὶ σύμβολα καὶ σημαντικὰ τῶν τῆς ψυχῆς νοημάτων, ὁμοίως δὲ καὶ τὰ γράμματα ἄλλα παρ᾽ ἄλλοις εἰσίν· ἄλλοις γὰρ ὀνόμασι καὶ ῥήμασι καὶ γραμμάτων χαρακτῆρσι χρῶνται Ἰνδοὶ ἄλλοις Αἰγύπτιοι καὶ ἄλλοις Ἕλληνες διὰ τὸ μὴ εἶναι φύσει ἀλλὰ συνθήκῃ καὶ ἐπινοίᾳ ἡμετέρᾳ· τὰ δὲ νοήματα καὶ πράγματα ἐν ἅπασι τοῖς ἁπανταχοῦ τυγχάνουσιν ἀνθρώποις τὰ αὐτὰ ὑπάρχουσι. καὶ εἰκότως· ἐπεὶ γὰρ κατὰ φύσιν τῇ λογικῇ ψυχῇ τὸ νοεῖν πρόσεστιν, ἀναγκαίως παρὰ πᾶσι τὰ τῆς ψυχῆς

Πρὸ τῆς ἀκριβοῦς ἐκθέσεως τῶν προτάσεων, τῶν τε καταφατικῶν καὶ τῶν ἀποφατικῶν, τῶν τε καθόλου καὶ τῶν κατὰ μέρος, δέον ὁρίσασθαι τὰς ἁπλᾶς φωνάς, ἐξ ὧν αἱ τοιαῦται προτάσεις συντίθενται, ἤγουν πρώτως μὲν τὸ ὄνομα ὡς ἀτελέστερον τοῦ ῥήματος, καθὸ τὸ μὲν ὑπόκειται καὶ μεταλαμβάνει τὸ δὲ κατηγορεῖται καὶ μεταδίδωσιν, ἔπειτα ὁρίσασθαι καὶ αὐτὰς τὰς προτάσεις τὰς ἐκ τῶν τοιῶνδε συντεθειμένας φωνῶν, εἶτα καὶ τὸ γένος τούτων, φημὶ δὴ τὴν ἀπόφανσιν, καὶ τὸ ταύτης γένος, τὸν λόγον· ἐπεὶ δὲ οὐ περὶ ἀσημάντων φωνῶν διαλεγόμεθα νῦν, ἀλλὰ περὶ σημαντικῶν, ἰστέον ὅτι τεσσάρων τούτων ὄντων, πραγμάτων νοημάτων φωνῶν καὶ γραμμάτων· προσληπτέον γὰρ καὶ τὰ γράμματα διὰ τὸ συντελὲς ἡμῖν πρὸς ἀπόδειξιν τοῦ θέσει τὰς φωνὰς εἶναι· τὰ μὲν πράγματα καὶ τὰ νοήματα φύσει τυγχάνει, εἴ γε παρὰ πᾶσα τὰ αὐτά εἰσι κτλ. (Psell. f. M 1r)

---

[1]) de quo vide p. XXXIX.

[2]) accedunt figurae methodicae f. 47r—48v scriptae, quae ad haec scholia pertinent.

[3]) scholia in usum nostrum Richardus Boehme Berolinensis descripsit.

νοήματα τὰ αὐτά εἰσι· τὸν γὰρ ἥλιον οὐχ ὁ Ῥωμαῖος ἀστέρα νοεῖ, ὁ δὲ Σύρος ἢ ὁ Χαλδαῖος ἄρκτον, ἀλλὰ πάντες ἀστέρα ἡμέρας ποιητικόν· καὶ εἰσὶ τὰ νοήματα τῆς ψυχῆς παθήματα, οἱονεὶ καὶ ἐπὶ τὸ βέλτιον ἐπιδόσεις, τῶν δὲ πραγμάτων ὁμοιώματα· οὐ γὰρ ὁ ἀνδριὰς ἢ ἡ οἰκία ἐν τῇ ψυχῇ, ἀλλὰ τὸ τούτου ὁμοίωμα. ἀλλὰ περὶ μὲν τοῦ πῶς τὰ νοήματα παθήματα λέγεται τῆς ψυχῆς, οὐ χρὴ ταράττεσθαι· εἴρηται γὰρ ἐν τῷ Περὶ ψυχῆς.

ἀλλὰ περὶ τούτων, ἤτοι τῆς φανταστικῆς ψυχῆς καὶ τῶν κατ᾽ αὐτὴν νοημάτων, ἐν τῇ Περὶ ψυχῆς ἡμῖν εἴρηται πραγματείᾳ (Psell. ibidem).

f. 17v Δυσὶ προοιμίοις χρᾶται ὁ Ἀριστοτέλης. καὶ ἐν μὲν τῷ πρώτῳ ποιεῖται ἀπαρίθμησιν περὶ ὧν μέλλει διαλαβεῖν, ἤγουν περὶ ὀνόματος περὶ ῥήματος περὶ ἀποφάσεως καὶ καταφάσεως ἀποφάνσεως καὶ λόγου. ἐν δὲ τῷ δευτέρῳ ἀνὰ λόγον (l. ἀναλογίαν) τινὰ τῶν φωνῶν πρὸς τὰ νοήματα τῆς ψυχῆς διέξεισιν· ὥσπερ γὰρ τὸ ἐν τῇ ψυχῇ κεκρυμμένον νόημα καὶ ἐνθύμημα οὔτε ἀλήθειαν οὔτε ψεῦδος σημαίνει, οὕτως οὐδὲ ὁ λόγος.

Προοίμιον ἔχει ἡ παροῦσα πραγματεία διμερές. καὶ ἐν μὲν τῇ πρώτῳ μέρει ποιεῖται τὴν ἀπαρίθμησιν αὐτῶν τούτων, περὶ ὧν μέλλει διαλέγεσθαι ἐν τῷ πρώτῳ τμήματι, ἔτι δὲ καὶ θεώρημά τι παραδίδωσιν. ἐν δὲ τῷ δευτέρῳ μέρει ἀναλογίαν τινὰ τῶν φωνῶν πρὸς τὰ νοήματα διέξεισιν . . . ὥσπερ ἐστὶν ἐν τῇ ψυχῇ ἁπλοῦν νόημα, ἐν ᾧ οὐκ ἔστιν ἀληθεύειν ἢ ψεύδεσθαι, οἷον τὸ νοῆσαι Σωκράτη χωρὶς ἐνεργείας τινὸς ἢ πάθους, ἔστιν δὲ καὶ σύνθετον νόημα, ὅταν νοήσῃ ἐνεργοῦντα αὐτὸν ἢ πάσχοντά τι, ἐν ᾧ θεωρεῖταί πως ἢ τὸ ἀληθὲς ἢ τὸ ψεῦδος, οὕτως καὶ ἐν ταῖς φωναῖς ἐστιν ἁπλῆ φωνή, εἰς ἣν οὐκ ἔστι θεωρῆσαι τὸ ἀληθὲς ἢ τὸ ψεῦδος, ἐν δὲ τῇ συνθέτῳ πάντως θάτερον αὐτῶν (Steph. p. 1,7).

f. 18r Ἔστι μὲν οὖν τὰ ἐν τῇ φωνῇ, ἤγουν αἱ φωναί εἰσι, τῶν ἐν τῇ ψυχῇ παθημάτων σύμβολα, ἀντὶ τοῦ εἰσὶ τῶν τῆς ψυχῆς νοημάτων ἐξαγγελτικαί, καὶ τὰ γραφόμενα, ἤτοι τὰ γράμματα, τῶν ἐν τῇ φωνῇ, σύμβολα δηλονότι καὶ ἐξαγγελίαι. τὸ δὲ ὅλον οὕτως· αἱ φωναί εἰσι σύμβολα τῶν νοημάτων καὶ τῶν φωνῶν τὰ γράμματα κτλ.

Ἔστι μὲν οὖν τὰ ἐν τῇ φωνῇ, ἀντὶ τοῦ ἡ φωνή, τῶν ἐν τῇ ψυχῇ παθημάτων [τὰ] σύμβολα, ἀντὶ τοῦ τῶν τῆς ψυχῆς νοημάτων ἐξαγγελτικά . . . καὶ τὰ γραφόμενα, τουτέστι τὰ γράμματα, τῶν ἐν τῇ ψυχῇ, σύμβολα δηλονότι καὶ ἐξαγγελίαι. . . τὸ δὲ ὅλον οὕτως· αἱ φωναί εἰσι σύμβολα τῶν νοημάτων καὶ τῶν φωνῶν τὰ γράμματα κτλ. (An. Coisl.)

f. 18v Ὁ Ἀλέξανδρος ἐνίσταται λέγων ὅτι πῶς τὰ νοήματα παρὰ πᾶσι τὰ αὐτά; περὶ γὰρ τῶν αὐτῶν πραγμάτων διάφορά εἰσι νοήματα παρ᾽ ἡμῖν. καί φαμεν πρὸς τοῦτο ὅτι ἐκ πάντων τῶν διαφόρων νοημάτων τὸ ἀληθὲς μόνον ἐν αὐτοῖς καλοῦμεν κύριον νόημα.

Ἐπεὶ δὲ τὰ νοήματα παρὰ πᾶσι τὰ αὐτά φησιν, ἐνίσταται πρὸς τοῦτο ὁ Ἀλέξανδρος λέγων * ἐπειδὴ πολλάκις περὶ τῶν αὐτῶν πραγμάτων διάφορά εἰσι νοήματα παρ᾽ ἡμῖν. καί φαμεν πρὸς τοῦτο ὅτι ἐκ πάντων τῶν διαφόρων νοημάτων τὸ ἀληθὲς μόνον ἐν αὐτοῖς καλοῦμεν κυρίως νόημα (Pseudo-Mag.).

f. 25v Ἐν τῷ παρόντι δευτέρῳ τμήματι τοῦ Περὶ ἑρμηνείας διδάσκει ὁ Ἀριστοτέλης περὶ τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεων, καὶ εὐθὺς ζητοῦμεν πῶς αἱ ἀποφάσεις ἐκ τῶν καταφάσεων γίνονται· τίνι γὰρ τῶν ὅρων προστιθεμένη ἡ οὐ ἄρνησις ποιεῖ ἀπόφασιν. ὅτι δὲ οὐ μάτην τοῦτο ζητεῖται,

πρῶτόν ἐστι τόδε· πῶς αἱ ἀποφάσεις ἐκ τῶν καταφάσεων γίνονται· ζητοῦμεν γὰρ τίνι τῶν ὅρων προστιθεμένη ἡ οὐ ἄρνησις ἀπόφασιν ποιεῖ (An. Coisl.).

δῆλόν ἐστιν ἐκ τοῦ πάσῃ καταφάσει ἀπόφασιν εἶναι ἐναντίαν. καί φαμεν ὅτι ἐπεὶ ἡ πρότασις ἔχει [ἐναντίον] ὑποκείμενον καὶ κατηγορούμενον, ἔχει δὲ ὁ μὲν ὑποκείμενος ὕλης λόγον, εἴδους δὲ ὁ κατηγορούμενος, ὑποκείμενος δέ ἐστιν οἷον ὁ ἄνθρωπος, δεῖ ἐπιβουλεύοντας τῇ προτάσει τὸ τιμιώτερον ἀναιρεῖν. τιμιώτερον δὲ τὸ εἶδος, ἤτοι ὁ κατηγορούμενος, καθὸ πᾶν πρᾶγμα τῷ εἴδει κρίνεται καὶ οὐ τῇ ὕλῃ. ἀναιροῦμεν δὲ τὸ εἶδος προστιθέντες αὐτῷ τὴν οὐ ἄρνησιν καὶ οὕτως ἐκ τῶν καταφάσεων ποιοῦντες τὰς ἀποφάσεις. ζητοῦμεν δὲ καὶ πόσαι τὸν ἀριθμὸν αἱ ἐν τῷ παρόντι τμήματι ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεις. καὶ εὐθὺς δείκνυται τοῦτο ἐκ διαιρέσεως, ἣν διαίρεσιν εὑρήσεις ἐν τῷ τέλει τοῦ Περὶ ἑρμηνείας κειμένην.[1]) ζητοῦμεν δὲ καὶ περὶ τῶν προσδιορισμῶν, τί εἰσιν ἀντὶ τοῦ τίς ἡ οὐσία αὐτῶν καὶ πόσοι εἰσίν. καί φαμεν ὅτι προσδιορισμός ἐστι πρόσρημα συνταττόμενον ἀεὶ τῷ ὑποκειμένῳ καὶ δηλοῦν ὅπως ἔχει ὁ κατηγορούμενος πρὸς τὸν ὑποκείμενον μετὰ τοῦ πλήθους τοῦ ἐν τῷ ὑποκειμένῳ κατὰ τὸ ὑπάρχειν. καὶ πρόσρημά φαμεν, διότι οὔτε ὄνομά ἐστιν οὔτε ῥῆμα, ἀλλ' οἷον πρόσρησις, τὸ δὲ ὅπως ἔχει ὁ κατηγορούμενος πρὸς τὸ πλῆθος τὸ ἐν τῷ ὑποκειμένῳ κατὰ τὸ ὑπάρχειν, ἵνα μάθωμεν πότερον κατὰ παντὸς καὶ καθόλου τοῦ ὑποκειμένου κατηγορεῖται ὁ κατηγορούμενος κτλ.

Ὅτι δὲ οὐδὲ τοῦτο μάτην ζητεῖται, δῆλον ἐκ τοῦ πάσῃ καταφάσει ἀπόφασιν εἶναι ἐναντίαν (Pseudo-Mag.).

Ἑκάστη οὖν πρότασις ἔχει καὶ ὑποκείμενον καὶ κατηγορούμενον . . . ἔχει οὖν ἐν τῷ τμήματι ὁ μὲν ὑποκείμενος ὕλης λόγον, ὑποκείμενος δὲ οἷον ἄνθρωπος, εἴδους (εἴδος cod.) δὲ ὁ κατηγορούμενος. δεῖ οὖν ἐπιβουλεύοντας (ἐπιβλέποντας cod.) τῇ προτάσει τὸ τιμιώτερον ἀναιρεῖν. τιμιώτερον δὲ τὸ εἶδος, ἤτοι ὁ κατηγορούμενος, καθὸ πᾶν πρᾶγμα τῷ εἴδει κρίνεται καὶ οὐ τῇ ὕλῃ. ἀναιροῦμεν δὲ τὸ εἶδος προστιθέντες αὐτῷ τὴν οὐ ἄρνησιν, καὶ οὕτως ἐκ τῶν καταφάσεων ποιοῦμεν τὰς ἀποφάσεις. β'. πόσαι τὸν ἀριθμὸν αἱ τοῦ εἴδους τούτου προτάσεις, ἃς φαμεν ἐκ διαιρέσεως εὑρίσκεσθαι τῆσδε· πᾶς ὑποκείμενος κτλ. (An. Coisl.)

καὶ περὶ μὲν τοῦ πρώτου φαμὲν ὅτι ἐστὶ προσδιορισμὸς πρόσρημα συνταττόμενον ἀεὶ τῷ ὑποκειμένῳ καὶ δηλοῦν ὅπως ἔχει ὁ κατηγορούμενος πρὸς τὸν ὑποκείμενον μετὰ τοῦ πλήθους τοῦ ἐν τῷ ὑποκειμένῳ κατὰ τὸ ὑπάρχειν. πρόσρημα, διότι οὔτε ὄνομά ἐστιν οὔτε ῥῆμα, ἀλλ' οἷον πρόσρησις, τὸ δὲ ὅπως ἔχει ὁ κατηγορούμενος πρὸς τὸ πλῆθος τὸ ἐν τῷ ὑποκειμένῳ κατὰ τὸ ὑπάρχειν, ἵνα μάθωμεν πότερον κατὰ παντὸς καὶ καθόλου τοῦ ὑποκειμένου κατηγορεῖται ὁ κατηγορούμενος κτλ. (Pseudo-Mag.).

Ioannes Italus

Ioannis Itali epitome libri Aristotelici codice Parisino 1843 [Cat. II 409 H. Omont II 151] bomb. saec. XIII scripto f. 62r—65r continetur. in supremo margine titulus Ἰωάννου φιλοσόφου τοῦ Ἰταλοῦ εἰς τὸ περὶ ἑρμηνείας posteriore manu additus est. alter titulus τοῦ κυροῦ ἰω καὶ πρώτου τῶν φιλοσόφων τοῦ Ἰταλοῦ εἰς τὸ περὶ ἑρμηνείας ἀριστοτέλους ἔκδοσις. ἔκδοσις[2]) ἐπίτομος ante verba Τὰ εἴδη τοῦ λόγου (Brand. p. 95a9) priore manu est insertus. unde apparet praeter hanc epitomen Ioannem amplius commentarium in Aristotelis librum adiecisse[3]), id quod ipsius verbis (f. 64r) περὶ δὲ τῆς μάχης τῆς τε ἀποφάσεως πρὸς τὴν κατάφασιν καὶ τῆς τοῦ ἐναντίου πρὸς τὴν ἐξ ἀρχῆς κατάφασιν καταφάσεως ἐν ἄλλοις εἰρήσεται confirmatur. ex iis, quae in Brandisii scholiis p. 94b30—95b5 afferuntur,

[1]) haec figura f. 47r delineata invenitur.

[2]) alterum ἔκδοσις omisit Brand. p. 94b not.

[3]) sed cave ne Brandisii nota, quae legitur *Über die griechischen Ausleger* p. 289, perductus opineris hanc epitomen esse commentarii praefationem.

apparebat epitomen prorsus nullius esse pretii. tamen codicem inspicere coactus sum, quia id scholion, quod in Brandisii p. 99[b] nota ut ab Ioanne philosopho profectum apponitur, incipiens τὴν μὲν ἀπόφανσιν ὡς γένος ἔλαβε, ad verbum concinere videbam cum Anonymo Coisliniano (cod. Laur. 72,1 f. 130[r]). gavisus me anonymo illi iam nomen indere posse, codicem Parisinum 1843 evolvi, sed frustra hunc locum quaerebam. scilicet in Brandisii nota Ioannes philosophus per errorem locum Anonymi Coisliniani occupasse iudicandus est.[1]) Itali epitome desinit iam f. 65[r] in verbis οὐκοῦν δέδεικται ὡς αἱ καθόλου ὡς καθόλου ἀντιφατικῶς ἀντίκεινται, πρὸς τούτοις καὶ τὰ καθ' ἕκαστα. — ἡ ἐν ταῖς ἀποδείξεσι λαμβανομένη πίστις τριττή· ἢ γὰρ ἐκ τῶν καθόλου τὰ μερικὰ πιστοῦνται, ἢ ἐκ τῶν μερικῶν τὰ καθόλου, ἢ ἐκ τοῦ ἴσου τὸ ἴσον. sequitur expositio ad Analytica pertinens, quae titulo praemisso τοῦ αὐτοῦ περὶ τῶν γ' σχημάτων incipit εἴρηται πολλάκις ἡμῖν ὡς ὅτι τῆς λογικῆς πραγματείας τέλος ἐστὶν ἡ ἀπόδειξις. sed iam f. 66[v] scholiastes redit ad librum Περὶ ἑρμηνείας ac primum exponit Περὶ εἰκόνων incipiens εἰκών ἐστιν ὁμοίωμα χαρακτηριστικὸν πρωτοτύπου κατά τι διαφέρον αὐτοῦ. tum de determinationibus inc. ἰστέον ὅτι τέσσαρές εἰσὶ προσδιορισμοί et de titulo libri Περὶ ἑρμηνείας. haec scholia iam non ab Italo profecta sunt, sed ex Ammonii libro hausta, id quod ex specimine infra subiecto facile intellegetur. f. 67[r]—89[v] Pselli paraphrasis legitur titulo anteposito τοῦ ψελλοῦ παράφρασις εἰς τὸ περὶ ἑρμηνείας ἤτοι λόγου ἀποφαντικοῦ διαιροῦντος τὸ ψεῦδος καὶ τὸ ἀληθές. f. 89[v]—90[v] scholia[2]) ad Analytica continentur, quae post titulum περὶ τοῦ ἐκ ψεύδους συλλογίζεσθαι incipiunt ἐν τῷ παρόντι βιβλίῳ ἀποδείκνυσιν ὅτι ἀληθῶν οὐσῶν τῶν προτάσεων οὐχ οἷόν τε ψευδὲς εἶναι τὸ συμπέρασμα. Pselli paraphrasis denique initio scholiis est ornata, quibus ea quae paraphrasin antecedunt propagantur. in uno, quod infra subiciam, Ammonium aperte laudatum invenies.

Ex scholiis Ammonii memoriam propagantibus haec eligam.

f. 67[r] Ὁ Ἀριστοτέλης τὴν παροῦσαν πραγματείαν Περὶ ἑρμηνείας ἐπιγράφει, οὐ τὴν λογικὴν (l. λογογραφικὴν) ἰδέαν σημαίνων ἀλλὰ τὸν ἀποφαντικὸν λόγον ὡς ἑρμηνεύοντα τὴν γνῶσιν τῆς ψυχῆς, ὃς καὶ ἀπὸ τῶν γνωστικῶν τῆς ψυχῆς δυνάμεων προελήλυθεν. εἰσὶ δὲ αὗται νοῦς διάνοια δόξα (φαντασία in mrg.) καὶ αἴσθησις. τὰ γὰρ λοιπὰ εἴδη τοῦ λόγου ἐκ τῶν ὀρεκτικῶν αὐτῆς δυνάμεων προεληλύθασιν, ἃς καὶ ζωτικὰς καλοῦμεν· εἰσὶ δὲ αὗται βούλησις προαίρεσις θυμὸς καὶ ἐπιθυμία, οὐκ αὐτῆς τῆς ψυχῆς καθ' ἑαυτὴν ἐνεργούσης ἀλλὰ πρὸς ⟨ἕτερον⟩ ἀποτεινομένης καὶ ἢ λόγου τυχεῖν παρ' αὐτοῦ ζητούσης ὡς ἐπὶ τοῦ ἐρωτηματικοῦ ἢ πράγματος ἐφιεμένης, καὶ τούτου διχῶς, ἢ αὐτοῦ ἐκείνου πρὸς ὃν ὁ λόγος, ὡς ἐπὶ τοῦ κλητικοῦ, ἤ τινος παρ' αὐτοῦ πράξεως, καὶ ταύτης ἢ ὡς παρὰ κρείττονος, ὡς ἐπὶ τοῦ εὐκτικοῦ, ἢ ὡς παρὰ χείρονος, ὡς ἐπὶ τοῦ προστακτικοῦ. Περὶ ἑρμηνείας οὖν ταύτην τὴν πραγματείαν ἐπέγραψε, ταὐτὸν ποιήσας ὥσπερ εἰ περὶ τοῦ ἀποφαντικοῦ λόγου ἐπέγραψε. διαιρεῖται δὲ τὸ παρὸν σύγγραμμα εἰς πέντε τμήματα. περὶ τίνων δὲ τούτων ἕκαστον διαλαμβάνει σαφές. (cf. Amm. p. 4,29 sq.).

[1]) illud scholion, quod a Brandisio p. 121[a] adnotatum est, Ioannis nomen iure fert; etenim in codicis Parisini f. 63[v] legitur.

[2]) haec in Catalogis neglecta esse video.

f. 68r προτάττει τὸ ὄνομα τοῦ ῥήματος, διότι τὸ μὲν ὄνομα ὕπαρξιν σημαίνει, τὸ δὲ ῥῆμα ἐνέργειαν ἢ πάθος· πρῶται δὲ τῶν ἐνεργειῶν καὶ τῶν παθῶν αἱ ὑπάρξεις (cf. Amm. p. 30,1).

ὁ συλλογισμὸς οὗτος τῶν λεγόντων ὅτι φύσει τὰ ὀνόματα καὶ τὰ ῥήματα. λέγει οὖν ὁ Ἀμμώνιος (ἀμώνιος cod.) ὅτι κἂν φύσει ταῦτα εἴπωμεν, οὐχ ἁπλῶς εἴπομεν, ἀλλὰ κατὰ τὴν ὕλην, ὡς καὶ τὴν θύραν φύσει κατὰ τὴν ὕλην (Amm. p. 22,22 sq.).

f. 69r ἰστέον ὅτι τὸ ῥῆμα τριχῶς λέγεται· πρῶτον μὲν πᾶσα φωνὴ προσσημαίνουσα χρόνον, ἧς μέρος οὐδὲν σημαίνει χωρίς, ἀεὶ καθ᾽ ἑτέρου λεγομένη, δεύτερον δὲ πᾶσα φωνὴ προσσημαίνουσα τὸν ἐνεστῶτα χρόνον καὶ ὡρισμένον τι δηλοῦσα, ὃ σημαινόμενον νῦν ἡμῖν παραδίδωσιν, τρίτον πᾶσα φωνὴ κατηγορούμενον ὅρον ἐν προτάσει ποιοῦσα, καθ᾽ ὃ σημαινόμενον καὶ τὸ καλὸς καὶ τὸ δίκαιος καὶ τὸ λευκὸς καὶ τὸ ζῷον ῥήματα λέγονται, ὡς αὐτὸς ᾐνίξατο κατ᾽ ἀρχὰς λέγων. τὰ μὲν οὖν ὀνόματα κτλ. (cf. Amm. p. 52,32 sq.).

Neophytus

Neophyti sunt ea scholia, quae Waitz Org. I p. 38 sq. ex codice Laurentiano 71,32 affert. nam in codice Laur. 71,32 f. 61 [Bandini III p. 18] post titulum Ἀρχὴ σὺν θεῷ τοῦ Περὶ ἑρμηνείας καὶ τῶν τριῶν σχημάτων scholia incipiunt Τὰ κατὰ μηδεμίαν συμπλοκὴν λεγόμενα οὔτε ἀλήθειαν σημαίνουσιν οὔτε ψεῦδος. eadem leguntur in codice Vind. phil. gr. 277 [vide Porph. Isag. praefationem p. L], ubi Neophyti omnis Isagoges et Organi epitome servata est atque f. 12r inf. sub titulo Ἐπιτομὴ Νεοφύτου εἰς τὰς πέντε φωνὰς τοῦ Πορφυρίου incipit Τίς μέντοι ὁ τῆς παρούσης πραγματείας σκοτός, f. 16r sub titulo Ἀρχὴ τοῦ περὶ ἑρμηνείας καὶ τῶν τριῶν σχημάτων incipit Τὰ κατὰ μηδεμίαν συμπλοπὴν λεγόμενα, f. 22v Ἐπειδὴ οὖν περὶ προτάσεων εἰρήκαμεν, πρόκειται δὴ εἰπεῖν καὶ περὶ συλλογισμῶν, reliquaeque Organi partes sequuntur. eadem denique epitome sine titulo codice Vat. 1018 saeculo XV vel XVI scripto [Brand. p. 52] inde a f. 69r continetur, id quod I. Graeven mecum communicavit. quodsi codicis Laur. 71,32 scholia a Neophyto profecta esse recte statuimus, Neophytus putandus est totus a Psello pendere, quod ut perspicias haec exempla afferam.

Neophytus Waitz. Org. I p. 41.	Psellus ed. Ald. f. N 1v supr.
ἔοικε μὲν αἰνίγματι, γνωρίζεται δὲ οὕτως· κείσθωσαν γὰρ ὡς ἐν διαγράμματι αἱ προτάσεις στοιχηδὸν καὶ γενέσθωσαν ὡς δύο σειραί, καὶ ἐν τῇ μιᾷ γεγράφθω ἡ ἁπλῆ κατάφασις ἡ ‘ἄνθρωπος δίκαιός ἐστιν’, ἐν δὲ τῇ δευτέρᾳ ἡ ἁπλῆ ἀπόφασις ἡ ‘ἄνθρωπος δίκαιος οὐκ ἔστιν’. ζητηθήτω οὖν πρῶτον ποία τῶν ἐκ μεταθέσεως προτάσεων ἀκολουθήσει τῇ ἁπλῇ καταφάσει ἤγουν συναληθεύσει, καὶ ἐκείνη γραφέσθω ὑπὸ ταύτην. ἡ μὲν οὖν ἐκ μεταθέσεως κατάφασις οὐ συναληθεύσει· πῶς γὰρ ἡ ‘ἄνθρωπος οὐ δίκαιός ἐστι’ συναληθεύσει τῇ ‘ἄνθρωπος δίκαιός ἐστι’; λείπεται οὖν ὅτι ἡ ἀπόφασις συναληθεύει ἡ ‘ἄνθρωπος οὐ δίκαιος οὐκ ἔστιν’. ὃς γὰρ ἄνθρωπος δίκαιός ἐστιν, ⟨οὗτος οὐ δίκαιος μὲν οὐκ ἔστιν ἀλλὰ	ὃ δὴ αἰνίγματι μέν ἐστιν ὅμοιον . . . καὶ εἴ τις αὐτὸ βουληθείη καταλαβεῖν ἀκριβέστερον, διὰ τοιᾶσθε θήρας μετερχέσθω τὸ νόημα· ὥσπερ γὰρ ἐν διαγράμματι προκείσθωσαν αἱ προτάσεις στοιχηδὸν ἐκ διαστήματος καὶ γινέσθωσαν ὥσπερ δύο σειραί, καὶ ἐν μὲν τῇ μιᾷ σειρᾷ γεγράφθω ἡ ἁπλῆ κατάφασις ἡ ‘ἄνθρωπος δίκαιός ἐστιν’, ἐν δὲ τῇ ἑτέρᾳ ἡ ἁπλῆ ἀπόφασις ἡ ‘ἄνθρωπος δίκαιος οὐκ ἔστι’. ζητείσθω οὖν πρῶτον ποία τῶν ἐκ μεταθέσεως προτάσεων ἔποιτ᾽ ἂν ἤτοι συναληθεύσειε τῇ ἁπλῇ καταφάσει καὶ ἡ συναληθεύουσα γεγράφθω ὑπὸ ταύτην. ἡ μὲν οὖν ἐκ μεταθέσεως κατάφασις οὐ συναληθεύσει· πῶς γὰρ τῇ ‘ἄνθρωπος δίκαιός ἐστι’ συμφωνήσει ἡ ‘ἄνθρωπος οὐ δίκαιός ἐστι’; συναληθεύσει οὖν

δίκαιός ἐστιν⟩[1]). κείσθω οὖν αὕτη ἐν τῷ διαγράμματι, καὶ ὑπὸ μὲν τὴν ἁπλῆν ἀπόφασιν κείσθω ἡ ἐκ μεταθέσεως κατάφασις, ὑπὸ δὲ τὴν ἁπλῆν κατάφασιν, ὡς εἴπομεν, ἡ ἐκ μεταθέσεως ἀπόφασις. λέγουσιν οὖν ὅτι διὰ τοῦτο καὶ ἐκ μεταθέσεως ὠνομάσθησαν αἱ τοιαῦται προτάσεις, ὅτι μετετέθησαν.

ἡ ἐκ μεταθέσεως ἀπόφασις ἡ ʿἄνθρωπος οὐ δίκαιος οὐκ ἔστιν᾽· ὃς γὰρ ἂν ᾖ ἄνθρωπος δίκαιος, οὗτος οὐ δίκαιος μὲν οὐκ ἔστιν ἀλλὰ δίκαιος. κείσθω οὖν ἐν τῷ διαγράμματι ὑπὸ μὲν τὴν ἁπλῆν κατάφασιν ἡ ἐκ μεταθέσεως ἀπόφασις, ὑπὸ δὲ τὴν ἐκ διαστήματος ἁπλῆν ἀπόφασιν ἡ ἐκ μεταθέσεως κατάφασις, ἤτοι ὑπὸ τὴν ʿἄνθρωπος δίκαιος οὐκ ἔστιν᾽ ἡ ʿἄνθρωπος οὐ δίκαιός ἐστιν᾽. διʾ αὐτὸ γοῦν τοῦτο καὶ αἱ τοιαῦται προτασεις ἐκ μεταθέσεως ὠνομάσθησαν, ὅτι ἐν ταῖς ἀλλοτρίαις τάξεσιν ὑπετέθησαν.

Waitz. Org. p. 42.

ὃν τοίνυν λόγον ἔχει ἡ στερητικὴ ἀπόφασις πρὸς τὴν ἁπλῆν κατάφασιν, ⟨τὸν αὐτὸν λόγον ἔχει καὶ ἡ ἐκ μεταθέσεως ἀπόφασις πρὸς τὴν ἁπλῆν κατάφασιν κατὰ τὸ ἐπὶ πλέον⟩[2]), ὥσπερ ὃν λόγον ἔχει τὰ τρία πρὸς τὸ ἕν, οὕτω καὶ τὰ δύο πρὸς τὸ ἓν κατὰ τὸ ἐπὶ πλέον. . . . καὶ ἔστι τὸ λεγόμενον τοιοῦτον, ὅτι ὃν μὲν λόγον ἔχουσιν αἱ στερητικαὶ πρὸς τὰς ἁπλᾶς, τὸν αὐτὸν λόγον ἔχουσι καὶ αἱ ἐκ μεταθέσεως πρὸς τὰς ἁπλᾶς.

ed. Ald. f. N 1ᵛ inf.

ὃν τοίνυν ἔχει λόγον ἡ στερητικὴ ἀπόφασις πρὸς τὴν ἁπλῆν κατάφασιν, τὸν αὐτὸν λόγον ἔχει καὶ ἡ ἐκ μεταθέσεως ἀπόφασις πρὸς τὴν ἁπλῆν κατάφασιν κατὰ τὸ ἐπὶ πλέον· ὥσπερ γὰρ ὃν λόγον ἔχει τὰ τρία πρὸς τὸ ἕν, οὕτω καὶ τὰ δύο πρὸς τὸ ἕν κατὰ τὸ ἐπὶ πλέον. . . . καὶ ἔστι τὸ λεγόμενον τοιοῦτον· ὅτι ὃν μὲν λόγον ἔχουσιν αἱ στερητικαὶ πρὸς τὰς ἁπλᾶς, τὸν αὐτὸν ἔχουσι καὶ αἱ ἐκ μεταθέσεως πρὸς τὰς ἁπλᾶς.

Waitz. Org. I p. 42.

διαφέρουσι δὲ (οἱ τρόποι) τῶν προειρημένων ὑλῶν, ὅτι ἐκεῖ αἱ ὕλαι αὐτομάτως συνανεφαίνοντο ταῖς προτάσεσι καὶ μὴ ἐξηγγέλλοντο, ἐνταῦθα δὲ τίθενται καὶ τοῖς ῥήμασιν αὐτοῖς.

ed. Ald. f. N 6ᵛ med.

διοίσουσι τοιγαροῦν τῷ τὰς μὲν ὕλας μὴ ἐκφωνεῖσθαι ἀλλʾ αὐτόθι ταῖς προτάσεσιν ὑποφαίνεσθαι, τοὺς δὲ τρόπους ἐν αὐταῖς ἐνεργείᾳ κεῖσθαι ταῖς προτάσεσι. (f. M 5ʳ med. τὰς δὲ σχέσεις ταύτας ὕλας καλεῖσθαι ἠξίωσαν οἱ φιλόσοφοι ἀπὸ τοῦ ὑποκεῖσθαι ταῖς προτάσεσι καὶ αὐτομάτως ἐκείναις συναναφαίνεσθαι).

Gregorius Humilis

Gregorii Humilis[3]) compendium libri De interpr. incipit in codicis Laur. 87,13 f. 78ᵛ[4]) a verbis Ἰτέον λοιπὸν κἀν τῷ περὶ ἑρμηνείας ὥσπερ ἀπὸ στοιχείων τῶν Κατηγοριῶν προοδεύοντας· στοιχείων μὲν γὰρ λόγον ἔχει τὰ ὀνόματα καὶ τὰ ῥήματα ἄνευ συμπλοκῆς θεωρούμενα. ac primum agitur de con-

[1]) haec ex Psello addidi.

[2]) haec ex Psello supplevi.

[3]) vide praefationem Porph. Isag. p. XLVII.

[4]) post f. 79 hic codex defectum passus est, quo extremae expositiones ad librum De interpr. et primae ad Analytica pertinentes interierunt atque ex codicibus Pal. 281 et Mut. III C II supplenda sunt. ante Gregorii compendium codice Laur. 71,13 f. 73ʳ—78ᵛ scholia ad librum De interpr. servata sunt, quae incipiunt Ἔστι μὲν οὖν τὰ ἐν τῇ φωνῇ τῶν ἐν τῇ ψυχῇ παθημάτων σύμβολα καὶ τὰ γραφόμενα τῶν ἐν τῇ φωνῇ. haec Ammonii doctrinam prae se ferunt, velut quae leguntur f. 74ᵛ de Arist. p. 19ᵇ23 σφιγγὸς κελαινῆς γῆρυν ἐκμιμεῖσθαι τὸν Ἀριστοτέλην ἐνταῦθά φασιν οἱ ἐξηγηταί· ἔστι δὲ τὸ νοούμενον οὕτως. (cf. Amm. p. 166,26).

tradictionibus ac de modis enuntiati (ἀναγκαῖον, ἐνδεχόμενον, ἀδύνατον), tum de nomine, verbo, infinito nomine verboque, denique de oppositione simplici, privatoria, infinita (ἐκ μεταθέσεως) atque de omnium propositionum numero. hae expositiones tam exiles sunt, ut de fonte quicquam statui non possit.

Ioannes Damascenus

In Ioannis Damasceni Dialecticis libri De interpr. expositio a p. 65 (ed. Lequien Parisiis 1712) incipit Περὶ ἀποφάνσεως, ἀποφάσεως τε καὶ καταφάσεως. χρὴ γινώσκειν ὅτι ἡ κατάφασις καὶ ἡ ἀπόφασις ἀπόφανσις λέγεται, sequitur p. 65 Περὶ ὅρου καὶ προτάσεως καὶ συλλογισμοῦ. χρὴ γινώσκειν ὅτι σκοπὸν ἔχει ἡ λογικὴ πραγματεία περὶ τῆς ἀποδείξεως διαλαβεῖν, extremum caput p. 66 Ποικίλοι ὅροι. πρότασίς ἐστι λόγος ἀποφαντικός. haec unde Damascenus hauserit, docemur definitione θέσεως. quae est θέσις δέ ἐστι παράδοξος ὑπόληψίς τινος τῶν ἐν σοφίᾳ γνωρίμων, ἤγουν ξένη ἔννοια, ὡς ὁ Παρμενίδου λόγος ὅτι ἓν ἔλεγε τὸ ὄν, ἢ ὡς ὁ Ἡρακλείτου ὅτι πάντα κινεῖται (cf. Amm. p. 9,10).

Drosus

Drosi qui dicitur scholia inveniuntur in codice Parisino Suppl. gr. 599 saeculo XIV scripto [L. Delisle p. 281] f. 7r titulo praemisso Σχόλια καὶ ἀποσημειώσεις εἰς τὸ Περὶ ἑρμηνείας ἀπὸ φωνῆς Δρόσου ἐμοῦ διδασκάλου, unde apparet has esse Drosi scholas a discipulo in adversaria relatas. quodsi ex duobus scholiis, quae H. Diels nobis suppeditavit, prius cum Ammonio ad verbum congruit, id testimonio est Drosum artissime se ad clarissimum libri Aristotelici interpretem se applicasse.

Παραδοὺς ὁ Ἀριστοτέλης ἐν τῷ βιβλίῳ τῶν Κατηγοριῶν τὴν περὶ τῶν ἁπλῶν φωνῶν πραγματείαν, ἐν τούτῳ προτίθεται παραδοῦναι λόγους τοὺς ἐκ τῆς συμπλοκῆς τῶν ἁπλῶν φωνῶν ἀποτελουμένους, οἳ καλοῦνται καὶ προτάσεις διὰ τὸ προτείνεσθαι περὶ (an παρὰ?) τῶν συλλογίσασθαι βουλουμένων. ἀλλὰ τοῦ λόγου πέντε ὄντων εἰδῶν, τοῦ κλητικοῦ, ὡς τὸ "ὦ μάκαρ Ἀτρείδη", καὶ προστακτικοῦ, ὡς τὸ "βάσκ' ἴθι, οὖλε Ὄνειρε", καὶ τοῦ ἐρωτηματικοῦ "τίς πόθεν εἶς ἀνδρῶν", καὶ τοῦ εὐκτικοῦ κτλ. (cf. Amm. p. 2,5).

Ἡ τοῦ προοιμίου πρότασις κατ' ἔλλειψιν ἐξενήνεκται. ἔστι δὲ οὕτως εἰπεῖν· ἐπειδὴ ἐν ταῖς Κατηγορίαις περὶ ὅρων εἶπεν καὶ σκοπὸν ἔχει ἀπόδειξιν ἀπεργάσασθαι, ἡ δὲ ἀπόδειξις ἐκ προτάσεων, αἱ δὲ προτάσεις ἐξ ὀνομάτων καὶ ῥημάτων, πρέπον ἡγεῖται ἢ χρήσιμον διὰ τὸ πρῶτον τῇ τάξει ἢ ἀναγκαῖον διὰ τὸ πρῶτον τῇ φύσει διορίσασθαι κτλ.

Ioannes Pediasimus

Ioannis Pediasimi in librum De interpretatione scholia continentur codice Cois!. 323 f. 42v [H. Omont III 182], quae anteposito titulo Σχόλια τοῦ ὑπάτου τῶν φιλοσόφων κυροῦ Ἰωάννου τοῦ Πεδιασίμου incipiunt Οὔ μοι δοκεῖ οἰκείως ἔχειν πρὸς τὸν Ἀριστοτελικὸν νοῦν τὸ ἐνταῦθα παρὰ τοῦ Ἀμμωνίου ῥηθέν· τί γὰρ διαφέρει εἰπεῖν κτλ. haec si initio non sunt mutila, certe lemma explicandum desideratur.

Georgius Scholarius

Georgii Scholarii libri De interpr. commentarius continetur codice Vaticano 2223 [Column. 62] saeculo XV vel XVI scripto f. 147r—212v post titulum γεωργίου τοῦ σχολαρίου εἰς τὸ περὶ ἑρμηνείας ἐξήγησις incipiens Πρῶτον δεῖ. Ἡ μὲν ὑλικὴ αἰτία τούτου τοῦ βιβλίου ἐστὶν αἱ προτάσεις, αἵτινές

εἰσιν ὑποκείμενον ἐν αὐτῷ. καὶ ἐπειδὴ ἐν ἁπάσῃ ἐπιστήμῃ τρία διορίζονται, τὸ ὑποκείμενον, τὰ μέρη τοῦ ὑποκειμένου καὶ αἱ ἰδιότητες αἱ ἑπόμεναι τῷ τε ὑποκειμένῳ καὶ τοῖς αὐτοῦ μέρεσι, καὶ ἐν τούτῳ τῷ βιβλίῳ ἡ ὑλικὴ αἰτία τριπλῆ ἐστιν. explicit καὶ ἡμῖν αἱ πρὸς τὴν πραγματείαν τῶν προτάσεων τὴν περὶ ἑρμηνείας λεγομένην διηγήσεις, εἰ μὴ ἱκανῶς ἀλλὰ καὶ ἀκριβῶς ὁμοῦ καὶ ἱκανῶς τοῖς εἰσαγομένοις καὶ τῇ ἡμετέρᾳ δυνάμει συμμέτρως, ἐπεράνθησαν, ὥσπερ καὶ αἱ εἰς τὰς δέκα κατηγορίας, καὶ ἔτι πρὸ τούτων εἰς τὰς πορφυρίου φωνάς, χάριν θεῷ πάντων ἕνεκα τῶν ἄλλων καὶ τούτου νῦν ἀναφέρουσιν. haec I. Graeven nobis suppeditavit. quem auctorem Georgius in interpretando potissimum secutus sit, inde definiri non potest. subscriptio renovat Pselli memoriam (cf. p. XXXV).

ADDENDA PRAEFATIONIS SUPPLEMENTO I

Casu quodam factum est, ut absoluto demum opere codicum quorundam specimina a Torstrikio comparata mihi obvenirent, quae, ne quid desit, hic subiciam.

Coislinianus 157 (C) ex Parisino 1972 (P^a) [vide Porph. Isag. p. XIX] descriptus est. hic f. 118^v—209^v Ammonii librum Magentini expositionibus interruptum habet. auctoritate est nulla. CP^a

p. 9,4 post ὑπάρξ. add. καὶ || 6 ante κατὰ add. καὶ || 9 δὲ] σὲ || 11 τὸ] τὰ || 13 παρμενίδης λέγειν || ὡς δὴ] διὸ || 14 τὰ om. C || 15 τὰ om. || 19 καὶ—Ἀποδεικτικῶν (24) om.

p. 11,1 δὲ om. || ἄν τις coll. | 2 τε om. || 4 δύναται ante δίχα (3) coll. ||

Oxon. Collegii Novi 234 [Catal. p. 85] chartaceus saeculo XVI exaratus hunc librum sub titulo Ἀμμωνίου Ἑρμείου ὑπόμνημα εἰς τὸ περὶ ἑρμηνείας exhibet. pretii est nullius. E

p. 1,6 τι om. || 12 γιγνέσθω || 13 ἐξήγησις || 20 ἀποδείξει || 22 πρὸς—εἰρημένων (23) om. ||

p. 9,4 alt. τοῦ om. || 5 καὶ om. || 6 σημαινόμενον || 12 μετ. τὰ ὄντα coll. || 13 παρμενίδης λέγειν || 15 πιστευτέον || 19 καὶ—Ἀποδεικτικῶν (24) om. || 26 διορίσασθαι || alt. τί om. || 27 τὸν ὁρ.] ὁρισμός ||

Escurialensis Φ-III-10 [Miller p. 172] bombycinus saeculo XIII vel XIV exaratus a f. 59^v Aristotelis librum De interpr. Ammonii commentario, cuius titulus est ἀμμωνίου τοῦ ἑρμείου πόνημα εἰς τὸ περὶ ἑρμηνείας, ornatum exhibet. sed Aristotelis liber iam in verbis quae p. 19^b31 leguntur desinit, itemque Ammonii commentarius in fine mutilatus est. fide hic codex similis est codici M. F^a

p. 1,3 καὶ οὐκ || 6 πολλαὶ om. || 7 περὶ] πρὸς || ἀπομνημονεύοντες || 10 τῆς φύσεως om.

p. 9,7 γὰρ om. || 9 δὲ] σὲ || μέγ.] πλῆθος || 13 παρμενίδης λέγειν || post ὁμολ. add. ἤτοι προτάσεις || ὡς δὴ] διὸ || 14 ἀναπαλαίσασθαι || 24 καὶ om. || 25 πλείους || 27 τοῦ τί ἐστι] τουτέστι ||

p. 10,28 ἀποφάσεσιν || 30 ἂν om. || **p. 11,**1 ἄν τις coll. || 2 λεγομένων om. || 3 μόνα ταῦτα coll. ||

P^b Parisinus 2088 [H. Omont II p. 192] bombycinus saeculo XIV scriptus inde a f. 39r Ammonii librum continet anteposito titulo ἀμμωνίου τοῦ ἑρμείου ὑπόμνημα εἰς τὸ περὶ ἑρμηνείας ἀριστοτέλους. suppar est codici E atque etiam fide ille inferior.

p. 1,3 τοῦ om. || 4 βιβλίον om. || 13 ἐξήγησις || 20 ἀποδείξει || 22 πρὸς—εἰρημένων (23) om. ||

U^a Urbinas 58, quem Brandis neglexit, et aetate et fide videtur omnium esse infimus.

p. 1,3 ἑρμεινείας || 4 παραδειδ. || 7 προσενεγκεῖν || 12 γιγν. || 13 ἐξήγησις || προσλαμβ. || 14 λέγομεν || 15 τὰ om. || 20 περίεργον] περὶ || **p. 2,**7 ἐπιτελουμ. ||

U^b Urbinas 57, quo Brandis p. 55 dicit Ammonii commentarium contineri, f. 114r sub titulo προλεγόμενα εἰς τὸ περὶ ἑρμηνείας recte incipit πολὺ μὲν ἐν σοφοῖς, sed quae Torstrik ex insequentibus foliis affert, cum Ammonio discrepant, velut f. 119r ὥσπερ καὶ τὰ γραφόμενα ἤγουν τὰ γράμματα σύμβολά εἰσι καὶ σημαντικὰ τῶν ὀνομάτων καὶ ῥημάτων τῶν ἐν τῇ φωνῇ ἤγουν τῶν ὡς ὕλῃ χρωμένων τῇ φωνῇ et f. 152r τούτων δέ φησι διωρισμένων τῶν τε ἁπλῶν προτάσεων τῶν ἐξ ὑποκειμένων δηλονότι καὶ κατηγορουμένων καὶ τῶν ἐξ ὑποκειμένων καὶ κατηγορουμένων καὶ ἔτι καὶ τρίτου προσκατηγορουμένου, σκεπτέον καὶ περὶ τῶν μετὰ τρόπου προτάσεων καὶ ἀποδεικτέον ὅπως καὶ αἱ τοὺς τρόπους ἔχουσαι προτάσεις πρὸς ἀλλήλας ἔχουσι καὶ πῶς ἐκ τῶν καταφάσεων αἱ ἀποφάσεις γίνονται, quae ex Pselli cognatione conicias Neophyti esse.

V^a Vaticanus 1018 [Brand. p. 52] chartaceus saeculo XV vel XVI scriptus f. 155r—160v Ammonii prolegomena habet titulo anteposito ἀμμωνίου ὑπόμνημα εἰς τὸ περὶ ἑρμηνείας, f. 161r—202v Aristotelis librum scholiis ex Ammonio petitis instructum. fide editioni Aldinae longe cedit.

p. 1,3 σοφοῖς || καὶ οὐκ || 7 εἰσενέγκαι || 10 παλ.] πολλοῖς || 12 γιγν. || 14 λέγομεν || 15 συγγράμματα om. || 16 αὐτῆς om. || 17 ἡ om. || 18 τ. τ. βιβλ.] τοῦ βιβλ. τούτου || 20 ἀποδείξει || **p. 2,**2 λόγων] φωνῶν || 13 ἴρις || 20 δέ om. || 22 διδάσκει ἡμᾶς suppl. m² || 27 δὲ om. || **p. 3,**4 ἀγέλων || 5 προστίθ. || 6 πρότασιν || 7 δὲ om. || 9 ὑπάρχον (pr. l.) ||

Denique tres codices Parisini Ammonii librum exhibentes nobis innotuerunt:

P^c Parisinus 1974 [H. Omont II p. 173] chart. saec. XV f. 94—143.

P^d Parisinus 1898 [H. Omont II p. 160] chart. saec. XVI f. 1—80.

P^e Parisinus gr. suppl. 141 [H. Omont III p. 222] chart. saec. XVI f. 37—91.

AMMONIUS
IN ARISTOTELIS
DE INTERPRETATIONE
COMMENTARIUS

SIGLA

A = Parisinus 1942
F = Laurentianus 71,3
G = Laurentianus 72,7
M = Monacensis 222
a = editio Aldina
b = Bekkeri editio Aristotelis Academica

ed. Ven. 1545 3r

ΑΜΜΩΝΙΟΥ ΤΟΥ ΕΡΜΕΙΟΥ ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟ ΠΕΡΙ ΕΡΜΗΝΕΙΑΣ.

Πολὺ μὲν ἐν σοφοῖσι κοὐκ ἀνώνυμον τὸ Περὶ ἑρμηνείας τοῦ Ἀριστοτέλους βιβλίον τῆς τε πυκνότητος ἕνεκα τῶν ἐν αὐτῷ παραδιδομένων θεωρημάτων καὶ τῆς περὶ τὴν λέξιν δυσκολίας. διὸ καὶ πολλῶν ἐξηγητῶν πολλαὶ περὶ αὐτὸ κατεβλήθησαν φροντίδες. εἰ δέ τι καὶ ἡμεῖς δυνηθείημεν εἰσενεγκεῖν περὶ τὴν τοῦ βιβλίου σαφήνειαν, ἀπομνημονεύσαντες τῶν ἐξηγήσεων τοῦ θείου ἡμῶν διδασκάλου Πρόκλου τοῦ Πλατωνικοῦ διαδόχου τοῦ εἰς ἄκρον τῆς ἀνθρωπίνης φύσεως τήν τε ἐξηγητικὴν τῶν δοκούντων τοῖς παλαιοῖς δύναμιν καὶ τὴν ἐπιστημονικὴν τῆς φύσεως τῶν ὄντων κρίσιν ἀσκήσαντος, πολλὴν ἂν τῷ λογίῳ θεῷ χάριν ὁμολογήσαιμεν.

Ἀρχὴ τοίνυν ἡμῖν γενέσθω τῆς ἐξηγήσεως ἡ τῶν πέντε κεφαλαίων ὑφήγησις τῶν προλαμβάνεσθαι τῆς τοῦ ῥητοῦ σαφηνείας εἰωθότων. καὶ λέγωμεν τίς τε ἡ πρόθεσις τοῦ Περὶ ἑρμηνείας καὶ τίνα ἔχει τάξιν πρὸς τὰ ἄλλα τῆς λογικῆς τοῦ Ἀριστοτέλους πραγματείας συγγράμματα τίς τε ἡ αἰτία ταύτης αὐτῆς τῆς Περὶ ἑρμηνείας ἐπιγραφῆς καὶ ὅτι | γνήσιόν ἐστι 3v τὸ σύγγραμμα τοῦτο τοῦ Ἀριστοτέλους καὶ ἐπὶ πᾶσι τίς ἡ εἰς τὰ κεφάλαια τοῦδε τοῦ βιβλίου διαίρεσις· τὸ γὰρ ἐπιζητεῖν πρὸς τί χρήσιμον ἂν εἴη τῷ φιλοσοφεῖν βουλομένῳ τὸ Περὶ ἑρμηνείας βιβλίον ἡ πρόθεσις αὐτοῦ φανεῖσα ἡμῖν περίεργον ἐπιδείξει.

Τίς οὖν ἡ πρόθεσις αὕτη; τοῦτο γὰρ ἀνάγκη πρὸ τῶν ἄλλων ἀφορίζεσθαι καὶ πρὸς ταύτην τὰ ἐφεξῆς ἅπαντα συνείρειν. ἵνα δὴ τοῦτο διηρθρωμένως ἕλωμεν, ἀναμνησθῆναι χρὴ τῶν εἰρημένων ἐν τοῖς προλαμβανομένοις τῆς συναναγνώσεως τῶν Κατηγοριῶν, λέγω δὲ ὅτι ἡ μὲν λογικὴ

1 In titulo τοῦ et ὑπόμνημα om. A ac post ἑρμηνείας add. ἀριστοτέλους FMa 3 cf. Eur. Hippol. 1 5 δυσκ.] διδασκαλίας F 7 ἐπενεγκεῖν A: εἰσενέγκαι F 7. 8 τῶν ἐξηγήσεων suppl. G² 10 τῆς φύσεως om. M 12 γιγνέσθω Fa πέντε om. AG 13 ἐξήγησις a 13. 14 καὶ λέγωμεν — ἑρμηνείας om. G 14 λέγομεν FMa 15 τί G¹ 16 post ἑρμ. add. τοῦ ἀριστοτέλους G (del. m²) 20 ἐπιδείξει evan., sed ἀποδείξει exhibuisse videtur A 21 αὕτη ἡ πρόθ. colloc. A 23. 24 ἐν τοῖς προλαμβ. τῆς συναναγνώσεως τῶν κατ.] cf. Ammon. in Cat. p. 5,9. 10,22 sq. 24 συναναγνώσεως in lac. suppl. G²

πραγματεία τέλος ἔχει τὴν εὕρεσιν τῆς ἀποδείξεως, προηγεῖται δὲ ταύτης ἡ τοῦ ἁπλῶς συλλογισμοῦ γνῶσις, καὶ ταύτης πάλιν ἡ τῶν ἁπλῶν λόγων τῶν συντιθέντων τὸν συλλογισμὸν θεωρία, ταύτης δὲ ἡ κατάληψις πασῶν κατὰ γένη τῶν ἁπλῶν φωνῶν, ἐξ ὧν ὁ ἁπλοῦς λόγος ἔχει τὴν γένεσιν. παραδοὺς τοίνυν ὁ Ἀριστοτέλης ἐν τῷ βιβλίῳ τῶν Κατηγοριῶν τὴν περὶ τῶν ἁπλῶν φωνῶν πραγματείαν ἐν τούτῳ προτίθεται παραδοῦναι ἡμῖν τοὺς ἁπλοῦς λόγους τοὺς ἐκ τῆς συμπλοκῆς τῶν ἁπλῶν φωνῶν ἀποτελουμένους καὶ ὡς προτεινομένους ὑπὸ τῶν συλλογίσασθαί τι βουλομένων τοῖς κοινωνοῖς τῶν λόγων προτάσεις ὑπὸ τῶν παλαιῶν ὀνομαζομένους. ἀλλὰ τοῦ λόγου πέντε ὄντων εἰδῶν, τοῦ τε κλητικοῦ ὡς τὸ

ὦ μάκαρ Ἀτρεΐδη,

καὶ τοῦ προστακτικοῦ ὡς τὸ

βάσκ' ἴθι, Ἶρι ταχεῖα,

καὶ τοῦ ἐρωτηματικοῦ ὡς τὸ

τίς πόθεν εἶς ἀνδρῶν;

καὶ τοῦ εὐκτικοῦ ὡς τὸ

αἴ γάρ, Ζεῦ τε πάτερ,

καὶ ἐπὶ τούτοις τοῦ ἀποφαντικοῦ, καθ' ὃν | ἀποφαινόμεθα περὶ ὁτουοῦν 4r
τῶν πραγμάτων οἷον

θεοὶ δέ τε πάντα ἴσασι,

'πᾶσα ψυχὴ ἀθάνατος', οὐ περὶ παντὸς ἁπλοῦ λόγου κατὰ τήνδε τὴν πραγματείαν διδάσκει ἡμᾶς ὁ Ἀριστοτέλης, ἀλλὰ περὶ μόνου τοῦ ἀποφαντικοῦ. καὶ τοῦτο εἰκότως· μόνον γὰρ τοῦτο τὸ εἶδος τοῦ λόγου δεκτικόν ἐστιν ἀληθείας τε καὶ ψεύδους καὶ ὑπὸ τοῦτο τελοῦσιν αἱ ἀποδείξεις, ὑπὲρ ὧν ἡ λογικὴ πᾶσα πραγματεία τῷ φιλοσόφῳ συντέτακται.

Καλοῦσι δὲ οἱ Στωϊκοὶ τὸν μὲν ἀποφαντικὸν λόγον ἀξίωμα, τὸν δὲ εὐκτικὸν ἀρατικόν, τὸν δὲ κλητικὸν προσαγορευτικόν, προστιθέντες τούτοις ἕτερα πέντε λόγων εἴδη σαφῶς ὑπό τινα τῶν ἀπηριθμημένων ἀναφερόμενα· λέγουσι γὰρ τὸ μέν τι εἶναι ὁμοτικὸν οἷον

ἴστω νῦν τόδε γαῖα,

τὸ δὲ ἐκθετικὸν οἷον 'ἔστω εὐθεῖα γραμμὴ ἥδε', τὸ δὲ ὑποθετικὸν οἷον 'ὑποκείσθω τὴν γῆν κέντρον εἶναι τῆς τοῦ ἡλίου σφαίρας', τὸ δὲ ὅμοιον ἀξιώματι οἷον

ὡς ὡραΐζεται ἡ τύχη εἰς τοὺς βίους,

ἅπερ ἅπαντα δεκτικὰ ὄντα ψεύδους τε καὶ ἀληθείας ὑπάγοιντο ἂν τῷ ἀπο-

2 λόγων] φωνῶν M 5 τὴν suppl. G² 6 ἡμῖν om. G 7 τοὺς] τῆς G¹: καὶ τοὺς G² ἐκ τῆς suppl. G² 8. 9 κοινωνοῦσι F: κοινοῖς (κοινωνοῖς superscr.) M 11 ὦ μάκαρ Ἀτρ.] Hom. Γ 182 al. 13 βάσκ' ἴθι κτλ.] Hom. Θ 399 al. ἴρις F ἴρι ταχεῖα om. G 15 τίς πόθεν κτλ.] Hom. η 238 17 αἴ γάρ κτλ.] Hom. Δ 288 η 311 20 θεοὶ δέ κτλ.] Hom. δ 379 δέ supra scr. F 21 ἁπλῶς F τήνδε τὴν]—δε τὴν suppl. G² 27. 28 ἕτερα τούτοις colloc. AG¹ 29 τι] τοι G 30 ἴστω κτλ.] Hom. ε 184 31 ἔστω] ἐκκείσθω M 32. 33 τὸ δὲ ὅμ. ἀξιώματι om. A 34 ὡς ὡραΐζετ' κτλ.] Menandri frg. 855 (Com. Att. fr. III p. 228 ed. Kock) ἐν τοῖς βίοις Ma: πρὸς τοὺς βίους Schol. Theocr. 35. p. 3,1 ἀποδεικτικῶ G¹

φαντικῷ, τοῦ μὲν ὁμοτικοῦ τῇ μαρτυρίᾳ τοῦ θείου πλεονάσαντος τῆς ἀποφάνσεως τοῦ δ' ὁμοίου τῷ ἀξιώματι τῇ τοῦ ὡς ἐπιτατικοῦ ἐπιρρήματος προσθήκῃ. πέμπτον δέ τι πρὸς τούτοις εἶναί φασι τὸ ἐπαπορητικὸν οἷον

Δᾶος πάρεστι· τί ποτ' ἀπαγγελῶν ἄρα;

ὅπερ ἐναργῶς ταὐτὸν ὂν τυγχάνει τῷ ἐρωτηματικῷ, πλὴν ὅτι προτίθησι τὴν πρόφασιν τῆς ἐρωτήσεως.

Πάλιν δὲ τοῦ ἀποφαντικοῦ λόγου δύο ὄντων εἰδῶν καὶ τοῦ μὲν καλουμένου κατηγορικοῦ τοῦ δὲ ὑποθετικοῦ. κατηγορικοῦ μὲν τοῦ σημαίνοντος τί τίνι ὑπάρχει ἢ οὐχ ὑπάρχει, ὡς ὅταν εἴπωμεν 'Σωκράτης περιπατεῖ, Σωκράτης οὐ περιπατεῖ' (κατηγοροῦμεν γὰρ τὸ περιπατεῖν τοῦ Σωκράτους ποτὲ μὲν καταφατικῶς ποτὲ δὲ ἀποφατικῶς) ὑποθετικοῦ δὲ τοῦ σημαίνοντος τίνος ὄντος τί ἐστιν ἢ οὐκ ἔστιν, ἢ τίνος μὴ ὄντος τί ἐστιν ἢ οὐκ ἔστιν, ὡς ὅταν εἴπωμεν 'εἰ ἄνθρωπός ἐστι, καὶ ζῷόν ἐστιν, εἰ ἄνθρωπός ἐστι, λίθος οὐκ ἔστιν, εἰ μὴ ἔστιν ἡμέρα, νύξ ἐστιν, εἰ μὴ ἔστιν ἡμέρα, οὐκ ἔστιν ἥλιος ὑπὲρ γῆν', τὸ κατηγορικὸν ἡμῖν μόνον εἶδος τοῦ ἀποφαντικοῦ λόγου παραδίδωσιν ὁ Ἀριστοτέλης ὡς αὐτοτελὲς καὶ χρήσιμον πρὸς τὰς ἀποδείξεις, τὸ δέ γε ὑποθετικὸν ὡς ἐλλιπὲς ὂν καὶ δεόμενον πάντως τῆς διὰ τοῦ κατηγορικοῦ τελειότητος οὐδαμοῦ προηγουμένης ἀξιώσει σπουδῆς· οἱ γὰρ ὑποθετικοὶ συλλογισμοὶ τὴν καλουμένην μετάληψιν ἤτοι πρόσληψιν ἀναποδείκτως λαμβάνοντες ἐνίοτε δὲ καὶ τὸ συνημμένον ἢ τὸ διεζευγμένον λόγου δεόμενον ἐξ ὑποθέσεως ἔσχον τὴν πίστιν, ἥτις αὐτῶν τὰς πρώτας ὑποθέσεις παραδέχοιτο. πρὸς οὖν τὴν τῶν ὑποθέσεων τούτων κατασκευὴν εἰ μὲν ἑτέρῳ τις ὑποθετικῷ χρῷτο συλλογισμῷ, δεήσει πάλιν ἑτέρας αὐτῷ κατασκευῆς πρὸς τὴν πίστιν τῶν ἐν αὐτῷ ὑποθέσεων καὶ πρὸς ἐκείνην ἑτέρας, καὶ τοῦτο εἰς ἄπειρον, εἰ δι' ὑποθέσεων ἐθέλοι τὰς ὑποθέσεις κρατύνειν. εἰ δέ γε μέλλει τελεία καὶ ἀπροσδεὴς ἡ ἀπόδειξις γίνεσθαι, δῆλον ὅτι κατηγορικοῦ συλλογισμοῦ | χρεία τοῦ δίχα τινὸς ὑποθέσεως ἐπαγγελλομένου τὸ προκείμενον δεικνύναι. διὸ καὶ τοὺς μὲν κατηγορικοὺς ἁπλῶς οὕτως ὀνομάζομεν συλλογισμούς, τοὺς δὲ ὑποθετικοὺς τὸ μὲν ὅλον τοῦτο ἐξ ὑποθέσεως συλλογισμούς, ἁπλῶς δ' οὐκέτι πρὸς τῷ καὶ ἄλλως τὰς ὑποθετικὰς ἀποφάνσεις ἐκ τῶν κατηγορικῶν τὴν γένεσιν ἔχειν· ἄλλης γὰρ πρὸς ἄλλην κατηγορικῆς προτάσεως ἢ ἀκολουθίαν ἢ διά-

3 ἐπαπορρητικόν F 4 Δᾶος πάρεστι κτλ.] cf. Com. Att. fr. III p. 460 (Kock) ἀπαγγελῶν Kock: ἀγγελῶν AMa: ἀγγέλλων FG 5 προτίθησι G¹: προστίθησι AFG²Ma 6 πρόφασιν] πρότασιν Fa 8 δὲ ὑποθετ. — μὲν τοῦ suppl. G² 10 κατηγοροῦσι μὲν γὰρ A 12. 13 ἢ τίνος — οὐκ ἔστιν suppl. G² τί ἔστιν ἢ οὐκ ἔστιν (altero loco) AGF: τί οὐκ ἔστιν ἢ τί ἔστιν Ma 13 εἴπωμεν οἷον G καὶ om. G 15 ὁ ἥλιος Ma ante κατηγορικὸν supra scr. δὲ G² 16 ἀποδίδωσιν G πρὸς] εἰς G 17 ἀποδείξεις] δείξεις AG γε om. M 18. 19 προηγ. — σπουδῆς suppl. G² 18 προηγουμένως AGa ἀξιοῖ Fa 19 σπουδῆς M: *studio* vers. lat.: τιμῆς AFGa οἱ] εἰ F 21 ante λόγου add. καὶ FGa ἔχουσι GM: ἔχον a ἥτις AF²Ga: εἴ τις F¹M 22 οὖν om. G 23 ἑτέρως FMa χρῶτο ὑποθ. colloc. A 25 θέλοι AG 26 κρατεῖν F μέλλοι F 28 μὲν suppl. G² 30 ἐξ ὑποθέσεων AG 31 ὑποθετ.] ἀποφατικὰς G¹

στασιν σημαίνουσι, συνδέουσαι αὐτὰς πρὸς ἀλλήλας ἢ τῷ συμπλεκτικῷ ἢ τῷ διαζευκτικῷ προσαγορευομένῳ συνδέσμῳ πρὸς τὸ ἕνα δοκεῖν εἶναι τὸν ἐξ αὐτῶν συγκείμενον λόγον. διὰ ταῦτα τοίνυν τὸ κατηγορικὸν εἶδος τοῦ ἀποφαντικοῦ λόγου πολυπραγμονεῖ μόνον ὁ Ἀριστοτέλης.

Ἔστιν οὖν ἡ πρόθεσις τῆς προκειμένης πραγματείας, ὡς συνελόντι φάναι, διαλεχθῆναι περὶ τῆς πρώτης συνθέσεως τῶν ἁπλῶν φωνῶν τῆς κατὰ τὸ κατηγορικὸν εἶδος τοῦ ἀποφαντικοῦ λόγου γινομένης. λέγω δὲ τὸ πρώτης, διότι καὶ τοὺς συλλογισμοὺς ἡ σύνθεσις τῶν ἁπλῶν ἐργάζεται φωνῶν, οὐ μέντοι ἡ πρώτη, ἀλλ' ἡ διὰ τῆς συμπλοκῆς τῶν κατὰ τὴν πρώτην σύνθεσιν γεγονότων λόγων ἀποτελουμένη. διὸ τοὺς ἁπλοῦς τούτους λόγους κατὰ μὲν τήνδε τὴν πραγματείαν αὐτοὺς καθ' αὑτοὺς θεωρῶν ὡς ἀποφάνσεις μόνον ἐπισκέψεται, καὶ οὐχ ὡς προτάσεις, ἐν δὲ τοῖς Ἀναλυτικοῖς ὡς μέρη τῶν συλλογισμῶν παραλαμβάνων ἅμα καὶ ὡς προτάσεις εἰκότως ἀξιώσει σκοπεῖν· ὡς γὰρ προτεινομένους αὐτοὺς ὑπὸ τῶν συλλογίσασθαί τι βουλομένων τοῖς κοινωνοῖς | τῶν λόγων οὕτως οἱ παλαιοὶ προτάσεις ἐπονομάζουσιν. 5v

Αὐτόθεν δὲ ἡμῖν ἐκ τῶν εἰρημένων καὶ ἡ τάξις ἀναφαίνεται τοῦ βιβλίου· εἰ γὰρ μέσην ἔχουσι τάξιν οἱ ἁπλοῖ λόγοι τῶν τε ἁπλῶν φωνῶν καὶ τῶν συλλογισμῶν, παραδιδόασι δὲ τὴν μὲν περὶ τῶν ἁπλῶν φωνῶν θεωρίαν αἱ Κατηγορίαι τὴν δὲ περὶ τῶν ἁπλῶν λόγων τὸ προκείμενον βιβλίον τὴν δὲ περὶ τῶν συλλογισμῶν τὰ Ἀναλυτικά, δῆλον ὅτι μέσην ἂν ἔχοι τάξιν τῶν τε Κατηγοριῶν καὶ τῶν Ἀναλυτικῶν, ἑπόμενον μὲν ταῖς Κατηγορίαις προηγούμενον δὲ τῶν τε Ἀναλυτικῶν καὶ τῶν ἄλλων πάντων τῆς λογικῆς πραγματείας συγγραμμάτων.

Ὅτι δὲ χρήσιμον τὸ προκείμενον βιβλίον πρὸς τὴν λογικὴν ταύτην πραγματείαν, αὕτη δὲ πρὸς πᾶσαν φιλοσοφίαν, ἐναργὲς ἐκ τῶν εἰρημένων.

Ἐπὶ τούτοις οὖν τῆς ἐπιγραφῆς τὸ αἴτιον ἐπισκεπτόμενοι λέγομεν τί ποτε ἄρα καλῶν ὁ Ἀριστοτέλης ἑρμηνείαν οὕτως ἐπέγραψε τὸ βιβλίον Περὶ ἑρμηνείας· οὐ γὰρ δὴ καὶ αὐτὸς καθάπερ ὁ Δημήτριος ὁ τὸ περὶ τῆς λογογραφικῆς ἰδέας βιβλίον συγγράψας καὶ οὗτος αὐτὸ ἐπιγράψας Περὶ ἑρμηνείας ἀξιοῖ καλεῖν ἑρμηνείαν τὴν λογογραφικὴν ἰδέαν, ὡς δὴ περὶ

---

1 σημαίνει G^1 συνδεούσας G 2 προσαγορευομένω συνδέσμω suppl. G^2 δοκεῖ A 3 τὸν κατηγορικὸν (εἶδος in lac. suppl. m^2) G 7 τὸ (alt.)] τῆς G 10 ἀποτελουμένης F τούτους om. G 13 ἅμα — προτάσεις suppl. G^2 14 ὡς γὰρ — ἐπονομάζουσιν (16) om. M (fort. recte, cf. p. 2,8) 14. 15 συλλ. — βουλομένων suppl. G^2 15 κοινωνοῖς] κοινωνικοῖς A: κοινωνοῦσι G 17 ἀναφανήσεται M 18 τὴν τάξιν G τε suppl. G^2 19 παραδιδ. — συλλογισμῶν (21) om. F περὶ in mrg. suppl. A post ἁπλῶν add. μὲν M 20 τὴν δὲ περὶ τὴν τῶν (τὴν δὲ supra scr.) G 21 ἂν ante ὅτι colloc. G 22 ἔχοι correxi: ἔχῃ libri τε supp. G^2 κατηγορικῶν G^1 23 τε om. G 25 δὲ] μὲν οὖν M πρὸς] εἰς G 27 οὖν om. G τῆς ἐπιγρ. τὸ αἴτιον] τίς ἡ ἐπιγραφὴ καὶ τί τὸ αἴτιον αὐτῆς G malim λέγωμεν 28 ὁ om. A 29 Δημήτριος] cf. Diog. L. V 84 ὁ (post Δημήτριος) M: om. AFGa τῆς om. FMa 30. 31 καὶ οὕτως (sic) — καλεῖν post ἰδέαν colloc. (num. superscr. corr.) A: οὗτος (καὶ om.) — καλεῖν post ἰδέαν colloc. G 30 οὕτως M

ταύτης ἐν τῷ προκειμένῳ βιβλίῳ διαλεξόμενος. ῥητέον οὖν ὅτι τῆς ψυχῆς τῆς ἡμετέρας διττὰς ἐχούσης δυνάμεις, τὰς μὲν γνωστικὰς τὰς δὲ ζωτικὰς τὰς καὶ ὀρεκτικὰς λεγομένας (λέγω δὲ γνωστικὰς μὲν καθ' ἃς γινώσκομεν ἕκαστον τῶν ὄντων, οἷον νοῦν διάνοιαν δόξαν φαντασίαν αἴσθησιν, ὀρεκτικὰς δὲ καθ' ἃς ὀρεγόμεθα τῶν ἀγαθῶν, | ἢ τῶν ὄντων ἢ τῶν δοκούντων, οἷον βού- 6r λησιν λέγω προαίρεσιν θυμὸν ἐπιθυμίαν), τὰ μὲν τέσσαρα εἴδη τοῦ λόγου τὸ παρὰ τὸ ἀποφαντικὸν ἀπὸ τῶν ὀρεκτικῶν δυνάμεων προέρχονται (τῆς ψυχῆς οὐκ αὐτῆς καθ' αὑτὴν ἐνεργούσης ἀλλὰ πρὸς ἕτερον ἀποτεινομένης τὸν συμβάλλεσθαι δοκοῦντα πρὸς τὸ τυχεῖν τῆς ὀρέξεως καὶ ἤτοι λόγον παρ' αὐτοῦ ζητούσης, καθάπερ ἐπὶ τοῦ πυσματικοῦ καὶ ἐρωτηματικοῦ καλουμένου λόγου, ἢ πρᾶγμα, καὶ εἰ πρᾶγμα, ἤτοι αὐτοῦ ἐκείνου τυχεῖν ἐφιεμένης πρὸς ὃν ὁ λόγος, ὥσπερ ἐπὶ τοῦ κλητικοῦ, ἤ τινος παρ' αὐτοῦ πράξεως, καὶ ταύτης ἢ ὡς παρὰ κρείττονος, ὡς ἐπὶ τῆς εὐχῆς, ἢ ὡς παρὰ χείρονος, ὡς ἐπὶ τῆς κυρίως καλουμένης προστάξεως), μόνον δὲ τὸ ἀποφαντικὸν ἀπὸ τῶν γνωστικῶν, καὶ ἔστι τοῦτο ἐξαγγελτικὸν τῆς γενομένης ἐν ἡμῖν γνώσεως τῶν πραγμάτων ἀληθῶς ἢ φαινομένως. διὸ καὶ μόνον τοῦτο δεκτικόν ἐστιν ἀληθείας ἢ ψεύδους, τῶν δὲ ἄλλων οὐδέν. τοῦτο τοίνυν τὸ εἶδος τοῦ λόγου τὸ ἀποφαντικὸν ἑρμηνείαν ἀξιοῖ καλεῖν ὁ Ἀριστοτέλης ὡς ἑρμηνεῦον τὴν γνῶσιν τῆς ψυχῆς. ἐπεὶ οὖν, καθάπερ αὐτὸς ἐν τοῖς προοιμίοις ἐρεῖ τοῦδε τοῦ βιβλίου, εἰσὶ μὲν καὶ ἕτεροι λόγοι παρὰ τὸν ἀποφαντικόν (καὶ γὰρ ἡ εὐχή, φησί, λόγος) ὁ δὲ ἀποφαντικὸς τῆς νῦν θεωρίας, διὰ τοῦτο ἐπέγραψε τὸ βιβλίον Περὶ ἑρμηνείας. ὡς οὐδὲν διαφέρον ἢ οὕτως ἐπιγράφειν ἢ Περὶ τοῦ ἀποφαντικοῦ λόγου.

Πρὸς δὲ τὸ γνήσιον εἶναι τοῦ φιλοσόφου τὸ βιβλίον οὐδεὶς ἠξίωσε τῶν περὶ τὰ συγγράμματα τοῦ Ἀριστοτέλους ἐσπουδακότων ἀμφιβαλεῖν 6v εἴς τε τὸ πιθανὸν ἀποβλέπων τῆς ἀπαγγελίας καὶ εἰς τὴν ἔντεχνον καὶ τῷ φιλοσόφῳ συνήθη τῶν ἐν αὐτῷ παραδιδομένων θεωρημάτων διάθεσιν καὶ τὴν πρὸς τὰς ἄλλας αὐτοῦ πραγματείας ὁμολογίαν, πλὴν Ἀνδρονίκου τοῦ Ῥοδίου, ὃς ἑνδέκατος μὲν ἦν ἀπὸ τοῦ Ἀριστοτέλους, ἀκούσας δὲ αὐτοῦ καλοῦντος ἐν τοῖς προοιμίοις τοῦδε τοῦ βιβλίου τὰ νοήματα παθήματα τῆς ψυχῆς καὶ προστιθέντος 'ὡς περὶ τούτων εἴρηται ἐν τοῖς Περὶ ψυχῆς,' διὰ

---

3 τὰς καὶ] ἃς καὶ F: καὶ G λεγομένας] καλουμένας M 4 αἴσθ. φαντ. coll. FM: φαντ. καὶ αἴσθ. a φαντασίαν om. G 6 θυμὸν καὶ ἐπιθ. GMa ante τὰ μὲν add. καὶ G^2 7 παρὰ τὸ] περὶ τὸν AFMa 11 ἐφιεμ. τυχεῖν colloc. M ἐφιεμένου G 12 ὥσπερ] ὡς εἰ (?) A 12. 13 ἤ τινος—ταύτης suppl. G^2 12 παρ' αὐτοῦ πράξεως] παρ' αὐτῶ ὑπάρξεως A: παρ' αὐτὸ ὑπάρξεως F 15 ἐν suppl. G^2 16 ἢ] τε καὶ M 18. 19 τῆς ψυχῆς τὴν γν. colloc. A 19. 20 οὖν—βιβλίου suppl. G^2 19 καὶ αὐτὸς καθάπερ ἐν G ἐν τοῖς προοιμίοις] p. 17a4 ἐρεῖ ante αὐτὸς colloc. M 20 post μὲν add. οὖν M καὶ γὰρ καὶ A 22 περὶ ἑρμ. τὸ βιβλίον colloc. M ἢ (ante οὕτως)] εἰ F 25 ἀμφιβάλλειν AG 26 ἀπαγγελ. G^2: ἐπαγγελ. AFG¹Ma post ἔντεχνον add. καὶ κεκομψευμένην Fa 27 παραδεδομένων GM διάθεσιν om. M 28 πρὸς] εἰς AG ante ὁμολογίαν add. . . . σιν A 30 ἐν τοῖς προοιμίοις] p. 16a3 sq. τούτου M 31 προστιθέντος] p. 16a8

τὸ μὴ συνιδεῖν ὅπου τῆς Περὶ ψυχῆς πραγματείας τὰ νοήματα παθήματα τῆς ψυχῆς ἐκάλεσεν ὁ φιλόσοφος, ἀναγκαῖον ᾠήθη τῶν δύο πραγματειῶν, ταύτης τε καὶ τῆς Περὶ ψυχῆς, τὴν ἑτέραν νόθον ἀποφήνασθαι τοῦ Ἀριστοτέλους, καὶ δεῖν ἐνόμισε ταύτην ἀθετεῖν μᾶλλον ἢ τὴν Περὶ ψυχῆς. ἰστέον δὲ ὅτι πολλαχοῦ ἐν τῇ Περὶ ψυχῆς ἔχομεν τὴν φαντασίαν παθητικὸν νοῦν ὑπὸ τοῦ φιλοσόφου καλουμένην, νοῦν μὲν ὡς ἔνδον ἐν ἑαυτῇ τὸ γνωστὸν ἔχουσαν καὶ ταύτῃ διαφέρουσαν τῆς αἰσθήσεως, ὅτι ἅπερ ἡ αἴσθησις ἔξω κείμενα γινώσκει δεομένη πάντως τῆς ἐκείνων παρουσίας πρὸς τὸ ἐνεργῆσαι περὶ αὐτά, τούτων ἡ φαντασία τοὺς τόπους διὰ τῶν αἰσθήσεων ἀπομαξαμένη ἐν ἑαυτῇ ἔχει καὶ μὴ δεομένη τῶν ἔξω κειμένων δύναται προσβάλλειν, διὸ κἂν τοῖς ὕπνοις τῶν αἰσθήσεων ἀνενεργήτων μενουσῶν ἐνεργοῦμεν κατὰ φαντασίαν, παθητικὸν δέ, διότι μετὰ μερισμοῦ τινος καὶ διαστάσεως ἕκαστον γινώσκει, ἅτε ἀχώρι|στον σώματος ἔχουσα τήν τε 7r
οὐσίαν καὶ τὴν ἐνέργειαν καὶ ἀρχή τις οὖσα τῶν αἰσθήσεων. ἀποφαινόμενος οὖν ἐν τοῖς Περὶ ψυχῆς ὁ Ἀριστοτέλης ἄνευ τοῦ παθητικοῦ τούτου νοῦ μηδὲν τῶν ἐνταῦθα πραγμάτων νοεῖν τὴν ἡμετέραν ψυχήν, δι' ὧν φησιν "οὐ μνημονεύομεν δέ, ὅτι τοῦτο μὲν ἀπαθές, ὁ δὲ παθητικὸς νοῦς φθαρτός, καὶ ἄνευ τούτου οὐδὲν νοεῖ" καὶ ἑξῆς "τὰ μὲν οὖν εἴδη τὸ νοητικὸν ἐν τοῖς φαντάσμασι νοεῖ" καὶ ἐπὶ τούτοις "τὰ δὲ δὴ πρῶτα νοήματα τί διοίσει τοῦ μὴ φαντάσματα εἶναι; ἢ οὐδὲ τὰ ἄλλα φαντάσματα, ἀλλ' οὐκ ἄνευ φαντασμάτων", δῆλος ἂν εἴη καὶ ἐν ἐκείνοις τὰ νοήματα παθήματα προσαγορεύων τῆς ψυχῆς. φαίνεται δὲ καὶ ἐπὶ πάσας τῆς ψυχῆς τὰς ἐνεργείας κοινότερον τὸ τοῦ πάθους ὄνομα ἐκτείνων· ἀπορίαν γοῦν φησιν ἐν ἐκείνοις ἔχειν τὰ πάθη τῆς ψυχῆς, πότερόν ἐστιν ἅπαντα κοινὰ καὶ τοῦ ἔχοντος ἤ ἐστί τι καὶ τῆς ψυχῆς ἴδιον αὐτῆς, καὶ ἐπικρίνων τὰ περὶ τῆς ἀπορίας ἐπιφέρει "φαίνεται δὲ τῶν μὲν πλείστων οὐδὲν ἄνευ τοῦ σώματος πάσχειν οὐδὲ ποιεῖν, οἷον ὀργίζεσθαι θαρρεῖν ἐπιθυμεῖν, ὅλως αἰσθάνεσθαι. μάλιστα δὲ ἔοικεν ἴδιον τὸ νοεῖν· εἰ δέ ἐστι καὶ τοῦτο φαντασία τις ἢ μὴ ἄνευ φαντασίας, οὐκ ἐνδέχοιτ' ἂν οὐδὲ τοῦτο ἄνευ σώματος εἶναι," καὶ ἔτι πρὸ τούτων ἐν τῷ προοιμίῳ τῆς αὐτῆς πραγματείας "ἐπιζητοῦμεν δὲ θεωρῆσαι καὶ γνῶναι τήν τε φύσιν αὐτῆς καὶ τὴν οὐσίαν, εἶθ' ὅσα συμβέβηκε περὶ αὐτήν, ὧν τὰ μὲν ἴδια πάθη τῆς ψυχῆς εἶναι δοκεῖ, τὰ δὲ | κοινὰ καὶ τοῖς ζῴοις δι' ἐκείνην ὑπάρχειν". δι' ὧν δῆλός 7v

1 ὅπου] οὔπω F 3 περὶ τῆς colloc. A 5 ἐν τῇ] τῆς AG 6 κεκλημένην M 7 ταύτῃ] ταύτην A: αὐτῇ M 10. 11 προβάλλειν A 13 τε suppl. G² 16. 17 δι' ὧν φησιν] De an. p. 430ᵃ23 17 ὅτι] διότι AG² 18 καὶ ἑξῆς] ibid. p. 431ᵇ2 οὖν om. A 18. 19 τῶν νοητικῶν M τὸ μὲν νοητ. A νοητικὸν G 19 φαντάσμασι] φύσει πράγμασι G¹ ἐπὶ τούτοις] ibid. p. 432ᵃ12 δὲ suppl. G² δὴ] εἴδη M: om. Aristot. 20 τί] τίνι Aristot. φάντασμα (pr. l.) G¹ ἢ οὐδὲ] εἰ δὲ AG: ἢ οὔτε FMa 24 φησιν ἐν ἐκείνοις] ibid. 403ᵃ3 sq. παθήματα Aa 28 ἰδίω GM ἔσται G καὶ ἔστι colloc. F 29 ἐνδέχοιτ' ἄν] ἐνδέχετ' ἄν A: ἐνδέχεται FGMa 30 ἐν τῷ προοιμίῳ] p. 402ᵃ7 31 δὲ om. G 33 τὰ δὲ δι' ἐκ. καὶ τοῖς ζ. Aristot.

ἐστι καὶ τῆς λογικῆς ἡμῶν ψυχῆς τὴν νόησιν, καὶ εἰ χωρὶς γίνοιτο φαντασίας, πάθος καλεῖν οὐ παραιτούμενος, οὐ κατὰ τὴν ἔννοιαν δηλονότι τὴν προειρημένην, ἀλλὰ διὰ τὸ προϋπάρχειν ἐπ' αὐτῆς κατὰ χρόνον ἑκάστης ἐνεργείας τὴν ἄγουσαν ἐπ' αὐτὴν δύναμιν, ταὐτὸν δὲ εἰπεῖν τοῦ τελείου τὸ ἀτελές, πρὸς διάκρισιν τῆς ἐνεργείας τοῦ νοῦ τοῦ αὐτοτελοῦς καλουμένου καὶ τῇ οὐσίᾳ σύνδρομον τὴν ἐνέργειαν ἔχοντος, ὥσπερ ἀπαθῆ καὶ ἀμιγῆ καὶ χωριστὸν παντὸς σώματος εἶναι. τοῦτον ἡμῶν τὸν νοῦν ἀποφαίνεται, διακρίνων αὐτὸν ἀπὸ τοῦ ἰδίως παθητικοῦ καλουμένου καὶ τῆς φαντασίας, ὡς ἐλέγομεν, οὐδαμῶς διαφέροντος. διὸ καὶ τοῦ μεμνῆσθαι ἡμᾶς ζητῶν τὴν αἰτίαν τὸ μὲν μόριον τῆς ψυχῆς καθ' ὃ τὸ εἶναι ἔχομεν ἀπαθές, τὸν δὲ παθητικὸν νοῦν φθαρτὸν εἶναί φησι, καὶ τὴν νόησιν ἡμῶν πρὸς τοῦτον φθαρτὸν ὄντα συμπεπλεγμένην τῆς λήθης ἴσχειν ἀποφαίνεται τὴν αἰτίαν. οὐκ ἄρα δικαίως ὁ Ἀνδρόνικος νόθον ὑπώπτευσεν εἶναι τοῦ φιλοσόφου τὸ βιβλίον.

Λοιπὸν οὖν ἡμῖν τῶν ἐξ ἀρχῆς προτεθέντων τὸ παραδοῦναι τὴν εἰς τὰ κεφάλαια τοῦδε τοῦ βιβλίου διαίρεσιν. εἰς τέσσαρα τοίνυν ἐναργῶς αὐτοῦ τμήματα διαιρουμένου τὸ μὲν πρῶτόν ἐστι περὶ τῶν ἀρχῶν τοῦ ἀποφαντικοῦ λόγου. καλῶ δὲ ἀρχὰς τοῦ ἀποφαντικοῦ λόγου τὰ συμβαλλόμενα πρὸς τὴν τούτου διδασκαλίαν, ὥσπερ ἀρχὰς ἂν εἴποις γεωμετρίας τούς τε ὅρους καὶ τὰ αἰτήματα καὶ τὰς καλ|ουμένας κοινὰς ἐννοίας, ἅπερ 8r ὁ Ἀριστοτέλης ἐν ταῖς Κατηγορίαις στοιχεῖα τῶν διαγραμμάτων προσαγορεύειν ἠξίωσεν. ἐπεὶ τοίνυν ἐν τῇ διδασκαλίᾳ τῶν προτάσεων καλέσει τί ὄνομα καὶ τί ῥῆμα καὶ κατάφασιν καὶ ἀπόφασιν καὶ ἀπόφανσιν καὶ ἀντίφασιν, εἰκότως πρὶν εἰπεῖν τι περὶ προτάσεων παραδίδωσιν ἡμῖν τί ἕκαστον τούτων τῶν ὀνομάτων σημαίνει· καὶ γὰρ ἦν ἀκόλουθον γνώριμα πρότερον αὐτὰ ποιήσαντα τοῖς εἰσαγομένοις οὕτω πρὸς τὴν τῶν προκειμένων διδασκαλίαν παραβαλεῖν. τοῦτο οὖν ἐστι τὸ πρῶτον τοῦ βιβλίου κεφάλαιον τὸ περὶ τῶν εἰρημένων ἀρχῶν τοῦ ἀποφαντικοῦ λόγου διαλεγόμενον. τὰ δὲ τρία τὰ ἐφεξῆς αὐτὰς ἡμῖν παραδιδόασι λοιπὸν τὰς προτάσεις. ἀλλ' ἐπειδὴ τῶν προτάσεων αἱ μὲν ἐκ δύο μόνων ἁπλῶν φωνῶν συμπλεκομένων ἀποτελοῦνται, τῆς μὲν ὑποκειμένης τῆς δὲ κατηγορουμένης, ὡς ὅταν εἴπω 'Σωκράτης περιπατεῖ' (ἐνταῦθα γὰρ τὸ μὲν Σωκράτης ὑποκείμενος ὅρος λέγεται, τὸ δὲ περιπατεῖ κατηγορούμενος, διότι ἐν παντὶ κατηγορικῷ λόγῳ τὸ μέν ἐστι περὶ οὗ ὁ λόγος τὸ δὲ περὶ ἐκείνου λεγόμενον, καὶ τὸ μὲν περὶ

1 ψυχῆς ἡμῶν colloc. A post νόησιν add. λέγειν AMa: λέγων corr. Brand. γένοιτο G 2 πάθη AGa οὐ (prius)] καὶ G 6 ὥσπερ] an ὥστε? ἀμιγῆ corr. G² 7 χωριστὸν] χωρὶς M πάντα G τοῦτον μὲν (sed μὲν del.) F 9 ἐλέγομεν] p. 6,5 9. 10 τὴν αἰτίαν ζητῶν colloc. M 11 φθαρτὸν] φθαρτικὸν M 12 ἀποφαίνεται om. AG (fort. recte) 13. 14 τὸ βιβλίον suppl. G² 15 τὸ] τοῦ Fa 16 τοῦδε om. M 17 διηρημένου M 21 ταῖς om. AFG Κατηγορίαις] p. 14a39 23 τί om. A καὶ ἀπόφανσιν om. M 26 διδ. τῶν προκ. colloc. AG 27 παραλαβεῖν F¹ 30 μόνον A 31 ὅταν] ὅτε G¹ 32 ὅρος supra scr. A 32. 33 λέγεται] εἴη G 34 καὶ τὸ μὲν om. G

οὗ ὁ λόγος, οἷόν ἐστιν ἐνταῦθα τὸ Σωκράτης, ὑποκείμενον λέγεται ὡς δεχόμενον τὰς κατ' αὐτοῦ κατηγορίας, τὸ δὲ περὶ αὐτοῦ λεγόμενον, οἷόν ἐστιν ἐνταῦθα τὸ περιπατεῖ, κατηγορούμενον ὡς κατ' ἐκείνου ἀγορευόμενον καὶ λεγόμενον), ἐπεὶ οὖν, ὥσπερ ἐλέγομεν, αἱ μὲν τῶν προτάσεων ἐξ ὑποκειμένου μόνου καὶ κατηγορουμένου συμπληροῦνται, αἱ δὲ καὶ τρίτον ἔχουσι προσκα|τηγορούμενον, ὡς ὅταν εἴπω 'Σωκράτης δίκαιός ἐστιν' (ἐνταῦθα 8v γὰρ ὑποκείμενον μέν ἐστι τὸ Σωκράτης κατηγορούμενον δὲ τὸ δίκαιος προσκατηγορούμενον δὲ τὸ ἐστίν), αἱ δὲ πρὸς τούτοις καὶ τρόπον ἔχουσι προσκείμενον τὸν σημαίνοντα ὅπως ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ, οἷον τὸ ἀναγκαῖον τὸ ἀδύνατον τὸ ἐνδεχόμενον τὸ καλῶς τὸ σαφῶς τὸ δικαίως, ὡς ὅταν εἴπω 'Σωκράτην μουσικὸν εἶναι ἐνδέχεται' ἢ 'Σωκράτης σαφῶς ἐξηγεῖται', πλείονας δὲ τούτων ὅρους συμπλεκομένους ἀλλήλοις πρὸς μιᾶς προτάσεως γένεσιν οὐδ' ἐπινοῆσαι δυνατόν, τὸ μὲν δεύτερον τοῦ βιβλίου κεφάλαιον παραδίδωσιν ἡμῖν τὰς ἁπλουστάτας προτάσεις καὶ ὅσται περὶ προτάσεως ἤτοι ἀποφάνσεως ἐξ ὑποκειμένου καὶ κατηγορουμένου, τὸ δὲ τρίτον τὰς τούτων συνθετωτέρας διὰ τὴν τοῦ προσκατηγορουμένου προσθήκην καὶ ἔσται περὶ προτάσεως ἤτοι ἀποφάνσεως ἐξ ὑποκειμένου καὶ κατηγορουμένου καὶ τρίτου προσκατηγορουμένου, τὸ δὲ τέταρτον τὰς μετὰ τρόπου προτάσεις. τοῦτον οὖν τὸν τρόπον πᾶσι τοῖς εἴδεσι τῶν προτάσεων ἐπεξελθὼν ὁ Ἀριστοτέλης καὶ ἀποφήνασθαι θαρρήσας ὡς οὐκ εἰσὶ πλείους τούτων ἀντιφάσεις πέρας ἐπιτίθησι τῇ πραγματείᾳ. πρὸς δὲ αὐτῷ τῷ συμπεράσματι τοῦ βιβλίου γυμνασθήσεταί τι παρὰ ταῦτα πρόβλημα οἰκεῖον καὶ αὐτὸ τῇ προκειμένῃ θεωρίᾳ.

Τούτων οὖν προειλημμένων ὥρα λοιπὸν ἡμῖν ἐπὶ τὴν ἐξήγησιν τῆς λέξεως χωρεῖν, ἣν συνεστραμμένην οὖσαν ἐμφάσεώς τε καὶ πολυνοίας γέμουσαν καὶ ὑπὸ βραχείας παραλλαγῆς | ἅπαν ἐνίοτε τὸ νόημα ἐξαλλάττουσαν καὶ ἐν 9r πολλοῖς τῶν ἀντιγράφων ἤδη τοῦτο πεπονθυῖαν ἅπασαν ἑξῆς ἐδοκιμάσαμεν παραθέσθαι πρὸς διάγνωσιν τῆς ἀκριβεστέρας εἶναι δοκούσης ἐκδόσεως.

p. 16a1 Πρῶτον δεῖ θέσθαι, τί ὄνομα καὶ τί ῥῆμα.

Πρόκειται μέν, ὡς ἐλέγομεν, τῷ Ἀριστοτέλει παραδοῦναι ἡμῖν τὴν διδασκαλίαν τοῦ ἀποφαντικοῦ λόγου· ἐπεὶ δὲ πᾶσα ἀπόφανσις ἐξ ὀνομάτων

---

1 ὑποκείμενον δὲ Fa 2 κατ' αὐτὰς G 3 τὸ suppl. G^2 κατηγ. δὲ λέγεται Fa ἀγορ.] κατηγορούμενον G^1 4 ὥσπερ] ὅπερ M 5 μόνου] ἀγώνου (sic) G 7 ὑποκείμενον] κατηγορούμενον G^1 10 τὸ ἐνδεχόμενον suppl. G^2 καλὸς F^2a 11 σαφῶς F^1G^1M: σοφῶς AG^2: σοφὸς F^2a δίκαιος F^2a 12 σαφῶς F^1M: σοφῶς AF^2Ga 13 ἀλλήλοις] ἄλλοις G μὲν] δὲ Fa 18 καὶ τρίτου προσκατηγορουμένου om. F τρίτον G 20. 21 θαρρήσας] θελήσας G 21 ἀντιφάσεις τούτων colloc. A ἀντιφ.] scribas ἀποφάνσεις post πραγμ. add. βραχύ FMa 23 πρόβλημα παρὰ ταῦτα colloc. A ὃ οἰκεῖον G 24 ἐξήγησιν] διήγησιν G^1 25 χωρεῖν ἀρχή G ἣν—ἐκδόσεως (28) om. AG 29 ante lemma add. Ἀριστοτέλους περὶ ἑρμηνείας ἥγουν τοῦ ἀποφαντικοῦ λόγου τοῦ ἑρμηνεύοντος τὴν γνωστικὴν τῆς ψυχῆς δύναμιν. τμῆμα πρῶτον. ἀμμωνίου τοῦ ἑρμείου ἐξήγησις εἰς τοῦτο F δεῖ om. Fa 30 ἐλέγομεν] p. 2,22. 4,3 sq.

καὶ ῥημάτων ἔχει τὴν γένεσιν, ὡς ὅταν εἴπω 'Σωκράτης περιπατεῖ', δεῖ δὲ πανταχοῦ τὰ ἁπλούστερα προγινώσκεσθαι τῶν ἐξ αὐτῶν συγκειμένων, διὰ δὴ τοῦτο πρεπωδεστάτην ἀρχὴν ποιεῖται τῆς πραγματείας τὴν τῆς ὑπάρξεως τοῦ ὀνόματος καὶ τοῦ ῥήματος θεωρίαν· τὸ γὰρ θέσθαι νῦν ἀντὶ τοῦ ὁρίσασθαι παρείληπται, λεγόμενον μὲν καὶ κατ' ἄλλων σημαινομένων ἐνταῦθα δὲ τὸν ὁρισμόν, ὅπερ ἐλέγομεν, σημαῖνον. ὅτι δὲ κατὰ πλείονας τρόπους τὸ θέσθαι λέγεται, φανερόν· τάς τε γὰρ ὑποθέσεις πολλάκις θέσεις προσαγορεύομεν, ὡς ὅταν εἴπωμεν 'κείσθω τὸ θέατρον ἔχειν τοσόνδε τι πλῆθος', 'κείσθω δὲ δεκάπηχυ μέγεθος ἔχειν' ἢ 'φασιλεύειν, τί οὖν ποιήσεις;' καλοῦμεν δὲ θέσεις καὶ τὰς παραδόξους ὑπολήψεις τῶν γνωρίμων τινὸς κατὰ φιλοσοφίαν, οἷον τὸ πάντα κινεῖσθαι καὶ στάσεως μηδαμῶς τὰ ὄντα μετέχειν, ὥσπερ ἔλεγεν Ἡράκλειτος, ἢ ἓν εἶναι τὸ ὄν, | ὡς ἐδόκει Παρμενίδῃ. θέσεις δὲ λέγομεν καὶ τὰς ὁμολογίας, ὡς δὴ καὶ ἀναθέσθαι λέγομεν τὸ ἀναπαλαῖσαι τὴν ὁμολογίαν. ἀλλὰ καὶ τὰ ἐπιρρήματα τὰ θετικὰ λεγόμενα θέσεις καλοῦσί τινες, οἷον γαμητέον πλευστέον. ἔτι δὲ λέγομεν θέσεις καὶ τοὺς ὁρισμοὺς ὡς προϋποκειμένους τῶν ἀποδείξεων· εἰ γὰρ αἱ ἀποδείξεις ἀπὸ τῶν κατ' οὐσίαν ὑπαρχόντων τοῖς πράγμασιν ἐπιτελοῦνται, τὴν δὲ οὐσίαν ἑκάστου τῶν ὄντων οἱ ὁρισμοὶ σημαίνουσιν, εἰκότως προϋποκεῖσθαι δεῖ τοὺς ὁρισμοὺς τῶν ἀποδείξεων. καὶ ἔτι τούτου κοινότερον θέσεις ἀξιοῖ καλεῖν ὁ Ἀριστοτέλης ἁπλῶς ἁπάσας τὰς ἀμέσους ἀρχὰς τῶν ἀποδείξεων τὰς ἀντιδιαιρουμένας τοῖς ἀξιώμασιν, οἷον τούς τε ὁρισμούς, ὡς εἴρηται, καὶ τὰ αἰτήματα καὶ τὰς ὑποθέσεις ἀποδείξεως μὲν ἤδη δεομένας ἄνευ δὲ ταύτης εἰλημμένας, ὡς ἐν τῷ πρώτῳ σαφῶς διώρισται τῶν Ἀποδεικτικῶν. κατὰ τοσούτους μὲν ἢ καὶ πλείονας τρόπους τὸ θέσθαι λέγεται, νῦν δὲ ὁ Ἀριστοτέλης ἀντὶ τοῦ ὁρίσασθαι αὐτῷ χρῆται, ὡς δηλοῖ ἐπιφέρων τὸ "τί ὄνομα καὶ τί ῥῆμα", τοῦ 'τί ἐστι' τὸν ὁρισμὸν ἡμῖν προφανέστατα σημαίνοντος.

Ἀπορήσειε δ' ἄν τις διὰ τίνα αἰτίαν ἐν παντὶ τῷ βιβλίῳ τῶν Κατηγοριῶν περὶ ἁπλῶν φωνῶν πραγματευσάμενος ἐνταῦθα πάλιν περὶ ὀνόματος καί ῥήματος προτίθεται λέγειν, ὧν ἑκάτερον ἁπλῆ

---

3 δὴ] δὲ G: om. F πρεποδεστ. (ο ex ω corr.) F 5 παρήλειπται a post μὲν add. θεωρίαν A καὶ om. M 6 σημαίνει FMa 7 τε om. G 8 θέσεις πολλάκις colloc. FMa 9 μέγεθος] πλῆθος M 10 ποιήσει FGa 12 μηδαμῶς] μηδενὸς M 12. 13 τὸ ὄν εἶναι colloc. G 13 παρμηνίδει F: παρμηνίδης λέγειν AGM post ὁμολογίας add. ἤτοι προτάσεις Ma: ἤτοι πρότασιν A ὡς δὴ] διὸ AM 14 ante ἀναθέσθαι add. τὸ λεγόμενον παρὰ τοῖς κοινοῖς ἀλληλογία Fa post λέγομεν add. καὶ Fa ἀναπαλαῖσθαι M 15 λεγόμενα] καλούμενα Fa πλευστέον] πιαστέον (sic) F: πιστευτέον a 17 αἱ om. G κατ' οὐσίαν] κυρίως (superscr. οὐσιωδῶς) F: οὐσιωδῶς a 18 ὄντων] ὅρων A 18. 19 σημάνουσιν A 19. 20 καὶ ἔτι — ἀποδεικτικῶν (24) om. G 20 ἁπάσας ἁπλῶς colloc. AM 23. 24 ἐν τῷ πρώτῳ . . τῶν Ἀποδ.] p. 72a15 24 μὲν οὖν G καὶ om. M 26 διορίσασθαι FGa αὐτῷ] αὐτὸ AG 27 τοῦ τί ἐστι G: τουτέστι AFMa τὸν om. Fa προφανέντα F 28 τῷ om. G 30 ὀνομάτων καὶ ῥημάτων FGa

ἐστι δηλονότι φωνή. πρὸς ὃν ῥητέον ὡς ἁπλῆ φωνὴ καὶ ὄνομα καὶ ῥῆμα καὶ φάσις καὶ ὅρος τῷ μὲν ὑποκειμένῳ ταὐτά ἐστιν ἀλλήλοις, τῇ δὲ σχέσει μόνῃ διαφέρου|σιν, ὥσπερ τὸ σπέρμα καὶ ὁ καρ- 10r
πὸς καὶ ἡ ἀνάβασις καὶ ἡ κατάβασις· ὅταν μὲν γὰρ τὰς ἁπλᾶς φωνὰς
5 ὡς σημαντικὰς τῶν πραγμάτων οἷς ἐτέθησαν θεωρῶμεν, αὐτὸ τοῦτο
μόνον ἁπλᾶς φωνὰς προσαγορεύομεν αὐτὰς οὐ διορίζοντες κατὰ τοῦτο τὰ 5
ὀνόματα τῶν ῥημάτων, ὅταν δὲ διπλόην τινὰ ἐν αὐταῖς θεασάμενοι καὶ
τὰς μὲν αὐτῶν ἄρθροις συνταττομένας εὑρίσκοντες τὰς δὲ οὔ, ἢ καὶ τὰς
μὲν χρόνον τινὰ προσσημαινούσας τὰς δὲ οὔ, διαιροῦμεν αὐτὰς ἀπ' ἀλλή-
10 λων καὶ τὰς μὲν ἄρθροις συνταττομένας καὶ χρόνον μὴ προσσημαινούσας 10
ὀνόματα καλεῖν ἀξιοῦμεν, τὰς δὲ ἄρθροις μὲν συντάττεσθαι μὴ δυναμένας
κατὰ χρόνον δέ τινα λεγομένας ῥήματα. ὅταν δὲ αὖ πάλιν ἑκατέραν τῶν
τοιούτων φωνῶν μὴ λαμβάνωμεν αὐτὴν καθ' αὑτὴν ἀλλ' ὡς μέρος οὖσαν 15
καταφάσεως ἢ ἀποφάσεως, τότε φάσιν αὐτὴν καλεῖν ἀξιοῦμεν, ὡς ἐν τοῖς
15 ἑξῆς σαφῶς ἡμᾶς ὁ Ἀριστοτέλης διδάξει. ὅταν δὲ ὡς ἐν συλλογισμῷ
παραλαμβανομένας ἐπισκοπῶμεν, ὅρους αὐτὰς ὀνομάζομεν, ὡς ἐν τοῖς
προοιμίοις ῥηθήσεται τῶν Ἀναλυτικῶν. οὕτω δὲ καὶ Πλάτων ἐν τῷ 20
ἑνάτῳ τῶν Νόμων τὰς ἁπλᾶς φωνὰς ἐκάλεσεν ὅρους· φησὶ γοῦν τοὺς μὲν
προσμιγνύναι τῶν ὅρων ἀλλήλοις, ὧν ἄμεσος ἡ ἀντίθεσις, οἷον τὸ θερμὸν καὶ οὐ
20 θερμόν, τοὺς δὲ μεθόριον ἔχειν, ὧν ἔστι τι μέσον, οἷον τὸ θερμὸν καὶ τὸ
ψυχρὸν ἢ τὸ ἑκούσιον καὶ τὸ ἀκούσιον. περὶ ὧν ἐν ἐκείνοις ὁ λόγος μέσον 25
ἐχόντων τὴν κατὰ θυμὸν γινομένην βλάβην οὔτε ἑκούσιον οὖσαν καθαρῶς οὔτε
ἀκούσιον. ἐπεὶ δὲ εἰ καὶ ταὐτόν ἐστι κατὰ τὸ ὑποκείμενον ὄνομα ἢ ῥῆμα
εἰπεῖν καὶ | ἁπλῆν φωνήν, ἀλλὰ κατά γε τὴν εἰρημένην σχέσιν ταῦτα δια- 10v
25 φέρουσιν ἀλλήλων, τὸ δὲ τῶν Κατηγοριῶν βιβλίον περὶ μόνων ἁπλῶν
φωνῶν ἡμᾶς ἐδίδαξεν οὐδὲν πολυπραγμονήσαν τὴν τῶν ὀνομάτων πρὸς τὰ
ῥήματα διαφοράν, ἧς πολλὴ χρεία πρὸς τὴν θεωρίαν τοῦ ἀποφαντικοῦ 5
λόγου (διὰ γὰρ ταύτης τοὺς ὑποκειμένους ἐν ταῖς ἀποφάνσεσιν ὅρους τῶν
κατηγορουμένων διακρίνομεν), διὰ τοῦτο νῦν προχειρίζεται τὴν περὶ ὀνο-
30 μάτων καὶ ῥημάτων θεωρίαν, ὡς ἂν προσεχεστάτην οὖσαν τῇ προκειμένῃ 10
πραγματείᾳ.

---

1 δηλονότι ἁπλῆ φωνή ἐστι colloc. F: δηλονότι ἁπλῆ ἐστι φωνή Ga ὃν A: ὁ FGMa καὶ ὄνομα iter. A 4 φωνὰς] τῶν φωνῶν (ut videtur) M 6 αὐτάς ante προσαγ. supra scr. A: colloc. G 8 συνταττομένοις F εὑρίσκωντες F²: εὑρίσκωμεν M τὰς δὲ οὔ om. G ἢ καὶ M: καὶ A: ἢ FGa 9 διαιροῦμεν suppl. G² 10 καὶ (ante τὰς) om. G χρόνον τινὰ Fa προσημαιν. A 11 ἀξιοῦμεν καλεῖν colloc. A 14 αὐτὴν evan. M ἐν τοῖς ἑξῆς] p. 16b26 sq. 15 διδάσκει G 16. 17 ἐν τοῖς προοιμίοις . . τῶν Ἀναλ.] p. 24b16 17. 18 ἐν τῷ ἑνάτῳ τῶν Νόμων] p. 878 B 18 ἐννάτω FGMa 19 ὧν] οὗ Fa 21 ἐν om. G 21. 22 ἐχόντων scripsi: ἔχοντα libri 22 γινομένην] ἠγνοημένην M 23 δὲ] οὖν AG εἰ om. A ὄνομα om. A 24 ἀλλά γε κατὰ Fa: ἀλλά γε κατά τε M 25 περὶ μόνων G: περὶ μόνον AFMa: μόνον περὶ Brand. 26 ἡμᾶς suppl. G² 28 ἀποφάσεσιν FGM 29 τὴν] τὰ G 30 καὶ ῥημάτων om. A ἂν om. M

Διὰ τί δέ, φαίη τις ἄν, πλειόνων ὄντων τῶν παρὰ τοῖς γραμματικοῖς λεγομένων τοῦ λόγου μερῶν μόνα ταῦτα νῦν παραδίδοται ἡμῖν, τό τε ὄνομα καὶ τὸ ῥῆμα; διότι, φήσομεν, ταῦτα μόνα δίχα τῶν ἄλλων ἁπάντων δύναται ποιεῖν ἀποφαντικὸν λόγον, ὡς ὅταν εἴπωμεν 'ἄνθρωπος ὑγιαίνει'. περὶ τούτων οὖν μόνων ὁ Ἀριστοτέλης ἐν τούτοις ποιεῖται τὴν σκέψιν, ἃ ἐξ ἀνάγκης ἐν παντὶ ἀποφαντικῷ λόγῳ παραλαμβάνεται καὶ ἀρκεῖ πρὸς τὴν γένεσιν τῆς ἁπλῆς ἀποφάνσεως.

Ἐπιστῆσαι δὲ ἄξιον ὅτι τῶν θρυλλουμένων ὀκτὼ τοῦ λόγου μερῶν τὰ μέν ἐστι σημαντικὰ φύσεών τινων ἢ ἁπλῶς προσώπων ἢ ἐνεργειῶν ἢ παθῶν ἤ τινος τούτων συμπλοκῆς, καθάπερ ὄνομά τε καὶ ἀντωνυμία καὶ ῥῆμα καὶ μετοχή, ἅπερ καὶ μόνα δύναται ἀρκέσαι πρὸς ἀποφαντικοῦ λόγου γένεσιν, ὡς ὅταν εἴπωμεν 'Σωκράτης περιπατεῖ' ἢ 'ἐγὼ περιπατῶ' ἢ 'ὁ τρέχων περιπατεῖ' ἢ 'ὁ Σωκράτης τρέχων ἐστί', τοῦ μὲν ὡς ὑποκειμένου τοῦ δὲ ὡς κατηγορουμένου λαμβανομένου, τὰ δὲ | ταῦτα μὲν οὐ 11r σημαίνουσι, σχέσιν δέ τινα τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον δηλοῦσιν, ὥσπερ τὰ πλεῖστα τῶν ἐπιρρημάτων· ἢ γὰρ ὅπως ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ ἢ πότε ἢ ποῦ ἢ ποσάκις, εἴτε ὡρισμένως εἴτε ἀορίστως, ἢ κατὰ ποίαν πρὸς ἕτερον τάξιν, οἷον ὅτι ὅδε ἑξῆς τῷδε τρέχει ἢ χωρὶς τοῦδε οἰκεῖ, ἢ τίνι παραπλησίως ἢ τίνος μᾶλλον ἢ ἧττον ἢ καὶ ὅτι μετ' ἐπιτάσεως ὑπάρχει ἢ καὶ ὅπως ἡμεῖς ὑπάρχειν αὐτὸ ἢ μὴ ὑπάρχειν δοξάζομεν, ἢ ὡς εἰκάζοντες ἢ ὡς διαβεβαιούμενοι, ἢ καὶ ὅπως διακείμεθα πρὸς τὸ πρᾶγμα, περὶ οὗ ἀποφαινόμεθα, ἢ ὡς σχετλιάζοντες ἢ ὡς θαυμάζοντες ἢ καὶ τὴν ἀπόφανσιν ἐπισφραγιζόμενοι τῇ μαρτυρίᾳ τοῦ κρείττονος, ἢ καὶ ὅτι λυσιτελὲς ἡμῖν τὸ αἱρεῖσθαι τὸ κατηγορούμενον δηλοῦντες ὡς ἐπὶ τῶν θετικῶν λεγομένων ἐπιρρημάτων, ἢ καὶ ἀνεπιτάτως τὴν κατ' αὐτὸ τὸ ἀκρότατον ἀγαθὸν χαρακτηριζομένην τῆς ψυχῆς διάθεσιν ἀνευφημοῦντες ὡς ἐπὶ τῶν ἐνθουσιαστικῶν ἐπιρρημάτων ἐν τῷ εὖ εἶναι τοὺς κατόχους σημαινόντων, ἢ καὶ τὴν ῥηθεῖσαν παρ' ἑτέρων ἀπόφανσιν οἰκειούμενοι διὰ τῆς συγκαταθέσεως ἢ ἀποσειόμενοι διὰ τῆς ἀρνήσεως ἢ ἀποφάσεως· λέγω δὲ σημαίνειν τὸ μὲν ὅπως ὑπάρχει, τά τε τῆς μεσότητος καὶ τὰ τῆς ποιότητος σημαντικὰ ἐπιρρήματα, οἷον 'Σωκράτης καλῶς διαλέγεται' 'ὁ Μελάνθιος τὸν Ὀδυσσέα

---

1 ἄν τις colloc. A 2 νῦν om. M 3 μόνα ταῦτα colloc. G¹M 3. 4 πάντων FGa 4 δύνανται F μόνον AGF 6 λόγῳ ἀποφαντ. colloc. FGa 8 ὀκτὼ om. A 11 καὶ (ante μετοχή) om. A δύνανται FMa 12 εἴπω AG 13 ὁ τρέχων] ἄνθρωποι οὐ in mrg. M² 16 ὅπως] ὁπωσοῦν Ga 18 ἢ] εἴτε F ὅδε om. G τῶδε A: τόδε F: τοῦδε GMa 19 τρέχω G 20 καὶ ὅτι om. G¹ (ὅτι καὶ suppl. G²) 21 ἢ μὴ ὑπάρξειν A: om. G ἢ (alt.)] καὶ G¹ 23 καὶ] κατὰ A ἀπόφασιν AFa: compend. G 24. 25 τὸ κατ. τὸ αἱρ. colloc. A¹ 26 ἀνεπιστάτως AM 27 τὴν διάθεσιν G 28 εἶναι τοὺς κατ. ἐν τῷ εὖ colloc. G εὖ] πρώτω G¹: om. F εὖ εἶναι] an εὖα? καὶ] κατὰ Fa 29 ἀπόφασιν AF 30 ἀποφάνσεως Fa λέγω δὲ suppl. G² 31 τά (ante τε)] τὴν G¹ τε om. FGa μεσότ.] ποιότ. (supra scr. β, sed postea iterum ποιότ.) G τὰ (post καὶ)] τὴν G

λὰξ ἔπληξεν' 'αἱ μέλισσαι βοτρυδὸν πέτονται', καὶ τὰ δηλοῦντα ὅτι ἀθρόοις τοῖς περὶ ὧν ὁ λόγος ἢ οὐκ ἀθρόοις ὑπάρχει τὸ κατηγορούμενον, | οἷον 11v
'ἅμα ἐπῆλθον οἱ πολέμιοι ἢ σποράδην' (εἰσὶ δὲ καὶ ταῦτα ποιότητές τινες· ὑπὸ γὰρ τὸ ποιὸν ἥ τε σύγκρισις καὶ ἡ διάκρισις)· περὶ δὲ τῶν λοιπῶν ἐν τοῖς ἀπηριθμημένοις οὐδὲν πλέον χρὴ προστιθέναι· φανερὰ γὰρ καὶ τοῖς κατὰ βραχὺ δυναμένοις ἐφιστάναι τὰ ὑφ' ἑκάστου δηλούμενα. ταῦτα μὲν οὖν, ὅπερ ἐλέγομεν, σχέσιν τινὰ τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον δηλοῦντα συμβάλλεσθαί τι δοκοῦσι πρὸς τὴν γένεσιν τῶν τοιούτων ἀποφάνσεων, τὰ δὲ λοιπὰ τῶν ἐπιρρημάτων σημαίνουσι μέν, οὐ μέντοι χρήσιμα πρὸς ἀπόφανσιν, ἀλλὰ πρὸς ἄλλα ἄττα εἴδη τοῦ λόγου, καθάπερ τὰ μὲν εὐχῆς σημαντικὰ πρὸς τὸν εὐκτικὸν λόγον, τὰ δὲ τῆς ἀπαγορεύσεως ἢ τῆς παρακελεύσεως πρὸς τὸν προστακτικόν, τὰ δὲ τῆς ἐρωτήσεως πρὸς τὸν ἐρωτηματικόν. τὰ δὲ παρὰ ταῦτα τοῦ λόγου μέρη λεγόμενα καὶ παντάπασίν ἐστιν ἄσημα καθ' αὑτά, καθάπερ ἄρθρον καὶ πρόθεσις καὶ σύνδεσμος.

Τὰ μὲν οὖν φύσεων ἢ προσώπων ἢ ἐνεργειῶν ἢ παθῶν ἢ ποιᾶς συμπλοκῆς προσώπου πρὸς ἐνέργειαν ἢ πάθος σημαντικὰ πάντα ὁ Ἀριστοτέλης εἰς ὀνόματα διαιρεῖ καὶ ῥήματα. τὰ μὲν κατὰ χρόνον λεγόμενα ἢ κατηγορούμενα ἐν ταῖς προτάσεσι ῥήματα καλῶν, τὰ δὲ ἄνευ χρόνου λεγόμενα ἢ τὴν χρείαν συμπληροῦντα τῶν ὑποκειμένων ὀνόματα· τὰ δέ γε ἐν μηδετέρᾳ τούτων χώρᾳ παραλαμβανόμενα, κἂν ἄλλως προσκέωνται ταῖς προτάσεσι, τὸ ὑπάρχειν ἢ μὴ ὑπάρχειν ἢ πότε ἢ πῶς ἢ πασάκις ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ σημαίνοντα ἤ τινα ἄλλην αὐτῶν πρὸς | ἄλληλα σχέσιν. οὐδὲ κυρίως ἀξιοῖ μέρη τοῦ λόγου καλεῖν· 12r
ὥσπερ γὰρ τῆς νεὼς αἱ μέν σανίδες εἰσὶ τὰ κυρίως μέρη, γόμφοι δὲ καὶ λίνον καὶ πίττα συνδέσεως αὐτῶν καὶ τῆς τοῦ ὅλου ἑνώσεως ἕνεκα παραλαμβάνονται, τὸν αὐτὸν τρόπον κἂν τῷ λόγῳ σύνδεσμοι καὶ ἄρθρα καὶ προθέσεις καὶ αὐτὰ τὰ ἐπιρρήματα γόμφων τινῶν χρείαν ἀποπληροῦσι, μέρη δὲ οὐκ ἂν λέγοιντο δικαίως, ἅ γε μὴ δύνανται συντεθέντα καθ' ἑαυτὰ τέλειον ἐργάσασθαι λόγον. λόγου μὲν οὖν ταῦτα οὐ μέρη, λέξεως

---

1 βροτρυδὸν A 1. 2 ἀθρόως (utrobique) A¹ 2 τοῖς om. G 3 ταῦτα] αὐτὰ AM 4 γὰρ om. F 5 καὶ post τοῖς (6) colloc. AG: om. M 6 ἐφιστάνειν FGa ὑφ'] ἐφ' A ἑκάστης G δηλού- in ras. A: λεγόμενα G 8 συμβαλέσθαι G 9 ἀποφάσεων A¹FGa 10 τὰ χρήσιμα A ἀπόφανσιν G: ἀπόφασιν AFMa ἀλλὰ καὶ FGa ἄττα om. FG 11 εὐκτικὸν] τῆς εὐχῆς Fa 12 ἢ τῆς] ἤτοι Fa 13 τοῦ λόγου μέρη λεγ. M: τοῦ λόγου λεγ. μέρη A: λεγ. μέρη τοῦ λόγου F: λεγ. τοῦ λόγου μέρη Ga 14 ἐστιν] εἰσιν FGMa 16 ἢ (ante προσώπων)] καὶ FGa 17 ante ἐνέρ. add. τὴν G² πάθος Brand.: πάθους AFGMa 20 συμπληροῦντα A: πληροῦντα FGMa 21 ἐν om. G μηδετέραις τούτων χώραις FG²M: μηδετέραις χώραις τούτων G¹a κἂν] καὶ G 22 τὸ] τοῦ A 23 ἄλλην om. A 24 μέρη λόγου A: λόγου μέρη G 26 λίνον GM: λίνος AF: λῖνος a ἕνεκα ἑνώσεως colloc. F 27 κἂν] κἂν A: καὶ FGMa 28 τινῶν] τινὰ M συμπληροῦσι G: ἀναπληροῦσι M post ἀποπλ. add. τῷ λόγῳ AM 29 λέγοιτο Fa: λέγοντο G¹ δύναται G 30 τέλειον] πλείω FGa

δὲ μέρη, ἧς καὶ ὁ λόγος αὐτὸς μέρος, καθάπερ ἐν τοῖς Περὶ ποιητικῆς εἴρηται, καὶ εἰσὶ χρήσιμα πρὸς τὴν παρ' ἄλληλα ποιὰν σύνθεσίν τε καὶ σύνταξιν τῶν τοῦ λόγου μερῶν, ὥσπερ καὶ ὁ δεσμὸς πρὸς τὴν ἐπίκτητον ἕνωσιν τῶν δεδεμένων καὶ ἡ κόλλα τῶν δι' αὐτῆς συνεχομένων, ἀλλ' οὔτε ἐκεῖνα μέρη τῶν δεδεμένων ἢ κεκολλημένων οὔτε σύνδεσμοι ἢ ἄρθρα ἢ προθέσεις ἢ ἐπιρρήματα τοῦ λόγου μόρια.

Διαφέρει δὲ ὁ λόγος τῆς λέξεως, ὅτι ὁ μέν ἐστι πλήρωμα προηγουμένως τῶν σημαινουσῶν τὰ πράγματα φωνῶν, ἡ δὲ πασῶν ἁπλῶς τῶν παραλαμβανομένων πρὸς τὴν διάλεκτον. ἔχεις δὲ τοῦ λόγου τὴν πρὸς τὴν λέξιν διαφορὰν καὶ ὑπὸ Πλάτωνος ἐν τῷ τρίτῳ τῆς Πολιτείας παραδεδομένην, ἐν οἷς φησι "τὰ μὲν δὴ λόγων πέρι ἐχέτω τέλος, τὸ δὲ λέξεως μετὰ τοῦτο σκεπτέον, καὶ ἡμῖν ἅ τε λεκτέον καὶ ὡς λεκτέον παντελῶς ἐσκεμμένον ἔσται". δι' ὧν δῆλός ἐστι λόγον μὲν τὴν διάνοιαν καλῶν, λέξιν δὲ τὴν ἀπαγγελίαν, εἴτε διὰ τῶν ἀναγκαιοτάτων γίνοιτο μερῶν, ὀνόματός τε καὶ ῥήματος, καθ' ἣν ὁ | ἐν προφορᾷ καὶ ἰδίως λεγόμενος θεωρεῖται λόγος, εἴτε καὶ τὰ λοιπὰ μέρη παραλαμβάνοι τοῦ κοινότερον λεγομένου λόγου, ταὐτὸν δὲ εἰπεῖν, τῆς πρὸς κάλλος ἤδη καὶ ποιὰν σύνταξιν ἀποβλεπούσης ἑρμηνείας.

Τῷ μὲν οὖν ἀπὸ τῆς Ἀφροδισιάδος ἐξηγητῇ δοκεῖ καὶ τὰ ἐπιρρήματα ὀνόματα εἶναι, καθάπερ καὶ τὰς ἀντωνυμίας καὶ τὴν καλουμένην παρὰ τοῖς γραμματικοῖς προσηγορίαν. οὐ μέντοι φαίνεται τοῦτο λόγον τινὰ ἔχειν, διότι τὰ μὲν τῶν ἐπιρρημάτων οὐδ' ἂν ὑποπτευθεῖεν ὀνόματα εἶναι, οἷον τὰ τῆς συγκαταθέσεως ἢ τῆς ἀρνήσεως ἢ τῆς ἀπαγορεύσεως ἢ τὰ προταττόμενα τῶν ὅρκων καὶ πλεῖστα ἕτερα, τὰ δὲ τῷ μὲν παρῆχθαι ἀπό τινων ὀνομάτων ἔδοξεν αὐτῷ τὴν αὐτὴν ἔχειν τοῖς ὀνόμασι δυνάμιν, οἷον τὸ καλῶς καὶ τὸ σαφῶς ἀπὸ τοῦ καλοῦ καὶ τοῦ σαφοῦς, καθάπερ καὶ τὸ δικαίως ἀπὸ τῆς δικαιοσύνης. εἰ δὲ τοῦτο οὕτως ἔχοι, τὸ γαμητέον καὶ τὸ πλευστέον ῥήματα προσαγορεύσομεν, ἀλλ' οὐκ ὀνόματα, ὡς ἐκ τοῦ δεῖν γαμεῖν ἢ πλεῖν γεγονότα. οὐ μὴν εὔλογον ἢ ταῦτα ῥήματα ἢ τὰ πρότερα ὀνόματα καλεῖν, ἐπεὶ μήτε ὑποκεῖσθαι μήτε κατηγορεῖσθαί τι τούτων ἐν ταῖς προτάσεσι δυνατόν, ὧν θάτερον ἀνάγκη πάσχειν τό τε ὄνομα καὶ τὸ ῥῆμα· τὸ μὲν γὰρ 'σαφὲς' ὄνομα κατηγορούμενον εὑρήσεις

---

1 περὶ ποιητικῆς] περὶ ποιητικοῖς F (cf. c. 20 p. 1456b20) 4 ἀνεχομένων M 9 πρὸς (ante τὴν] εἰς FGa διάλεκτον] διαλεκτικήν FMa τὴν (ante πρὸς) om. AFG 9. 10 πρὸς τὴν λέξιν] πρὸς τὴν κατὰ τὴν λέξιν A: πρὸς τὴν διάλεξιν G¹: πρὸς τὸ κατὰ τὴν λέξιν M 10 ἐν τῷ τρίτῳ τῆς Πολιτείας] p. 392 C 10. 11 παραδιδομένην A 11 τὰ] τὸ A: τῶ M λόγων A: λόγου FGa: λόγω M περιέχεται M τὸ δὲ] τὰ δὲ FMa 12 καὶ (ante ὡς) om. F 13 ἐσκεμμένον ἔστω M: ἐσκέψεται Plat. δῆλος] δὴ λόγος G¹ 14 ἀπαγγελίαν] ἀπολογίαν FG γένοιτο AM 15. 16 λόγος θεωρ. colloc. AM 16 παραλαμβάνει AF: περιλαμβάνοι M κοινοτέρου A 17 δὲ suppl. G² τῆς] τοῖς A 19 οὖν om. F 20 καὶ (post καθάπερ) om. AGM 21 τοῦτο om. M 24 προσταττόμενα F¹ 27 ἔχοι M: ἔχει AFGa 28 τὸ om. AG προσαγορεύσομεν G²: προσαγορεύομεν AFG¹Ma

ἐν τῷ λόγῳ τῷ λέγοντι 'τόδε τὸ χωρίον τοῦ Περὶ ἑρμηνείας σαφές ἐστι', τὸ δέ γε 'σαφῶς' οὐκέτι. οὐ μὴν οὐδὲ σύνθετόν τι κατηγορούμενον ἐξ αὐτοῦ τε καὶ τοῦ περὶ οὗ τὸ σαφῶς λέγεται γίνεσθαι φήσομεν, οἷον τὸ 'σαφῶς ἐξηγεῖται', καθάπερ ἐπὶ τοῦ 'νεκρὸς ἄνθρωπος' καὶ 'κίβδηλος δρα|χμή'· ἔδει γὰρ οὕτως τῶν τοιούτων καταφάσεων τὰς ἀποφάσεις τὸν 13r αὐτὸν γίνεσθαι τρόπον ταῖς ἁπλοῦν τι κατηγορούμενον ἐχούσαις, ὥσπερ ἐπὶ τῶν τῷ ὄντι συνθέτων κατηγορουμένων συμβαίνει· καθάπερ γὰρ τῆς 'ὁ τεθνεὼς ἄνθρωπός ἐστι' καταφάσεως ἀπόφασις τὸ 'ὁ τεθνεὼς ἄνθρωπος οὐκ ἔστι' καὶ τῆς 'ὁ τεθνεὼς νεκρός ἐστι' τὸ 'ὁ τεθνεὼς νεκρὸς οὐκ ἔστιν', οὕτω καὶ τῆς 'ὁ τεθνεὼς νεκρὸς ἄνθρωπός ἐστιν' τὸ 'ὁ τεθνεὼς νεκρὸς ἄνθρωπος οὐκ ἔστιν'. ἐπὶ δέ γε τῶν μετὰ τρόπου προτάσεων ἀλλοιότερον ἀνάγκη γίνεσθαι τὰς ἀποφάσεις, καὶ οὐχ ὥσπερ ἐπὶ τῶν ἄνευ τρόπου προτάσεων· τῆς μὲν γὰρ 'Σωκράτης βαδίζει' καταφάσεως ἀπόφασις τὸ 'Σωκράτης οὐ βαδίζει', τῆς δέ γε 'Σωκράτη βαδίσαι δυνατόν' οὐχ ἡ 'Σωκράτη μὴ βαδίσαι δυνατόν' ἀλλ' ἡ 'Σωκράτη βαδίσαι οὐ δυνατόν', ὡς ἐν τῷ τελευταίῳ τμήματι τοῦδε τοῦ βιβλίου σαφέστατα ἡμᾶς ὁ Ἀριστοτέλης διδάξει.

Διὸ πανταχοῦ συντίθεσθαι τὸν ἀποφαντικὸν λόγον φησὶν ἐξ ὀνόματος καὶ ῥήματος καὶ διαλύεσθαι εἰς ταῦτα, ὡς ἂν ταῦτα μόνα κυρίως μέρη λόγου προσαγορεύειν ἀξιῶν, τοῦ εἶναι καὶ τοῦ μὴ εἶναι τῶν μὲν ἀμέσως κατά τινων κατηγορουμένων, μερῶν τότε τῶν προτάσεων γινομένων, ὡς ἐν ταῖς 'Σωκράτης ἐστί' 'Σωκράτης οὐκ ἔστιν', οὐ παρ' ἔλαττον τῶν ὑποκειμένων, τῶν δὲ ἐν ταῖς ἐκ τρίτου προσκατηγορουμένου προτάσεσιν ἢ ταῖς μετὰ τρόπου παραλαμβανομένων, προστίθεσθαι τοῖς μέρεσι τῆς προτάσεως ἢ διαιρεῖσθαι ἤ τι τοιοῦτον ὑπομένειν λεγομένων, ὡς ἐν τοῖς προοιμίοις μαθησόμεθα τῶν Ἀναλυτικῶν. ὥστε τὸ μὲν μέρος τῆς ἀποφάνσεως ἢ ὄνομα πάντως | ἢ ῥῆμα εἶναι χρή, οὐ μέντοι τὸ ῥῆμα 13v πάντως ἐστὶ τῆς προτάσεως μέρος, ὅταν μὴ αὐτόθεν τοῦ ὑποκειμένου κατηγορῆται ὡς ἐνέργειαν ἢ πάθος ἢ ἁπλῶς ὕπαρξιν ἢ ἀνυπαρξίαν τοῦ ὑποκειμένου σημῆναι ὀφεῖλον, ἀλλ' ἕνεκα τοῦ συναρμόσαι τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ παραλαμβάνηται. ὅτι δὲ ταῦτα ὀρθῶς λέγομεν, δῆλον καὶ ἐξ αὐτῆς τῆς προσηγορίας τῶν ἄλλων τοῦ λόγου μερῶν λεγομένων περὶ τὸ ὄνομα καὶ τὸ ῥῆμα· τὴν μὲν γὰρ ἀντωνυμίαν ὡς ὄνομα

---

1 τῷ (ante λέγοντι) om. M 3 τὸ (prius) suppl. G² · σαφῶς G¹: σαφὲς G² 4 νεκρὸς AM: θνητὸς FGa 5 δραχμή om. G 6 τι om. A , 8 καταφάσεως a: om. codd. post ἀπόφασις add. ἐστίν Ma τὸ ὁ G: τὸ A: ὁ τῆς Fa: ὁ M 9 καὶ τῆς — νεκρὸς οὐκ ἔστιν om. M 9. 10 ὁ τεθνεὼς νεκρός ἐστι — καὶ τῆς om. A 9 τὸ ὁ G: ὁ τῆς F: τῆς ὁ a 10 ἄνθρ. νεκρ. (num. corr.) colloc. G τὸ ὁ GM: τὸ A: τῆς ὁ Fa 14. 15 Σωκράτη] σωκράτης (primo loco) A(ter)F 20 προαγορεύειν G¹ τοῦ (ante μὴ) om. G 20. 21 τῶν μὲν — μερῶν om. M 22 ταῖς] τῆς Fa: τοῖς G παρ' ἔλαττον] παραλλάττον Fa 23 ἢ om. AM 24 παραλαμβ.] λαμβανομένων A: παραλαμβανομέναις G¹ 26 τῶν 'Αναλ.] cf. p. 24ᵇ17. 18 26. 27 ἀποφάσεως A¹F 30 σημᾶναι FGa ὀφεῖλων A¹ 30. 31 τὸ κατηγορούμενον iteratum del. G 31 παραλαμβάνεται AFMa 32. 33 λεγομ. μερῶν colloc. AM 33 περὶ] παρὰ AG

οὖσαν οὐ φύσεών τινων ἀλλὰ προσώπων ἁπλῶς οὕτως ἐπονομάζουσι, καὶ τὴν μετοχὴν ὡς μετέχουσαν ἀμφοτέρων, ὀνόματός τέ φημι καὶ ῥήματος, εἰ καὶ μᾶλλον ἀποκλίνει πρὸς τὴν ἰδιότητα τῶν ῥημάτων χρόνων τινῶν οὖσα δηλωτική, τὸ δὲ ἄρθρον ὡς συναρτώμενον τοῖς ὀνόμασι καὶ τὴν ἀναφορὰν πρὸς ἐκεῖνα ἔχον. περὶ δὲ προθέσεως ἢ ἐπιρρήματος ἢ συνδέσμου τί δεῖ καὶ λέγειν; ὧν τὴν μὲν ὡς ὁμοίως ὀνομάτων τε καὶ ῥημάτων προταττομένην οὕτως ἐπονομάζουσι, τὸ δὲ ὡς τοιῶσδε τοῖς ῥήμασι συμπλεκόμενον, τὸν δὲ ὡς τοὺς ἀπηρτημένους συνδέοντα λόγους. εὑρήσεις δὲ ἔν τισι τὸν Ἀριστοτέλην συγχωρεῖν δοκοῦντα καὶ τὰ πάντα κοινότερον μέρη τοῦ λόγου προσαγορεύοντα, διόπερ ἐν τοῖς ἑξῆς ἐρεῖ τινα τῶν μερῶν τοῦ λόγου σημαντικὰ εἶναι ὡς ὄντων τινῶν καὶ ἀσήμων, εἰ μή τις ἡμῖν φανείη τῆς ῥήσεως ἐκείνης προσεχεστέρα ἐξήγησις οὐδὲν ἐναντίον ἔχουσα τοῖς νῦν εἰρημένοις.

p. 16a1 Ἔπειτα τί ἐστιν ἀπόφασις καὶ κατάφασις καὶ ἀπόφανσις καὶ λόγος.

Ὅτι μὲν τρεῖς εἰσιν οἱ κυρίως λεγόμενοι τῶν διαιρέσεων τρόποι, τοῦ γένους εἰς τὰ εἴδη καὶ τοῦ ὅλου εἰς τὰ μέρη καὶ τῆς ὁμωνύμου φωνῆς εἰς τὰ διάφορα σημαινόμενα, φανερόν, καὶ ὅτι ἡ ἀπόφανσις εἰς τὴν κατάφασιν διαιρεῖται καὶ τὴν ἀπόφασιν· λέγομεν γὰρ τῆς ἀποφάνσεως τὴν μὲν εἶναι καταφατικὴν τὴν δὲ ἀποφατικήν. ἐζήτηται δὲ παρὰ τοῖς ἐξηγηταῖς τοῦ Ἀριστοτέλους τίνα τρόπον διαιρεῖται ἡ ἀπόφανσις εἰς τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν. καὶ οἱ μὲν εἵλοντο λέγειν αὐτὴν ὡς φωνὴν ὁμώνυμον εἰς διάφορα σημαινόμενα διαιρεῖσθαι, καθάπερ ὁ Ἀφροδισιεὺς Ἀλέξανδρος, οἱ δὲ ὡς γένος εἰς εἴδη, καθάπερ ὁ φιλόσοφος Πορφύριος· οὐδεὶς γὰρ ἐτόλμησεν εἰπεῖν διαιρεῖσθαι αὐτὴν ὡς ὅλον εἰς μέρη, ἐπείπερ οὔτε ὡς ὁμοιομερὲς ὅλον φαίνεται διαιρουμένη (πολλὴ γὰρ ἡ διαφορὰ τῆς καταφάσεως πρὸς τὴν ἀπόφασιν) οὐθ' ὡς ἀνομοιομερές· οὐ γὰρ ἂν ἑκάτερον τῶν μερῶν ἐκαλεῖτο τῷ τοῦ ὅλου ὀνόματι. τὸ μὲν οὖν ἀληθὲς ὅπῃ ἔχει καὶ ὡς ἡ τοῦ φιλοσόφου κρατεῖ Πορφυρίου δόξα, προϊόντες κατὰ καιρὸν ἐπιδείξομεν ἐξηγούμενοι τοὺς ἀποδιδομένους αὐτῶν παρὰ τοῦ Ἀριστοτέλους ὁρισμούς.

Νυνὶ δὲ ῥητέον πρῶτον μὲν ὅτι τὸ δεῖ θέσθαι, ὅπερ ἦν τὸ ὁρί-

---

2 ὀνόματός φημι (τε om.) AM: φημὶ ὀνόματος (τε om.) F 4 ἀναρτώμενον AM 6 τῶν ὀνομάτων A 8 τὸν] τὸ A ἀπηρτημένους] ἀπηρτισμένους FGa 9 ἀριστοτέλη A 10 προσαγορεύεσθαι AFGa τοῖς] τῷ FMa ἑξῆς ἐρεῖ] p. 16b25. 26 14 post ἔπειτα inser. δὲ G² 14. 15 καὶ ἀπόφανσις καὶ λόγος om. M 16 μὲν suppl. G² μὲν οὖν M 18 τὰ om. Fa 19 καὶ εἰς τὴν ἀπόφ. G 22 καὶ εἰς τὴν ἀπόφ. a ὡς φωνὴν αὐτὴν (ὁμώνυμον om.) AM ὡς om. F 24. 25 ἐτόλμα G¹ 25 αὐτὴν (ex αὐτῷ corr. m.²) εἰπεῖν διαίρ. colloc. G αὐτὴν διακεῖσθαι (sic) F ἐπείπερ] ἐπεὶ F 25. 26 ὡς ὁμοιομερὲς ὅλον A: εἰς (ὡς G¹) ὁμοιομερὲς ὡς ὅλον FGa: εἰς ὁμοιομ. ὅλον M 26 ἡ om. F 27 οὐθ' ὡς AM: οὔτε γὰρ εἰς F: οὔτε εἰς G: οὔτε γὰρ ὡς a 31 νυνὶ] νῦν F ὅτι τὸ G: ὅτι AM: τὸ Fa

σασθαι, κοινῶς καὶ ἐπὶ τούτων ληπτέον 'ἔπειτα δεῖ θέσθαι τί ἐστιν ἀπόφασις καὶ κατάφασις καὶ ἀπόφανσις καὶ λόγος', πρὸς δὲ τούτῳ, ὅτι τέτταρα μὲν τὰ ἀπηριθμημένα δεῖν φησιν ὁρίσασθαι μετὰ τὸ ὄνομα καὶ τὸ ῥῆμα. διότι τὸ μὲν προκείμενόν ἐστιν. ὥσπερ ἐλέγομεν. τὸ κατηγορικὸν εἶδος τοῦ ἀποφαντικοῦ λόγου παραδοῦναι, | τοῦτο δὲ πάντως ἢ καταφατικόν 14v ἐστιν ἢ ἀποφατικόν. ἔδει οὖν διδάξαι περὶ καταφάσεως καὶ ἀποφάσεως. ὥστε καὶ περὶ τοῦ κοινοῦ αὐτῶν γένους, τῆς ἀποφάνσεως. ἐπεὶ δὲ καὶ ἡ ἀπόφανσις ἕν τί ἐστι τῶν τοῦ λόγου εἰδῶν καὶ ἔδει τὸν λόγον ἐν τῷ ὁρισμῷ παραληφθῆναι τῆς ἀποφάνσεως, διότι καὶ πάντα τὰ γένη τοὺς ὁρισμοὺς συμπληροῦσι τῶν οἰκείων εἰδῶν, γνωριμώτερα δὲ εἶναι χρὴ τὰ πρὸς διδασκαλίαν ὁτουοῦν λαμβανόμενα τοῦ δι' αὐτῶν δηλουμένου, διὰ τοῦτο ἔδοξεν ἀναγκαῖα εἶναι καὶ ἡ τοῦ λόγου θεωρία ὡς προληφθῆναι ὀφείλουσα τῆς ἀποφάνσεως. εἰ δέ τις ἀποροίη πῶς οὐχὶ καὶ τὸ τοῦ λόγου γένος, ἡ φωνή, διὰ τὴν αὐτὴν αἰτίαν μνήμης ἠξίωται ὡς ὀφεῖλον καὶ αὐτὸ δι' ὁρισμοῦ δηλωθῆναι, ῥητέον ὅτι φυσιολογίᾳ προσῆκον ἦν περὶ φωνῆς διαλεχθῆναι, διότι μόνης φύσεώς ἐστιν ἔργον ἡ φωνή, καθάπερ τὸ ὁρᾶν καὶ τὸ ἀκούειν (φύσει γάρ ἐσμεν φωνητικοί), λόγος δὲ καὶ ἀπόφανσις καὶ τὰ ταύτης εἴδη, κατάφασις καὶ ἀπόφασις, φωναὶ μέν τινές εἰσιν, ἀλλὰ προσλαβοῦσαι τὸ ἀπὸ τῆς ἡμετέρας ἐννοίας εἰδοποιεῖσθαι καὶ τοίως ἢ τοίως προφέρεσθαι. διὸ καὶ ἰδία τις ἀπονενέμηται αὐτοῖς πραγματεία παρὰ τὰς φυσικάς, ἡ λογικὴ κεκλημένη, ὥστε μηδὲ ἁπλῶς εἶναι τὴν φωνὴν τοῦ λόγου, ὥσπερ τινὲς ὑπολαμβάνουσι, γένος· οὐ γὰρ οἷόν τε ἦν τοῦ γένους φύσει ὄντος τὸ εἶδος μὴ εἶναι φύσει, ἀλλ' εἴπερ ἄρα, τῆς κατὰ τὸν λόγον φωνῆς τὴν ἁπλῶς φωνὴν ῥητέον γένος εἶναι, πρὸς μέντοι τὸν λόγον αὐτὸν ἐν ὅλης τάξει παραλαμβάνεσθαι τὴν φωνὴν ἐροῦμεν, ὅπερ καὶ αὐτὸς ὁ Ἀριστοτέλης ἐν τῷ πέμπτῳ τῶν Περὶ γε|νέσεως ζῴων ἀποφαίνεται τὰς 15r κατὰ τὴν φωνὴν διαφορὰς τῶν ζῴων ἐπισκεπτόμενος, ἀλλ' οὐ γένος αὐτοῦ τυγχάνειν, ὡς διὰ τῶν ἑξῆς ἔσται σαφέστερον. τὸν δέ γε ζητοῦντα, τί οὖν τοῦ λόγου τὸ γένος, ἀναμιμνήσκεσθαι χρὴ τῆς ἐν ταῖς Κατηγορίαις παραδεδομένης τοῦ ποσοῦ διαιρέσεως.

Προσεκτέον δὲ ὡς ἐν τοῖς τέτταρσι τοῖς ἀπηριθμημένοις ἀπὸ τῶν καταδεεστέρων τὴν ἀρχὴν ποιησάμενος ὁ Ἀριστοτέλης ἄνεισιν ἐπὶ τὰ

---

1 καὶ om. Fa δεῖ] δὴ A 2 τούτω] τούτοις Fa 3 μὲν om. M δεῖ φησι A: φησὶ δεῖν Fa 4 ἐλέγομεν] p. 2, 22: 4, 3 5 ἀποφατικοῦ F 6 οὖν] γοῦν Fa ἀποφ. καὶ καταφ. colloc. F 7 δὲ] δὴ Fa 8 ἀπόφασις A εἰδῶν] γενῶν A 12 εἶναι ἀναγκ. colloc. F ἀναγκαῖον A προλεῖφθῆναι G1 13 οὐχὶ ὡς A τὸ om. AGM 14 ὀφείλουσα καὶ αὐτὴ AM 15 ἦν] τὸ G 16 ἔργον ἐστὶ colloc. G 17 ἡ ἀπόφανσις M 19 ἀπὸ] ἐκ F εἰδοπ.] ὁδοποιεῖσθαι M καὶ suppl. G2 20 προσφέρεσθαι AGM παρὰ] περὶ G1 21. 22 τοῦ λόγου τὴν φωνὴν colloc. AGM 24 αὐτὸν om. G 25 ὅπερ] ὥσπερ A ὁ om. FMa 26 Περὶ γεν. ζ.] p. 786b21 26. 27 ἀποφαίνεται—ζῴων om. M 28 τυγχάνει FMa 29 ταῖς om. AFMa Κατ.] p. 4b32 29. 30 παραδεδ.] δεδομένης G 31 τέταρσι A: τέτρασι G ἀπὸ] ἐκ Fa 32 ὡς ὁ ἀριστ. a

τελειότερα καὶ ἀπὸ τῶν μερικωτέρων ἐπὶ τὰ ὁλικώτερα· τελειότερον γὰρ κατάφασις μὲν ἀποφάσεως ἅτε ὕπαρξιν σημαίνουσα τῆς ἀποφάσεως ἀνυπαρξίαν δηλούσης, τῆς δὲ καταφάσεως ἡ ἀπόφανσις ἅτε γένος αὐτῆς, ὡς ἐλέγομεν, τυγχάνουσα, τῆς δὲ ἀποφάνσεως ὁ λόγος, ἐπείπερ ἓν ἐστι τῶν πέντε εἰδῶν τοῦ λόγου τὸ ἀποφαντικόν. καὶ ἔστιν ἡ τάξις τῆς εἰρημένης ἀπαριθμήσεως πρὸς ἡμᾶς τοὺς ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττονα καὶ ἀπὸ τῶν μερικωτέρων ἐπὶ τὰ ὁλικώτερα μεταβαίνειν πεφυκότας διὰ τὴν ἀπὸ τοῦ ἀτελοῦς τῆς γνώσεως ἡμῶν ἐπὶ τὸ τελειότερον προκοπήν. ἐν μέντοι τῇ περὶ αὐτῶν διδασκαλίᾳ ὥσπερ ἀνάπαλιν ὁδεύσει κατὰ τὴν φυσικὴν τῶν πραγμάτων τάξιν, τὰ μὲν γένη τῶν εἰδῶν προτιθεὶς τὰ δὲ τελειότερα τῶν ἀτελεστέρων. διὸ καὶ τὸν προειρημένον αὐτὰ τρόπον ἀπηριθμήσατο, τὸ τέλος τῆς ἀπαριθμήσεως ἀρχὴν ποιήσασθαι βουλόμενος τῆς διδασκαλίας.

p. 16a3 Ἔστι μὲν οὖν τὰ ἐν τῇ φωνῇ τῶν ἐν τῇ ψυχῇ παθημάτων σύμβολα, καὶ τὰ γραφόμενα τῶν ἐν τῇ φωνῇ. καὶ ὥσπερ οὐδὲ γράμματα πᾶσι τὰ αὐτά, οὕτως οὐδὲ φωναὶ | αἱ αὐταί· ὧν 15v μέντοι ταῦτα σημεῖα πρώτως, ταὐτὰ πᾶσι παθήματα τῆς ψυχῆς. καὶ ὧν ταῦτα ὁμοιώματα, πράγματα ἤδη ταὐτά. περὶ μὲν οὖν τούτων εἴρηται ἐν τοῖς Περὶ ψυχῆς· ἄλλης γὰρ πραγματείας.

Ἣν μὲν ἀκόλουθον κατὰ τὰ ἐπηγγελμένα τοὺς ὁρισμοὺς ἑξῆς ἀποδοῦναι τοῦ ὀνόματος καὶ τοῦ ῥήματος, ἀλλ' ἐπεὶ οὐ πᾶσα λέξις ὄνομα ἢ ῥῆμα (ἡ γὰρ ἄσημος οἷον βλίτυρι καὶ σκινδαψὸς οὐδέτερον τούτων) καὶ διαφέρουσι τὰ ὀνόματα καὶ τὰ ῥήματα τῶν ἀσήμων φωνῶν κατὰ τὸ σημαντικά τινων εἶναι, πρότερον ἡμᾶς ὁ Ἀριστοτέλης διδάσκει διὰ τούτων, τίνα ἐστὶ τὰ προηγουμένως καὶ προσεχῶς ὑπ' αὐτῶν σημαινόμενα, καὶ ὅτι τὰ νοήματα, διὰ δὲ τούτων μέσων τὰ πράγματα, καὶ οὐδὲν ἕτερον δεῖ παρὰ ταῦτα ἐπινοεῖν μέσον τοῦ τε νοήματος καὶ τοῦ πράγματος, ὅπερ οἱ ἀπὸ τῆς Στοᾶς ὑποτιθέμενοι λεκτὸν ἠξίουν ὀνομάζειν. ταῦτά τε οὖν παραδοθήσεται διὰ τῶν νυνὶ λεγομένων καὶ προηγουμένως ἐν τίσι τῶν ὁπωσοῦν ὄντων χρὴ ζητεῖν τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος. ὑπὲρ ὧν νῦν ἡμῖν ἡ σκέψις, πότερον ἐν τοῖς πράγμασιν ἢ ἐν τοῖς νοήμασιν ἢ ἐν ταῖς φωναῖς ἢ ἐν δύο τισὶ τούτων ἢ καὶ ἐν πᾶσι, καὶ εἰ ἐν φωναῖς, ποίαις ταύταις,

2 μὲν ante γὰρ (1) colloc. Fa ἀποφάσεως (prius) om. F post τῆς add. δὲ G^2
3 ἐλέγομεν] p. 15,18sq. 5 προειρ. FGa 6 ὑμᾶς A^1 7 ἀπὸ] ἐκ F 9 αὐτοῦ F: αὐτῆς a 10 προστιθεὶς A δέ γε M 11 προηρημένον A 12 τέλος suppl. G^2
14 post φωνῇ litura IX litt. G 14. 15 παθημάτων — πραγματείας (19) om. FM
15 καὶ τὰ] κατὰ A 16 οὕτως eicias (cf. p. 23,34); om b 17 ταῦτα τὰ σημ. A πρῶτον A τὰ αὐτὰ G^2 18 τὰ αὐτὰ G 19 πραγμ. τοῦτο A: τοῦτο πραγμ. a
22 ἡ] ὁ F γὰρ] μὲν A βλίτυρ σκίνδαψα (καὶ om.) A 22. 23 διαφέρ. γὰρ A
23 τὸ om. G^1 26 δεῖν FMa 27 τε om. G^1 νοήμ.] ὀνόμ. G 28 τε om. F
31 ἐν (ante τοῖς νοήμ.) om. FMa, (ante ταῖς φωναῖς) om. AFMa 32 καὶ (ante ἐν) om. A

πότερον τοῖς ὀνόμασι καὶ τοῖς ῥήμασιν ἢ τοῖς ἐκ τούτων συγκειμένοις λόγοις. καὶ διορισθήσεται ὅτι τὰ μὲν ὀνόματα καὶ τὰ ῥήματα φωναί εἰσιν ἁπλαῖ μήτε ἀλήθειαν μήτε ψεῦδος σημαίνουσαι, ὡς καὶ ἐν τοῖς προοιμίοις εἴρηται τῶν Κατηγοριῶν. περὶ δὲ τὸν ἐκ τῆς συμπλοκῆς αὐτῶν ἀποτελούμενον ἀποφαντικὸν λόγον θεωρεῖται τό τε ἀληθὲς καὶ τὸ ψεῦδος, καὶ | ὡς 16r πρὸ τῶν φωνῶν περὶ τὰ νοήματα θεωρεῖται ταῦτα ὡς αἴτια τῶν φωνῶν ὄντα· καὶ γὰρ τούτων τὰ μέν ἐστιν ἁπλᾶ τὰ ὑπὸ τῶν ἁπλῶν σημαινόμενα φωνῶν οὐδεμίαν οὔτε ἀλήθειαν οὔτε ψεῦδος ἐπιδεχόμενα, τὰ δὲ σύνθετα τὰ περὶ τῶν συνθέτων πραγμάτων καὶ ὑπὸ τῶν συμπεπλεγμένων δηλούμενα φωνῶν δεκτικὰ ὄντα ψεύδους τε καὶ ἀληθείας. ἐν δέ γε αὐτοῖς καθ' αὑτὰ τοῖς πράγμασιν οὐκ ἄν τις ἔτι ταῦτα οὐδὲ τοῖς συνθέτοις ἐπινοήσειε. καὶ δῆλον ὅτι εἰκότως ἐν τούτοις ὁ Ἀριστοτέλης, πρὶν ἀποδοῦναι τοῦ ὀνόματος καὶ τοῦ ῥήματος τοὺς ὁρισμούς, περὶ τούτων διορίζεται· καὶ γὰρ ἔδει τὸν περὶ ψεύδους τε καὶ ἀληθείας ἐν τούτῳ πρῶτον τῷ βιβλίῳ θεωρῆσαι προθέμενον παραδοῦναι ἡμῖν ἐκ προοιμίων τά τε δεκτικὰ τούτων ἑκατέρου καὶ τὰ μηδέτερον αὐτῶν δέχεσθαι πεφυκότα, καὶ ὑπομνήσαντα ὅτι τὸ μὲν ἐν ταῖς συνθέτοις θεωρεῖται φωναῖς τὸ δὲ ἐν ταῖς ἁπλαῖς, ἐπὶ τούτῳ διελεῖν τὰς μὲν ἁπλᾶς φωνὰς καὶ ἀνεπιδέκτους ἢ ψεύδους ἢ ἀληθείας εἰς τὸ ὄνομα καὶ τὸ ῥῆμα, τὰς δὲ συνθέτους ἐκ τούτων καὶ πάντως ἢ ἀληθευούσας ἢ ψευδομένας (ταὐτὸν δὲ εἰπεῖν, τὰς κατὰ τὸν ἀποφαντικὸν λόγον) εἰς τὰ οἰκεῖα πάλιν εἴδη, τήν τε κατάφασιν καὶ τὴν ἀπόφασιν.

Τούτων οὕτως ἐχόντων διαρθροῦντες ἡμεῖς τὰ ὑπὸ τοῦ φιλοσόφου παραδιδόμενα λέγομεν ὅτι τέτταρα ταῦτα παραλαμβάνει διὰ τούτων ὡς χρήσιμα πρὸς τὴν προκειμένην θεωρίαν, πράγματά τε καὶ νοήματα καὶ ἔτι φωνὰς καὶ γράμματα. ἐν οἷς πρώτην μὲν ἔχει τάξιν τὰ πράγματα δευτέραν δὲ τὰ νοήματα | τρίτην αἱ φωναὶ καὶ τελευταίαν τὰ γράμματα· 16v τὰ μὲν γὰρ νοήματα τέλος ἔχει τὴν τῶν πραγμάτων κατάληψιν, καὶ τότε ὄντως νοήματά ἐστιν, ὅταν αὐτοῖς ὥσπερ ἐφαρμοσθῇ τοῖς πράγμασιν· εἰκόνες γάρ εἰσιν ἐν τῇ ψυχῇ τῶν πραγμάτων. αἱ δὲ φωναὶ τῶν νοημάτων εἰσὶν ἐξαγγελτικαὶ καὶ διὰ τοῦτο δέδονται ἡμῖν ὑπὸ τῆς φύσεως πρὸς τὸ δι' αὐτῶν σημαίνειν ἡμᾶς τὰς ἐννοίας τῆς ψυχῆς, ἵνα καὶ δυνώμεθα κοινωνεῖν ἀλλήλοις καὶ συμπολιτεύεσθαι· κοινωνικὸν γὰρ ζῷον ὁ ἄνθρωπος· διόπερ οἱ μὴ κεχρημένοι ταῖς αὐταῖς φωναῖς οὐδὲ κοινωνοῦσι πολιτείας ἀλλήλοις ὡς μὴ γινώσκοντες τὰς ἀλλήλων ἐννοίας. τὰ δὲ γράμματα τέλος ἔχει τὸ

1 τῷ ὀνόματι G¹ 3 καὶ om. FG 4 τῶν Κατηγ.] p. 2a9 5 τό τε τὸ G 6 τῶν ἄλλων φωνῶν (pr. l.) Fa ὡς αἴτια — ἐπιδεχόμενα (8) suppl. in mrg. F post αἴτια add. περὶ del. G 7 ἁπλᾶ om. G τὰ δὲ ὑπὸ a 11 καθ' αὑτοῖς Fa 11 ἔτι FGa: εἴποι A: εἴπῃ M τοῖς συνθέτοις om. G 13 τοῦ ῥήματος supra scr. G 14 τε om. A 16. 17 ὑπομνημονεύσαντα G 18 τούτων FMa 24 τέτταρα] τε γὰρ εὖ A 25. 26 γράμματα φωνὰς πράγματα τὲ καὶ νοήματα M 25 τε om. G 27 δὲ om. FMa 30 ἐν om. G 32 τῆς ψυχῆς τὰ νοήματα ἤτοι τὰς ἐννοίας Fa: τὴν ἔννοιαν τ. ψ. M 34 οὐδὲ] οὐδὲν A 35 συγγινώσκοντες M

διαφυλάττειν τὴν μνήμην τῶν φωνῶν. τούτων δὲ τῶν τεττάρων τὰ μὲν δύο φύσει εἶναί φησιν ὁ Ἀριστοτέλης, τὰ δὲ δύο θέσει· φύσει μὲν τά τε πράγματα καὶ τὰ νοήματα, θέσει δὲ τάς τε φωνὰς καὶ τὰ γράμματα. διακρίνει δὲ τὰ φύσει τῶν θέσει κανόνι τοιούτῳ χρώμενος· τὰ παρὰ πᾶσι, φησί, τὰ αὐτὰ ὄντα ταῦτά ἐστι φύσει, τὰ δὲ μὴ παρὰ πᾶσι τὰ αὐτὰ ὄντα ταῦτα οὐ φύσει εἰσὶν ἀλλὰ θέσει. καὶ τοῦτο εἰκότως· μία γὰρ οὖσα ἡ τοῦ παντὸς φύσις ὅμοια δηλονότι πανταχοῦ ποιεῖ τὰ κατὰ τὸ αὐτὸ εἶδος εἶναι λεγόμενα· εἰ δέ τινα παρ' ἄλλοις καὶ ἄλλοις διάφορα εἴη, ταῦτα οὐκ ἂν εἴη φύσεως δημιουργήματα. ἐπεὶ οὖν τὰ μὲν πράγματα καὶ τὰ νοήματα παρὰ πᾶσίν ἐστι τὰ αὐτά (πανταχοῦ γὰρ τὸ αὐτὸ ἀνθρώπου εἶδος καὶ ἵππου καὶ λέοντος, καὶ νόημα ὡσαύτως τὸ αὐτὸ παρὰ πᾶσι περί τε ἀνθρώπου | καὶ λίθου καὶ τῶν ἄλλων πραγμάτων ἑκάστου), φωναὶ δὲ καὶ 17r γράμματα οὐ παρὰ πᾶσι τὰ αὐτά (φωναῖς τε γὰρ ἄλλαις μὲν Ἕλληνες, ἄλλαις δὲ Φοίνικες, Αἰγύπτιοι δὲ ἄλλαις χρῶνται· "ἄλλη γὰρ ἄλλων γλῶσσα" φησὶν ἡ ποίησις· καὶ γράφουσι πάλιν δι' ἄλλων καὶ ἄλλων γραμμάτων ἕκαστοι τὰς ἑαυτῶν φωνάς), διὰ τοῦτο τὰ μὲν πράγματα καὶ τὰ νοήματα φύσει εἶναι διισχυρίζεται, τὰς δέ γε φωνὰς καὶ τὰ γράμματα θέσει, καὶ οὐ φύσει. καὶ δῆλον ὅτι μᾶλλον τῶν φωνῶν περὶ τὰ γράμματα τὸ θέσει θεωρηθήσεται. διὸ καὶ ὅλως ἠξίωται μνήμης ὡς ἔχοντά τινα πρὸς τὰς φωνὰς οἰκειότητα, οὐ μόνον τῷ πρὸς τὴν μνήμην αὐτῶν συμβάλλεσθαι, ἀλλὰ καὶ ὡς ἐναργὲς ἔχοντα τὸ θέσει καὶ δυνάμενα δι' ἑαυτῶν σαφέστερον ἡμᾶς ἐπιστῆσαι τῷ θέσει εἶναι τὰς φωνάς, ὅπερ οὐκ ἔστιν ὁμοίως γνώριμον τῷ θέσει τὰ γράμματα εἶναι (περὶ γοῦν τῶν φωνῶν ζητεῖν ἠξίωσαν οἱ παλαιότεροι, πότερον φύσει εἶναι αὐτὰς ἢ θέσει ῥητέον, καὶ ἢν ἐν τούτοις προσῆκον διορισθῆναι, πότερος αὐταῖς τούτων τῶν τρόπων τῆς ὑποστάσεως ἁρμόσει, καὶ τούτῳ χρήσασθαι πρὸς τοὺς ὁρισμοὺς τοῦ τε ὀνόματος καὶ τοῦ ῥήματος καὶ τοῦ ἐξ αὐτῶν συγκειμένου λόγου· περὶ δὲ τῶν γραμμάτων οὐδεμία παρ' αὐτοῖς γέγονεν ἀμφισβήτησις), ἐπεὶ ὅτι ἄλλως οὐδεμίαν ἡμῖν χρείαν παρέξει πρὸς τὴν θεωρίαν τῶν προκειμένων, αὐτὸς ἐφεξῆς δηλώσει, τὰ μὲν γράμματα παραλιπὼν μόνα δὲ τὰ πράγματα καὶ τὰ νοήματα καὶ τὰς φωνὰς θεωρῶν ὡς ποτὲ μὲν ἁπλᾶ ποτὲ δὲ σύνθετα. τούτων οὖν τὰ μὲν νοήματα ὁμοιώματα καλεῖ τῶν πραγμάτων, τὰς δὲ | φωνὰς οὐκ ἀξιοῖ καλεῖν ὁμοιώματα τῶν νοημάτων, ἀλλὰ 17v σύμβολα καὶ σημεῖα, καὶ τὰ γράμματα τῶν φωνῶν ὡσαύτως.

---

5 φησί post ὄντα (prius) colloc. Fa τῇ φύσει Fa 7 ποιεῖ πανταχῇ F: πανταχῇ ποιεῖ a 10 τοῦ ἀνθρ. AFMa τοῦ ἀνθρ. τὸ αὐτὸ colloc. Fa 11 περὶ] παρὰ G 12 δὲ suppl. G² 14. 15 ἄλλη γὰρ ἄλλων γλ.] Hom. B 804 14 γὰρ ἄλλω AFMa: δ' ἄλλων Hom. 16 ἕκαστος FGMa 18 φύσει καὶ οὐ θέσει G¹ θέσει] γρ. φύσει supra scr. F² 19 θεωρεῖται a ἠξίωνται FG 20 τῷ] τὸ AMa 21 τὸ] τῇ A δυνάμεθα G 22. 23 τῷ] τὸ AM (utrobique) 23 γοῦν] μὲν οὖν AMa 24 ζητεῖν suppl. G² παλαιοί a ῥητέον] ῥητὰς G 25 καὶ ἢν—λόγου (27) om. FG 29 ὅτι om. G 30 ὁ αὐτὸς A: ὡς αὐτὸς M 31 ἁπλᾶς Ma 33 δέ γε a

Διαφέρει δὲ τὸ ὁμοίωμα τοῦ συμβόλου, καθόσον τὸ μὲν ὁμοίωμα τὴν φύσιν αὐτὴν τοῦ πράγματος κατὰ τὸ δυνατὸν ἀπεικονίζεσθαι βούλεται, καὶ οὐκ ἔστιν ἐφ' ἡμῖν αὐτὸ μεταπλάσαι (τὸ γὰρ ἐν τῇ εἰκόνι γεγραμμένον τοῦ Σωκράτους ὁμοίωμα εἰ μὴ καὶ τὸ φαλακρὸν καὶ τὸ σιμὸν καὶ τὸ ἐξόφθαλμον ἔχοι τοῦ Σωκράτους, οὐκέτ' ἂν αὐτοῦ λέγοιτο εἶναι ὁμοίωμα), τὸ δέ γε σύμβολον ἤτοι σημεῖον (ἀμφοτέρως γὰρ αὐτὸ ὁ φιλόσοφος ὀνομάζει) τὸ ὅλον ἐφ' ἡμῖν ἔχει, ἅτε καὶ ἐκ μόνης ὑφιστάμενον τῆς ἡμετέρας ἐπινοίας· οἷον τοῦ πότε δεῖ συμβάλλειν ἀλλήλοις τοὺς πολεμοῦντας δύναται σύμβολον εἶναι καὶ σάλπιγγος ἀπήχησις καὶ λαμπάδος ῥῖψις, καθάπερ φησὶν Εὐριπίδης

ἐπεὶ δ' ἀφείθη πυρσὸς ὡς Τυρσηνικῆς
σάλπιγγος ἠχή, σῆμα φοινίου μάχης.

δύναται δέ τις ὑποθέσθαι καὶ δόρατος ἀνάτασιν καὶ βέλους ἄφεσιν καὶ ἄλλα μυρία. ἐπεὶ οὖν τὰς μὲν αὐτὰς φωνὰς δυνατὸν δι' ἄλλων καὶ ἄλλων ἀπογράφεσθαι γραμμάτων, ὡς αἱ τῶν ἰδιογράφων λεγομένων χαρακτήρων ἐπίνοιαι δηλοῦσι, καὶ τὰ αὐτὰ νοήματα δι' ἄλλων καὶ ἄλλων ἐξαγγέλλειν φωνῶν, ὡς σημαίνει τὸ τῶν διαλέκτων πλῆθος καὶ κατὰ τὴν αὐτὴν διάλεκτον ἡ τῶν ὀνομάτων μετάθεσις (τὸν γὰρ Ἀριστοκλέα ἔδοξε τοῖς παλαιοῖς καλέσαι Πλάτωνα καὶ τὸν Τύρταμον Θεόφραστον), τὸ μέντοι ἓν καὶ ταὐτὸν πρᾶγμα δι' ἄλλων καὶ ἄλλων νοημάτων ἐπινοεῖν ἀδύνατον, ἀλλ' ἀνάγ|κη τῶν νοη- 18r
μάτων ἕκαστον εἰκόνα εἶναι τοῦ πράγματος, οὗ ἂν ᾖ νόημα, ὥσπερ ἐν πίνακι τῇ ψυχῇ γεγραμμένον, εἴπερ ἐστὶ τὸ νοεῖν οὐδὲν ἕτερον ἢ τὸ δέξασθαι τὸ εἶδος τοῦ νοουμένου ἤτοι πρόχειρον ποιῆσαι· διὰ τοῦτο καλεῖ τὰ μὲν νοήματα τῶν πραγμάτων ὁμοιώματα, τὰ δέ γε ὀνόματα καὶ τὰ ῥήματα τῶν νοημάτων καὶ τὰ γράμματα τῶν ὀνομάτων καὶ ῥημάτων σύμβολα καὶ σημεῖα. τούτων δὴ τῶν τεττάρων, λέγω δὴ πραγμάτων νοημάτων φωνῶν γραμμάτων, χαίρειν ἐάσας τὰ γράμματα ὡς οὐδὲν ἀναγκαῖον ἔχοντα πρὸς τὴν προσεχῆ τῶν πραγμάτων ὑφήγησιν, ἃ προηγουμένως ὁ φιλόσοφος βούλεται θεωρεῖν, περὶ νοημάτων σκοπεῖ, δι' ὧν ταῦτα γινώσκομεν, καὶ περὶ φωνῶν διορίζεται, ὧν χωρὶς ἀδύνατον μάθησιν ἢ διδασκαλίαν γενέσθαι.

Διὰ ταῦτα οὖν τὰ γράμματα παραλιπὼν ὁ Ἀριστοτέλης τὰ πράγματα παραλαμβάνει καὶ τὰ νοήματα καὶ ἔτι τὰς φωνάς, καί φησιν ἕκαστον τούτων ὁτὲ μὲν ἁπλοῦν θεωρεῖσθαι, ὁτὲ δὲ σύνθετον· οἷον πρᾶγμα ἁπλοῦν

---

1 καθόσον] καθὸ G¹ 5 ἐξώφθαλμον Fa ἔχει FMa οὐκέτ' ἂν iter. G 6 ἀμφότερα Ma ὁ φιλ. αὐτὸ colloc. Aa 7 καὶ om. AM 8 συμβαλεῖν A 9 ῥέψις G¹ 10 Εὐριπίδης] Phoen. 1377. 78 12 ἦχος FGa: ἠχώ M 13 δέ τι συμποθέσθαι A 15 ἰδιογράφως G ante λεγ. add. ὡς F 16 φωνῶν ἐξαγγ. (sed num. corr.) F 17 τὴν αὐτὴν] ταύτην τὴν a 19 τύρτατον M 20 ἐπινοεῖν ἀδύν. (δυνατὸν A) νοημ. colloc. AM 21 ᾖ] εἴη AFGa 22 τὴν ψυχὴν F 23 τὸ om. M καλεῖται a 25 τῶν ῥημ. A 26 δὴ (prius)] δὲ Ma 27 καὶ γραμμ. a 28 ἃ om. Ma 29 καὶ περὶ νοημ. F: διὸ καὶ περὶ νοημ. GM: περὶ πραγμάτων καὶ περὶ νοημ. a σκοπεῖ om. a 30 γιγνώσκ. A 31 γίνεσθαι a 34 ἁπλοῦν πρᾶγμα colloc. M

'ὁ Σωκράτης', πρᾶγμα δὲ σύνθετον 'ὁ τρέχων Σωκράτης' (προσείληφε γὰρ ἐνταῦθα ἡ τοῦ Σωκράτους οὐσία τὴν κατὰ τὸ τρέχειν ἐνέργειαν), καὶ νόημα ὡσαύτως σύνθετον τὸ περὶ τοῦ τρέχοντος Σωκράτους, καὶ φωνὴ σύνθετος ἣ λέγομεν 'Σωκράτης τρέχει'. καὶ τῶν συνθέτων δηλονότι νοημάτων τε καὶ φωνῶν ἐκ τῆς τῶν ἁπλῶν συνδρομῆς ἀποτελουμένων, ἡ οὖν ἀλήθεια, φησί, καὶ τὸ ψεῦδος ἐν οὐδενὶ τῶν ἁπλῶν θεωρηθήσεται, περὶ μόνα δὲ τὰ σύνθετα νοήματα καὶ τὰς συνθέτους φωνὰς ὁρίσταται· περὶ πράγματα γὰρ οὐδὲ σύνθετα ὑποσταίη ἂν ἀληθές τι, οἷον νῦν 18v ζητοῦμεν. ἢ ψεῦδος, διότι ἐν σχέσει τινὶ τῶν νοημάτων ἢ τῶν φωνῶν τῇ πρὸς τὰ πράγματα τὸ τοιοῦτον ἀληθὲς ἀποτελεῖται καὶ τὸ ψεῦδος· ὅταν μὲν γὰρ οἷον ἐφαρμόσῃ τὰ νοήματα τοῖς πράγμασιν ἢ αἱ φωναὶ συνᾴδωσι τῇ τῶν πραγμάτων ὑποστάσει, τὸ ἀληθὲς τότε περὶ ἑκάτερον αὐτῶν ὑφίστασθαί φαμεν. ὅταν δὲ μὴ οὕτως ἔχωσι, τὸ ψεῦδος· οἷον βαδίζοντος Σωκράτους εἰ μὲν καὶ ἡμεῖς ἢ νοοῖμεν ἢ λέγοιμεν ὅτι βαδίζει, τό τε νόημα ἀληθὲς καὶ ἡ ἀπόφανσις, εἰ δὲ μὴ βαδίζειν τὸν βαδίζοντα ἢ δοξάζοιμεν ἢ λέγοιμεν, ψεύδεσθαι ἀνάγκη. αὐτὰ δὲ καθ' αὑτὰ τὰ πράγματα οὔτε ἀληθῆ λέγοιτο ἂν οὔτε ψευδῆ, κατὰ δὲ τὴν θεωρουμένην ἐν ταῖς γνώσεσιν ἀλήθειαν· καὶ γὰρ λέγειν εἰώθαμεν ἀληθῶς μὲν ἄνθρωπον εἶναι τὸν Σωκράτην, ψευδῶς δὲ τὸν ἀνδριάντα τοῦ Σωκράτους, οὐδὲν ἕτερον διὰ τούτου σημαίνοντες ἢ ὅτι τῆς μὲν τοῦ Σωκράτους ἐννοίας ὁ τοῦ ἀνθρώπου λόγος ἀληθῶς κατηγορεῖται, τοῦ δὲ ἀνδριάντος οὐκέτι. τὸ δὲ κατηγορεῖσθαι αὐτὸ καὶ τὸ ὑποκεῖσθαι πρὸς κατηγορίαν τοῖς μὲν πράγμασιν οὐδαμῶς προσήκει, τοῖς δὲ νοήμασι πρώτως καὶ διὰ ταῦτα ταῖς φωναῖς, ὥστε καὶ περὶ ἀληθείας καὶ ψεύδους τῶν τοιούτων ὁ αὐτὸς ἁρμόσει λόγος, ἐπεὶ κατ' ἄλλον τρόπον καὶ ἐν τοῖς πράγμασιν αὐτοῖς καθ' αὑτὰ καὶ ἐν ἡδοναῖς μέντοι φήσομεν εἶναι τό τε ἀληθὲς καὶ τὸ ψεῦδος· οὐ γὰρ ὁμοίως ὄντα τά τε πάντῃ χωριστὰ τῆς ὕλης εἴδη καὶ ὡς ῥηθήσεται περὶ αὐτῶν ἐν τοῖς ἑξῆς ἄνευ δυνάμεως ἐνέργειαι ὄντα καὶ τὰ δεόμενα | τῆς ὕλης πρὸς 19r τὴν οἰκείαν ὑπόστασιν καὶ αὐτὴ ἡ πάντῃ ἀνείδεος καὶ ὑποστάθμη δικαίως προσαγορευομένη τῶν πραγμάτων ὕλη καὶ αἱ τῶν ὁρωμένων ἐν τοῖς κατόπτροις ἐμφάσεις, ἀλλὰ τὰ μὲν ἀληθῶς ὄντα τὰ δὲ οὐκ ἀληθῶς τὰ δὲ καὶ ψευδῶς, οὐδὲ ὁμοίως ἡδονὴ ἀληθὴς ἥ τε ταῖς νοεραῖς καὶ ἡ ταῖς ἀκολάστοις ἐνεργείαις καὶ ἡ ταῖς ψευδέσι παρεπομένη φαντασίαις. ἀλλ' οὐδὲν

1 προσείληφε G¹ 7 δὲ μόνα M 8 γὰρ πραγ. M οὐδὲ — ἂν] οὐδὲ σύνθετα οὐδ' ἂν ὑποστ. A: οὐδὲ σύνθετον ὑποστ. ἂν G: οὐδ' ἂν ὑποστ. M 9 post ψεῦδος add. ἢ ἀληθὲς a νοημ.] ῥημ. G¹ 10 τὸ (alt.) om. M 11 νοήμ.] ὀνόματα M συνᾴδουσι A 12. 13 συνίστασθαι Ma 14. 15 τό τε νοήματα F 15 ἡ om. F ἀπόφασις AF 17 λέγοιτο G¹: λέγοιντο AFG²Ma 18 εἰ λέγειν AM 18. 19 σωκράτη GMa 19 τοῦτο G: ταῦτα Ma 20 σημαινομεν AM σωκράτου (etiam τοῦ om.) A 22 παρηγορίαν F 23 πρώτως ἤτοι ἀμέσως a 24 κατ'] καὶ M 25 αὐτοῖς] αὐτὰ G αὐτὰ] αὐτοῖς AM 26 εἶναι om. F τε] τέλος M 27 πάντα Ma καὶ om. Fa ἑξῆς p. 194v ed. Ven. 29 αὕτη Aa ἡ om. F καὶ (alt.) om. a 31 ὡς ἀληθῶς a 32 οὐ γὰρ ὁμοίως ἡ ἡδονὴ a

ταῦτα πρὸς τὴν πρόθεσιν τῆς προκειμένης πραγματείας, διότι περὶ μόνης τῆς ἐν ταῖς λεκτικαῖς διαθέσεσι θεωρουμένης ἀληθείας ἐν τούτοις ὁ λόγος.

Τοσαῦτα μὲν οὖν περὶ τῆς ὅλης τῶν λεγομένων ἐννοίας ἔχομεν γράφειν. ἄνωθεν δὲ πάλιν τοῖς διὰ τοῦ ῥητοῦ λεγομένοις παρακολουθοῦντες καὶ ἐφιστάνοντες τοῖς ἐπιστάσεως ἀξίοις λέγομεν πρῶτον μὲν ὡς οὔτε ἀπὸ τῶν πραγμάτων οὔτε ἀπὸ τῶν νοημάτων ἤρξατο τῆς περὶ τούτων διδασκαλίας, ἀλλ' ἀπὸ τῶν φωνῶν, ὡς προκείμενον τοῦτο ἔχων ἐν τῇδε τῇ πραγματείᾳ τὸ ἐπισκέψασθαι τὰς κατὰ τὸν ἀποφαντικὸν λόγον κατηγορικὰς φωνάς, ἔπειτα ὅτι οὐκ εἶπεν 'εἰσὶ μὲν οὖν αἱ φωναὶ τῶν ἐν τῇ ψυχῇ παθημάτων, τοῦτ' ἔστι τῶν νοημάτων, σύμβολα', ἀλλὰ τὰ ἐν τῇ φωνῇ, συνεχῆ ποιῶν τὴν ὅλην περὶ ὀνομάτων καὶ ῥημάτων διδασκαλίαν· εἰπὼν γὰρ ἐξ ἀρχῆς ὅτι δεῖ θέσθαι τί ὄνομα καὶ τί ῥῆμα, ἐπεὶ ταῦτά τε καὶ ὁ ἐξ αὐτῶν συγκείμενος λόγος τριχῶς θεωρεῖται, ἢ ἐν τῇ ψυχῇ κατὰ τὰ ἁπλᾶ νοήματα καὶ τὸν ἐνδιάθετον καλούμενον λόγον ἢ ἐν αὐτῷ τῷ ἐκφωνεῖσθαι ἢ ἐν τῷ γράφεσθαι (λέγομεν γὰρ καὶ τῶν γεγραμμένων τὸ μὲν εἶναι ὄνομα τὸ δὲ ῥῆμα τὸ δὲ λόγον), ἐπεὶ τοίνυν τριχῶς, ὅπερ ἐλέγομεν, θεωρεῖται | τὰ ὀνόματα καὶ τὰ ῥήματα, ἃ ἔφη δεῖν θέσθαι ἢ 19v
ἐν τῷ νοεῖσθαι ἢ ἐν τῷ λέγεσθαι ἢ ἐν τῷ γράφεσθαι, διὰ τοῦτο οὕτως εἶπε τὰ ἐν τῇ φωνῇ σύμβολα εἶναι τῶν ἐν τῇ ψυχῇ νοημάτων, ἃ παθήματα αὐτῆς εἶναί φησι διὰ τὴν εἰρημένην κατ' ἀρχὰς αἰτίαν, καὶ τὰ γραφόμενα τῶν ἐν τῇ φωνῇ σύμβολα εἶναι πάλιν. ἢ οὖν τούτου χάριν οὕτω προήγαγε τὸν λόγον τὰ ἐν τῇ φωνῇ εἰπών, ἢ μᾶλλον τοῦ ἐνδείξασθαι ὡς ἄλλο ἐστὶ φωνὴν εἰπεῖν καὶ ἄλλο ὄνομα ἢ ῥῆμα, καὶ ὡς τὸ σύμβολον εἶναι καὶ ὅλως τὸ θέσει οὐ τῇ φωνῇ ἁπλῶς προσήκει, ἀλλ' ὀνόματι καὶ ῥήματι· φύσει γὰρ ἡμῖν ὑπάρχει τὸ φωνεῖν, καθάπερ τὸ ὁρᾶν καὶ τὸ ἀκούειν, τὰ μέντοι ὀνόματα καὶ τὰ ῥήματα ἐκ τῆς ἡμετέρας ἐπινοίας ἔχει τὴν γένεσιν ὅλῃ κεχρημένα τῇ φωνῇ· καθάπερ γὰρ ἡ θύρα λέγεται μὲν εἶναι ξύλον καὶ τὸ νόμισμα χαλκὸς ἢ χρυσὸς (οὕτω δὲ λέγονται ὡς ἐκ τούτων ἔχοντα τὴν γένεσιν, φυσικῶν ὄντων πραγμάτων, αὐτὰ κατὰ τοὺς ἐπιτεθέντας τοῖς ὑποκειμένοις χαρακτῆρας καὶ τὰ σχήματα τὸ εἶναι ἔχοντα· ὅταν γὰρ τὰ ξύλα τοίως ἢ τοίως συντεθῇ, τότε λέγομεν γεγονέναι θύραν ἢ θρόνον, ἄλλως δὲ οὔ, καὶ ὅταν ὁ χρυσὸς τοιούσδε δέξηται τύπους, τότε γίνεται νόμισμα), τὸν αὐτὸν καὶ ἐνταῦθα τρόπον οὐχ ἁπλῶς φωναὶ τὰ ὀνόματα καὶ τὰ ῥήματα, ἀλλὰ τοιῶσδε μορφωθεῖσαι καὶ διαπλασθεῖσαι

---

2 διαλεκτικαῖς AM 3 οὖν om. A 6 νοημ.] γραμμάτων FGa 7 τῇδε] δὲ G 8 κατὰ] περὶ F 10 τὰ μὲν ἐν F 12 ὅτι om. a 14 λόγον καλ. colloc. M 15 καὶ om. G 16 τὸν δὲ λόγον Ma 16. 17 θεωρ. ὅπερ ἐλέγ. colloc. G 17. 18 ἢ ἐν τῷ νοεῖσθαι om. G 20 εἰρημ.] p. 5,30 sq. 21 οὖν om. AM (γράφεται ἢ οὐ τούτου in mrg. A) ante τούτου add. οὐ G² 22 προήγαγε τὸν λόγον οὕτω προήγαγε (prius προήγαγε m.² del.) G προσήγαγε F μᾶλλον] ἀλλὰ A 23 φωνὴ Ma 24 τὸ om. FG 25 ἡμῶν F 27 ὅλῃ — γένεσιν (29) om. G 28 ξύλ. εἶναι coll. A 30 ἐπιθέντας M 31 λέγοιμεν a γενέσθαι M 32 θρόνον ἢ θύραν G ὁ om. M τοίους AF 34 καὶ τὰ ὀνόμ. Fa καὶ τὰ ῥήματα om. A

ὑπὸ τῆς λεκτικῆς φαντασίας καὶ σύμβολα νομισθεῖσαι τῶν ἐν τῇ ψυχῇ διανοημάτων. ἴδοι δὲ ἄν τις ὃ λέγομεν ἐναργῶς, ὅτι φύσει μὲν αἱ φωναί. τὰ δὲ ὀνόματα καὶ τὰ ῥήματα κατὰ συνθήκην, ἐπὶ τῶν ἐκ γενετῆς κωφῶν· | ὁρῶνται γὰρ οὗτοι φωνὰς μὲν ἀνάρθρους τινὰς ἀφιέντες, οὐ μὴν ὀνόμασιν 20r ἢ ῥήμασι κεχρημένοι. ταῦτα οὖν παριστὰς εἰκότως εἶπε 'τὰ ἐν τῇ φωνῇ, ὃ ταὐτόν ἐστι τῷ τὰ ὀνόματα καὶ τὰ ῥήματα, φωναὶ ὄντα οὐχ ἁπλῶς ἀλλὰ τοιῶσδε ἔχουσαι καὶ μορφωθεῖσαι, καθὸ καί εἰσι σημαντικαὶ τῶν νοημάτων, θέσει εἰσὶ καὶ διὰ τοῦτο σύμβολα ἂν λέγοιντο τῶν ἐν τῇ ψυχῇ παθημάτων.'

Ἀλλὰ τὸ ἐφεξῆς τί ποτε βούλεται τὸ μὴ εἰρῆσθαι τὰ στοιχεῖα σύμβολα εἶναι τῶν ἐν τῇ φωνῇ μήτε τὰ γράμματα, ἀλλὰ τὰ γραφόμενα; λέγομεν οὖν ὅτι τριχῶς, ὅπερ εἴρηται, τῶν ὀνομάτων καὶ τῶν ῥημάτων λεγομένων, τῶν νοουμένων τῶν ἐκφωνουμένων τῶν γραφομένων, τά τε ἐκφωνούμενα σύμβολα εἶναι τίθεται τῶν νοουμένων καὶ τὰ γραφόμενα τῶν ἐκφωνουμένων. καὶ οὕτω μέν, εἴ τις ὡς περὶ τῶν ὀνομάτων καὶ τῶν ῥημάτων ἐκδέχοιτο τὸ λεγόμενον· εἰ δὲ ἐπὶ πᾶσαν ἁπλῶς λέξιν ἐκτείνεσθαι τὴν θεωρίαν ἀξιοῖ, ῥητέον ὅτι γράμμα καὶ στοιχεῖον λέγεται μὲν καὶ ὁ γραφόμενος ἑκάστου τῶν στοιχείων τύπος, λέγεται δὲ καὶ ἡ ἐκφώνησις, καθ' ἣν ἕκαστον φθεγγόμεθα. καὶ λέγεται μὲν ἐπ' ἀμφοτέρων ἑκάτερον τῶν ὀνομάτων, ἀλλὰ τὸ μὲν τοῦ γράμματος ὄνομα προηγουμένως τὸν διὰ ξύσεως ἀποτελούμενον χαρακτῆρα σημαίνει, τὸ δὲ τοῦ στοιχείου τὴν ἐκφώνησιν, "διὰ τὸ ἔχειν στοῖχόν τινα καὶ τάξιν" φησὶν ὁ Διονύσιος. ἀλλ' ἡ μὲν ἐκφώνησις οὐκ ἂν λέγοιτο σύμβολον εἶναι τοῦ ὀνόματος, ἀλλὰ μέρος, ὁ μέντοι χαρακτὴρ διὰ τὸ τῆς αὐτῆς ἐκφωνήσεως ἄλλος ἐπινοεῖσθαι καὶ ἄλλος εἰκότως ἂν εἶναι σύμβολον λέγοιτο. διὰ τοῦτο οὖν οὔτε στοιχεῖα εἶπεν | οὔτε γράμματα, ἐπειδὴ τῶν ὀνομάτων τούτων ἑκά- 20v τερον φέρεται καὶ ἐπὶ τῆς ἐκφωνήσεως, τὸ μὲν κυριώτερον τὸ τοῦ στοιχείου, τὸ δὲ κοινότερον τὸ τοῦ γράμματος, ἀλλὰ τὰ γραφόμενα, ἵνα φανερώτερον ᾖ τὸ λεγόμενον τοὺς τύπους τῶν στοιχείων σημαῖνον.

Εἶτα τὸν αἰτίαν ἑξῆς ἐπιφέρει τοῦ σύμβολα εἰρῆσθαι τάς τε φωνὰς τῶν νοημάτων καὶ τὰ γράμματα τῶν φωνῶν. καὶ θέσει εἶναι ἄμφω. τάς τε φωνὰς καὶ τὰ γράμματα, τοῦτο δέ ἐστι τὸ μηδέτερα αὐτῶν παρὰ πᾶσιν εἶναι τὰ αὐτά· φησὶ γὰρ καὶ ὥσπερ οὐδὲ γράμματα πᾶσι τὰ αὐτά, οὐδὲ φωναὶ αἱ αὐταί. καὶ ἅμα διὰ τούτου δῆλον ἐποίησεν ὅτι διὰ τὴν χρείαν τῶν φωνῶν καὶ τὰ γράμματα μνήμης ἠξίωσεν, ὡς

---

1 νομισθ.] λογισθεῖσαι Fa 3 τὸ δὲ ὄνομα καὶ τὸ ῥῆμα A 4 ante γὰρ add. μὲν G ἐνάρθρους Ma 5 ἢ καὶ ῥήμ. Ma εἴπέ τις a 6 φωνὰς (alt. l.) G 10 ἠρῆσθαι A: αἱρεῖσθαι M 12 οὖν om. F εἴρηται] p. 22, 12 sq. καὶ τῶν ὀνομ. Ma 14 ἐκφωνήματα F 16 λέξιν] τάξιν F 17 γράμματα καὶ στοιχεῖα Ma 19 ἕκαστον τῶν στοιχείων A 21 διὰ ξήσεως G: διὰ ξίσεως M: δι' αὐξήσεως a 23 ὁ Διονύσιος] cf. Anced. Gr. (ed. Bekker) II p. 630, 32 24 ἐπὶ τῆς Fa αὐτῆς om. A 24. 25 ἄλλος (utrobique) FGa 27 τὸ (ante τοῦ στοιχ.) om. AM 28 τὸ (ante τοῦ γρ.) om. M 29 σημαίνων A 33 παρὰ πᾶσι (alt. l.) a 34 οὔτως οὐδὲ AFG²Ma 35 καὶ om. A

προφανέστερον ἔχοντα τὸ θέσει καὶ δηλοῦντα ἡμῖν ὅπως καὶ αἱ φωναὶ κατὰ τὴν πρὸς αὐτὰ ὁμοιότητα λέγοιντο ἂν εἶναι σύμβολα τῶν νοημάτων, ὡς ταῦτα τῶν φωνῶν. τούτῳ δὲ προστίθησι τὸ περὶ τῶν νοημάτων καὶ τῶν πραγμάτων, ὅτι τούτων ἑκάτερον φύσει διὰ τὸ τὰ αὐτὰ εἶναι παρὰ πᾶσι· λέγει γὰρ ὧν μέντοι ταῦτα σημεῖα πρώτως, ταῦτα λέγων τὰ ἐν τῇ φωνῇ, τοῦτ' ἔστι τά τε ὀνόματα καὶ τὰ ῥήματα, ὧν οὖν πρώτως ταῦτα σημεῖά ἐστι (λέγει δὲ τῶν νοημάτων· σημαίνεται γὰρ ὑπ' αὐτῶν καὶ τὰ πράγματα, οὐ μέντοι προσεχῶς, ἀλλὰ διὰ μέσων τῶν νοημάτων, τὰ μέντοι νοήματα οὐκέτι δι' ἄλλων μέσων σημαίνεται, ἀλλὰ πρώτως καὶ πρωσεχῶς), ὧν τοίνυν πρώτως σημεῖά ἐστι τὰ ἐν τῇ φωνῇ, τοῦτ' ἔστι σημαντικὰ ὡς σύμβολα ὄντα, ταῦτα νοήματά ἐστι παθήματα ὄντα τῆς ψυχῆς καὶ ὄντα παρὰ πᾶσι τὰ αὐ|τά, διὸ καὶ φύσει. τὸ οὖν ΤΑΥΤΑ ἐν τῷ ταὐτὰ πᾶσι 21r παθήματα τῆς ψυχῆς ὀξυτόνως ἀναγνωστέον. καὶ ὧν ταῦτα, φησίν, ὁμοιώματα (ταῦτα δὲ λέγει τὰ παθήματα τῆς ψυχῆς), ὧν οὖν τὰ παθήματα τῆς ψυχῆς ὁμοιώματά ἐστι (τίνων δέ ἐστιν ὁμοιώματα; ἢ δηλονότι τῶν πραγμάτων), ταῦτα πράγματά ἐστι, φησί, παρὰ πᾶσιν ὄντα τὰ αὐτά. διὸ καὶ ἐνταῦθα τὸ ΤΑΥΤΑ ἐν τῷ πράγματα ἤδη ταὐτὰ ὀξυτόνως ἀναγνωστέον. καὶ οὐ προπερισπωμένως, ὥσπερ Ἑρμῖνος, ἵνα τελεία φαίνηται τοῦ Ἀριστοτέλους ἡ διδασκαλία τά τε γράμματα καὶ τὰς φωνὰς ἀπὸ τοῦ μὴ παρὰ πᾶσιν εἶναι τὰ αὐτὰ θέσει εἶναι κατασκευάζουσα, καὶ τὰ νοήματα καὶ τὰ πράγματα φύσει ἀπὸ τοῦ τὰ αὐτὰ εἶναι παρὰ πᾶσιν.

Ἀλλ' ἐπειδὴ ταῦτα διήθρωται, προσθετέον ἑξῆς τοῖς βουλομένοις ἀνάγειν ἑαυτοὺς ἐπὶ τὴν τῶν ὄντων θεωρίαν καὶ τὰς ἐξῃρημένας τούτων περὶ ὧν ὁ λόγος αἰτίας σκοπεῖν, ὅτι τριῶν ὄντων ὑπὲρ τὰς φυσικὰς οὐσίας τῶν ἀρχικῶν διακόσμων, τοῦ τε θείου καὶ τοῦ νοεροῦ καὶ πρὸς τούτοις ἔτι τοῦ ψυχικοῦ, τὰ μὲν πράγματα θεόθεν παράγεσθαί φαμεν, ἀπὸ δὲ τῶν νόων ὑφίσταθαι τὰ νοήματα, καὶ ὑπὸ τῶν ψυχῶν τῶν κατὰ τὸ λογικὸν χαρακτηριζομένων καὶ παντὸς σώματος χωριστὴν οὐσίαν ἐχουσῶν ἀποτελεῖσθαι τὰς φωνάς· νῦν γὰρ ὁ λόγος ἡμῖν οὐ περὶ τῆς τυχούσης φωνῆς, ἀλλὰ περὶ τῆς σημαινούσης τὰ πράγματα διὰ μέσων τῶν νοημάτων κατά τινα συνθήκην καὶ ὁμολογίαν αὐτῆς τε σημαίνεσθαι διὰ γραμμάτων δυναμένης, ταὐτὸν δὲ εἰπεῖν, τῆς ἐνάρθρου καὶ ἀνθρωπίνης καὶ διαλέκτου κα|λουμένης, ἣν οἱ ἰατροὶ κατὰ τὰ ὄργανα καλῶς διορίζοντες 21v

---

1 τὸ om. FG 3 ταῦτα] τὰ AM τούτω M: τοῦτο AFGa 4 ἑκάτερα A¹ τὰ om. a 5 σημ. ταῦτα (num. superscr. corr.) G πρῶτον A 6 πρώτων A ταῦτα πρ. colloc. G 9 διανοήματα F διὰ μέσων ἄλλων a πρῶτα AFM: καὶ πρῶτα G 10 πρώτων A: πρῶτον a σημεῖον a 11 πάθη AM ὄντα (ante τῆς ψυχ.) om. G καὶ ὄντα — ψυχῆς (13) om. G 12 τὸ μὲν οὖν a 13 παθήμ. ὄντα a φησίν ἐστιν M 14. 15 ταῦτα δὲ — ὁμοιώματα om. F 14 δὲ om. G τὰ (alt.)] ταῦτα G² 15 τῆς ψυχῆς iter. G 16 ὄντα παρὰ π. colloc. a 17 τὸ om. F 18 καὶ om. F φαίνεται F 22 διήρθρωταί πως a παραθετέον a 23 τούτων] αἰτίας G¹ 27 ὑπὸ] ἀπὸ FGMa ψυχικῶν Ma 28 χωρὶς τὴν F 29 ἡμῖν ὁ λόγος a

ἀπὸ τῆς ἁπλῶς λεγομένης φωνῆς ἄλλα μὲν εἶναι τὰ φωνητικὰ τῶν ὀργάνων φασίν, ὥσπερ πνεύμονα καὶ τὴν τραχεῖαν ἀρτηρίαν, ὧν ὁ μὲν τὴν ὕλην χορηγεῖ τῆς φωνῆς ἡ δὲ πρὸς τὴν οἷον διαμόρφωσιν αὐτῆς τὴν κατὰ τὸ βαρὺ καὶ ὀξὺ καὶ τὰ παραπλήσια τούτοις συμβάλλεται, ἄλλα δὲ τὰ χρήσιμα πρὸς τὴν διάλεκτον, καθάπερ γλῶτταν καὶ ὑπερῴαν καὶ χείλη καὶ ὀδόντας, ἃ διαφερόντως τῇ ὁρμῇ τῆς λογικῆς ψυχῆς ὑπηρετούμενα τὴν ὡς ἀπὸ ζῴου ἁπλῶς προϊεμένην βαρεῖαν ἢ ὀξεῖαν φωνὴν ὥσπερ τινὰ ὕλην διαμορφοῦσιν εἰς γραμμάτων καὶ συλλαβῶν καὶ ὅλως διαλέκτου γένεσιν, ὑφ' ἣν καὶ τὸ ἀποφαντικὸν τῶν λόγων ἀνάγεται εἶδος τὸ κατὰ τήνδε ἡμῖν τὴν πραγματείαν προκείμενον. τῶν δέ γε ἀνάρθρων φωνῶν, ὁποίας εἶναι τὰς τῶν ἀλόγων ζῴων φαμέν, εἴ τις ἐπιζητοίη τὴν αἰτίαν, οὐδὲν μὲν ζητεῖ τοῖς προκειμένοις ἀναγκαῖον, δῆλον δὲ ὅτι προσεχῶς αὐτῶν αἰτιασόμεθα τὰς ἐν αὐτοῖς ἀλόγους ψυχάς, καθ' ἃς τὸ εἶναι εἰλήχασιν· αὗται γὰρ ταῖς τῶν προσπιπτόντων αἰσθήσεσί τε καὶ φαντασίαις ἑπόμεναι φωνεῖν τε παρασκευάζουσι τὰ ἔχοντα ταύτην τὴν δύναμιν κατὰ τὴν ἑαυτῶν ἕκαστα φύσιν καὶ κινεῖσθαι πάσας ἃς πεφύκασι κινήσεις κατὰ τὰ ἑκάστοτε αὐτοῖς ὑπάρχοντα πάθη. τὸ μέντοι καὶ ταύτας ὑπολαμβάνειν σημαίνεσθαι διὰ γραμμάτων, ὅπερ ἤδη τῶν προσποιουμένων εἶναι γραμματικῶν τινες πεπόνθασι, γελοῖον ἂν εἴη· μιμοῦνται μὲν γὰρ οἱ κωμῳδοποιοί τοὺς βατράχους διὰ τοῦ "βρεκεκεκὲξ κοὰξ κοάξ" καὶ τοὺς χοίρους διὰ 22r τοῦ "κοῖ κοῖ" καὶ ἄλλα καὶ ἄλλα τῶν ὀρνέων δι' ἄλλων καὶ ἄλλων ἐγγραμμάτων φωνῶν, οὐ μὴν αὐτὰς ταύτας ἡγητέον εἶναι τὰς ἐκείνων φωνάς, ἐπεὶ καὶ τὸν τῆς θαλάσσης ἀπήχησιν καὶ τῶν τροχιλίων καὶ πολλῶν ἄλλων ἀψύχων τοὺς ψόφους ἐνάρθρους εἶναι ὁμολογήσομεν, διότι καὶ τούτων ἕκαστα μιμεῖσθαι τολμῶσαν τὴν κωμῳδίαν ὁρῶμεν. εἰ δέ τινα χρὴ καὶ ἐπὶ τῶν στοιχείων ἀνάλογον ταύταις αἰτίαν θεωρεῖν, ὡς μὲν ποιητικὴν οὐδεμίαν αἰτιασόμεθα πλὴν τῆς μερικῆς ψυχῆς, ἧς ἡ ἐπίνοια δίδωσιν αὐτοῖς τὴν γένεσιν, παράδειγμα δὲ αὐτῶν οὐδὲν κωλύει λέγειν τὴν φυσικὴν αὐτῆς ποίησιν ὄγκους καὶ διαστήματα περιτιθεῖσαν ἑκάστῳ τῶν δι' αὐτῆς ἀποτελουμένων, καθ' ἃ καὶ τὰ γράμματα τῶν φωνῶν ἐπλεόνασε.

Περὶ δὲ τούτων εἰρῆσθαί φησιν ἐν τοῖς Περὶ ψυχῆς, ἐν οἷς τε ἔλεγε "τὰ δὲ πρῶτα νοήματα τί διοίσει τοῦ μὴ φαντάσματα εἶναι; ἢ οὐδὲ τὰ

1 τά τε φων. Ma 5 τὰ supra scr. G² τὴν iter. A 6 τῇ μορφῇ ὁρμῇ A 7 τοῦ ζώου A ὀξεῖαν ἢ βαρ. (num. supra scr. corr.) G 9 ἀνάγ. εἶδος τῶν λ. A 12 μὲν om. F δέ ἐστιν Fa αὐτῶν om. A 14 τε om. A 16 τὰ supra scr. G² 18 προσπ.] ποιουμένων AM: οἰομένων Fa 19 πεπόνθ. τινές a μὲν om. Aa 20 τοῦ A: τὸ FGMa βρεκεκεκεκὲξ F: βεκεκεκεκὲξ G (cf. Aristoph. Ran. 209) 21 τοῦ AF: τὸ GMa κοῖ κοῖ] Aristoph. Acharn. 780 καὶ (ante prius ἄλλα) suppl. G² καὶ ἄλλα (alterum) om. AMa διὰ τῶν ὀρ. (sed διὰ del.) F 22 ἐγραμ. A ἡγητ.] οἰητέον Aa 23 ἐπειδὴ F τροχιλίων in mrg. A: τροχίλων AM: τροχῶν Fa: τροχήλων G (cf. Plat. Rei publ. III p. 397 A) 24 ἀνάρθρους a 29 αὐτῆς A: αὐτὴν FMa: αὐτῶν G προτιθ. G¹ 30 τὰ om. A 31 ἐν τοῖς Περὶ ψυχῆς] Γ 8 p. 432a12 οἷσπερ (τε om.) M 32 τίνι Arist. ἢ om. AM

ἄλλα φαντάσματα, ἀλλ' οὐκ ἄνευ φαντασμάτων'' καὶ ἐν οἷς ἠξίου τὴν φαντασίαν παθητικὸν νοῦν ὀνομάζειν.

p. 16a9 Ἔστι δὲ ὥσπερ ἐν τῇ ψυχῇ ὁτὲ μὲν νόημα ἄνευ τοῦ ἀληθεύειν ἢ ψεύδεσθαι ὁτὲ δὲ ἤδη ᾧ ἀνάγκη τούτων ὑπάρχειν θάτερον, οὕτω καὶ ἐν τῇ φωνῇ· περὶ γὰρ σύνθεσιν καὶ διαίρεσίν ἐστι τό τε ἀληθὲς καὶ τὸ ψεῦδος. τὰ μὲν οὖν ὀνόματα αὐτὰ καὶ τὰ ῥήματα ἔοικε τῷ ἄνευ συνθέσεως καὶ διαιρέσεως νοήματι, οἷον τὸ ἄνθρωπος ἢ τὸ λευκόν, ὅταν μὴ προστεθῇ τι· οὔτε γὰρ ψεῦδος οὔτε ἀληθές πω. σημεῖον δ' ἐστὶ τοῦδε· καὶ γὰρ ὁ τραγέλαφος σημαίνει μέν τι, οὔπω δὲ ἀληθὲς ἢ ψεῦδος, ἂν μὴ τὸ εἶναι ἢ μὴ εἶναι προστεθῇ, ἢ | ἁπλῶς ἢ κατὰ χρόνον. 22v

Τὸ χρήσιμον τῶν ῥηθέντων πρὸς τὴν πρόθεσιν τῆς προκειμένης πραγματείας διὰ τούτων παραδίδωσιν ὁ φιλόσοφος· λέγει γὰρ ὅτι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος θεωρεῖται μὲν ἔν τε τοῖς νοήμασι καὶ τοῖς ἐν τῇ φωνῇ, οὐ μέντοι τοῖς ἁπλοῖς, ἀλλὰ τοῖς συνθέτοις. καὶ ἅμα τὴν ἀναλογίαν ἡμᾶς διδάσκει τῶν φωνῶν πρὸς τὰ νοήματα, τοῖς μὲν ἁπλοῖς νοήμασιν ἐοικέναι λέγων τὰ ὀνόματα καὶ τὰ ῥήματα καὶ περὶ μηδέτερα τούτων μήτε ἀλήθειαν θεωρεῖσθαι μήτε ψεῦδος, τοῖς δὲ σύνθεσιν ἢ διαίρεσιν ἐπιδεχομένοις νοήμασι τὸν ἐκ τῶν ὀνομάτων καὶ τῶν ῥημάτων ἢ ὡς συντιθεμένων ἢ ὡς διαιρουμένων συμπεφορημένον λόγον, ὧν ἑκατέρῳ ἀνάγκη τούτων θάτερον ὑπάρχειν, ἢ τὸ ἀληθὲς ἢ τὸ ψεῦδος.

Ὅτι μὲν οὖν τῶν ἁπλῶν νοημάτων οὐδὲν οὔτε ἀληθείας οὔτε ψεύδους ἐστὶ δεκτικόν, ἐκ τῆς ἐπαγωγῆς φανερόν· ὁ γὰρ προχειριζόμενος ἐν ἑαυτῷ τὸ περὶ τοῦ Σωκράτους νόημα οὔτε ἀληθὲς οὔτε ψεῦδος οὐδὲν ἐνόησεν, ἐὰν μὴ προστεθῇ αὐτῷ τὸ βαδίζειν ἢ ἀναγινώσκειν ἢ εἶναι· τότε γὰρ ἂν μὲν τύχῃ τὸ πρᾶγμα οὕτως ἔχον, ὡς ἡ ἐπίνοια δοξάζει, ἀληθὲς ἔσται τὸ νόημα, εἰ δέ τοῦ πράγματος ἄλλως ἔχοντος τὸ ἀντικείμενον ἡ ψυχὴ δοξάζει καὶ μὴ βαδίζοντος φέρε τοῦ Σωκράτους ἡμεῖς ἐπινοοῦμεν αὐτὸν βαδίζοντα, ψεύδεσθαι ἀνάγκη. ὁμοίως δὲ τούτοις δῆλον ὅτι καὶ τὰ κατὰ τὴν φωνὴν ἔχει· ὁ γὰρ τὸ ὄνομα τοῦ Σωκράτους μυριάκις φθεγξάμενος οὐδὲν οὔτε ἀληθὲς οὔτε ψεῦδος εἶπεν. οὐδὲ ὁ τὸ 'βαδίζει' ῥῆμα καθ' ἑαυτὸ λέγων· ὁ μέντοι συντιθεὶς ἄμφω καὶ λέγων | 'Σωκράτης 23r βαδίζει' ἢ ἀληθὲς εἶπεν ἢ ψεῦδος. καὶ ὁ ἀναιρῶν μέντοι τὸ βαδίζειν

---

3 νοήματα M ἄνευ — χρόνον (11) om. M 4. 11 ὁτὲ δὲ — χρόνον om. G 4 δὲ om. A 5. 11 περὶ — χρόνον om. a 6 τὸ ψεῦδος καὶ τὸ ἀλ. Fb (cf. p. 27,6) 7 τὰ om. A καὶ διαιρ.] ἢ διαιρ. A 8 λευκός A 9 πω om. A, superscr. F 13 παραδ. ἡμῖν a 14 νοήμ.] ὀνόμασι G 17 λέγον F 18 μηδέτερον FG θεωρ. μήτ' ἀλήθ. a 21 ὑπάρχει A 23 καὶ ὅτι a 25 τὸ] τὶ A τοῦ om. a 26 αὐτῷ suppl. G² τὸ ἀναγ. FMa 27 ἡ suppl. G² 28 ἐστι F 29 δοξάζοι F 29. 30 βαδ. ἐπινοοῦμεν (αὐτὸν om.) M 31 τὰ om. F 32 βαδίζειν AMa 33 συντεθεὶς a

ἀπὸ τοῦ Σωκράτους (ἣν ἀναίρεσιν αὐτὸς διαίρεσιν ἐκάλεσεν ὡς χωρίζουσαν τὸ κατηγορούμενον ἀπὸ τοῦ ὑποκειμένου διὰ τοῦ ἀρνητικοῦ μορίου διαιρετικοῦ τινος ὀργάνου χρείαν ἐν τῷ λόγῳ ποιοῦντος) καὶ λέγων 'Σωκράτης οὐ βαδίζει' λόγον πάλιν εἶπεν ἀληθείας ἢ ψεύδους δεκτικόν. διόπερ ὁ Ἀριστοτέλης οὕτως εἶπε περὶ γὰρ σύνθεσιν καὶ διαίρεσιν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, σύνθεσιν μὲν καλῶν τὴν κατάφασιν διαίρεσιν δὲ τὴν ἀπόφασιν, εἴτε ἐν ψυχικαῖς ἐπινοίαις εἴτε ἐν προφορικοῖς λόγοις θεωροῖντο. ἡ μὲν οὖν ἀλήθεια καὶ τὸ ψεῦδος πάντως περὶ συνθεσιν ἢ διαίρεσιν, οὐ μέντοι πᾶσα σύνθεσις ἢ διαίρεσις θατέρου τούτων ἐστὶ δεκτική· καὶ γὰρ ὁ εὐχόμενος ἢ ἄλλῳ τινὶ λόγῳ παρὰ τὸν ἀποφαντικὸν χρώμενος συντίθησιν ὀνόματά τε καὶ ῥήματα, μηδὲν μήτε ἀληθὲς μήτε ψεῦδος λέγων· ἀλλὰ δεῖ τὴν σύνθεσιν ἢ τὴν διαίρεσιν ὑπαρκτικὴν εἶναι, τοῦτ' ἔστι δηλωτικὴν τοῦ ἄλλο ἄλλῳ ὑπάρχειν ἢ μὴ ὑπάρχειν, ὅπερ περὶ μόνον τὸν ἀποφαντικὸν λόγον θεωρεῖται. οὐ μὴν οὐδὲ κατὰ τὸν ἀποφαντικὸν λόγον ἡ τυχοῦσα τῶν ὀνομάτων πρὸς τὰ ῥήματα συμπλοκὴ τέλειον ποιήσει λόγον, τοῦτ' ἔστιν ἀληθῆ ἢ ψευδῆ· ἀμέλει αἱ τοῦ ὀνόματος πτώσεις τῷ ἔστι συμπλεκόμεναι οὐδὲν οὔτε ἀληθὲς οὔτε ψεῦδος σημαίνουσιν, ἀλλ' ἤτοι ἡ τοῦ ἔστι ἔστὶ συμπλοκὴ πρὸς τὰ κατὰ τὴν εὐθεῖαν λεγόμενα ὀνόματα, ἢ ἐν ταῖς πλαγίαις ἡ πρὸς τῷ κατηγορουμένῳ συμφόρησις τῶν ἀρκούντων πρὸς γένεσιν αὐτοτελοῦς λόγου, ὡς ὅταν εἴπωμεν | 'Σωκράτους ἐστὶ τὸ βιβλίον'. δῆλον οὖν ὅτι τὸ ἀληθὲς καὶ τὸ 23ᵛ
ψεῦδος περὶ μόνον τὸν ἀποφαντικὸν θεωρηθήσεται λόγον καὶ τὰ τούτου εἴδη, τήν τε κατάφασιν καὶ τὴν ἀπόφασιν, ὑπὲρ ὧν πρόκειται νῦν αὐτῷ πραγματεύσασθαι. ὥστε μάλιστα κατορθοῖ ἡ τοῦ Ἀφροδισιέως ἐξήγησις πρὸς τοῦτο λέγουσα τείνειν τὴν παραδοθεῖσαν τῶν πραγμάτων καὶ τῶν νοημάτων καὶ τῶν φωνῶν θεωρίαν. ταῦτα μὲν οὖν ταύτῃ.

Δεῖ δὲ ἐφιστάνειν ὅτι μὴ πᾶσαν ἀλήθειαν ὁ φιλόσοφος περὶ σύνθεσιν ἔχειν ἢ διαίρεσιν ἀποφαίνεται (ποία γὰρ ἂν εἴη σύνθεσις ἢ διαίρεσις ἐπὶ τῆς νοητῆς παρὰ Πλάτωνι καὶ αὐτῷ μέντοι τῷ Ἀριστοτέλει λεγομένης ἀληθείας τῆς κατὰ τὴν ὕπαρξιν τῶν ὄντως ὄντων ἁπλουστάτων ὄντων θεωρουμένης ἢ τῆς κατὰ τὴν νοερὰν αὐτῶν ἀντίληψιν ὑφισταμένης πάσης τε πρὸς τὸ ψεῦδος ἀντιθέσεως ἐξῃρημένης, ὑπὲρ ἧς καὶ αὐτὸς ἔν τε τῇ Θεολογικῇ διείλεκται πραγματείᾳ καὶ ἐν τῷ τρίτῳ βιβλίῳ τῶν Περὶ ψυχῆς;), ἀλλὰ τὴν ἐν ταῖς λεκτικαῖς ὑφισταμένην κινήσεσιν, ἥτις δέδεικται τῶν

---

1 αὐτὸς διαίρεσιν om. F 5 γὰρ om. a 5. 6 διαίρεσίν ἐστι τὸ ψ. καὶ τὸ ἀλ. b 7 εἴτε — εἴτε] οὔτε — οὔτε F προφορητικοῖς AM 8 πάντως suppl. G² 9 ἢ (prius)] καὶ AM 10 παρὰ om. A 14 θεωρ. λόγ. colloc. FMa 15. 16 ἡ τυχοῦσα — λόγον om. F 16 τὸν λόγον a 17 ἔσται A συμπλ.] συμπληρούμενα M οὐδὲν om. F 19 τὸ κατηγορουμένω (ex — ρούμενον corr.) F 20 ὅταν ἂν F 22 λόγον θεωρεῖται a 24 πραγματεύεσθαι A 29 τοῖς νοητοῖς a 30 ὄντων prius om. Fa: alterum om. G 31 τῆς om. G 32. 33 ἔν τε τῇ Θεολογικῇ] Metaph. Λ 9 p. 1074ᵇ15 sq. 33 ἐν τῷ τρίτῳ βιβλ. τῶν Π. ψ.] Γ 6 p. 430ª26 sq. 34 κίνησιν Ma δέδεικται] p. 2, 23

λεκτῶν πάντων περὶ μόνον τὸν ἀποφαντικὸν λόγον ὑφίστασθαι δυναμένη. τούτῳ τε οὖν ἐπιστῆσαι χρὴ καὶ ὅτι τὰ ὀνόματα αὐτά, τοῦτ' ἔστι καθ' ἑαυτά, καὶ τὰ ῥήματα εἰπὼν τοῖς ἁπλοῖς ἐοικέναι νοήμασι, παραδείγματα τούτων παραθέσθαι βουληθεὶς ἐπήγαγεν οἷον ὁ ἄνθρωπος ἢ τὸ λευκόν, ὅταν μὴ προστεθῇ τι, ὡς μὲν ὄνομα τὸ ἄνθρωπος λαβὼν ὡς δὲ ῥῆμα τὸ λευκόν, καίτοι οὐδὲν ἧττον τοῦ ἄνθρωπος ὄνομα εἶναι δοκοῦν, οὐχὶ κατὰ τὸν εἰωθότα λέγεσθαι περὶ τῶν ῥημάτων διορισμὸν συναριθμῆσαι τὸ λευκὸν τοῖς | ῥήμασιν ἀξιώσας, ἀλλὰ κατὰ τὸν πᾶσαν φωνὴν κατηγορούμενον ὅρον ἐν προτάσει ποιοῦσαν ῥῆμα καλεῖσθαι διαταττόμενον· περὶ οὗ σαφέστερον ἐροῦμεν ἐξηγούμενοι τὸν περὶ τοῦ ῥήματος λόγον.

Εἰ δέ τις ἀποροίη πῶς ὁ Ἀριστοτέλης εἶπε μηδὲν μήτε τῶν ὀνομάτων μήτε τῶν ῥημάτων ἀληθείας ἢ ψεύδους ὑπάρχειν δεκτικόν, καίτοι σαφέστατα τῶν τοῦ πρώτου παρὰ τοῖς γραμματικοῖς λεγομένου προσώπου ῥημάτων πάντων ἢ ἀλήθειαν ἢ ψεῦδος δηλούντων, ὡς ὅταν εἴπω 'περιπατῶ', καὶ τῶν τοῦ δευτέρου ὡς τοῦ περιπατεῖς, καὶ τῶν τοῦ τρίτου, ὅσα ἐπί τινος ὡρισμένου λέγεται, ὡς τὸ ὕει ἢ βροντᾷ ἢ ἀστράπτει, ῥητέον ὅτι οὐ τὰ ῥήματα αὐτὰ καθ' ἑαυτά ἐστι τὰ τὴν ἀλήθειαν ἢ τὸ ψεῦδος σημαίνοντα, ἀλλ' ἡ τῶν τοιούτων ῥημάτων πρὸς τὰ ὀνόματα τῶν προσώπων, ἐφ' ὧν λέγονται, συμπλοκή· καὶ γὰρ εἰ μὴ κατ' ἐνέργειαν ἐκεῖνα λέγονται, ἀλλὰ προσυπακούονταί γε τοῖς μὲν τοῦ πρώτου προσώπου τὸ ἐγώ, τοῖς δὲ τοῦ δευτέρου τὸ σύ, τοῖς δὲ τοῦ τρίτου τοῖς ἐπί τινος ὡρισμένου λεγομένοις αὐτὸ ἐκεῖνο τὸ ὡρισμένον, καθ' οὗ λέγονται, ὡς ἐπὶ τοῦ ὕει βροντᾷ τὸ ὁ Ζεύς, ὥστε καὶ ἐνταῦθα ὁ ὅλος λόγος ἐστὶν ὁ ἐκ τοῦ ῥήματος καὶ τοῦ προσυπακουομένου αὐτῷ ὀνόματος ὁ τὴν ἀλήθειαν ἢ τὸ ψεῦδος δεχόμενος, 'ἐγὼ περιπατῶ' 'σὺ περιπατεῖς' 'ὁ Ζεὺς ὕει'· καὶ διὰ τοῦτο ὅσα τῶν τοῦ τρίτου προσώπου ἐπὶ μηδενὸς λέγεται ὡρισμένου, οὐδὲν οὔτε ψεῦδος οὔτε ἀληθὲς σημαίνει ὡς τὸ περιπατεῖ· μὴ γὰρ ὄντος δήλου περὶ τίνος λέγεται τὸ περιπατεῖ, οὐδὲν ἂν οὔτε ἀληθὲς οὔτε ψεῦδος σημαίνοιτο. ἀλλὰ ταῦτα μὲν φανερά· | τὸ δέ γε ὅταν μὴ προστεθῇ τι σημαίνοι ἂν ὡς δέοι πρὸς τὸ γενέσθαι λόγον ἀληθῆ ἢ ψευδῆ προστίθεσθαι ἢ τῷ ὀνόματι ῥῆμα ἢ τῷ ῥήματι ὄνομα· ὅτι γὰρ οὐχ ἡ τυχοῦσα προσθήκη γινομένη τοῖς ὀνόμασιν ἢ τοῖς ῥήμασι τὸν ἀποφαντικὸν ἐργάζεται λόγον, ἐδήλωσε τὸ τραγέλαφος ὄνομα παραθέμενος, ἐν ᾧ προστίθεται μὲν τῷ ἔλαφος

---

1 λεκτῶν] λεκτικῶν a 3 ἐν τοῖς G νοήμ.] ῥήμ. G¹ 4 ὁ] corrigas τὸ (cf. p. 43ᵛ24 ed. Ven.) 5 ἄνθρ.] ἄνθος F δὲ] τὸ G¹ 6 ὄνομα om. G 7 ὡς οὐχὶ F: ὡς οὐ a 8 τοῖς om. G ἀξιώσεις AMa: ἠξίωσας F τὸν] τὸ G²M πᾶσι F 9 ὅρον] ὄνομα G² ποιοῦσαν om. M 15 τοῦ (alt.)] τὸ Ga περιπατῶ F καὶ τῶν τοῦ δευτ. — περιπατεῖς iter. F 16 ὡρισμένου ῥήματος AM 19 post μὴ add. τὰ ὀνόματα del. A λέγωνται (alt.) A² 19. 20 ἀλλ' ὑπακ. FG 20 δὲ τοῦ (ante δευτ.) suppl. G² 21 τοῦ om. G 22 λέγεται FGa τὸ (alt.) om. AFGa 23 ὅλος] ὅρος F post λόγος add. λύσις a 24 ὁ om. G 26 ὡρισμ. λέγεται G 26. 27 οὔτε ἀλ. οὔτε ψ. (num. corr.) G 28 ἂν om. F 29 γε om. A συμβαίνοι G¹ 33 παραθεὶς G προστέθειται AM

ὀνόματι τὸ τράγος, εἰ καὶ μὴ ἅπαν, οὐδὲν δὲ ἀληθὲς οὔτε ψεῦδος ἐκ τούτου γε σημαίνεται. καὶ ἅμα δεικτικὸν ἂν εἴη τοῦτο ἀπὸ τοῦ μᾶλλον τοῦ μηδὲν τῶν ἁπλῶν ὀνομάτων ἀληθές τι ἢ ψεῦδος σημαίνειν· εἰ γὰρ ἃ μᾶλλον εἰκὸς ἐν τοῖς ὀνόμασι δέχεσθαί τι τούτων μὴ δέχεται (τοιαῦτα δέ ἐστι τὰ σύνθετα, οἷον τὸ τραγέλαφος, κατ' αὐτὸ τὸ σύνθετα εἶναι τοῖς ὁμολογουμένως δεκτικοῖς οὖσι τούτων λόγοις ἐοικότα), σχολῇ γ' ἂν τὰ ἁπλὰ τῶν ὀνομάτων ἀληθές τι ἢ ψεῦδος σημαίνοι. μᾶλλον τῶν συνθέτων διεστῶτα τῶν ἀποφαντικῶν λόγων. τῷ οὖν τραγέλαφος ὀνόματι σημαίνοντί τι ἐν μόνῃ τῇ ἐπινοίᾳ κείμενον νόημα τὸ μὲν μὴ εἶναι προστιθέμενον ἀληθῆ ποιήσει λόγον τὸ δὲ εἶναι ψευδῆ, πρὸ τῆς προσθήκης οὐδέτερον τούτων σημαίνοντι.

Τὸ δὲ ἁπλῶς ἢ κατὰ χρόνον τί ποτε βούλεται; λέγω δὴ ὅτι τὸ μὲν ἁπλῶς σημαίνοι ἂν τὸ ἀορίστως, ἁπλῶς οὕτως εἰπεῖν 'τραγέλαφος ἦν' ἢ 'τραγέλαφος ἔστιν' ἢ 'τραγέλαφος ἔσται', τὸ δὲ κατὰ χρόνον τὸ μετὰ προσθήκης τοῦ χρόνου, καθ' ὃν ἦν ἢ ἔσται, οἷον 'τραγέλαφος ἦν χθὲς ἢ πέρυσιν ἢ ἔσται αὔριον ἢ εἰς τὸ ἑξῆς ἔτος'. τὸ μὲν οὖν ἁπλῶς ἢ κατὰ χρόνον τοῦτ' ἂν σημαίνοι.

Προσεκτέον δὲ ὅτι τὰ ὀνόματα αὐτὰ καὶ τὰ ῥήματα εἰπὼν ἐοικέναι | τῷ ἄνευ συνθέσεως ἢ διαιρέσεως νοήματι οὐδὲν ἔτι ἐπήγαγεν, ὅπερ 25r ἦν ἀκόλουθον περὶ τῶν ἐκ τῶν ὀνομάτων καὶ τῶν ῥημάτων συγκειμένων λόγων ὡς ἐοικότων τοῖς μετὰ συνθέσεως ἢ διαιρέσεως νοήμασιν. οὐ μὴν οὐδὲ παντάπασιν αὐτὸ παραλέλοιπεν, ἀλλ' ἐνεδείξατο διὰ τοῦ εἰπεῖν ὅταν μὴ προστεθῇ τι· τοῦτο γὰρ αὐτόθεν ἐστὶ δηλωτικὸν τοῦ ὅτι τὰ μετὰ προσθήκης ἀλλήλων λεγόμενα ὀνόματά τε καὶ ῥήματα οὐκέτι τοῖς ἁπλοῖς ἐοίκασι νοήμασιν, ἀλλὰ τοῖς μετὰ συνθέσεως τῶν ἁπλῶν ἢ διαιρέσεως γινομένοις. ἐπεὶ τοίνυν τὰ περὶ τούτων ἀνελλιπῶς ἡμῖν ἐξείργασται. μεταβατέον ἐφεξῆς ἐπὶ τὴν θεωρίαν τοῦ τε ὀνόματος καὶ τοῦ ῥήματος καὶ τῶν ἄλλων, περὶ ὧν ἐκ προοιμίων ὑπέσχετο ἡμᾶς ὁ Ἀριστοτέλης διδάξαι.

p. 16a19 Ὄνομα μὲν οὖν ἐστι φωνὴ σημαντικὴ κατὰ συνθήκην ἄνευ χρόνου, ἧς μηδὲν μέρος σημαντικόν ἐστι κεχωρισμένον.

Ὅτι μὲν εἰκότως προτετίμηται τὸ ὄνομα τοῦ ῥήματος ἐν τῇ διδα-

1 καὶ suppl. G² 2 τούτου] τοῦ M γε] λεγομένου AM 2 σημαίν.] συμβαίνει a ἅμα δεικτ.] ἀναδεικτ. F 3 ὀνομάτων suppl. G² 4 εἰκὸς om. FG δέχεται (priore l.) F δέχηται (alt. l.) A 5 δὲ ex δέχεσθαι corr. F 6 ὁμολογουμένοις AMa γ' om. AFM 7 σημαίνειν A 9 νόημα] ὄνομα F 13. 14 εἰπεῖν τραγ. ἢ μὴ τραγ. ἐστίν FG 14 τραγέλαφος (ante ἔσται) om. F 15 ὡρισμένου χρόνου AM ἢ om. M 19 τῷ] τὸ F post νοήματι add. οὐ μὴν οὐδὲ παντάπασιν αὐτὸ παραλέλοιπεν ἀλλ' ἐνεδείξατο διὰ τὸ (sic) εἰπεῖν del. G 21 τοῖς] τῆς FG 23 τὰ om. AMa 26 γινομένης G 27 ἑξῆς a τοῦ (ante ῥήμ.) om. F 29 ante lemma add. tit. Περὶ ὀνόματος AGMa, (in mrg.) F οὖν om. F 29. 30 σημαντ. — κεχωρισμένον om. M 30 ἐστὶ σημ. colloc. ab ἐστι cicias (cf. p. 32, 25) 31 προτετίμ.] προτέτακται F ἐν τῇ διδασκαλίᾳ om. G

σκαλίᾳ. φανερόν· τὰ μὲν γὰρ ὀνόματα τὰς ὑπάρξεις σημαίνουσι τῶν πραγμάτων τὰ δὲ ῥήματα τὰς ἐνεργείας ἢ τὰ πάθη, προηγοῦνται δὲ τῶν ἐνεργειῶν καὶ τῶν παθῶν αἱ ὑπάρξεις. ἐν δὲ τῷ ἀποδεδομένῳ τοῦ ὀνόματος λόγῳ παρείληπται ἡ μὲν φωνὴ ὅλης ἔχουσα λόγον πρός τε τὸ ὄνομα 25
5 καὶ τὸ ῥῆμα καὶ τὸν ἐκ τούτων συγκείμενον λόγον ὡς γένος | τῆς κατὰ 25v
τὸ ὄνομα φωνῆς, πρὸς διάκρισιν τῶν ἁπλῶς ψόφων, οἳ καὶ ἀπὸ ἀψύχων πολλάκις γίνονται σωμάτων· διαφέρει γὰρ ὁ ψόφος τῆς φωνῆς ὡς γένος εἴδους, καὶ ψόφος μέν ἐστι πληγὴ ἀέρος αἰσθητὴ ἀκοῇ, φωνὴ δὲ ψόφος 5
ἐμψύχου γινόμενος ὅταν διὰ τῆς συστολῆς τοῦ θώρακος ἐκθλιβόμενος
10 ἀπὸ τοῦ πνεύμονος ὁ εἰσπνευθεὶς ἀὴρ προσπίπτῃ ἀθρόως τῇ τε τραχείᾳ καλουμένῃ ἀρτηρίᾳ καὶ τῇ ὑπερῴᾳ ἤτοι τῷ γαργαρεῶνι καὶ διὰ τῆς πληγῆς ἀποτελῇ τινα ἦχον αἰσθητὸν κατά τινα ὁρμὴν τῆς ψυχῆς, ὅπερ 10
ἐπὶ τῶν ἐμπνευστῶν παρὰ τοῖς μουσικοῖς καλουμένων ὀργάνων συμβαίνει, οἷον αὐλῶν καὶ συρίγγων, τῆς γλώττης καὶ τῶν ὀδόντων καὶ τῶν χειλέων
15 πρὸς μὲν τὴν διάλεκτον ἀναγκαίων ὄντων, πρὸς δὲ τὴν ἁπλῶς φωνὴν οὐ πάντως συμβαλλομένων. 15

Τὸ δὲ σημαντικὴ καὶ τὰ ἑξῆς ὡς διαφοραὶ τοῦ ὀνόματος πρὸς τὰς ἄλλας φωνὰς παραλαμβάνονται. τὸ μὲν οὖν σημαντικὴ διακρίνει τὸ ὄνομα τῶν ἀσήμων φωνῶν, οἷον βλίτυρι κνάξ· εἰ γὰρ τὸ ὄνομά τινός ἐστι
20 τοῦ ὀνομαζομένου, δῆλον ὅτι αἱ ἄσημοι φωναὶ μὴ ὄντος τοῦ ὀνο- 20
μαζομένου οὐκ ἂν εἶεν ὀνόματα. τὸ δὲ κατὰ συνθήκην χωρίζει αὐτὸ τῶν φύσει σημαντικῶν φωνῶν. τοιαῦται δέ εἰσιν αἱ τῶν ἀλόγων ζῴων φωναί· ξένου γάρ τινος ἐπιστάντος ὁ κύων ὑλακτήσας ἐσήμανε τὴν τοῦ ξένου παρουσίαν. ἀλλ' οὐ κατά τινα συνθήκην πρὸς ἀλλήλους καὶ ὁμο- 25
25 λογίαν προΐενται τὴν τοιαύτην φωνὴν οἱ κύνες. ἴδοι δὲ ἄν τις καὶ ἐπὶ ἀνθρώπων τοιαύτας φωνάς, ἃς ἐν τοῖς σφοδροῖς πάθεσιν ὄντος φθεγγόμεθα, οἷον στεναγμὸν λέγω | καὶ καγχασμὸν καὶ ὅπερ ἐλέγομεν ἐπὶ τῶν ἐκ γενε- 26r
τῆς κωφῶν ἢ τῶν παίδων τῶν ἀδιαρθρώτως φθεγγομένων, πρὶν δύνασθαι παρακολουθεῖν. αἷς ἐοίκασιν αἱ τῶν ἀλόγων ζῴων φωναὶ ποτὲ μὲν θορυβω-
30 δῶς ποτὲ δὲ προσηνῶς καὶ μετά τινος γαληνιαίας διαθέσεως ὑπ' αὐτῶν προα- 5
γόμεναι. τῶν οὖν τοιούτων φωνῶν χωρίζει τὸ ὄνομα προστεθὲν τὸ κατὰ συνθήκην, ταὐτὸν σημαῖνον τῷ θέσει· συνέθεντο γὰρ πρὸς ἀλλήλους Ἕλληνες μὲν τοῖσδε τοῖς ὀνόμασι τὰ πράγματα καλεῖν, Ἰνδοὶ δὲ ἑτέροις 10
καὶ Αἰγύπτιοι ἄλλοις, καὶ οἱ αὐτοὶ τὰ αὐτὰ ποτὲ μὲν ἄλλοις ποτὲ δὲ
35 ἑτέροις. καὶ εἰσὶ ταῦτα τῶν νοημάτων τῶν ἡμετέρων σημαντικά. στεναγμοὶ

2. 3 τῶν παθ. καὶ τῶν ἐνεργ. F 5 τούτου G¹ τῆς om. M 6 ἀπὸ om. F
9 ἐξ ἐμψ. Fa γενόμενος M συστολλῆς F 10 προσπίπτει A τε om. a
10. 11 καλ. τραχείᾳ a 11 ἤτοι] εἴ τι A 12 ἀποτελεῖ AF 13 τῶν ὀργ. G
14 καὶ τῶν χειλέων suppl. G² τῶν (ante χειλ.) om. AMa 17 διαφορὰ Ga
19 κνάξ Ma 20 post ὀνομαζ. add. ὄνομα a 20. 21 μὴ — ὀνομαζομένου om. FG
22 τοιαῦτα AM 23 φωναί om. M 26 ἃς om. M ὄντων φθεγγομένας M
27 ἐλέγομεν] p. 23,3 27. 28 γενετοῖς F 28 τῶν (post παίδων) iter. G
29 ζῴων om. AF 30 γαληνιαίας AM 32 μὲν γὰρ a

δὲ καὶ καγχασμοὶ καὶ αἱ τῶν παιδίων ἢ τῶν ἀλόγων ζῴων φωναὶ νόημα μὲν οὐδὲν σημαίνουσι, πάθη δέ τινα τῆς ψυχῆς καὶ διαθέσεις.

Εἰς δύο γὰρ διχῇ τῆς ἁπλῶς φωνῆς διαιρουμένης, εἴς τε τὴν σημαντικὴν καὶ τὴν ἄσημον καὶ τὴν ἐγγράμματόν τε καὶ ἀγράμματον, ὧν τὴν μὲν ἔναρθρον τὴν δὲ ἄναρθρον καλοῦσι, διότι ἄρθροις ἑνὸς ζῴου διακρίνεσθαι δυναμένοις ἀπ' ἀλλήλων ἐοίκασιν αἱ συμπληροῦσαι τὴν διάλεκτον συλλαβαὶ κατ' ἐνέργειαν ἀπ' ἀλλήλων διακεκριμέναι (καθάπερ τὰ στοιχεῖα, ὧν ἡ ποιὰ σύλληψις ποιεῖ τὰς συλλαβάς, τοῖς φυσικοῖς αὐτοῖς στοιχείοις, ὧν ἡ ποιὰ σύγκρασις ἀποτελεῖ τῶν ἄρθρων ἕκαστον), τέτταρας μὲν συμβαίνει γίνεσθαι κατὰ τὰς συμπλοκὰς τῶν ἁπλῶν συζυγίας, ἐκ δὲ τούτων μίαν εἶναι, ὑφ' ἣν ἀνάγονται τό τε ὄνομα καὶ τὸ ῥῆμα καὶ οἱ ἐκ τούτων συγκείμενοι λόγοι· συμβήσεται γὰρ τὴν μὲν εἶναι φωνὴν | σημαντικὴν καὶ 26ᵃ ἐγγράμματον ὡς τὴν ἄνθρωπος, τὴν δὲ σημαντικὴν καὶ ἀγράμματον ὡς τὴν κυνὸς ὑλακήν, τὴν δὲ ἄσημον καὶ ἐγγράμματον ὡς τὸ βλίτυρι, τὴν δὲ ἄσημον καὶ ἀγράμματον ὡς τὸν μάτην καὶ οὐ τοῦ σημῆναί τι χάριν γινόμενον συριγμὸν ἢ ⟨τὴν⟩ φωνῆς τινος τῶν ἀλόγων ζῴων μίμησιν, οὐ τοῦ μιμήσασθαι χάριν γινομένην (τοῦτο γὰρ ἤδη σημαντικόν) ἀλλ' ἀτάκτως καὶ ἀσκόπως. ἐπεὶ τοίνυν τὸ ὄνομα σημαντική τε καὶ ἐγγράμματός ἐστι φωνή, διαφέρει τῶν μὲν ἀσήμων, εἴτε ἐγγραμμάτων εἴτε μή, τῷ σημαντικὴ εἶναι, τῶν δὲ σημαντικῶν μὲν ἀγγραμμάτων δέ, ὁποῖαί εἰσιν αἱ φύσει ῥηθεῖσαι, τῷ ἐγγράμματος εἶναι, ὅπερ ὁ Ἀριστοτέλης ἐκάλεσε κατὰ συνθήκην, εἰκότως, ἐπείπερ ἡ περὶ τὰς φωνὰς συνθήκη μόνων ἐστὶν ἀνθρώπων ἔργον· οὔτε γὰρ τῶν ὑπὲρ τὸν ἄνθρωπον οὔτε τῶν ὑπὸ τὸν ἄνθρωπον οὐδὲν πέφυκε τῇ συνθήκῃ χρῆσθαι· τὰ μὲν γὰρ οὐ δεῖται, τὰ δὲ οὐ δύναται πρὸς ἄλληλα συντίθεσθαι. μόνων οὖν ἀνθρώπων ἔργον ἡ συνθήκη, καὶ ἐπεὶ οὐκ ἠδύναντο πασῶν μεμνῆσθαι τῶν φωνῶν, ἐπενόησαν τὰ γράμματα ἕκαστοι, δι' ὧν τὰς παρ' αὐτοῖς ἀπογράφονται φωνάς. ὥστε τῷ κατὰ συνθήκην τῆς ἰδιότητος τῶν πραγμάτων σημαντικῷ, περὶ οὗ τοῖς φιλοσόφοις ὁ λόγος, τὸ ἐγγράμματον ἕπεται, καὶ ἔμπαλιν· οὐδὲ γὰρ ἄλλο τί ἐστι τῶν γραμμάτων ἔργον ἢ τὸ σύμβολα εἶναι τῶν φωνῶν τῶν ἀνθρωπίνων, ἃς κατὰ συνθήκην οὔσας ἐδείκνυμεν. διὸ καὶ αὐτὸς ἐν τοῖς ἑξῆς ἀγραμμάτους ψόφους προσαγορεύσει τὰς φωνὰς τῶν ἀλόγων ζῴων. |

3 διαιρ.] θεωρουμένης M 4 καὶ εἰς τὴν ἄσ. G ἀσήμαντον M τὴν (ante ἐγγράμ.) om. A τε om. A τὴν ἀγράμ. A 8 ante τοῖς φυσ. add. ὡσαύτως a αὐτοῖς FG¹Ma: αὐτὰ AG² 10 συζυγιῶν GMa 13 ἀνθρώπου G 13. 14 ὡς τὴν — ἐγγράμματον suppl. G² 14 τοῦ κυνὸς AM 14. 15 καὶ ἐγγράμ. — ἄσημον om. M 14 ἐγγράμ.] ἀγράμ. A 15 τι] τινι AFGa χάριν om. M 16 συρισμὸν AM τὴν inserui 18 τε om. FG 19 ἐγράμ. A εἴτε (prius)] ἤτοι M εἴτε μὴ om. M 21 τῷ] τὸ A ὁ om. a ἐκάλ. post εἰκ. coll. a 22 μόνον Ma 23 τὸν (prius) om. F τῶν (alt.)] τὸν A 25 μόνον A²a οὖν] γὰρ AM ἡ συνθ. ἔργον M 26 ἐδόν. AF τὰ om. AG 26. 27 ἕκαστοι γράμ. A: ἕκ. τὰ γράμ. M 27 ἀπογράφονται FGMa τῷ] τὸ A: τὰ Ma 28 σημαντικὸν A: σημαντικὰ FGa 29 τὸ δὲ ἐγγράμ. G ἐγγράματον A 30 γραμμ.] πραγμάτων F 31 διὸ — ζῴων (32) om. M ἑξῆς] p. 16ᵃ29 32 προσαγορεύει Fa post ζῴων add. ἃς οὐ κατὰ συνθήκην οὔσας ἐδείκνυμεν a, in mrg. A

Ἀλλ' ἐπεὶ ταῦτα πάντα κοινά ἐστι τῷ ὀνόματι πρὸς τὸ ῥῆμα (κα- 27r
κεῖνο γὰρ φωνὴ σημαντικὴ κατὰ συνθήκην), προστίθεται τὸ ἄνευ χρόνου
πρὸς διάκρισιν τῶν ῥημάτων. τὸ δὲ ἄνευ χρόνου ὅτι οὐ τοῦτο σημαίνει
τὸ μηδέποτε μηδαμῶς χρόνον σημαίνειν, ἀλλὰ τὸ μὴ προσσημαίνειν χρόνον, 5
5 καλῶς ὁ φιλόσοφος Πορφύριος ἐπεσημήνατο· ὀνόματα μὲν γὰρ τὸ σημερινὸν
καὶ χθεσινὸν καὶ περυσινόν, χρόνου δηλωτικὰ ὄντα, ἀλλ' ὡς αὐτόθεν
σημαίνοντα χρόνον τινὰ καὶ οὐχὶ προσσημαίνοντα, καθάπερ τὰ ῥήματα· 10
τούτων γὰρ ἕκαστον προηγουμένως μὲν ἐνέργειάν τινα ἢ πάθος σημαίνει,
κατὰ δεύτερον δὲ λόγον καὶ τὸν χρόνον, καθ' ὃν ἐνεργεῖν ἢ πάσχειν συμ-
10 βέβηκεν, ὥσπερ τὸ περιπατῶ πρώτως μὲν τὴν τοιάνδε τοῦ σώματος 15
κίνησιν δηλοῖ, δευτέρως δέ γε τὸν νῦν χρόνον. διὸ καὶ προσσημαίνειν
τὸν χρόνον ῥηθήσεται τὰ ῥήματα ἐν τοῖς περὶ αὐτῶν λόγοις, ὡς ἂν πρὸς
τῷ ἕτερόν τι προηγουμένως σημαίνειν ἔχοντα καὶ τὴν τοῦ χρόνου μήνυσιν
ὥσπερ ἑπομένην. τὸ δέ γε χθεσινὸν οὐ προσσημαίνει τὸν χρόνον, ἀλλὰ 20
15 σημαίνει, ὡς αὐτῷ τούτῳ τῷ μέρει τοῦ χρόνου κείμενον ὄνομα, μᾶλλον
δὲ πράγματι κατὰ τοῦτο τὸ μέρος τοῦ χρόνου γεγονότι· τὸν γὰρ χρόνον
αὐτὸν οἷον τὴν προσεχῶς ἠνυσμένην ἡμέραν ἢ διὰ τοῦ χθὲς ἐπιρρήματος
σημαίνομεν ἢ δι' αὐτοῦ τούτου τοῦ λόγου τὴν προσεχῶς ἠνυσμένην ἡμέ-
ραν λέγοντες, τοῦ μὲν λόγου τὸν χρόνον αὐτὸν καθ' αὑτὸν δηλοῦντος τοῦ 25
20 δὲ ἐπιρρήματος τὴν προσθήκην τῶν ἐν αὐτῷ γινομένων ἐνεργειῶν ἢ πα-
θῶν ἀπαιτοῦντος | κατὰ τὸν νόμον τῶν ἐπιρρημάτων. διαφέροι δ' ἂν 27v
καὶ τὰ τοιαῦτα ὀνόματα τῶν ῥημάτων τῷ μηδεμίαν ἐνέργειαν ἢ πάθος
δηλοῦν, ὥσπερ τὰ ῥήματα, καὶ τῷ μᾶλλον ἐκείνων περιγράφειν τοὺς χρό-
νους, καθ' οὓς αἱ γενέσεις. 5

25 Τὸ δὲ ἧς μηδὲν μέρος σημαντικὸν κεχωρισμένον τῶν ἐκ
πλείονων ὀνομάτων συμπεφορημένων φωνῶν διακρίνει τὸ ὄνομα, ὡς ὅταν
εἴπω 'ζῷον λογικὸν θνητόν'· τῷ γὰρ τοιούτῳ λόγῳ ἀτελεῖ πρὸς ἀπόφανσιν
ὄντι πάντα τὰ ἄλλα ἐφαρμόσει. διαφέρουσι δὲ τὰ ὀνόματα τῶν τοιούτων 10
λόγων, ὅτι τούτων μὲν τὰ μέρη σημαντικά ἐστι καθ' ἑαυτὰ λεγόμενα, τὸ
30 ζῷον τὸ λογικὸν τὸ θνητόν, τῶν δὲ ὀνομάτων οὐδαμῶς τὰ μέρη σημαίνει,
καθάπερ ἡ ἂν συλλαβὴ ἐπὶ τοῦ ἄνθρωπος ὀνόματος, ἀλλὰ συσσημαίνειν
μὲν λέγεται τοῖς ἄλλοις τοῦ ὀνόματος συνταττομένη μέρεσιν, οὐ μέντοι 15
σημαίνειν.

---

2 προστέθεται A 3 πρὸς διάκρισιν—χρόνου om. FG post χρόνου add. ὅπερ FG ὅτι om. AFMa 4 μὴ om. G προσημ. A 5 καλῶς οὖν Fa: καλ. δὲ M γὰρ suppl. G²: om. a σημερεινὸν F 6 περσινὸν F: περισυνὸν G χρόνον δηλωτικαὶ A ὄντα om. AM 10 πρῶτον FGM 11 προσημ. A 13 τῷ] τὸ AMa σημαίνει A μήνυσιν] κίνησιν F 17 ἢ om. GMa 18 τούτου om. A 19 λέγουσι Ma τοῦ μὲν—δηλοῦντος ante ἢ δι' αὐτοῦ (18) colloc. a μὲν γὰρ Ga 20 γενομ. A 21. 22 διαφέροι—ῥημάτων suppl. G² 21 διαφέρει AGa 22 τῷ] τὸ AF 23 δηλοῦντα G² τῷ] τὸ M 25 ἐστὶ σημαντ. ab 27 ἀπόφασιν AGM 31 ἂν] ἄνθρω G²

p. 16a21 Ἐν γὰρ τῷ Κάλλιππος τὸ ἵππος οὐδὲν αὐτὸ καθ' ἑαυτὸ σημαίνει, ὥσπερ ἐν τῷ λόγῳ τῷ καλὸς ἵππος. οὐ μὴν οὐδ' ὥσπερ ἐν τοῖς ἁπλοῖς ὀνόμασιν, οὕτως ἔχει καὶ ἐν τοῖς πεπλεγμένοις· ἐν ἐκείνοις μὲν γὰρ οὐδαμῶς τὸ μέρος σημαν- 20
5 τικόν, ἐν δὲ τούτοις βούλεται μέν, ἀλλ' οὐδενὸς κεχωρισμένον, οἷον ἐν τῷ ἐπακτροκέλης τὸ κέλης. τὸ δὲ κατὰ συνθήκην, ὅτι φύσει τῶν ὀνομάτων οὐδέν ἐστιν, ἀλλ' ὅταν γένηται σύμβολον, ἐπεὶ δηλοῦσί γέ τι καὶ οἱ ἀγράμματοι ψόφοι οἷον θηρίων, ὧν οὐδέν ἐστιν ὄνομα. 25

10 Ἡ χρεία τῶν παραληφθεισῶν ἐν τῷ λόγῳ τοῦ ὀνόματος διαφορῶν παραδίδοται διὰ τούτων. ἀρχομένης τῆς διδασκαλίας ἐκ τῆς τελευταίας ῥηθείσης· λέγεται | γὰρ πρῶτον τίνος ἕνεκα προστέθειται τὸ ἧς μηδὲν 28r
μέρος σημαντικὸν κεχωρισμένον. φησὶν οὖν ὅτι πρὸς διάκρισιν εἴρηται τοῦτο τῶν ἐξ ὀνομάτων συγκειμένων λόγων· ἐπὶ γοῦν τοῦ Κάλ-
15 λιππος ὀνόματος τὸ ἵππος οὐδαμῶς σημαίνει τὸ τοιόνδε ζῷον, καίτοι ἐν 5
τῷ καλὸς ἵππος λόγῳ σημαντικὸν αὐτοῦ τυγχάνον, οὐδὲ ἐν τῷ ἐπακτροκέλης, ὅπερ ἐστὶ νεὼς ὄνομα ληστρικῆς, τὸ κέλης, οὐδὲ ἐπ' ἄλλου τῶν τοιούτων οὐδενός· ἁπλῶν γάρ εἰσι νοημάτων σημαντικὰ τὰ τοιαῦτα ὀνόματα, κἂν δοκῇ τινα κατὰ τὴν λέξιν σύνθεσιν ἔχειν, ὥσπερ οἱ λόγοι τῶν 10
20 συνθέτων εἰσὶ δηλωτικοὶ νοημάτων κατὰ τὰ πρότερον περὶ τούτων διωρισμένα. καὶ ἐπὶ τοῦ Κάλλιππος τοίνυν, εἴπερ ἐστὶν ἁπλοῦ δηλωτικὸν νοήματος τοῦ ἀνθρώπου, ᾧ κεῖται τοῦτο τὸ ὄνομα, δῆλον ὅτι τὸ 15
ἵππος ὅταν ὡς μέρος αὐτοῦ λαμβάνηται, οὐκ ἔχει τὴν αὐτὴν δύναμιν τῷ καθ' ἑαυτὸ λεγομένῳ· καθ' ἑαυτὸ μὲν γὰρ ὡς ὄνομα ῥηθὲν τὸ ἵππος
25 σημαίνει τὸ τοιόνδε ζῷον, ὅταν δὲ ὡς μέρος τοῦ Κάλλιππος ληφθῇ, ἀποσπασθὲν τῆς οἰκείας ὁλότητος, νεκρόν τι κατὰ τὸ σημαίνειν γίνεται, 20
μηδὲν διαφέρον τῶν παντάπασιν ἀσήμων συλλαβῶν. αἱ μέρη εἰσὶν ἁπλῶν ὀνομάτων, ὡς ἐπὶ τοῦ Πλάτων ἢ Δίων, πλὴν τούτῳ μόνον, ὅτι τὰ μὲν τῶν ἁπλῶν ὀνομάτων μέρη οὐδὲ δόκησιν ἔχει τοῦ καθ' ἑαυτὰ σημαντικὰ
30 εἶναι, τὰ δὲ τῶν διπλῶν φαντασίαν μέν τινα παρέχει τοῦ σημαίνειν, ὅπερ 25
Ἀριστοτέλης βούλεσθαι εἶπεν, οὐ μέντοι καὶ κατὰ ἀλήθειαν τοῦτο

1 αὐτὸ — ὄνομα (9) om. M αὐτὸ om. A 2 ὥσπερ — ὄνομα (9) om. G τῷ λόγῳ τὸ AF 4 ἐν ἐκείνοις — ὄνομα (9) om. a τὸ μέρος οὐδ. b 6 post κέλης add. οὐδὲν σημαίνει καθ' ἑαυτό b 11 παραδίδονται F τελευταῖον FGMa 12 τίνος πρ. A προστεθήσεται A 12. 13 μέρος μηδὲν (num. corr.) G 13 ἐστὶ σημ. Ma φησὶ γοῦν a 14 λόγων om. FG¹Ma 15 ὀνόματος om. G τὸ (ante τοιόνδε) suppl. G² καίτοι] καὶ ταῦτα FGa 17 ὄνομα νεὼς G ἄλλων A 20 τῶν νοημ. FGa πρότερον] p. 18,2 sq. 22 νόημα G 23. 25 ὡς] εἰς F 23 τῷ] τῶν AFMa 24 ἑαυτῷ (pr. l.) A λεγομένων FMa 25 τὸ τοιόνδε] τόδε τὸ FG²M: om. G¹ 28 ὀνομ.] νοημάτων F 28. 29 ὡς — ὀνομάτων om. M 28 ἐπὶ] ἀπὸ F πλάτωνος ἢ δίωνος FG τοῦτο FGa 31 καὶ om AM τὴν ἀλήθ. G

ἐργάζεται. κατὰ τοῦτον οὖν τὸν κανόνα διαστήσομεν πολλάκις ὀνόματα λόγων διὰ τῶν αὐτῶν ἐκφω|νουμένων τοῖς ὀνόμασι συλλαβῶν, ὡς ἐπὶ τοῦ 28v Νεάπολις καὶ Ἡλιούπολις· ὅταν μὲν γὰρ τό τε νέα καὶ τὸ πόλις ἢ τὸ ἡλίου καὶ τὸ πόλις ὡς σημαντικὰ λαμβάνηται, λόγος ἔσται σημαντικὸς ἢ τῆς νῦν κτισθείσης πόλεως ἢ τῆς ἡλίου ἱερᾶς, ἑκατέρου τῶν μερῶν ἰδίαν τινὰ δηλοῦντος ἔννοιαν· ὅταν δὲ μηδέτερον αὐτῶν σημαντικὸν ᾖ καθ' ἑαυτό, κύριον ἔσται ὄνομα τῆσδε τῆς πόλεως, ἑνὸς μόνου νοήματος ἐκ τοῦ ὅλου σημαινομένου καὶ διὰ τοῦτο τῶν μερῶν οὐδετέρου σημῆναί τι δυναμένου.

Ταῦτα μὲν οὖν ὁ Ἀριστοτέλης ἐπήγαγε τὴν τελευταίαν ἀποδοθεῖσαν τοῦ ὀνόματος διαφορὰν ἐξηγούμενος. ἀκόλουθον δὲ ὂν ἐφεξῆς τὴν πρὸ ταύτης ῥηθεῖσαν διαφορὰν παραστῆσαι, λέγω δὴ τὸ ἄνευ χρόνου, τοῦτο μὲν παρῆλθεν ὡς εὐκαιρότερον ἐν τῇ τοῦ ῥήματος διδασκαλίᾳ περὶ αὐτοῦ διαλεξόμενος, ἐν οἷς διδάξει πῶς ἀφορίζεται τὸ ῥῆμα, κατὰ τὸ προσσημαίνειν χρόνον. τὸ δέ γε πρὸ τούτου τὸ κατὰ συνθήκην ἐξηγούμενός φησι· τὸ δὲ κατὰ συνθήκην. ὅτι φύσει τῶν ὀνομάτων οὐδέν ἐστι. κἀνταῦθα ζητῆσαι ἄξιον πῶς τοῦ ἐν Κρατύλῳ Σωκράτους ἀγωνιζομένου πρὸς τὸν Ἑρμογένην λέγοντα θέσει τὰ ὀνόματα εἶναι καὶ δεικνύντος αὐτὰ φύσει, διισχυρίζεται διὰ τούτων ὁ Ἀριστοτέλης μηδὲν τῶν ὀνομάτων εἶναι φύσει. καὶ ῥητέον ὅτι διχῶς λέγεται τὸ φύσει παρὰ τοῖς φύσει εἶναι τὰ ὀνόματα διαταξαμένοις, ὁμοίως δὲ καὶ τὸ θέσει διχῶς παρὰ τοῖς θέσει αὐτὰ εἶναι τιθεμένοις· τῶν μὲν γὰρ φύσει αὐτὰ εἶναι ἀξιούντων οἱ μὲν οὕτω τὸ φύσει λέγουσιν, ὡς φύσεως αὐτὰ οἰόμενοι εἶναι | δημιουργήματα. 29r καθάπερ ἠξίου Κρατύλος ὁ Ἡρακλείτειος ἑκάστῳ τῶν πραγμάτων ὑπὸ τῆς φύσεως ἀφωρίσθαι τι λέγων οἰκεῖον ὄνομα, ὥσπερ καὶ αἴσθησιν ἄλλην ἐπ' ἄλλοις τῶν αἰσθητῶν ὁρῶμεν τεταγμένην· ἐοικέναι γὰρ τὰ ὀνόματα ταῖς φυσικαῖς ἀλλ' οὐ ταῖς τεχνηταῖς εἰκόσι τῶν ὁρατῶν, οἷον ταῖς σκιαῖς καὶ τοῖς ἐν ὕδασιν ἢ τοῖς κατόπτροις ἐμφαίνεσθαι εἰωθόσι, καὶ ὀνομάζειν μὲν ὄντως τοὺς τὸ τοιοῦτον ὄνομα λέγοντας, τοὺς δὲ μὴ τοῦτο μηδὲ ὀνομάζειν ἀλλὰ ψοφεῖν μόνον. καὶ τοῦ ἐπιστήμονος τοῦτο ἔργον εἶναι, τὸ θηρᾶν τὸ ὑπὸ τῆς φύσεως κατεσκευασμένον οἰκεῖον ἑκάστῳ ὄνομα, ὥσπερ τοῦ ὀξὺ βλέποντος τὸ ἀκριβῶς διαγινώσκειν τὰς οἰκείας τῶν ἑκάστων ἐμφάσεις.

---

1 ἐργάζεσθαι πέφυκε a κατὰ] διὰ A ad πολλάκις add. ἀκριβῶς in mrg. G
1. 2 τὰ ὀνόμ. τῶν λόγων AM 3 ὅτε M γὰρ om. M 3. 4 τὸ ante πόλις (prius) om. G: utrobique om. A 6 δὲ] γε A αὐτὸν A 8 ὅλου] λόγου M τι σημῆναι (τι suppl. m.²) G 12 διαφ. ῥηθ. (num. corr.) G 13 ἀκαιρ. a
14 ὡς A ἀφορίζεσθαι δεῖ AM 14. 15 προσημ. A 15 τὸ κατὰ] περὶ τοῦ κατὰ Fa 16 οὐδέ A 17 τοῦ om. FG κρατύλλω Fa ἀγωνισαμ. A 18 ἑρμογένη AF εἶναι om. M 19 διὰ om. F 20 τὸ φύσει διχ. λέγ. Fa 21 δὲ suppl. G² 23 οἰόμενοι om. M 24 κρατύλλος Ga ὁ Ἡρακλ.] καὶ ἡράκλειτος Ma 25 ἀφορίζεσθαι A λέγοντες Ma ὥσπερ suppl. G² 28 καὶ τοῖς ἐν ὕδ. ἢ τοῖς κατ. ἐμφ.] cf. Plat. Rei p. 402 B ὀνομάζει A 29 τοὺς (prius)] τὰ G τὸ om. AM λέγ.] ἔχοντας G¹ τοῦτο] τοιοῦτον AM
30 ἔργον μόνον F τῷ θηρᾶν Ma 32 τῷ ἀκριβῶς Ma

οἱ δὲ οὕτως αὐτὰ φύσει φασὶν εἶναι ὡς τῇ φύσει προσήκοντα τῶν ὀνο- 15
μαζομένων ὑπ' αὐτῶν πραγμάτων, ὥστε τοῦ ἀρχικὴν (λόγου χάριν)
ἔχοντος φρόνησιν φύσει ὀνόματα εἶναι τὸ Ἀρχίδαμος καὶ Ἀγησίλαος καὶ
Βασιλίσκος καὶ ὅσα τοιαῦτα, τοῦ δὲ ἀνοήτου μηκέτι, καὶ τοῦ μὲν δεξιᾷ
5 τῇ τύχῃ χρωμένου τὸ Εὐτύχιος καὶ Εὔπρακτος, τοῦ δὲ ἀτυχοῦς οὐκέτι· 20
ἐοικέναι καὶ οὗτοι τὰ ὀνόματα λέγοντες εἰκόσιν, οὐ ταῖς φυσικαῖς ἀλλὰ
ταῖς ὑπὸ τῆς ζωγραφικῆς τέχνης ἀποτελουμέναις, ἃ διάφορα μὲν ὁμοιώ-
ματα κατασκευάζει τῶν διαφόρων παραδειγμάτων, καὶ ἑκάστου μέντοι 25
σπουδάζει κατὰ δύναμιν ἀποτυποῦσθαι τὸ εἶδος, καθ' ὃ καὶ πολλάκις
10 ἀπὸ τῶν ὀνομάτων ἀναλύοντες ἐπιχειροῦμεν τὰς φύσεις τῶν ὀνομαζομένων
ὑπ' αὐτῶν πραγμάτων θηρᾶν, | καὶ ταύτας γινώσκοντες πειρώμεθα τὰ κεί- 29v
μενα τοῖς πράγμασιν ὀνόματα σύμφωνα ταύταις δεικνύναι.

Τῶν δὲ αὖ θέσει εἶναι τὰ ὀνόματα διαταττομένων οἱ μὲν οὕτως τὸ
θέσει λέγουσιν, ὡς ἐξὸν ὁτῳοῦν τῶν ἀνθρώπων ἕκαστον τῶν πραγμάτων 5
15 ὀνομάζειν, ὅτῳ ἂν ἐθέλῃ ὀνόματι, καθάπερ Ἑρμογένης ἠξίου, οἱ δ' οὐχ
οὕτως, ἀλλὰ τίθεσθαι μὲν τὰ ὀνόματα ὑπὸ μόνου τοῦ ὀνοματοθέτου, τοῦ-
τον δὲ εἶναι τὸν ἐπιστήμονα τῆς φύσεως τῶν πραγμάτων οἰκεῖον τῇ
ἑκάστου τῶν ὄντων φύσει ἐπιφημίζοντα ὄνομα, ἢ τὸν ὑπηρετούμενον τῷ 10
ἐπιστήμονι καὶ διδασκόμενον μὲν παρ' ἐκείνου τὴν οὐσίαν ἑκάστου τῶν
20 ὄντων, ἐπιταττόμενον δὲ πρεπῶδες αὐτῷ καὶ οἰκεῖον ὄνομα ἐπινοῆσαι καὶ
θέσθαι. κατ' αὐτὸ δὲ τοῦτο θέσει εἶναι τὰ ὀνόματα, διότι οὐ φύσις
ἀλλὰ λογικῆς ἐπίνοια ψυχῆς ὑπέστησεν αὐτὰ πρός τε τὴν ἰδίαν ὁρῶσα 15
τοῦ πράγματος φύσιν καὶ πρὸς τὴν ἀναλογίαν τοῦ ἄρρενος καὶ θήλεος, τῶν
κυρίως ἐν τοῖς θνητοῖς ζῴοις ὁρᾶσθαι πεφυκότων· οὐ γὰρ ἀσκέπτως τοὺς
25 μὲν ποταμοὺς ἀρρενικῶς τὰς δὲ θαλάσσας καὶ τὰς λίμνας θηλυκῶς οἱ τῶν 20
ὀνομάτων δημιουργοὶ προσηγόρευσαν, ἀλλ' ἐκείνας μὲν ὡς ὑποδοχὰς οὔσας
τῶν ποταμῶν διὰ τοῦ θηλυκοῦ γένους ὀνομάζειν δοκιμάσαντες, τοὺς δὲ
ποταμοὺς ὡς ἐμβάλλοντας εἰς αὐτὰς οἰκείως ἔχειν πρὸς τὴν τοῦ ἄρρενος 25
ἀναλογίαν νομίσαντες καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων ὡσαύτως ἢ τρανότερον
30 ἢ ἀμυδρότερον τὴν ἀναλογίαν εὑρόντες· κατὰ ταύτην γὰρ τὴν ἔννοιαν καὶ
τὸν μὲν νοῦν ἀρρενικῶς τὴν δὲ | ψυχὴν θηλυκῶς λέγειν διέταξαν, τὸν μὲν 30r
ἐλλάμπειν δυνάμενον τὴν δὲ ἐλλάμπεσθαι πεφυκυῖαν ὑπ' αὐτοῦ θεασάμενοι.
προϊόντες δὲ οὕτως οὐδ' ἐπ' αὐτῶν τῶν θεῶν τῇ τοιαύτῃ κατὰ τὰ γένη

1 οὕτως iter. F φασὶ φύσει AM 2 ὥστε] ὡς AM 3 post Ἀρχίδ. add. καὶ Ἀρχισίλαος a 4 οὐκέτι M 5 εὐτύχιον καὶ εὔπρακτον a 8 καὶ om. AM 9 καὶ om. F 11 τῶν πραγμ. Fa ταῦτα F 15 Ἑρμογ.] Plat. Crat. p. 384 D 16. 17 τοῦτον δὲ] καὶ τοῦτον M 17 ὃς οἰκείως corr. G² 18 φύσει τῶν ὄντ. M ἐπιφημίζει G² ὄνομα G¹: τὰ ὀνόματα G² ὑπηρετ. μὲν G 20 καὶ πρεπῶδες M 21 φύσει AM 22 ὑπέστησαν M τε] γε A 23 τοῦ θήλεος G 25 ἀρσενικῶς FGMa 27 post δοκιμάσαντες add. ὥσπερ καὶ τὰς πηγὰς ὡς οἷον (οἷα a) μητρὸς λόγον πρὸς αὐτοὺς ἐχούσας AMa 29 ὁμολογίαν FG πάντων G τρανέστερον AM 30 ὁμολογίαν G κατὰ ταύτην] κατ' αὐτὴν AM γὰρ] δὲ A 31 ἀρσενικῶς AG διέταξε G: διετάξαντο a 32 ὡς ἐλλάμπ. (utrobique) a 33 ἐπ'] ἀπ' G: ὑπ' a τὰ om. AG

διαφορᾷ χρήσασθαι ὤκνησαν, τὸν μὲν ἥλιον ἀρρενικῶς τὴν δὲ σελήνην ἅτε παρὰ τοῦ ἡλίου τὸ φῶς δεχομένην θηλυκῶς λέγειν ὁρίσαντες· καὶ γὰρ εἰ ἀρρενικῶς Αἰγύπτιοι τὴν σελήνην ὀνομάζειν εἰώθασιν, ἀλλ' ὡς πρὸς τὴν γῆν, οἶμαι, αὐτὴν παραβάλλοντες, οὐχ ὑπὸ ἡλίου μόνον ἀλλὰ καὶ ὑπ' αὐτῆς φωτιζομένην. διὸ καὶ ὁ ἐν τῷ Συμποσίῳ τοῦ Ἀριστοφάνους λόγος τὸ μὲν ἄρρεν τῷ ἡλίῳ προσήκειν ἔφη, τὸ δὲ θῆλυ τῇ γῇ, τῇ σελήνῃ δὲ τὸ ἀρρενόθηλυ. καὶ φανερὸν ὅτι κατορθοῦσι μᾶλλον τῶν Αἰγυπτίων οἱ Ἕλληνες. ἐπεὶ καὶ δέχεται μὲν κατὰ πρῶτον λόγον ἡ σελήνη παρὰ τοῦ ἡλίου τὸ φῶς, διαπορθμεύει δὲ αὐτὸ κατὰ τὴν ἀφ' ἑαυτῆς ἀνάκλασιν ἐπὶ τὴν γῆν. οὕτω δὲ καὶ τὸν μὲν οὐρανὸν ἀρρενικῶς, τὴν δὲ γῆν θηλυκῶς λέγουσιν ὡς τὴν ἐκείνου δραστήριον δύναμιν ὑποδεχομένην καὶ γεννητικὴν διὰ τοῦτο τῶν φυομένων γινομένην. παραπλησίως δὲ τούτοις καὶ τῶν ὑπερκοσμίων διαφόρους οὔσας τὰς ἐνεργείας ἰδόντες, οἷς ταῦτα ὁρᾶσθαι πέφυκεν ὄμμασι. πόρρωθεν μὲν εἰλήφασι δὲ ὅμως καὶ ἐπὶ τῶν ταῦτα σημαινόντων ὀνομάτων τὴν αὐτὴν ἀναλογίαν. | ἐκ δὲ τούτων 30v
συλλογίζεσθαι ῥᾴδιον καὶ τῶν οὐδετέρων λεγομένων ὀνομάτων τὴν ἔννοιαν ἢ ἐπὶ τὸ πρὸ ἀμφοῖν ἀγομένην, ὡς ὅταν τὸ πρῶτον λέγωμεν, ἢ ἐπὶ τὸ ἐξ ἀμφοῖν, ὡς ὅταν τὸ παιδίον, ἢ κατὰ τὸ προϊὸν ἐκ τοῦ κρείττονος εἰς τὸ χεῖρον, ὡς ὅταν τὸ σπέρμα καὶ τὸ ὕδωρ, ἢ κατὰ τὸ κοινῶς ἐπ' ἀμφοῖν, ὡς ὅταν τὸ ζῷον, ἢ κατ' ἄλλους τοιούτους τρόπους, ἵνα μὴ παρὰ καιρὸν περὶ ταῦτα διατρίβωμεν.

Δῆλον οὖν ὅτι συντρέχει τὸ δεύτερον τῶν ⟨τοῦ⟩ φύσει σημαινομένων τῷ δευτέρῳ τῶν ⟨τοῦ⟩ θέσει· τὰ γὰρ ὑπὸ τοῦ ὀνοματοθέτου τιθέμενα ὡς μὲν οἰκείως ἔχοντα πρὸς τὰ πράγματα, οἷς κεῖνται, φύσει ἂν καλοῖντο, ὡς δὲ |

1. 3. 10 ἀρσεν. libri 3 εἰ om. FG 5 post φωτιζ. add. ἰδόντες AM ὁ om. G ἐν τῷ Συμποσίῳ] p. 190 B 7 δὲ σελ. a post φανερὸν add. δὲ G^2 9 τὸ φῶς παρὰ τοῦ ἡλ. M 10 ἀνάκρασιν FG^1a 11 δραστήριον] ζωοποιόν τε καὶ τελεσιουργὸν M et in mrg. A 12 post γινομένην add. διὸ καὶ αὐτὸς ὁ (ὁ om. G^2M: αὐτὸς om. a) Ἀριστοτέλης ἐν τοῖς (τῶ Ma) περὶ ζώων γενέσεως ἐπαινεῖ τὴν τοιαύτην κατὰ τὰ γένη τῶν ὀνομάτων τούτων διάκρισιν AG^2Ma 15 post ἀναλογίαν add. εἰ δὲ τὸ αὐτὸ φαίνοιτο παρὰ τοῖς αὐτοῖς ἀρσενικῶς (—κὸν a) τε καὶ θηλυκῶς (—κὸν a) ὀνομαζόμενον (λεγόμ. G^2), οὐ διὰ τοῦτο συγκεχύσθαι καὶ σὺν οὐδενὶ λόγῳ τεθεῖσθαι τὰ ὀνόματα φήσομεν, τὴν ἑαυτῶν τῆς ἀγνοίας σύγχυσιν ἐπὶ τοὺς παλαιοὺς καὶ σοφοὺς ἄνδρας μετάγοντες· οὕτω γὰρ καὶ τὴν ἅπασι γνώριμον ἐτυμολογίαν ἐξοστρακίσομεν· ἀλλὰ μᾶλλον ἐροῦμεν κατ' (κατὰ τὴν A) ἄλλην καὶ ἄλλην τοῦ πράγματος ἰδιότητα τῶν γενῶν (γενομένων a) ἑκάτερον ἐπὶ τοῦ αὐτοῦ παρειλῆφθαι (παραληφθῆναι G^2), καθάπερ ἐπὶ τῆς σελήνης ἀρσενικῶς τε καὶ θηλυκῶς ὀνομαζομένης καὶ τῶν διαφόρων τοῦ αὐτοῦ πράγματος ὀνομάτων (λεγομένων G^2) ἐλέγομεν AG^2Ma 17 πρὸ] πρὸς a post λέγωμεν add. ἐφ' ὃ (ὧ Ma) μηδὲ τῶν διὰ μυθολογίας παραδόντων ἡμῖν τὰς θεολογίας ἐτόλμησέ τις ἢ ἀρρενωπὸν ἢ θηλυπρεπῆ διαμόρφωσιν φέρειν. καὶ τοῦτο εἰκότως· τῷ μὲν γὰρ ἄρρενι τὸ θῆλυ (τοῦ θῆλυ A) σύστοιχον, τῷ (τὸ a) δὲ πάντων (πάντη Ma) ἁπλῶς αἰτίῳ σύστοιχον οὐδέν. ἀλλὰ καὶ ὅταν ἀρσενικῶς τὸν θεὸν ὀνομάζωμεν (—ομεν A), ὡς (πρὸς Ma) τὸ σεμνότερον τῶν γενῶν τοῦ ὑφειμένου προτιμῶντες, οὕτως αὐτὸν προσαγορεύομεν. ἢ οὖν ἐπὶ τοῦτο (τούτω A: ταὐτὸ Ma) φέρομεν τὸ οὐδέτερον καλούμενον γένος AMa 18 supra παιδίον add. λέγωμεν G^2 19 τὸ (ante κοινῶς) om. G 21 αὐτὰ FG 22. 23 τοῦ add. Brand. 23 δευτέρῳ] πρώτω A: προτέρω M 24 κεῖται M

τεθέντα ὑπό τινος θέσει. ὁ τοίνυν ἐν τῷ Κρατύλῳ Σωκράτης διαιτῶν τῷ τε 31r
Κρατύλῳ καὶ τῷ Ἑρμογένει διαφερομένοις ἀπὸ διαμέτρου περὶ τοῦ φύσει
εἶναι τὰ ὀνόματα ἢ θέσει δείκνυσιν ὡς οὔτε οὕτως ἐστὶ θέσει. ὡς Ἑρμο- 5
γένης ἠξίου (εἶναι γὰρ ἐν αὐτοῖς καὶ τὸ φύσει κατὰ τὸ δεύτερον τοῦ φύσει
5 σημαινόμενον, καὶ μάλιστα τούτοις, δι' ὧν τὰ καθόλου καὶ ἁπλῶς τὰ ἴδια
τῶν πραγμάτων σημαίνομεν. ὡς ἂν ὡρισμένην καὶ ἡμῖν καταληπτὴν ἔχοντα
τὴν φύσιν· πρὸς γὰρ τὸ κατορθοῦν τὴν πρώτην τῶν ὀνομάτων θέσιν 10
ἐπὶ τῶν καθ' ἕκαστα παντοδαπῶς μεταβάλλεσθαι πεφυκότων τύχην δεῖ
καλεῖν τῇ φήμῃ συνεργόν) οὔτε οὕτως φύσει, ὡς ὁ Ἡράκλειτος ἔλεγεν· εἶναι
10 γὰρ αὐτὰ καὶ θέσει, τὰ μὲν πολλὰ τῶν τιθεμένων τοῖς καθ' ἕκαστα καὶ 15
κατὰ τὸ φορτικὸν τοῦτο τὸ ὑπὸ τοῦ Ἑρμογένους λεγόμενον θέσει, καὶ ὅσα
μέντοι τὴν ἀίδιον σημαίνουσι φύσιν, καὶ ταῦτα θέσει κατὰ τὸ δεύτερον
τῶν τοῦ θέσει σημαινομένων.

Οὐδὲν οὖν πρὸς ταῦτα διάφορον οὐδὲ ὁ Ἀριστοτέλης ἐν τούτοις δια-
15 τάττεται λέγων οὐδὲν τῶν ὀνομάτων εἶναι φύσει· τοῦτο γὰρ αὐτῶν ἀπο- 20
φάσκει τὸ φύσει, ὅπερ ἐπρέσβευον οἱ Ἡρακλείτειοι, καθάπερ καὶ Πλάτων,
οὐκ ἂν οὐδὲ αὐτὸς παραιτησάμενος οὕτως αὐτὰ καλέσαι φύσει, ὡς ὁ θεῖος
ἀξιοῖ Πλάτων. δηλοῖ δὲ τοῦτο ἐν πολλαῖς τῶν πραγματειῶν ἑαυτοῦ, σύμ- 25
φωνα δεικνύναι τοῖς πράγμασι τὰ ὀνόματα πειρώμενος, καθάπερ ἐν τῇ
20 Φυσικῇ ἀκροάσει τὸ τοῦ αὐτομάτου ὄνομα καὶ τὸ τοῦ κενοῦ, ἐν δὲ τοῖς
Μετεώροις τὸ τῆς ψεκάδος καὶ τὸ τοῦ ὑετοῦ, | καὶ ὅσα μέντοι τιθέντα 31v
αὐτὸν ὀνόματα ἴσμεν, ὡς τὸ τῆς ἐντελεχείας ἐπὶ τοῦ εἴδους ἢ τὸ τοῦ
ὅρου ἐπὶ τῶν ἁπλῶν ἐν τοῖς συλλογισμοῖς φωνῶν ἢ τὸ τοῦ σχήματος
ἐπὶ τῆς τοιάσδε τῶν προτάσεων συμπλοκῆς. καὶ ἐν αὐτῷ τούτῳ τῷ Περὶ 5
25 ἑρμηνείας βιβλίῳ τὸ τοῦ ἀορίστου ὀνόματος ἢ ἀορίστου ῥήματος ἢ τὸ τῆς
ἀντιφάσεως ὑπ' αὐτοῦ τεθέντα σαφέστατα δηλοῖ τὴν περὶ τούτων τοῦ
φιλοσόφου διάνοιαν.

Εἰ δέ τις οἴοιτο δεικνύναι μηδὲ κατὰ τοῦτον τὸν τρόπον ὀφείλοντα
φύσει τὰ ὀνόματα λέγεσθαι, ἀπό τε τῆς γενομένης μεταθέσεως τῶν ὀνο- 10
30 μάτων ἐπιχειρῶν καὶ ἀπὸ τοῦ τὸ αὐτὸ πρᾶγμα πλείοσι πολλάκις ὀνόμασιν
ὀνομάζεσθαι, τὴν μὲν μετάθεσιν ἐρροῦμεν καὶ μάλα ἐναργῶς δεικνύναι

1 τεθέντα] ταχθέντα A¹ κρατύλλῳ a (ubique) διαιτῶν] διὰ τοὺς AM: διὰ τῶν G¹ 2 ἑρμογένη A διαφερομένων G¹ ἀπὸ τοῦ M 3 δείκνυσιν] Cratyl. c. 4 p. 386 A sq. c. 38 p. 427 D sq. 4 καὶ τὸ φύσει om. M κατὰ] καὶ G¹ 4. 5 δεύτ. τῶν φ. σημαινομένων A 5 τούτων G ἀίδια G 6 σημαινόμενα AM ὡρισμένη G¹ 7 γὰρ] δὲ F κατὰ τὴν πρ. AFMa 9 τῇ φήμῃ] ἢ φήμην F οὔτε] ὥστε M φύσις F ὁ] τὸ A: om. FMa 10 αὐτὰς M 11 τὸ prius om. M: utrumque om. A λέγωμεν A 14 διαφέρων πρὸς τ. A: διάφορον πρὸς τ. M ὁ om. AFM 18 αὐτοῦ G¹ 19 τὰ πράγματα τοῖς ὀνόμασι G ἐν μὲν Aa: ἐν τῇ φυσ. μὲν M 20 Φυσικῇ ἀκρ.] B 6 p. 197b29 Δ 7 p. 213b31 sq. 21 Μετεώρ.] A 9 p. 347a11 21. 22 τίθεται αὐτῷ A: τιθέντα αὐτῶν M 22 ἐνδελ. A (cf. De an. p. 412a10) τὸ (ante τοῦ ὅρου) suppl. G² (cf. Anal. pr. p. 24b16) 23 σχήμ.] cf. Anal. pr. p. 26b33 25 τὸ (ante τοῦ ἀορ.) suppl. G² ἢ ἀορ.] ἢ τοῦ ἀορ. A: ἢ τὸ τοῦ ἀορ. Ma 29 γινομ. A διαθέσεως F

τὸ φύσει τῶν ὀνομάτων· δῆλον γὰρ ὅτι ὡς ἐπί τινα οἰκειότερα τοῖς πράγμασιν ὀνόματα μεταβαίνοντες κεχρήμεθα τῇ μεταθέσει, τὸ δὲ πλῆθος τῶν ὀνομάτων οὐδαμῶς φήσομεν κωλύειν ἕκαστον αὐτῶν οἰκεῖον εἶναι τῇ φύσει τοῦ ὀνομαζομένου· καθάπερ γὰρ εἰκόνας ἐνδέχεται πλείονας εἶναι τοῦ αὐτοῦ ἀνθρώπου, ὕλης μὲν οὔσας διαφόρου, χαλκῆς, εἰ τύχοι, ἢ ξυλίνης ἢ λιθίνης, πάσας δὲ ἐχούσας τὴν πρὸς αὐτὸν ὁμοιότητα· τὸν αὐτὸν καὶ ἐνταῦθα τρόπον οὐδὲν κωλύει τὴν αὐτὴν φύσιν δι' ἄλλων καὶ ἄλλων ὀνομάζεσθαι συλλαβῶν, μιᾶς καὶ τῆς αὐτῆς οὐσίας κατ' ἄλλην καὶ ἄλλην ἔννοιαν ἐκ πασῶν σημαινομένης. ὥσπερ τὸ ἄνθρωπος ὄνομα καὶ τὸ μέροψ καὶ τὸ βροτὸς σημαίνει ταὐτόν, ἀλλὰ τὸ μὲν καθ' ὃ ἀναθρεῖ ἃ ὄπωπε, τὸ δὲ καθ' ὃ μεριστὴν ἔχει φωνήν, τὸ δὲ κατὰ τὴν εἰς γένεσιν τῆς ψυχῆς πτῶσιν καὶ | τὸν ἐντεῦθεν μολυσμόν· ἢ καὶ ὡς πρὸς τὸ σύνθετον, ἄνθρω- 32r
πος μὲν κατὰ τὸ διαρθροῦν τὴν ὄπα ἢ ἄνω ἔχειν τοὺς ὤπας, μέροψ δὲ ὡς μεμερισμένῃ χρώμενος τῇ ὀπί, βροτὸς δὲ ὡς μορτὸς καὶ μοιρητός, διὸ καὶ τὸ

ἐδείμαμεν ἄστεα μορτοί

φησιν ὁ Κυρηναῖος. εἰ δὲ ταῦτα ὀρθῶς λέγεται, δῆλον ὡς οὐκ ἀποδεξόμεθα τὸν Διαλεκτικὸν Διόδωρον πᾶσαν οἰόμενον φωνὴν σημαντικὴν εἶναι καὶ πρὸς πίστιν τούτου καλέσαντα τῶν ἑαυτοῦ τινα οἰκετῶν Ἀλλαμὴν καὶ ἄλλον ἄλλῳ συνδέσμῳ· ποίαν γὰρ ἕξουσιν αἱ τοιαῦται φωναὶ σημασίαν φύσεώς τινος ἢ προσώπου, καθάπερ τὰ ὀνόματα, ἢ ἐνεργείας ἢ πάθους, καθάπερ τὰ ῥήματα, χαλεπὸν καὶ πλάσαι.

Ἐπεὶ δὲ ἕτεροι τὸ θέσει τῶν ὀνομάτων ἐξορίζειν ἐπιχειροῦσιν, ὥσπερ ὁ Πετραῖος Δουσάρειος, τὰς εὐχὰς ἡμῖν καὶ τὰς ἀρὰς παραφέροντες, ἐν αἷς τὰ ὀνόματα ἡμῶν λεγόμενα ἢ ὠφελοῦσιν ἐναργῶς τοὺς ὀνομαζομένους ἢ βλάπτουσι, καίτοι τῆς συνθήκης ἀνθρώπων μὲν εἰκότως πρὸς ἀνθρώπους γενομένης, ἀνθρώπων δὲ πρὸς θεοὺς οὐδὲ μέχρι ἐπινοίας ὑφίστασθαι δυναμένης, ῥητέον καὶ πρὸς τούτους ὅτι λογικοὺς ἡμᾶς καὶ αὐτοκινήτους ὑποστήσαντες οἱ θεοὶ πολλῶν πράξεων κυρίους εἰκότως κατέστησαν, ὁρῶντές τε πάντα τὰ ἡμέτερα ἀτρέπτως καὶ τὰς θέσεις τὰς ἡμετέρας παραδεχόμενοι πρὸς ταύτας ἡμῖν ὡς αὐτοκινήτοις τὸ κατ' ἀξίαν ἀφορίζουσι, μᾶλλον δὲ ἡμεῖς διὰ τῶν ἐπὶ ταῖς θέσεσι τοιῶνδε φαντασιῶν, ὀρέξεών τε καὶ ἐγκλίσεων, τοιόνδε ζωῆς τύπον ἐν ἑαυτοῖς

---

1 τὰ φύσει a ὅτι om. AG 3 ἑκάστου A 4 γὰρ] καὶ F 5 τύχῃ F ἢ (ante ξυλίνης) Brand.: καὶ AFGMa 6 καὶ suppl. G² 8 οὐσίας] οὔσης AM 11 φωνήν] ζωήν AFM 14 μορητός A 16 ἄστοσα A μορτοῖς FG 17 ὁ Κυρηναῖος] Callim. frg. 271 18 Διόδ.] cf. Zelleri H. Ph. II 1¹ 271 (Steph. d. interpr. 9,22 Hayd.) σημ. εἶναι φωνὴν G 19 post οἰκετῶν add. τῷ συλλογιστικῷ συνδέσμῳ a ἀλλὰ μὴν καὶ AFMa: om. G 20 γὰρ om. G 23 ἐπιχειροῦσι om. A 24 ὥσπερ ὁ πετραῖος 'πετραῖα M: πατραῖος a) δοὺς ἄρειος (Ἄρειος a) AMa: om. FG; correxi ex Bernaysii Ges. Abh. II 291 24. 25 παραφέρ.] περὶ φέροντες A: ἐπιφέροντες G¹: περὶ ἄρεια φέροντος M 26 τῆς om. G μὲν om. G 27 πρὸς] ἐπὶ G¹ ἀνθρώπων (pr. l.) G γιγνομ. A 28 μέχρις Ma 30 τὰ ἡμέτ. πάντα G ἀτρεπέστερα a 33 ἐκκλήσεων A ἐν om. FG

κατασκευάζοντες κατὰ τοῦτον ἀπολαύομεν | τῆς προσηκούσης ἡμῖν τῶν θεῶν 32ᵛ
προνοίας· ὥσπερ τὰ σώματα ὁρῶμεν, ἐπειδὰν μὲν ἐκπυρωθῶσι, κοῦφά τε
καὶ ἀνώφορα κατὰ φύσιν γινόμενα, μεταβάλλοντα δὲ πάλιν ἐπὶ τὸ γεωδέ-
στερόν τε καὶ ἐμβριθέστερον ἔμπαλιν κάτω φερόμενα κατὰ τὴν τότε αὐ-
τοῖς ὑπάρχουσαν ῥοπήν· καὶ τοῦ βασιλέως ἡλίου πρὸς τῇ μεσημβρίᾳ τὸ
ὑπὲρ γῆν ἅπαν ἡμισφαίριον καταλάμποντος οἱ μὲν ἐγρηγορότες καὶ τὰ
ὄμματα κατὰ φύσιν ἔχοντες ἀπολαύουσι τῶν ἀπὸ τοῦ φωτὸς ἀγαθῶν, οἱ
δὲ καθεύδοντες ἢ μύοντες ἢ ἄλλως ἐγκαλυψάμενοι τὰς ὄψεις οὐ τυγχάνουσι
παρὰ τὴν ἑαυτῶν αἰτίαν, ἀλλ' οὐ φθόνῳ τινὶ τοῦ τὸ φῶς ἀφθόνως ἅπασι
χορηγοῦντος θεοῦ.

Ἀλλὰ ταῦτα μὲν ἐπὶ πλέον ἐμηκύναμεν, τὴν συμφωνίαν τῶν φιλο-
σόφων ἐπιδεῖξαι βουλόμενοι καὶ τὸ θεώρημα ζητεῖσθαι παρὰ τοῖς παλαιοῖς
εἰωθὸς οὐ παντάπασιν ἀδιερεύνητον παραδραμεῖν δοκιμάσαντες. ἑξῆς δὲ
τούτοις ἐπισκεψώμεθα τὸν συλλογισμόν, ὃν ὁ Ἀφροδισιεὺς ἐξηγητὴς ἐκτί-
θεται, κατασκευάζειν δοκοῦντα μόνως εἶναι φύσει τὰ ὀνόματα καὶ τὰ
ῥήματα· τὰ γὰρ ὀνόματα, φησί, καὶ τὰ ῥήματα φωναί, αἱ δὲ φωναὶ φύσει,
τὰ ἄρα ὀνόματα καὶ τὰ ῥήματα φύσει. πρὸς ταῦτα τοίνυν ῥητέον ὅτι τὰ
ὀνόματα καὶ τὰ ῥήματα οὐχ ἁπλῶς ἂν λέγοιντο εἶναι φωναί, ἀλλὰ κατὰ
τὴν ὕλην. ὥσπερ οὖν εἴ τις ἔλεγεν 'ἡ θύρα ξύλον, τὸ ξύλον φύσεως
ἔργον, ἡ ἄρα θύρα φύσεως ἔργον', γελοῖος ἂν ἦν (λέγεται γὰρ ἡ θύρα
ξύλον κατὰ τὴν ὕλην, οὐκ ἀνάγκη δὲ τὸ ὕλῃ χρώμενον φυσικῇ καὶ αὐτὸ
φύσει εἶναι, διότι πάντα τὰ τεχνητὰ | τὴν ὑπόστασιν ἐκ τῆς ἡμετέρας ἐπι- 33ᵛ
νοίας ἔχοντα περὶ τὴν φυσικὴν ὕλην ὑφίσταται), τὸν αὐτὸν κἀνταῦθα τρό-
πον ῥητέον ὅτι φύσεως μέν ἐστιν ἔργον ἡ φωνή (φύσει γάρ ἐσμεν φωνη-
τικοί), τὰ δὲ ὀνόματα καὶ τὰ ῥήματα λέγοιντο ἂν εἶναι φωναὶ οὐχ ἁπλῶς,
ἀλλὰ τοιῶσδε μορφωθεῖσαι καὶ διαπλασθεῖσαι ὑπὸ τῆς λεκτικῆς καλου-
μένης φαντασίας τοιῶσδε καὶ τοιῶσδε τὰ φωνητικὰ κινούσης ὄργανα, καθά-
περ τὸ ξύλον ὑπὸ τοῦ τέκτονος πρὸς τὴν τῆς θύρας γένεσιν. ὥσπερ οὖν
τὸ ξύλον πρὶν εἰδοποιηθῆναι οὐκ ἄν τις ὀνομάσοι θύραν, οὕτως οὐδὲ τὰς
μὴ τοιῶσδε μορφωθείσας φωνὰς ὀνόματα ἢ ῥήματα, ὥστε κατὰ τὸ εἶδος
αὐτὰ λέγεσθαι εἶναι τοιαῦτα ἐξ ἐπινοίας ἡμετέρας γεγονότα καὶ ὄντα διὰ
τοῦτο θέσει. ταῦτα μὲν οὖν πρὸς τὸν συλλογισμόν.

Ὁ δέ γε Ἀριστοτέλης ὅτι κατὰ συνθήκην τὸ ὄνομα ὑπομιμνήσκει
ἀπὸ τοῦ συναναφαίνεσθαι τῇ πρώτῃ γενέσει καὶ θέσει τοῦ ὀνόματος τὸ
σύμβολον αὐτὸ εὐθὺς εἶναι τοῦ ὀνομαζομένου, καὶ οὐχ ὁμοίωμα φυσικόν,

---

1 παρασκευάζ. a 2 μὲν om. G 3 γιν. κατὰ φ. (num. corr.) G γιγν. A τὸ] τὸν A 4 τε καὶ ἐμβριθέστερον om. FG 4. 5 ἑαυτοῖς A 5 ῥοπήν] φορὰν G¹ τὴν μεσεμβρίαν Ma 6 μὲν γὰρ Fa τε καὶ A 18 ἂν om. FG φωναί om. F 20 ἦν] εἴη Fa 23 περὶ] παρὰ G² 24 ἐστιν om. a ἔργον] δῶρον FGa 27 τοιῶς (utrobique) F 29 post ξύλον iter. ὑπὸ τοῦ τέκτ. — γένεσιν A εἰδοποιηθῆ a ὀνομάσοι F²GMa: ὀνομάση A: ὀνομάσει F¹ 30 τοιῶσδε ἢ τοιῶσδε Ga 31 αὐτὰ om. FG εἶναι τοιοῦτα λέγ. A καὶ ἐξ a 33 γε om. M 34 συνυφαίν. G¹: συνεμφαίν. G² 35 εὐθὺς αὐτὰ (sic) M

ἀλλ' εἴπερ ἄρα, τὸ ὅλον τοῦτο κατὰ τέχνην ὁμοίωμα· διὸ καὶ εἴ τις ἐπι-
ζητοίη τοῦ ὀνόματος τὸ γένος, ἐπειδὴ τὴν φωνὴν ὅλης πρὸς αὐτὸ λόγον
ἔχειν ἀποφαινόμεθα, τὸ σύμβολον ἀποδώσομεν, ὥστ' εἶναι αὐτοῦ τὸν ὄν-
τως ὁρισμὸν 'σύμβολον ἐκ φωνῆς σημαντικῆς κατὰ συνθήκην ἄνευ χρόνου,
ἧς μηδὲν μέρος σημαντικὸν κεχωρισμένον ὑπάρξεώς τινος ἢ προσώπου
δηλωτικόν', τοῦ μὲν γένους αὐτοῦ νῦν παραδοθέντος, τῶν δὲ πρότερον νῦν
ἐν ὁρισμοῦ τάξει ῥηθέντων εἰς ἔννοιαν ἡμᾶς ἀγόντων τοῦ ὀνόματος ἀπό
τε | τῆς ὅλης αὐτοῦ καὶ τοῦ προσεχοῦς εἴδους. ὡς εἴ τις θρόνον δη- 33v
λῶσαι βουλόμενος αὔταρκες ἡγεῖται πρὸς τὸ παραστῆσαι αὐτοῦ τὴν ἔννοιαν
τὸ εἰπεῖν ὅτι ἐστὶ ξύλον τοιῶσδε ἐσχηματισμένον. καίτοι δυνατὸν ὂν ἀκρι-
βολογούμενον λέγειν ὅτι ἐστὶ σκεῦος πρὸς τόδε χρήσιμον ἐκ ξύλου τοιῶσδε
ἐσχηματισμένον. ἔσται δὲ τὸ αὐτὸ τοῦτο δηλονότι καὶ τοῦ ῥήματος καὶ
τοῦ λόγου γένος κατὰ τὴν σημαντικὴν ἐν αὐτοῖς δύναμιν· πρὸς ἄλληλα
γὰρ λέγεται τό τε σημαῖνον καὶ τὸ σημαινόμενον, ὥστε σύμβολα εἰκότως
τὰ κατὰ συνθήκην σημαίνοντα τῶν σημαινομένων. κατὰ δὲ τὴν λέξιν καὶ
τὸ πλῆθος τῶν συμπληρουσῶν αὐτὴν συλλαβῶν ὑπὸ τὸ ποσὸν ἕκαστον αὐτῶν
ἀνοίσομεν. εἰ δὲ τὸ ὄνομα καὶ σύμβολον καὶ ὁμοίωμα τεχνητὸν ἀξιοῦμεν
καλεῖν, οὐ θαυμαστόν· ἔσται γὰρ τὸ μὲν ἀσκόπως τεθὲν μόνως σύμβολον,
τὸ δὲ κατὰ λόγον ὡς μὲν δυνάμενον ἐξ ἄλλων καὶ ἄλλων συγκεῖσθαι
συλλαβῶν ἐοικὸς τοῖς συμβόλοις, ὡς δὲ τῇ φύσει τοῦ ὀνομαζομένου προσῆ-
κον ὁμοίωμα, καὶ οὐ σύμβολον. ἀλλὰ ταῦτα μὲν ὥσπερ πορίσματα λη-
πτέον ἐκ τῶν εἰρημένων, συνᾴδοντα τοῖς ἐν Κρατύλῳ περὶ τοῦ ὀνόματος
ὑπὸ τοῦ Σωκράτους παραδεδομένοις· καὶ γὰρ ἐκεῖνος τὸ ὄνομα μίμημά
φησιν εἶναι τῆς ἑκάστου οὐσίας διὰ φωνῆς ἐνάρθρου, ταὐτὸν δὲ εἰπεῖν ἐκ
στοιχείων καὶ συλλαβῶν κατεσκευασμένον. ὥσπερ τὰ ῥήματα τῶν ἐπακολου-
θούντων (τοῦτ' ἔστι τῶν ὑπαρχόντων) ταῖς οὐσίαις μιμήματα εἶναι. λόγον
δὲ τὸν ἐξ ἀμφοῖν, τοῦ τε ὀνόματος καὶ τοῦ ῥήματος, συγκείμενον, ὡς ἂν
καὶ αὐτὸς διά τε τούτων καὶ τῶν ἐν Σοφιστῇ ῥηθέντων πρὸ | τοῦ Ἀρι- 34r
στοτέλους μόνα τοῦ λόγου κυρίως μέρη τὸ ὄνομα καὶ τὸ ῥῆμα εἶναι
τιθέμενος.

Τὴν δὲ χρείαν τοῦ κατὰ συνθήκην ὁ φιλόσοφος ἐπιδεικνύς, ἐπεὶ σημαίνουσί τι, φησί, καὶ οἱ ἀγράμματοι ψόφοι, τοῦτ' ἔστιν αἱ ἄναρθροι φωναί (τῷ γὰρ ψόφῳ νῦν ὡς γένει τῆς φωνῆς ἀντὶ τοῦ εἴδους ἐχρήσατο), οἷον θηρίων, ὧν οὐδέν ἐστιν ὄνομα, ὡσανεὶ ἔλεγεν, ἐπεὶ δίχα τῆς προσθήκης ταύτης οὐδὲν μᾶλλον τὸ ὄνομα ἐδηλοῦμεν ἢ τὰς

1 ὅπερ G¹ 3 τὸν ὄντως αὐτοῦ G 5 μέρος ἐστὶ a 6 νῦν (post πρότ.) om. AM 8 προσεχῶς G 9 ἡγοῖτο AM 10 τῷ εἰπεῖν GM ὅτι ἐστὶ om. G ἐσχημ.] κατεσκευασμένον M 11 ἐστὶ om. F ἐκ ξύλου om. F 12 ἐσχηματισμένου AM τοῦτο αὐτὸ G: τοῦτο τὸ αὐτὸ Ma καὶ τοῦ ῥημ. δηλ. A 15 σημαίνοντα] σημαινόμενα G 16 πληρουσῶν M 22 ἐν Κρατύλῳ] c. 39 p. 430 A sq. περὶ δὲ τοῦ ὀνόμ. A: περὶ ὀνόμ. F 23 παραδεδομένου G μίμημα om. F 24 ἑκάστων G ἀνάρθρου F 25 κατασκευασμ. F ὥσπερ γὰρ A 28 ἐν τῷ σοφιστῇ Ma (cf. Sophist. c. 45 p. 261 E sq.) πρὸ] πρὸς F 31. 32 ἐπεὶ σημ.] ἐπισημ. A 32 σημ.] δηλοῦσί γε b 34 ἐπεὶ] ὅτι FG 35 δηλοῦμεν G

φύσει προφερομένας φωνὰς τὰς ἀγραμμάτους. οἷον τὰς τῶν ἀλόγων ζῴων, ἃ θηρία ἐκάλεσεν, ὥσπερ καὶ Πλάτων, ὡς σύστοιχον μᾶλλον ἔχοντα τὸ ἄγριον διὰ τὸ ἄλογον καὶ ὡς οὐ πεφυκότα πολιτεύεσθαι, ἀλλ' ἐπίκτητον δεχόμενα τὸ ἥμερον, ἐν ὅσοις αὐτῶν καὶ δοκεῖ ποτε τοῦτο ὑπάρχειν τιθασσευομένοις. τὸ δὲ ὧν οὐδέν ἐστιν ὄνομα ἢ ἀντὶ τοῦ οὐδεὶς εἴρηται 'ὧν ᾠόφων οὐδείς ἐστιν ὄνομα', ἢ κατ' ἔλλειψιν τοῦ φθέγμα ὧν θηρίων οὐδὲν φθέγμα ἐστὶν ὄνομα'· οὐ γὰρ δήπου λέγοι ἂν μὴ εἶναι ὀνόματα τῶν φωνῶν τῶν ἀλόγων ζῴων· λέγεται γὰρ ἡ μέν τις ὑλακὴ ἡ δὲ χρεμετισμὸς ἢ μυκηθμός. ταῦτα ἐξηγησάμενος περὶ μὲν τῶν λοιπῶν οὐδὲν προστίθησι, τοῦ τε φωνὴ καὶ τοῦ σημαντική, ὡς προφανῶν λίαν ὄντων. προχειρίζεται δὲ τὸν περὶ τοῦ ἀορίστου ὀνόματος λόγον καί φησι·

p. 16a30 Τὸ δὲ οὐκ ἄνθρωπος οὐκ ὄνομα. οὐ μὴν οὐδὲ κεῖταί γε ὄνομα ὅ τι δεῖ καλεῖν αὐτό· οὔτε γὰρ λόγος οὔτε ἀπόφασις. ἀλλ' ἔστω ὄνομα ἀόριστον, ὅτι ὁμοίως ἐφ' ὁτουοῦν ὑπάρχει καὶ ὄντος καὶ μὴ ὄντος.

Τοῦτο δὲ νῦν ἐκίνησε τὸ θεώρημα, διότι ἑώρα μὲν | καὶ τὰς τοιαύτας φωνὰς παραλαμβανομένας πολλάκις ἐν ταῖς ἀποφάνσεσιν, ὡς ὅταν εἴπωμεν 'οὐκ ἄνθρωπος περιπατεῖ', οὐδενός γε ὀνόματος ἠξιωμένας ὑπὸ τῶν παλαιοτέρων. διδάσκει τοίνυν καὶ τίσι τῶν ὠνομασμένων φωνῶν ὑποπτευθεῖεν ἂν αἱ αὐταὶ εἶναι, μὴ οὖσαι κατὰ ἀλήθειαν αἱ αὐταί, καὶ πῶς δίκαιον αὐτὰς ὀνομάζειν. ἐπεὶ οὖν μάλιστα ἄν τις ὑποπτεύσειεν αὐτὰς εἶναι ὀνόματα διά τε τὸ παραπλησίως τοῖς ὄντως ὀνόμασι τὴν τῶν ὑποκειμένων χώραν καταλαμβάνειν ἐν ταῖς προτάσεσι καὶ διὰ τὸ ἐφαρμόζειν αὐταῖς τὸν ἀποδεδομένον τοῦ ὀνόματος λόγον (τά τε γὰρ ἄλλα προφανῶς αὐταῖς ὑπάρχει καὶ οὐδ' ἐπὶ τούτων τὰ μέρη σημαντικά ἐστι καθ' ἑαυτά, τό τε 'οὐκ' καὶ τὸ 'ἄνθρωπος', ὅταν ὡς ἑνὸς τοῦ 'οὐκ ἄνθρωπος' ὄντα μέρη λαμβάνωνται), οὐ μὴν ὁ Ἀριστοτέλης ἀξιοῖ αὐτὰς ἁπλῶς ὀνόματα καλεῖν, διότι τὸ μὲν ὄνομα μιᾶς ἐστι φύσεως σημαντικόν, τῆς τοῦ ὀνομαζομένου, τῶν δὲ τοιούτων ἑκάστη φωνῶν ἓν μὲν ἀναιρεῖ, τὸ σημαινόμενον ὑπὸ τοῦ ὀνόματος τοῦ δίχα τῆς ἀρνήσεως λεγομένου, πάντα δὲ τὰ ἄλλα τὰ παρ' ἐκεῖνο εἰσφέρει καὶ ὄντα καὶ μὴ ὄντα· τὸ γὰρ οὐκ ἄνθρωπος ἐπ' ἀνθρώπου μὲν οὐ λέγεται μόνου, λέγεται δὲ ἐπὶ ἵππου καὶ κυνὸς καὶ ἐπὶ τραγελάφου καὶ ἱπποκενταύρου καὶ πάντων ἁπλῶς ὄντων τε καὶ μὴ ὄντων.

---

1 προσφερ. a οἷον] ἢ G 2 Πλάτων] Cratyl p. 399 C 4 ὅσοι F 6 ἔλληψιν F φθέγματος FGMa 7 ἂν λέγοι (num. corr.) G 9 μηκυθμός a: μηκηθμός Brand. μὲν om. FG 12 οὐ μὴν — μὴ ὄντος (15) om. M 13 γε om. b ἀπόφασίς ἐστιν ab 16 θεώρημα] ὄνομα F ἑώρα μὲν] ἑωράκαμεν A: ὁρῶμεν F 17 φωνὰς om. F ἀποφάσεσιν G 18 οὐδὲν G γε] δὲ Brand.: an δέ γε? 19 τοῖσι A 20 ἂν om. FGa 22 ὀνόμ. εἶναι FG 22. 23 τὸ παραπλ. — ὑποκειμένων suppl. G² 22 τοῖς iter. F 28 φύσεώς ἐστι A σημαντικῆς G² 29 τῶν δὲ — σημαινόμενον om. G 32 δὲ καὶ Ma ἐπὶ (alterum) om. a

διὰ ταῦτα τὸ ὅλον τοῦτο ἀόριστα ὀνόματα κελεύει αὐτὰς προσαγορεύεσθαι· ὀνόματα μέν, διότι, ὅπερ ἐν τοῖς ἑξῆς ῥηθήσεται περὶ αὐτῶν, ἕν πως σημαίνει καὶ ταῦτα, τὸ παρὰ τὸ ὡρισμένον ἅπαν ὡς ἕν, οἷον τὸ οὐκ ἄνθρωπος τὸ παρὰ τὸν ἄνθρωπον | ἅπαν ὡς ἓν κατ' αὐτὸ τοῦτο. καθ' ὃ 35r πάντα κοινόν τι ἔχει τὸ μὴ εἶναι ὅπερ ἄνθρωπος· ἀόριστα δέ, διότι τὸ ὑπ' αὐτῶν σημαινόμενον οὐχ ὕπαρξίν τινα πράγματος σημαίνει, ὅπερ τοῖς ὀνόμασιν ἔθος, ἀλλ' ἀνυπαρξίαν οὖσί τε ὁμοίως καὶ μὴ οὖσιν ἐφαρμόζουσαν. ἐπεὶ δὲ ὑπέλαβεν ἄν τις ἢ ἀποφάσεις εἶναι τὰς τοιαύτας φωνὰς διὰ τὴν τοῦ ἀρνητικοῦ μορίου προσθήκην, ἢ ὅλως λόγους, διότι σύνθεσίν τινα ἐμφαίνουσι, διὰ τοῦτο ἐπισημαίνεται ὡς οὐδέτερον τούτων δυνατὸν αὐτὰς ὀνομάζειν, οὔτε ἀπόφασιν οὔτε ἁπλῶς λόγον. ἀποφάσεις μὲν οὖν οὐκ εἰσί, διότι πᾶσα ἀπόφασις τοῦ ἀρνητικοῦ μορίου ἀφαιρεθέντος γίνεται κατάφασις, ἐπεὶ καὶ τούτῳ πλεονάζει τῆς καταφάσεως· αἱ δὲ τοιαῦται φωναὶ τοῦ ἀρνητικοῦ μορίου ἀφαιρεθέντος ὀνόματα ποιοῦσιν, ἀλλ' οὐ καταφάσεις. ἀλλὰ μὴν οὐδὲ ἁπλῶς λόγοι· οὔτε γὰρ εὐχαὶ οὔτε προστάξεις οὔτε κλήσεις οὔτε ἐρωτήσεις οὔτε ἀποφάνσεις ὅλως, ἐπεὶ πᾶσα ἀπόφανσις ἢ ἀληθείας ἢ ψεύδους ἐστὶ σημαντική, τούτων δὲ οὐδέτερον ὑπὸ τῶν τοιούτων σημαίνεται φωνῶν. ἐπεὶ οὖν οὔτε τούτων οὐδέτερον καλεῖν αὐτὰς δυνατόν, λόγον ἢ ἀπόφασιν, οὔτε ἄλλο τι ἔχομεν ἐν τῇ συνηθείᾳ κείμενον ὄνομα ταῖς τοιαύταις φωναῖς, ὥσπερ ταῖς μὲν τοιαῖσδε τὸ τοῦ ὀνόματος ταῖς δὲ τοιαῖσδε τὸ τοῦ ῥήματος καὶ ταῖσδε τὸ τῆς καταφάσεως καὶ ἄλλαις ἄλλο, καλέσωμεν ἡμεῖς αὐτάς, φησίν, ἀόριστα ὀνόματα, διὰ τοῦ ἀλλ' ἔστω ὄνομα ἀόριστον δηλῶν ὅτι αὐτός ἐστιν ὁ τὸ ὄνομα τοῦτο θέμενος ταῖς τοιαύταις φωναῖς.

p. 16a33 Τὸ δὲ Φίλωνος ἢ Φίλωνι καὶ ὅσα τοιαῦτα οὐκ ὀνόμα|τα ἀλλὰ πτώσεις ὀνόματος. λόγος δέ ἐστιν αὐτοῦ τὰ μὲν 35v ἄλλα κατὰ τὰ αὐτά, ὅτι δὲ μετὰ τοῦ ἔστιν ἢ ἦν ἢ ἔσται οὐκ ἀληθεύει ἢ ψεύδεται, τὸ δὲ ὄνομα ἀεί. οἷον Φίλωνος ἔστιν ἢ οὐκ ἔστιν· οὐδὲν γάρ πω οὔτε ἀληθεύει οὔτε ψεύδεται.

Περὶ τῆς κατ' εὐθεῖαν γινομένης τῶν ὀνομάτων προφορᾶς εἴωθε παρὰ τοῖς παλαιοῖς ζητεῖσθαι πότερον πτῶσιν αὐτὴν προσήκει καλεῖν ἢ οὐδαμῶς. ἀλλὰ ταύτην μὲν ὄνομα ὡς κατ' αὐτὴν ἑκάστου τῶν

---

1 αὐτὰ AM 2 ὥσπερ GF ἐν om. M 3 post ταῦτα add. οἷον a τὸ παρὰ F: παρὰ A: τὸ περὶ Ga: περὶ M ἕν, οἷον τὸ] ἐν τῷ AM 4 παρά] περὶ G¹a 5 ante πάντα supra scr. καὶ M 6 ἐν τοῖς F 8 εἶναι om. G 9 ὅλως] ἄλλως AM 11 ἁπλῶς τινα M 12 γίνεται—ἀφαιρ. (14) iter. M 13 τοῦτο F 14 ὄνομα G 16 οὔτε ἐρωτήσεις post εὐχαὶ transp. G 18 αὐτὰ F 19 ἀπόφασιν scripsi: ἀπόφανσιν libri ἐν] οὐ G 22 φησιν αὐτὰς A διὰ δὲ F ἔσται G 23 δηλονότι Fa 25 post φίλωνος add. ἢ φίλωνος G 26 ἀλλὰ – ψεύδεται (29) om. M λόγος – ψεύδεται (29) om. G 27 ὅτι – ψεύδεται (29) om. a 28 αἰεί A φίλωνι F 29 οὐδὲν] οὐδὲ F 30 γενομ. A

πραγμάτων ὀνομαζομένου, τὰς δὲ ἄλλας πτώσεις ὀνόματος ἀπὸ τοῦ μετα- 10
σχηματισμοῦ τῆς εὐθείας γινομένας. τῆς μὲν οὖν δευτέρας προΐσταται
δόξης ὁ Ἀριστοτέλης, καὶ ἕπονταί γε αὐτῷ πάντες οἱ ἀπὸ τοῦ Περιπάτου,
τῆς δὲ προτέρας οἱ ἀπὸ τῆς Στοᾶς καὶ ὡς τούτοις ἀκολουθοῦντες οἱ τὴν 15
5 γραμματικὴν μετιόντες τέχνην. λεγόντων δὲ πρὸς αὐτοὺς τῶν Περιπατητι-
κῶν ὡς τὰς μὲν ἄλλας εἰκότως λέγομεν πτώσεις διὰ τὸ πεπτωκέναι ἀπὸ
τῆς εὐθείας, τὴν δὲ εὐθεῖαν κατὰ τίνα λόγον πτῶσιν ὀνομάζειν δίκαιον
ὡς ἀπὸ τίνος πεσοῦσαν; (δῆλον γὰρ ὅτι πᾶσαν πτῶσιν ἀπό τινος ἀνωτέρω 20
τεταγμένου γίνεσθαι προσήκει), ἀποκρίνονται οἱ ἀπὸ τῆς Στοᾶς ὡς ἀπὸ
10 τοῦ νοήματος τοῦ ἐν τῇ ψυχῇ καὶ αὕτη πέπτωκεν· ὃ γὰρ ἐν ἑαυτοῖς ἐχο-
μεν τὸ Σωκράτους νόημα δηλῶσαι βουλόμενοι, τὸ Σωκράτης ὄνομα προ-
φερόμεθα· καθάπερ οὖν τὸ ἄνωθεν ἀφεθὲν γραφεῖον καὶ ὀρθὸν παγὲν 25
πεπτωκέναι τε λέγεται καὶ τὴν πτῶσιν ὀρθὴν ἐσχηκέναι, τὸν αὐτὸν τρόπον
καὶ τὴν εὐθεῖαν πεπτωκέναι μὲν ἀξιοῦμεν ἀπὸ τῆς ἐννοίας, ὀρθὴν δὲ
15 εἶναι | διὰ τὸ ἀρχέτυπον τῆς κατὰ τὴν ἐκφώνησιν προφορᾶς. ἀλλ' εἰ διὰ 36ʳ
τοῦτο, φασὶν οἱ ἀπὸ τοῦ Περιπάτου, τὴν εὐθεῖαν πτῶσιν ἀξιοῦτε λέγειν,
συμβήσεται καὶ τὰ ῥήματα πτώσεις ἔχειν καὶ τὰ ἐπιρρήματα τὰ μηδὲ
κλίσεων ἀνέχεσθαι πεφυκότα· ταῦτα δὲ ἐναργῶς ἄτοπα καὶ ταῖς ὑμῶν 5
αὐτῶν παραδόσεσι μαχόμενα. διὰ ταῦτα μὲν οὖν τὴν Περιπατητικὴν περὶ
20 τούτων διάταξιν προτιμητέον.

Ἐν δὲ τούτοις ὁ Ἀριστοτέλης διακρίνει τοῦ ὀνόματος τὰς πτώσεις,
καὶ ταῦτα ὁμοίως αὐτῷ τὸν ἀποδεδομένον τοῦ ὀνόματος ὁρισμὸν ἐπιδεχο- 20
μένας, τῷ τὸ μὲν ὄνομα μετὰ τοῦ ἔστιν ἢ ἦν ἢ ἔσται ἀληθεύειν ἢ ψεύ-
δεσθαι, τὰς δὲ πτώσεις μηκέτι· ὁ μὲν γὰρ εἰπὼν 'Φίλων ἔστιν' ἢ 'Φίλων ἦν'
25 ἢ 'Φίλων ἔσται' ἢ ἀληθὲς εἶπεν ἢ ψεῦδος, ὁ δὲ 'Φίλωνος ἔστιν' εἰπὼν ἢ 'ἦν'
ἢ 'ἔσται' ἢ 'Φίλωνι ἔστιν' ἢ 'ἦν' ἢ 'ἔσται' οὐδὲν οὔτε ἀληθὲς οὔτε ψεῦδος 25
εἶπε, διότι δέονται προσθήκης τινὸς πρὸς τὸ ἀπαρτίσαι διάνοιαν οἱ τοιοῦτοι
λόγοι. ἂν οὖν μὴ προστεθῇ τὸ υἱὸς οὗτος ἡ ἀγρός, οἷον 'Φίλωνός ἐστιν

---

1 ὀνόματα M 2 γενομένας A: γενομένου M 4 δευτέρας G¹ καὶ οἱ (alt. l.) G
6 ἄλλας τέσσαρας a εἰκότως μὲν A 8 ἀνωτέρου M 10 αὐτὴ FG
11 τὸ (prius) scripsi: τοῦ libri 13 πάλιν πεπτ. (τε om.) A 15 διὰ om. F 16 λέ-
γειν] καλεῖν AMa 17 μηδὲ] μὴ AM 18 κλήσεως A: κλίσεως M 19 post
μαχόμενα add. τὰ αὐτὰ δὲ λέγειν ἁρμόσει καὶ πρὸς τοὺς γενικόν τι ὄνομα ὑποτιθεμένους καὶ
ἀπ' ἐκείνου πεπτωκέναι τὸ (τὰ G²) καθέκαστον (-στα AG²) ὄνομα (ὀνόματα G²) λέγοντας· οὔτε
γὰρ (γὰρ om. M) διασαφοῦσι (διαφέρουσι M) τί ποτέ ἐστιν ὃ καλοῦσι (ὃ καλοῦσι om. G²) γενικὸν
ὄνομα οὔτε εἰ (εἰς a) τὴν ἔννοιαν αὐτὴν τῶν ὀνομάτων καὶ κοινῶς κατὰ πάντων (παντὸς Ma)
κατηγορουμένην (-ούμενοι Ma) λέγοιεν ἴδιόν τι (ὅτι AM) τοῦ ὀνόματος ἐροῦσιν. ὁ αὐτὸς γὰρ
ἔσται λόγος καὶ ἐπὶ τῶν λοιπῶν τοῦ λόγου μερῶν. ὥστε καὶ τὰ καλούμενα θέματα τῶν ῥη-
μάτων κατ' εὐθεῖαν ἐροῦμεν προάγεσθαι πτῶσιν, καὶ τῶν ἄλλων τῶν λεγομένων παρ' αὐτοῖς
(περὶ τῶν a) τοῦ λόγου μερῶν ἕκαστον ὡσαύτως AG²Ma 22 an ταύτας? ταὐτῶ a
25 φίλων (ante ἔσται)] φίλωνι G² ἢ ἀληθὲς—φίλωνι ἔστιν ἢ ἦν ἢ ἔσται om. M
ἢ (ante ἀληθές) om. A 26 φίλωνι] φίλων F ἢ ἦν ἢ ἔσται (alterum)
om. FGa 27 ἀπαρτίσασθαι G 28 τὸ om. F: τὸ υἱὸς om. G ἢ
οὗτος Ga

υἱὸς ἢ ἀγρὸς οὗτος ἢ Φίλωνί ἐστι φίλος | οὗτος', οὐδὲν οὔτε ἀληθὲς οὔτε 36v
ψεῦδος ἀποτελεῖται· ἄλλο μὲν γάρ τι τοῦ λόγου εἶδος, οἷον τὸ κλητικόν,
ἐνδέχεται δηλοῦσθαι καὶ διὰ μιᾶς μόνης τοῦ ὀνόματος πτώσεως τῆς δι'
αὐτὸ τοῦτο κλητικῆς ὀνομαζομένης οὐδενὸς ῥήματος πρὸς τὸ σημῆναι δεη- 5
5 θείσης, οἷον

ὦ μάκαρ Ἀτρεΐδη, μοιρηγενές, ὀλβιόδαιμον.

διὸ καὶ τὴν φωνὴν ἐν τούτῳ διαναπαύομεν καὶ τὸν καλούμενον, εἰ μή τι
κωλύει, κινοῦμεν πρὸς τὴν ἀπόκρισιν, ὡς τῆς κατὰ τοῦτο διανοίας ἀπηρ- 10
τισμένης. ἀπόφανσιν μέντοι ποιῆσαι ἢ ταύτην ἢ ἄλλην τινὰ πτῶσιν οὐδὲ
10 τὸ ἔστι προσλαμβάνουσαν δυνατόν.

Πάνυ δὲ καλῶς ὁ φιλόσοφος ἐπεσημήνατο Πορφύριος ὅτι τὸ ἔστιν
οὐκ ἀντὶ παντὸς εἴληπται ῥήματος, ἀλλ' αὐτὸ μόνον τὸ ἀπὸ τοῦ ὄντος 15
παρηγμένον καὶ τὴν ὕπαρξιν σημαῖνον λαμβάνεται ὡς μετὰ μὲν τοῦ ὀνό-
ματος αὐτοτελῆ ποιοῦν λόγον μετὰ δὲ τῶν πτώσεων ἐλλιπῆ· τινὰ γάρ
15 ἐστι ῥήματα συνταττόμενα ταῖς πτώσεσι καὶ ποιοῦντα λόγους ἀληθεῖς ἢ 20
ψευδεῖς, τοῖς δὲ ὀνόμασι συτάττεσθαι οὐ δυνάμενα, ὡς τὸ μεταμέλει, οἷον
'Σωκράτει μεταμέλει', καίτοι τὸ 'Σωκράτης μεταμέλει' ἀσύντακτον ⟨ὄν⟩.
ἐν οἷς καὶ προσιστορεῖ τὴν τῶν Στωϊκῶν διάταξιν περὶ τῶν κατηγορουμένων
ὅρων ἐν ταῖς προτάσεσιν οὖσαν τοιαύτην· "τὸ κατηγορούμενον ἤτοι ὀνό- 25
20 ματος κατηγορεῖται ἢ πτώσεως, καὶ τούτων ἑκάτερον ἤτοι τέλειόν ἐστιν
ὡς κατηγορούμενον καὶ μετὰ τοῦ ὑποκειμένου αὔταρκες πρὸς γένεσιν ἀπο-
φάνσεως, ἢ ἐλλιπὲς καὶ | προσθήκης τινὸς δεόμενον πρὸς τὸ τέλειον ποιῆ- 37r
σαι κατηγορούμενον. ἂν μὲν οὖν ὀνόματός τι κατηγορηθὲν ἀπόφανσιν ποιῇ,
κατηγόρημα καὶ σύμβαμα παρ' αὐτοῖς ὀνομάζεται (σημαίνει γὰρ ἄμφω
25 ταὐτόν). ὡς τὸ περιπατεῖ, οἷον 'Σωκράτης περιπατεῖ'· ἂν δὲ πτώσεως, πα- 5
ρασύμβαμα, ὡσανεὶ παρακείμενον τῷ συμβάματι καὶ ὂν οἷον παρακατηγό-
ρημα, ὡς ἔχει τὸ μεταμέλει, οἷον 'Σωκράτει μεταμέλει'· τὸ μὲν γὰρ μετα-
μελεῖται σύμβαμα εἶναι, τὸ δὲ μεταμέλει παρασύμβαμα οὐ δυνάμενον 10
ὀνόματι συνταχθὲν ἀπόφανσιν ἐργάσασθαι, οἷον 'Σωκράτει μεταμέλει' (οὐδε-
30 μία γὰρ τοῦτο ἀπόφανσις), ἀλλ' οὔτε κλίσιν ἐπιδέξασθαι δυνάμενον, ὡς τὸ
περιπατῶ περιπατεῖς περιπατεῖ, οὔτε συμμετασχηματισθῆναι τοῖς ἀριθμοῖς·
ὥσπερ γὰρ λέγομεν 'τούτῳ μεταμέλει', οὕτως καὶ 'τούτοις μεταμέλει'. 15
καὶ πάλιν ἂν μὲν τὸ τοῦ ὀνόματος κατηγορούμενον δέηται προσθήκης
πτώσεως ὀνόματός τινος πρὸς τὸ ποιῆσαι ἀπόφανσιν, ἔλαττον ἢ κατηγόρημα

---

1 ἢ ἀγρὸς om. FGa φίλωνι] φίλωνος Ma post φίλος οὗτος add. ἢ Φίλωνί ἐστιν ἀγρὸς οὗτος a 3 μιᾶς μόνης] μιᾶς καὶ τῆς αὐτῆς A: τῆς αὐτῆς M 4 ὀνομαζ.] κεκλημένης G σημᾶναι M 6 ὦ μάκαρ κτλ.] Hom. Γ 182 ὀλβιόδημον A² 8 κωλύοι FMa post κωλύει add. πρὸς ἑαυτοὺς ἐπιστρέφομεν καὶ πρὸς τὸ πυθέσθαι (πιθέσθαι G²) τῆς κλήσεως τὴν χρείαν AG²Ma 9 ἀπόφασιν A 13. 14 τοῦ ὀνομ. μὲν AM 14 ἐλλειπῆ A τινὰ] πολλὰ a 16 οὐ] μὴ AM 17 καίτοι] καὶ G ὄν addidi 19 ἤτοι] εἴτι A 20 καὶ ἑκάτερον A 21 πρὸς γένεσιν om. M 22 ἐλλειπὲς A 23 ποιῆ suppl. G² 26 οἷον om. AM 28 εἶναι om. AM Brand. 29 ὀνόμασι Brand. ex ed. Ven. ἀπόφασιν G¹ σωκράτης G 30 τούτου AM κλίσεις AM 32 οὕτως om. G

λέγεται, ὡς ἔχει τὸ φιλεῖ καὶ τὸ εὐνοεῖ, οἷον 'Πλάτων φιλεῖ' (τούτῳ γὰρ προστεθὲν τὸ τινά, οἷον Δίωνα, ποιεῖ ὡρισμένην ἀπόφανσιν τὴν 'Πλάτων Δίωνα φιλεῖ'), ἂν δὲ τὸ τῆς πτώσεως κατηγορούμενον ᾖ τὸ δεόμενον ἑτέρᾳ συνταχθῆναι πλαγίᾳ πτώσει πρὸς τὸ ποιῆσαι ἀπόφανσιν, ἔλαττον ἢ παρασύμβαμα λέγεται, ὡς ἔχει τὸ μέλει, οἷον 'Σωκράτει Ἀλκιβιάδου μέλει'. ταῦτα δὲ πάντα καλοῦσι ῥήματα''.

Καὶ τοιαύτη μὲν ἡ τῶν Στωϊκῶν περὶ τούτων παράδοσις. ἡμεῖς δὲ συγκεφαλαιούμενοι τὰ περὶ τοῦ ὀνόματος ῥηθέντα τῷ | Ἀριστοτέλει λέ- 37v γομεν ὡς ἔσται τὸ κατὰ τὴν νῦν παράδοσιν κυρίως ὄνομα φωνὴ σημαντικὴ κατὰ συνθήκην ἄνευ χρόνου, ἧς μηδὲν μέρος ἐστὶ σημαντικὸν κεχωρισμένον, ὡρισμένον τι σημαίνουσα καὶ μετὰ τοῦ ἔστιν ἢ ἦν ἢ ἔσται ἀληθεύουσα ἢ ψευδομένη. ἀλλὰ διὰ τίνα αἰτίαν οὐκ ἐξ ἀρχῆς ὁ Ἀριστοτέλης τοῦτον ἀποδέδωκε τοῦ ὀνόματος τὸν ὁρισμόν, ὥστε μηδὲν ἐνοχλεῖν τὸν λόγον μήτε τὰ ἄοριστα ὀνόματα μήτε τὰς πτώσεις; φαμὲν δὴ ὅτι πολλά ἐστι παρ' αὐτῷ τοῦ ὀνόματος τὰ σημαινόμενα· καὶ γὰρ πᾶσαν φωνὴν κατὰ συνθήκην σημαντικὴν ὁτουοῦν τῶν ὄντων τῆς τοῦ ὀνόματος ἀξιοῖ προσηγορίας, ὥσπερ καὶ ὁ ἐν τῷ Σοφιστῇ σοφὸς τὸ ἁπλῶς ὄνομα διαιρῶν εἰς τὸ ἰδίως λεγόμενον ὄνομα καὶ ῥῆμα, καθ' ὃ σημαινόμενον λέγοιντο ἂν καὶ τὰ ῥήματα πάντα ὀνόματα (δηλοῖ δὲ αὐτὸς ἐν τοῖς ἑξῆς λέγων "αὐτὰ μὲν οὖν καθ' ἑαυτὰ λεγόμενα τὰ ῥήματα ὀνόματά ἐστι καὶ σημαίνει τι", ὡς ἂν διὰ τὴν σημαντικὴν δύναμιν ἀξιώσας αὐτὰ καλεῖν ὀνόματα, ἐπεὶ καὶ ἔστι τῶν ἐνεργειῶν ἢ τῶν παθῶν τῶν ὑπ' αὐτῶν σημαινομένων ὥσπερ ὀνόματα), καὶ πᾶσαν φωνὴν ὑποκείμενον ἐν προτάσει ποιοῦσαν ὄνομα παρ' αὐτῷ λεγομένην εὑρήσεις, ὡς ἐν τῷ τρίτῳ τοῦ βιβλίου κεφαλαίῳ δηλώσει λέγων "μετατιθέμενα δὲ τὰ ὀνόματα καὶ τὰ ῥήματα ταὐτὸν σημαίνει", ὥστε κατὰ τοῦτο τὸ σημαινόμενον τὸ μὲν καλὸς καὶ τὸ δίκαιος καὶ ὅσα τοιαῦτα ἐν μεθέξει θεωρούμενα ἑτέρων τινῶν ὑποκειμένων τῶν μετεχόντων καὶ ὧν πέφυκε κατηγορεῖσθαι ῥήματα λέγεσθαι καὶ οὐκ ὀνόματα, τὸ δὲ βαδίζειν καὶ τὸ φιλοσο|φεῖν ἔμπαλιν ὀνόματα καὶ οὐ ῥήματα, διότι 38r ὑποκειμένους ποιοῦσιν ὅρους ἐν ταῖς προτάσεσι ταῖς λεγούσαις 'τὸ βαδίζειν κινεῖσθαί ἐστι', 'τὸ φιλοσοφεῖν ὠφέλιμόν ἐστι'. διὸ καὶ συντάττεται αὐτοῖς τὸ 'τό' ἄρθρον, ἅτε ὀνομάτων νῦν χώραν ἐκπληροῦσι. λέγεται δὲ καὶ ἄλλως ὄνομα κατὰ τὸν ἐξ ἀρχῆς ἀποδεδομένον τοῦ ὀνόματος ὁρισμὸν "πᾶσα

2 οἷον ὡς G ἀγνοεῖ G¹ τοῦτο F 2 ποιεῖς A 4 συναχθῆναι G
5 ἀλκιβιάδους AMa μέλλει A 6 πάντος (sic) A 8 τῷ ἀρ. ῥηθέντα G
9 ἔσται] ἔστι FM τὸ om. A ante κυρίως add. τοῦ ἀριστοτέλους del. G
10 ἐστὶ om. AMa 13 ὀχλεῖν A 15 τοῦ ὀνόματος om. G τὰ om. FMa
16. 17 κατηγορίας A 17 ἐν τῷ Σοφιστῇ] p. 261 D sq. 17. 18 διαιρῶν — ὄνομα om. M 18 καὶ τὸ ῥῆμα M 19 ἐν τοῖς ἑξῆς] p. 16b19 22 ἔστιν ὅτε a τῶν (post παθῶν) om. F 23 τὰ ὀνόματα (pr. l.) M ὄνομα γὰρ G 24 αὐτοῖς G: αὐτῶν a λεγομένοις G¹ ἐν τῷ τρίτῳ . . κεφ.] p. 20b1 κεφ. τοῦ βιβλ. M
25 τὸ αὐτὸ AGM σημαίνουσιν G 28 λέγονται ῥήματα G 31 ὠφέλημον F ante διὸ iter. τὸ βαδίζειν κινεῖσθαί ἐστι A 32 τὸ (alterum) om. FGa νῦν] τότε A ἐκπληροῦνται M

φωνὴ σημαντικὴ κατὰ συνθήκην ἄνευ χρόνου. ἧς μηδὲν μέρος σημαντικὸν κεχωρισμένον", καθ' ὃ καὶ τὸ καλός καὶ τὸ δίκαιος καὶ τὸ οὐκ ἄνθρωπος καὶ τὸ Φίλωνος καὶ Φίλωνι ὀνόματα ἂν εἶεν. καὶ πρὸς τούτοις ὄνομα λέγεται πᾶσα φωνὴ τὸν ἀποδοθέντα τοῦ ὀνόματος ὁρισμὸν δεχομένη καὶ ὡρισμένον τι σημαίνουσα, καθ' ὃ σημαινόμενον τὰς μὲν πτώσεις οὐδὲν κωλύει λέγειν ὀνόματα, τὰ δὲ ἀόριστα λεγόμενα οὐκέτι δυνατὸν ὀνόματα καλεῖν. τούτου δὲ ἡμῖν ἔννοιαν δίδωσιν. ὁπόταν λέγῃ πᾶσαν κατάφασιν καὶ ἀπόφασιν ἢ ἐξ ὀνόματος εἶναι καὶ ῥήματος ἢ ἐξ ἀορίστου ὀνόματος καὶ ῥήματος, πρὸς τὸ ἀόριστον ὄνομα μόνον διακρίνας τὸ ὄνομα, οὐκέτι μέντοι πρὸς τὰς πτώσεις. ἔτι δὲ παρὰ τοὺς ἀπηριθμημένους τοῦ ὀνόματος ἅπαντας τρόπους ὄνομα λέγεται τὸ ἐκ τῶν προστεθέντων τῷ ἀποδοθέντι τοῦ ὀνόματος ὅρῳ διορισμῶν ἀποτελεσθέν, ἀποκεκριμένων τῶν τε πτώσεων καὶ τῶν ἀορίστων ὀνομάτων. πενταχῶς τοίνυν τοῦ ὀνόματος λεγομένου, ἅπαντα ὀρθῶς ἔχειν ῥητέον τὰ διὰ τούτων ὑπὸ τοῦ Ἀριστοτέλους λεγόμενα· καὶ γὰρ ὁ ἀποδεδομένος τοῦ ὀνόματος ὁρισμὸς ὑγιής ἐστι κατὰ τὸ τρίτον τῶν ἀπηριθμημένων αὐτοῦ σημαινομένων, καὶ οἱ | προστεθέντες 38v ὕστερον διορισμοὶ τὸν ὁρισμὸν οὐ διαβάλλουσιν, ἄλλα τινὰ παραδιδόντες ἡμῖν τοῦ ὀνόματος σημαινόμενα, ὁ μὲν περὶ τῶν ἀορίστων ὀνομάτων τὸ τέταρτον, ὁ δὲ περὶ τῶν πτώσεων τὸ πέμπτον.

Τῆς μέντοι ῥήσεως τὸ λόγος δέ ἐστιν αὐτοῦ τὰ μὲν ἄλλα κατὰ τὰ αὐτὰ λέγεται μὲν περὶ τοῦ προφερομένου κατά τινα πτῶσιν ὀνόματος ὅτι ἕξει τὸν ὁρισμόν, ὃν ἐκάλεσε λόγον, κατὰ μὲν τὰ ἄλλα μηδὲν διαφέροντα τοῦ ἐξ ἀρχῆς ἀποδοθέντος ὁρισμοῦ τοῦ ὀνόματος (καὶ γὰρ τοῦτο φωνὴ σημαντικὴ κατὰ συνθήκην ἄνευ χρόνου, ἧς μηδὲν μέρος σημαντικὸν κεχωρισμένον) πλεονάσαντα δὲ τούτου τῇ διακρινούσῃ τὰς πτώσεις ἀπὸ τοῦ κυρίως ὀνόματος διαφορᾷ, τῷ τὰς μὲν πτώσεις μετὰ μόνου τοῦ ἔστιν ἢ ἦν ἢ ἔσται λεγομένας μήπω ποιεῖν τελείαν ἀπόφανσιν. διὸ μήτε ψεύδεσθαι μήτε ἀληθεύειν, τῷ δὲ ὀνόματι καὶ μόνον ἕν τι τῶν ῥημάτων ἀρκεῖν πρὸς τὴν γένεσιν τῆς τελείας ἀποφάνσεως. εἴληπται δὲ ἀπὸ Ἀττικῆς συνηθείας τῶν εἰς τὸν δῆμον πλείονα ἅμα ψηφίσματα εἰσφερόντων· ὁ γάρ τοι γραμματεὺς τὸ μὲν πρῶτον τῶν γεγραμμένων ψηφισμάτων ἀναγινώσκων τῷ δήμῳ τό τε ὄνομα ἔλεγε τοῦ γεγραφότος καὶ τὸν πατέρα καὶ τὸν δῆμον, οἷον Δημοσθένης Δημοσθένους Παιανιεὺς ψήφισμα εἰσφέρει τοιόνδε', τὸ μέντοι δεύτερον ἢ καὶ τρίτον, εἰ οὕτως ἔτυχεν, ἐμφανίζων ἐνεδείκνυτο

2 καλῶς F 6 οὐκέτι] οὐκ ἔστι Ma 7 τούτων AMa ὁπόταν λέγῃ] p. 19b 10 9 ὄνομα (post ἀόρ.) om. G μόνον om. M 10 παρὰ] πρὸς FGMa τοῦ ὀνόματος om. F 14 τὰ διὰ τούτων] διὰ τοῦτο τὰ AM 16 scribas τριττὸν ἀπηριθμημένον F σημαινόμενον FMa 17 ἄλλα scripsi: ἀλλὰ libri 18. 19 κατὰ τὸ τέταρτον AM 19 κατὰ τὸ πέμπτον AM 22 ὅτι—ὀνόματος (23) suppl. G² 25 πλεονάσαν G: πλεονάσαντος Ma διακρινούσει F 26 μόνου] μὲν FG 27 ἀπόφασιν E 28 τούτων τῶν M 29 δὲ καὶ a ἀπὸ] παρὰ AM τῆς ἀττικῆς a 30 τῶν] τὸν F τὸν om. Ma 32 post πατέρα add. καὶ τὸ πρᾶγμα Ma 33 παιανιεὺς om. FG τοιόνδε εἰσφ. A 34 τὸ τρίτον A

μόνον ὡς καὶ ἄλλο τοῦ αὐτοῦ ἀνδρὸς ἀναγνώσεται ψήφισμα τῷ πρὸ τῆς ἀναγνώσεως αὐτοῦ λέγειν πρὸς τὸν δῆμον 'τὰ μὲν ἄλλα κατὰ τὰ αὐτά, ψηφί|ζεται δὲ καὶ τάδε'. διὸ καὶ ὁ ἐν τῷ Γοργίᾳ Σωκράτης τῇ 39r
αὐτῇ ταύτῃ λέξει χρησάμενος τοῖς ἐν τῷ δήμῳ συγγραφομένοις αὐτὴν
5 ἄνεθηκεν.

p. 16b6 'Ρῆμα δέ ἐστι τὸ προσσημαῖνον χρόνον, οὗ μέρος οὐδὲν 5
σημαίνει χωρίς, καὶ ἔστιν ἀεὶ τῶν καθ' ἑτέρου λεγομένων σημεῖον. λέγω δὲ ὅτι προσσημαίνει χρόνον, οἷον ὑγεία μὲν ὄνομα, τὸ δὲ ὑγιαίνει ῥῆμα· προσσημαίνει γὰρ τὸ νῦν ὑπάρ-
10 χειν. καὶ ἀεὶ τῶν καθ' ἑτέρου λεγομένων σημεῖόν ἐστιν, οἷον 10
τῶν καθ' ὑποκειμένου ἢ ἐν ὑποκειμένῳ. τὸ δὲ οὐχ ὑγιαίνει καὶ τὸ οὐ κάμνει οὐ ῥῆμα λέγω· προσσημαίνει μὲν γὰρ χρόνον καὶ ἀεὶ κατά τινος ὑπάρχει, τῇ δὲ διαφορᾷ ὄνομα οὐ κεῖται· ἀλλ' ἔστω ἄοριστον ῥῆμα, ὅτι ὁμοίως ἐφ' ὁτουοῦν ὑπάρχει.
15 καὶ ὄντος καὶ μὴ ὄντος. ὁμοίως δὲ καὶ τὸ ὑγίανεν ἢ τὸ ὑγιανεῖ 15
οὐ ῥῆμα, ἀλλὰ πτῶσις ῥήματος. διαφέρει δὲ τοῦ ῥήματος. ὅτι τὸ μὲν τὸν παρόντα προσσημαίνει χρόνον, τὰ δὲ τὸν πέριξ.

Ἡ μὲν τελεία τοῦ ὁρισμοῦ τοῦ ῥήματος ἀπόδοσις εἴη ἂν παραπλη- 20
σίως τῷ ἀποδοθέντι τοῦ ὀνόματος ὅρῳ 'φωνὴ σημαντικὴ κατὰ συνθήκην
20 προσσημαίνουσα χρόνον, ἧς μέρος οὐδὲν σημαίνει χωρίς', ἅτε δὲ συντο-
μίας ὢν ἐραστὴς ὁ Ἀριστοτέλης, ὅσα κοινὰ ἦν τῷ ῥήματι πρὸς τὸ ὄνομα ὑπερβὰς ὡς ἤδη ῥηθέντα ἐν τῷ τοῦ ὀνόματος λόγῳ, ἀπὸ τοῦ καθ' ὃ διαφέρει τὸ ῥῆμα τοῦ ὀνόματος (διαφέρει δὲ τῷ προσσημαίνειν χρόνον) | 25
ποιεῖται τὴν περὶ αὐτοῦ διδασκαλίαν. ἀλλ' εἰ τοῦθ' οὕτως ἔχει, τί 39v
25 δή ποτε προστίθεται τὸ οὗ μέρος οὐδὲν σημαίνει χωρίς, ὅπερ καὶ ἐν τῷ λόγῳ τοῦ ὀνόματος παρείληπται; λεγέσθω τοίνυν πρὸς ταύτην τὴν ἀπορίαν ἐκεῖνο τὸ Πορφυρίειον, ὡς εἰσὶ λόγοι τινὲς ἐκ ῥημάτων συγ- 5
κείμενοι ὧν τὰ μέρη σημαντικά ἐστιν, αὐτὰ λέγω τὰ ῥήματα ἐξ ὧν οἱ λόγοι συντέθεινται, οἷον ὅταν εἴπω 'τὸ βαδίζειν κινεῖσθαί ἐστι'· τὸ γὰρ
30 βαδίζειν καὶ τὸ κινεῖσθαι καὶ τὸ ἔστι τοῦ ὅλου λόγου μέρη ὄντα σημαν- 10
τικά ἐστι καθ' ἑαυτά. ἵνα οὖν διακρίνῃ τὰ ῥήματα τῶν τοιούτων λόγων, οἷς τὰ ἄλλα μέρη τοῦ ὁρισμοῦ τοῦ ῥήματος ἐφαρμόττει, λέγω δὲ τὸ φωνὴ

---

1 ἄλλα A αὐτοῦ om. M ἀναγνώσεσθαι a ψημίσματα A τῷ] τὸ AM 3 τάδε καὶ τάδε G ὁ om. AGMa ἐν τῷ Γοργίᾳ] cf. p. 451 B 4 συγγραφομένης F αὐτὸ G 5 ἔθηκεν G 6 ante lemma add. tit. Περὶ ῥήματος G²Ma, in mrg. AF οὗ—πέριξ (17) om. M 7 καὶ ἔστιν—πέριξ (17) om. a 8 λέγω—πέριξ (17) om. G λέγω om. A ὑγίεια b 11 τῶν] τὸν A 13 διαφ. δὲ A 14 ὑπάρχειν F 15 ἢ] καὶ F 16 πτώσεις F 17 τὸ] τὰ A 20 ἧς] οὗ M ἅτε δὲ φιλοσύντομος ὢν ὁ ἀρ. F 21 ἦν κοινὰ G 23 τῷ] τὸ AFGM 24 εἰ τοῦθ'] εἴθ' F 25 προστέθειται A 27 πορφύριον AG: πορφύρειον M 28 τὰ (prius)] τινὰ A 29 συντίθενται a 30 ὅλου om. M

τὸ σημαντικὴ τὸ κατὰ συνθήκην τὸ προσσημαίνουσα χρόνον, ταύτην ἀναγκαίως καὶ ἐνταῦθα προστέθεικε τὴν διαφοράν. ἀλλὰ πῶς οὐ σημαίνειν χρόνον, ἀλλὰ προσσημαίνειν ἔφη τὸ ῥῆμα; ἢ διότι σημαίνειν μέν ἐστιν, ὡς καὶ πρότερον ἐλέγομεν. τὸ προηγουμένως δηλοῦν τι. προσσημαίνειν δὲ τὸ πρὸς τῷ πρώτως δηλουμένῳ κατὰ δεύτερον λόγον καὶ ἄλλο τι συνεμφαίνειν· τὰ δὲ ῥήματα προηγουμένως μὲν ἐνεργείας τινὰς ἢ πάθη δηλῶσαι βουλόμενοι φθεγγόμεθα, τοὺς δὲ προσόντας χρόνους ταῖς ἐνεργείαις ἢ τοῖς πάθεσι, καθ' οὓς εἶναι λέγονται ἢ γεγονέναι ἢ ἔσεσθαι, μετὰ τούτων ὥσπερ συναναφαινομένους ὁρῶμεν.

Ἑξῆς δὲ λοιπὸν καὶ τὴν τάξιν, ἣν ἐν ταῖς προτάσεσι κατέχει τὸ ῥῆμα, διδάσκει ἡμᾶς ὁ Ἀριστοτέλης λέγων καὶ ἔστιν ἀεὶ τῶν καθ' ἑτέρου λεγομένων σημεῖον, τοῦτο δέ ἐστιν ὅτι τὴν τοῦ κατηγορουμένου χώραν ἀεὶ καταλαμβάνει τὰ ῥήματα, καὶ | οὐχὶ τὴν τοῦ ὑποκειμένου. καὶ τοῦτο 40r εἰκότως· εἰ γὰρ ἐνεργειῶν ἢ παθῶν εἰσι σημαντικά, ταῦτα δὲ οὐκ ἔστιν ἀπολελυμένα καὶ καθ' ἑαυτὰ ὑφεστῶτα, ἀλλ' ἐφ' ἕτερα τὴν ἀναφορὰν ἔχοντα τὰ ἐνεργοῦντα ἢ πάσχοντα, δῆλον ὅτι προσῆκον ἂν αὐτοῖς εἴη τὸ κατηγορεῖσθαι ἐκείνων. οὕτω δὲ καὶ Πλάτων περὶ τούτων διατάττεται λέγων ἐν τῷ Σοφιστῇ περὶ μὲν τοῦ πᾶσαν φωνὴν σημαντικὴν καλεῖσθαι ὄνομα· "Φέρε δὴ καθάπερ περὶ τῶν εἰδῶν καὶ τῶν γραμμάτων ἐλέγομεν, περὶ ὀνομάτων πάλιν ὡσαύτως ἐπισκεψώμεθα· φαίνεται γάρ πῃ ταύτῃ τὸ νῦν ζητούμενον. Τὸ ποῖον οὖν δὴ περὶ τῶν ὀνομάτων ὑπακουστέον; Εἴτε πάντα ἀλλήλοις ξυναρμόττει εἴτε μηδέν· εἴτε τὰ μὲν ἐθέλει τὰ δὲ μή. Δῆλον τοῦτό γε ὅτι τὰ μὲν ἐθέλει τὰ δὲ οὔ. Τὸ τοίνδε λέγεις ἴσως ὅτι τὰ μὲν ἐφεξῆς λεγόμενα καὶ δηλοῦντά τι ξυναρμόττει, τὰ δὲ μηδὲν σημαίνοντα τῇ συνεχείᾳ ἀναρμόστεῖ". δι' ὧν κἀκεῖνο φανερὸν ὅτι πρὸ τοῦ Ἀριστοτέλους ἕνα λόγον εἶναί φησι τὸν ἑνὸς πράγματος ὄντα σημαντικόν (τοῦτο γὰρ τὸ "δηλοῦντά τι"), ἐπεὶ καὶ τὰ ἀναρμόστως ἔχοντα (τοῦτο δέ ἐστι τὰ ἐφεξῆς ἀλλήλοις εἰρημένα ὀνόματα χωρὶς ῥήματος ἢ ῥήματα χώρις ὀνόματος) σημαίνει πάντως, ἀλλὰ πλείονα καὶ οὐ τί. περὶ δὲ τοῦ δύο μόνα εἴδη τῶν σημαντικῶν εἶναι φωνῶν, ὄνομα καὶ ῥῆμα. τὸ μὲν ὑπάρξεων δηλωτικόν, τὸ δὲ ἐνεργειῶν ἢ παθῶν, ἃς κοινῶς ὠνόμασε πράξεις· Ὅπερ ὠήθην ὑπολαβόντα σε προσομολογεῖν· ἔστι γὰρ ἡμῖν τῶν τῇ φωνῇ περὶ τὴν οὐσίαν δηλωμάτων διττὸν γένος, τὸ μὲν ὄνομα κληθέν. τὸ δὲ ῥῆμα. τὸ μὲν | ἐπὶ ταῖς πράξεσι ῥῆμά που λεγό- 40v

1 ταύτην] αὐτὴν FGa 2 καὶ om. M προτέθεικε G¹ 3 post προσσημ. add. χρόνον A ἔφη] εἶπε M 4 πρότερον ἐλέγομεν] p. 32,7 sq. 5. 6 συνεμφαίνει A 6 προσηγουμ. F ἐνεργείας ἔχειν a 10 σύνταξιν a 16 αὐτοῖς ἂν a 17 ὁ Πλάτων a διατ. περὶ τούτ. A 18 ἐν τῷ Σοφιστῇ] p. 261 D sq. μὲν οὖν AMa 19 περὶ om. G¹ γραμ.] πραγμάτων F 20 τῶν ὀνομ. Plat. πῃ] πως G: τι M 21 τὸ (ante ποῖον) om. M δὴ] δεῖ M 23 μὴ] οὐ G¹ δῆλον — οὔ suppl. G² ὅτι om. G 24 λέγειν a 25 τῇ συνεχ. μηδὲν σημ. Plat. 28 δὲ suppl. G² εἰρημ. ἀλλήλοις M 31 ἃς κεῖνος A: ἃ ἐκεῖνος FGa 32 προομολ. Ma 33 τὴν οὐσίαν om. F 34 κληθέν suppl. G²: ῥηθέν AM

μενον, τὸ δὲ ἐπ' αὐτοῖς τοῖς ἐκεῖνα πράττουσι σημεῖον τῆς φωνῆς ἐπιτεθὲν ὄνομα'. δι' ὧν δῆλός ἐστιν οὐ μόνον ἐνεργειῶν ἢ παθῶν τὸ ῥῆμα λέγων εἶναι δηλωτικόν, ὅπερ σημαίνεται διὰ τῆς πράξεως, ἀλλὰ καὶ σημεῖον αὐτὸ πρὸ τοῦ Ἀριστοτέλους καλῶν, τοῦ σημείου τὸ σημαντικὸν παρ' ἀμφοτέροις δηλοῦντος, καὶ σημαντικὸν θέσει, ἀλλ' οὐ φύσει, κατὰ τὰ πρότερον ἐν τῷ περὶ τοῦ ὀνόματος λόγῳ περὶ τούτων διωρισμένα.

Καὶ τὸ ἀεὶ δὲ οὐ μάτην πρόσκειται ἐν τῷ καὶ ἔστιν ἀεὶ τῶν καθ' ἑτέρου λεγομένων σημεῖον· τοῦτο γὰρ μάλιστα τὴν ἰδιότητα τῶν ῥημάτων ἐμφανίζει, ἐπεὶ καὶ ὀνόματά τινα οὐδὲν κωλύει κατηγορεῖσθαί ποτε, ὡς τὸ ζῷον τοῦ ἀνθρώπου, ἀλλ' ἐκεῖνα οὔτε τῶν μόνως καὶ ἀεὶ κατηγορουμένων ἐστὶν οὔτε καθ' ἑαυτὰ δίχα ῥήματός τινος κατηγορούμενα, οἷον τοῦ ἔστιν ἢ οὐκ ἔστι, τέλειον πεφύκασιν ἐργάζεσθαι λόγον, τὰ δέ γε ῥήματα τὴν οἰκείαν σώζοντα δύναμιν μόνως καὶ ἀεὶ καὶ καθ' ἑαυτὰ κατηγορεῖσθαι συμβέβηκε.

Ταῦτα περὶ τοῦ ῥήματος εἰπὼν ἑξῆς ἕκαστον τῶν παραληφθέντων πρὸς τὴν διδασκαλίαν ἐξηγεῖσθαι πειρᾶται, καὶ πρῶτον εἰκότως τὸ προσσημαίνειν χρόνον, ὅπερ ὅτι ἀναγκαίως παρείληπται, διιστὰς ἱκανῶς τοῦ ὀνόματος τὸ ῥῆμα, συντόμως ἐδήλωσε παραθεὶς ἀλλήλοις ὄνομά τι καὶ ῥῆμα περὶ τὸ αὐτὸ πρᾶγμα στρεφόμενα, τὴν ὑγείαν καὶ τὸ ὑγιαίνει, καὶ δείξας ὅτι τὸ μὲν ὄνομα οὐδενός ἐστι χρόνου δηλωτικόν, τὸ δέ γε ῥῆμα πρὸς τῇ τοιᾷδε διαθέσει, ἣν προηγουμένως δηλοῖ, καὶ τὸν χρόνον ἐσήμηνε. μετὰ δὲ τοῦτο ὑπερβὰς τὸ οὗ μέρος οὐδὲν | σημαίνει χωρίς, ὡς 41r
ἱκανῶς τυχὸν ἐξηγήσεως ἐν τοῖς περὶ τοῦ ὀνόματος εἰρημένοις, ἐπὶ τὸ λοιπὸν μεταβαίνει καί φησι τῶν καθ' ἑτέρου λεγομένων εἰρῆσθαι σημαντικὰ εἶναι τὰ ῥήματα, τῶν καθ' ὑποκειμένου ἢ ἐν ὑποκειμένῳ. τοῦτο δέ, διότι τῶν ῥημάτων ὥσπερ καὶ τῶν ὀνομάτων τὰ μὲν ὡς κατ' οὐσίαν ὑπάρχοντα τοῖς ὧν κατηγοροῦνται καὶ συμπληρωτικὰ αὐτῶν ὄντα λέγονται κατηγορεῖσθαι, ὅπερ ἐν Κατηγορίαις ἐλέγετο καθ' ὑποκειμένου, τὰ δὲ ὡς συμβεβηκότα τοῖς ὑποκειμένοις, ὅπερ ἐν ὑποκειμένῳ προσαγορεύομεν· καθάπερ γὰρ τοῦ ἀνθρώπου κατηγοροῦντες τό τε ζῷον καὶ τὸ λευκόν, ὀνόματα ὄντα, οὐ τὸν αὐτὸν τρόπον ἀμφότερα κατηγοροῦμεν, ἀλλὰ τὸ μὲν ζῷον ὡς καθ' ὑποκειμένου τοῦ ἀνθρώπου λέγομεν, τὸ δὲ λευκὸν ὡς ἐν ὑποκειμένῳ αὐτῷ τὸ εἶναι ἔχον, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῆς τῶν ῥημάτων ἕξει κατηγορίας· ὅταν μὲν γὰρ εἴπω 'τὸ βαδίζειν κινεῖσθαι κατὰ τόπον ἐστίν' ἢ 'τὸ θερμαίνειν ποιεῖν ἐστιν', ὡς καθ' ὑποκειμένου κατηγό-

---

2 ἢ παθῶν om. AM 3 ὅπερ — τῆς πράξεως om. AM 4 σημείου] σημαινομένου AM
5 πρότερον] p. 34,17 sq. 9 ἀφανίζει F 11 εἰσὶν F τοῦ ῥήμ. G¹ τινὸς κατηγ. ῥήμ. a 12 τοῦτ' ἔστιν] τοῦτ' ἔστιν F 13 καὶ (ante καθ' ἑαυτὰ) om. AMa
17 ὅτι om. a διϊστῶν Ma 18 τι] τε FGa 19 ῥῆμά τι F ὑγίειαν AMa
20 γε om. AF 21 ἐσήμανε Ma 23 ἱκανῆς AM 26 τοῦτο δέ om. AMa 27 ὧν] οὖσι G 28 ἐν ταῖς κατηγ. a (cf. Categ. p. 1a20 sq.)
29. 30 προσαγορεύεται a 31 λευκός AM κατηγ. ἀμφ. a 33 τῆς] τοῖς F
35 τὸ] τοῦ δὲ G¹ τὸ τοιεῖν G¹

ρησα τοῦ μὲν βαδίζειν τὸ κινεῖσθαι κατὰ τόπον τοῦ δὲ θερμαίνειν τὸ ποιεῖν, ἐπείπερ ἐστὶν αὐτῶν γενικώτερα, ὅταν δὲ εἴπω 'Σωκράτης περι- 20 πατεῖ' ἢ 'Πλάτων ἀναγινώσκει'. κατὰ συμβεβηκὸς ἐνταῦθα κατηγορεῖται τὰ κατηγορούμενα τῶν ὑποκειμένων. ἵνα οὖν ἄμφω τὰ εἴδη τῆς κατηγο- 5 ρίας παραστήσῃ, διὰ τοῦτο εἰπὼν ὅτι ἀεὶ κατηγορεῖσθαι φιλεῖ τὰ ῥήματα, 25 ἐπήγαγεν ὅπως, ὅτι ποτὲ μὲν καθ' ὑποκειμένου, ποτὲ δὲ ὡς ἐν ὑποκειμένῳ. ἀλλ' αὕτη μὲν ἡ ἐξήγησις ἁρμόσει τῆς γραφῆς οὕτως ἐχούσης, ὡς παρεθέμεθα, καθάπερ ἐν τοῖς πλείστοις ἀντιγράφοις | εὑρίσκομεν. εἰ δὲ 41v καὶ οὕτω τινὲς ἐθέλοιεν ἔχειν τὴν γραφὴν καὶ ἀεὶ τῶν ὑπαρχόντων 10 σημεῖόν ἐστιν, οἷον τῶν καθ' ὑποκειμένου, καθάπερ ὁ φιλόσοφος Πορφύριός φησιν, ἐροῦμεν ἐνταῦθα τὸ καθ' ὑποκειμένου παρειλῆφθαι καὶ 5 ἀντὶ τοῦ ἐν ὑποκειμένῳ· εἴωθε γὰρ ἔστιν ὅτε τὸ ἐν ὑποκειμένῳ ἀδιαφόρως καλεῖν καθ' ὑποκειμένου. τούτων μὲν οὖν τὴν προτέραν γραφήν τε καὶ ἐξήγησιν αἱρετέον.

15 Ὅτι δὲ καὶ ὑποκείμενα γίνεταί ποτε ῥήματα, ὡς τὸ φιλοσοφεῖν ἐν τῷ 'τὸ φιλοσοφεῖν ὠφέλιμόν ἐστι' καὶ τὸ βαδίζειν ἐν τῷ 'τὸ βαδίζειν κι- 10 νεῖσθαί ἐστι', καὶ ὅτι τότε οὐχ ὡς ῥήματα ἀλλ' ὡς ὀνόματα ἐν τοῖς λόγοις παραλαμβάνεται, διὸ καὶ τὸ ἄρθρον αὐτῶν προτάττεται, πρότερον εἴρηται. καὶ μήποτε δεῖ λέγειν ὅτι αἱ ἐνέργειαι καὶ τὰ πάθη καὶ φύσεις τινὰς 20 ἔχουσι καὶ ἰδιότητας, καθ' ἃς καὶ διαφέρουσιν ἀλλήλων, καὶ ἄλλων τινῶν 15 λέγονται εἶναι τῶν ἐνεργούντων ἢ πασχόντων, καὶ σημαίνομεν αὐτὰς ποτὲ μὲν ὡς τῶν ὄντων οὔσας καὶ φύσιν τινὰ ἐχούσας ὁρῶντες ποτὲ δὲ ὡς περὶ ἄλλα ἄττα ὑποκείμενα αὐτὰς ὑφεστώσας θεωροῦντες, καὶ δεῖ τὰς μὲν 20 φωνὰς τὰς σημαινούσας αὐτῶν τὰς ὑπάρξεις ὀνόματα καλεῖν, τὰς δὲ τὴν 25 ἀναφορὰν τὴν πρὸς τὰ ὑποκείμενα δηλούσας ῥήματα· ὥστε τὸ φιλοσοφεῖν καὶ τὸ περιπατεῖν καὶ πάντα τὰ παρὰ τοῖς γραμματικοῖς ἀπαρέμφατα λεγόμενα, καθ' ὃ μὲν προσσημαίνουσι χρόνον, ῥήματα λέγεσθαι καὶ οὐκ ὀνό- 25 ματα, καθ' ὃ δὲ ὁπωσοῦν ὑφεστῶτά τινα σημαίνουσιν, αὐτὰς λέγω τὰς ἐνεργείας ἢ τὰ πάθη, καὶ ἄρθρον αὐτῶν προτάττεται τὸ μόνον εἰωθὸς τῶν 30 ὀνομάτων προηγεῖσθαι | καὶ οὐκ ἀεὶ τὴν τῶν κατηγορουμένων ἐπέχουσι 42r τάξιν, ὅπερ ἴδιον εἶναι βούλεται τοῦ ῥήματος ὁ Ἀριστοτέλης, ὀνόματα καὶ οὐ ῥήματα. ἐπιστῆσαι δὲ χρὴ ὡς καὶ ὅταν κατηγορούμενα γένηται ταῦτα, καθάπερ τὸ κινεῖσθαι ἐν τῷ 'τὸ περιπατεῖν κινεῖσθαί ἐστιν' ἢ τὸ ὠφε- 5 λεῖσθαι ἐν τῷ 'τὸ φιλοσοφεῖν ὠφελεῖσθαί ἐστιν', οὐδὲν διάφορον ἔχει κατὰ

---

2 αὐτῶν ἐστιν a 6 ὅπως AG: οὕτως FMa 9 ὑπαρχόντων — καθάπερ] καθ' ὑποκειμένου σημεῖόν ἐστιν οἷον M 11 καὶ om. M 12 ἐν (prius) om. F εἴωθε — ὑποκειμένου] ἀδιαφόρως καλεῖν καθ' ὑποκειμένου τὸ ἐν ὑποκειμένῳ αὐτοῦ εἰωθότος AM 13 καλῶς F 15 δὲ suppl. G² καὶ ὑποκ.] τὸ ὑποκ. G ὑποκείμενον . . ῥῆμα FG ποτε γίν. a post ῥήματα add. ἔν τισι λόγοις AM 17 τότε post ὀνόματα colloc. AM 18 παραλαμβάνονται M εἴρ. πρότ. Ma (cf. p. 45,29) 19 καὶ (ante φύσεις) om. AMa 21 λέγονται] δέχονται A: λέγεται FGa εἶναι om. M 22 τῶν om. G 22 ὡς περὶ Ma: ὥσπερ AFG 23 δεῖ] δὴ A²Ma 28 σημαινόμενα G¹ 29 προστάττεται F 30 τὴν om. F 31 τάξιν om. G ὁ ἀρ. τοῦ ῥήμ. G 32 καὶ ante ὡς colloc. A: om. M 33 τὸ (ante περιπ.) om. M

τὸ κατηγορεῖσθαι τῶν ὁμολογουμένων ὀνομάτων, οἷον τοῦ ζῷον· οὐδὲ γὰρ ταῦτα δύναται δίχα τῆς προσθήκης τοῦ ἔστιν ἢ οὐκ ἔστιν ἢ λέγεται ἢ μέλλω ἐν τῷ 'λέγειν μέλλω' ἤ τινος τοιούτου τέλειον ἐργάσασθαι λόγον. ὅταν οὖν ὡς ὅπως ποτὲ ὄντων τινῶν ὀνόματα ὄντα ταῦτα λάβωμεν, τότε καὶ ἀποφαίνεσθαί τι περὶ τῶν ὑπ' αὐτῶν σημαινομένων καὶ κατηγορεῖν αὐτῶν ὄντως ῥήματά τινα ἐγχειροῦμεν, καθάπερ εἰώθαμεν ποιεῖν ἐπὶ τῶν ὄντως ὀνομάτων. ἀλλὰ ταῦτα μὲν εἴρηται περὶ τῶν ῥημάτων τῆς ἀπαρεμφάτου παρὰ τοῖς γραμματικοῖς λεγομένης ἐγκλίσεως, δι' ὧν καὶ μόνων εἰώθαμεν κυρίως σημαίνειν τὰς ἐνεργείας ἢ τὰ πάθη τὰς ἐν ὑποκειμένων τάξει παραλαμβανομένας, ὅταν δέῃ τι περὶ αὐτῶν λέγειν. εἰ δέ τί ποτε καὶ κατὰ τὰς ἄλλας ἐγκλίσεις ὑποκείμενον γίνεται, καθάπερ τὸ ὑγιαίνω ἐν τῷ 'τὸ ὑγιαίνω ῥῆμά ἐστιν', ἐπιστῆσαι χρὴ ὅτι τότε οὐ περὶ αὐτῆς τῆς σημαινομένης διαθέσεως ποιούμεθα τὸν λόγον, ἀλλὰ περὶ τῆς σημαινούσης αὐτὴν φωνῆς ὡς φωνὴν αὐτὴν ἐπισκεπτόμενοι καὶ διοριζόμενοι τὸ ἐπιφημισθὲν ὄνομα τῇ τοιᾷδε φωνῇ· καὶ γὰρ καὶ αἱ φωναὶ τῶν ὄντων, καὶ ταύτας, ὥσπερ καὶ τὰ ἄλλα διακρίνοντες ἀλλήλων ὀνόμασιν αὐτάς, τὰς μὲν ἄλλοις τὰς | δὲ ἄλλοις σημαίνομεν. διόπερ οὐκ ἐπὶ ῥημάτων μόνων τὸ 42v τοιοῦτον γινόμενον εὑρήσεις, ἀλλὰ καὶ ἐπὶ πάσης φωνῆς σημαντικῆς τε καὶ ἀσήμου· λέγομεν γὰρ 'ὁ μὲν σύνδεσμος' 'τὸ τὸ ἄρθρον' 'ἡ κνάξ φωνὴ ἄσημος'. ὁ δέ γε Ἀριστοτέλης οὐκ αὐτὴν καθ' αὑτὴν τὴν τοῦ ῥήματος φωνὴν εἶπεν εἶναι τὴν ἀεὶ κατηγορεῖσθαι βουλομένην, ἀλλὰ τὸ ὑπ' αὐτῆς σημαινόμενον, ὅπερ ἐστὶν ἢ ἐνέργειά τις ἢ πάθος. διὸ καὶ οὕτως εἶπεν ὅτι ἔστιν ἀεὶ τῶν καθ' ἑτέρου λεγομένων σημεῖον. τούτων μὲν οὖν ἅλις.

Περὶ δὲ τοῦ ἀορίστου ῥήματος οὐ δεησόμεθα πολλῶν λόγων· τὰ αὐτὰ γὰρ ἐροῦμεν τοῖς περὶ τοῦ ἀορίστου ὀνόματος, ὅτι τε οὐ παντάπασιν ἐκβέβηκε τῆς φύσεως τῶν ῥημάτων, ὅπερ συντόμως ὑπέμνησεν ὁ Ἀριστοτέλης εἰπὼν προσσημαίνει μὲν γὰρ χρόνον καὶ ἀεὶ κατά τινος ὑπάρχει, καὶ ὡς διὰ τὸ μὴ ἐπί τινος ὡρισμένου λέγεσθαι τὸ ὅλον τοῦτο ἀόριστον ῥῆμα προσαγορεύεται. ὅταν δὲ λέγῃ τῇ δὲ διαφορᾷ ὄνομα οὐ κεῖται, διαφορὰν καλεῖ τὴν ἑτερότητα τοῦ ἀορίστου ῥήματος πρὸς τὸ ὡρισμένον. ταύτῃ δὲ τῇ ἑτερότητι μηδέν φησι κεῖσθαι ὄνομα, καθ' ὃ δυνάμεθα δηλῶσαι ὡς ἕτερόν ἐστι τὸ ἀόριστον ῥῆμα τοῦτο, περὶ οὗ ὁ λόγος, παρὰ

---

1 ὡμολογημένων M τοῦ] τὸ AM 2 ἢ λέγεται om. F 3 λέγειν] μέλλειν F ἐργάζεσθαι G 7 τῆς] τοῖς F 8 λεγομένοις A 9 τὰ ἐν . . . παραλαμβανόμενα (10) a ὑποκειμένω G 10 τι om. AM 11 ὑποκείμενα AGMa γίγν. AG 11. 12 ἐν τῷ τὸ ὑγιαίνω om. FGa 14 αὐτὴν (ante φωνῆς)] αὐτῆς M 15 τοιᾷδε] τοιαύτη G 16 τὰς ἄλλας AM ὀνόματα F 17 διόπερ] ὅπερ a μόνον FMa 18 γιγν. AF καὶ om. M 19 ἡ κνάξ] τὸ κνάξ libri 20 οὐκ αὐτὴν] οὐ κατ' αὐτὴν M 22 εἰπεῖν F 23 ἔστιν ἀεὶ om. M 23 ἀλλὰ τούτων AM 24 οὖν om. AGM 25 δεηθήσομεν A 26 τε] οὔτε AM 28 προσημ. F μὲν om. AM 29 μὴ διὰ τὸ a 30 διαφ. δὲ AM 32 μηδὲν φησι κεῖσθαι AM: φησὶ μὴ κινεῖσθαι F: μέν φησι κεῖσθαι G¹: μὴ κεῖσθαί φησι G²: μέν φησι μὴ κ. a 33 παρὰ] πρὸς a

τὸ ῥῆμα, καθάπερ τῇ ἑτερότητι τοῦ ὀνόματος πρὸς τὸ ῥῆμα κείμενον ἔχομεν ὄνομα τοῦτ' αὐτὸ τὸ καλεῖσθαι τὸ μὲν ὄνομα τὸ δὲ ῥῆμα. ἐπεὶ οὖν οὐχ οὕτως καὶ ἐπὶ τοῦ ῥήματος καὶ τοῦ ἀορίστου ῥήματος ὀνόματα δύο ἔχομεν κείμενα τὰ δηλῶσαι ἡμῖν δυνάμενα ὅτι ταῦτα διάφορά ἐστιν ἀλλήλων, ἀλλὰ τὸ μὲν ἕτερον αὐτῶν ἔσχε τι ὄνομα τὸ καλεῖσθαι ῥῆμα, τὸ δὲ ἕτερον παρεώραται | ὑπὸ τῶν τὰ ὀνόματα θεμένων καὶ οὐδεμίαν ἔχει 43r τοιαύτην φωνὴν σημαίνουσαν αὐτό, τῇ διαφορᾷ φησι μὴ κεῖσθαι ὄνομα ἐν τῇ συνηθείᾳ, τοῦτ' ἔστι τῇ ἰδιότητι τοῦ ἀορίστου ῥήματος, ἣν ἔχει παρὰ τὸ ὡρισμένον, ἣν ἰδιότητα ἐχρῆν τοὺς τῶν ὀνομάτων πατέρας ἰδίας τινὸς ἐπωνυμίας ἀξιῶσαι· διόπερ αὐτὸς ὄνομα αὐτῷ τιθέμενος ἀξιοῖ αὐτὸ καλεῖν ἀόριστον ῥῆμα. ὅτι ὁμοίως, φησίν, ἐφ' ὁτουοῦν ὑπάρχει, καὶ ὄντος καὶ μὴ ὄντος, τὸ ὑπάρχειν ἀντὶ τοῦ ἀληθῶς κατηγορεῖσθαι λαμβάνων· κατηγορεῖσθαι μὲν γὰρ ἀληθῶς τι καὶ τοῦ μὴ ὄντος ὡς μὴ ὑπάρχον αὐτῷ μηδὲ πεφυκὸς ὑπάρχειν οὐδὲν κωλύει, οἷον ὅταν εἴπω 'ὁ ἱπποκένταυρος οὐχ ὑγιαίνει ἢ οὐ κάμνει', ὑπάρχειν δέ τι τῷ μὴ ὄντι ἀδύνατον.

Ἐπὶ τούτοις τὴν διαφορὰν ἡμῖν παραδίδωσι τῶν ῥημάτων πρὸς τὰς πτώσεις αὐτῶν, καθάπερ ἐπὶ τῶν ὀνομάτων ἐποίει, καί φησι τὰ μὲν ἐπὶ τοῦ ἐνεστῶτος χρόνου λεγόμενα, ὁποίου ποτ' ἂν ὦσι προσώπου, ῥήματα καλεῖν, οἷον τὸ ὑγιαίνω καὶ τὸ ὑγιαίνεις καὶ τὸ ὑγιαίνει, ἐνεστῶτος δέ τοῦ ἐν πλάτει δηλονότι (κατὰ γὰρ τὸν ἀκαριαῖον λεγόμενον οὔτε ποιῆσαί τι οὔτε φθέγξασθαι δυνατόν), τὰ δὲ τὸν πέριξ χρόνον προσσημαίνοντα (καλεῖ δὲ πέριξ τόν τε παρεληλυθότα καὶ τὸν μέλλοντα ὡς τὸν ἐνεστῶτα περιέχοντας) πτώσεις ῥήματος, ὡς ἂν γινόμενα κατὰ παρασχηματισμὸν τὸν ἀπὸ τῶν ῥημάτων τῶν ἐπὶ τοῦ ἐνεστῶτος χρόνου λεγομένων· ὥστε τὸ κυρίως ῥῆμα τοῦτο εἶναι τὸ ἐπὶ τοῦ ἐνεστῶτος χρόνου λεγόμενον καὶ ὡρισμένον τι σημαῖνον. εἰ δὲ κἀνταῦθά τις ἀποροίη διὰ τί μὴ ἐξ ἀρχῆς | τὰς διαφορὰς 43v ταύτας προσετίθει τῷ λόγῳ τοῦ ῥήματος ὁ Ἀριστοτέλης, οὐκ ἐλλιπῆ εἶναι φήσομεν ἡμεῖς, καθάπερ Ἑρμῖνος, τὸν ἐξ ἀρχῆς ἀποδιδόμενον λόγον, ἀλλὰ πλείονα εἶναι παρὰ τῷ φιλοσόφῳ καὶ τοῦ ῥήματος τὰ σημαινόμενα, καὶ ἄλλου μὲν εἶναι σημαινομένου τὸν ἐξ ἀρχῆς ἀποδιδόμενον λόγον, ἄλλο δέ τι διὰ τῶν νυνὶ προστιθεμένων τὸν φιλόσοφον ὑπογράφειν· τριχῶς γὰρ τὸ ῥῆμα παρὰ τῷ Ἀριστοτέλει λεγόμενον εὑρήσεις, ἤτοι πᾶσαν φωνὴν

---

1 καθάπερ—ῥῆμα (2) om. M 3 καὶ ἐπὶ τοῦ ἀορ. F ὀνόματα om. FG 5 ἀλλήλων om. M 7 τοιαύτην om. G τὴν σημ. a αὐτῷ A 10 καλεῖν αὐτὸ G 13 τι] τε G μὴ (prius) suppl. F² 14 ὑπάρχον] ὑπάρχειν F post πεφυκὸς add. αὐτῷ del. M 15 ἢ om. AM ὑπάρχει M τῷ] τὰ F μὴ δὲ ὄντι FGa 17 τὴν om. FGMa 19 καλεῖ A 20 ὑγιαίνει] ὑγιανεῖς G ἐνεστῶτα F 21 τὸν] τὸ Ma 23 post πέριξ iter. χρόνον—πέριξ F περιέχοντα Ma 24 τὸν ex τῶν corr. F 25 τὸ om. a 26 τοῦ om. AM 28 ἐλλειπῆ A εἶναι ante ἡμεῖς (29) colloc. AM: om. a 29 ἀποδεδομένον AM 30 ἀλλὰ—λόγον (31) om. M τὰ σημαινόμενα om. F 31 εἶναι ante λόγον colloc. a ἀποδεδομένον AG² 32 διὰ om. M προστεθειμένων A²G ὑπογρ. τὸν φιλ. G 33 εὑρήσεις λεγ. A

προσσημαίνουσαν χρόνον, ἧς μέρος οὐδὲν σημαίνει χωρίς, ἀεὶ καθ' ἑτέρου λεγομένην, ὥσπερ ἐξ ἀρχῆς ὡρίσατο, καθ' ὃ σημαινόμενον εἶεν ἂν ῥήματα καὶ τὰ ἀόριστα ῥήματα καὶ αἱ πτώσεις τοῦ ῥήματος, ἃ πᾶσαν φωνὴν προσσημαίνουσαν τὸν ἐνεστῶτα μόνον χρόνον καὶ ὡρισμένον τι δηλοῦσαν, ὃ σημαινόμενον παραδίδοται ἡμῖν διὰ τῶν νυνὶ λεγομένων, ἃ πᾶσαν φωνὴν κατηγορούμενον ἐν προτάσει ποιοῦσαν, ὥστε κατὰ τοῦτο τὸ σημαινόμενον τὸ καλὸς καὶ δίκαιος καὶ λευκὸς καὶ ζῷον, ὅταν κατηγορούμενα ληφθῇ, ῥήματα λέγεσθαι, ὅπερ κατ' οὐδέτερον ἦν τῶν προτέρων σημαινομένων. ὅτι δὲ καὶ τοῦτο οἶδε τοῦ ῥήματος τὸ σημαινόμενον, ἤδη μὲν καὶ κατ' ἀρχὰς τῆσδε τῆς πραγματείας ἐπεσημήνατο, ἐν οἷς ἔλεγε "τὰ μὲν οὖν ὀνόματα αὐτὰ καὶ τὰ ῥήματα ἔοικε τῷ ἄνευ συνθέσεως καὶ διαιρέσεως νοήματι, οἷον τὸ ἄνθρωπος ἢ τὸ λευκόν, ὅταν μὴ προστεθῇ τι". κἀν τοῖς ἑξῆς δὲ τὴν αὐτὴν εὑρήσεις αὐτὸν ἔχοντα περὶ τούτου διάνοιαν, ἐν οἷς φησι "μετατιθέμενα δὲ τὰ ὀνόματα καὶ τὰ ῥήματα τὸ αὐτὸ σημαίνει"· τοῦτο γὰρ εἰπὼν μετατίθησι | τό τε ἄνθρωπος καὶ τὸ λευκός, ὡς ἂν 44r
τούτων θατέρου μὲν ὄντος ὀνόματος θατέρου δὲ ῥήματος. εἰ τοίνυν ἐν τῇ λεγούσῃ προτάσει 'ὁ ἄνθρωπος λευκός ἐστι' τὸ ἄνθρωπος ὡς ὄνομα παραλαμβάνεται, ὥσπερ καὶ κατ' ἀρχὰς εἴληπται, δῆλον ὅτι τὸ λευκὸς ἂν εἴη τὸ ὡς ῥῆμα παραλαμβανόμενον, κἀν τῇ πρὸς ταύτην ἀντιστρεφούσῃ καὶ τὸ μὲν λευκὸς ὑποκείμενον λαμβανούσῃ τὸ δὲ ἄνθρωπος κατηγορούμενον ποιούσῃ δῆλον ὅτι τὸ μὲν λευκὸς ὄνομα εἶναι ῥηθήσεται τὸ δὲ ἄνθρωπος ῥῆμα. ἀλλ' αὕτη μὲν παρὰ φύσιν ἡ κατηγορία, ὥσπερ καὶ ὅταν τῷ δεσπότῃ τὸν ἄνθρωπον συμβεβηκέναι λέγωμεν· διὸ καὶ οὐ κυρίως εἴποις ἂν καλεῖσθαι τὸ ἄνθρωπος ῥῆμα τοῦ λευκοῦ ὀνόματος ὄντος, ἅτε μηδὲ κατὰ φύσιν αὐτοῦ κατηγορούμενον. ὅταν δὲ τὸ λευκὸν τοῦ ἀνθρώπου κατηγορήσωμεν, ἥ τε κατηγορία κατὰ φύσιν ἔσται καὶ ῥῆμα εἰκότως τὸ κατηγορούμενον κληθήσεται, ἅτε σημαῖνον τὸ μετεχόμενον ὑπὸ τοῦ ἀνθρώπου καὶ κατηγορεῖσθαι αὐτοῦ πεφυκὸς ὡς ὑποκειμένου. τούτων οὖν διωρισμένων ἐπισκεψώμεθα τὰ ἐφεξῆς ὑπὸ τοῦ Ἀριστοτέλους λεγόμενα περὶ τοῦ ῥήματος.

---

1 προσσημ.] σημαίνουσαν F 2 λεγόμενον AG²Ma: λεγομένοις G¹ ῥῆμα A 5 νῦν A post λεγομ. add. λόγων G² 6 τὸ (post τοῦτο) suppl. G² 7 τὸ δίκαιος FMa τὸ λευκὸς a τὸ ζῶον a 8 τὰ ῥήματα G οὐδέτερον] οὐδὲν F 9 ἤδη μὲν] ἢ μηδὲν M 10 ἐπεσημηνάμην AFG ἐν οἷς ἔλεγε] p. 16ᵃ13 sq. 11 καὶ (alt.)] ἢ AF 13 αὐτοῦ τούτου AM 13. 14 ἐν οἷς φησι] p. 20ᵇ1 15 λευκόν AFGa 17 ὡς om. FGa 18. 19 τὸ λευκὸς ἂν εἴη iter. A 18. 20. 21 λευκὸν FG 19 παραλαμβ.] λαμβ. AF ἀντιστρέφουσιν F 20 τὸν δὲ ἄνθρωπον FGa 21 ποιήσει F 23 καὶ om. FGMa 26 τὸ ῥῆμα F 26. 27 τὸ κατηγορούμενον iter. A 28 οὖν] δὲ A 29 ἐπισκεψόμεθα F.

p. 16b19 Αὐτὰ μὲν οὖν καθ' ἑαυτὰ λεγόμενα τὰ ῥήματα ὀνόματά ἐστι καὶ σημαίνει τι (ἵστησι γὰρ ὁ λέγων τὴν διάνοιαν καὶ ὁ ἀκούσας ἠρέμησεν), ἀλλ' εἰ ἔστιν ἢ μή, οὔπω σημαίνει· οὐδὲ γὰρ τὸ εἶναι σημεῖόν ἐστι τοῦ πράγματος ἢ μὴ εἶναι. 25
5 οὐδ' ἂν τὸ ὂν εἴπῃς αὐτὸ ψιλόν· αὐτὸ μὲν γὰρ οὐδέν ἐστι, προσσημαίνει δὲ σύνθεσίν τινα, ἣν ἄνευ τῶν συγκειμένων οὐκ ἔστι νοῆσαι.

Παραδοὺς ἡμῖν διὰ τῶν προειρημένων τὸν τοῦ | ῥήματος ὁρισμὸν 44v
κοινότερόν τε καὶ ἰδικώτερον, βούλεται διὰ τούτων εἰπεῖν ὅπως ἔχουσι τὰ
10 ῥήματα πρὸς τὸ σημαίνειν τι ἀληθὲς ἢ ψεῦδος, ἤδη μὲν κατ' ἀρχάς, ἐν 5
οἷς περὶ τῆς πρὸς ἄλληλα σχέσεως τῶν τε πραγμάτων καὶ τῶν νοημάτων
καὶ τῶν φωνῶν διελέγετο, κοινῶς εἰπὼν περὶ πασῶν τῶν ἁπλῶν φωνῶν
ὡς ἐοίκασι τοῖς ἄνευ συνθέσεως ἢ διαιρέσεως νοήμασι καὶ οὔτε ἀληθείας οὔτε
ψεύδους εἰσὶ δεκτικαί, σαφέστερον δὲ νῦν αὐτὸ κατασκευάσαι βουληθεὶς διὰ
15 τοῦ δεῖξαι τὸ μάλιστα δοκοῦν ἐν ταῖς ἁπλαῖς φωναῖς ἀλήθειαν δέχεσθαι 10
καὶ ψεῦδος, τὸ ῥῆμα λέγω, μηδέτερον τούτων σημαῖνον· τὸ μὲν γὰρ ἕτερον
τοῦ λόγου μέρος, τὸ ὄνομα, δι' ἐκείνων προχειρισάμενος ἐδείκνυ, κἂν ὅτι
μάλιστα σύνθετον ᾖ ὡς τὸ Κάλλιππος ἢ τὸ τραγέλαφος, σημαντικὸν μὲν 15
ὡς φύσεώς τινος ἢ ἐννοίας, οὐ μέντοι ἀληθοῦς ἢ ψευδοῦς, ἐὰν μή τι
20 αὐτῷ προστεθῇ ῥῆμα· διὰ δὲ τούτων περὶ τοῦ ῥήματος τὰ αὐτὰ ἡμῖν
παραδιδοὺς θεωρήματα, ὅτι σημαντικὸν μέν ἐστιν ἐνεργειῶν τινων ἢ
παθῶν, οὐ μέντοι ἀληθείας ἢ ψεύδους, ἐὰν μή τι αὐτῷ συμπλακῇ ὄνομα, 20
φησὶν αὐτὰ μὲν οὖν καθ' ἑαυτὰ λεγόμενα τὰ ῥήματα ὀνόματά
ἐστι καὶ σημαίνει τι, ὀνόματα λέγων ἀντὶ τοῦ σημαντικά, διὸ καὶ
25 ἐπήγαγε σαφέστερον τοῦτο ποιῶν τὸ καὶ σημαίνει τι· ἔπειτα τοῦτο κατα-
σκευάζων ὅτι ἐστὶ σημαντικά τινων τὰ ῥήματα ἐξῆς ἐπάγει τὸ ἵστησι 25
γὰρ ὁ λέγων τὴν διάνοιαν καὶ ὁ ἀκούσας ἠρέμησεν, ἢ τοῦτο λέγων
ὅτι φέρε εἰπεῖν τοῦ ὑγιαίνει ῥήματος τὴν ἔννοιαν συμπαρεκτεινομένην τῷ
μήκει τῆς προφορᾶς ἀποπεραιοῦμεν καὶ ὥσπερ | ἐν μήκει προφερομένην μετὰ 45r
30 τῆς κατὰ τὴν λέξιν παραστάσεως ἴσταμεν ὅλον τὸ ῥῆμα εἰπόντες ἢ ἀκού-
σαντες, ἢ ὅτι τοῦ ἐρωτήσαντος 'τί ποιεῖ, τυχόν, Σωκράτης;' ἀμφιβάλλουσαν

1. 2 ὀνόματα — νοῆσαι (7) om. M 2 ἐστι suppl. F² post ἐστι add. ἤγουν σημαντικά F 3 καὶ ὁ — νοῆσαι (7) om. a σημ.] cf. p. 55,11 4 ἢ μὴ εἶναι post εἶναι colloc. Ab (cf. p. 55,17) 5 αὐτὸ καθ' ἑαυτὸ Ab (cf. p. 57,2) 8 παραδοὺς γὰρ Fa 10 post μὲν add. γὰρ F: οὖν G κατ' ἀρχάς] p. 16a9 sq. 11 περὶ om. M 12 κοινῶς διελ. κοινῶς εἶπε F: κοινῶς διελ. εἶπε Ga 13 τοῖς] τῆς A 14 δεκτικά a 15 τοῦ] τὸ Ga δοκεῖ M λέγεσθαι G¹ 16 σημαίνειν FGMa 17 κἂν] καὶ M 18 ᾖ] ἐστὶν G¹ 18. 19 μὲν ὡς] μόνον AM; scribas μὲν ὄν 19 μέν τι G 20 τὰ om. G 21 παραδοὺς G 24 ἐστι om. F τοῦ τὰ σημαντ. G¹ 25 τὸ om. FGa 26 ἐστὶ in lac. om. F τὸ om. AM 28 ὑγιαίνειν FGMa συμπαρατειν. AM 29 προφερομ.] φερομ. FGa 30 τὴν om. F 31 τυχόν om. AM ὁ σωκρ. G

καὶ ὥσπερ πλανωμένην ἔχοντος τὴν διάνοιαν διὰ τὸ πλείονα μὲν ἐννοεῖν, ὧν ἕκαστον αὐτῷ δύναται ὑπάρχειν, περὶ μηδενὸς δὲ αὐτῶν ἀφωρίσθαι εἰδέναι ὅτι τοιοῦτόν ἐστι τὸ ὑπάρχον, ὁ ἀποκρινόμενος καὶ εἰπὼν 'περιπατεῖ' ἢ 'διαλέγεται' τὴν διάνοιαν ἔστησε τοῦ ἀμφιβάλλειν ἀπαλλάξας, καὶ ὁ ἠρωτηκὼς ὥσπερ πλανωμένην πρότερον καὶ ἀόριστον τὴν διάνοιαν ἔχων ἀκούσας τῆς διὰ τοῦ ῥήματος ἀποκρίσεως ἠρέμησεν· ὥστε φανερῶς ἐσήμηνέ τι τὸ ῥῆμα ῥηθέν, εἴπερ ταῦτα ῥηθέντος αὐτοῦ γέγονε, καὶ ὁ μὲν ἐποίησέ τι τὸ ῥῆμα εἰπών (ἔστησε γὰρ τὴν διάνοιαν τοῦ ἐρωτήσαντος), ὁ δὲ πέπονθεν ἀκούσας· ἠρέμησε γάρ. ὅτι μὲν οὖν σημαίνει τὰ ῥήματα, διὰ τούτων δῆλον.

Ἀλλ' εἰ ἔστι, φησίν, ἢ μή, οὔπω δῆλον. σημαίνει δὲ αὐτῷ τὸ μὲν ἔστι τὴν κατάφασιν τὸ δὲ ἢ μὴ τὴν ἀπόφασιν, ἢ μᾶλλον τὸ μὲν ἔστι τὸ ἀληθὲς τὸ δὲ ἢ μὴ τὸ ψεῦδος· ὁ μὲν γὰρ ὡς ἔστι τὰ ὄντα καὶ ἔχει φύσεως λέγων τὰ ἀληθῆ λέγει, ὁ δὲ ὡς οὐκ ἔστι ψευδῆ. σημαίνει μὲν οὖν τι, φησί, τὰ ῥήματα πάθος ἢ ἐνέργειαν, ἀλλὰ ἀλήθειαν ἢ ψεῦδος οὐδέπω σημαίνει. καὶ τοῦτο συλλογιζόμενος ἐπάγει· οὐδὲ γὰρ τὸ εἶναι σημεῖόν ἐστι τοῦ πράγματος ἢ μὴ εἶναι. ἔστι δὲ τοῦτο κατασκευὴ ἀπὸ τοῦ μᾶλλον τοῦ μὴ δέχεσθαι τὰ ῥήματα τὸ ἀληθὲς καὶ τὸ ψεῦδος· εἰ γὰρ τὰ ἀρχοειδέστατα καὶ κοινότατα τῶν ῥημάτων καὶ εἰς ἃ πάντα τὰ ἄλλα ἀναλύεται, αὐτὸ προσεχῶς τὸ ὑπάρχειν | ἢ μὴ ὑπάρχειν σημαίνοντα, 45v καθ' ἑαυτὰ λεγόμενα μὴ ἀληθεύει ἢ ψεύδεται, πολλῷ δήπου μᾶλλον τὰ ἄλλα ῥήματα οὐκ ἄν τι δέχοιντο τούτων· ἀλλὰ μὴν εἰ τὸ πρῶτον, καὶ τὸ δεύτερον ἄρα. πάντων δὲ λαμβάνει τῶν ῥημάτων ἀρχοειδέστατα τὸ ἔστι καὶ τὸ οὐκ ἔστιν, ἅπερ εἶναι καλεῖ καὶ μὴ εἶναι, ὡς ἂν ἑκάστου τῶν ῥημάτων εἴς τε μετοχὴν ἀναλυομένου καὶ θάτερον τούτων. τῶν μὲν ὡρισμένων εἰς τὸ ἔστι, τῶν δὲ ἀορίστων εἰς τὸ οὐκ ἔστιν, οἷον τρέχει — τρέχων ἐστίν, ὑγιαίνει — ὑγιαίνων ἐστίν, οὐ τρέχει — τρέχων οὐκ ἔστιν, οὐχ ὑγιαίνει — ὑγιαίνων οὐκ ἔστιν. εἰ τοίνυν ταῦτα οὕτως ἔχοντα μηδὲν καθ' ἑαυτὰ σημαίνει ἀληθὲς ἢ ψεῦδος, πῶς ἂν ἔχοι λόγον τὰ ὕστερα τούτων καὶ τὸ ὑπάρχειν ὅλως ἢ μὴ ὑπάρχειν κατὰ τὴν τούτων μετουσίαν σημαίνοντα δηλοῦν τι ἀληθὲς ἢ ψεῦδος; ὅτι δὲ τὸ ἔστιν ἢ τὸ οὐκ ἔστιν οὐδὲν καθ' ἑαυτὸ ἀληθὲς ἢ ψεῦδος σημαί-

---

2 δύνασθαι A 3 τοιοῦτον] τοῦτο AM 6. 7 ἐσήμανε M 7 τι] τε M 11 δῆλον] scribas δηλοῖ: σημαίνει b αὐτῷ] αὖ μόνον τῷ Ga 12. 13 τὴν ἀπόφασιν—ἢ μὴ om. F μᾶλλον τῷ εἰ μὲν (μὲν εἰ m²) ἔστι G: μ. τὸ εἰ μὲν ἔστι a 14 σημαίνειν AG 15 φησί τι a 17 ἢ μὴ εἶναι ante σημεῖον colloc. FGab (cf. p. 56,14 sq.) τὸ μὴ εἶναι M 18 περὶ τοῦ (alt. l.) a καὶ] ἢ Ma 19 ἀρχοειδέστερα καὶ κοινότερα a 20 αὐτῷ M 21 ἀληθεύει AF 23 ἀρχοειδέστερα AFMa post ἀρχοειδ. add. καὶ κοινότατα τὸ ἔστι καὶ τὸ οὐ τῶν ῥημάτων καὶ εἰς ἃ πάντα τὰ ἄλλα ἀναλύεται αὐτὸ προσεχῶς τὸ ὑπάρχειν κτλ. usque ad πάντων γάρ (sic) λαμβ. τῶν ῥημάτων ἀρχοειδέστερα (sic) G: καὶ κοινότερα καὶ εἰς ἃ πάντα τὰ ἄλλα ἀναλύεται a 24 ἑνὸς ἑκάστου FG 25 εἴς τε] ὅλην G: εἰς ταῦτα μετὰ ex ed. Ven. Brand. μετοχῶν Ma θατέρου M Brand. ex ed. Ven. 26. 27 ὑγιαίνων ὑγιαίνει colloc. G 28 οὕτως] ὄντως F 29 ἔχοι suppl. G²: ἔχῃ a

νει, τυχὸν μὲν καὶ αὐτόθεν δῆλον· ὁ γὰρ μυριάκις εἰπὼν 'ἔστιν, ἔστιν' ἢ 'οὐκ ἔστιν, οὐκ ἔστιν' οὐδέτερον τούτων ἐσήμηνε. κατασκευάζει δὲ καὶ τοῦτο τὸν ὅμοιον τρόπον ἀπὸ τοῦ μᾶλλον λαβών τι τοῦ ἔστιν ἀρχοειδέστερον τὸ ὄν, ἀφ' οὗ παρήχθη τὸ ἔστι καὶ τὸ οὐκ ἔστι· φησὶ γὰρ ὡς οὐδὲ τὸ ὂν τοῦτο ὄνομα ὄν, καθάπερ οὐδὲ τὸ ἀπ' αὐτοῦ παρηγμένον ῥῆμα τὸ ἔστι, σημεῖόν ἐστι τοῦ πράγματος, τοῦτ' ἔστι δηλωτικόν ἐστι τοῦ εἶναι ἀληθῶς τὸ πρᾶγμα, ῥηθὲν αὐτὸ ψιλόν, ὅπερ ἐστὶ καθ' ἑαυτὸ λεγόμενον· σημαίνει μὲν γάρ τι καὶ τὸ ἔστι καθ' ἑαυτὸ ῥηθὲν καὶ τὸ ὂν ὁμοίως, ἀλλ' οὐδέτερον τούτων τίθησιν ἑαυτὸ καὶ ὑπάρχειν λέγει, κἂν μυριάκις ῥηθῇ, ὥστε σημῆναί τι ἀλη|θὲς ἢ ψεῦδος· μόνοι γάρ, ὡς εἴρηται πολλάκις, οἱ 46r ἐξ ὀνομάτων καὶ ῥημάτων συγκείμενοι λόγοι δέχεσθαι θάτερον τούτων πεφύκασι, τούτων δὲ ἑκάτερον, τό τε ὂν λέγω καὶ τὸ ἔστιν, ἁπλοῦν καὶ πόρρω πάσης τοιαύτης συνθέσεως.

Εἰ μὲν οὖν οὕτως ἔχει τὸ ῥητόν, ὡς παρεθέμεθα, οὐδὲ γὰρ τὸ εἶναι σημεῖόν ἐστι τοῦ πράγματος ἢ μὴ εἶναι, τὴν εἰρημένην ἐξήγησιν μόνην αὐτὸ καθιστῶσαν εὑρήσεις, εἰ δ' ὥσπερ ὁ φιλόσοφος γράφει Πορφύριος, οὐ γὰρ τὸ εἶναι σημεῖόν ἐστι τοῦ πράγματος ἢ μὴ εἶναι, εἰ καὶ προϊὼν ἐπὶ τὴν προτέραν γραφήν τε καὶ ἐξήγησιν φέρεται, λέγοι ἂν περὶ πάντων κοινῶς τῶν ῥημάτων, ὅτι σημαντικὰ μέν ἐστιν, ὅπερ εἴρηται, τινῶν, ἀλλ' οὐκ ἀληθείας ἢ ψεύδους, ὅπερ ἐδήλωσε διὰ τοῦ ἀλλ' εἰ ἔστιν ἢ μή, οὔπω σημαίνει, τούτου δὲ τὴν αἰτίαν εἴη ἂν ἀποδιδοὺς διὰ τοῦ οὐ γὰρ τὸ εἶναι σημεῖόν ἐστι τοῦ πράγματος ἢ μὴ εἶναι· τοῦτο δέ ἐστιν· οὐ γάρ ἐστι σημαντικὸν τὸ ῥῆμα καθ' ἑαυτὸ λεγόμενον τοῦ ὑπάρχειν ἢ μὴ ὑπάρχειν τὸ ὑπ' αὐτοῦ δηλούμενον πρᾶγμα, ὅπερ εἰ ἐποίει, τότε μόνως ἦν ἂν δεκτικὸν ψεύδους καὶ ἀληθείας· ὁ γὰρ εἰπὼν 'περιπατεῖ' ἐσήμηνε μέν τινα ἐνέργειαν, οὔτε δὲ ἀληθές τι περὶ αὐτῆς εἶπεν οὔτε ψεῦδος, ἐὰν μή τι προστεθῇ ὑποκείμενον, ᾧ ἢ ὑπάρχον ἢ μὴ ὑπάρχον τὸ περιπατεῖν ποιήσει λόγον ἀληθῆ ἢ ψευδῆ. τὸ οὖν οὐ γάρ τὸ εἶναι σημεῖόν ἐστι τοῦ πράγματος ἢ μὴ εἶναι ἴσον ἐστὶ τῷ ὅτι τὸ ῥῆμα καθ' ἑαυτὸ λεγόμενον οὐκ ἔστι σημαντικὸν οὔτε τοῦ εἶναι τὸ πρᾶγμα, τοῦτ' ἔστι τὸ ὑπ' αὐτοῦ σημαινόμενον, ὅπερ ἡ κατάφασις εἴωθε σημαίνειν, οὔτε τοῦ μὴ εἶναι, ὅπερ δηλοῦ|ται διὰ τῆς ἀποφάσεως. 46v

---

1. 2 ἔστιν (alterum) et οὐκ ἔστιν (alt.) om. G 2 ἐσήμανε M¹a 3 τὸν ὅμοιον τρόπον om. G ἀπὸ] ἀντὶ A 4 καὶ τὸ οὐκ ἔστι] ἀφ' οὗ τὸ οὐκ ἦν FGa 7 ἀληθὲς A 8 τὸ (ante ἔστι) om. M ῥηθὲν om. A 9 ἑαυτῷ AMa ὑπάρχει λέγειν G ῥηθείη A¹ 10 σημῆναι] συμβῆναι M 12 πόρω A 13 τῆς τοιαύτ. M 14 ἔχοι FGMa 16 αὐτῷ A 17. 22. 29 τὸ εἶναι] scribas τοῦ εἶναι, quod Porphyrius legisse videtur 18 εἰ om. AM φέρεται] φαίνεται AM λέγειν AM 19 ἂν om. A ὥσπερ AMa 22 οὐδὲ γὰρ Ma 22. 29 ἢ μὴ εἶναι ante σημεῖον colloc. a 24 ἢ μὴ ὑπάρχειν om. M 25 μόνος A ἂν ἦν G 26 περιπατεῖν A ἐσήμανε Ma μὲν om. M 27 ἐὰν ex εἰ corr. A προσθῇ A ᾧ] ὃ A: ὧν G¹ ἢ (prius) om. G¹Ma 28 οὐδὲ γὰρ a 29 τοῦ om. A τῷ] τὸ A 30. 31 τὸ πρᾶγμα om. F 31 πρᾶγμα τοῦτ' ἔστι τὸ om. G τοῦ ὑπ' αὐτοῦ σημαινομένου a 32 τὸ μὴ εἶναι M διὰ] περὶ A

Ταῦτα μὲν οὖν κοινῶς περὶ παντὸς εἴρηται ῥήματος· τὸ δέ γε οὐδ' ἂν τὸ ὂν εἴπῃς αὐτὸ ψιλὸν εἴη ἂν καὶ κατὰ τὴν ἐξήγησιν κατασκευαστικὸν ἀπὸ τοῦ μᾶλλον τοῦ μηδὲν τῶν ῥημάτων ἀληθείας εἶναι καὶ ψεύδους δεκτικόν. πῶς δ' ἂν γένοιτο τοῦτο ἐκείνου κατασκευαστικόν, εἰ μὴ διὰ μέσου πάλιν τοῦ ἔστιν, ὃ παρηγμένον ἀπὸ τοῦ ὄντος πάντων ἐστὶ κοινὸν τῶν ῥημάτων; ἑξῆς δὲ ἐπάγει τὸ αὐτὸ μὲν γὰρ οὐδέν ἐστι· λέγει δὲ οὐδὲν εἶναι τὸ ὂν οὔθ' ὡς ἄσημον οὔθ' ὡς ὁμωνύμως κατηγορούμενον κατὰ τῶν πραγμάτων, ἀλλ' οὐδέν ἐστί φησιν οὔτε ἀληθὲς οὔτε ψεῦδος. προσσημαίνει δὲ σύνθεσίν τινα, ἣν ἄνευ τῶν συγκειμένων οὐκ ἔστι νοῆσαι· τοῦτο δέ ἐστι· μέρος δὲ γίνεται συνθέσεως, οἷον τῆς λεγούσης 'τὸ ὂν ἔστι'. περὶ ἣν τὸ ἀληθὲς θεωρεῖται καὶ τὸ ψεῦδος. ἥντινα σύνθεσιν ἄνευ τῶν συγκειμένων, τοῦτ' ἔστι τῶν ἁπλῶν, οὐκ ἔστι νοῆσαι. τὸ μὲν οὖν λεγόμενον δῆλον. τὸ δὲ προσσημαίνειν τὸ ὂν τὴν σύνθεσιν, καὶ οὐ τοῦτο μόνον ἀλλὰ καὶ τῶν ἁπλῶν ἑκάστην ὡσαύτως φωνῶν, οὐκ ἔοικεν εἰρῆσθαι κατὰ τὸν τρόπον, καθ' ὃν ἐλέγετο τὸ ῥῆμα προσσημαίνειν χρόνον, ἀλλ' ἀντὶ τοῦ πρὸς ἑτέρῳ τινὶ σημαίνειν, τοῦτ' ἔστι συμπλεκόμενον ἑτέρῳ τινὶ σημαίνειν σύνθεσιν δεκτικὴν ἤδη ψεύδους τε καὶ ἀληθείας, ἧς συνθέσεως δεῖ τὰ ἁπλᾶ προεπινοεῖσθαι. εἰ δέ τις μὴ προσίοιτο ταύτην τοῦ προσσημμαίνειν τὴν ἐξήγησιν, πειθέσθω τῷ Ἀλεξάνδρῳ λέγοντι διὰ τοῦ αὐτὸ μὲν γὰρ οὐδέν ἐστι καὶ τῶν ἐφεξῆς περὶ τοῦ ἔστι διαλέγεσθαι πάλιν τὴν Ἀριστοτέλην μετὰ τὸ εἰπεῖν διὰ μέσου περὶ τοῦ ὄντος, ὡς οὐδὲ | τούτου ὅταν καθ' αὑτὸ λέγηται δυναμένου σημαίνειν 47r τι ἀληθὲς ἢ ψεῦδος, καὶ λέγειν ὅτι τοῦτο τὸ ἔστιν ἢ καὶ τὸ οὐκ ἔστιν (ὁ αὐτὸς γὰρ περὶ ἑκατέρου λόγος) αὐτὸ καθ' αὑτὸ λεγόμενον ἀληθὲς μέν τι σημαίνειν ἢ ψεῦδος οὐ πέφυκεν, ὄνομα δέ τι ὄν, ὥσπερ καὶ τὰ ἄλλα ῥήματα, δύναμιν ἔχει προηγουμένως μὲν σημαντικὴν τῆς τοῦ ὄντος μεθέξεως ἢ στερήσεως, κατὰ δεύτερον δὲ λόγον καὶ κατηγορουμένου τινὸς πρὸς ὑποκείμενον συμπλοκῆς, οἷς προστιθέμενον τέλειόν τε ποιεῖ τὸν λόγον καὶ σημαντικὸν ἢ ἀληθείας ἢ ψεύδους· καὶ γὰρ ἂν ἀμέσως κατηγορῆται τοῦ ὑποκειμένου, καὶ τότε δυνάμει τὸ μὲν ἔστι συμπλοκὴν αὐτοῦ πρὸς τὸ ὂν σημαίνει, οἷον 'Σωκράτης ὄν ἐστι', τὸ δὲ οὐκ ἔστι διαίρεσιν, ἢ καὶ ἀμφότερα σύνθεσιν· ὅπερ γὰρ εἴρηται ἐν τοῖς Περὶ ψυχῆς, 'καὶ ὁ μὴ εἶναί τι λευκὸν φάσκων τὸ μὴ εἶναι λευκὸν συνέθηκε τῷ ὑποκειμένῳ'.

1 περὶ π. κοινῶς G 2 εἴποις AG αὐτὸ καθ' ἑαυτὸ ab ἐξήγησιν ταύτην a 3 ἢ ψεύδ. εἶναι AM: εἶναι ἢ ψ. a 6. 8. 20 οὐδὲ A 9 post συγκειμένων add. τουτέστι τῶν ἁπλῶν M 10 τοῦτο — νοῆσαι (13) om. M 11 ἣν] ὧν G post ἣν add. σύνθεσιν Aa 13 νοῆσαι] θεωρῆσαι a τὸ ὂν in mrg. suppl. G 14 ὡσαύτως ἑκ. M ἑκάστη FGa 16. 17 τοῦτ' ἔστι — σημαίνειν om. G, in mrg. suppl. A 17 δεκτικὸν G¹ ἤδη] ἤγουν G τε om. a 18 ἧς] ἢ A¹ προσεπιν. A 21 πάλιν om. F ἀριστοτέλη A 22 οὐδὲν Ma τοῦτο M 23 τοῦτο om. Ma καὶ (alt.) om. G 24 μέν τι] μέντοι A²a 25 ἢ ψ. σημ. Ga οὐ] ἢ M 26 σημαντικὸν G¹ 28 οἷς ex ἧς corr. A 29 ἀναμέσως G κατηγορεῖται FG 31 προσσημαίνει AM 32 ἐν τοῖς Περὶ ψυχῆς] cf. Γ 6 p. 430b 2

Παραδοὺς δὲ ἡμῖν ὁ Ἀριστοτέλης τὴν θεωρίαν τῶν τοῦ λόγου μερῶν, ὀνόματός τε καὶ ῥήματος, ἑξῆς καὶ ἐπὶ τὸν ἐξ αὐτῶν συγκείμενον λόγον μεταβαίνει καί φησι·

p. 16b26 Λόγος δέ ἐστι φωνὴ σημαντική, ἧς τῶν μερῶν τι σημαν-
5 τικόν ἐστι κεχωρισμένον ὡς φάσις, ἀλλ' οὐχ ὡς κατάφασις. λέγω
δὲ οἷον ἄνθρωπος σημαίνει τι, ἀλλ' οὐχ ὅτι ἔστιν ἢ οὐκ ἔστιν·
ἀλλ' ἔσται κατάφασις ἢ ἀπόφασις, ἐάν τι προστεθῇ. ἀλλ' οὐχὶ 25
τοῦ ἀνθρώπου συλλαβὴ μία· οὐδὲ γὰρ ἐν τῷ μῦς τὸ υς σημαν-
τικόν. ἀλλὰ φωνή ἐστι νῦν μόνον. ἐν δὲ τοῖς διπλοῖς σημαίνει 47v
10 μέν, ἀλλ' οὐ καθ' ἑαυτό, ὥσπερ εἴρηται.

Δι' ἣν μὲν οὖν αἰτίαν οὐ κατὰ τὰς ἐξ ἀρχῆς ὑποσχέσεις μετὰ τὸν περὶ ὀνόματος καὶ ῥήματος λόγον περὶ ἀποφάσεως διαλέγεται καὶ καταφά- 5
σεως, ἔπειτα περὶ ἀποφάνσεως καὶ τελευταῖον περὶ λόγου, ἀλλ' ἀντιστρέφει κατὰ τὴν περὶ αὐτῶν διδασκαλίαν τὴν τάξιν, καθ' ἣν πεποίηται αὐτῶν ἐν
15 τῷ προοιμίῳ τοῦδε τοῦ βιβλίου τὴν ἀπαρίθμησιν ὡς παραδοθῆναι ὀφει- 10
λόντων, εἴρηται πρότερον. τῶν δὲ παραληφθέντων εἰς παράστασιν τῆς ἰδιότητος τοῦ λόγου τὴν ἐξήγησιν ποιούμενοι τὸ μὲν ὅτι φωνὴ καὶ σημαντικὴ παρίεμεν ὡς προφανῆ λίαν κἀν τοῖς ὁρισμοῖς τῶν τοῦ λόγου μερῶν ἤδη παρειλημμένα. τὸ δὲ κατὰ συνθήκην νυνὶ παραλελεῖφθαί φαμεν ὡς 15
20 γνώριμόν τε ὂν ἐκ τῶν περὶ τοῦ ὀνόματος ὡς κατὰ συνθήκην ὄντος εἰρη-
μένων (ἐπὶ δὲ τοῦ ῥήματος ὡς ὁμοίως ἔχοντος παραλελειμμένον) καὶ ὡς ὀλίγον ὕστερον εὐκαίρως προστεθησόμενον μετὰ τὸ ἀναιρεθῆναι τὸν δοκοῦντα τὸ ἀντικείμενον κατασκευάζειν λόγον, ὅτι οὐ θέσει ἐστὶν ἀλλὰ φύσει, τάχα 20
δὲ καὶ ὡς ὑπὸ τῆς ἑξῆς διαφορᾶς περιεχόμενον· τὸ γὰρ ἧς τῶν μερῶν
25 τι σημαντικόν ἐστι κεχωρισμένον μόνῃ πρόσεστι τῇ ἐνάρθρῳ φωνῇ κατὰ τὴν ἡμετέραν συνθήκην ὑφισταμένῃ. αὐτὸ δὲ τὸ ἔχειν τι σημαντικὸν 25
μέρος διακρίνει τὸν λόγον τῶν αὐτοτελῶν αὐτοῦ μερῶν, ὀνόματός τε καὶ ῥήματος, διότι ἐπ' ἐκείνων οὐδετέρου ἦν τι μέρος σημαντικόν, τοῦ δὲ λόγου μέρη τινά, τὰ ὀνόματά φημι καὶ τὰ ῥήματα, σημαντικά | ἐστιν. οὐχ 48r
30 ἁπλῶς δὲ εἴρηται τὰ μέρη τοῦ λόγου σημαντικὰ εἶναι καθ' ἑαυτὰ λαμβα-

---

1 ante παραδούς add. Περὶ λόγου G^2 δὲ om. G ὑμῖν A^1 2 ἐπὶ] πρὸς A^1: περὶ A^2M 4 ante λόγος add. περὶ λόγου in mrg. AF: περὶ τοῦ ἀποφάντικου λόγου a δὲ om. AG post σημαντ. add. κατὰ συνθήκην in mrg. F^2b (cf. v. 19) ἧς — εἴρηται (10) om. M 5 κατάφ. ἢ ἀπόφασις b (cf. p. 59,9. 61,4) λέγω — εἴρηται (10) om. Ga 6 μέν τι b (cf. p. 61,9) 10 οὐχὶ A ὡς προείρ. b 11 τὸν] τῶν F 14 αὐτῶ (alt. l.) A 16 εἴρηται πρότερον] p. 17,9 παραλειφθ. G 17 αἰδιότητος G^1 ποιούμεθα G: ποιούμενος Ma καὶ om. G: ante φωνὴ colloc. a 19 παρειλημμένον A: παρειλημμένων M νῦν A παραλελῆφθαι AM: παρειλῆφθαι G^1 φαμεν] μὲν A 20. 21 εἰρημένον A 21 παραλελειμμένου Ma 22 προστεθεισόμενον F: προστεθησομένου Ma τὸ] τοῦ A 23 τὸν ἀντικ. GMa 24 ἐφεξῆς M γὰρ] δὲ a 25 τι om. M 28 ἐπ' om. FGa 29 τὰ (ante ὀνόμ.) om. FG τὰ (ante ῥήμ.) om. G εἰσιν A^2

νόμενα, ἀλλὰ τῶν μερῶν τι, διὰ τὸ ἐν ταῖς ἀποφάσεσιν ἀρνητικὸν μόριον καὶ τὰ ἄρθρα καὶ τοὺς συνδέσμους, οἷον ὅταν εἴπω 'ὁ ἄνθρωπος ζῷόν ἐστιν' ἢ 'Σωκράτης μὲν κάθηται, Πλάτων δὲ περιπατεῖ'· ταῦτα γὰρ μέρη μὲν κοινότερον λέγεται τοῦ λόγου, ἔστι δὲ ἄσημα καθ' ἑαυτὰ θεωρούμενα. καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τὰ μέρη τῶν ὀνομάτων καὶ τῶν ῥημάτων, οὐδὲν ἧττον εἶναι δοκοῦντα μέρη καὶ τοῦ ἐξ αὐτῶν συγκειμένου λόγου, παντελῶς εἰσιν ἄσημα, καθάπερ εἴρηται πολλάκις. διὰ ταῦτα μὲν οὖν ἀποφαίνεται τῶν μερῶν τι τοῦ λόγου σημαντικὸν εἶναι.

Σημαντικὸν δέ φησιν εἶναι ὡς φάσις, ἀλλ' οὐχ ὡς κατάφασις. ἔστι δὲ φάσις, ὡς καὶ πρότερον ἐλέγομεν, ἡ ἁπλῆ φωνή, ὅταν ὡς μέρος ἀποφαντικοῦ λόγου λαμβάνηται· δηλοῖ δὲ τοῦτο σαφῶς ἐν τοῖς ἑξῆς ὁ Ἀριστοτέλης, λέγων "τὸ μὲν οὖν ὄνομα ἢ ῥῆμα φάσις ἔστω μόνον, ἐπειδὴ οὐκ ἔστιν εἰπεῖν οὕτω δηλοῦντά τι τῇ φωνῇ ὥστε ἀποφαίνεσθαι". διότι οὖν πᾶς μὲν λόγος ἔχει σημαντικά τινα μόρια, ταῦτα δ' ἐπὶ μὲν τινῶν λόγων ἁπλαῖ τυγχάνουσιν ὄντα φωναί, ἃς ἐλέγομεν ὡς ἐν προτάσεσι καλεῖσθαι φάσεις, ἐπὶ δὲ τινῶν καταφάσεις ὅλαι ἢ καὶ ἀποφάσεις, οἷον ἐν τῷ λέγοντι λόγῳ 'Σωκράτης κάθηται καὶ Πλάτων οὐ κάθηται' τὸ 'Σωκράτης κάθηται' καὶ τὸ 'Πλάτων οὐ κάθηται', ἀλλ' οἱ μὲν καταφάσεις ἢ ἀποφάσεις ἔχοντες τὰ μέρη λόγοι καὶ φάσεις ἔχουσιν, ἐξ ὧν ἐκεῖναι τὴν γένεσιν ἔσχον, οἱ δὲ φάσεις ἔχοντες οὐ πάντως ἔχουσι καὶ καταφάσεις ἢ ἀποφάσεις· διὰ τοῦτο | βουλόμενος ὁ φιλόσοφος παραστῆσαι τὸ ἀεὶ ὂν ἐν τοῖς λόγοις σημαντικὸν 48v μόριον ταῦτα προσέθηκεν, ἵνα μὴ θεασάμενος αὐτὸς τινὰς λόγους ἔχοντας μέρη καταφάσεις ἢ ἀποφάσεις ὑπολάβῃς οὕτω δεῖν τοῦ λόγου τὰ μέρη σημαντικὰ εἶναι ὡς σημαίνοντά τι κατά τινος ὑπάρχον ἢ μὴ ὑπάρχον, ἀλλ' εἰδείης ὅτι ὡς φαντικὸν μόνον καὶ δηλωτικὸν φύσεώς τινος ἢ ἐνεργείας δεῖ τὸ μέρος τοῦ λόγου θεωρεῖν. καὶ μήποτε τὸ τινὰ τῶν μερῶν τοῦ λόγου σημαντικὰ εἶναι οὐ καθ' ἑαυτὸ νοητέον κατὰ τὴν πρὸς τὰ ἄρθρα καὶ τοὺς συνδέσμους καὶ τὰ παραπλήσια τούτοις ἀντιδιαστολήν, ἀλλὰ τὸ ὅλον ἐφεξῆς ἀναγνωστέον, ὅτι τῶν μερῶν τι σημαντικόν ἐστιν ὡς φάσις, πρὸς διάκρισιν τῶν συντεθέντων μερῶν καὶ κατὰ ἀπόφανσιν ἤδη λεγομένων, ὡς ἂν πάντων μὲν τῶν ὄντων μερῶν τοῦ λόγου σημαντικῶν ὄντων, ἀλλὰ τῶν μὲν κατὰ τὸν τρόπον τῶν φάσεων καὶ ἐν παντὶ λόγῳ ἐξ ἀνάγκης θεωρουμένων, τῶν δὲ κατὰ τὸν τρόπον τῶν ἀποφάνσεων καὶ ἐν τοῖς ἁπλοῖς λόγοις θεωρεῖσθαι

---

1 τὰ . . . ἀρνητικὰ μόρια a 3 γὰρ μέρη suppl. in mrg. A 4 τοῦ om. G δὲ om. G 6 δοκ. εἶναι a δοκούντων F 7 εἴρηται] p. 32,25 sq. 8 σημαντικὰ M 9 εἶναι om. M κατάφ. ἢ ἀπόφασις b 10 ἔστι δὲ] ὅτι δὲ F: ὅτι δὲ ἔστι a ὡς (prius) suppl. G² πρότ. ἐλέγομεν] p. 10,14 11 δὲ om. F ἐν τοῖς ἑξῆς] p. 17a17 sq. 12 οὖν om. AFG τὸ ῥῆμα a 14 post μὲν add. οὖν A 15 προτάσει A 16 ὅλως M καὶ om. F 17 post σωκρ. (prius) add. οὐ G¹ τὸ σωκρ.—οὐ κάθηται om. AGM 18 τὸ om. a 19 λόγου A ἐκεῖνοι G 20 καὶ om. FGa 22 προστέθεικεν AM 23 τὰ μέρη τοῦ λόγου Aa 24 ἢ μὴ ὑπάρχον om. F 25 ἀποφαντ. G¹ 27 post εἶναι add. ὡς σημαίνοντά τι κατά τινος ὑπάρχον FMa ἑαυτὸν G 29 φάσεις Ma 30 ἀπόφασιν libri 31 τῶν τοῦ λ. μερῶν (ὄντων om.) a 31. 32 κατὰ τρόπον M 33 ἀποφάσεων G post ἐν add. παντὶ λόγῳ ἐξ ἀνάγκης del. G

μὴ δυναμένων, ἵνα καὶ ταῦτα συνᾴδῃ τῇ ἄλλῃ πάσῃ παραδόσει τοῦ τε Ἀριστοτέλους καὶ τοῦ Πλάτωνος περὶ τῶν τοῦ λόγου μερῶν, ὡς εἰς ὀνόματα μόνον καὶ ῥήματα διαιρουμένων.

Οὐ χρὴ δὲ θαυμάζειν, εἰ τὰ μέρη τῶν ὀνομάτων καὶ τῶν ῥημάτων μὴ ἀξιοῦμεν τοῦ συγκειμένου ἐξ αὐτῶν λόγου μέρη κυρίως ὀνομάζειν· ἐπὶ πάντων γὰρ τῶν διηρθρωμένων καὶ τελείων ἕκαστον τῶν μερῶν ἐκ τῆς προσεχοῦς ὁλότητος εἰώθαμεν σημαίνειν, ὥσπερ τὸ βραχὺ ξύλον τὸ ἐκ τοῦ πηδαλίου τῆς νεὼς ἢ τῆς τρό|πιδος ἀφαιρεθὲν αὐτῶν μὲν τούτων 49r μέρη προσαγορεύομεν, οὐ μὴν ἐπὶ τὴν ναῦν ἀναφέροντες λέγομεν. καὶ ἐπὶ τῶν ἄλλων τῶν τε κατὰ τέχνην καὶ τῶν κατὰ φύσιν ὡσαύτως. ἀμέλει συλλαβὰς μὲν ὀνομάζομεν τὰς πρώτας μόνας τῶν στοιχείων συμπλοκάς, τὸ δὲ ὄνομα τρισύλλαβον ἢ τετρασύλλαβον λέγομεν, ὡς ἕκαστον τῶν ἁπλῶν ἐπὶ τὸ προσεχῶς ἐξ αὐτῶν συγκείμενον ἀναφέροντες. ἄλλως τε τὰ μέρη τῶν ὀνομάτων καὶ ῥημάτων κατὰ μόνην τὴν ἐκφώνησιν, ἀλλ' οὐ κατὰ τὴν σημαντικὴν δύναμιν λέγοιντο ἂν εἶναι αὐτῶν μέρη· διὸ καὶ πρότερον ἐλέγετο μηδὲν μέρος αὐτῶν εἶναι σημαντικὸν κεχωρισμένον· ὥστε καὶ τῶν λόγων κατὰ τὰ αὐτὰ λέγοιντο ἂν εἶναι καὶ μὴ εἶναι μέρη. αὐτὰ μέντοι τὰ ὀνόματα καὶ τὰ ῥήματα διὰ τῆς οἰκείας συνθέσεως οὐ μόνον τὴν ἐκφώνησιν ἀλλὰ καὶ τὴν σημασίαν ἀποτελοῦντα τῶν λόγων καὶ πρῶτα τὴν σημαντικὴν ἔχοντα δύναμιν εἰκότως καὶ μέρη τοῦ λόγου πρῶτα εἶναί φαμεν. διὸ καὶ ὁ ἐν τῷ Κρατύλῳ Σωκράτης σμικρότατον τοῦ λόγου μόριον εἶναι τὸ ὄνομά φησι, τὸ κοινῶς δηλαδὴ τοῦ τε ἰδίως καλουμένου ὀνόματος καὶ τοῦ ῥήματος κατηγορούμενον.

Εἰ δέ τις ἀποροίη πῶς ἀξιοῦμεν πάντα λόγον ἔχειν σημαντικὸν τὸ μόριον, καίτοι πρὸς τὸν κλητικὸν καλούμενον καὶ μίαν πτῶσιν ἑνὸς ὀνόματος ἀρκοῦσαν ὁρῶντες, ὡς τὸ "Ἕκτορ" (ἄλλου γὰρ λόγου, τοῦ ἀποφαντικοῦ, τὸ "ἀτάρ σύ μοί ἐσσι") καὶ τὸ "Μέντορ" (τὸ γὰρ "ἄμυνον, ἀρήν" προστάξεως λοιπόν, ἀλλ' οὐ κλήσεως), λύσομεν τὴν ἀπορίαν κλῆσιν μὲν ἢ ἀνάκλησιν καὶ δι' ἑνὸς ὀνόματος | κατὰ ταύτην τὴν πτῶσιν προφερομένου 49v γίνεσθαι λέγοντες, λόγον δὲ μὴ εἶναι κλητικόν, εἰ μὴ τὸν ἐκ πλειόνων οὕτω λεγομένων ὀνομάτων ἢ πτώσεων συμπεφορημένον, οἷον "ὦ μάκαρ

---

1. 2 τοῦ ἀριστ. παραδ. (τε om.), sed num. corr. G 2 περὶ τοῦ πλάτ. G τῶν om. M 3 καὶ ῥήμ. μόνον colloc. a διαιρουμένην FG 4 εἰ iter. A 9 an ⟨μέρη αὐτῆς⟩ λέγομεν? 10 τε om. G 11 συμπλοκάς] συλλαβάς A¹ 13 ἐπί τι τῶν προσεχῶς AM αὐτοῦ FGMa τε] τὸ G 14 τῶν ῥημ. A 15 δύναμιν om. M λέγοιτο Ma διὸ — μέρη (17) suppl. G² 15. 16 πρότερον ἐλέγετο] p. 32,25. 47,25 17 μὴ εἶναι om. FG 18 μόνην AF 21 ὁ ἐν τῷ Κρατύλῳ Σωκρ.] cf. Cratyl. p. 385 C 24. 25 τὸ μόριον — κλητικὸν om. FG 24 τὸ om. Ma 25 ὀνόμ. ἑνὸς (num. corr.) G 26 ὡς om. A τὸ G: ἐν τῷ AFMa Ἕκτωρ FGMa (cf. Hom. Z 429) λόγου om. M τοῦ om. G 27 αὐτὰρ A ἐσσι πατὴρ a τὸ] τῷ Ga Μέντωρ Ma (cf. Hom. χ 208) ἄμεινον G¹ ἄρα ἦν Ga 28 λοιπόν ante ἄμυνον transponas λύομεν A: λύσωμεν a κλῆσιν μὲν ἢ om. FG 29 ἀνάκλησιν μὲν FG 30 γίγν. A 31 λεγόμενον libri ὦ μάκαρ] Hom. Γ 182

'Ατρείδη'' καὶ ''ὦ Νέστορ Νηλεϊάδη'' καὶ τὰ παραπλήσια τούτοις, εἴπερ μὴ ταὐτὸ ὄνομα καὶ λόγος.

Εἰπὼν δὲ τὸ μέρος τοῦ λόγου σημαντικὸν εἶναι ὡς φάσιν, ἀλλ' οὐχ ὡς κατάφασιν, οὐκ ἐπήγαγεν ὅτι 'οὐδὲ ὡς ἀπόφασιν', ὡς ὂν προφανὲς ὅτι ὁ μὴ ἀξιῶν τὰ μέρη τοῦ λόγου θεωρεῖν ὡς καταφάσεις, ἀλλ' ὡς ἁπλᾶς φωνάς, πολλῷ δήπου μᾶλλον ὡς ἀποφάσεις αὐτὰ παραλαβεῖν οὐκ ἄν ποτε ἀξιώσειεν, ἐπεὶ καὶ ἀνάγκη ἐν τῇ ἀποφάσει περιέχεσθαι καὶ τὴν κατάφασιν. ταῦτα δὲ καὶ αὐτὸς ἐξηγούμενος παράδειγμα λαμβάνει τῆς φάσεως τὸν ἄνθρωπον, διότι σημαίνει τί φησιν, ἀλλ' οὐχ ὅτι ἔστιν ἢ οὐκ ἔστι, τοῦτ' ἔστιν ἀλλ' οὐ κατάφασιν ἢ ἀπόφασιν. ὅπερ σαφέστερον ποιῶν ἐπήγαγεν ἀλλ' ἔσται κατάφασις ἢ ἀπόφασις, ἐάν τι προστεθῇ, ῥῆμα δηλονότι ἢ καταφασκόμενον ἢ ἀποφασκόμενον. ὥστε κἀκ τούτων δῆλον ὡς τὸ μέρος τῆς ἀποφάνσεως σημαντικὸν ὂν δι' αὐτὸ τὸ σημαίνειν καλεῖ διὰ τούτων ὁ Ἀριστοτέλης φάσιν. ὅτι δὲ κατὰ τὸ σημαντικὰ ἔχειν μέρη διαφέρουσιν οἱ λόγοι τῶν ἁπλῶν φωνῶν, ὑπομιμνήσκων φησὶν ἀλλ' οὐχὶ τοῦ ἀνθρώπου συλλαβὴ μία, κοινῶς προσυπακουομένου τοῦ σημαίνει τι· εἴρηται γὰρ λέγω δὲ οἷον ἄνθρωπος σημαίνει τι, πρὸς τοῦτο οὖν συντακτέον τὸ ἀλλ' οὐχὶ τοῦ ἀνθρώπου συλλαβὴ μία. τοῦτο δὲ πάλιν κατασκευάζων τὸ τῶν ἁπλῶν φωνῶν τὰ μέρη μηδενὸς εἶναι καθ' ἑαυτὰ σημαντικὰ καὶ τὴν κατα|σκευὴν ἀπὸ τοῦ μᾶλλον κἀν- 50r
ταῦθα ποιούμενος, οὐδὲ γὰρ ἐν τῷ μῦς, φησί, τὸ $\overline{\text{υς}}$ σημαντικόν, ἀλλὰ φωνή ἐστι νῦν μόνον, τοῦτο δέ ἐστιν ὅτι τὸ $\overline{\text{υς}}$ καθ' ἑαυτὸ μὲν λεγόμενον σημαίνει τὸν χοῖρον, ὅταν δὲ ὡς μέρος αὐτὸ τοῦ μῦς ὀνόματος λάβῃς, παντάπασίν ἐστιν ἄσημον, καὶ νῦν, ὅπερ ἐστὶν ἐν τῷ θεωρεῖσθαι ὡς μέρος, φωνή ἐστι μόνον οὐδὲν διαφέρουσα μιᾶς τῶν ἀσήμων. ἀλλ' ἐπὶ μὲν τῶν ἁπλῶν ὀνομάτων, ὥσπερ εἴρηται καὶ πρότερον, οὐδαμῶς ἂν εἴη τὰ μέρη σημαντικά, οἷον ἐπὶ τοῦ ἄνθρωπος ἢ μῦς· καὶ γὰρ ἐπὶ τούτου τὸ $\overline{\text{υς}}$ μέρος οὐχ ὡς συντεθὲν ἑτέρῳ τινὶ ἀπετέλεσε τὸ μῦς ὄνομα, ἀλλὰ κατὰ τύχην συνηνέχθη τῷ σημαίνοντι τὸν χοῖρον ὀνόματι, διόπερ ὡς μέρος ἁπλοῦ ὀνόματος τοῦ μῦς λαμβανόμενον οὐδὲν οὐδὲ κατὰ φαντασίαν σημαίνει· οὐδεὶς γὰρ τὸ μῦς ἀκούσας ὄνομα εἰς ἔννοιαν ἔρχεται τοῦ ὑός, καθάπερ ὁ τὸ Κάλλιππος ἀκούσας ἢ τὸ τραγέλαφος οὐκ ἀνεννόητος μένει τοῦ ἵππου ἢ τοῦ ἐλάφου. ἐν μὲν οὖν τοῖς ἁπλοῖς οὕτως· ἐν δὲ τοῖς διπλοῖς, φησί, βούλεται μὲν ἀλλ' οὐδενὸς κεχωρισμένον, τοῦτ' ἔστι δοκεῖ μὲν

---

1 καὶ ὦ — Νηληϊάδη om. FG (cf. Hom. γ 79) νέστωρ Ma 4 οὐκ suppl. G² ὡς (alt.) om. FGa 5 ὁ om. AFGa τὰ μέρη suppl. G² 9 μέν τι b 10 οὐ om. G κατάφασις G¹ 12 κατὰ τοῦτο F: ἐκ τούτων G 13 καὶ δι' αὐτὸ (τὸ om.) G 14 καλῶν a 16. 18 οὐχὶ] οὐχ ἡ AFG 16 κοινῶς — μία (18) om. G¹M (suppl. G²) 17 εἴρηται — τι om. F δὲ om. G 19 τὸ] τῷ G 22 μὲν om. FG 23 λέγεται AM σημαίνει om. M 24 ὥσπερ F 26 εἴρηται καὶ πρότερον] p. 32,25 sq. 28 $\overline{\text{υς}}$ om. FG 29 ante ὡς add. ὥσπερ G 30 τοῦ] τὸ Ga λαμβάνομεν M 31. 32 εἰς ἔννοιαν — ἀκούσας in mrg. suppl. A 31 τῆς ὑός GM 32 κάλιππος F ἀνεννόητος A: ἀνεννοήτως M 33 φησί post βούλ. colloc. a 34 βούλεται — κεχωρισμένον] per errorem redit ad Arist. p. 16 a 25

εἶναι τὰ μέρη σημαντικά, διότι καὶ σύνθεσίς τις ἐν αὐτοῖς ἐναργῶς κατὰ τὴν λέξιν φαίνεται πλειόνων ὀνομάτων, εἰ καὶ ἕν ἐστι τὸ ἐξ αὐτῶν σημαινόμενον νόημα καὶ πρᾶγμα, κατ' ἀλήθειαν δὲ οὐδενός ἐστιν οὐδὲ ταῦτα σημαντικὰ καθ' ἑαυτὰ λεγόμενα. ὡς οὖν συνελόντι φάναι, τὸ ἐπιχείρημα τοιοῦτον ἂν εἴη· εἰ αἱ καθ' ἑαυτὰς σημαντικαὶ οὖσαι φωναί, καθάπερ τὸ ὗς, ὅταν ὀνομάτων τινῶν γένωνται μέρη, παντελῶς εἰσιν ἄσημοι τῶν οἰκείων ὁλοτήτων ἀφαιρούμεναι, τί χρὴ διανοεῖσθαι περὶ τῆς μιᾶς | τοῦ 50v ἀνθρώπου συλλαβῆς ἢ τῶν ἄλλων μερῶν τῶν ὀνομάτων, ὅσα καὶ δίχα τῆς ἐν τοῖς ὀνόμασι παραλήψεως οὐδενὸς φαίνεται σημαντικὰ ὄντα; ταῦτα μὲν οὖν δῆλα. δεῖ δὲ ἀπὸ τῶν ἐν τούτοις εἰρημένων τῷ Ἀριστοτέλει συλλογίζεσθαι ὅτι λόγον οὐ μόνον ἀξιοῖ καλεῖν τὸν αὐτοτελῆ διάνοιαν ἀπαρτίζοντα καὶ τέλειον, ἀλλὰ καὶ τὸν ἐλλιπῆ· πάντα γὰρ ἐφαρμόττει κἀκείνῳ τὰ περὶ τοῦ λόγου ῥηθέντα.

p. 17a1 Ἔστι δὲ λόγος ἅπας μὲν σημαντικός, οὐχ ὡς ὄργανον δέ, ἀλλ' ὥσπερ εἴρηται, κατὰ συνθήκην. ἀποφαντικὸς δὲ οὐ πᾶς, ἀλλ' ἐν ᾧ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ὑπάρχει. οὐκ ἐν ἅπασι δὲ ὑπάρχει, οἷον ἡ εὐχὴ λόγος μέν, ἀλλ' οὔτε ἀληθὴς οὔτε ψευδής. οἱ μὲν οὖν ἄλλοι ἀφείσθωσαν· ῥητορικῆς γὰρ ἢ ποιητικῆς οἰκειοτέρα ἡ σκέψις· ὁ δὲ ἀποφαντικὸς τῆς νῦν θεωρίας.

Συλλογισμὸν ἐλέγχει τινὰ διὰ τούτων ὁ Ἀριστοτέλης δεικνύναι δοκοῦντα ὡς ὁ λόγος οὐ θέσει ἐστίν, ἀλλὰ φύσει. τίς οὖν ὁ συλλογισμός; ὁ λόγος, φησίν, ὄργανόν ἐστι τῆς φωνητικῆς ἐν ἡμῖν δυνάμεως φύσει οὔσης· δι' αὐτοῦ γοῦν σημαίνομεν ἀλλήλοις ὅσα βουλόμεθα ὡς ὄντος ὀργάνου. πᾶν ὄργανον φυσικῆς δυνάμεως καὶ αὐτὸ φύσει, καθάπερ ὀφθαλμοὶ μὲν τῆς ὀπτικῆς ἐν ἡμῖν δυνάμεως ὄργανα ὄντες φύσεώς εἰσι καὶ οὐ τέχνης ἔργον, ὦτα δὲ τῆς ἀκουστικῆς, καὶ ἄλλο τι μόριον ἄλλης. ὁ λόγος ἄρα φύσει ἐστίν, οὐδὲν ἐκ τῆς ἡμετέρας ἔχων ἐπινοίας. δύο τοίνυν οὐσῶν τῶν ἐν τῷ συλλογισμῷ παραληφθεισῶν προτάσεων ὁ Ἀριστοτέλης τῇ μὲν μείζονι συγχωρεῖ, τῇ λεγούσῃ πᾶν ὄργανον πάσης φυσικῆς δυνάμεως φύσει εἶναι, τῆς δὲ ἐλάττονος ἐπιλαμβάνεται, τῆς λεγούσης τὸν λόγον ὄργανον εἶναι τῆς φωνητικῆς ἐν ἡμῖν δυνάμεως. τί ἂν οὖν εἴη τὸ ὄργανον τῆς φωνητικῆς δυνάμεως ῥητέον, ἐπειδὴ φυσικὴ οὖσα δεῖται ὀργάνου, καθάπερ

---

1 ἐν αὐτοῖς om. M 4 τὸ ἐπιχείρημα om. G 5 φωναὶ οὖσαι AM καθάπερ om. F 6 τὸ ὗς] τοὺς F 8 ἢ] καὶ G 9 παραλείψεως Ga 12 καὶ (alt.) om. M ἐλλειπῆ A 13 ῥηθέντα] ῥήματα AM 15 ἀλλ' ὥσπερ — θεωρίας (20) om. M ὡς προείρ. b ἀποφ. — θεωρίας (20) om. a τὸ ψεύδειν ἢ ἀληθεύεσθαι G¹ 16 ἢ τὸ ψ. F οὐκ — θεωρίας om. (20) om. G 22 ὁ (primum) om. A 23 φύσει] φυσικῆς F 24 αὐτῆς G¹ 25 φύσει] φησί F 26 ἐν ἡμῖν ὀπτικῆς FGa 27 ἔργα G 31. 32 ὄργ. εἶναι τὸν λόγ. a 32 ἐν ἡμῖν suppl. G²: ante φωνητ. colloc. M τί — δυνάμεως (33) suppl. G² 33 ante δυν. add. ἐν ἡμῖν a ὀργάνων AFGa

ἑκάστη τῶν ἄλλων | φυσικῶν δυνάμεων, καὶ τί ὢν αὐτῆς ὁ λόγος, ἐπειδὴ 51r
λέγεται μὴ εἶναι ὄργανον, οὐκ ἔστι φύσει, ἀλλὰ θέσει. τὰ μὲν οὖν ὄργανα
τῆς φωνητικῆς δυνάμεώς εἰσιν ὅ τε πνεύμων καὶ ἡ τραχεῖα καλουμένη
ἀρτηρία. ταῦτα μὲν ὡς ἁπλῶς φωνῆς, ὡς δὲ διαλέκτου ἥ τε γλῶττα καὶ 5
5 ἡ ὑπερῴα καὶ τὰ ἄλλα οὕτωσὶ λεγόμενα φωνητικὰ ἢ διαλεκτικὰ ὄργανα.
ὁ δὲ λόγος εἴη ἂν αὐτῆς ἀποτέλεσμα διὰ τῆς τοιᾶσδε κινήσεως τῶν ὀργά-
νων τούτων γινόμενος. διόπερ οὐδὲ ἀνάγκη αὐτὸν εἶναι φύσει· τὰ γὰρ 10
ἀποτελέσματα τῶν φυσικῶν δυνάμεων οὐδὲν κωλύει θέσει εἶναι, καθάπερ
ἐπὶ τῆς ὀρχήσεως ἔχει· φυσικῆς γὰρ ἐν ἡμῖν δυνάμεως οὔσης τῆς κατὰ
10 τόπον κινήσεως, ἀποτέλεσμα ταύτης ἡ ὄρχησις οὖσα θέσει ἐστί· καὶ γὰρ 15
ἔστιν ἐν τῷ ὀρχηστῇ τοίως ἢ τοίως κινοῦντι τὰς χεῖρας σημαίνειν φέρε
τὸν Ἀχιλλέα τῷ ἄλλοτε ἄλλα διὰ τῶν σχημάτων ὑποδεικνύναι καὶ παρα-
δηλοῦν τῶν περὶ αὐτὸν συμβεβηκότων. καθάπερ οὖν τὸ μὲν κατὰ τόπον
κινεῖσθαι φύσει τὸ δὲ ὀρχεῖσθαι θέσει καὶ κατὰ συνθήκην, καὶ τὸ μὲν 20
15 ξύλον φύσει ἡ δὲ θύρα θέσει, οὕτω καὶ τὸ μὲν φωνεῖν φύσει τὸ δὲ ση-
μαίνειν δι' ὀνομάτων ἢ ῥημάτων ἢ τῶν ἐκ τούτων συγκειμένων λόγων,
ὡς ἐξ ὕλης τῆς ἀρυθμίστου φωνῆς τὸ εἶναι ἐχόντων, εἰδοποιουμένων δὲ
ὑπὸ τῆς ἡμετέρας διανοίας, κατὰ συνθήκην καὶ οὐ φύσει. καὶ ἔοικε τὴν 25
μὲν φωνητικὴν δύναμιν ὄργανον οὖσαν τῶν ψυχικῶν ἐν ἡμῖν δυνάμεων,
20 γνωστικῶν ἢ ὀρεκτικῶν, κατὰ φύσιν ἔχειν ὁ ἄνθρωπος παραπλησίως τοῖς
ἀλόγοις ζῴοις, | τὸ δὲ ὀνόμασιν ἢ ῥήμασιν ἢ τοῖς ἐκ τούτων συγκειμένοις 51v
λόγοις χρῆσθαι πρὸς τὴν σημασίαν, οὐκέτι φύσει οὖσιν ἀλλὰ θέσει, ἐξαί-
ρετον ἔχειν παρὰ τὰ ἄλογα ζῷα, διότι καὶ μόνος τῶν θνητῶν αὐτοκινήτου
μετέχει ψυχῆς καὶ τεχνικῶς ἐνεργεῖν δυναμένης, ἵνα καὶ ἐν αὐτῷ τῷ 5
25 φωνεῖν ἡ τεχνικὴ αὐτῆς διαφαίνηται δύναμις. δηλοῦσι δὲ ταῦτα οἱ εἰς
κάλλος συντιθέμενοι λόγοι μετὰ μέτρων ἢ ἄνευ μέτρων.

Ὅτι μὲν οὖν κατὰ συνθήκην ὁ λόγος καὶ τὰ τούτου μέρη, τό τε
ὄνομα καὶ τὸ ῥῆμα, διὰ πολλῶν ἀποδέδεικται· ἀλλ' ἐπεὶ καὶ ὄργανον αὐτὸν 10
εἶναί φαμεν τῆς τῶν νοημάτων ἢ τῶν πραγμάτων σημασίας, τί ποτέ ἐστι
30 τὸ χρώμενον αὐτῷ ὡς ὀργάνῳ ῥητέον. φανερὸν δὴ ὅτι ἡ διανοητικὴ
ψυχή· μόνης γὰρ ταύτης ἔργον τὸ χρῆσθαι λόγῳ. πῶς δὲ δύναται κατὰ 15

1 τί οὖν a ὢν] ὂν AM: ὢν F 3 φωνητ.] φυσικῆς FG ante δυνάμ. add. ἡμῶν a 4 post διαλέκτου add. τίνα ὄργανα τῆς φυσικῆς δυνάμεως ἐστι; a 5 τὰ ἄλλα τὰ A καὶ λεγόμ. FG ἢ] ἤτοι F 7 γιγνόμενος A: γινομένης FMa 10 τὸν τόπον Ma κινητικῆς FM ἡ om. F ἐστί om. AM 11 ἔστιν om. FG ὀρχιτῇ A τοιῶσδε ἢ τοιῶσδε Ga σημαίνει FGMa 12 τῷ ἄλλοτε — συμβεβηκότων om. M ἄλλα] ἄλλως A: ἄλλον a ἐπιδεικ. Aa 12. 13 παραδηλοῦν τι Ga 13 αὐτῷ a 15 θύρα δὲ colloc. FG δὲ (alt.) suppl. G² 15. 16 σημαίνειν post ῥημ. colloc. a 16 post ῥημάτων add. θέσει FGa τούτων] τῶν G 17 ὕλης M τῆς] γὰρ G 18 οὐ om. F 19 ψυχικῶν post ἡμῖν suppl. G² 20 καὶ κατὰ G 23 παρὰ] πρὸς Ma 24 συνεργ. A τῷ] τὸ a 25 διαφαίνεται A: διακρίνηται a 26 μέτρου (utrobique) A 28 πολλῶν] τούτων G ἐπιδέδεικται AMa 29 νοημάτων] ὀνομάτων FGa 30 ῥητέον] χρηστέον G ῥητέον — χρῆσθαι (31) om. M

συνθήκην ὧν ὄργανον εἶναι φυσικῆς τινος δυνάμεως, εἴ τῳ φαίνοιτο θαυμαστὸν διὰ τὸν λέγοντα κανόνα φύσει εἶναι πᾶν φυσικῆς δυνάμεως ὄργανον, ὑπερφυῆ ταύτην ἐροῦμεν εἶναι τὴν λογικήν τε καὶ τεχνικὴν ἐν ἡμῖν δύναμιν, ἅτε καὶ χωριστὴν παντὸς σώματος ἔχουσαν οὐσίαν. ταῦτα δὲ ὅτι καὶ αὐτῷ τῷ Ἀριστοτέλει δοκοῦντα λέγομεν, δηλοῖ τὰ πρὸς τῷ πέρατι τοῦ δευτέρου βιβλίου τῆς Φυσικῆς ἀκροάσεως παρ' αὐτοῦ λεγόμενα περὶ τοῦ τὰ ἄλογα ζῷα διανοίας ἐστερημένα μὴ κατὰ τέχνην ἀλλὰ κατὰ φύσιν ἐνεργεῖν, ὡς ἂν τῆς τέχνης ἔκ τινος ὑπὲρ τὴν φύσιν τεταγμένης ἐν ἡμῖν δυνάμεως προαγομένης, ἐν οἷς οὐ τέχνῃ ἀλλὰ φύσει τινί φησιν ἐργάζεσθαι τὴν μὲν χελιδόνα τὴν νεοττιὰν τὸν δὲ ἀράχνην τὸ ἀράχνιον. τί γὰρ | δεῖ λέγειν τὰς ἐν τῇ Περὶ ψυχῆς ἀποδείξεις τοῦ χωριστὸν εἶναι τὸν νοῦν 52r τοῦ σώματος; οὐδὲν οὖν θαυμαστὸν ταύτην διὰ τῶν φυσικῶν ἐνεργοῦσαν δυνάμεων χρῆσθαι μὲν καὶ τοῖς ἐκείνων ὀργάνοις φυσικοῖς ἀναγκαίως οὖσι καὶ ἄλλα δέ τινα ποιεῖν ἑαυτῇ τεχνητὰ ὄργανα πρὸς τὰς οἰκείας ἐνεργείας. καθάπερ οὖν πρὸς τὸ σώζειν τὸ σῶμα καὶ τοὺς πολεμίους ἀμύνεσθαι χρῆται μὲν τοῖς φυσικοῖς ὀργάνοις τῆς κατὰ τόπον κινητικῆς δυνάμεως φύσει οὔσης, χερσὶ καὶ ποσί, χρῆται δὲ καὶ τεχνητοῖς, ξίφει καὶ δόρατι, καὶ ἐπὶ γεωργίας καὶ οἰκοδομίας καὶ τῶν ἄλλων πρακτικῶν ἢ ποιητικῶν ἐνεργειῶν ὡσαύτως· τὸν αὐτὸν καὶ ἐπὶ τοῦ σημαίνειν τρόπον χρῆται μὲν ἡ ψυχὴ τοῖς φυσικοῖς ὀργάνοις τῆς φωνητικῆς καὶ τῆς λεκτικῆς δυνάμεως, πνεύμονι καὶ γλώττῃ καὶ ὑπερῴᾳ καὶ ὀδοῦσι καὶ χείλεσι. χρῆται δὲ καὶ τῷ λόγῳ ἢ τοῖς τούτου μέρεσι, τεχνικῶς μὲν αὐτὰ καὶ κατὰ συνθήκην ὑφιστῶσα ὡς ὄργανα τοῦ σημαίνειν ἐσόμενα περὶ φυσικὴν δὲ ὅλην τὴν φωνὴν ἐργαζομένη καὶ τὴν τούτων γένεσιν, καθάπερ τὴν μὲν τοῦ ξίφους περὶ τὸν σίδηρον τὴν δὲ τοῦ πηδαλίου περὶ τὸ ξύλον.

Ἄχρι τούτων ὁ Ἀριστοτέλης παραστήσας ἡμῖν τά τε στοιχεῖα τοῦ λόγου, τὸ ὄνομά φημι καὶ τὸ ῥῆμα, καὶ τὸν | ἐξ αὐτῶν συγκείμενον καὶ κοινῶς 52v λεγόμενον λόγον, ἐξ ὧν πᾶσα διάλεκτος ἔχει τὴν γένεσιν, ἑξῆς κατὰ τὰ ἐξ ἀρχῆς διωρισμένα μεταβαίνει ἐπὶ τὴν τοῦ ἀποφαντικοῦ λόγου θεωρίαν, ὃν ἐλέγομεν ἕν τι εἶδος εἶναι τοῦ ἁπλοῦ λόγου, καθάπερ τὸν κλητικὸν τὸν εὐκτικὸν τὸν ἐρωτηματικὸν τὸν προστακτικόν, ὧν ἕκαστον αὐτοτελές ἐστι καὶ καθ' ἑαυτὸ σημαντικὸν ἀπηρτισμένης διανοίας· καθάπερ γὰρ τὸ ἡ ψυχὴ ἀθάνατός

---

1 φυσικῆς] ψυχικῆς AM 3 εἶναι ἐροῦμεν G λογιστικήν a 3. 4 δύναμιν ἐν ἡμῖν G¹ 4 σώματος om. M 6 τοῦ βιβλίου τοῦ δευτ. G τῆς Φυσικῆς ἀκρ.] B 8 p. 199a20 sq. 8 ἂν om. M 9 προηγουμένης G 10 τὴν δὲ ἀράχνην M 11 δεῖ] δὴ F ἐν τῇ Περὶ ψυχῆς] Γ 4 p. 429a10 sq. ψυχὴν G 12 δι' ὧν A¹ 13 ἀναγκαίων A: ἀναγκαίοις G 14 τεχνιτὰ F πρὸς τὰς] τῆς M 15 σώζεσθαι G πολέμους F 17 ξίφεσι καὶ δόρασι AM 18 οἰκοδομικῆς F 20 φωνητικοῖς A¹ τῆς (ante λεκτ.) om. FG διαλεκτ. G¹ 22 τοῖς λόγοις G καὶ τεχνικῶς FGa 25 τὴν] τὸν G¹ 26 τούτου A¹ ὁ om. A 27 τό τε ὄνομα G καὶ (ante κοιν.) om. FG κοινῶς] καλῶς M 29 post μεταβαίνει add. λοιπὸν AMa 30 ἐλέγομεν] p. 2,9 sq. ἁπλῶς A 30. 31 τὸν εὐκτικὸν τὸν ἐρωτηματικὸν om. F 31 ἕκαστος AM 32 σημαντικὸς A²M

ἐστιν' ἐδήλωσέ τι. οὕτω καὶ τὸ 'ἄνδρες δικασταί' καὶ τὸ 'αἴθε φιλοσοφήσαιμι' καὶ τὸ 'πότε ἦλθες;' καὶ τὸ 'ἄπελθε πρὸς τόνδε'. καὶ τοὺς μὲν ἄλλους οὐδὲν προσήκειν φησὶ τῇ προκειμένῃ πραγματείᾳ φιλοσόφῳ τε οὔσῃ καὶ διαλεκτικῇ. ῥητορικῆς δὲ ἢ ποιητικῆς οἰκείαν εἶναι τὴν περὶ τούτων θεωρίαν, διότι οἱ τούτων ἑκατέραν ἐπιτηδεύοντες περί τε τοὺς λόγους αὐτοὺς καθ' αὑτοὺς ἔχουσι, ῥήτορες μὲν τοὺς ῥυθμοὺς αὐτῶν καὶ τὰς περιόδους καὶ τὰ σχήματα πολυπραγμονοῦντες, γραμματικοὶ δὲ τά τε μέτρα καὶ τῶν πρώτων λέξεων τοὺς σχηματισμοὺς ἢ συσχηματισμοὺς ἢ παρασχηματισμοὺς καὶ κλίσεις καὶ ὅσα τοιαῦτα, καὶ ἔτι μιμεῖσθαί τινας εἰώθασι καλοῦντας ἑτέρους ἢ προστάσσοντας ἢ ἐρωτῶντας ἢ εὐχομένους περί τινων, πολλάκις δὲ καὶ αὐτοπροσώπως κατά τινας τῶν ἐνεργειῶν τούτων ἐνεργοῦσι "πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις" λέγοντες ἢ "ἀπόκριναι γὰρ δεῦρό μοι ἀναστάς". οἱ οὖν περὶ τῶν τεχνῶν τούτων πραγματευόμενοι καὶ τοὺς λόγους εἰς θεωρίαν ὑποκείμενον ἔχοντες σκοποῦντων εἴτε μόνα | ταῦτα παρὰ τὸ ἀποφαντικὸν τοῦ λόγου τὰ εἴδη 53r εἴτε καὶ ἄλλο τι, καὶ εἴτε εἰς πεπερασμένα εἴτε εἰς ἄπειρα τούτων ἕκαστον διαιρεῖται. μᾶλλον δὲ διὰ ποίων πεπερασμένων ἀριθμῶν καθ' ἕκαστον αὐτῶν ἡ ἀπὸ τοῦ ἑνὸς ἐπὶ τὸ ἄπειρον γίνεται πρόοδος· τοῦτο γὰρ προσήκει τῷ καθ' ἕκαστα τεχνίτῃ περὶ τῶν ὑποβεβλημένων αὐτῷ πραγμάτων θεωρεῖν, ὡς διώρισεν ὁ ἐν τῷ Φιλήβῳ Σωκράτης. δοκεῖ δὲ τοῦτο ἔργον εἶναι ῥητορικῆς μὲν ἢ ποιητικῆς οὐκ αὐτόθεν, τῆς δὲ κοινῶς λεγομένης τῶν λόγων τέχνης, περὶ ἧς ὁ θειότατος Πλάτων μετὰ τὴν ἐν τῷ Φαίδρῳ παλινῳδίαν ἡμᾶς ἐδίδαξεν, ἧς ἐστιν ἔργον καὶ ποιητικῆς καὶ ῥητορικῆς τὰς ἀρχὰς ἐπισκέψασθαι. τῇ δὲ προκειμένῃ πραγματείᾳ προσήκειν φησὶ μόνην τὴν τοῦ ἀποφαντικοῦ λόγου θεωρίαν, διότι προῃρήμεθα μὲν παραδοῦναι τὰς ἀρχὰς τῆς ἀποδεικτικῆς ἐπιστήμης, τὸν δὲ περὶ τούτων πραγματευόμενον οὐδὲν ἄλλο εἶδος τοῦ λόγου πολυπραγμονεῖν χρὴ παρὰ τὸ ἀποφαντικόν, ὃ μόνον προσήκει τῷ φιλοσόφῳ θεωρεῖν ὡς τὴν ἀπόδειξιν περιειληφὸς καὶ πρὸς τὴν κατάληψιν αὐτῆς ἀναγκαῖον, δι' ἧς μόνης γινώσκειν δυνατὸν ἀκριβῶς τῶν ὄντων τὴν φύσιν.

Διττῆς γὰρ οὔσης τῆς τοῦ λόγου σχέσεως, καθὰ διώρισεν ὁ φιλόσοφος Θεόφραστος, τῆς τε πρὸς τοὺς ἀκροωμένους, οἷς καὶ σημαίνει τι, καὶ τῆς πρὸς τὰ πράγματα, ὑπὲρ ὧν ὁ λέγων πεῖσαι προτίθεται τοὺς ἀκροωμένους, περὶ

---

1 καὶ τὸ (ante αἴθε) om. F 1. 2 φιλοσοφίσαιμι F 2 τόνδε] τὸν δεῖνα a 3 προσήκει G φασὶ M 6 καθ' αὑτὰς G¹ 8 ἢ συσχηματισμοὺς suppl. G² 9 τινα F 10 τινος A¹: τινας M 11 τινα M 12 πρῶτον κτλ.] Demosth. De cor. p. 225 13 ἀπόκριναι κτλ.] Demosth. De f. leg. p. 378 post μοι add. ἐνταῦθα AMa 14 ὑποκειμένην A 15 παρὰ] περὶ M 16 εἰς (alt.) suppl. G² 18 ἡ ἀπὸ — γὰρ iter. M 19 ὑποβεβλημένον F 20 ἐν τῷ Φιλήβῳ] p. 16 D sq. 22. 23 ἐν τῷ Φαίδρῳ] p. 243 B 27. 28 παρὰ τὸν ἀποφαντ. καλούμενον AM: παρὰ τὸν ἀποφαντ. λόγον a 28 ὃ] ὦ A μόνον A²: μόνων A¹: μόνω FGMa 28. 29 ὡς τὴν ἀπόδ. περιειληφὸς] πρὸς τὴν ἀπόδ. περιειληφὸς Fa: πρὸς τὴν ἀπόδ. ὡς (περιειληφὸς om.) G 31 τῆς om. FMa σχίσεως A² καθὰ] ὡς F 31. 32 ὁ φιλόσοφος Θεόφραστος] fr. 65 (p. 431 ed. Wimmer) 32 καὶ (ante σημαίνει) om. G 33 πεῖσαι] ποιῆσαι G¹ προστίθεται GMa τὰ ἀκροώμενα G¹

μὲν τὴν σχέσιν αὐτοῦ τὴν πρὸς τοὺς ἀκροατὰς καταγίνονται ποιητικὴ καὶ ῥητορική. διόπερ ἔργον αὐταῖς ἐκλέγεσθαί τε τὰ σεμνότερα τῶν ὀνομάτων, ἀλλὰ μὴ τὰ κοινὰ καὶ δεδημευμένα, | καὶ ταῦτα ἐναρμονίως συμπλέκειν 53v ἀλλήλοις, ὥστε διὰ τούτων καὶ τῶν τούτοις ἑπομένων, οἷον σαφηνείας γλυκύτητος καὶ τῶν ἄλλων ἰδεῶν ἔτι τε μακρολογίας καὶ βραχυλογίας, κατὰ καιρὸν πάντων παραλαμβανομένων. ἧσαί τε τὸν ἀκροατὴν καὶ ἐκπλῆξαι καὶ πρὸς τὴν πειθὼ χειρωθέντα ἔχειν. τῆς δέ γε πρὸς τὰ πράγματα τοῦ λόγου σχέσεως ὁ φιλόσοφος προηγουμένως ἐπιμελήσεται τό τε ψεῦδος διελέγχων καὶ τὸ ἀληθὲς ἀποδεικνύς, ὧν ἑκάτερον ἀπόφανσίν τινα ἀμφισβητουμένην δι' ἐναργῶν ἀποφάνσεων προτίθεται συμπεραίνεσθαι. αὐτὸς δὲ οὗτος ὁ ἀποφαντικὸς λόγος κοινωνῶν τοῖς ἄλλοις ἅπασιν εἴδεσι τοῦ λόγου κατὰ τὸ σημαντικὸς εἶναι τίνα ποτὲ ἔχει φύσιν καὶ πῇ τῶν ἄλλων τοῦ λόγου εἰδῶν διαφέρει, πρὸ τούτων παραδίδωσιν ὁ Ἀριστοτέλης ἀποφαντικὸς δὲ οὐ πᾶς λέγων, ἀλλ' ἐν ᾧ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ὑπάρχει. καὶ δεῖ ἐφιστάνειν ὅτι τὸν ὁρισμὸν τοῦ ἀποφαντικοῦ λόγου διὰ τούτων ἀποδίδωσιν οὐδὲν προσδεηθεὶς καταφάσεως καὶ ἀποφάσεως πρὸς τὴν τούτου διδασκαλίαν, ὅπερ ἐν τοῖς ἑξῆς δόξας τισὶ ποιεῖν δέδωκεν αὐτοῖς ὑπονοεῖν ὅτι τὸν τῶν ὁμωνύμων φωνῶν εἰς τὰ σημαινόμενα τρόπον διαιρεῖται ἡ ἀπόφανσις εἴς τε τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν, ἀλλ' οὐχὶ τὸν τῶν γενῶν εἰς τὰ εἴδη. καίτοι τίς ἂν εἴη ὁρισμὸς φωνῆς ὁμωνύμου μηδεμίαν κοινὴν φύσιν σημαινούσης; εἰ δὲ καὶ πρὸς τὸν ὁρισμὸν τῆς καταφάσεως καὶ τῆς ἀποφάσεως ἡ ἀπόφανσις παραλαμβάνεται, δι' ὧν ῥηθήσεται "κατάφασις μέν ἐστιν ἀπόφανσίς τινος κατά τινος, ἀπό|φασις δὲ ἀπόφανσίς τινος ἀπό τινος", πῶς 54r οὐ σαφέστατα γένος ἀμφοῖν ἡ ἀπόφανσις ἀναφαίνεται οὖσα, τῶν ὁμωνύμων φωνῶν οὐδέποτε πρὸς τὴν τῶν ὁρισμῶν συμπλήρωσιν παραλαμβανομένων; διόπερ συνάπτει τοῖς διορισμοῖς περὶ τοῦ ἀποφαντικοῦ εἴδους τοῦ λόγου, περὶ οὗ λοιπὸν προηγουμένως ποιήσεται τὴν διδασκαλίαν, τὴν τῶν εἰδῶν αὐτοῦ θεωρίαν, καταφάσεώς τε καὶ ἀποφάσεως, λέγων·

p. 17a8 Ἔστι δὲ εἷς πρῶτος λόγος ἀποφαντικὸς κατάφασις, εἶτα ἀπόφασις· οἱ δὲ ἄλλοι πάντες συνδέσμῳ εἷς.

Δι' ὧν διττὴν εἶναι τῶν λόγων φησὶ τὴν ἕνωσιν, τὴν μὲν αὐτῶν καθ' αὑτοὺς οἷον αὐτοφυῶς αὐτοῖς ἐνυπάρχουσαν, καθάπερ ἐπὶ τοῦ Σωκράτης

1 μὲν οὖν a 2 διότι Ga τε om. a 5 τε] τὸ G¹ 6 πάντων om. G ἧσαι] οἶσαι a 7 πράγματα] γράμματα M 9 ἀπόφασιν FGMa 10 ἀποφάσεων M προστίθεται Ma 12 σημαντικὸν GMa ἔχειν A 16 καὶ ἀποφάσεως om. FG τούτων a 17. 19 τὸν om. F 18 ἀπόφασις M 19 καὶ εἰς τὴν G ἀπόφανσιν M 20 μηδὲ μηδεμίαν G 21 τὸν τῆς ἀποφ. a τῆς (ante ἀποφ.) om. M 22 ῥηθήσεται] p. 17a25 μέν] δέ Arist. ἐστιν ed. Ven.: εἶναι AFGMa 24 οὖσα post ὁμων. colloc. a 26 διωρισμένοις F 27 προηγουμένην AFMa 28 λέγων om. F 29. 30 κατάφασις—εἷς om. M 31 διὰ τούτων A φησι τῶν λόγων a

περιπατεῖ', τὴν δὲ θέσει τινὶ ἔξωθεν αὐτοῖς ἐπιγινομένην ὑπὸ τοῦ δι' αὐτὸ τοῦτο καλουμένου συνδέσμου, καθάπερ ἐπὶ τοῦ 'Σωκράτης κάθηται καὶ Πλάτων περιπατεῖ'· δύο γὰρ ὄντας ἐναργῶς ἐνταῦθα τοὺς λόγους, τὸν 'Σωκράτης κάθηται' καὶ τὸν 'Πλάτων περιπατεῖ', ὁ καί σύνδεσμος ἐμβληθεὶς μέσος ὥσπερ συνδεῖν δι' ἑαυτοῦ μέσου καὶ ἑνοῦν ἔδοξε. τὸν αὐτὸν δὲ ἔχουσι τρόπον καὶ οἱ ὑποθετικοὶ πάντες λεγόμενοι λόγοι· καὶ γὰρ ἐκεῖνοι ἐκ πλειόνων μέν εἰσιν ἁπλῶν λόγων ἡνωμένων δὲ ὑπὸ τοῦ συναπτικοῦ προσαγορευομένου συνδέσμου, οἷον 'εἰ ἡμέρα ἐστίν, ἥλιος ὑπὲρ γῆν ἐστι'· δύο γὰρ πάλιν ὄντας λόγους τὸν 'ἡμέρα ἐστί' καὶ τὸν 'ἥλιος ὑπὲρ γῆν ἐστιν' ὁ εἰ σύνδεσμος συνάψας τὴν τῆς ἑνώσεως ἀπετέλεσε φαντασίαν. καὶ ἔστι τὸ ἓν τῶν τοιούτων λόγων εἶδος οὐχὶ ὑπάρξεως μιᾶς δηλωτικόν (ἐναργῶς γὰρ πολλὰ τὰ ὑπ' αὐτῶν σημαινόμενα), ἀλλ' ἀκολουθίας μιᾶς 54v τῶν ὑπ' αὐτῶν σημαινομένων ὑπάρξεων ἢ διαστάσεως μιᾶς. ὥσπερ ἐπὶ τῶν κατὰ διάζευξιν λεγομένων λόγων, οἷον 'ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ ἐστι'. διὸ καὶ τῶν λόγων ὁ μὲν ὕπαρξιν μίαν σημαίνων ὁ κυρίως εἷς ἀνάλογος ἂν εἴη τῷ μηδέπω τετμημένῳ ξύλῳ καὶ διὰ τοῦτο ἑνὶ λεγομένῳ. ὁ δὲ πλείονας ὑπάρξεις δηλῶν διά τινα δὲ σύνδεσμον ἡνῶσθαί πως δοκῶν ἀναλογεῖ τῇ νηῒ τῇ ἐκ πολλῶν μὲν συγκειμένῃ ξύλων ὑπὸ δὲ τῶν γόμφων φαινομένην ἐχούσῃ τὴν ἕνωσιν.

Τοῦ δὲ κυρίως ἑνὸς ὄντος λόγου καὶ διὰ τοῦτο φύσει προτέρου ὄντος τοῦ συνδέσμῳ τὸ ἓν ἔχοντος ὁ μέν τίς ἐστι κατάφασις ὁ δὲ ἀπόφασις. ἔστι δέ τις καὶ τῆς καταφάσεως πρὸς τὴν ἀπόφασιν διαφορὰ οὐ κατὰ τὸ ἕν (ὁμοίως γὰρ εἷς τῶν λόγων τούτων ἑκάτερος οὐδεμιᾶς ἔξωθεν βοηθείας δεηθεὶς πρὸς τὴν ἕνωσιν), ἀλλὰ κατὰ τὸ πρῶτον· οὐ γὰρ ὁμοίως πρῶτος λόγος τούτων ἑκάτερος, ἀλλὰ προτέρα τῆς ἀποφάσεως ἡ κατάφασις κατὰ τὴν ἁπλότητα τῆς λέξεως, διότι τὸ ἀρνητικὸν προσλαβοῦσα μόριον ἀπόφασις γίνεται, προϋφεστάναι δὲ ἀνάγκη τὸν τὴν προσθήκην δεχόμενον τοῦ ἐκ τῆς προσθέσεως ἀποτελουμένου. διὰ τοῦτο μὲν οὖν καὶ ὁ Ἀριστοτέλης οὕτως εἶπεν ἕνα πρῶτον εἶναι λόγον ἀποφαντικὸν τὴν κατάφασιν, εἶτα τὴν ἀπόφασιν, τὸ εἶτα οὐ περὶ τοῦ ἑνὸς ἀλλὰ περὶ τοῦ πρώτου λέγων. δι' αὐτὸ δὲ τοῦτο λόγον ἔχειν ἡ τοῦ Ἀφροδισιέως δόξα περὶ τῆς ἀποφάνσεως δοκεῖ, μὴ συγχωροῦσα γένος αὐτὴν εἶναι καταφάσεως καὶ ἀποφάσεως· πῶς γὰρ ἐν οἷς τὸ πρότερον καὶ τὸ ὕστερον τὸ τούτων κοινῶς κα τηγορούμενον 55r

1 αὐτῆς M ἐπιγιγνομ. A: ἐπιγενομ. Ma 2. 3 σωκρ. περιπατεῖ καὶ πλάτ. διαλέγεται AM 3 τοῦ πλάτ. G δύο — περιπατεῖ (4) suppl. G ἐντ. ἐναργ. A τοὺς om. Ma 3. 4 σωκρ. περιπατεῖ καὶ τὸν πλάτ. διαλέγεται A 4 alterum καὶ om. FG 5 μέσος] μέσον Ga ἔδοξε καὶ ἑνοῦν G¹ 7 ἑνούμενοι AMa 8. 9 ὁ ἥλιος G 9 δύο — γῆν ἐστιν om. M ὄντας λόγους πάλιν A τὸν (ante ἡμέρα)] τὸ F τὸν (ante ἥλιος)] τὸ FG 10 εἰ] εἷς A: om. FG 11 εἶδος om. AFMa οὐχ AM 13 αὐτὰ G ὥσπερ] ὡς FGa 15 μίαν om. M 16 μηδέποτε G τετμημένῳ] τμωμένω G καὶ] τὰ δὲ M² 17 διὰ] ἕνα a τινων δὲ συνδέσμων A πως om. M 18 μὲν om. Ma 19 ἔχουσα M² 21 μὴ συνδ. FGa τις suppl. G² 27 τὸν] τὸ AFG 28 ὁ om. A 29 εἶπεν οὕτως M λόγον εἶναι F 33 πρῶτον a

ἔσται γένος; ἢ ταύτην ἔχουσι τὴν τάξιν οὐ κατὰ τὸ ἀποφάνσεις εἶναι (ὁμοίως γὰρ αὐτῶν ἑκατέρα δεκτικὴ ψεύδους τε καὶ ἀληθείας) ἀλλὰ κατά τι συμβεβηκὸς ἔξωθεν, οἷον τὴν τῶν λέξεων ἁπλότητα. τότε δὲ τὸν εἰρη- 5 μένον κανόνα χώραν ἔχειν λέγομεν, ὅταν κατ' αὐτὸ τὸ κοινῶς κατηγορού- 5 μενον ἔχωσι τὸ πρῶτον καὶ δεύτερον τὰ ὑπ' αὐτό. τοῦτο μὲν οὖν πολλαχοῦ διᾶ πολλῶν ἀποδέδεικται· ἐνταῦθα δὲ κατηγοροῦντες τὴν ἀπόφανσιν κοινῶς καταφάσεως καὶ ἀποφάσεως, οὐ λέγομεν τὴν μὲν κατάφασιν πρώτην 10 ἀπόφανσιν εἶναι, τὴν δὲ ἀπόφασιν δευτέραν ἀπόφανσιν, ἀλλὰ τὸ πρῶτον καὶ δεύτερον, ὡς εἴρηται, κατὰ τὴν ἁπλότητα τῶν λέξεων νοητέον.

10 Τοῦ δὲ Ἀριστοτέλους σαφῶς λέγοντος ὅτι τῶν παρὰ τὴν κατάφασιν 15 καὶ τὴν ἀπόφασιν ἀποφαντικῶν λόγων ἕκαστος συνδέσμῳ πάντως ἐστὶν εἷς, ἐπιζητήσειεν ἄν τις τί ἐροῦμεν περὶ τοῦ λόγου τοῦ λέγοντος 'ἡλίου ὑπὲρ γῆν ὄντος ἡμέρα ἐστίν'· οὔτε γὰρ ἁπλοῦς οὗτος ὁ λόγος οὔτε συνδέσμου πρὸς τὴν ἕνωσιν φαίνεται δεηθείς. πρὸς ὃν ῥητέον ὅτι δύο μὲν αὐτοτελεῖς 20 15 ἀποφάνσεις συμπλακῆναι ἀλλήλαις πρὸς ἑνὸς λόγου γένεσιν συνδέσμου χωρὶς ἐνεργείᾳ ληφθέντος ἀδύνατον· τὸ γοῦν 'ἥλιος ὑπὲρ γῆν ἐστιν' αὐτοτελὲς ὂν τῷ 'ἡμέρα ἐστίν' αὐτοτελεῖ καὶ αὐτῷ ὄντι πῶς ἂν συγκραθείη δίχα τοῦ συναπτικοῦ συνδέσμου; πολλάκις δέ γε τὴν ἡγουμένην τῶν προ- 25 τάσεων ἅμα τῷ συνδέσμῳ μεταρρυθμίζομεν οὕτως, ὥστε μηκέτι μὲν αὐτο- 20 τελὴς εἶναι πρὸς ἀπόφανσιν. τῷ δὲ δυνάμει περιέχειν τὸν σύνδεσμον ἢ τὸ τῷ συνδέσμῳ ἰσοδυναμοῦν κατὰ τοῦτο ἐπίρρημα πρὸς τὴν ἑπομένην τῶν 55ᵛ προτάσεων καὶ αὐτοτελῆ μεμενηκυῖαν συμφύεσθαι, καθάπερ ἔχει καὶ ἐπὶ τοῦ προκειμένου· τὸ γὰρ 'ἡλίου ὑπὲρ γῆν ὄντος' ἀτελὲς πρὸς ἀπόφανσιν 5 δυνάμει δὲ περιέχον ἢ τὸ ὅτε ἐπίρρημα ἢ τὸν εἰ συναπτικὸν σύνδεσμον 25 καὶ ταὐτὸν φθεγγόμενον τῷ 'ὅτε ἥλιος ὑπὲρ γῆν ἐστι' καὶ τῷ 'εἰ ὁ ἥλιος ὑπὲρ γῆν ἐστιν', ὧν ἑκάτερον ἀτελές ἐστι πρὸς ⟨τὸ⟩ τὴν προτεθεῖσαν ποιήσασθαι ἀπόφανσιν διὰ τὴν τοῦ συνδέσμου ἢ τοῦ ἐπιρρήματος προσθήκην, 10 παραπλησίως τῷ δυνάμει ταῦτα ἐν ἑαυτῷ περιέχοντι, οἷον τῷ 'ἡλίου ὑπὲρ γῆν ὄντος'· διὸ καὶ συμφύεσθαι παραπλησίως ἐκείνοις δύναται πρὸς τὸ 30 ἑπόμενον τὸ 'ἡμέρα ἐστίν'.

---

3 τι om. F τότε] τὸ M 4 αὐτὸ τῶ κοιν. A 5 τὸ δεύτ. AMa ὑπ' αὐτοῦ FG 7 οὐ om. AM 8 ἀπόφασιν (ante εἶναι) G¹ ἀπόφανσιν (post δὲ) A 9 τὸ δεύτ. Ma ὡς εἴρηται om. G τῶν suppl. G² 10 παρὰ] περὶ GM 10. 11 ἀπόφ. καὶ τὴν κατάφ. A 11 εἷς ἐστιν Ga 16 γοῦν] γὰρ FGa 17 ὂν — αὐτοτελεῖ om. F, suppl. G² τῷ] τὸ A¹G ἀτελεῖ G πῶς ἀνασυγκρ. FG 18 ἡγουμένων A 19 μεταρυθμίζομεν A: συναριθμίζομεν F 20 τῷ] τῇ FGa 21 κατὰ τοῦτο] τὸ ὅτε M: om. A 22 μεμενηκυῖα G 23. 24 πρὸς ἀπόφανσιν, τῷ δὲ δυνάμει δὲ περιέχειν τὸν σύνδεσμον ἢ τὸ ὅτε G¹ (corr. m²) 24 περιέχων A: περιέχει FG²a εἰ om. codd. 25 ὁ ἥλιος G 25. 26 καὶ τῷ — γῆν ἐστιν suppl. G² 25 τῷ (alt.)] τὸ G 26 ἀτελές] ἀληθές AM τὸ inserui τὴν προτεθ.] ἣν προτίθεται FG 27 τὴν τοῦ ἐπιρρ. AFa 28 τῷ (alt.)] τὸ τοῦ G: τῇ M: τὸ a 29 ὄντως A 30 ἡμέρα] δυνάμει A

p. 17a9 Ἀνάγκη δὲ πάντα λόγον ἀποφαντικὸν ἐκ ῥήματος εἶναι ἢ πτώσεως ῥήματος· καὶ γὰρ ὁ τοῦ ἀνθρώπου λόγος, ἐὰν μὴ τὸ ἔστιν ἢ ἦν ἢ ἔσται ἤ τι τοιοῦτον προστεθῇ, οὔπω λόγος ἀποφαντικός, διότι δὴ ἕν τί ἐστιν ἀλλ' οὐ πολλὰ τὸ ζῷον πεζὸν δίπουν· οὐ γὰρ δὴ τῷ σύνεγγυς εἰρῆσθαι εἷς ἔσται. ἔστι δὲ τοῦτο ἄλλης πραγματείας εἰπεῖν.

Προθέμενος διαλεχθῆναι περὶ τοῦ ἀποφαντικοῦ λόγου καὶ τῶν τούτου εἰδῶν, καταφάσεώς τε καὶ ἀποφάσεως, ἐπειδὴ τούτων ἑκάτερον τὸ μέν τι ἔχει κατηγορούμενον τὸ δὲ ὑποκείμενον, διαφοράν τινα τούτων ἡμῖν παραδίδωσι συμβαλλομένην αὐτῷ πρὸς τὴν διάρθρωσιν τῶν ἐφεξῆς ῥηθησομένων· λέγει γὰρ ὅτι τὸν μὲν κατηγορούμενον ὅρον ἐν τῇ προτάσει πᾶσα ἀνάγκη ῥῆμα εἶναι ἢ πτῶσιν ῥήματος (ἴσως δέ ποτε | καὶ ἀόριστον ῥῆμα, καθάπερ ἐν ταῖς ἀποφάσεσιν, ὅπερ ἔοικε συμπεριειληφέναι τῷ ῥήματι διὰ τούτων ὁ Ἀριστοτέλης ἢ ὡς προηγουμένως μὲν περὶ καταφάσεως διαλεγόμενος παραλελοιπέναι), τὸν δὲ ὑποκείμενον οὐ πάντως ὄνομα ἢ πτῶσιν ὀνόματος ἢ ἀόρισον ὄνομα, ἀλλ' ἔστιν ὅτε καὶ λόγον ἐκ πλειόνων ὀνομάτων συγκείμενον· ὅταν μὲν γὰρ εἴπω 'Σωκράτης ὑγιαίνει' 'Σωκράτης ὑγίανε', τοῦ ὑποκειμένου ἐν τούτοις ὀνόματος ὄντος ὁ κατηγορούμενος ποτὲ μέν ἐστι ῥῆμα ποτὲ δὲ πτῶσις ῥήματος, ὅταν δὲ εἴπω 'Σωκράτης ἐστί' 'Σωκράτει μεταμέλει' 'οὐ Σωκράτης ἐστί' 'ζῷον λογικὸν θνητόν ἐστι', τὸ ὑποκείμενον ἐν τούτοις οὐ μόνον ἐστὶν ὄνομα ἢ πτῶσις ὀνόματος, ἀλλὰ ποτὲ καὶ ἀόριστον ὄνομα ποτὲ δὲ λόγος ἐξ ὀνομάτων συνεστὼς πλειόνων. ἀλλ' οὐχ οὕτω λέγεται ταῦτα σαφῶς ὑπὸ τοῦ Ἀριστοτέλους διὰ τὸ σύντομον τῆς ἀπαγγελίας· εἰπὼν γὰρ σαφῶς τὸ περὶ τοῦ κατηγορουμένου ἠνίξατο μόνον τὸ κατὰ τὸν ὑποκείμενον, εἰπὼν καὶ γὰρ ὁ τοῦ ἀνθρώπου λόγος, ἐὰν μὴ τὸ ἔστιν ἢ τὸ οὐκ ἔστιν ἢ ἦν ἢ ἔσται ἤ τι τοιοῦτον προστεθῇ, οὔπω λόγος ἀποφαντικός.

Ἀλλὰ διά τί περὶ μὲν τοῦ κατηγορουμένου λέγεται διὰ τούτων, ὡς ἄνευ τούτου μὴ ἂν γενομένης προτάσεως, περὶ δὲ τοῦ ὑποκειμένου τὸ ὅμοιον οὐ προστίθεται, καίτοι ὁμοίως ἑκατέρου τούτων τῆς προτάσεως δεομένης καὶ ῥηθέντων ἤδη τούτων ἐν τοῖς προλαβοῦσιν ὡς οὔτε τὸ ὄνομα,

1 ἐκ ῥήματος—εἰπεῖν (6) om. M 2 ἐκ πτώσεως FG καὶ γὰρ—εἰπεῖν (6) om. Ga 4 δὴ] δὲ A 5 τῷ] τὸ AF 5. 6 τοῦτο post ἄλλης colloc. A: post πραγμ. b 7 post προθ. add. δὲ G¹ διαλεχθ. post λόγου colloc. G¹ 10 συμβαλλομένοις G διόρθωσιν M 11. 12 ἀνάγκη πᾶσα ἢ ῥῆμα AM 12 πτῶσις F 13 ἀποφάνσεσιν F διὰ om. F 14 τοῦτον A ὁ Ἀριστοτέλης om. FG μὲν] ὡς AM 14. 15 post διαλεγ. add. μὲν περὶ καταφάσεως ὁτ- del. G 17 ὑγίαινε F 19 ῥήματος] ὀνόματος A δὲ om. A 19. 20 ἐστί—σωκρ. ἐστί om. M 20 οὐ om. Ga ἐστί (ante ζῷον) om. FGa θνητὸν λογικόν G 21. 22 ἢ πτῶσις—ὄνομα om. F 24 ἐπαγγελίας FGa σαφῶς ὃ περὶ FG 26 ἢ τὸ οὐκ ἔστιν om. b τοιούτω A 30 προστέθειται AM 31 ἐν τοῖς προλαβοῦσιν] p. 16a 13 sq.

κἂν ᾖ σύνθετον, δύναται σημῆναί τι ἀληθὲς ἢ ψεῦδος ῥήματος χωρὶς οὔτε τὸ ῥῆμα δίχα ὑποκειμένου τινός. ὡς ἐδιδάχθημεν ἐν τῷ συμπεράσματι τῶν περὶ τοῦ ῥήματος λόγων; | ἔστι μὲν οὖν πρὸς τὴν ἀπορίαν ταύτην 56v ἀπαντῶντας λέγειν, ἅπερ φησὶν ὁ φιλόσοφος Πορφύριος, ὡς ἐν τῷ κατη- γορικῷ εἴδει τοῦ ἀποφαντικοῦ λόγου τὸ κῦρος ἔχει μάλιστα τὸ κατηγο- ρούμενον ὡς τὴν ὕπαρξιν ἢ ἀνυπαρξίαν τῆς ἀποφάνσεως σημαῖνον (διὸ καὶ ἐντεῦθεν ὁ ὅλος λόγος κατηγορικὸς ὀνομάζεται, καὶ τὸ ἀρνητικὸν μόριον ἐν ταῖς ἀποφάσεσιν ὡς κυριωτέρῳ τούτῳ προστίθεμεν, ἵνα τῆς καταφά- σεως ἀναιρεθείσης διὰ τῆς ἀναιρέσεως τοῦ κυριωτάτου τῶν ἐν αὐτῇ μορίων ἡ ἀπόφασις γένηται), καὶ διὰ τοῦτο περὶ μόνου τούτου τοῦ μορίου ποιεῖται τὸν λόγον ἐν τούτοις ὁ Ἀριστοτέλης, ὡς τούτου χωρὶς ἀποφάνσεως οὐκ ἂν γενομένης. μήποτε δὲ προσφυέστερον ᾖ τοῖς προκειμένοις τὸ λέγειν ὅτι ἐν οἷς μὲν περὶ τοῦ ὀνόματος ἦν ὁ λόγος, ἐπεσημήνατο ὡς οἷον ἂν ληφθῇ, οὐκ ἂν γένοιτο δίχα ῥήματος αὔταρκες πρὸς τὸ ποιῆσαι ἀπόφανσιν ("καὶ γὰρ ὁ τραγέλαφος, φησί, σημαίνει μέν τι, οὔπω δὲ ἀληθὲς ἢ ψεῦδος, ἐὰν μὴ τὸ εἶναι ἢ τὸ μὴ εἶναι προστεθῇ, ἢ ἁπλῶς ἢ κατὰ χρόνον"), καὶ πάλιν ἐν οἷς διελέγετο περὶ τοῦ ῥήματος, τὰ αὐτὰ καὶ περὶ τούτου ἐπισημαινόμενος ἔλεγεν ὡς οὐκ ἔστιν αὔταρκες αὐτὸ καθ' αὑτὸ λεγόμενον πρὸς ἀποφάνσεως γένεσιν· ἐνταῦθα δὲ οὐκέτι προσετίθει τὸ 'δίχα ὀνόματος' (αὐτόθεν γὰρ ὁ λόγος ἠλέγχετο διὰ τὰς λόγοις ὑποκειμένοις χρωμένας προτάσεις), ἀλλ' ὅτι μόνον χρεία καὶ ἑτέρου τινός, ᾧ προστιθέμενον καὶ συντιθέμενον τὸ ῥῆμα ποιήσει τὴν ἀπόφανσιν τὴν τὸ εἶναι ἢ τὸ μὴ εἶναι σημαίνουσαν· ἐν δὲ τοῖς μετ' ἐκεῖνα παραδεδομένοις περὶ λόγου διαλεχθεὶς καὶ εἰπὼν ὅτι ἐστὶ σημαντικὴ φωνὴ | μέρος ἔχουσα σημαντικόν, ὅπερ 57r κοινῶς ὑπάρχειν τοῖς τελείοις καὶ τοῖς ἀτελέσι λόγοις ἐλέγομεν, καὶ μετα- βὰς ἐπὶ τὴν θεωρίαν τῆς ἀποφάνσεως καὶ τῶν ταύτης εἰδῶν, ὥσπερ δείσας μή τις ὑπολάβῃ τοὺς ὁριστικοὺς λόγους ἅτε συνθέτους ἐκ πλειόνων ὄντας καὶ σημαντικοὺς μιᾶς φύσεως ὑπάρχοντας δύνασθαι ποιεῖν ἀπόφανσιν, διὰ τοῦτο νῦν ταῦτα προστίθησι, περὶ ὧν οὐδέπω φαίνεται διειλεγμένος.

Ἐπεὶ δὲ ὅλως ὁρισμῶν ἐν τούτοις πεποίηται μνείαν, οὗτοι δέ εἰσιν ἐκ πλειόνων ὀνομάτων συγκείμενοι λόγοι περὶ τὴν οὐσίαν τοῦ αὐτοῦ πράγ-

2 τὸ om. F ἐδιδάχθημεν] p. 16b21 sq. 3 τῶν] τῷ GMa λόγων] λόγου M: om. FGa 4 ἀπαντῶντας] ἀποροῦντας a φιλόσοφος om. G 5 ἔχειν AMa 5. 6 τὸν κατηγ. GMa 6 ὡς] πρὸς GMa διὸ—ἀποφάσεσιν (8) suppl. G² 7 ὁ om. F 9 κυριωτέρου a 10 γίνηται corr. ex γένηται G τοῦ μορ. τούτου FGa 12 post γενομένης add. καὶ ἄλλως· ὅτε μὲν περὶ ὀνόματος διελέγετο, φησὶν οὐκ ἔστι καθ' αὑτὸ δυνάμενον ἀπόφανσιν ποιεῖν, ὅτε δὲ περὶ τοῦ ῥήματος, τὸ αὐτὸ ἔλεγεν, ὅτι καθ' αὑτὸ τὸ ῥῆμα οὐ δύναται ἀπόφανσιν ποιεῖν, ὅτε δὲ περὶ λόγου, πάλιν ἐπισημαίνεται ὅτι καθ' αὑτὸν ὁ λόγος δίχα ῥήματος οὐκ ἔσται ἀπόφανσις M, in mrg. A ᾖ] ἦν AM 14 ποιεῖν F 15 καὶ γὰρ ὁ τραγ.] p. 16a16 καὶ γὰρ καὶ G ἡ τραγ. F τι] τοι F 16 τὸ (alt.) om. b ἢ (ante ἁπλῶς) om. FG 17 τὰ αὐτὰ] ταῦτα AM 18 ἔλεγεν] p. 16b21 19 προσετέθη GMa τὸ om. AGMa 21 ᾧ] ὡς M 21. 22 τὸ ῥῆμα καὶ συντ. G 22 ἀπόφασιν G τὴν (alt.) om. M 23 παραδιδομένοις FG 25 ἐλέγομεν] p. 59,14 sq. 29 οὐδὲν πω FGa

ματος στρεφομένων καὶ διὰ τοῦτο εἷς ἕκαστος τούτων, πολλῆς δὲ πραγμα-
τείας ἡ τούτου δεῖται θεωρία (ποτὲ μὲν γὰρ ἐκ τῶν συμπεφορημένων
ὀνομάτων οὐσία μία σημαίνεται καὶ εἷς ἐξ αὐτῶν ἀποτελεῖται λόγος, ποτὲ 15
δὲ οὐχ εἷς), ἀναβάλλεται τὴν τούτων παράδοσιν εἰς τελειοτέραν τινὰ πραγ-
5 ματείαν, ἧς ἔργον ἐστὶ τὰ ὄντα ᾗ ὄντα ἐστὶν ἐπισκοπεῖν. διόπερ ἔν τε
τῷ ἑβδόμῳ καὶ ἐν τῷ ὀγδόῳ βιβλίῳ τῆς Μετὰ τὰ φυσικὰ πολὺν περὶ
τούτου ποιήσεται λόγον, τὸ μὲν γένος, ἵνα συνελόντες εἴπωμεν τὸ κεφά- 20
λαιον τῶν ἐν ἐκείνοις παραδεδομένων, ὅλης ἐν τῷ ὁρισμῷ λόγον ἔχειν
ἀποφαινόμενος, τὴν δὲ διαφορὰν καὶ μάλιστα τὴν ἐσχάτην καὶ μόνῳ τῷ
10 ὁριστῷ πράγματι ἐφαρμόττουσαν εἰδοποιὸν γίνεσθαι καὶ τελειωτικὴν τῆς
οἰκείας ὅλης, οὐδενὸς ἑτέρου δεηθεῖσαν πρὸς τὴν ἕνωσιν τὴν πρὸς αὐτήν· 25
οὐ γὰρ πρὸς κεχωρισμένον τι καὶ καθ' αὑτὸ ὑφεστηκὸς ἴσχει τὴν ἕνωσιν,
ἀλλ' ἔστι τὸ εἶδος διάθεσίς τις τῆς προσεχοῦς ὅλης, τό τε καθόλου καὶ
νοητὸν τῆς | νοητῆς λεγομένης ὅλης, ταὐτὸν δὲ εἰπεῖν τῆς κατὰ τὸ γενι- 57v
15 κώτερον ἐπινοουμένης, καὶ τὸ αἰσθητὸν καὶ καθ' ἕκαστα τῆς κατ' αὐτὸ
διατίθεσθαι πεφυκυίας. διὰ ταῦτα τοίνυν ὅ τε ὁριστικὸς λόγος εἷς, οὐκ ἐκ
διακεκριμένων πρότερον ἔπειτα συνελθουσῶν ἀλλήλαις ἰδιοτήτων συγκεί- 5
μενος, καὶ τῶν καθ' ἕκαστα πραγμάτων ἕκαστον ἕν· οὕτω γὰρ ἔχειν ἀνάγκη
τὸ διακείμενον μετὰ τῆς οἰκείας ὑφεστὸς διαθέσεως οἷον ἐπὶ τῆς χαλκῆς
20 σφαίρας, καὶ οὐδ' ἂν ἐπινοήσειέ τις τὸ διακείμενον μὴ καὶ τὴν διάθεσιν 10
συνεπινοήσας. τὸ μὲν οὖν κυρίως τόν τε ὁριστικὸν λόγον ἕνα ποιοῦν, καὶ
αὐτὸ μέντοι τὸ ὁριστὸν πρᾶγμα, τοῦτο παραδίδωσιν ἐν ἐκείνοις· ἣν δὲ ἄν
τις ἀπερισκέπτως ἀποδέδωκεν αἰτίαν τῆς τοῦ ἑνὸς λόγου γενέσεως, τὸ
ἐφεξῆς ἀλλήλοις τὰ συμπληροῦντα αὐτὸν ὀνόματα λέγεσθαι μὴ διαλαμβα- 15
25 νόμενα σιωπῇ μέσῃ, ταύτην ὡς ἀνόητον ἐπιρραπίζει λέγων οὐ γὰρ δὴ
τῷ σύνεγγυς εἰρῆσθαι εἷς ἔσται· δεῖ μὲν γὰρ ἐπὶ τοῦ ἑνὸς ἐσομένου
λόγου τὰ ὀνόματα ἐξ ὧν ἐστιν ἐφεξῆς λέγεσθαι μὴ διαναπαυομένης τῆς
φωνῆς, ὡς ὅταν γε αὐτὸ καθ' αὑτὸ εἴπωμεν ἕκαστον οὐ λεγόντων ἡμῶν 20
ὁρισμόν, ἀλλ' οὐδὲ μίαν ποιούντων πρότασιν κοινῶς ἐπαγομένου πᾶσι τοῦ
30 ῥήματος, ἀλλὰ τοσαύτας ὅσα καὶ τὰ ὡς ἐν ἀσυνδέτῳ ἀπαριθμήσει λεγόμενα
ὀνόματα οἷον 'ζῷον' εἶτα 'λογικόν' εἶτα 'θνητόν ἐστι'· δόξει γὰρ ἑκάστῳ 25
προσυπακούεσθαι τὸ ἐστίν. οὐ μὴν αὔταρκες τὸ τὰ τυχόντα ὀνόματα
ἐφεξῆς ἀλλήλοις καὶ ἀδιακόπως εἰπεῖν πρὸς τὸ ἕνα ποιῆσαι λόγον ἢ ὁριστι-
κὸν ἢ ἀποφαντικόν· ὅταν γὰρ ἢ μόνων οὐσιῶν συμ|φύεσθαι μὴ δυναμένων, 58r
35 οἷον εἰδῶν ἢ ἀτόμων, ἢ μόνων συμβεβηκότων τύχωσιν ὄντα σημαντικά,

2 γὰρ om. AGMa 4 εἷς] ἐς A: om. M παράδωσιν F 5 ἐστὶν (post ὄντα) om. a σκοπεῖν a 6 βιβλίῳ om. FG 8 λόγοις a 10 γενέσθαι AM 12 πρὸς κεχ. Brandis: προσκεχ. AFMa: προκεχ. G 14 λεγομ.] καλουμένης A¹M 15 καθ' αὑτὸ AFG 17 διακριμένων A 19 ὑφεστὼς codd. 20 alterum καὶ suppl. G² 21 ἐπινοήσας M 22 ὁριστὸν] ὁριστικὸν AFGa 23 ἀπέδωκεν Ma τῆς om. G λόγου — ὀνόματα (24) om. M 24 αὐτῶν F ἐκλέγεσθαι AM 25 ἀπορραπίζει a 26 ἐσομένου] ἑπομένου GMa 30 τοσαύτας scripsi: τοσαῦτα libri ὡς om. FG 32 καὶ τὸ ἐστίν a 33 ἀδιακόπτως A

οὐκ ἄν ποτε γένοιτο ἐξ αὐτῶν εἷς λόγος, οἷον ὅταν εἴπω 'ἄνθρωπος βοῦς ἵππος' ἢ 'Σωκράτης Πλάτων Ἀλκιβιάδης' ἢ 'φιλόσοφος σιμὸς φαλακρὸς βαδίζει', διὰ τὸ ταῖς μὲν οὐσίαις συμφύεσθαι τὰ συμβεβηκότα ὡς ἐν ὑποκειμέναις αὐταῖς ὑφίστασθαι πεφυκότα, μήτε δὲ τὰς κατ' εἶδος ἢ κατ' ἀριθμὸν διακεκριμένας οὐσίας ἀλλήλαις, μήτε μὴν τὰ συμβεβηκότα, ὧν οὐδὲ ὑφίστασθαί τι δυνατὸν δίχα τῶν ὑποκειμένων· διὸ καὶ τοῖς εἰρημένοις ἀνάγκη τὸ 'τὶς' ἀόριστον ὄνομα προσυπακούεσθαι, τὴν χρείαν πληροῦν τοῦ ὑποκειμένου καὶ ποιοῦν τὸν ὅλον λόγον ψεύδεσθαι ἢ ἀληθεύειν.

p. 17a 15 Ἔστι δὲ εἷς λόγος ἀποφαντικὸς ἢ ὁ ἓν δηλῶν ἢ ὁ συνδέσμῳ εἷς, πολλοὶ δὲ οἱ πολλὰ καὶ μὴ ἓν ἢ οἱ ἀσύνδετοι.

Παραδοὺς τὴν κατὰ τὸ πρῶτον καὶ δεύτερον διαφορὰν τῶν ἁπλῶν καὶ ἀποφαντικῶν λόγων καὶ διδάξας ὡς προηγεῖται τὸ καταφατικὸν εἶδος τοῦ ἀποφατικοῦ, διὰ τούτων προστίθησι τὴν κατὰ τὸ ἓν καὶ τὸ πλῆθος αὐτῶν ἀντίθεσιν ἑτέραν οὖσαν παρὰ τὴν κατὰ τὸ πρῶτον καὶ ὕστερον. ἰστέον γὰρ ὅτι δύο τούτων ἐξ ἀνάγκης περὶ πάντα λόγον θεωρουμένων, λέξεώς τε καὶ σημασίας, περὶ μὲν τὴν λέξιν δύο θεωροῦνται τοῦ ἑνὸς λόγου διαφοραί, μία μὲν κατὰ τὸ ἁπλοῦν καὶ σύνθετον ἐκ πλειόνων ἁπλῶν λόγων, ἑτέρα δὲ κατὰ τὸ πρῶτον καὶ δεύτερον (προηγουμένως μὲν ἐν τοῖς ἁπλοῖς, διὰ τούτους δὲ καὶ ἐν τοῖς συνθέτοις, ἐκ τῆς ποιότητος δηλονότι τῶν προτάσεων, τοῦ κατα|φατικοῦ λέγω καὶ ἀποφατικοῦ, τῆς τοιαύτης τάξεως ἀναφαινομένης), περὶ δέ γε τὴν σημασίαν μία, ἡ κατὰ τὸ ἓν καὶ τὸ πλῆθος τῶν σημαινομένων. τῶν οὖν περὶ τὴν λέξιν θεωρουμένων ἀντιθέσεων μίαν παραδοὺς διὰ τῶν προλαβόντων τὴν κατὰ τὸ πρῶτον καὶ ὕστερον, δι' ὧν ἔλεγεν ἔστι δὲ εἷς πρῶτος λόγος ἀποφαντικὸς κατάφασις, εἶτα ἀπόφασις, εἶτα διδάξας ὡς οὐ μόνους τούτους τοὺς λόγους ἀξιοῦμεν τῆς τοῦ ἑνὸς προσηγορίας τῷ ἐπαγαγεῖν οἱ δὲ ἄλλοι πάντες συνδέσμῳ εἷς, τοῦτ' ἔστιν οὐ κυρίως, οὐ μὴν ἔτι προσθεὶς ὅτι οὗτοι οἱ συνδέσμῳ τὸ ἓν ἔχειν λεγόμενοι λόγοι σύνθετοί εἰσιν ἐκ τῆς ἁπλῆς καταφάσεως καὶ τῆς ἁπλῆς ἀποφάσεως, δι' οὗ παραδέδωκεν ἂν καὶ τὴν κατὰ τὸ ἁπλοῦν καὶ σύνθετον διαφορὰν τῶν ἀποφαντικῶν λόγων, ἀλλὰ τοῦτο εἰς ἕτερον καιρὸν ἀναβαλλόμενος, ἐν τούτοις τὴν ἀπὸ τῶν σημαινομένων ἡμῖν διάκρισιν αὐτῶν προστίθησι, τὸν μὲν ἕνα ποιοῦσαν λόγον καὶ ἀληθῶς καὶ φαινομένως, τὸν δὲ φαινομένως μὲν ἕνα κατὰ ἀλήθειαν δὲ πολλούς·

---

1 ἐξ αὐτῶν γένοιτο AM εἷς ἐξ αὐτῶν G 3 συμφύεσθαι] συμφυῆ FG post συμβ. add. εἶναι a 4 μήτε] κατὰ M 5 ἀλλήλαις οὐσίας (num. corr.) G 6 οὐδὲν G² τὸ ὑφίστ. A ὑφίσταται F 9 δηλῶν — ἀσύνδετοι (10) om. M 12 καὶ (ante ἀποφαντ.) om. FGa 13 ἀποφαντικοῦ G¹ τοῦτο a 17 ἁπλῶν suppl. G² 20 τοῦ τε καταφ. a λέγω] an λόγου? 25 οὐ om. Ma τοὺς λόγους τούτους a 29 καὶ δι' οὗ FG 30 τὸ σύνθετον A 31 ἀναβαλόμενος F ἡμῖν om. FG

προσθήσει δὲ σαφῶς ὀλίγον ὕστερον καὶ τὴν κατὰ τὸ ἁπλοῦν καὶ τὸ σύνθετον αὐτῶν ἀντίθεσιν.

Τίνα οὖν τρόπον ἀπὸ τῶν σημαινομένων τόν τε ἕνα λόγον καὶ τοὺς πολλοὺς διακρίνομεν; φησὶ δὴ ὡς ἔνθα μὲν ἑκάτερος τῶν συμπληρούντων τὴν πρότασιν ὅρων μιᾶς τινος φύσεώς ἐστι δηλωτικός, μίαν εἶναί φαμεν ταύτην τὴν πρότασιν, κἂν ὁρισμὸν ὅλον ἀντὶ ὀνόματος ἢ ὑποκείμενον ἢ κατηγορούμενον ἢ καὶ ἄμφω λάβῃς, οἷον ὅταν εἴπω 'τὸ ζῷον λογικὸν θνητὸν οὐσία ἔμψυχος αἰσθητική ἐστιν'· ὅταν δὲ πλειόνων πραγμάτων ὁποτεροσοῦν τῶν ὅρων | σημαντικὸς ὢν τυγχάνῃ, πλείονας εἶναί φαμεν 59r ταύτας τὰς προτάσεις, καὶ τοσαύτας, ὅσον ἐστὶ τὸ πλῆθος τῶν σημαινομένων. κἂν ὑπὸ ἑνὸς ὀνόματος ταῦτα σημαίνηται· ὅταν γὰρ εἴπωμεν 'Αἴας ἐμονομάχησεν Ἕκτορι' μὴ διορισάμενοι περὶ ποτέρου τῶν Αἰάντων ἀποφαινόμεθα, πῶς ἄν τις νοῦν ἔχων μίαν εἴποι ταύτην τὴν πρότασιν, ἣν ἅμα καὶ ἀληθεύουσαν καὶ ψευδομένην ὁρῶμεν; καὶ τὸ ὅπως δῆλον.

Ταύτην οὖν τὴν ἀπὸ τῶν σημαινομένων θεωρουμένην ἐν ταῖς προτάσεσι διαφορὰν παραδιδοὺς ἡμῖν διὰ τούτων ἕνα λόγον ἀποφαντικὸν εἶναί φησι κυριώτατα μὲν τὸν ἓν σημαίνοντα, δευτέρως δὲ καὶ τὸν συνδέσμῳ τὸ ἓν ἔχειν λεγόμενον, πολλοὺς δὲ τοὺς πολλὰ σημαίνοντας καὶ μὴ ἓν ἢ τοὺς ἀσύνδετους. ἐν δὴ τούτοις συνδέσμῳ μὲν ἕνα λόγον ἀκουστέον οὐ τὸν ἐν μόναις ταῖς λέξεσιν ἐπίκτητον ἔχοντα τὴν ἕνωσιν διὰ τὸν σύνδεσμον, παραπλησίως τῷ φακέλλῳ, ὃς διὰ τὸν συνέχοντα τὰ πλείονα λάχανα δεσμὸν εἷς λέγεται εἶναι, ὡς ὅταν εἴπωμεν 'Σωκράτης κάθηται καὶ Ἀλκιβιάδης περιπατεῖ' ἢ 'Σωκράτης κάθηται καὶ Ἀλκιβιάδης κάθηται' ἢ 'Σωκράτης καὶ Ἀλκιβιάδης κάθηνται (πάντες γὰρ οἱ οὕτως λεγόμενοι πλείονες ὄντες περὶ μόνην τὴν λέξιν ἔχουσι τὴν ἐμφαινομένην διὰ τὸν σύνδεσμον ἕνωσιν), ἀλλὰ τοὺς ἐν τοῖς ὑποθετικοῖς καλουμένοις συλλογισμοῖς κατὰ τὸ συνημμένον ἢ τὸ διεζευγμένον λεγόμενον παραλαμβανομένους, οἷον 'εἰ ὁ θεὸς ἀγαθός, ἀίδιον τὸ πᾶν' καὶ 'ἤτοι ἀίδιον τὸ πᾶν ἢ γεννητόν'· πλείονες μὲν γὰρ καὶ οὗτοι ὄντες συνδέονται κατὰ τὴν λέξιν, οἱ μὲν | ὑπὸ τοῦ συναπτικοῦ λεγομένου συνδέσμου 59v οἱ δὲ ὑπὸ τοῦ διαζευκτικοῦ, ἀλλ' ἔχουσί τι πλέον τῶν προειρημένων, ὅτι τῶν ἐν αὐτοῖς παραλαμβανομένων πλειόνων πραγμάτων ἢ ἀκολουθίαν ἢ διάστασιν σημαίνουσιν· αὐτὸ οὖν τοῦτο ἕν τί ἐστιν ὑπ' αὐτῶν σημαινόμενον ἡ ἀκολουθία αὐτὴ τῶν πραγμάτων ἢ ἡ διάστασις. τούτους μὲν οὖν διὰ ταῦτα δευτέρως λέγεσθαι τὸ ἓν ἔχειν ὑπὸ τοῦ Ἀριστοτέλους ῥητέον μετὰ τοὺς ἕν τι κατηγορούμενον καθ' ἑνὸς ὑποκειμένου σημαίνοντας, ὥστε εἶναι τὸ λεγόμενον ὅτι εἷς λόγος ἀποφαντικός ἐστιν ἢ ὁ ἕν τι καθ' ἑνὸς κατη-

1 καὶ (prius) om. AM 2 post σύνθετον add. ἐκ πλειόνων ἁπλῶν λόγων a ἀντίθεσιν] σύνθεσιν FG 4 δὴ] δὲ M 5 μίαν] μιᾶς M 9 τυγχάνει FG 12 τοῦ ποτέρου F 14 καὶ ψευδ. καὶ ἀληθ. FGa 16 παραδοὺς a 17 κυριώτατον FG: κυριώτερον a 21 σφακέλλω AM 22 σωκράτης—περιπατεῖ (23) ἢ om. FG 23 ἢ σωκρ. κάθ. καὶ ἀλκ. κάθηται om. M 24 κάθηνται] κάθηται Ma οἱ om. M 28 ἤτοι ex εἴ τι corr. A γεννητόν FG 32 τοῦτο τὸ ἕν τι ὂν ἐστιν a 33 αὐτὴ] αὕτη a ἢ ἡ διάστ. τῶν πραγμ. colloc. M 34 ῥητέον] λεκτέον AM

γορῶν καταφατικῶς ἢ ἀποφατικῶς καὶ διὰ τοῦτο λεγόμενος κατηγορικός, ἢ ὁ σχέσιν μίαν ὑπάρξεων δύο σημαίνων ἢ κατὰ ἀκολουθίαν ἢ κατὰ διάστασιν ἐμφαινομένην ὑπὸ τῶν ταύτην τὴν δύναμιν ἐχόντων συνδέσμων καὶ λέγων ἢ τίνος ὄντος τί ἐστιν ἢ τίνος ὄντος τί οὐκ ἔστι, καὶ διὰ τοῦτο λεγόμενος ὑποθετικός. τοὺς δέ γε περὶ μόνην τὴν λέξιν τὴν ἐπίκτητον ἔνωσιν ἐμφαίνοντας ὑπάρξεων μὲν ἀπηρτισμένων ὄντας σημαντικούς, σχέσιν δὲ αὐτῶν οὐδεμίαν σημαίνοντας, οὐδαμῶς οἰητέον ἐν τούτοις παρειλῆφθαι, καὶ εἰ προσχρῶντο τοῖς συμπλεκτικοῖς λεγομένοις συνδέσμοις τῆς ἐν τῇ λέξει συνεχείας χάριν· ποῖον γὰρ ἂν ἔχοι λόγον τὸν μὲν ὁμώνυμον ἔχοντα τὸν ἕτερον τῶν ὅρων μὴ ἀνέχεσθαι καλεῖν ἕνα διὰ τὸ πλῆθος τῶν σημαινομένων, καὶ ταῦτα κατὰ τὴν λέξιν ὄντα ἁπλοῦν, τῷ δὲ καὶ κατὰ τὴν λέξιν προφανῆ τὴν σύνθεσιν ἔχοντι καὶ παντάπασι τοῦ κατὰ φύσιν ἑνὸς ἀποπεπτωκότι πλέον τι κατ' αὐτὸ τοῦτο νέμειν ἐκείνου τῷ ἀξιοῦν αὐτὸν | τῆς 60r τοῦ ἑνὸς προσηγορίας;

Εἰπὼν δὲ πολλοὺς εἶναι λόγους τοὺς πολλὰ σημαίνοντας, προσέθηκε καὶ μὴ ἓν διὰ τοὺς περὶ τῶν καθόλου τινὸς ἀποφαινομένους· ἐκεῖνοι γὰρ πολλὰ μὲν σημαίνουσι καὶ αὐτοὶ πράγματα τὰ ὑπὸ τὸ καθόλου περὶ οὗ διαλέγονται ἀναφερόμενα, πρὸς δέ γε τῶν πολλῶν τὴν μίαν φύσιν τὴν κατὰ πάντων ἐκείνων κατηγορουμένην, καθ' ἣν καὶ μία γίνεται πρότασις ἡ τοῦ καθόλου τούτου κατηγοροῦσά τι· αἱ δέ γε ὁμώνυμοι φωναὶ μόνως πολλῶν εἰσι σημαντικαὶ πραγμάτων, κοινοῦ δὲ ἐπ' αὐτοῖς οὐδενός· οὐ γὰρ ἂν ἦσαν ὁμώνυμοι. δυνατὸν δὲ καί, ὡς ὁ φιλόσοφος ἐξηγεῖται Πορφύριος, ὡς πρὸς διάκρισιν εἰρημένου τῶν ὁρισμῷ χρωμένων ὑποκειμένῳ ἢ καὶ κατηγορουμένῳ προτάσεων ἀκούειν τοῦ πολλὰ καὶ μὴ ἕν, ὅτι δοκοῦσι μὲν πολλὰ κἀκεῖναι σημαίνειν, οἷον ἡ λέγουσα 'ζῷον λογικὸν θνητὸν περιπατεῖ' τὸ ζῷον τὸ λογικὸν τὸ θνητόν· ἀλλὰ ταῦτα παρελήφθη πρὸς τὸ ἕν τι περιγράψαι τὸ ἐξ αὐτῶν συνιστάμενον, διὸ μίαν εἶναί φαμεν ταύτην τὴν πρότασιν. εἰ δέ τις πρότασις ἢ ὁμώνυμον ἔχει τὸν ἕτερον τῶν ὅρων ἢ καὶ ἐνεργείᾳ πολλὰ συνείρει ὀνόματα οὐ δυναμένων συμπλέκεσθαι ἀλλήλοις τῶν πραγμάτων, οἷον 'Σωκράτης Πλάτων Ἀλκιβιάδης περιπατεῖ' ἢ 'Σωκράτης περιπατεῖ διαλέγεται θερμαίνεται', μόνως αὕτη πολλαί, διότι καὶ τὰ

1 ἢ ἀποφατικῶς om. FG ὁ ἀποφατ. a 2. 3 τὴν ἀκολουθίαν . . τὴν διάστασιν G 4 λέγων] λόγων M ἢ τίνος ὄντος τί ἔστιν om. FG (ἐστιν ἢ τίνος μὴ ὄντος τί ἐστιν ἢ supra scr. G²) 6 ὑπάρξεων — ὄντας om. FG σηματικούς F 8 προσχρῶνται G²: προσεχρῶντο Ma λεγομένης F 10 ὅρων] ὄντων G 11 καὶ (ante κατὰ) om. FGMa 13 ἀξιοῦντι Ma 15 προσέθηκε μὲν G 16 ἐκεῖνοι μὲν a 17 τὰ om. GF τὸ] τῶν a 19 γένηται F 21 ante σημαντ. add. μὴ G¹ (del. m²) κοινῶς AM 22 post ὁμώνυμοι add. φωναί Ma ἐξηγεῖται om. FG ἔφη πορφ. (ἐξηγεῖται om.) M: πορφ. ἐξ. a 23 εἰρημένον A: εἰρημένων GMa τῶν] τῷ G καὶ om. Ma 25 κἀκεῖνα G 25. 26 περιπατεῖ — θνητόν om. F 26 τὸ ζῷον — θνητόν om. G post θνητόν add. περιπατεῖ a 28 ἔχοι FG τὸν ὅρον A 29 συνείροι FG 30 τῶν om. A 30. 31 ἢ σωκρ. — περιπατεῖ om. AFG

σημανθέντα πράγματα μόνως ἐστὶ πολλὰ καὶ οὐ δυνάμενα μίαν τινὰ φύσιν πράγματος συμπληροῦν.

Ἀλλὰ πῶς ὁ Ἀριστοτέλης τοὺς πολλὰ σημαίνοντας λόγους ἀπαριθμούμενος τούς τε | ὁμώνυμόν τινα τῶν ὅρων ἔχοντας καὶ τοὺς ἀσυνδέτους 60v
5 μόνους παρέλαβεν, ὧν ἐν οὐδετέρᾳ τετάξονται χώρᾳ οἱ κατὰ μόνην τὴν λέξιν τὴν διὰ τὸν σύνδεσμον ἕνωσιν ἔχοντες; ἢ ῥητέον ὅτι καὶ οὗτοι τῶν πολλὰ καὶ μὴ ἕν εἰσι σημαινόντων, ἀλλ' οὐκέτι δι' ὁμωνυμίαν ἀλλὰ διὰ τὸ ἐνεργείᾳ πλείονας εἶναι κατὰ τὴν λέξιν τοὺς τὰ διάφορα πράγματα σημαίνοντας ὅρους. εἰ δέ τινες αὐτοῖς τὸ ἓν ἀξιοῖεν νέμειν, οὐ καθ' αὑτοὺς
10 ἀλλὰ κατὰ τὴν πρὸς τοὺς ἀσυνδέτους παραβολήν, ἴστωσαν ἀντὶ τῆς ἐννοίας ἐπὶ τὴν λέξιν πάλιν καταφερόμενοι. τοὺς δὲ ἀσυνδέτους λόγους δηλονότι λέγοι ἂν τοὺς μηδὲ τὴν ὑπὸ τοῦ συνδέσμου φαινομένην ἕνωσιν ἔχοντας, οἷον 'ἡμέρα ἐστί, φῶς ἐστιν, ἡμέρα οὐκ ἔστι, νὺξ ἐστιν' ἢ αὖ πάλιν 'Σωκράτης κάθηται. Ἀλκιβιάδης περιπατεῖ'· ἐν γὰρ τούτοις πᾶσιν οὔτε ἀκο-
15 λουθία οὐδεμία οὔτε διάζευξίς τις, οὔτε κατὰ τὴν λέξιν ἐπίκτητος γοῦν ἕνωσίς τις ἐμφαίνεται.

p. 17a17 Τὸ μὲν οὖν ὄνομα ἢ ῥῆμα φάσις ἔστω μόνον, ἐπειδὴ οὐκ ἔστιν εἰπεῖν οὕτω δηλοῦντά τι τῇ φωνῇ ὥστε ἀποφαίνεσθαι, ἢ ἐρωτῶντός τινος ἢ μή, ἀλλ' αὐτὸν προαιρούμενον.

20 Μέλλων διὰ τῶν ἐφεξῆς διδάσκειν περί τε ἀποφάνσεως καὶ περὶ κατα-
φάσεως καὶ ἀποφάσεως καὶ ἔτι ἀντιφάσεως, ἐπεὶ ἐν ἅπασι τούτοις τὸ τῆς φάσεως ὄνομα παραλαμβάνεται, διὰ τοῦτο εἰκότως πρὸ τῆς ἐκείνων διδασκαλίας τὴν τῆς φάσεως ἔννοιαν ὑφηγεῖται καί φησιν εἶναι ταύτην ὄνομα 61r
ἢ ῥῆμα, ὡς μέρη τοῦ ἀποφαντικοῦ λόγου λαμβανόμενα. καὶ ὅτι τοῦτο
25 οὕτως ἔχει, σαφῶς ἐδήλωσε τοῦ ὀνόματος τῆς φάσεως τὴν αἰτίαν εὐθὺς ἐπαγαγών· ἐπειδὴ γάρ, φησί, δηλοῖ μέν τι τούτων ἑκάτερον, οὐ μὴν ἀληθὲς ἢ ψεῦδος, διὰ δὴ τοῦτο φάσις μὲν ὀνομάζοιτο ἂν δικαίως ὡς σημαῖνόν τι καὶ φαῖνον, οὐ μὴν ἀπόφανσις ἅτε οὐδέτερον δηλοῦν τῶν ὑπὸ τῆς ἀποφάνσεως πάντως σημαινομένων, λέγω δὲ τὸ ἀληθὲς ἢ τὸ ψεῦδος. τοῦτο δὲ
30 τὸ μὴ δεῖν προσκεῖσθαι τὴν ἀπό πρόθεσιν τῇ προσηγορίᾳ τῆς φάσεως ἐπὶ τοῦ ὀνόματος ἢ τοῦ ῥήματος ἐδήλωσε διὰ τοῦ μόνον, φάσις ἔστω μόνον εἰπών. εἶτα ἀμφοῖν ἅμα τὰς αἰτίας ἀποδέδωκε, τοῦ τε προσήκειν

1 ἔσται M 4 τὸν ὅρον Ma 5 ἐν] τίς G¹ (del. m²) 6 τὸν om. G τῶν συνδέσμων Ma ἢ om. M καὶ om. FG 9 τις . . ἀξιοῖ ἐννέμειν G 10 κατὰ om. M μεταβολήν A 11 τὰς λέξεις FGMa 12 τοῦ om. GMa 13 οὐκ om. FG 15 οὐδεμία] οὔτε μία F: μία AGMa (γράφεται οὐδεμία in mrg. A) τις suppl. G² γοῦν del. G² 17 τὸ ῥῆμα Ga ἐπειδὴ — προαιρούμενον (19) om. M 19 αὐτὸ FG 20 καὶ supra scr. A 21 post ἐπεὶ add. δὲ G² 23 ὑφηγεῖται A ταύτην] αὐτὴν G 23. 24 ὀνόματα ἢ ῥήματα Fa: ὀνόματος ἢ ῥήματος G 26 τι] τοι A 27 ὡς om. FG 28 ἀπόφασις F 29 πάντων F δὲ] δὴ Ma 30 ἀπό om. F 31 τοῦ (tert.)] τοῦτο AG¹ 31. 32 μόνον (prius) om. a (alt.) om. G

αὐτοῖς τὸ τῆς φάσεως ὄνομα καὶ τοῦ μὴ προσήκειν τὸ τῆς ἀποφάνσεως, διὰ τοῦ ἐπειδὴ οὐκ ἔστιν εἰπεῖν οὕτω δηλοῦντά τι τῇ φωνῇ καὶ τῶν ἑξῆς τούτοις, ὅπερ ἐστὶν ἐπειδὴ καὶ εἰ σημαντικὴν πραγμάτων τινῶν ἔχουσι δύναμιν, ἀλλ' αὐτό γε καθ' αὑτὸ τούτων ἑκάτερον οὐδεμιᾶς ἀποφάνσεώς ἐστι ποιητικόν. εἶτα προστίθησι τοὺς τρόπους, καθ' οὓς ἀποφαίνεσθαι εἰώθαμεν, καὶ διὰ τούτου σημαίνων ὡς οὐδὲν προσήκει τοῖς ὀνόμασιν ἢ τοῖς ῥήμασι τὸ ὄνομα τῆς ἀποφάνσεως, εἴ γε δύο τρόπων ὄντων, ὧν κατὰ θάτερον ἀποφαίνεσθαι ἀνάγκη, κατὰ μηδέτερον τούτων τὸ ὄνομα ἢ τὸ ῥῆμα λέγοντες ἀποφαινόμεθα, ὡς ἑξῆς δῆλον ποιήσομεν. κατ' ἀρχὰς μὲν οὖν τῆς πραγματείας διέκρινε τὰ ὀνόματα καὶ τὰ ῥήματα τῆς ἀποφάνσεως ἀπ' αὐτῆς τῆς οὐσίας τῆς ἀποφάνσεως ποιούμενος τὴν ἐπιχείρησιν τοῦ μηδὲν δηλοῦν ἀληθὲς | ἢ ψεῦδος, ὅπερ ἐστὶν ἴδιον τῆς ἀποφάνσεως, 61v
ἐν δέ γε τούτοις ἀπὸ τῶν τρόπων τῆς χρήσεως τῶν ἀποφαντικῶν λόγων διακρίνειν αὐτὰ πάλιν ἐπιχειρεῖ· ἐπειδὴ γὰρ ἢ ὑπό τινος ἐρωτηθέντες καὶ πρὸς τὴν ἐρώτησιν ἀπαντῶντες ἀποφαινόμεθα ἢ καὶ μηδενὸς ἐρωτῶντος αὐτοὶ προελόμενοι τοῖς πέλας ἐκφῆναι τὴν ἡμετέραν διάνοιαν, ὁ δὲ τὸ ὄνομα ἢ τὸ ῥῆμα εἰπὼν κατ' οὐδέτερον τούτων ἀποφαίνεται τῶν τρόπων, φανερὸν ὡς ἕτερα ἂν εἴησαν ταῦτα τῆς ἀποφάνσεως.

Ὅτι μὲν οὖν αὐτὰ καθ' αὑτὰ τὰ ὀνόματα ἢ τὰ ῥήματα λέγοντες μηδενὸς ἡμᾶς ἐρωτῶντος οὐκ ἀποφαινόμεθα, πολλάκις εἴρηται. ἀλλὰ μὴν οὐδὲ πρὸς ἐρώτησιν διὰ τούτων ἡμᾶς ἀποκρινομένους ἐνδέχεταί τι λέγειν ἀληθὲς ἢ ψεῦδος, καίτοι τοῦτό γε ὑπολάβοι ἄν τις· 'τί γὰρ ὄνομα τῷδε;' τινὸς ἐρομένου 'Σωκράτης' εἰπόντες ἐσημήναμέν τι ἀληθὲς ἢ ψεῦδος, καὶ 'τί ποιεῖ Σωκράτης;' ἐρωτηθέντες καὶ ἀποκρινόμενοι ὅτι 'περιπατεῖ' δηλοῦμέν τι ἀληθὲς ἢ ψεῦδος· ἀλλ' ὅπερ καὶ ἐν ταῖς ἐξηγήσεσι τῶν περὶ ῥήματος εἰρημένων ἐλέγομεν, ἡ συμπλοκὴ τῆς ἐρωτήσεως πρὸς τὴν ἀπόκρισιν τελείαν ἀπόφανσιν ἐργασαμένη τὸ ἀληθὲς ἢ τὸ ψεῦδος ἐσήμηνεν, οὔτε ὀνόματος κατὰ ἀλήθειαν οὔτε ῥήματος γενομένης τῆς ἐρωτήσεως, ἀλλὰ τούτων μὲν τὸ ἕτερον ἀπαιτούσης, οὐ μὴν κατὰ ταῦτα προενεχθείσης· οὐδὲ γὰρ ἔστιν ἐν ἐρωτήσει ἢ ὄνομά τι προενεχθῆναι ἢ ῥῆμα. ὅτι δὲ τοῦτο οὕτως ἔχει, μάθοιμεν ἂν ἀπὸ τῶν ἐν ἐρωτήσει προφερομένων ἀποφάνσεων, πρὸς ἃς καὶ πρόκειται τὰς τῶν ὀνομάτων καὶ τῶν ῥημάτων ἐρωτήσεις, εἴπερ ὅλως | εἰσί, παραβαλεῖν· κατάφασιν μὲν γὰρ ἐρωτῶντες 62r

1 τὸ τῆς—προσήκειν suppl. G² 3 τούτων G ἐπειδὴ om. FG σημαντ. τινὰ G πραγμάτων post ἔχουσι colloc. AM: post τινῶν a 6 τοῦτο G: τούτων a 7 τρόπων δύο colloc. FG 8 κατὰ θάτερον] καθ' ἑκάτερον A 9 λέγ. ἀποφ.] ἀποφαίνεσθαι ἀνάγκη M 11 ποιησάμενος Ma 12 δηλοῦντες A ἴδιον ἐστὶ colloc. G 13 γε om. FG τούτων F 14 ἢ om. M 16 ὁ] οὐ G² 19 ἢ] καὶ FG 21 ἀποκριναμένους AFMa 22 καίτοι—ψεῦδος (23) om. F τόδε M 23 ἢ ἀλ. ἢ G 24 ἀποκρινάμενοι FGMa 26 ἐλέγομεν] p. 54,31 sq. 27 τελείων M ἀπόφασιν A ἐσήμανεν Ma 28 οὔτε (prius)] ἅτε G² 29 τοιαῦτα G προσενεχθείσης AGMa 30 οὐδὲ] οὐ G προσενεχθῆναι AG²Ma 31 ἔχοι G μάθωμεν Fa 32 ἡ . . ἐρώτησις (33) a 33 παραλαβεῖν a

ἐροῦμεν 'ἆρα ἡ ψυχὴ ἀθάνατός ἐστι;' καὶ ἀπόφασιν ὁμοίως 'ἆρα ἡ ψυχὴ οὐκ ἔστιν ἀθάνατος;'· οὐκοῦν καὶ τὸ ὄνομα, εἴπερ ἐν ἐρωτήσει προφέρεσθαι καθ' αὑτὸ οἷόν τε ἦν, ἔδει λέγειν ἡμᾶς 'ἆρα, εἰ τύχοι, ἄνθρωπος;' 'ἆρα ζῶον;' καὶ ἐπὶ τοῦ ῥήματος ὡσαύτως 'ἆρα τρέχει;'· τούτων δὲ ἕκαστον ἀδιανόητον. εἰ δὲ τὸ 'ἆρα λούσομαι;' οὐκ ἀδιανόητον ἀλλὰ προφανές, ὡς οὐκ ἔστι μόνου τοῦ ῥήματος ἐρώτησις ἀλλ' ὅλης δυνάμει τῆς καταφάσεως τῆς 'ἆρα ἐγὼ λούσομαι;'. καὶ ἐπὶ πάντων τῶν ἐπὶ ὡρισμένου προσώπου λεγομένων ὁ αὐτὸς λόγος.

Ἀποδεδειγμένου δὴ τοῦ ὅτι ἡ φάσις ἕτερόν τί ἐστι τῆς ἀποφάνσεως, οὐκέτι προστέθεικεν ὁ Ἀριστοτέλης τὴν πρὸς τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἢ τὴν ἀντίφασιν αὐτῆς διαφορὰν ὡς προφανῆ λίαν οὖσαν· ὃ γὰρ μὴ ἔστιν ὅλως ἀπόφανσις, πῶς ἄν ποτε εἴη κατάφασις ἢ ἀπόφασις, ὧν ἑκάτερον ἀπόφανσίς ἐστι; καὶ ὃ μὴ ἔστι κατάφασις ἢ ἀπόφασις μηδὲ διαιρεῖται εἰς ταύτας, πῶς ἂν εἴη ἀντίφασις, ἥτις ὅλον τί ἐστιν ἐκ τῶν μερῶν τούτων τὴν σύνθεσιν ἔχον; τὸ μέντοι περὶ τῆς ἀποφάνσεως ὅτι ἕτερον τῆς νῦν καλουμένης φάσεως λόγου τινὸς δεόμενον εἰκότως ἐξήτασται ὑπὸ τοῦ φιλοσόφου, πρότερόν τε ἀπὸ τῆς οὐσιώδους ἐννοίας τῆς ἀποφάνσεως καὶ νῦν, ὡς ἐλέγομεν, ἀπὸ τῆς ἡμετέρας χρήσεως. δῆλον δὲ ὅτι τὸ ἔστω ἐν τῷ τὸ μὲν ὄνομα ἢ ῥῆμα φάσις ἔστω μόνον τοῦ Ἀριστοτέλους εἶναι σημαίνει τὴν θέσιν τοῦ ὀνόματος τῆς φάσεως ἐπὶ τῶν ἁπλῶν, ὅπερ ἐλέγομεν, ἐν ταῖς προτάσεσι φωνῶν. ἐπεὶ καὶ πρὸ τοῦ Ἀριστοτέλους ὁ παρὰ 62v Πλάτωνι Τίμαιος χρῆται τῷ ὀνόματι τῆς φάσεως. ἀλλ' ἐπὶ μόνων τῶν ὁπωσοῦν κατηγορουμένων· τὰ γοῦν ἔνυλα εἴδη τὰ ἐν γενέσει καὶ φθορᾷ τὴν ὑπόστασιν ἔχοντα διὰ τὴν συνεχῆ ῥύσιν φεύγειν φησὶν οὐχ ὑπομένοντα τὴν τοῦ τόδε καὶ τοῦτο καὶ πᾶσαν ὅση μόνιμα αὐτὰ ὡς ὄντα ἐνδείκνυται φάσις.

p. 17a20 Τούτων δὲ ἡ μὲν ἁπλῆ ἐστιν ἀπόφανσις, οἷόν τι κατά τινος ἤ τι ἀπό τινος. ἡ δὲ ἐκ τούτων συγκειμένη, οἷον λόγος τις ἤδη σύνθετος. ἔστι δὲ ἡ μὲν ἁπλῆ ἀπόφανσις φωνὴ σημαντικὴ περὶ τοῦ εἰ ὑπάρχει τινὶ ἢ μὴ ὑπάρχει, ὡς οἱ χρόνοι διῄρηνται. κατάφασις δέ ἐστιν ἀπόφανσίς τινος κατά τινος, ἀπόφασις δέ ἐστιν ἀπόφανσίς τινος ἀπό τινος.

Τούτων μὲν λέγει ὧν ἀποφαινόμενοι λέγομεν ἢ ἐρωτηθέντες ὑπό τινος ἢ αὐτοὶ προελόμενοι, περὶ ὧν ἦν αὐτῷ προσεχῶς ὁ λόγος. εἶναι δὲ

---

1 ὁμοίως — διῄρηνται (p. 81,2) om. FG: ὁμοίως — ἔχον (15) suppl. G² 2 ἀθάν. οὐκ ἔστιν colloc. A 4 δὲ τούτων colloc. G 5 λούσωμαι A 6 μόνον GMa ὅλως G 9 δὴ om. G τι om. AG 10 προσέθηκεν GM 12 ποτε om. G 13 ἐστι (prius) om. AG post ἀπόφ. iter. ὧν — ἀπόφασις G 14 τῶν om. AGM 15 καλ. νῦν colloc. AM 18 ἐλέγομεν] p. 76,13 19 μὲν οὖν b εἶναι om. M 20. 21 ἐλέγομεν] p. 10,1 sq. 21 πρὸ] ὑπὸ M 22. 23 ὁ παρὰ Πλάτωνι Τίμαιος] p. 49 E 22 καταφάσεως M 24 ῥεῦσιν Brand. 25 καὶ τοῦτο] πρὸς τοῦτο a πᾶσαν] πάλιν a 27 ἡ δὲ — τινος ἀπό τινος (31) om. M 28 μὲν om. b 29 εἰ addidi (cf. p. 80,18 ὑπάρχειν utrobique) ab τινὶ] τι ab (cf. p. 80,19. 35) 30 κατάφασις — ἀπό τινος (31) om. a ἀπόφασις] ἀπόφανσις A 33 αὐτῷ] αὐτοῦ M

αὐτῶν φησι τὴν μὲν ἁπλῆν ἀπόφανσιν τὴν δὲ σύνθετον ἐκ πλειόνων, οὐ λέξεων ἀλλὰ λόγων, τὸν συνδέσμῳ τὸ ἓν ἔχοντα λόγον, εἴτε κατηγορικῶς εἴτε ὑποθετικῶς, σύνθετον λέγων ἐκ τῶν ἁπλῶν ἀποφάνσεων, τοῦτ' ἔστιν ἢ δύο καταφάσεων ἢ δύο ἀποφάσεων ἢ καταφάσεως καὶ ἀποφάσεως. ἐνίοτε δὲ καὶ δίχα συνδέσμου πλείονας λόγους ἐφεξῆς λέγοντες ὡς ἕνα τὸν ἐκ πάντων λέγομεν, τῆς συνεχείας ἢ τῆς ἐφεξῆς ῥήσεως τὴν χρείαν τοῦ συνδέσμου ποιούσης, οἷον 'διὰ τὸ δυσχεραίνειν πρὸς τὴν ὕβριν Ἀλκιβιάδης ἐπολέμησε τῇ πατρίδι, Ἀχιλλεὺς τοῖς Ἀχαιοῖς ἐμήνισεν, Αἴας ἀπέσφαξεν ἑαυτόν', καὶ ὅσα ἄλλα λέγειν ἀσυνδέτως εἰώθαμεν. ἐνίοτε δὲ καὶ ὀνόματα πλείονα συνείροντες ἀλλήλοις ἀσυνδέτως, οὐ συμπλεκόμενα πρὸς ἑνός τινος σημα|σίαν, καθάπερ ἐπὶ τῶν ὁρισμῶν, ἀλλὰ δηλωτικὰ πραγμάτων ἀπηρ- 63r τισμένων ἕν τι αὐτῶν κατηγοροῦμεν, πλείονας μὲν πάντως λόγους λέγοντες διὰ τὸ πλείονα εἶναι τὰ ὑποκείμενα, τὴν δὲ ἐφεξῆς γινομένην ἀπαρίθμησιν ἀντὶ συνδέσμου παραλαμβάνοντες, οἷον ''Ἀχιλλεὺς Αἴας Διομήδης ἄριστοι τῶν Ἑλλήνων'. καὶ φανερὸν ὅτι πολλοὶ οἱ λόγοι, διότι δυνατὸν τὸν μὲν αὐτῶν ἀληθῆ τὸν δὲ ψευδῆ εἶναι, οἷον εἴ τις ἀντὶ τούτων τινὸς ἢ καὶ πρὸς τούτοις ἀπαριθμοῖτο τὸν Ἐπειόν. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἑνὸς ὑποκειμένου πολλά τινα κατηγορουσῶν ἀσυνδέτως προτάσεων, οἷον 'Σωκράτης τρίβει τὸ σκέλος διαλέγεται ἥδεται'· ὡς ἅτε τῶν συγκειμένων λόγων ἐκ πλειόνων ἁπλουστέρων καὶ διὰ τοῦτο πολλῶν λεγομένων τοὺς μὲν ἐξ ὁλοκλήρων κατ' ἐνέργειαν συγκεῖσθαι λόγων, ἢ ἀσυνδέτων ἢ συνδεδεμένων, τοὺς δὲ μὴ ἐκ διακεκριμένων συγκεῖσθαι λόγων, ἀλλ' ἤτοι ἐξ ὑποκειμένων μόνον πλειόνων ἀσυνδέτων ἢ συνδεδεμένων ἢ ἐκ κατηγορουμένων ἢ καὶ ἐξ ἀμφοῖν, ὡς εἰ λέγοιμεν 'Σωκράτης καὶ Πλάτων βαδίζουσι καὶ διαλέγονται', ἢ αὐτὰ ταῦτα χωρὶς τοῦ συνδέσμου προφέροιμεν.

Ἔστι δὲ δὴ καὶ ἐν αὐτοῖς τοῖς ἁπλοῖς λεγομένοις λόγοις ἄλλον τρόπον εὑρεῖν πολλήν τινα κατὰ τὸ ἁπλοῦν καὶ σύνθετον διαφοράν, οὐκέτι κατὰ τὸ μὴ συγκεῖσθαι ἢ συγκεῖσθαι ἐκ πλειόνων λόγων, ἀλλὰ κατὰ τὸ πλῆθος τῶν παραληφθεισῶν πρὸς τὴν σύστασιν αὐτοῦ λέξεων· ἁπλούστατος μὲν γὰρ ὄντως καὶ πρώτιστος ὁ ἐκ τῶν ἀναγκαιοτάτων μερῶν συγκείμενος, ὀνόματός τε | καὶ ῥήματος, οὐκέτι δὲ κατά γε τοῦτο κυρίως ἁπλοῦς οὐδὲ 63v πρῶτος ὁ καθ' ὁτιοῦν τούτου πλεονάσας, διόπερ τὴν κατάφασιν ἁπλῶς πρὸς τὴν ἀπόφασιν παραλαβὼν ὁ Ἀριστοτέλης προτέραν ἔχειν τάξιν τὴν κατάφασιν ἀπεφαίνετο, καίτοι κατὰ τὸ ἓν ὁμοίως ἐχόντων τῶν λόγων (εἰ μὴ παραλαμβάνοιεν ὁμώνυμον ὅρον) καὶ κατὰ τὸ ἁπλοῦν, ὡς μὴ συγκειμένων ἐκ πλειόνων λόγων. καὶ ἐν αὐταῖς μέντοι ταῖς καταφάσεσι πολλὴν ἂν

---

1 ἀπόφασιν M 2 τὸν δὲ συνδέσμω Ma 7 πρὸς] κατὰ a 9 ἄλλα om. M
11. 12 ἀπηρτημένων A 13 γιγν. A 14 ἄριστος A 16 αὐτὸν A 19 τρίβει τὸ σκέλος] διατρίβει, Μενέλαος a (cf. Plat. Phaed. p. 60 B) ἥδεται] ἴδετε a
19. 20 ἐκ πλειόνων om. A 23 μόνων A¹ μόνον πλειόνων μόνον M 24 ὡς εἰ om. M 25 προφερόμενα M 28 τὸ συγκ. ἢ μὴ συγκ. a κατὰ om. M
31 post τε add. φημὶ a 32 διόπερ καὶ a 33 παραλ.] λαβὼν a 35 an παραλαμβάνωμεν?

εὕροις πρὸς ἀλλήλας διαφοράν, καὶ ἐν ἀποφάσεσιν ὁμοίως· αἱ γὰρ ἐξ ὑπο- 10
κειμένου καὶ κατηγορουμένου προτάσεις προτέραν ἔχουσι κατὰ τὴν ἁπλό-
τητα τάξιν τῶν ἐκ τρίτου προσκατηγορουμένου, καὶ αὗται τῶν μετὰ τρόπου.
καὶ πάλιν ἐν μὲν ταῖς ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προηγοῦνται αἱ
5 ἐξ ὡρισμένου τοῦ ὑποκειμένου τῶν ἐξ ἀορίστου, καὶ αἱ ὀνόματι ὑποκειμένῳ 15
προσχρώμεναι τῶν ὁρισμὸν ἀντὶ ὀνόματος παραλαμβανουσῶν. ἐν δὲ ταῖς
ἐκ τρίτου προσκατηγορουμένου αἱ ὄνομα ἤτοι ῥῆμα κατηγοροῦσαι τῶν ὁρι-
σμὸν ὅλον ποιουσῶν κατηγορούμενον, οἷον ἡ 'Σωκράτης ἄνθρωπός ἐστι' 20
τῆς 'Σωκράτης ζῷον λογικὸν θνητόν ἐστι'.

10 Ταῦτα μὲν οὖν διὰ τὸ προφανὲς οὐ πολλῆς ἐπιστάσεως ἄξια· πῇ δὲ
διοίσει τὰ διὰ τούτων λεγόμενα τῶν ὀλίγῳ πρότερον εἰρημένων ἔστι δὲ
εἷς λόγος ἀποφαντικὸς ἢ ὁ ἓν δηλῶν ἢ ὁ συνδέσμῳ εἷς, πολλοὶ
δὲ οἱ πολλὰ καὶ μὴ ἓν ἢ οἱ ἀσύνδετοι καὶ τῶν ἔτι πρὸ ἐκείνων ἔστι 25
δὲ εἷς πρῶτος λόγος ἀποφαντικὸς κατάφασις, εἶτα ἀπόφασις.
15 ἄξιον ἐπισκέψασθαι. ῥητέον οὖν ὅτι τῆς διαφορᾶς τῶν λόγων λαμβανο-
μένης, ὡς καὶ πρότερον ἐλέγομεν, | ἢ ἀπὸ τῶν λέξεων ἢ ἀπὸ τῶν σημαι- 64r
νομένων, καὶ τῆς μὲν περὶ τῶν λέξεων διαφορᾶς ποιούσης τὸν μὲν ἐξ ἑνὸς
κατὰ τὴν λέξιν ὑποκειμένου καὶ ἐξ ἑνὸς κατηγορουμένου θετικῶς ἢ ἀρνη-
τικῶς συγκείμενον, εἴτε προσκατηγοροῖτο τὸ ἔστιν εἴτε καὶ μή, καὶ εἴτε 5
20 προσκέοιτο τρόπος τις εἴτε μή, καὶ ἁπλῶς εἰπεῖν κατάφασιν μόνην ἢ ἀπό-
φασιν μόνην, τὸν δὲ σύνθετον ἐκ δύο καταφάσεων ἢ ἀποφάσεων ἢ κατα-
φάσεως καὶ ἀποφάσεως, ὃν συνδέσμῳ ἕνα κέκληκεν ὁ Ἀριστοτέλης, καὶ ἐν
αὐτοῖς πάλιν τοῖς τε ἁπλοῖς λόγοις καὶ τοῖς συνδέσμῳ τὸ ἓν ἔχειν λεγο- 10
μένοις θεωρουμένης τῆς κατὰ τὸ καταφατικὸν καὶ τὸ ἀποφατικὸν διαφορᾶς,
25 τῆς δέ γε ἀπὸ τῶν σημαινομένων διακρίσεως τῶν λόγων τῆς μὲν ποιούσης
ἕνα τῆς δὲ πολλούς, τρεῖς ἔσονται τῶν λόγων ἀντιθέσεις, ἁπλοῦ πρὸς σύν- 15
θετον, πρώτου πρὸς ὕστερον, ἑνὸς πρὸς πολλούς. δι' ὧν μὲν οὖν ἔλεγεν
ἔστι δὲ εἷς πρῶτος λόγος ἀποφαντικός τὴν κατὰ τὸ πρῶτον καὶ
ὕστερον τῆς καταφάσεως πρὸς τὴν ἀπόφασιν παρεδίδου διαφοράν, ἐνδεικνύ-
30 μενος ὅτι μόνους τούτους ἁπλοῦς ὄντας λόγους κυρίως ἀξιοῦμεν τῆς τοῦ 20
ἑνὸς προσηγορίας τῷ προστιθέναι οἱ δὲ ἄλλοι πάντες συνδέσμῳ εἷς,
ὡς ἂν οὐ δυναμένων ἡμῶν ἁπλῶς ἕνα τῶν λόγων ἐκείνων τινὰ ὀνομάζειν,
τὸ δὲ κοινὸν τῆς καταφάσεως πρὸς τὴν ἀπόφασιν, ὅτι ἄμφω εἰσὶν ἁπλαῖ
ἀποφάνσεις, καθ' ὃ καὶ διακρίνονται τῶν συνδέσμῳ τὸ ἓν ἐχόντων. ἐν 25
35 ἐκείνοις οὖν προστιθεὶς δι' ὧν ἔλεγεν ἔστι δὲ εἷς πρῶτος λόγος ἀπο-
φαντικὸς ὁ ἓν δηλῶν, πολλοὶ δὲ οἱ πολλὰ καὶ μὴ ἕν, τὴν ἐπὶ τῶν |
σημαινομένων διαίρεσιν ἡμῖν παρεδίδου τοῦ τε ἑνὸς λόγου καὶ τῶν πολλῶν. 64v
ἐν δέ γε τοῖς νῦν προκειμένοις τὴν κατὰ τὸ ἁπλοῦν καὶ τὸ σύνθετον διαί-

---

6 τῶν] τὸν Ma 7 τῶν] τὸν Aa 13 οἱ (ante ἀσύνδετοι) om. a 16 πρότερον ἐλέγομεν] p. 72, 15 17 περὶ] ἀπὸ a 19 τὸ τί ἐστιν M 23 λόγοις om. M 24 τὸ (ante ἀποφατ.) om. Ma 25 ἀπὸ] ὑπὸ Ma 26 αἱ ἀντιθέσεις a ἁπλοῦν M 27 πολλά a 30 τοὺς λόγους A 34 συνδέσμῳ Brand.: συνδέσμων libri 35 πρῶτος eicias (cf. v. 12) 36 ἢ ὁ ἓν δηλῶν ἢ ὁ συνδέσμῳ εἷς ab (cf. v. 12)

ρεσιν αὐτῶν παραδίδωσιν, αὐτὸ τοῦτο σαφέστατα διοριζόμενος ὅτι κατὰ τὴν ἁπλότητα διαφέρουσιν ἡ κατάφασις καὶ ἡ ἀπόφασις τῶν συνδέσμῳ τὸ ἓν ἐχόντων λόγων· τὴν γὰρ κοινοτέραν λεγομένην ἀπόφανσιν διελὼν πρῶτον εἰς τὴν ἁπλῆν καὶ τὴν σύνθετον, πάλιν τὴν ἁπλῆν εἰς τὴν κατάφασιν διαιρεῖ καὶ τὴν ἀπόφασιν, ὧν τὴν πρὸς ἀλλήλας τάξιν ἔμπροσθεν παραδέδωκε. καὶ εἴ γε τὴν τάξιν τῆς διδασκαλίας τῶν διαιρέσεων ἐναλλάξας τὴν μὲν διαφορὰν τῆς ἁπλῆς ἀποφάνσεως πρὸς τὴν σύνθετον πρότερον ἦν ἡμῖν παραδούς, ἐπὶ δὲ ταύτῃ τὰ πρότερον εἰρημένα περὶ τῆς τάξεως, ἣν ἔχουσι πρὸς ἀλλήλας ἥ τε κατάφασις καὶ ἡ ἀπόφασις, τελευταίαν δὲ προσθεὶς τὴν ἀπὸ τῶν σημαινομένων διαφορὰν τοῦ ἑνὸς λόγου πρὸς τοὺς πολλούς, ὥστε οὕτως ἐξ ἀρχῆς εἰπεῖν 'τοῦ ἀποφαντικοῦ λόγου ὁ μέν ἐστιν ἁπλοῦς ὁ δὲ σύνθετος ἐκ πλειόνων λόγων, καὶ τοῦ ἁπλοῦ ὁ μὲν πρῶτος ὁ δὲ δεύτερος, καὶ ἑκάτερος τούτων ὁ μὲν εἷς ὁ ἓν σημαίνων ὁ δὲ πολλοὶ ὁ πολλὰ σημαίνων', οὐδενὶ ἂν ἔδοξε τὰ αὐτὰ πολλάκις περὶ τῶν αὐτῶν εἰρηκέναι.

Οὐ δεῖ δὲ οἴεσθαι τὸν ὁρισμὸν τῆς ἁπλῆς ἀποφάνσεως ἤ, ὡς φαῖεν ἄν τινες, ὑπογραφὴν ἐκ τῆς καταφάσεως ἀποδίδοσθαι καὶ τῆς ἀποφάσεως διὰ τὸ λέγεσθαι ὑπὸ τοῦ Ἀριστοτέλους ἁπλῆ ἀπόφανσίς ἐστι οἷόν τι κατά τινος ἤ τι ἀπό τινος καὶ πάλιν φωνὴ σημαντικὴ περὶ τοῦ εἰ ὑπάρχει τι ἢ μὴ ὑπάρχει, ὧν τὰ μέν εἰσι δηλον|ότι καταφάσεις 65r τὰ δὲ ἀποφάσεις· ὅπερ τινὲς ὑπολαβόντες οὐ γένος εἶναι τὴν ἀπόφανσιν ἐνόμισαν, ἀλλὰ φωνὴν ὁμωνύμως εἰς διάφορα σημαινόμενα διαιρουμένην τὰ ὑπ' αὐτήν· ταῖς γὰρ ὁμωνύμοις φωναῖς προσήκουσιν αἱ ἀπὸ τῶν σημαινομένων ὑπ' αὐτῶν διδασκαλίαι διὰ τὸ ταύτας μηδεμιᾶς κοινῆς φύσεως εἶναι δηλωτικάς, ἣν οἱ ὁρισμοὶ σημαίνουσι· τὸν μὲν γὰρ ὁρισμὸν τῆς ἀποφάνσεως ἔχομεν ἤδη διὰ τῶν ἔμπροσθεν παραδεδομένων, ὅτι ἐστὶ λόγος ἐν ᾧ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι ὑπάρχει· ἐν δέ γε τούτοις προθέμενος διακρῖναι τὴν ἁπλῆν ἀπόφανσιν ἀπὸ τῆς συνθέτου καὶ εἰπεῖν τίνες αἱ ἁπλαῖ ἀποφάνσεις, ἐξ ὧν αἱ σύνθετοι ἔχουσι τὴν γένεσιν, ὅτι κατάφασις καὶ ἀπόφασις, καὶ τοὺς ὁρισμοὺς αὐτῶν ἀποδοῦναι, τὴν εἰς τὰ εἴδη διαίρεσιν αὐτῆς εἰκότως παραδίδωσιν, ἤτοι λόγον ἐννοηματικὸν ἀπὸ τῆς εἰς τὰ εἴδη διαιρέσεως εἰλημμένον. ὅτι δὲ γένος εἶναι βούλεται τὴν ἀπόφανσιν ὁ φιλόσοφος, σαφῶς ἐδήλωσεν ἐν τοῖς ὁρισμοῖς τῆς τε καταφάσεως καὶ τῆς ἀποφάσεως αὐτὴν παραλαβὼν καὶ ταύτῃ ὡς γένει τὰς διαφορὰς προστιθείς, ἐπὶ μὲν τῆς καταφάσεως τὸ τινὸς κατά τινος, ἐπὶ δὲ τῆς ἀποφάσεως τὸ τινὸς ἀπό τινος. ἐπεὶ δὲ τὸ εἰ ὑπάρχει τινὶ ἢ μὴ ὑπάρχει ὡς κατὰ μόνον τὸν ἐνεστῶτα προενήνεκται χρόνον, αἱ δὲ ἀποφάνσεις καὶ κατὰ

---

3 ἀπόφασιν A 5 ἔμπροσθεν] p. 17a8 7 ἦν om. M 9 τε om. a δὲ om. a 13 ὁ (ante δὲ)] οἱ Aa 17 ἐστιν ἀπόφ. colloc. b ἀπόφασις A οἷον om. a 18. 19 περὶ τοῦ ὑπάρχειν τι ἢ μὴ ὑπάρχειν ab (cf. v. 35) 19 τι] an τί τινι? (cf. v. 35) ὑπάρχη (alt. l.) A 24 ἢν om. A οἱ om. M 26 προσθέμενος AM 28 ἀποφάσεις a οἱ σύνθετοι A 29 εἴδη] ἤδη a 30 ἀποδίδωσιν M 31. 32 βούλεται post φιλ. colloc. a 33 γένη a προτιθεὶς Ma 35 τινὶ (cf. v. 19) ὑπάρχη (alt. l.) A 36 προσενήνεκτο AM χρόνον προεν. colloc. a ἀποφάσεις A καὶ om. M

τὸν παρεληλυθότα καὶ κατὰ τὸν μέλλοντα λέγεσθαι ὁμοίως δύνανται, διὰ τοῦτο προσέθηκε τὸ ὡς οἱ χρόνοι διῄρηνται. |

p. 17a26 Ἐπεὶ δὲ ἔστι καὶ τὸ ὑπάρχον ἀποφαίνεσθαι ὡς μὴ 65v
ὑπάρχον καὶ τὸ μὴ ὑπάρχον ὡς ὑπάρχον καὶ τὸ ὑπάρχον ὡς
5 ὑπάρχον καὶ τὸ μὴ ὑπάρχον ὡς μὴ ὑπάρχον, καὶ περὶ τοὺς
ἐκτὸς δὲ τοῦ νῦν χρόνους ὡσαύτως, ἅπαν ἂν ἐνδέχοιτο καὶ ὃ
κατέφησέ τις ἀποφῆσαι καὶ ὃ ἀπέφησε καταφῆσαι· ὥστε πάσῃ 15
καταφάσει ἐστὶν ἀπόφασις ἀντικειμένη καὶ πάσῃ ἀποφάσει
κατάφασις. καὶ ἔστω τοῦτο ἀντίφασις, κατάφασις καὶ ἀπόφασις
10 αἱ ἀντικείμεναι. λέγω δὲ ἀντικεῖσθαι τὴν τοῦ αὐτοῦ κατὰ τοῦ
αὐτοῦ, μὴ ὁμωνύμως δέ, καὶ ὅσα ἄλλα τῶν τοιούτων προσδιορι-
ζόμεθα πρὸς τὰς σοφιστικὰς ἐνοχλήσεις.

Βούλεται μὲν διὰ τούτων παραδοῦναι τὸν ὁρισμὸν τῆς ἀντιφάσεως 20
καὶ εἰπεῖν ὅτι ἐστὶ μάχη καταφάσεως καὶ ἀποφάσεως διαιρουσῶν ἀεὶ τό
15 τε ἀληθὲς καὶ τὸ ψεῦδος, ὥστε τῆς ἑτέρας αὐτῶν ψευδομένης ἀληθεύειν
τὴν ἑτέραν καὶ ἔμπαλιν. πρὸ δέ γε τούτου προλαβεῖν ἐξ ἀνάγκης ἔδει ὅτι 25
ἔστι μάχη ψευδοῦς τε ἀποφάσεως πρὸς ἀληθῆ κατάφασιν καὶ ψευδοῦς
καταφάσεως πρὸς ἀληθῆ ἀπόφασιν. ἵνα οὖν τοῦτο οὕτως | ἔχον ἐπιδείξῃ, 66r
λαμβάνει δύο ἀντιθέσεις, μίαν μὲν ἀπὸ τῶν πραγμάτων αὐτῶν, ἑτέραν δὲ
20 ἀπὸ τῆς ἡμετέρας περὶ τῶν πραγμάτων ἐπικρίσεως· ἐπεὶ γὰρ περὶ κατα-
φάσεως καὶ ἀποφάσεως ὁ λόγος, ἑκατέρα δὲ τούτων ἐν συμπλοκῇ θεωρεῖται 5
κατηγορουμένου τινὸς πρὸς ὑποκείμενον, ἀπὸ μὲν τῶν πραγμάτων ἀντί-
θεσις λαμβάνεται ἡ λέγουσα ὅτι τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ ὑπάρχει
ἢ οὐχ ὑπάρχει, ἀπὸ δὲ τῆς ἡμετέρας περὶ αὐτῶν ἐννοίας ἡ προφορὰ ἡ
25 λέγουσα ὅτι τὸ κατηγορούμενον ἢ λέγομεν ἡμεῖς ὑπάρχειν τῷ ὑποκειμένῳ 10
ἢ λέγομεν μὴ ὑπάρχειν. τούτων οὖν τεττάρων ὄντων τμημάτων τῶν δύο
ἀντιθέσεων, τοῦ ὑπάρχειν, τοῦ μὴ ὑπάρχειν, τοῦ λέγεσθαι ὑπάρχειν, τοῦ
λέγεσθαι μὴ ὑπάρχειν, τέτταρες ἔσονται συμπλοκαί· ἢ γὰρ τὸ ὄντως ὑπάρ- 15
χον καὶ ἡμεῖς λέγομεν ὑπάρχειν ἢ τὸ ὄντως ὑπάρχον ἡμεῖς λέγομεν μὴ

1 κατὰ om. a 3 ante ἐπεὶ add. titulo Περὶ καταφάσεως καὶ ἀποφάσεως anteposito Κατάφασις δέ ἐστιν ἀπόφανσίς τινος κατά τινος, ἀπόφασις δέ ἐστιν ἀπόφανσίς τινος ἀπό τινος. Πᾶσα κατάφασις ἢ ἀπόφασις τὸ ἀληθὲς καὶ τὸ ψεῦδος διαιρεῖ καὶ οὐ διαιρεῖ. διαιρεῖ μὲν ὡς ἐπὶ τῶν αὐτῶν ὅρων τοῦ τε κατηγορουμένου καὶ τοῦ ὑποκειμένου, οὐ διαιρεῖ δὲ ὁμωνύμως πρὸς ἄλλο καὶ ἄλλο κατ' ἄλλο ἐν ἄλλῳ καὶ ἄλλῳ ἄλλως καὶ ἄλλως a μὴ — ἐνοχλήσεις (12) om. M 4 καὶ τὸ ὑπάρχον — ἐνοχλήσεις (12) om. a 5 καὶ περὶ — ἐνοχλήσεις (12) om. G 6 χρόνου A 7 ἀπέφησέ τις b ὥστε δῆλον ὅτι b 9 ἀντίφ. τοῦτο b 12 σοφιστ.] φωνιστικὰς F¹ 16 πρὸς δέ γε τοῦτο προσλαβεῖν AMa 20 περὶ τὰ πράγματα AMa περὶ (alt.) suppl. G² 21 ὁ om. A 22. 23 λαμβ. ἀντίθ. colloc. a 23 τῷ ὑποκ. — κατηγορούμενον (25) om. F 24 οὐχ] μὴ Ma ἡ προφορὰ] ἢ καὶ προφορᾶς AMa 25 ἢ λέγομεν om. a ἡμεῖς om. M 27 τοῦ ὑπάρχοντος τοῦ μὴ ὑπάρχοντος AMa 28 μὴ ante λέγ. colloc. G² ἢ] καὶ FG 28. 29 ὑπάρχον] ὑπάρχειν G 29 καὶ ἡμεῖς om. FG

ὑπάρχειν ἢ τὸ μὴ ὑπάρχον ἡμεῖς λέγομεν ὑπάρχειν ἢ τὸ μὴ ὑπάρχον μὴ ὑπάρχειν φαμέν. εἰ μὲν οὖν τὸ ὑπάρχον ὑπάρχειν λέγομεν, οἷον τὸν Σωκράτην δίκαιον εἶναι, κατάφασιν ἀληθῆ ποιοῦμεν τὸ ὄντως ὑπάρχον τῷ Σωκράτει τὸ δίκαιον λέγοντες ὑπάρχειν, εἰ δὲ τὸ ὑπάρχον μὴ ὑπάρχειν, ἀπόφασιν ψευδῆ, οἷον εἰ λέγοιμεν τὸν Σωκράτην δίκαιον μὴ εἶναι, διότι ὑπάρχον τῷ Σωκράτει τὸ δίκαιον λέγομεν ἡμεῖς μὴ ὑπάρχειν, εἰ δὲ αὖ τὸ μὴ ὑπάρχον ὑπάρχειν λέγοιμεν, οἷον τὸν Σωκράτην ἄδικον εἶναι, κατάφασιν ψευδῆ ποιοῦμεν μὴ ὑπάρχον τῷ Σωκράτει τὸ ἄδικον λέγοντες ὑπάρχειν, εἰ δὲ λοιπὸν τὸ μὴ ὑπάρχον μὴ ὑπάρχειν ἀποφαινόμεθα, οἷον τὸν | Σωκράτην μὴ εἶναι ἄδικον, ἀπόφασιν λέγομεν ἀληθῆ· ὃ γὰρ κατὰ ἀλή- 66v θειαν οὐχ ὑπάρχει τῷ Σωκράτει τὸ ἄδικον, τοῦτο καὶ ἡμεῖς μὴ ὑπάρχειν φαμέν· ποιεῖ γὰρ κατάφασιν μὲν ἢ ἀπόφασιν τὸ λέγειν ἡμᾶς ὑπάρχειν ἢ λέγειν μὴ ὑπάρχειν (φανερὸν γὰρ ὡς ὁ μὲν ὑπάρχειν τι λέγων καταφάσκει τοῦτο ὅ φησιν ὑπάρχειν ἐκείνου ᾧ φησιν αὐτὸ ὑπάρχειν, ὁ δὲ μὴ ὑπάρχειν λέγων ἀποφάσκει). ἀληθῆ δὲ ἢ ψευδῆ τὸ συμφώνως ἢ μὴ συμφώνως τοῖς πράγμασιν ἀποφαίνεσθαι· δῆλον γὰρ πάλιν ὅτι συναδόντως μὲν τοῖς πράγμασιν ἀποφαινόμενοι τῆς ἀληθείας τευξόμεθα, οἷον τὸ ὑπάρχον ὑπάρχειν εἰπόντες ἢ τὸ μὴ ὑπάρχον μὴ ὑπάρχειν, διαφωνοῦντες δὲ πρὸς τὴν τῶν πραγμάτων φύσιν ψευσόμεθα, οἷον τὸ ὑπάρχον μὴ ὑπάρχειν εἰπόντες ἢ τὸ μὴ ὑπάρχον ὑπάρχειν. τέτταρες οὖν ἡμῖν ἐντεῦθεν ἀνεφάνησαν προτάσεις, δύο μὲν καταφάσεις ἥ τε τὸ ὑπάρχον ὑπάρχειν καὶ ἡ τὸ μὴ ὑπάρχον ὑπάρχειν λέγουσα, δύο δὲ ἀποφάσεις αἱ λοιπαί. καὶ τῶν καταφάσεων ἡ μὲν ἀληθὴς ἡ δὲ ψευδής, ἀληθὴς μὲν ἡ τὸ ὑπάρχον ὑπάρχειν εἰποῦσα, ψευδὴς δὲ ἡ τὸ μὴ ὑπάρχον ὑπάρχειν. καὶ τῶν ἀποφάσεων πάλιν ἡ μὲν ἀληθὴς ἡ δὲ ψευδής, ἀληθὴς μὲν ἡ τὸ μὴ ὑπάρχον μὴ ὑπάρχειν εἰποῦσα, ψευδὴς δὲ ἡ τὸ ὑπάρχον μὴ ὑπάρχειν. οὐκοῦν εὕρομεν ὡς ἔστι πάντως τῇ ἀληθεῖ καταφάσει μαχομένη τις πρότασις ἡ ἀπόφασις ἡ ψευδὴς καὶ τῇ ψευδεῖ καταφάσει ἡ ἀληθὴς ἀπόφασις. ὥστε ἀνέφηνεν ἡμῖν ἐμμέθοδος ὁ λόγος ἐκ τῶν δύο διαιρέσεων ὁρμηθεὶς τέτταρα μὲν τὰ | κοινότατα τῶν προτάσεων εἴδη μετὰ τῆς ποιότητος τοῦ ἀληθοῦς 67r καὶ τοῦ ψευδοῦς θεωρούμενα, δύο δὲ ἀντιθέσεων ἐν προτάσεσιν, ἓν μὲν ἀληθοῦς καταφάσεως πρὸς ψευδῆ ἀπόφασιν, ἕτερον δὲ ψευδοῦς καταφάσεως

---

1 ὑπάρχειν λέγ. colloc. GM 2 alterum ὑπάρχειν] ὑπάρχειν εἶναι A: ὑπάρχον εἶναι M 5 λέγομεν Fa 5. 7. 10 σωκράτη A 7 λέγομεν GMa οἷον om. G post οἷον add. εἰ λέγοιμεν F 8 ἄδικον εἶναι AM 9 ἀποφαινώμεθα A 11 οὐχ] μὴ F 13 ὁ] εἰ M 14 ἐκείνω F αὐτῶ A 15 τὸ] τῶ F ἢ μὴ συμφώνως om. FG 16 συνάδοντος F 17 τευξόμεθα suppl. G² 17. 18 ὑπάρχειν] ὑπάρχον (utrobique) Ma 19 ψευδόμεθα Fa 21 ἡ (alt.) om. G 24 καὶ τῶν ἀποφάσεων – ὑπάρχειν (26) om. M 25 μὴ (prius) om. (alterum) eras. G 26 μὴ ὑπάρχον ὑπάρχειν A εὕρωμεν a πάντας G¹ 27 μαχομένη — καταφάσει (28) suppl. G² ἡ γὰρ ἀπόφ. FGa 28 post ψευδὴς add. τῇ ἀληθεῖ καταφάσει FGa 29 ἀνέφανεν FGa 31 τοῦ om. FMa δὲ om. G ἀντιθέσεων] corrigas ἀντιθέσεις ἓν — ἕτερον (32)] an μίαν — ἑτέραν? (cf. p. 83,34)

πρὸς ἀληθῆ ἀπόφασιν. ἅπερ προέκειτο εὑρεῖν ὡς ἀναγκαῖα πρὸς τὴν κατάληψιν τῆς ἀντιφάσεως, περὶ ἧς νῦν ἡμῖν ὁ λόγος.

Ταύτην γὰρ τὴν μάχην τῆς καταφάσεως πρὸς τὴν ἀπόφασιν ἀντίφασιν ὀνομάζειν ὁ Ἀριστοτέλης ἀξιοῖ, ὡς ἂν τῶν μορίων αὐτῆς τἀναντία φασκόντων ἀλλήλοις κατὰ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, αὐτὸς τοὔνομα αὐτῇ τοῦτο τιθέμενος, ὡς δηλοῖ λέγων καὶ ἔστω τοῦτο ἀντίφασις, καίτοι οὔτε ἐπὶ καταφάσεως οὔτε ἐπὶ ἀποφάσεως ἢ ἀποφάνσεως τοιοῦτον οὐδὲν εἰπών· ἔστι γὰρ τούτων τῶν ὀνομάτων ἕκαστον εὑρεῖν καὶ παρὰ τῷ θειοτάτῳ Πλάτωνι κείμενον, ὥσπερ καὶ τὰ πλεῖστα τῶν ἐν τούτοις παραδεδομένων περὶ τῶν ἀρχῶν τοῦ ἀποφαντικοῦ λόγου θεωρημάτων εὕροις ἂν πολλαχῇ τε παρ' αὐτῷ διεσπαρμένα καὶ διαφερόντως ἐν τῷ Σοφιστῇ παραδεδομένα μετὰ τοὺς πολλοὺς καὶ θαυμαστοὺς λόγους τοὺς περὶ τοῦ συγκεκραμένου τῷ ὄντι μὴ ὄντος, δι' ὧν δείκνυσιν ὅτι καὶ ἐν διανοίαις καὶ ἐν δόξαις καὶ ἐν τῷ προϊόντι μὲν ἀπὸ τούτων ἔξω δὲ ῥέοντι λόγῳ θεωρεῖται τὸ σύστοιχον αὐτοῖς μὴ ὄν, τοῦτ' ἔστι τὸ ψεῦδος· ἐν ἐκείνοις γὰρ τὸν προσήκοντα τῷ πρώτῳ φιλοσόφῳ τρόπον αὔταρκες ὑπολαμβάνων τὸ καὶ τῆς λογικῆς πραγματείας μόνα θεωρῆσαι τὰ περὶ τὰς ἀρχάς, ὅσα προσῆκον ἦν περὶ τῶν ἀρχῶν τοῦ ἀποφαντικοῦ λόγου διείλεκται, τοῖς προηγουμένως περὶ αὐτὴν ἐσπουδακόσι καταλιπὼν τὰς παντοδαπὰς διαφορὰς | τῶν τε εἰδῶν τῶν προτάσεων καὶ τῶν ἀντιθέσεων καὶ τῶν ἀκολουθήσεων 67v ἐξυφαίνειν. ἀλλὰ ταῦτα μὲν ἐκεῖθεν ἔξεστιν ἀναλέγεσθαι τοῖς φιλομαθέσιν.

Ἐπιστῆσαι δὲ χρὴ ὅτι ἐν τῇ τῶν προτάσεων ἀπαριθμήσει βουλόμενος ὁ Ἀριστοτέλης ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττονα προαγαγεῖν τὸν λόγον καὶ οἷον ἀπὸ στερήσεων ἐπὶ εἴδη, πρώτας μὲν παρέδωκε τὰς ψευδεῖς προτάσεις, ἐπὶ δὲ ταύταις τὰς ἀληθεῖς, καὶ ἐν ταῖς ψευδέσι προέταξε τὴν ψευδῆ ἀπόφασιν τῆς ψευδοῦς καταφάσεως, διότι καὶ ἡ ἀπόφασις αὐτὴ καθ' αὑτὴν χείρων ἐστὶ τῆς καταφάσεως στερήσεως πρὸς αὐτὴν ἔχουσα λόγον, ἐν δέ γε τῇ καταριθμήσει τῶν ἀληθῶν προτέρας μὲν μνημονεῦσαι βουληθεὶς τῆς ἀντικειμένης τῇ προτέρᾳ παραληφθείσῃ τῶν ψευδῶν, ἵνα ἡ προτέρα καταριθμηθεῖσα τῶν ψευδῶν μάχηται τῇ προτέρᾳ τῶν ἀληθῶν, δευτέρας δὲ τῆς τῇ δευτέρᾳ τῶν ψευδῶν ἀντικειμένης, ἵνα πάλιν ἡ δευτέρα τῶν ψευδῶν μάχηται τῇ δευτέρᾳ τῶν ἀληθῶν, διὰ τοῦτο προέταξεν ἀναγκαίως τὴν ἀληθῆ κατάφασιν τῆς ἀληθοῦς ἀποφάσεως. ἔχεις οὖν ἐντεῦθεν ἀναφαινομένας δύο ἀντιφάσεις, μίαν μὲν ψευδοῦς ἀποφάσεως πρὸς ἀληθῆ

---

1 ὡς ἀναγκαῖα] σὺν ἅμα a τὴν om. Ma κατάληψιν] κατάφασιν G¹
4. 5 τἀναντ.] ἐναντ. M 6 θέμενος F ἀντιφ. τοῦτο colloc. ab 8 καὶ] δὲ G
9 post πλεῖστα add. περὶ M 9. 10 παραδιδομ. G 10 εὕρης Fa 11 τε] τὰ G ἐν τῷ Σοφ.] p. 261 C sq. 13 συγκεκραμμένου AFG τοῦ μὴ A ὄντως a 15 αὐτοῖς] αὐτῆς G 16 πρώτω om. G τρόπω FM 17 τὸ] τε G¹a 21 ταῦτα μὲν] ταῦτ' ἂν G 22 ἐν τῇ om. F 23 παραγαγεῖν AM: προάγειν a 24 ἐπὶ εἴδη M: ἐπειδὴ AFGa παραδέδωκε AM: παρέδωκαν G¹a
25 ἀληθὴς F 26 ante ψευδοῦς superscr. δὲ G² διότι — καταφάσεως (27) om. F
27 αὐτὴν] ταύτην AM 30 τῶν ἀληθῶν F δευτέρα G 32 δευτέρᾳ] προτέρα G¹ 34 ἀντιθέσεις A

κατάφασιν, ἑτέραν δὲ ψευδοῦς καταφάσεως πρὸς ἀληθῆ ἀπόφασιν, καὶ οὐδὲ ἐπινοῆσαι παρὰ ταύτας ἄλλην ἐνδέχεται. διὰ τοῦτο μὲν οὖν συναγαγὼν ὅτι πάσῃ καταφάσει μάχεταί τις ἀπόφασις, τῇ μὲν ἀληθεῖ ἡ ψευδής, τῇ δὲ ψευδεῖ ἡ ἀληθής, καὶ πάσῃ ἀποφάσει κατάφασις ὡσαύτως, ὡρίσατο τὴν ἀντίφασιν μάχην καταφάσεως καὶ ἀποφάσεως τῶν κατὰ τὸ ἀληθὲς καὶ | τὸ 68r ψεῦδος ἀντικειμένων. ἐπεὶ δὲ οὔπω τὸ ἀκριβὲς εἶχεν ὁ τῆς ἀντιφάσεως ὁρισμός (οὐ γὰρ ἡ τυχοῦσα ψευδὴς ἀπόφασις ἀντίφασιν ποιεῖ πρὸς τὴν τυχοῦσαν ἀληθῆ κατάφασιν, οὐδ' ἡ τυχοῦσα ἀληθὴς ἀπόφασις πρὸς τὴν τυχοῦσαν ψευδῆ κατάφασιν· τίς γὰρ ἂν ἀντιφάσκειν εἴποι πρὸς τὸν εἰπόντα 'ὁ ἄνθρωπος ζῷόν ἐστι' τὸν λέγοντα 'ὁ ἄνθρωπος δίπους οὐκ ἔστι' διὰ τὸ εἶναι τὴν μὲν κατάφασιν ἀληθῆ τὴν δὲ ἀπόφασιν ψευδῆ, ἢ πρὸς τὸν εἰπόντα 'ὁ ἄνθρωπος τετράπους ἐστί' τὸν λέγοντα 'ὁ ἄνθρωπος λίθος οὐκ ἔστι' διὰ τὸ ἔμπαλιν ἔχειν τὰς προτάσεις;), διὰ τοῦτο προστίθησιν εἰκότως τίνας οἴεσθαι χρὴ τὰς ἀντικειμένας καταφάσεις καὶ ἀποφάσεις, ὅτι τὰς ὑποκειμένῳ τε τῷ αὐτῷ χρωμένας καὶ τὸν αὐτὸν αὐτοῦ κατηγορούσας κατηγορούμενον, ὅπερ ἐδήλωσεν εἰπὼν τὴν τοῦ αὐτοῦ κατὰ τοῦ αὐτοῦ, τοῦτο δέ ἐστιν ἀντιφάσκειν λέγω πρότασιν προτάσει τὴν τοῦ αὐτοῦ κατηγορουμένου ποιουμένην τὴν κατηγορίαν κατὰ τοῦ αὐτοῦ ὑποκειμένου τῷ παραληφθέντι καὶ ἐν τῇ ἑτέρᾳ προτάσει, πρὸς ἣν ἡ ἀντίθεσις· μάχεται γὰρ τῇ λεγούσῃ προτάσει 'ὁ ἄνθρωπος ζῷόν ἐστιν' ἡ λέγουσα 'ὁ ἄνθρωπος ζῷον οὐκ ἔστιν', ἀλλ' οὐχ ἡ λέγουσα 'ὁ ἄνθρωπος δίπους οὐκ ἔστιν', ἐπειδὴ αἱ μὲν κατὰ ἄμφω τοὺς ὅρους κοινωνοῦσιν αἱ δὲ κατὰ τὸν κατηγορούμενον διαφέρουσι, καὶ τῇ λεγούσῃ 'ὁ ἄνθρωπος λίθος ἐστίν' ἡ λέγουσα 'ὁ ἄνθρωπος λίθος οὐκ ἔστιν', ἀλλ' οὐχ ἡ λέγουσα 'ὁ ἵππος λίθος οὐκ ἔστι'· καὶ γὰρ αὗται διαφόροις χρῶνται τοῖς ὑποκειμένοις.

Ἵνα δὲ μὴ νομίσωμεν αὔταρκες εἶναι τὸ κατὰ μόνην τὴν λέξιν τὸν | αὐτὸν εἶναι ὑποκείμενον ὅρον καὶ τὸν αὐτὸν κατηγορούμενον, τοὺς ἀκρι- 68v βοῦντας ταῦτα διορισμοὺς προχείρους ἡμᾶς ἔχειν βουλόμενος προσέθηκε μὴ ὁμωνύμως δέ, καὶ ὅσα ἄλλα τῶν τοιούτων προσδιοριζόμεθα πρὸς τὰς σοφιστικὰς ἐνοχλήσεις· οὐ γὰρ ἀντιφάσκει πρὸς τὸν εἰπόντα 'Αἴας ἐμονομάχησεν Ἕκτορι' ὁ λέγων 'Αἴας οὐκ ἐμονομάχησεν Ἕκτορι'· καὶ γὰρ ἀληθεύειν ἄμφω καὶ ψεύδεσθαι ὁμοίως δυνατόν, καίτοι δοκοῦσιν ἐκ τῶν αὐτῶν ὑπάρχειν ὅρων αἱ προτάσεις· ἀλλ' ἡ ταυτότης αὐταῖς κατὰ τὴν λέξιν μόνην, οὐ μὴν κατὰ τὸ σημαινόμενον, ὅταν συναληθευούσας αὐτὰς ἢ συμψευδομένας λάβωμεν. εἰ μέντοι διορισάμενοι περὶ ποτέρου τῶν Αἰάντων ὁ λόγος κατηγοροῖμεν αὐτοῦ τὸ μονομαχῆσαι ἢ ἄλλ' ὁτιοῦν καταφα-

---

2 τοῦτο] τούτων A 9 ἂν F: om. GMa: evan. A ὁ a: om. codd. (cf. v. 20) 10 ὁ om. AM 12 ante τὸν λέγ. add. πρὸς A 13 προτίθησι F 14 post ὅτι add. τε G 16 κατὰ τοῦ αὐτοῦ — τὴν τοῦ αὐτοῦ (17) om. F 18. 19 τοῦ παραληφθέντος AMa 19 ἐν om. A ἡ ex εἰ corr. A ἀντίθεσις] ἀντίφασις Ma 21 ὁ ἄνθρωπος δίπους — οὐκ ἡ λέγουσα (24) om. M 24 οὐχ] οὐχὶ A 28 προστέθηκε (sic) F 29 δέ] τε FG τῶν τοιούτων om. M 34 post μόνην add. ἤτοι κατὰ τὴν ψιλὴν φωνήν Ma 34 μὴν om. FG αὐτὰς om. a 35 εἰ] οἱ a 36 κατηγοροῦμεν A

τικῶς τε καὶ ἀποφατικῶς, ἅμα καὶ τοὺς ἄλλους διορισμοὺς οὓς ἑξῆς προσθήσομεν παραφυλάττοντες, ἀνάγκη τὴν μὲν ἀληθῆ τῶν προτάσεων εἶναι τὴν δὲ ψευδῆ. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τοῦ κατηγορουμένου συμβαίνει πολλάκις διὰ τὸ καὶ ἐν ῥήμασιν εἶναι τὴν ὁμωνυμίαν· τὸ γοῦν ἐρῶ ῥῆμα σημαίνει μὲν καὶ τὸ ἐρωτικῶς διάκειμαι, σημαίνει δὲ καὶ τὸ λέξω, καὶ διὰ τοῦτο οὐκ ἀντίφασις τὸ 'ἐγὼ ἐρῶ — ἐγὼ οὐκ ἐρῶ', εἴπερ ἐπ' ἄλλου καὶ ἄλλου λαμβάνοιτο σημαινομένου. τοῦτό τε οὖν παραφυλακτέον τὸ μηδέτερον τῶν ὅρων ὁμώνυμον παραλαμβάνεσθαι, καὶ ἔτι τὸ μὴ πρὸς ἄλλο καὶ ἄλλο παραλαμβανόμενον καὶ διὰ τοῦτο δυνάμενον καταφάσκεσθαί τε ἀληθῶς καὶ ἀποφάσκεσθαι (οἷον εἰ λέγοιμεν 'τὰ δέκα πλείο|να — τὰ δέκα οὐ πλείονα'· 69r δῆλον γὰρ ὡς ἡ μὲν κατάφασις ἐπὶ τῶν ἐλαττόνων αὐτῶν ἀληθεύσει, ἡ δὲ ἀπόφασις ἐπί τε τῶν ἴσων αὐτοῖς καὶ τῶν πλειόνων), μήτε κατ' ἄλλο καὶ ἄλλο τῷ αὐτῷ ὑπάρχον τε καὶ μὴ ὑπάρχον (οἷον εἰ λέγοιμεν 'ὁ Λυδὸς μέλας' καὶ 'οὐ μέλας'· μέλας μὲν γὰρ κατὰ τὴν τοῦ δέρματος ἐπιφάνειαν, οὐ μέλας δὲ κατὰ τοὺς ὀδόντας), μήτε ἐν ἄλλῳ καὶ ἄλλῳ χρόνῳ τῷ αὐτῷ ὑπάρχειν τε καὶ μὴ ὑπάρχειν δυνάμενον, ἀλλ' εἶναι διωρισμένον καὶ τὸν χρόνον, καθ' ὃν ὑπάρχειν τι ἢ μὴ ὑπάρχειν ἀποφαινόμεθα· τὸ γὰρ 'ὑγίανε Σωκράτης' καὶ τὸ 'οὐχ ὑγίανεν' ἐνδέχεται συναληθεύειν, εἰ τὸ μὲν κατὰ τὸν πέρυσιν, εἰ τύχοι, χρόνον λαμβάνοιτο, τὸ δὲ κατὰ τὴν χθὲς ἡμέραν. δεῖ δὲ πρὸς τούτοις καὶ ὡσαύτως λαμβάνεσθαι τὸν κατηγορούμενον καταφασκόμενόν τε καὶ ἀποφασκόμενον. λέγω δὲ τὸ ὡσαύτως ἢ καθ' ἑκατέραν τῶν προτάσεων ἐνεργείᾳ ἢ καθ' ἑκατέραν δυνάμει, ἐπεὶ ἡ λέγουσα κατάφασις περὶ τοῦ καθεύδοντος ὅτι ὁρᾷ συναληθεύει τῇ ἀπαφάσει τῇ μὴ ὁρᾶν αὐτὸν ἀποφαινομένῃ, τῆς μὲν λαμβανομένης ἐπὶ τοῦ πεφυκέναι κατὰ τὴν ὀπτικὴν δύναμιν ἐνεργεῖν, ἂν μή τι κωλύσῃ, πρὸς διάκρισιν τοῦ τε μήπω ἀπειληφότος τὴν δύναμιν καὶ τοῦ ἀποβεβληκότος, τῆς δὲ ἐπὶ τοῦ μὴ ἐνεργεῖν τότε κατ' αὐτήν.

Περὶ τούτων οὖν ὁ Ἀριστοτέλης τελειότατα μὲν ἐν τῇ ⟨Περὶ⟩ τῶν σοφιστικῶν ἐλέγχων ἐπιγραφομένῃ πραγματείᾳ διείλεκται, τούς τε τρόπους ἅπαντας ἐκτιθέμενος τρισκαίδεκα ὄντας, καθ' οὓς οἱ σοφισταὶ τοὺς ἀνεπιστάτως αὐτοῖς διαλεγομένους πειρῶνται παραλογίζεσθαι, τούς τε παρὰ τὴν λέξιν ἓξ καὶ τοὺς ἑπτὰ τοὺς παρὰ τὴν διάνοιαν ἤτοι ἔξωθεν | ἁπλῶς τῆς λέξεως ὑπ' 69v αὐτῶν λαμβανομένους, καὶ τοὺς ἐλέγχους αὐτῶν παραδιδούς. ἐν δέ γε τούτοις ἑνὸς τρόπου τοῦ παρὰ τὴν ὁμωνυμίαν μνημονεύσας, ὅς ἐστιν εἷς τῶν παρὰ

1 ἄλλους γε Ma 5 τὸ (ante ἐρωτ.) om. A λέγω A 6 ante ἐγὼ οὐκ add. τὸ M: καὶ τὸ a 7 λαμβάνοιντο A σημαιν.] ὑποκειμένου G¹ τε om. AM μηδέτερον] μηδέποτε a 8 ὁμωνύμως AM: ὁμωνύμων G¹ 10 λέγομεν G 11 ἀληθεύει Ma 12 μήτε] μηκέτι M 12. 13 ἄλλο τε καὶ ἄλλο Ma 13 ὑπάρχοντι καὶ μὴ ὑπάρχοντι Ma 15 τὸ αὐτὸ AMa (cf. v. 13) 18 συναληθ.] καὶ ἀληθ. a 19 χρ. εἰ τύχοι colloc. Ma 21 ἢ] τὸ μὴ F ἑκατέρας F 22 τῶν προτάσεων — ἑκατέραν om. FG δυνάμεις F 26 μὴ ἐπὶ τοῦ colloc. a 28 ante οὖν add. μὲν A περὶ addidi 29 τε om. M 30 δυοκαίδεκα G¹ 31 περὶ τὴν λέξιν M post λέξιν add. τε A: evan. M 32 ἤτοι ἔξωθεν ἁπλῶς om. FG 24 παρὰ] περὶ M

τὴν λέξιν, ἀξιοῖ τὸν ὅμοιον ἡμᾶς τρόπον καὶ τοὺς ἄλλους ἅπαντας διορι- 5
σμοὺς παρατηρεῖν τοὺς ἀναγκαίους πρὸς τὴν ἀκρίβῃ τῶν ἀντιφασκουσῶν
ἀλλήλαις προτάσεων ἀντίθεσιν, παραιτησάμενος ὡς οὐκ ὂν ἐν καιρῷ τὸ
νῦν ἡμῖν παραδιδόναι τὴν περὶ τούτων ἀκριβολογίαν. ἐνοχλήσεις δὲ
5 πάνυ εἰκότως εἶπε σοφιστικὰς τὰς ἀκαίρους αὐτῶν ἐνστάσεις, πραγματειῶδες 10
μὲν οὐδὲν ἐχούσας, ὄχλον δὲ μόνον καὶ περιολκὴν ματαίαν τοῖς νοῦν ἔχουσι
παρεχούσας.

Ἀλλ' ἐπεὶ τὰ περὶ τῶν ἀρχῶν τοῦ ἀποφαντικοῦ λόγου διεπερανάμεθα, 15
τούτοις ἐφεξῆς τὰ περὶ τῶν προτάσεων αὐτῶν ἀπ' ἄλλης ἀρχῆς ἐπισκε-
10 ψώμεθα.

p. 17a38 Ἐπεὶ δέ ἐστι τὰ μὲν καθόλου τῶν πραγμάτων τὰ δὲ 20
καθ' ἕκαστον (λέγω δὲ καθόλου μὲν ὃ ἐπὶ πλειόνων πέφυκε
κατηγορεῖσθαι, καθ' ἕκαστον δὲ ὃ μή, οἷον ἄνθρωπος μὲν τῶν
καθόλου, Καλλίας δὲ τῶν καθ' ἕκαστον), ἀνάγκη δὲ ἀποφαί- 25
15 νεσθαι ὡς ὑπάρχει τι ἢ μὴ ὁτὲ μὲν τῶν καθόλου τινὶ ὁτὲ δὲ
τῶν καθ' ἕκαστον, ἐὰν μὲν | καθόλου ἀποφαίνηται ἐπὶ τοῦ 70r
καθόλου ὅτι ὑπάρχει τι ἢ μή, ἔσονται ἐναντίαι αἱ ἀποφάνσεις
(λέγω δὲ ἐπὶ τοῦ καθόλου ἀποφαίνεσθαι καθόλου οἷον 'πᾶς
ἄνθρωπος λευκός — οὐδεὶς ἄνθρωπος λευκός'), ὅταν δὲ ἐπὶ
20 τῶν καθόλου μέν, μὴ καθόλου δέ, αὗται μὲν οὐκ εἰσὶν ἐναντίαι, 5
τὰ μέντοι δηλούμενα ἔστιν εἶναί ποτε ἐναντία. λέγω δὲ τὸ μὴ
καθόλου ἀποφαίνεσθαι ἐπὶ τῶν καθόλου οἷον 'ἔστι λευκὸς ἄν-
θρωπος — οὐκ ἔστι λευκὸς ἄνθρωπος'· καθόλου γὰρ ὄντος τοῦ
ἄνθρωπος οὐχ ὡς καθόλου κέχρηται τῇ ἀποφάνσει· τὸ γὰρ πᾶς 10
25 οὐ τὸ καθόλου σημαίνει, ἀλλ' ὅτι καθόλου.

Ἄρχεται μὲν ἐντεῦθεν τὸ δεύτερον τοῦ βιβλίου κεφάλαιον, ὅπερ ἐλέ-
γομεν εἶναι περὶ τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεων ἢ
ἀποφάνσεων· δεῖ δέ γε ἡμᾶς πρὸ τῆς ἐξηγήσεως τῶν διὰ τοῦ ῥητοῦ λεγο- 15
μένων θεωρῆσαι τὰ πρὸς κατανόησιν τοῦ κεφαλαίου παντὸς ἀναγκαῖα·
30 ταῦτα δέ ἐστι πρῶτον μὲν τίνα τρόπον ἐκ τῶν καταφάσεων τούτων ποιοῦ-

---

1. 2 διορισμοὺς om. M 3 ὄν] ἂν M 5 εἰκότως] καλῶς Fa: om. G τὰς σοφ. τὰς A 7 post παρεχούσας add. διότι ἐν τοῖς σοφιστικοῖς ἐλέγχοις ἐνοχλοῦσι τὸν ἀποδεικνύοντα καὶ οὐκ ἐῶσιν αὐτὸν ἢ τὸν ἀκούοντα τὴν ἀλήθειαν εὑρεῖν Ma 9 τούτοις δὴ Fa 11 ante lemma add. ἀρχὴ τοῦ δευτέρου τμήματος AF: τμῆμα δεύτερον G^2: περὶ τοῦ δευτέρου τμήματος M: Ἀρχὴ τοῦ δευτέρου τμήματος. Περὶ τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεων a: om. G^1 12 καθέκαστα a λέγω — καθόλου (25) om. Ma 14 καθέκαστα G ἀνάγκη — καθόλου (25) om. G 16 μὲν οὖν b 17 αἱ om. A 18 ἀποφαίν.] ἀπόφανσιν F 20 αὗται μὲν om. F 21 μέντι A ἐναντ. ποτέ colloc. b 24 ἀποφάσει F 26 μὲν οὖν Ma 26. 27 ἐλέγομεν] p. 8,14 27 ἢ — ἐξηγήσεως τῶν (28) suppl. G^2 28 ἀποφάσεων A ἐξηγήσεως] ἐξετάσεως A^1M 30. p. 87,1 ποιούμεθα a

μεν τὰς ἀποφάσεις, ἔπειτα πῶς ἂν λάβοιμεν ἐκ διαιρέσεως ἁπάσας τὰς ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεις, ἵνα θαρροῦντες ἀποφαινώμεθα ὡς οὐκ ἂν εἴη κατὰ τοῦτο τῶν προτάσεων τὸ εἶδος ἄλλη παρὰ ταύτας πρότασις, καὶ ἐπὶ τούτοις τίνες μέν εἰσιν ἐν αὐταῖς αἱ ἀντιφατικῶς ἀλλήλαις ἀντικείμεναι, τίνες δὲ αἱ δοκοῦσαι μὲν ἀντιφάσκειν, κατὰ ἀλήθειαν δὲ οὐκ ἀντιφάσκουσαι, καὶ πῶς τὰς ἐκείνων πρὸς ἀλλήλας ἀντιθέσεις προσαγορευτέον.

Ὅτι μὲν οὖν ἡ κατάφασις τὸ ἀρνητικὸν προσλαβοῦσα μόριον ἀπόφασις γίνεται, φανερόν. ποῦ δὲ τῆς καταφάσεως αὐτὸ θετέον, ἵνα τὴν ἀπόφασιν ποιήσωμεν, καὶ διὰ τί τοῦτο, διορίσασθαι χρή. φημὶ τοίνυν ὡς οὐ τῷ ὑποκειμένῳ αὐτὸ συντακτέον, ἀλλὰ τῷ κατηγορουμένῳ, πρῶτον μὲν διότι κυριώτερόν ἐστι τὸ κατηγορούμενον, ὡς εἴρηται, καὶ πρότερον τοῦ ὑποκειμένου, ὅθεν καὶ ὅλος ὁ λόγος καλεῖται κατηγορικός (βουλομένους οὖν ἡμᾶς ἀνελεῖν τὴν κατάφασιν καὶ ποιῆσαι ἀπόφασιν οὐ χρὴ τὸ ἀρνητικὸν μόριον τὸ τῆς ἀναιρέσεως αἴτιον τῷ ἀκυροτέρῳ τῶν μορίων ἐπιφέρειν ἀλλὰ τῷ κυριωτέρῳ, ἐπεὶ καὶ τῶν ζῴων μᾶλλον δὲ πάντων τῶν ἐμψύχων οὐ τὸ τυχὸν τῶν μορίων ἀναιρεθὲν ἔφθειρε τὸ ὅλον ἀλλά τι τῶν κυριωτέρων), ἔπειτα ὅτι τὴν κατάφασιν κατὰ τὸ λέγειν τι ὑπάρχειν ἔφαμεν χαρακτηρίζεσθαι, τοῦτο δὲ ἔτι λέγει ἡ πρότασις ἡ συντάξασα τὸ ἀρνητικὸν μόριον τῷ ὑποκειμένῳ· ὁ γὰρ εἰπὼν 'οὐ Σωκράτης περιπατεῖ' οὐ τὸ περιπατεῖν ἀνεῖλεν ἀπὸ τοῦ Σωκράτους, ὅπερ ἔδει ποιεῖν τὸν ἀπόφασιν εἰπεῖν προθέμενον, ἀλλ' ἄλλον τινὰ παρὰ τὸν Σωκράτην φησὶ περιπατεῖν· πῶς οὖν ἂν εἴη ἀπόφασις τῆς 'Σωκράτης περιπατεῖ' ἡ μήτε περὶ τοῦ αὐτοῦ ὑποκειμένου διαλεγομένη καὶ ἄλλῳ τὸ περιπατεῖν λέγουσα ὑπάρχειν; ἀνάγκη ἄρα πρὸς τῷ κατηγορουμένῳ μόνως τιθεμένην τὴν ἄρνησιν ἀπόφασιν ποιεῖν, ὡς ἔχει ἡ λέγουσα πρότασις 'Σωκράτης οὐ περιπατεῖ'. ἡ ἄρα 'οὐ Σωκράτης περιπατεῖ' ἐπειδὴ δέδεικται μὴ οὖσα ἀπόφασις, πᾶσα δὲ πρότασις ἢ ἀπόφασίς ἐστιν ἢ κατάφασις, κατάφασις ἔσται ἀόριστον ἔχουσα τὸ ὑποκείμενον (τὸ γὰρ ὄνομα τὸ ἀρνητικὸν μόριον προσλαβὸν ἀόριστον προσαγορεύομεν ὄνομα), καὶ ταύτης ἀπόφασιν κατὰ τὸν αὐτὸν λόγον εὑρήσομεν οὖσαν τὴν 'οὐ Σωκράτης οὐ περιπατεῖ', πρὸς τῷ κατη-

2 ἀποφην. F 4 πρότασις G: τὰς προτάσεις AFMa 10 διὰ τί om. F χρὴ] δεῖ F 12 διότι om. M ὡς εἴρηται] p. 70,4 sq. post εἴρηται add. ἔνθα ἔλεγεν· ἀνάγκη δὲ πάντα λόγον ἀποφαντικὸν ἐκ ῥήματος εἶναι ἢ πτώσεως ῥήματος. καὶ ὁ πορφύριος φησὶν ὡς ἐν τῷ κατηγορικῷ εἴδει τοῦ ἀποφαντικοῦ λόγου τὸ κῦρος ἔχει μάλιστα τὸ κατηγορούμενον ὡς τὴν ὕπαρξιν τῆς ἀποφάνσεως σημαῖνον G et in mrg. A ὡς πρότερον G 13 ὅλος om. AM καλεῖται om. F 15 ἀναιρέσεως] ἀρνήσεως G ἀκυριωτέρω A: ἀκυρωτέρω FMa τῶν μορίων — κυριωτέρω (16)] προστιθέναι F: om. M 17 καιριωτέρων G 18 κατὰ] καὶ G τι] τὸ M ἔφαμεν] p. 17,2 20 οὐ (prius)] ὁ M 21 ἀπὸ om. AM τὸν] τὴν G¹ 22 ἄλλα A¹ σωκράτη utrobique A 23 ἂν οὖν colloc. Ma περιπατεῖν F an περιπ. ⟨προτάσεως⟩? ἡ om. AGMa περὶ suppl. G² 24 ἄλλως G 29 μόριον om. G 30 ἀόριστον om. A προσηγόρευεν G¹: προσηγορεύομεν G² αὐτὸν om. F 31 εὑρήσωμεν F οὐ (ante περιπ.) om. M τῷ] τὸ A

γορουμένῳ ἐν τῇ καταφάσει τὸ ἀρνητικὸν τιθεῖσαν μόριον. ὥστε περὶ τὸ αὐτὸ ὑποκείμενον δύο γίνονται ἀντιφάσεις, μία μὲν ὡς ὡρισμένῳ αὐτῷ χρωμένη, ἑτέρα δὲ ὡς ἀορίστῳ.

Τούτων οὖν οὕτως ἐχόντων ἑξῆς ἐπισκεψώμεθα τὰς διαιρέσεις, ἀφ' ὧν οἷόν τε τὸν ἀριθμὸν τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεων ἑλεῖν, καὶ πρότερον τὰς γινομένας ἐν αὐταῖς ἀντιφάσεις ἀριθμήσωμεν· φανερὸν γὰρ ὅτι αἱ προτάσεις διπλασίους ἔσονται τῶν ἀντιφάσεων. ἐπεὶ οὖν αἱ προτάσεις αὗται δύο τε μόνον ὅρους ἔχουσι, τὸν ὑποκείμενον καὶ τὸν κατηγορούμενον, καὶ ἔτι τὴν σχέσιν τοῦ κατηγορουμένου πρὸς τὸν ὑποκείμενον καὶ οὐδὲν ἄλλο παρὰ ταῦτα, πᾶσα ἀνάγκη καὶ τὰς διαιρέσεις αὐτῶν ἢ ἀπὸ μόνου γίνεσθαι τοῦ ὑποκειμένου ἢ ἀπὸ μόνου τοῦ κατηγορουμένου ἢ ἀπὸ τῆς σχέσεως τοῦ κατηγορουμένου πρὸς τὸν ὑποκείμενον. λέγω δὲ σχέσιν καθ' ἣν ὁ κατηγορούμενος ἢ ἀεὶ ὑπάρχει τῷ ὑποκειμένῳ, ὡς ὅταν εἴπωμεν τὸν ἥλιον κινεῖσθαι ἢ τὸν ἄνθρωπον ζῷον εἶναι, ἢ οὐδέποτε ὑπάρχει, ὡς ὅταν εἴπωμεν τὸν ἥλιον ἑστάναι ἢ τὸν ἄνθρωπον πτερωτὸν εἶναι, ἢ ποτὲ μὲν ὑπάρχει ποτὲ δὲ οὐχ ὑπάρχει, ὡς ὅταν εἴπωμεν τὸν Σωκράτην βαδίζειν ἢ ἀναγινώσκειν. ταύτας δὲ τὰς σχέσεις καλοῦσιν, οἷς ἐμέλησε τῆς τούτων τεχνολογίας, τῶν προτάσεων ὅλας, καὶ εἶναι αὐτῶν φασι τὴν μὲν ἀναγκαίαν τὴν δὲ ἀδύνατον τὴν δὲ ἐνδεχομένην. | καὶ τούτων 71v μὲν τῶν ὀνομάτων ἡ αἰτία προφανής, ὅλως δὲ καλέσαι τὰς σχέσεις ταύτας ὅλας ἠξίωσαν, ὅτι τοῖς ὑποκειμένοις ταῖς προτάσεσι πράγμασι συναναφαίνονται καὶ οὐκ ἀπὸ τῆς ἡμετέρας οἰήσεως ἢ κατηγορίας ἀλλ' ἀπ' αὐτῆς τῆς τῶν πραγμάτων λαμβάνονται φύσεως· τὸ γὰρ οὕτως ἔχον ὡς ἀεὶ ὑπάρχειν φαμὲν τὴν ἀναγκαίαν ὅλην ποιεῖν, καὶ τὸ ἀεὶ μὴ ὑπάρχον τὴν ἀδύνατον, καὶ τὸ ἐπαμφοτερίζον κατὰ τὸ ὑπάρχειν ἢ μὴ ὑπάρχειν τὴν ἐνδεχομένην. ἐπεὶ οὖν τὰ πράγματα ταῖς προτάσεσιν ὑπόκεινται, τὸ δὲ ὑποκείμενον πανταχοῦ ἢ ὅλην εἶναί φαμεν ἢ ὅλης λόγον ἔχειν πρὸς ἐκεῖνο ὧ ὑπόκειται, διὰ τοῦτο ὅλας αὐτὰς προσαγορεύειν ἠξίωσαν.

Ἡ μὲν οὖν ἀπὸ τοῦ ὑποκειμένου διαίρεσις τοῦτον γίνεται τὸν τρόπον· ὁ ὑποκείμενος ἐν τῇ προτάσει ἤτοι καθ' ἕκαστά ἐστιν ἢ καθόλου. καὶ ἔστιν ἄμεσος ἡ διαίρεσις· μίαν μὲν γάρ, ὡς ἐλέγομεν, εἶναι χρὴ φύσιν τὴν ὑπὸ τοῦ ὑποκειμένου σημαινομένην, καθάπερ καὶ τὴν ὑπὸ τοῦ κατηγορουμένου, εἴπερ μέλλοι μία ὄντως εἶναι ἡ πρότασις. ταύτην δὲ τὴν μίαν φύσιν ἀναγκαῖον ἤτοι κατά τινων πλειόνων κατηγορεῖσθαι ἢ καθ' ἑνὸς μόνου. καὶ εἰ μὲν εἴη τῶν καθ' ἑνὸς μόνου κατηγορουμένων τὸ ὡς ὑποκείμενον παραληφθὲν οἷον Σωκράτης ἢ Πλάτων, δῆλον ὅτι καθ' ἕκαστα

---

1. 2 τὸν αὐτὸν G 4 οὖν om. G 6 ἀριθ.] θεωρήσωμεν G¹ 8 αὗται om. F τε] γε A: om. G μόνους G 11 γίγν. AMa 13 τῷ] τῶν A 15. 16 ὑπάρχειν (ter) G 20 ταύτας] αὐτῶν A: αὐτὰς M 21 ante ταῖς additum ἐν del. G² 24 ὑπάρχειν G² 27 ὅλην G¹ ἔχον G 28 αὐτὰς F: αὐτὰ AGMa 29 τὸν τρ. γίν. colloc. M 30 ἐν τῇ iter. G 31 ἐλέγομεν] λέγομεν G (cf. p. 73,4 sq.) 32 prius ὑπὸ om. AM alterum τοῦ om. F 33 ὄντως om. F 34 τινων om. A 35 post prius μόνου add. ὑποκειμένου AMa

ἔσται ἡ πρότασις, εἰ δὲ τῶν κατὰ πλειόνων οἷον ἄνθρωπος ἢ ζῷον, καθόλου· καὶ παρὰ ταῦτα οὐκ ἔστιν. εἰ δὲ καθόλου εἴη, ἀναγκαῖον αὐτὸν ἤτοι δίχα προσδιορισμοῦ λέγεσθαι ἢ μετὰ προσδιορισμοῦ. προσδιορισμοὶ δὲ λέγονται προσρή|ματά τινα τὰ συνταττόμενα τοῖς ὑποκειμένοις καὶ δηλοῦντα ὅπως ἔχει τὸ κατηγορούμενον πρὸς τὸ πλῆθος τῶν ἀτόμων τῶν ὑπὸ τὸ ὑποκείμενον, εἴτε ὡς ὑπάρχον εἴτε ὡς μὴ ὑπάρχον λαμβάνοιτο· διὸ καὶ τέτταρές εἰσι τὸν ἀριθμόν, πᾶς καὶ οὐδείς, τίς καὶ οὐ πᾶς, δύο μὲν καθόλου ὁ πᾶς καὶ ὁ οὐδείς, δύο δὲ μερικοὶ ὁ τίς καὶ ὁ οὐ πᾶς. καὶ τῶν καθόλου ὁ μὲν καταφατικὸς ὁ πᾶς, οἷον 'πᾶς ἄνθρωπος ζῷον,' σημαίνων ὡς πᾶσι τοῖς ἀτόμοις τοῖς ὑπὸ τὸν ἄνθρωπον ὑπάρχει τὸ ζῷον, ὁ δὲ ἀποφατικὸς ὁ οὐδείς, οἷον 'οὐδεὶς ἄνθρωπος πτερωτός,' σημαίνων ὡς οὐδενὶ τῶν καθ' ἕκαστα ἀνθρώπων τὸ κατηγορούμενον ὑπάρχει. καὶ τῶν μερικῶν πάλιν ὁ μὲν καταφατικὸς ὁ δὲ ἀποφατικός· καταφατικὸς μὲν ὁ τίς, οἷον 'τὶς ἄνθρωπος λευκός,' σημαίνων ὅτι τὸ κατηγορούμενον ἑνί γέ τινι τῶν ὑπὸ τὸ ὑποκείμενον ἀτόμων ὑπάρχει, ἀποφατικὸς δὲ ὁ οὐ πᾶς, οἷον 'οὐ πᾶς ἄνθρωπος δίκαιος,' ἀναιρετικὸς ὢν τοῦ πᾶς καὶ σημαίνων ὡς οὐκ ἀληθὲς τὸ πᾶσι τοῖς ὑπὸ τὸ ὑποκείμενον ἀτόμοις τὸ κατηγορούμενον ὑπάρχειν. οὐ μόνον μέντοι ἐπὶ ἀτόμων ποιοῦνται τοὺς εἰρημένους ἀφορισμοὺς οἱ προσδιορισμοί, ἀλλ' εἴπερ τύχοι γένος ὂν τὸ ἐν τῇ προτάσει ὑποκείμενον, προηγουμένως μὲν ἁρμόσουσιν ἐπὶ τῶν ὑπὸ τὸ γένος ἐκεῖνο ἀναφερομένων εἰδῶν, ὅταν οὐσιῶδές τι ᾖ τὸ κατ' αὐτοῦ κατηγορούμενον, κατὰ δεύτερον δὲ λόγον καὶ τῶν ὑπὸ τὰ εἴδη ἐκεῖνα ἀτόμων, ἐπεὶ οὐδὲ ἄλλως μετέχειν τὰ ἄτομα τοῦ γένους δυνατόν, εἰ μὴ διὰ μέσων τῶν οἰκείων εἰδῶν. ὅταν οὖν εἴπωμεν 'πᾶν ζῷον οὐσία' ἢ 'τὶ ζῷον πτηνόν', ἐπεὶ | κατ' οὐσίαν τοῖς ὑποκειμένοις τὰ κατηγορούμενα ὑπάρχει, τὴν μὲν οὐσίαν προηγουμένως κατηγορεῖσθαι φήσεις πάντων ἁπλῶς τῶν εἰδῶν τοῦ ζῴου, τὸ δὲ πτηνὸν τῶν μετέχειν αὐτοῦ πεφυκότων, καὶ δι' ἐκεῖνα τῶν ὑπὸ τὰ εἴδη ἀτόμων. ἐνίοτε δὲ περὶ μόνων εἰδῶν ποιούμεθα τὴν ἀπόφανσιν, ὡς ὅταν εἴπωμεν πᾶν εἶδος τοῦ ποσοῦ τοῦ συνεστῶτος ἐκ θέσιν ἐχόντων τῶν μορίων καὶ τοῦ συνεχοῦς ἐστιν εἶδος' ἢ 'πᾶν φυσικὸν εἶδος ἐν τῷ κόσμῳ ἔχει τὴν οἰκείαν ὑπόστασιν.' δῆλον δὲ ὅτι τὰ συμβεβηκότα ἐπεισοδιώδη τε ὄντα καὶ πεφυκότα τῷ αὐτῷ ὑπάρχειν τε καὶ μὴ ὑπάρχειν τῶν μὲν ἀτόμων προηγουμένως ἐροῦμεν κατηγορεῖσθαι παντοδαπῶς κατά τε ταῦτα καὶ κατὰ τὴν οὐσίαν μεταβάλλεσθαι πεφυκότων, οὐ μέντοι κυρίως τῶν εἰδῶν τῶν οὐδὲ τὴν ἀρχὴν διὰ τὴν ἀσώματον καὶ ἄτρεπτον ἑαυτῶν φύσιν μετέχειν αὐτῶν δυναμένων.

---

1 ἢ om. FG 2 αὐτὸν] an αὐτὸ? 3 δίχα] χωρὶς F 4 ante προσρήμ. add. οἱονεὶ a τὰ om. Aa: ante τινα colloc. M συνταττ.] ταττ. M 7 καὶ (ante οὐδείς et οὐ) om. M 9 τῶν μὲν καθόλου ὁ μὲν Ma ὡς ὁ πᾶς AFG 11 ὡς ὁ οὐδείς A: ὡς οὐδείς M 15 ὁ om. A 16 σημαῖνον A 18 ἐπὶ supra scr. A εἰρημ.] ὁρισμένους a 19 ὑποκειμένου F 20 μὲν post ἁρμ. colloc. M τὸ om. M 22 ἐπὶ τῶν G^2 25 ὑπάρχειν F 27 ἐκείνων G 28 ἀπόφασιν AF 29 τῶν om. FG 30 εἶδός ἐστιν M 33 ταυτὰ G

Εἰ μὲν οὖν μηδεὶς τῶν προσδιορισμῶν προσκέοιτο τῷ ὑποκειμένῳ, λέγεται ἡ πρότασις ἀπροσδιόριστος, οἷον 'ἄνθρωπος ὑγιαίνει,' εἰ δὲ προσδιορισμόν τινα ἔχει, λέγεται ἡ πρότασις προσδιωρισμένη. ἀλλ' εἰ μὲν τῶν καθόλου εἴη ὁ προσδιορισμός, λέγεται καθόλου, εἰ δὲ τῶν μερικῶν, μερική. ἀναφαίνονται οὖν ἡμῖν ἐκ τῆς διαιρέσεως τοῦ ὑποκειμένου τέτταρα εἴδη τῶν ἐν προτάσεσιν ἀντιθέσεων, τῶν καθ' ἕκαστα, τῶν ἀπροσδιορίστων, τῶν καθόλου ἤτοι καθόλου ὡς καθόλου (καλοῦσι γὰρ αὐτὰς καὶ οὕτως διακρίνοντες τῶν ἄλλων τῶν ὁμοίως ταύταις ὑποκειμένῳ καθόλου χρωμένων τῷ ἐπὶ τούτων συντετάχθαι | τοὺς καθόλου προσδιορισμοὺς τοῖς καθόλου ὑπο- 73r
κειμένοις), καὶ ἐπὶ ταύταις τῶν μερικῶν ἤτοι καθόλου ὡς μερικῶν (ἔχουσι γὰρ αὗται τοὺς μερικοὺς προσδιορισμοὺς συντεταγμένους τοῖς καθόλου ὑποκειμένοις, διὸ καὶ οὕτω προσαγορεύονται· διαφέρουσι δὲ τῶν καθ' ἕκαστα αἱ μερικαὶ τῷ τὰς μὲν καθ' ἕκαστα ἐπί τινος ἑνὸς ὡρισμένου ποιεῖσθαι τὴν ἀπόφανσιν, οἷον Σωκράτους, τὰς δὲ μερικάς, εἰ καὶ πρὸς ἕν τι βλέπουσαι ἀποφαίνοιντο, μηδὲν ὡρισμένον σημαίνειν ἀλλ' ἐπί τινος τοῦ τυχόντος δύνασθαι ἀληθεύειν, ὡς ὅταν εἴπωμεν 'τὶς ἄνθρωπος δίκαιός ἐστιν'· οὐδὲν γὰρ μᾶλλον Σωκράτους χάριν ἀληθεύει ἡ πρότασις ἢ Πλάτωνος ἢ Ἀριστείδου· διόπερ ὀρθῶς ὁ Θεόφραστος τὴν μὲν καθ' ἕκαστα ὡρισμένην καλεῖ τὴν δὲ μερικὴν ἀόριστον), καὶ ἀντιδιαιρεῖται πρὸς μὲν τὴν ἁπλῶς καθόλου ἡ καθ' ἕκαστα, πρὸς δὲ τὴν καθόλου ὡς καθόλου ἡ μερική.

Τοιαύτη μὲν οὖν ἡ ἀπὸ τοῦ ὑποκειμένου τῶν προτάσεων διαίρεσις· ἀπὸ δέ γε τοῦ κατηγουμένου ταῦτα πάντα τὰ τέτταρα εἴδη τριπλασιάζεσθαι ῥητέον· ἐπεὶ γὰρ ἀνάγκη τὸν κατηγορούμενον ῥῆμα εἶναι, τὸ δὲ ῥῆμα προσσημαίνειν ἐλέγομεν χρόνον, ὁ δὲ χρόνος λαμβάνεται τριχῶς, κατὰ τὸ παρεληλυθὸς τὸ ἐνεστὸς τὸ μέλλον, δῆλον ὅτι τῶν τεττάρων εἰδῶν τῶν προτάσεων ἕκαστον τριχῶς ποικίλλειν ἀπὸ τοῦ κατηγορουμένου δυνατόν, οἷον ἐπὶ τῶν καθ' ἕκαστα λέγοντας 'Σωκράτης ὑγίανε' 'Σωκράτης ὑγιαίνει' 'Σωκράτης ὑγιανεῖ', ὥστε διὰ τοῦτο δώδεκα γίνεσθαι τὰ τῶν ἐν προτάσεσιν ἀντιθέσεων εἴδη· ὅτι γάρ ποτε καὶ παρὰ τοὺς χρόνους γίνεταί τις τῶν προτάσεων διαφορά, | διδάσκοντος ἀκουσόμεθα τοῦ Ἀριστοτέλους. ἐπεὶ 73v
δὲ ἑκάστην τῶν δώδεκα τούτων ἀντιθέσεων τριχῶς λαμβάνεσθαι δυνατὸν κατὰ τὰς τρεῖς ὅλας, ἓξ καὶ τριάκοντα γίνεσθαι συμβαίνει τὰς πάσας αὐτῶν ἀντιθέσεις ὡρισμένου ὄντος τοῦ ὑποκειμένου. ταύταις δὲ ἴσας ἀνάγκη γίνεσθαι τὰς ἐξ ἀορίστου τοῦ ὑποκειμένου (καθ' ἑκάστην γὰρ τῶν ὁρισμένῳ

---

2. 4 λέγοιτο AM 7 post ὡς καθόλου add. καὶ τῶν καθόλου μὴ καθόλου a 8 ὑποκειμένων G 13 ἑνὸς om. F 14 ἀπόφασιν AG καὶ εἰ colloc. FG 15 ἀποφαίνοιτο F τυχόντων F 17 ἀληθεύσει G πλάτων G¹ ἀριστίδου A 18 Θεόφραστος] fr. 57c (p. 428 ed. Wimmer) 18. 19 τὴν μὲν μερ. ἀόρ. καλεῖ τὴν δὲ καθ' ἕκ. ὡρ. colloc. F 21 ἡ ante διαίρ. colloc. G post ἀπὸ τοῦ add. ὑπὸ τοῦ F 22 πάντα] γε A: τε M: om. (sed post ῥητέον add. ἅπαντα) G 23 τὸ κατ. G 24 λέγομεν F (cf. p. 47,6) 25 ἐνεστὼς AF 27 λέγοντος M ante Σωκρ. add. οἷον F 30 διδ. ἀκουσ. τοῦ Ἀρ.] p. 18a28 ἀκουσώμεθα A 32. 33 πάσας τῶν ἀντιθέσεων A 33. 34 ταύταις—ὑποκειμένου om. FM 34 τοῦ om. Aa

χρωμένων τῷ ὑποκειμένῳ τὸ ἀνηρτικὸν μόριον τῷ ὑποκειμένῳ προσθεὶς τὴν ἐξ ἀορίστου ποιήσεις), ὥστε δύο καὶ ἑβδομήκοντα γίνεσθαι τὰς πάσας ἀντιθέσεις τε καὶ ἀντιφάσεις τῶν προκειμένων ἡμῖν εἰς ἐπίσκεψιν προτάσεων.

Ἀλλ' ἐπεὶ τὸν ἀριθμὸν αὐτῶν παραδεδώκαμεν, ἀκόλουθόν ἐστιν ἐφεξῆς ἐπικέψασθαι τίνες ἐν ταῖς ἀπηριθμημέναις ἀντιθέσεσιν αἱ ἀντιφατικῶς ἀλλήλαις ἀντικείμεναι προτάσεις, τίνες δὲ οὔ, καὶ τίνες μὲν αἱ πρὸς ἀλλήλας σχέσεις τῶν μὴ ἀντικειμένων ἀντιφατικῶς, τίς δὲ ἡ πρὸς ἑκατέραν τῶν ἐν αὐταῖς προτάσεων ἀντιφατικῶς μαχομένη· προείληπται γὰρ ὡς πάσῃ καταφάσει ἐστὶν ἀπόφασις ἀντιφατικῶς ἀντικειμένη καὶ πάσῃ ἀποφάσει κατάφασις. ὅτι μὲν οὖν αἱ καθ' ἕκαστα μάχονται ἀντιφατικῶς, παρὰ πᾶσιν ὡμολόγηται (παρέχει δέ τινα ἀπορίαν ἡ κατὰ τὸν μέλλοντα χρόνον αὐτῶν λῆψις, ἣν ἐν τοῖς ἑξῆς καὶ ἐκθήσεται καὶ ἐπιλύσεται ὁ Ἀριστοτέλης), τὰ δὲ περὶ τῶν ἀπροσδιορίστων διαφωνεῖται μὲν παρὰ τῶν ἀποφηναμένων τι περὶ τούτου τοῦ θεωρήματος, ὅπῃ δὲ τὸ ἀληθὲς ἔχει μαθεῖν ἀμήχανον. πρὶν ὅπως ἔχει τὰ περὶ τῶν προσδιωρισμένων ἐπισκεψώμεθα, περὶ ὧν οὐδεμία ἢ γέγονεν ἢ γέ|νοιτο ἂν ἀμφισβήτησις· ὥστε 74r πρότερον περὶ τούτων ῥητέον.

Ἐπεὶ τοίνυν ὡριζόμεθα τὴν ἀντίφασιν μάχην καταφάσεως καὶ ἀποφάσεως ἀεὶ διαιρουσῶν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, δῆλον ὅτι ἃς ἂν εὕρωμεν προτάσεις ἢ συμψευδομένας ποτὲ ἢ συναληθευούσας, ταύτας οὐκ ἂν εἴποιμεν ἀντιφατικῶς ἀντικεῖσθαι πρὸς ἀλλήλας. αἱ μὲν οὖν καθόλου ὡς καθόλου λεγόμεναι ὡς συμψευδόμεναι κατὰ τὴν ἐνδεχομένην ὕλην οὐκ ἂν λέγοιντο ποιεῖν ἀντίφασιν. οὐ μὴν ἀλλ' οὐδὲ τὰς μερικὰς ἀντιφάσκειν ἐροῦμεν ὡς ἐπὶ τῆς αὐτῆς ὕλης συναληθευούσας. καίτοι καθ' ἑκατέραν τῶν λοιπῶν ὑλῶν διαιροῦσιν ἄμφω τό τε ἀληθὲς καὶ τὸ ψεῦδος· ἐπὶ μὲν γὰρ τῆς ἀναγκαίας ὕλης αἱ μὲν καταφάσεις ἄμφω λέγουσαι εἶναι τὸ ἐξ ἀνάγκης ὑπάρχον ἀληθεῖς, αἱ δὲ ἀποφάσεις ἀναιρεῖν αὐτὸ πειρώμεναι ψευδεῖς, ἐπὶ δὲ τῆς ἀδυνάτου λεγομένης ἔμπαλιν εἰκότως ἔχουσιν· αἱ μὲν γὰρ ἀποφάσεις τὸ ἀδύνατον καὶ διὰ τοῦτο μηδέποτε ὑπάρχον λέγουσαι μὴ ὑπάρχειν ἀληθεῖς, αἱ δὲ καταφάσεις ὑπάρχειν αὐτὸ ἀποφαινόμεναι ψευδεῖς. ἐπὶ δὲ τῆς ἐνδεχομένης ἄμφω μὲν αἱ καθόλου ψευδεῖς, ἄμφω δὲ αἱ κατὰ μέρος ἀληθεῖς, διότι τὰ κατὰ ταύτην τὴν ὕλην κατηγορούμενα ποτὲ μὲν ὑπάρχειν τοῖς ὑποκειμένοις πεφύκασι ποτὲ δὲ μὴ ὑπάρχειν, καὶ τισὶ μὲν αὐτῶν ὑπάρχειν τισὶ δὲ μὴ ὑπάρχειν, οἷον 'πᾶς ἄνθρωπος λευκός — οὐδεὶς ἄνθρωπος λευκός' (αὗται ψευδεῖς ἄμφω, ἡ μὲν κατάφασις διὰ τοὺς Αἰθίο-

---

1 prius τῷ om. FG 4 ἐστιν om. G 5 post ἀντιθέσεσιν add. εἰσὶν G 6 προτάσεσι G 7 ἄλληλα F 8 αὐτοῖς G προείληπται] p. 84,2 12 ἐκθήσεται καὶ ἐπιλ. ὁ Ἀρ.] p. 18a33 13 παρὰ] περὶ FG 14 ἔχειν A 15 πρὶν] πλὴν G²a 15. 16 ἐπισκεψόμεθα FG 16 οὐδεμία] οὐ G prius ἢ om. GM 18 ὡριζ. scripsi: ὁριζ. libri (cf. p. 81,14) 19 διαιροῦσαν AMa 20 συμψευδ.] ψευδ. F 23 ἀλλ' om. AF 24 συναληθ.] ἀληθ. G 25 ὑλῶν om. M γὰρ] οὖν Ma 26 μὲν om. F λέγουσιν A¹G 32 ταύτην τὴν] αὐτὴν A: αὐτὴν τὴν Ma 35 αὗται δὲ F

πας, ἡ δὲ ἀπόφασις, εἰ τύχοι, διὰ τοὺς Σκύθας), 'τὶς ἄνθρωπος λευκός — οὐ πᾶς ἄνθρωπος λευκός'· | αὗται δῆλον ὅτι συναληθεύουσι. 74v

Τὰς μὲν οὖν καθόλου ὡς καθόλου δείξαντες μὴ ἀντιφασκούσας ὀνομάζουσιν ἐναντίας, ὅτι τῶν ἐναντίων εἰς ἄμεσα διαιρουμένων καὶ ἔμμεσα αἱ προτάσεις αὗται κατὰ μὲν τὴν ἀναγκαίαν καὶ τὴν ἀδύνατον ὅλην τοῖς ἀμέσοις ἐναντίοις ἐοίκασιν, ὧν τό τε ἕτερον ἐξ ἀνάγκης πάρεστι τῷ ὑποκειμένῳ καὶ αὗται τὴν ἑτέραν τῶν προτάσεων ἔχουσιν ἀληθῆ καὶ διὰ τοῦτο μιμουμένην τὴν τοῦ πράγματος ὕπαρξιν, ὥσπερ τὸ ψεῦδος εἰκών ἐστι τῆς ἀνυπαρξίας. κατὰ δὲ τὴν ἐνδεχομένην τοῖς ἐμμέσοις, ὧν δυνατὸν μηδέτερον παρεῖναι τῷ ὑποκειμένῳ. ἢ ἐπεὶ τὸ εἶναι ἄμεσά τινα τῶν ἐναντίων ἀμφισβητήσιμον, ὅπερ ὡς ὁμολογούμενον ἀξιοῦσι λαμβάνειν οἱ κατὰ τὸν προειρημένον τρόπον ἀποδιδόντες τὴν αἰτίαν τῆς ποσηγορίας τῶν ἐναντίων καλουμένων προτάσεων, μᾶλλον ῥητέον ὅτι τὰ ἐναντία συνυπάρχειν μὲν ἀλλήλοις κατ' ἐνέργειαν ἐπὶ τοῦ αὐτοῦ ὑποκειμένου ἀδύνατον, ἅμα δὲ αὐτοῦ ἀπεῖναι δυνατόν· αἱ οὖν προτάσεις αὗται οὐδέποτε μὲν συναληθεύουσαι ποτὲ δὲ καὶ συμψευδόμεναι καὶ ταύτῃ τὰ ἐναντία μιμούμεναι λέγοιντο ἂν εἰκότως ἐναντίαι. δυνατὸν δὲ λέγειν ὅτι καὶ ὡς τὴν πλείστην ἀλλήλων ἀφεστῶσαι διάστασιν ἐναντίαι προσαγορεύονται· τὰ γὰρ ἐναντία πλεῖστον ἀλλήλων διέστηκε τῶν ὑπὸ τὸ αὐτὸ γένος· οὕτω δὲ καὶ αὗται πρὸς ἀλλήλας ἔχουσιν, εἴπερ ἡ μὲν ἅπασί φησι τοῖς ὑπὸ τὸ ὑποκείμενον ἀτόμοις τὸ κατηγορούμενον ὑπάρχειν, ἡ δὲ οὐδενί. τὰς δέ γε μερικὰς καλοῦσιν ὑπεναντίας, ὡς ὑπὸ ταῖς ἐναντίαις τεταγμένας | κἀκείναις ἀκολουθούσας· ὅταν γὰρ ἡ ἑτέρα 75r τῶν καθόλου ἀληθεύῃ, τότε καὶ ἡ ὑπ' αὐτὴν τεταγμένη μερικὴ πρότασις ἀληθεύσει, ὡς οἷον μέρος αὐτῆς οὖσα καὶ περιεχομένη ὑπ' αὐτῆς· διὸ καὶ ὑπαλλήλους καλοῦσι τάς τε καταφάσεις, τὴν μερικὴν καὶ τὴν καθόλου, καὶ τὰς ἀποφάσεις ὁμοίως. αἱ μὲν οὖν κατὰ μέρος οὐδ' ἂν ἀντικεῖσθαι πρὸς ἀλλήλας κυρίως λέγοιντο· ποῖον γὰρ αὐταῖς εἶδος ἁρμόσει τῶν ἀντικειμένων; εἰ δὲ τὰς ἀντιφατικῶς ταύταις ἀντικειμένας ζητοίης, εὑρήσεις ἀντιφασκούσας ταῖς καθόλου τὰς κατὰ μέρος μετὰ τῆς κατὰ τὸ ποιὸν ἀντιθέσεως, τοῦτ' ἔστι τῇ μὲν καθόλου καταφάσει τὴν μερικὴν ἀπόφασιν, τῇ δὲ καθόλου ἀποφάσει τὴν μερικὴν κατάφασιν· ὥστε κατὰ τὸ ὑποκείμενον διάγραμμα τὰς διαγώνιον θέσιν πρὸς ἀλλήλας ἐχούσας τῶν προσδιωρισμένων προτάσεων ταύτας ἀντιφάσκειν ἀλλήλαις· ἀεὶ γὰρ αὗται διαιροῦσι τό τε ἀληθὲς καὶ τὸ ψεῦδος. καὶ τοῦτο εἰκότως· αἱ μὲν γὰρ ἐναντίαι καὶ ὑπεναντίαι κατὰ τὸ ποιὸν διαφέρουσαι τὸ ποσὸν τὸ αὐτὸ ἔχουσιν,

---

6 τε om. AGM παρέστη F 9. 10 μηδ. παρ. δυν. colloc. G 10. 11 ἀμφισβητήσεων G¹: ἀμφισβητήσιμα M 11 ὡς om. A 14 alterum αὐτοῦ om. F 15 συναληθεύουσι M 18 πλείστων Ma 18. 19 διεστηκότα A 19 τὸ γένος τὸ αὐτό A: τὸ γένος αὐτό M 20 ἡ μὲν om. A πᾶσι F 21 γε om. F 22 τεταγμέναις G κἀκείνας A 26 ἂν om. AGMa 29 μετὰ om. G 30. 31 καθόλου καταφάσει — τῇ δὲ om. F 30 καθ. καταφ.] καθέκαστα φασὶ A¹ καταφάσει] καφατικῇ M 32 πρὸς ἀλλήλαις A 33 ταύταις M 34 καὶ (post ἀληθὲς)] ἢ A

αἱ δὲ ὑπάλληλοι κατὰ τὸ ποσὸν διαφέρουσαι τὸ ποιὸν τὸ αὐτὸ ἔχουσιν, αὗται δὲ κατ' ἄμφω μαχόμεναι τελείαν ἔχουσι τὴν πρὸς ἀλλήλας διαφοράν. διὸ καὶ ἀδύνατον αὐτὰς ἢ συμψεύδεσθαι ἢ συναληθεύειν· ὅτι μὲν γὰρ ἐπὶ τῆς ἀναγκαίας ὕλης ἀληθευουσῶν τῶν καταφάσεων ψευδεῖς εἰσιν αἱ ἀποφάσεις, ἐπὶ δὲ τῆς ἀδυνάτου τοὐναντίον, προφανὲς ἐκ τῶν πρότερον εἰρημένων. ἐπὶ δὲ τῆς ἐνδεχομένης ψευδομένης τῆς καθόλου καταφάσεως ἡ μερικὴ ἀπόφασις ὡς ἀντιφάσκουσα πρὸς αὐτὴν ἀληθής, καὶ ψευδομένης τῆς καθόλου ἀποφάσεως | ἡ μερικὴ κατάφασις ὡς ἀντιφάσκουσα πρὸς αὐτὴν ἀληθής· διὸ ἐκείνων ἅμα ψευδομένων αὗται ἀληθεύουσιν.

καθ' ἕκαστα

Σωκράτης περιπατεῖ — Σωκράτης οὐ περιπατεῖ

ἀπροσδιόριστοι

ἄνθρωπος περιπατεῖ — ἄνθρωπος οὐ περιπατεῖ

(προσδιωρισμέναι

πᾶς ἄνθρωπος περιπατεῖ — καθόλου / ἐναντίαι — οὐδεὶς ἄνθρωπος περιπατεῖ

καταφατικαί ὑπάλληλοι — ἀντί φασις — ἀντί φασις — ἀποφατικαί ὑπάλληλοι

τὶς ἄνθρωπος περιπατεῖ — μερικαί / ὑπεναντίαι — οὐ πᾶς ἄνθρωπος περιπατεῖ

Ἐπεὶ δὲ θορυβεῖν εἴωθε τοὺς ἁπλουστέρους ἡ μερικὴ ἀπό|φασις ἐπὶ τῆς ἀδυνάτου ὕλης συμψεύδεσθαι δοκοῦσα τῇ καθόλου καταφάσει, ὡς ὅταν εἴπωμεν 'οὐ πᾶς ἄνθρωπος πτερωτός', διὰ τὸ δοκεῖν τῷ οὐ πᾶς συνεισάγεσθαι τὸ ἀλλὰ τὶς μὲν τὶς δὲ οὔ, ὅπερ ἐστὶν ἐναργῶς ἐπὶ τῶν ἀδυνάτων ψεῦδος, ῥητέον τι καὶ περὶ τούτων. ἔξεστι μὲν οὖν ἐκ τῶν πρότερον εἰρημένων περὶ τοῦ οὐ πᾶς προσδιορισμοῦ προχείρως ἀποδοῦναι τῆς ἀπορίας τὴν λύσιν· ἐλέγομεν γὰρ ὅτι τὸ οὐ πᾶς αὐτὸ μόνον καθ' αὑτὸ ληπτέον ὡς ἰδίαν ἔχον δύναμιν, καθ' ἣν τὸν πᾶς προσδιορισμὸν ἀναιρεῖ, μηδὲν ἕτερον ἐπισυρόμενον. ἐφ' ὧν οὖν πραγμάτων τὸ πᾶς φαίνεται ψευδόμενον, ἐπὶ τούτων τὸ οὐ πᾶς ἀληθές· ὥστε καὶ ἐπὶ τῶν προκειμένων ἐπειδὴ ὁ λέγων 'πᾶς ἄνθρωπος πτερωτός' ψεύδεται, ἀληθεύσει ὁ λέγων 'οὐ πᾶς πτερωτός'· ἢ γὰρ πᾶς ἢ οὐ πᾶς, ἀλλὰ τὸ πᾶς ψεῦδος, τὸ ἄρα οὐ πᾶς ἀληθές. ἵνα δὲ μᾶλλον αὐτῶν τὴν ἀπορίαν ἀποπληρώσωμεν, ῥητέον ὅτι

1 αἱ δὲ—ἔχουσιν om. M 3 καὶ om. FGMa ἢ (prius) om. A 5 εἰρ. πρ. colloc. G¹ 9 post αὗται add. ἅμα Ma 10 figuram recepi ex G, nisi quod προσδιωρισμέναι et ἐναντίαι om. et ἀντιφατικαί pro καταφατικαί habet. προσδιωρισμέναι addidi, reliqua ex ceteris libris correxi, quorum F paululum differt, Ma plus distant, figuram om. A 21 τῷ δοκεῖν τὸ δοκεῖν (sic) A τὸ οὐ πᾶς συνεισάγειν (συνάγειν M) AMa 23 τι] τε a 25 λέγομεν AMa (cf. 89,15) post πᾶς add. καθόλου ὡς μερικόν F 26. 27 μηδέτερον M 27 ἐπισυρ.] ἐπιφερ. F φαίνεσθαι A 29 λέγων ὡς F 31 ἀποπληρ.] ἀποκλείσωμεν F: ἀποπλήσωμεν G

ἡ μερικὴ ἀπόφασις παραπλησίαν ἔχει δύναμιν τῇ μερικῇ καταφάσει, κατ' αὐτό γε τὸ μερικόν· ὅπως ἂν οὖν ἔχῃ ἀληθείας ἡ μερικὴ κατάφασις, εἴτε ὡς ἀεὶ τῇ μερικῇ ἀποφάσει συντρέχουσα εἴτε μή, τὸν αὐτὸν ἕξει δῆλον ὅτι τρόπον καὶ ἡ μερικὴ ἀπόφασις· ἐπεὶ οὖν αἱ μὲν καταφάσεις ἕξεσί τισιν ἀνάλογοί εἰσιν αἱ δὲ ἀποφάσεις στερήσεσι, γνωριμώτεραι δὲ τῶν στερήσεων αἱ ἕξεις, ἀπὸ τῆς καταφάσεως ὡς γνωριμωτέρας τὸ κατὰ τὴν ἀπόφασιν θεωρητέον. τῆς οὖν καθόλου καταφάσεως κατὰ μόνην τὴν ἀναγκαίαν ὅλην ἀληθευούσης τὴν μερικὴν κατάφασιν ἐπὶ δύο μὲν ὅλων ἀληθεύουσαν ὁρῶμεν, ταύτης τε καὶ τῆς ἐνδε|χομένης, οὐ μὴν ἐπ' ἀμφοτέρων κατὰ τὸν αὐτὸν 76r τρόπον, ἀλλ' ἐπὶ μὲν τῆς ἐνδεχομένης δι' ἑαυτήν, ὥστε τὸ κατηγορούμενον τινὶ μὲν ὑπάρχειν τῷ ὑποκειμένῳ τινὶ δὲ μὴ ὑπάρχειν, (ὅτε καὶ συντρέχει ἡ μερικὴ κατάφασις τῇ μερικῇ ἀποφάσει, πρὸς δὲ τὴν καθόλου κατάφασιν διαφωνεῖ), ἐπὶ δὲ τῆς ἀναγκαίας οὐκέτι δι' ἑαυτὴν ἀλλὰ διὰ τὴν καθόλου· διὸ καὶ οὐ συντρέχει τότε τῇ μερικῇ ἀποφάσει· τὸ γὰρ 'τὶς ἄνθρωπος ζῷον' διὰ τὸ πᾶς ἀληθές, οὐκέτι μέντοι τὸ οὐ πᾶς ἀληθές, ὥσπερ ἐπὶ τῆς ἀδυνάτου διὰ τὴν καθόλου κατάφασιν ψευδομένην καθ' ὅλην ἑαυτὴν καὶ ἡ μερικὴ κατάφασις ψευδής, ὡς ὅταν εἴπωμεν 'τὶς ἄνθρωπος πτερωτός'· οὐδὲ γὰρ αὕτη δι' ἑαυτὴν ψευδής. τὸν αὐτὸν οὖν τρόπον καὶ τῆς καθόλου ἀποφάσεως κατὰ μόνην τὴν ἀδύνατον ὅλην ἀληθευούσης τὴν μερικὴν ἀποφασιν ἐπὶ δύο ὅλων ἀληθεύειν ἀνάγκη, τῆς τε ἐνδεχομένης καὶ μήτε συμφυοῦς μήτε παντελῶς ἀλλοτρίας (ὥστε καὶ δι' ἑαυτὴν ἔσται ἀληθὴς καὶ συντρέχει τῇ μερικῇ καταφάσει, διαφωνήσει δὲ πρὸς τὴν καθόλου ἀπόφασιν) καὶ ἔτι τῆς ἀδυνάτου, καθ' ἣν συνέσεται μὲν τῇ καθόλου ἀποφάσει ἅτε δι' ἐκείνην ἔχουσα τὸ ἀληθεύειν. διαφωνήσει δὲ πρὸς τὴν μερικὴν κατάφασιν. περὶ μὲν οὖν τούτων πλείω τῆς ἀξίας ἐνδιατέτριφεν ὁ λόγος, ὅλως δὲ περὶ αὐτῶν τῶν ἀποφατικῶν προσδιορισμῶν, ὅσα γλαφυρωτέραν ἔχοντα θεωρίαν ὁ φιλόσοφος παραδίδωσι Πορφύριος, πειραθῶμεν εἰπεῖν, προσεπινοοῦντες εἴ τι δυνάμεθα καὶ αὐτοὶ πρὸς τὴν σαφεστέραν περὶ αὐτῶν διδασκαλίαν.

Ἀπορήσειε γὰρ ἄν τις πῶς | ἐκ τῶν προσδιωρισμένων καταφάσεων 77r τὰς ἀποφάσεις ποιοῦντες οὐ τοῖς κατηγορουμένοις, ὥσπερ ἔμπροσθεν ἠξιοῦμεν, συντάττομεν τὰς ἀρνήσεις ἀλλ' αὐτοῖς τοῖς προσδιορισμοῖς, οἳ γίνονται μέρη τῶν ὑποκειμένων, οὐ τῶν καθ' αὐτοὺς λεγομένων ἀλλὰ τῶν ὥσπερ εἰδοποιηθέντων ὑπ' αὐτῶν. κατηγοροῦνται δὲ οὐδαμῶς, εἴ γε ὑποκείμενον μέν ἐστι περὶ οὗ ὁ λόγος, κατηγορούμενον δὲ τὸ περὶ ἐκείνου λεγόμενον·

— —

1 ἡ μερικὴ—δύναμιν om. F 1. 2 κατὰ τοῦτό γε AM 5 στέρησιν F 8 ἀληθευούσης] ἀληθοῦς οὔσης FMa κατάφ.] ἀπόφασιν F μὲν om. AFMa ἀληθεύουσαν — ὅλων (20) in mrg. suppl. F 9. 10 οὐ μὴν—ἐνδεχομένης iter. A 11 ὑπάρχει (pr. l.) A τῷ ὑποκ.] ὑποκειμένων F 12 πρὸς] ἀπὸ F 13 οὐκ ἔστι a 14 οὐ suppl. G² 17 ὡς—ψευδής (18) om. M 18 οὐδὲ] οὐ F αὕτη] αὐτὴ AFMa 19 ἀληθ.] ἀληθινῆς οὔσης G 21 ἐστιν F ἀληθὲς A 23 ἀδυν. ὕλης a συνέσται a 25 πλεῖον G 26 ἀποφαντικῶν (sed ν induct.) G ὅσω G 28 δυναίμεθα G 29 ἀπορήση F προσδιορ. M 30 ἔμπροσθεν] p. 87,10 31 γίγνονται A: λέγονται a

ἀποφαινόμεθα γὰρ περὶ παντὸς ἀνθρώπου ὅτι ζῷόν ἐστιν, οὐ μὴν ὅτι ἄνθρωπος πᾶν ζῷόν ἐστι (τοῦτο γοῦν καὶ ψεῦδος καὶ ἀδύνατον ὀλίγον ὕστερον ἀποδειχθήσεται), καὶ περὶ τοῦ τινὸς ἀνθρώπου ὅτι λευκός ἐστιν, οὐ μὴν ὅτι τὸ λευκὸν τὶς ἄνθρωπός ἐστι. πῶς οὖν οὔ φαμεν ἀπόφασιν τῆς 'πᾶς ἄνθρωπος περιπατεῖ' τὴν 'πᾶς οὐ περιπατεῖ' ἀλλὰ τὴν 'οὐ πᾶς περιπατεῖ', καὶ τῆς 'τὶς περιπατεῖ' τὴν 'τὶς οὐ περιπατεῖ' ἀλλὰ τὴν 'οὐδεὶς περιπατεῖ', καὶ τοῦτο τὸ οὐδεὶς ποίαν ποτὲ δύναμιν ἔχει, λεκτέον. ἄνωθεν οὖν πρὸς τὴν ἀπορίαν ἀπαντῶντες ἐροῦμεν κατὰ τοὺς πρότερον παραδεδομένους κανόνας τῷ κυριωτέρῳ πανταχοῦ τῆς προτάσεως μέρει δεῖν προσάγεσθαι τὰς ἀρνήσεις, ἵνα τὰς ἀποφάσεις ποιήσωμεν· ἐπὶ μὲν οὖν τῶν καθ' ἕκαστα προτάσεων καὶ τῶν ἀπροσδιορίστων κυριώτερον ὁρῶντες τὸ κατηγορούμενον τοῦ ὑποκειμένου καὶ τούτου κυριώτερον οὐδὲν εὑρίσκοντες ἐν ταῖς τοιαύταις προτάσεσιν, εἰκότως αὐτῷ προσήγομεν τὸ ἀποφατικὸν μόριον, ἐπὶ δέ γε τῶν προσδιωρισμένων τὸ κυριώτατόν ἐστιν ὁ προσδιορισμός· διὸ καὶ ἐντεῦθεν ἡ πρότασις ὀνομάζεται προσδιωρισμένη· καὶ γὰρ εἰ συντάττονται τοῖς ὑποκειμένοις | οἱ προσδιορισμοὶ καὶ γίνονται αὐτῶν, ὡς εἴρηται, μέρη, ἀλλ' 77v ἐφάπτονταί πως καὶ τῶν κατηγορουμένων δηλοῦντες εἴτε ἑνὶ τῶν ὑπὸ τὸ ὑποκείμενον εἴτε πᾶσιν ὑπάρχει τὸ κατηγορούμενον, ἐπειδὴ τὸ πλείοσι μὲν μὴ πᾶσι δὲ περιορίσαι δίχα τοῦ τὸν ἀριθμὸν προσθεῖναι οὐκ ἔστι. διὰ ταῦτα μὲν οὖν τούτοις εἰκότως τὸ ἀρνητικὸν συντάττεται μόριον καὶ αἱ τοῦτον τὸν τρόπον γινόμεναι ἀποφάσεις ἀντιφατικῶς ἀντίκεινται ταῖς καταφάσεσι, τῶν δὲ συνταττουσῶν αὐτὸ τῷ κατηγορουμένῳ ἡ μὲν ἐπὶ τῆς καθόλου καταφάσεως τοῦτο ποιοῦσα τῇ καθόλου ἀποφάσει τὴν αὐτὴν ἔχει δύναμιν (τὸ γὰρ 'πᾶς οὐ περιπατεῖ' ταὐτὸν σημαίνει τῷ 'οὐδεὶς περιπατεῖ'), ἡ δὲ ἐπὶ τῆς μερικῆς τῇ μερικῇ ἀποφάσει· τί γὰρ ἄλλο σημαίνει τὸ 'τὶς οὐ περιπατεῖ' ἢ ὅτι οὐ πᾶς περιπατεῖ; ὥστε ἐπὶ ταύτης συντρέχειν ἀλλήλαις τὰς καθ' ἑκάτερον τὸν τρόπον γινομένας ἀποφάσεις.

Τὸ μὲν οὖν οὐ πᾶς ὅτι σύνθετον ἔκ τε τοῦ πᾶς καὶ τοῦ ἀναιροῦντος αὐτὸ μορίου, φανερόν· τὸ δέ γε οὐδείς πόθεν ἐροῦμεν ἐσχηκέναι τὴν γένεσιν; ἐχρῆν γὰρ 'οὐχὶ τίς' εἶναι τὴν προτιθεῖσαν τοῦ τίς προσδιορισμοῦ τὸ ἀρνητικὸν μόριον ἀπόφασιν. ἢ ῥητέον ὅτι οὐδὲν ὡρισμένον κατὰ τὸ ποσὸν ἐσήμηνεν ἂν οὕτως λεγομένη, καὶ γὰρ μηδενὸς περιπατοῦντος καὶ πλειόνων περιπατούντων ἀληθὲς τὸ 'οὐχὶ τὶς περιπατεῖ'. καὶ ἔτι σαφέστερον ταῦτα

---

1 γὰρ scripsi: δὲ libri περὶ] παρὰ M 1. 2 ante ἄνθρ. add. ὁ F: πᾶς a 2 γοῦν] γὰρ F an ἀδύνατον ⟨ὂν⟩? δ' ὕστερον a 3 τοῦ τὶς ἄνθρωπος F ἐστιν om. FG 4 τὸ om. F οὔ om. G 5 an ἄνθρ. περιπ. ⟨προτάσεως⟩? ante οὐ περιπ. add. ἄνθρωπος a 6 τῆς] τὴν G^2 τὴν τις — οὐδεὶς περιπατεῖ suppl. G^2 7 τὸ οὐδεὶς] οὐδεὶς A: οὖν F 8 πρότερον παραδ.] p. 87,14 10 οὖν] αὖ A 13 ἀποφαντικὸν AFM 15 ὀν. ἡ πρότ. colloc. M καὶ γὰρ εἰ καὶ a 16 ὡς εἴρηται] p. 94,31 18 ἐπειδὴ G: ἐπεὶ δὲ AFMa 19 περιορίσασθαι M 20 μόριον συντ. colloc. AM 21 ἀντίκειται G 22 αὐτὸν F 24 τῷ] τὸ A 27 ἑκάτερον] ἕτερον AF τῶν τρόπων M τὸ μὲν οὖν — εἷς (p. 96,14) eicias (cf. p. 96,15 sq.) 28 τε om. G 30 προστιθεῖσαν FMa 32 ἐσήμανεν FM

ἔπασχεν ἂν τὸ 'οὐχὶ τὶς περιπατεῖ' ἢ τὸ κατὰ τὴν ἀπὸ τούτου συναλοιφὴν γινόμενον οὐχ εἷς. βουλόμενοι οὖν ἐμφῆναι ὡς οὔτε πᾶσιν οὔτε πλείοσι μὲν οὐ πᾶσι δὲ οὔτε ἑνὶ γοῦν τῶν ὑπὸ τὸ καθόλου ὑποκείμενον | ὑπάρχει 78r τὸ κατηγορούμενον λέγομεν τὸ οὐδείς σύνθετον ἐκ τριῶν τοῦ λόγου μερῶν. τοῦ οὐ ἀρνητικοῦ μορίου, τοῦ δέ συνδέσμου (εἴτε συμπλεκτικοῦ πρὸς τὸ μηδὲ πάντας μηδὲ πολλοὺς ὄντος εἴτε, ὡς ὁ φιλόσοφος ἀξιοῖ Πορφύριος, ἐπὶ φυλακῇ καὶ διαιρέσει τῆς ἀμφιβολίας εἰλημμένου), καὶ ἐπὶ τούτοις τοῦ εἷς ἀριθμητικοῦ ὀνόματος. ὃ καὶ κλινόμενον ὁρῶμεν 'οὐδενὸς περιπατοῦντος' λέγοντες καὶ κατὰ τὰς διαφορὰς τῶν τριῶν γενῶν ἀποδιδόμενον 'οὐδεμία περιπατεῖ' καὶ 'οὐδὲν περιπατεῖ'. τὸ μὲν οὖν οὐδείς ἀπὸ τοῦ δέ συνδέσμου κατὰ συναλοιφὴν τὴν ἀπὸ τοῦ οὐ δὲ εἷς γέγονεν. ὁμοίως ἔχον τῷ

μηδ' ὄντινα γαστέρι μήτηρ

καὶ ἀποκρινομένῳ τὸ παράπαν οὐδὲ γρῦ. τὸ δὲ οὐθείς ἀπὸ τοῦ τέ κατὰ συναλοιφὴν τοῦ οὔ τε εἷς.

Ἀλλὰ πῶς τῆς καταφάσεως τίς εἰπούσης ἐν τῇ ἀναιρούσῃ αὐτὴν ἀποφάσει τὸ οὐδείς λέγομεν; ἢ φήσομεν ὅτι τὸ εἷς ἁπλῶς μὲν θεωρούμενον τοῦ τίς ἐπὶ πλέον λαμβάνεται· τοῦ γὰρ τίς ἀεὶ βουλομένου συμπλέκεσθαι τῷ ὑποκειμένῳ, καθάπερ καὶ τῶν ἄλλων προσδιορισμῶν ἑκάστου διὰ τὸ σημαίνειν αὐτοὺς ὅπως ἔχουσι τὰ ὑπὸ τὸ ὑποκείμενον πρὸς τὸ μετέχειν ἢ μὴ τοῦ κατηγορουμένου, τὸ εἷς λαμβάνεται μὲν καὶ τοῦτον τὸν τρόπον ἐν τῷ

εἷς δέ τις ἀρχὸς ἀνὴρ

καὶ τῷ

εἷς κοίρανος ἔστω,

λαμβάνεται δὲ καὶ ὡς κατηγορούμενον οὐ μόνον ἐπὶ τῶν μοναδικῶς λεγομένων, οἷον ὅταν λέγωμεν 'ἥλιος εἷς ἐστι' ἢ 'κόσμος εἷς ἐστιν', ὅτε καὶ τὸ μόνος ἢ κατ' ἐνέργειαν ἢ πάντως κατὰ δύναμιν αὐτῷ προστίθεμεν, ἀλλὰ καὶ ἁπλῶς ἐπὶ ἑκάστου τῶν ὁπωσοῦν ὄντων, | ἵνα καὶ τὸ πλῆθος 78v αὐτῶν ὑπόστασιν ἔχῃ, τῶν προσδιορισμῶν οὔτε καθ' ἑαυτοὺς κατηγορεῖσθαι δυναμένων οὔτε ἄλλοις κατηγορουμένοις εὐλόγως συνδυαζομένων, ὡς διὰ τῶν ἑξῆς ὁ λόγος ἡμῖν ἐπιδείξει· διὰ ταῦτα μὲν οὖν τὸ εἷς, ὅπερ ἐλέγομεν, τοῦ τίς ἐπὶ πλέον λαμβάνεται, συντρέχοντα δὲ ἀλλήλοις ἐν τῷ συμπλέ-

---

1 τὶς] εἷς FG τὸ (alt.)] τὴν G 1. 2 γιν. συναλ. colloc. F 2 οὐχ εἷς] corrigas οὔτις 3 ὑποκειμένῳ Ma 4 τὸ (ante κατηγ.) suppl. G² an σύνθετον ⟨ὄν⟩? τῶν τριῶν G τοῦ om. FG 5 οὐ om. FG 6 μηδὲ (prius)] μηδὲν G ὄντας M 7 καὶ (ante ἐπὶ) om. M 9 τριῶν om. FG οὐδεμίαν F 10 καὶ οὐδὲν περιπατεῖ om. F 11. 14 συναλιφὴν F τὴν] τῶν Ma τῶ] τὸ G 12 μηδ' ὄντινα . .] Hom. Z 58 13 ἀποκρινομένου Ma γρῦ ex χρὴ corr. F 15 τῆς καταφ. τῆς a ante εἰπούσης add. καὶ μὴ εἷς M 16 ante τὸ οὐδεὶς add. μὴ τὸ οὐ τὶς ἀλλὰ Ma 17 τοῦ βουλ. G 20 τοῦ om. M εἷς ex τις corr. A μὲν om. A καὶ τοῦτον] κατὰ G¹ 22 εἷς δέ τις . .] Hom. A 144 23 τῶ] τὸ AF 24 εἷς κοίρ. ἔστω] Hom. B 204 25 μοναδικῶν AFGM 26 ἢ] καὶ FG 27 πάντων G¹ 30 ἀλόγως G διὰ] δὴ M 31 ὅπερ] ἅπερ G¹: καθάπερ G² 32 λαμβάνομεν A¹Fa

κεσθαι τοῖς ὑποκειμένοις, οὐ τοῖς καθ' ἕκαστα διὰ τὸ μηδὲν εἶναι αὐτῶν μέρος. ἀλλὰ τοῖς κατὰ πλειόνων κατηγορεῖσθαι πεφυκόσιν, ἐοίκασιν ἔχειν τινὰ καὶ τότε πρὸς ἄλληλα διαφοράν· ἐπεὶ γὰρ τῶν πολλῶν ἕκαστον καὶ 10
ὅλον τί ἐστι καὶ οἷον μέρος τοῦ κοινῶς κατ' αὐτῶν κατηγορουμένου, ὡς
5 μὲν ὅλον τι ὄν, κἂν ἄτομον εἴπῃς, ἀντιδιαστελλόμενον πρὸς τὰ ὁμοειδῆ τὴν τοῦ ἑνὸς ἐπιδέχεται πρὸς αὐτὸ συμπλοκήν, ὡς δὲ μέρος πως τοῦ κοινοῦ τυγχάνον τὴν τοῦ τινός· διὸ τῶν μόνως ὅλων οὐδὲ ἕν τι φάναι δυνατόν. 15
καὶ ἔχει ταύτην τὸ ἓν πρὸς τὸ τί τὴν διαφορὰν ἐπὶ τῶν μερικῶν. ἥνπερ καὶ τὸ ἑνικὸν ἄρθρον πρὸς τὸ πᾶς ἐπὶ τῶν καθόλου· καὶ γὰρ 'ὁ ἄνθρωπος
10 ζῷον' εἴποις ἂν καὶ 'πᾶς ἄνθρωπος ζῷον'· τὸ γὰρ ἄρθρον τὴν δύναμιν 20
ἔχει τοῦ καθόλου προσδιορισμοῦ, ὡς μαθησόμεθα πρὸς τῷ πέρατι τοῦ βιβλίου. ἀλλὰ τὸ μὲν ἄρθρον τῇ ἑνώσει προσήκει τοῦ καθόλου ὑποκειμένου (διὸ καὶ τῶν μοναδικῶν ἑκάστῳ καὶ τῶν ἀτόμων συντάττεται· καὶ γὰρ 'ὁ ἥλιος' λέγομεν καὶ 'ὁ Σωκράτης'· ἐνίοτε δὲ καὶ ἐπὶ τοῦ ὑπερέ- 25
15 χοντος λέγεται τῶν ὁμοστοίχων, ὡς ὅταν 'ὁ ποιητής' εἴπωμεν ἢ 'ὁ ῥήτωρ'), τὸ δὲ πᾶς τῷ πλήθει τῶν ὑπ' αὐτὸ ἀναφερομένων. ὅταν μὲν οὖν ὡς κατηγορούμενον τὸ εἷς ἀναιρῶμεν, τότε τὴν ἄρνησιν | οὐκ αὐτῷ 79r
συμπλέκομεν, ἀλλὰ τῷ ἐστί τῷ κατ' ἐνέργειάν τε πάντως ἐν τῇ τοιαύτῃ προτάσει λεγομένῳ καὶ συνδεῖν τὸ κατηγορούμενον πρὸς τὸ ὑποκείμενον
20 πεφυκότι· τῆς γὰρ καταφάσεως εἰπούσης λόγου χάριν 'ὅδε ὁ λίθος εἷς 5
ἐστιν' ἡ ἀπόφασις ἐρεῖ 'ὅδε ὁ λίθος εἷς οὐκ ἔστιν'. ὅταν δὲ ὡς συμπλεκόμενον τῷ ὑποκειμένῳ τὸ εἷς ἢ τὸ τίς ἀναιρῶμεν τὴν ἀντιφάσκουσαν ἀπόφασιν τῇ μερικῇ καταφάσει ποιοῦντες, τὸ οὐδείς ἢ οὔτις λέγομεν, ἀλλ' ὅταν μὲν τὸ οὐδείς λέγωμεν, οὐχ ὡς πρὸς τὸ τίς ἀλλ' ὡς πρὸς τὸ εἷς
25 ἀπαντῶμεν καὶ τὸ μὲν οὐχ εἷς ὡς ἀμφίβολον παραιτησάμενοι τὸ δὲ οὐ 10
εἷς ὡς πρὸς τῷ ἀμφιβόλῳ καὶ κακόφωνον τὸ οὐδείς ἢ οὐθείς λέγομεν. πρὸς δέ γε τὸ τίς ἐοίκαμεν τότε κυρίως ἀπαντᾶν, ὅταν τὸ οὔτις λέγωμεν, οὐκ ἐπὶ τοῦ 'τις' τιθεμένης τῆς δέσεως (οὐ γὰρ οἶδε τὴν τοιαύτην προφορὰν 15
ἡ Ἑλληνικὴ χρῆσις) ἀλλ' ἐπὶ τοῦ οὔ, καθάπερ ἔχει τὸ

30 οὔτις ἐμεῦ ζῶντος

καὶ

μήτις νῦν ἐνάρων.

ἀλλὰ τοῦτο μὲν τῇ ποιητικῇ τὸ δὲ οὐδείς τῇ κοινῇ χρήσει μᾶλλον σύνηθες.

---

1 καθέκαστα μὲν G²: κατηγορουμένοις G¹ 5 κἂν] οὐκ ἂν M εἴποις GM
6 ὑποδέχεται F πως] τι M 7 ἐπὶ τῶν μόνως Fa 7. 8 ἓν — δυνατόν καὶ om. F 7 ἕν τι φάναι] ἀντιφάναι a 8 ταύτην] ταύτῃ a: om. F ὡς ἐπὶ τῶν μερ. καθάπερ καὶ F 10 post prius ζῶον add. καὶ AMa τὸ γὰρ] καὶ τὸ AFM 16 αὐτὸ G: αὐτοῦ AFMa 21 ὅδε ὁ] ὁ δὲ F 22 τὸ (post ὑποκειμ.)] τῷ A² post ἀναιρ. add. ἤτοι Ma 23 τὸ οὐδείς ἢ τὸ τίς F: τὸ τίς ἢ οὐδείς G 25. 26 οὐ εἷς] οὐδεὶς A 26 καὶ om. M οὐθείς ἢ οὐδείς G 27 τὸ (ante τίς) suppl. G² οὔτις] οὔτως M 29 ἐπὶ τὸ οὔ F 30 οὔτις ἐμεῦ ζ.] Hom. A 88 32 μήτις νῦν ἐν.] Hom. Z 68 ἐνάρων] ἐράνων F

Τοσαῦτα μὲν περὶ τῶν προσδιωρισμένων προτάσεων εἴχομεν λέγειν· αἱ δὲ ἀπροσδιόριστοι πῶς ἔχουσι πρὸς τὸ ἀντιφάσκειν ἢ μή, τοῦτο δέ ἐστιν εἴ τισι τῶν προσδιωρισμένων τὸ αὐτὸ δύνανται, διὰ τῶν ἑξῆς τῷ Ἀριστοτέλει συνοδεύοντες ζητήσωμεν.

Ἐπὶ τούτοις οὖν τὴν ῥῆσιν αὐτὴν ἐπισκεψώμεθα, δι' ἧς παραδιδοὺς ἡμῖν τὴν εἰρημένην ἀπὸ τοῦ ὑποκειμένου τῶν προτάσεων διαίρεσιν καὶ διακρίνας τὰ καθ' ἕκαστα τῶν καθόλου τοῦτό φησιν εἶναι καθόλου ὃ ἐπὶ πλειόνων πέφυκε κατηγορεῖσθαι, τῶν ὁμωνύμως κατὰ | πλειόνων 79v κατηγορουμένων τὰ καθόλου διακρίνων τῷ πεφυκέναι κατὰ πολλῶν κατηγορεῖσθαι, τοῦτο δέ ἐστι μὴ νόμῳ τινὶ καὶ θέσει, καθάπερ τὸ Αἴας καὶ τὸ Ἀλέξανδρος, ἀλλὰ τῷ φύσιν μίαν δηλοῦν, ἥτις ἑκάστῳ τῶν πλειόνων ὑπάρχουσα ποιεῖ καὶ τὸ σημαῖνον αὐτὴν ὄνομα κατ' αὐτῶν κατηγορεῖσθαι. ὅλως δὲ περὶ φωνῶν διαλεγόμενος τῶν πραγμάτων ποιεῖται τὴν διαίρεσιν, διότι περὶ φωνῶν τοῖς φιλοσόφοις ὁ λόγος οὐ προηγουμένως, καθάπερ ῥήτορσί τε καὶ γραμματικοῖς, ὡς καὶ πρότερον ἐλέγομεν, ἀλλὰ τῆς τῶν πραγμάτων καταλήψεως ἕνεκεν. διελόμενος οὖν τὰ εἴδη τῶν προτάσεων εἴς τε τὰς καθόλου καὶ τὰς καθ' ἕκαστα, προστίθησι τὴν τῶν καθόλου διαίρεσιν εἴς τε τὰς καθόλου ὡς καθόλου λεγομένας καὶ τὰς ἀπροσδιορίστους· τῶν γὰρ μερικῶν ἐφεξῆς ποιήσεται μνείαν. ἐν δέ γε τούτοις τὰς μὲν καθόλου ἐπὶ τῶν καθόλου ἀποφάνσεις ἐναντίας εἶναί φησι, δι' ἃς ἐλέγομεν αἰτίας, τὰς δὲ ἐπὶ τῶν καθόλου μὴ καθόλου δέ, τοῦτ' ἔστι τὰς ἀπροσδιορίστους, αὐτὰς μὲν μὴ εἶναι ἐναντίας, τὰ μέντοι δηλούμενα ὑπ' αὐτῶν δύνασθαί ποτε εἶναι ἐναντία. ὅτι μὲν οὖν καθόλου μὴ καθόλου τὰς ἀπροσδιορίστους καλεῖ, καὶ τὰ παρατιθέμενα παρ' αὐτοῦ παραδείγματα σαφῶς σημαίνουσιν. 'ἄνθρωπος λευκός ἐστι' καὶ 'ἄνθρωπος λευκὸς οὐκ ἔστι'. καλεῖ δὲ αὐτὰς οὕτως διὰ τὸ μὴ προσκεῖσθαι ἐπ' αὐτῶν τῷ καθόλου ὑποκειμένῳ τοὺς καθόλου προσδιορισμούς, ὅπερ εἰ καὶ ἐπὶ τῶν μερικῶν ἁρμόζειν δυνατόν, ἀλλ' ἔχουσί τι ἴδιον ἐκεῖναι, τοὺς μερικοὺς προσδιορισμούς, ὅθεν καὶ | ὀνομάζονται. πῶς δὲ λέγονται μὴ εἶναι μὲν ἐναντίαι, σημαίνειν 80r δέ ποτε ἐναντία, τοῦτο ἤδη πολλὰ τοῖς ἐξηγηταῖς πράγματα παρέσχε· μήποτε δὲ ταῖς ῥήσεσιν αὐταῖς προσφυὲς ἢ τὸ λέγειν ὅτι βούλεται μὲν ὁ Ἀριστοτέλης τὰς ἀπροσδιορίστους προτάσεις συναληθεύειν ἀλλήλαις, ὡς ἔσται διὰ τῶν ἑξῆς φανερόν, καὶ διὰ τοῦτο εἰκότως ἀποφαίνεται μὴ εἶναι αὐτὰς ἐναντίας· οὐ γὰρ ἐναντίων τὸ συνυπάρχειν ἀλλήλαις.

Ἀλλ' ἐπεὶ δυνατόν ποτε τὴν ἀπόφασιν ἐπὶ τῆς τοῦ ἐναντίου καταφάσεως ἀληθεύουσαν παρασχεῖν τισιν ὑποψίαν, ὅτι ἐναντίας χρὴ τότε καλεῖν ταύτας τὰς προτάσεις, ἅτε ἐναντία τινὰ σημαινούσας, διὰ τοῦτο προστίθησι τὸ αἴτιον τοῦ παραλογισμοῦ τοῖς οὕτως ὑπολαμβάνουσι, τὰ αὐτὰ λέγων

1 ἔχομεν M 3 εἴ τισι] τίσι F ἑφεξῆς A 4 ζητήσομεν FG 10 τινι om. F 11 τὸ φύσιν F ἑκάστη AM 13. 14 διαλεγ.—φωνῶν om. F 15 πρότερον ἐλέγομεν] p. 66. 7 19 τούτοις om. M 20. 21 ἐλέγομεν] p. 92,4 23 ἐναντ. εἶναι collocc. G 26 περικεῖσθαι Ma 32 τὰς om. A 34 ἐναντίον (alt. l.) a ἀλλήλοις F 35 ἐπὶ] ἀπὸ A 36 τότε om. M

τοῖς ἐν τῷ τελευταίῳ θεωρήματι τοῦ βιβλίου ῥηθησομένοις· τὸ μὲν δὴ τούτῳ οἴεσθαι τὰς ἐναντίας δόξας ὡρίσθαι, τῷ τῶν ἐναντίων εἶναι, ψεῦδος· τοῦ γὰρ ἀγαθοῦ ὅτι ἀγαθὸν καὶ τοῦ κακοῦ ὅτι κακόν, ἡ αὐτὴ ἴσως καὶ ἀληθής, εἴτε πλείους εἴτε μία ἐστίν· ἐναντία δὲ ταῦτα, ἀλλ' οὐ τῷ ἐναντίων εἶναι ἐναντία, ἀλλὰ μᾶλλον τῷ ἐναντίως. ὅτι μὲν οὖν κατ' οὐδένα τρόπον προσήκει ταῖς ἀπροσδιορίστοις τὸ τῶν ἐναντίων ὄνομα, σαφῶς ἀπεφήνατο διὰ τούτων ὁ Ἀριστοτέλης. πότε δὲ ἔστιν εἶναι τὰ δηλούμενα ἐναντία. καλῶς διήρθρωσεν ὁ φιλόσοφος Πορφύριος· οὐ γὰρ ἀεί, φησί, τῷ καταφασκομένῳ ἔστι τι ἐναντίον οὐδὲ τὴν ἀπόφασιν δυνατὸν ἀεὶ λέγειν ἀληθεύεσθαι κατὰ τοῦ ἐναντίου τῷ καταφαθέντι, ἀλλὰ ποτὲ μὲν κατὰ τοῦ ἐναντίου ποτὲ δὲ κατὰ | στερήσεως ποτὲ δὲ κατ' οὐδετέρου τούτων, ἀλλ' ἀναιρεῖν μόνον τὸ 80v εἰρημένον διὰ τῆς καταφάσεως· τῷ μὲν γὰρ περιττῷ τὸ ἄρτιον καὶ τῷ λευκῷ τὸ μέλαν ἐναντίον, καὶ κατὰ τούτων ἀληθεύονται τὸ οὐ περιττὸν καὶ τὸ οὐ λευκόν (ἐξ ἀνάγκης μὲν οὖν συνεισφερομένων ταῖς ἀποφάσεσιν ἐπὶ τῶν ἀμέσων εἶναι λεγομένων ἐναντίων, ἐνδεχομένως δὲ καὶ ἐπὶ τῶν ἐμμέσων), τῷ μέντοι ὁρᾶν τὸ ἀντικείμενον στέρησις ἢ τῆς ἐνεργείας ἢ καὶ τῆς δυνάμεως, τῆς μὲν ἐνεργείας ὡς ἐπὶ τοῦ μὴ πηροῦ μὲν καθεύδοντος δὲ ἢ μύοντος, τῆς δὲ δυνάμεως ὡς ἐπὶ τοῦ τυφλοῦ, ἅπερ σημαίνει τὸ μὴ ὁρᾶν (ἐνίοτε δὲ καὶ τὸ μήπω τὴν δύναμιν τὴν προαγωγὸν τῆς ἐνεργείας ἀπειληφὸς τῇ ἀποφάσει τῆς ἐνεργείας σημαίνομεν ὡς ἐπὶ τοῦ σκυλακίου, καὶ τὸ μηδαμῶς τῆς δυνάμεως δεκτικὸν ὡς ἐπὶ τοῦ ξύλου· καὶ γὰρ τὸ ξύλον λέγομεν μὴ ὁρᾶν), καὶ κατ' οὐδὲν τούτων ἐναντίον εἴποις ἂν εἶναι τῇ καταφάσει τὸ σημαινόμενον ὑπὸ τῆς ἀποφάσεως, ἀλλὰ ποτὲ μὲν στέρησιν ποτὲ δὲ οὐδὲ στέρησιν ἀλλ' ἑτερότητα μόνον. τῷ δέ γε ζῴῳ ἢ ἄλλῃ οὐσίᾳ οὔτε ὡς ἐναντίον οὔτε ὡς στέρησιν τοιαύτην εὕροις ἄν ποτέ τι ἀντιτιθέμενον, οὐδὲ τῷ ἀφωρισμένῳ ποσῷ ἢ σχήματι οὐδὲ ταῖς ἐνεργείαις ταῖς μὴ κατά τι τῶν ἐναντίων γινομέναις· τῷ μὲν γὰρ θερμαίνειν ἐστὶν ἐναντίον τὸ ψύχειν, ἐπεὶ καὶ τῷ θερμῷ τὸ ψυχρόν, οὐ μὴν τῷ νοεῖν ἢ τῷ βαδίζειν εἴη ἄν τι ἐναντίον. διὰ ταῦτα οὖν τὸ ὑπὸ τῆς ἀποφάσεως σημαινόμενον ποτέ φησιν ἐναντίον εἶναι τῷ ὑπὸ τῆς καταφάσεως

---

1 τοῖς—ῥηθησομένοις] p. 23b3 2 δόξας om. A τῶ om. G 3 ψεῦδος] οὐκ ἀληθές G ὅτι καὶ ἀγαθὸν A 4 ἴσως ἔσται a: ἀληθὴς ἔσται b ἀληθές A 5 τῶ AF: τῶν GMa 6 μᾶλλον om. G post οὖν add. οὐδαμῶς G τοῖς a 8 εἶναι om. F: post δηλούμ. colloc. a 9 καταφασκ.] κατα suppl. G² 10 τι] τὸ M ἀεὶ δυν. colloc. G λέγειν om. M ἀληθεύεσθαι] ἀποφαίνεσθαι G¹ 11 καταφανθέντι FGMa 12 ποτὲ δὲ κατ' οὐδετέρου τούτων ποτὲ δὲ κατὰ στερ. colloc. F ἀλλ' om. AM ἀναιρεῖ F 13 μὲν om. a 16 ἐνδεχομένης M καὶ om. FG 17. 18 ἢ καὶ] καὶ A: ἢ G 18 ἐνεργ. μὲν colloc. A 21 τοῦ om. FG• 22 ὂν δεκτ. G 23 οὐδένα AMa 23. 24 εἴποις ἂν] ἐποίησεν F: ἂν εἴποις G 25 οὐδὲ] οὐ FGMa 26 ποτέ om. F 27 τι] τινὰ M ἀντιθέμενον A ἀφορισμ. Ma 28 γιγνομέναις (ubique) A 29 ψυχραίειν G τῶ (post μὴν)] τὸ AM 30 τῶ (ante βαδ.) om. AMa ἄν om. F τι om. a

δηλουμένῳ, τῶν προτάσεων αὐτῶν μηδαμῶς ἀλλήλαις οὐσῶν ἐναντίων. | τοῦτο δὲ εἰκότως ἐπὶ μόνων τῶν ἀπροσδιορίστων ἐπεσημήνατο, διότι μόναι 81r αὗται τῶν καθόλου προτάσεων κατὰ τοὺς κατηγορουμένους ὅρους μόνους ἔχουσι τὰς καταφάσεις καὶ ἀποφάσεις γινομένας, ἀλλ' οὐ κατά τινας προσ- 5
5 διορισμούς, οἳ οὐδ' ἂν ὑποπτευθεῖεν καθ' ἑαυτοὺς λαμβανόμενοι καταφατικῶς καὶ ἀποφατικῶς, οἷον πᾶς, οὐ πᾶς, τίς, οὐδείς, ἐναντιότητα πραγμάτων σημαίνειν, καθάπερ οἱ κατηγορούμενοι, καὶ μάλιστά γε ὅταν ἐπὶ τῶν ἀμέσων λεγομένων ἐναντίων ποιώμεθα τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν (ἔργον 10 γὰρ τῶν προσδιορισμῶν, ὡς πολλάκις εἰρήκαμεν, μόνην σημαίνειν τὴν κατὰ
10 τὸ πλῆθος διαφορὰν τῶν ὑπὸ τὸ ὑποκείμενον ἀναφερομένων ὡς μετεχόντων ἢ μὴ μετεχόντων τοῦ ἐν τῇ προτάσει κατηγορουμένου), καὶ ὅτι προφανῆ τὰ ἐπὶ τῶν ἄλλων ἀντιθέσεων συμβαίνοντα, οἷον ὅτι αἱ καθόλου 15 ὡς καθόλου συμφεύδονται, διὸ ἐναντίαι, ὅτι αἱ μερικαὶ συναληθεύουσι καὶ οὐδ' ἂν ὑποπτεύσειέ τις προσήκειν αὐταῖς τὸ ὄνομα τῶν ἐναντίων, ὅτι αἱ
15 διαγώνιοι καὶ αἱ καθ' ἕκαστα μερίζουσι τό τε ἀληθὲς καὶ τὸ ψεῦδος· ἐπὶ 20 δὲ τῶν ἀπροσδιορίστων ἐπεὶ μήτε καθ' ἕκαστα καὶ ὡρισμένος οὗτός ἐστιν ὁ ὑποκείμενος μήτε πρόσκειταί τις αὐτῷ τῶν προσδιορισμῶν, οὐ σφόδρα ἐστὶ φανερὸς ὁ τῆς ἀντιθέσεως αὐτῶν τρόπος, ἀλλὰ καὶ ὡς ἐναντίας ὑποπτεύσειεν ἄν τις αὐτὰς ἀντικεῖσθαί ποτε. καὶ τοῦτο διισχυρίζεται σημαίνειν 25
20 ὁ ἀπὸ τῆς Ἀφροδισιάδος ἐξηγητὴς τὸ τὰ δηλούμενα ὑπ' αὐτῶν ἐναντία εἶναί ποτε, καὶ ταῦτα τοῦ Ἀριστοτέλους ἐν τοῖς ἑξῆς βοῶντος ὡς ταῖς μερικαῖς τὴν αὐτὴν ἔχουσι δύναμιν, | τῶν δὲ μερικῶν ἀπὸ διαμέτρου πρὸς τὰς 81v ἐναντίας ἐχουσῶν. καὶ αὐτὸ τοῦτο τὸ τῷ Ἀριστοτέλει δοκοῦν συναληθεύειν αὐτὰς ἐπί τινος ὕλης ἕτερος ἄν τις οἰηθείη καὶ ἀντιφάσκειν πρὸς ἀλλή-
25 λας, ἀλλ' ὡς παραπλησίως τῇ ἑτέρᾳ τῶν διαγωνίων τῇ τίς καὶ οὐδείς. 5 διὰ ταῦτα τοίνυν ἐν μὲν τοῖς προκειμένοις ὁ Ἀριστοτέλης τοσοῦτον ἐπεσημήνατο μόνον, ὅτι μὴ δίκαιον καλεῖν αὐτὰς ἐναντίας, καὶ εἰ ἐναντίων πραγμάτων γίνοιντό ποτε δηλωτικαί, προϊὼν δὲ καὶ ὅτι συναληθεύουσιν ἀλλ' 10 οὐκ ἀντιφάσκουσι κατασκευάσαι πειράσεται.

30 Τὸ δὲ αἴτιον εἰπὼν τοῦ καθόλου μὴ καθόλου λέγεσθαι τὰς ἀδιορίστους, ὅτι περὶ τῶν καθόλου ὑποκειμένων οὐ καθόλου ἀποφαίνονται, μὴ συντάττουσαι αὐτοῖς τοὺς καθόλου προσδιορισμούς, οἳ ποιοῦσι καθόλου ἡμᾶς ἀπο- 15 φαίνεσθαι περὶ τῶν καθόλου, αὐτοῦ τούτου πάλιν τὸ αἴτιον ἀποδίδωσι τοῦ τοιούτων ἀποφάνσεων αἰτίους γίνεσθαι τοὺς καθόλου προσδιορισμοὺς ὡς

---

1 οὐσῶν] ὄντων M 2 ἐπεσημάνατο F μόνον G 4 καταφάσεις καὶ om. F γιγνομένας in mrg. suppl. A 6 καὶ ἀποφατικῶς om. F 9 μόνον G¹ 10 ὡς] ὥστε AFM 13 ante ὅτι add. καὶ G² 14 τὸ] τῶν F 15 αἱ suppl. G² 16 τῶν ἄλλων ἀπροσδ. G μήτε] μὴ G οὕτως FG 20 τὸ] τῷ AMa 21 ἐν τοῖς ἑξῆς] p. 17b29 23 τὸ om. Fa 24 τινος ἐνδεχομένης G: τῆς ἐνδεχομένης M: τινος τῆς ἐνδ. a οἰηθ.] πεισθείη F ἀντιφάσκει F 25 ἀλλ' ὡς] ἄλλος A²FG 27 μὴ om. A post δίκαιον add. μόνον del. G αὐτὰς καλεῖν colloc. M καὶ εἰ] κἂν AMa 30 τοῦ] τῶν a τὰς] τοὺς a 31 μὴ om. A μὴ οὖν M 31. 32 συντάττουσαι δὲ G 32 ἑαυτοῖς G ἡμᾶς καθ. colloc. F 33 τοῦ] τῶν AM 34 τοσούτων G ἀποφάσεων GMa γενέσθαι Ma

ἐπὶ τοῦ καταφατικοῦ τοῦ πᾶς τὴν διδασκαλίαν ποιούμενος, ὡς ἂν τῶν αὐτῶν λόγων ἁρμοζόντων καὶ ἐπὶ τοῦ οὐδείς. τί οὖν τούτου τὸ αἴτιον; ὅτι τὸ πᾶς, φησίν, οὐ τὸ καθόλου σημαίνει, ἀλλ' ὅτι καθόλου, τοῦτ' ἔστιν οὐκ αὐτὴν σημαίνει τὴν τοῦ εἴδους τοῦ καθόλου φύσιν, οἷον τοῦ ἀνθρώπου (τὸ γὰρ εἶδος ἓν κατὰ τὴν ἑαυτοῦ φύσιν ὂν καὶ τὴν ἀεὶ γινομένην ἀπειρίαν τῶν ἀτόμων συλλαμβάνειν καὶ ἑνοῦν λέγεται· περὶ δὲ ἑνὸς πῶς ἂν ἔχοι χώραν λέγεσθαι τὸ πᾶς;), οὐκ αὐτὸ οὖν τὸ καθόλου σημαίνει τὸ πᾶς, ἀλλ' ὅτι καθόλου, τοῦτο δέ ἐστιν ἀλλ' ὅτι κατὰ πάντων τῶν ὑπὸ τὸ εἶδος ἀτόμων καταφά|σκεσθαι τὸ κατηγορούμενον ἀποφαινόμεθα. 82r

p. 17b 12 Ἐπὶ δὲ τοῦ κατηγορουμένου καθόλου τὸ καθόλου κατηγορεῖν οὐκ ἔστιν ἀληθές· οὐδεμία γὰρ κατάφασις ἔσται, ἐν ᾗ τοῦ κατηγορουμένου καθόλου κατηγορεῖται τὸ καθόλου, οἷον ὅτι ἐστὶ πᾶς ἄνθρωπος πᾶν ζῷον.

Ζητεῖ μὲν διὰ τούτων ὁ Ἀριστοτέλης εἰ ὥσπερ τῷ ὑποκειμένῳ προστεθεὶς ὁ καταφατικὸς προσδιορισμὸς ἕτερον εἶδος ἀπειργάσατο προτάσεων, οὕτω καὶ τῷ κατηγορουμένῳ δύναται προστεθεὶς ἑτέραν ἀπεργάσασθαι πρότασιν. ἀποφαίνεται δὲ μηδὲ τὴν ἀρχὴν ὑφίστασθαι τοιαύτην κατάφασιν, οἷον τὴν λέγουσαν 'πᾶς ἄνθρωπος πᾶν ζῷόν ἐστι', διότι ὁ τοῦτο λέγων ἕκαστον τῶν κατὰ μέρος ἀνθρώπων ἅπαν εἶναι ζῷόν φησι, καὶ ἵππον καὶ βοῦν καὶ τὰ ἄλλα πάντα· ὥστε ἀδύνατον ἀληθεύειν τὸν οὕτως ἀποφηνάμενον· εἰκότως οὖν φησι μηδὲ γενέσθαι ἂν τοιαύτην κατάφασιν, κατ' ἔλλειψιν τοῦτο λέγων τοῦ ἀληθῆ· οὐδεμία γὰρ κατάφασις ἀληθὴς ἔσται, ἐν ᾗ τοῦ κατηγορουμένου καθόλου κατηγορεῖται τὸ καθόλου, τοῦτ' ἔστιν ἐν ᾗ συντάττεσθαι δυνατὸν τῷ καθόλου κατηγορουμένῳ τὸν καθόλου προσδιορισμὸν καὶ λέγειν ὅτι ἄνθρωπος, καθ' οὗ παντός, ὅ φησι καθόλου, κατηγορεῖται τὸ ζῷον, οὐχ ἁπλῶς ἐστι ζῷον, ἀλλὰ πᾶν ζῷον. διὰ ταῦτα μὲν οὖν ἀποφαίνεται μηδὲ ὑφίστασθαι τοιαύτην κατάφασιν ὡς οὐδέποτε τυγχάνουσαν ἀληθείας, ἐπεὶ καὶ αὕτη κατάφασίς ἐστιν, ἀλλ' ἀεὶ ψευδὴς καὶ διὰ τοῦτο κίβδηλος καὶ παντάπασιν ἄχρηστος πρὸς τὴν συλλογιστικὴν μέθοδον, εἴπερ ἀεὶ παρὰ φύσιν ἔχει καὶ πρὸς εὕρεσιν ἀληθείας οὐκ ἂν | γένοιτο χρήσιμος, ὅπερ ἐστὶ τέλος τῆς λογικῆς 82v

---

2 τί] τίς M τοῦτο A 4 οὐκ] οὐ κατ' AG¹ 6 τῶν ἀνθρώπων ἤγουν τῶν (ἤγουν τῶν in mrg.) ἀτόμων A: ἀνθρώπων ἢ τῶν ἀτόμων M 7. 8 ἀλλ' ὅτι καθόλου iter. G¹ 8 τῶν om. M 9 ἀποφαινόμεθα om. F 10 κατ. τὸ καθ. colloc. b 11 οὐδεμία — ζῷον (13) om. M post κατάφασις add. ἀληθὴς Aab: post ἔσται superscr. F² (cf. v. 22) 12 τὸ καθ. κατ. colloc. ab ὅτι om. ab 17 τὴν τοιαύτην (τοι superscr. m²)F 20 ἵππων G¹ 21 ἂν om. AM 23. 24 τὸ καθ. κατ. ab 24 ἐν] μὲν G 24. 25 κατηγορουμένου F 25 ὅτι] ὁ AM 26 παντός — καθόλου om. G καθόλου om. F ἐστὶ om. AM 27 ἅπαν G 28 ἐπεὶ — ἀληθείας (31) suppl. G² αὕτη] αὐτὴ FGM 30 ἥπερ G παρὰ] κατὰ A: om. G 31 τὸ τέλος G

πραγματείας. πολλῶν δὲ δυναμένων γενέσθαι προτάσεων ἐκ τῆς διαφόρου συμπλοκῆς τῶν προσδιορισμῶν πρός τε τὸν ὑποκείμενον ὅρον ἐν τῇ προτάσει καὶ τὸν κατηγορούμενον, εἰκότως ταύτην προεχειρίσατο μόνην καὶ διέγραψε τῶν ὑγιῶς λεγομένων προτάσεων τὴν ἑκατέρῳ τῶν ὅρων τὸν πᾶς προσδιορισμὸν συντάττουσαν, ὃ καὶ ἐν τῷ πρώτῳ βιβλίῳ τῶν Ἀναλυτικῶν κατ' ἀρχὰς τοῦ περὶ εὐπορίας προτάσεων κεφαλαίου διορίζεται· περὶ γὰρ ἐκλογῆς τῶν καθόλου προτάσεων διαλεγόμενος, ἐν αἷς τὸ κατηγορούμενον παντὶ ἕπεται τῷ ὑποκειμένῳ, ἐπήγαγεν "αὐτὸ δὲ τὸ ἑπόμενον οὐ ληπτέον ὅλον ἕπεσθαι, λέγω δὲ οἷον ἀνθρώπῳ πᾶν ζῷον ἢ μουσικῇ πᾶσαν ἐπιστήμην, ἀλλὰ μόνον ἁπλῶς ἀκολουθεῖν, καθάπερ καὶ προτεινόμεθα· καὶ γὰρ ἄχρηστον θάτερον καὶ ἀδύνατον, οἷον πάντα ἄνθρωπον εἶναι πᾶν ζῷον ἢ δικαιοσύνην πᾶν ἀγαθόν". καὶ ἐν τῷ προτέρῳ μέντοι τῶν Ἀποδεικτικῶν εἰπὼν ὡς ἐπὶ τῶν τὰ καθόλου καταφατικὰ συμπεράσματα συναγόντων συλλογισμῶν τό τε μεῖζον ἄκρον κατὰ τοῦ μέσου λέγεται παντὸς καὶ τοῦτο πάλιν κατὰ τοῦ ἐλάσσονος παντός, τοῦτ' ἔστιν ὅτι ἐν ἑκατέρᾳ τῶν συμπληρουσῶν τὸν συλλογισμὸν προτάσεων τὸ κατηγορούμενον κατὰ παντὸς λέγεται τοῦ οἰκείου ὑποκειμένου, προσέθηκε "τὸ δὲ κατηγορούμενον οὐ λέγεται πᾶν".

Ὅτι μὲν οὖν εἰκότως ταύτης μόνης ὡς ἀρχήστου πανταχοῦ καταψηφίζεται, μάθοιμεν ἂν ἐννοήναντες ὅτι τεττάρων οὐσῶν, ὡς ἑξῆς ἐπιδείξομεν, τῶν ἀεὶ ψευδομένων προτάσεων, δύο μὲν καταφάσεων δύο δὲ ἀποφά|σεων, 83r τῶν μὲν καθόλου τῶν δὲ κατὰ μέρος, διὰ μιᾶς τῆς κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιὸν τῶν ἄλλων σεμνοτέρας καὶ ταῖς λοιπαῖς τρισὶ τὴν πρόφασιν τοῦ ἀεὶ ψεύδεσθαι, ὡς εἰσόμεθα, παρεχούσης ἠβουλήθη καὶ τὰς ἄλλας τὰς ταύτῃ ὁμοίως ἡμαρτημένας τοῦ καταλόγου τῶν ὑγιῶς προφερομένων προτάσεων διαγράψαι· εἰ γὰρ δεῖ καὶ τὴν περὶ τούτων τεχνολογίαν ἀκριβῶς διερευνήσασθαι καὶ τὸ φαινόμενον περὶ αὐτῶν λέγειν, ἓξ καὶ δέκα γινομένας εὑρήσομεν προτάσεις ἐκ τῆς διανομῆς τῶν προσδιορισμῶν καθ' ἑκάτερον τῶν τῆς προτάσεως ὅρων, εἴπερ τεττάρων αὐτῶν ὄντων, ἑνὸς δὲ αὐτῶν ὁποιουοῦν συντεταγμένου τῷ ὑποκειμένῳ τὸν κατηγορούμενον ἑκάστῳ τῶν τεττάρων προσδιορισμῶν συμπλεκόμενον τέτταρα προτάσεων συμβαίνει ποιεῖν εἴδη, ὥστε διὰ τούτων τετράκις τέτταρας — δέκα καὶ ἓξ γίνεσθαι τὰς πάσας προτάσεις. ἔστω οὖν πρῶτον ὁ πᾶς προσδιορισμὸς συντεταγμένος τῷ ὑποκειμένῳ· εἰ οὖν ἐθέλοιμεν καὶ τῷ κατηγορουμένῳ

---

1 γίνεσθαι Fa 5 ἐν τῷ πρ. βιβλ. τῶν Ἀναλ.] p. 43 b 17 10 προτεινόμενος G 12 δικαιοσύνη F ἅπαν ἀγαθόν Arist. ἐν τῷ πρ. μ. τῶν Ἀποδεικτ.] Anal. post. p. 77 b 30 13 εἴπομεν A¹G 14 μεῖζον καὶ ἄκρον G 16 τῶν συλλογισμῶν G 19 οὖν post εἰκότως colloc. F 20 δ' ἂν F 22 καὶ τῶν μὲν F 22. 23 κατὰ τὸ ποιὸν καὶ κατὰ τὸ ποσὸν colloc. G 23 post λοιπαῖς add. προτάσεσι del. G 24 ἐβουλ. G 25 καταλ.] λόγου M 25. 26 προσφερ. A 28 γενομ. Brand. εὑρήσωμεν F 29 καὶ καθ' F 30 καὶ τῶν κατηγορουμένων F 31 συμπλεκομένων F τεσσάρων G 31. 32 συμβ. ποιεῖν πρ. colloc. F 32 τετράκις τεσσαρεσκαίδεκα καὶ ἓξ a καὶ om. AM 33 πρῶτος a

συντάττειν τινὰ προσδιορισμόν, ἐροῦμεν ἢ 'πᾶς ἄνθρωπος πᾶν ζῷον' ἢ 'πᾶς ἄνθρωπος οὐδεὶς λίθος' ἢ 'πᾶς ἄνθρωπος τὶ ζῷον' ἢ 'πᾶς ἄνθρωπος οὐ πᾶν ζῷον'. καὶ φανερὸν ὅτι τῶν λοιπῶν τριῶν παρὰ τὴν ἀποκεκριμένην ὑπὸ τοῦ Ἀριστοτέλους ἑκάστη ἀληθής. ἀλλὰ δὴ ὁ οὐδεὶς προσδιορισμὸς συντετάχθω τῷ ὑποκειμένῳ· πάλιν οὖν ἐροῦμεν ἢ 'οὐδεὶς ἄνθρωπος πᾶν ζῷον' ἢ 'οὐδεὶς ἄνθρωπος οὐδὲν ζῷον' ἢ 'οὐδεὶς ἄνθρωπος τὶς λίθος' ἢ 'οὐδεὶς ἄνθρωπος οὐ πᾶν ζῷον'. καὶ φανερὸν ὅτι ἑκατέρα μὲν τῶν συνταττουσῶν τῷ κατηγορουμένῳ τῶν καθόλου τινὰ | προσδιορισμῶν 83v ἀληθής, ἐπείπερ τὶ μὲν ζῷόν ἐστιν ἄνθρωπος τὶ δὲ οὐκ ἔστιν, ὥστε διότι μέν ἐστι τὶ ζῷον, οὐ δύναται εἶναι μηδέν, καὶ ἀληθεύει ἡ λέγουσα πρότασις 'οὐδεὶς ἄνθρωπος οὐδὲν ζῷον', διότι δὲ τὶ οὐκ ἔστιν, οὐ δύναται εἶναι ἅπαν, καὶ ἀληθεύει ἡ λέγουσα πρότασις 'οὐδεὶς ἄνθρωπος πᾶν ζῷον'. ἀληθὴς δὲ ἐπὶ τῆς ἀδυνάτου ὕλης καὶ ἡ τὸν μερικὸν καταφατικὸν διορισμὸν συντάττουσα τῷ κατηγορουμένῳ, ὡς ἡ λέγουσα 'οὐδεὶς ἄνθρωπος τὶς λίθος'. μόνη δὲ ἀεὶ ψευδὴς ἡ τὸν ἐπὶ μέρους ἀποφατικὸν προσδιορισμὸν συμπλέκουσα τῷ κατηγορουμένῳ τοῦ ὑποκειμένου τὸν καθόλου ἀποφατικὸν προσδιορισμὸν ἔχοντος, ὡς ἡ 'οὐδεὶς ἄνθρωπος οὐ πᾶν ζῷον' ἢ 'οὐ πᾶς λίθος' ἢ 'οὐ πᾶν λευκόν'· ἐπεὶ γὰρ ἀεὶ ψευδὴς ἡ ἑκατέρῳ τῶν ὅρων τὸν πᾶς προσδιορισμὸν συμπλέκουσα, δῆλον ὡς ἀεὶ ἀληθὴς ἡ ἀναιροῦσα τὸ τοῦ ψεύδους αἴτιον, τοῦτ' ἔστι τὸν συνταττόμενον τῷ κατηγορουμένῳ καθόλου καταφατικὸν προσδιορισμόν, οἷον ἡ λέγουσα 'πᾶς ἄνθρωπος οὐ πᾶν ζῷον'· ὥστε ἡ ἐναντία πρὸς αὐτὴν ἡ λέγουσα 'οὐδεὶς ἄνθρωπος οὐ πᾶν ζῷον' ἀεὶ ἔσται ψευδής· οὐ γὰρ δυνατὸν τὰς ἐναντίας ἅμα ἀληθεύειν. ἀλλὰ δὴ πάλιν ὁ τίς προσδιορισμὸς συμπλεκέσθω τῷ ὑποκειμένῳ· οὐκοῦν ἐροῦμεν ἢ 'τὶς ἄνθρωπος πᾶν ζῷον' (καὶ αὕτη ψευδὴς ἀεί, δι' ἣν αἰτίαν καὶ ἡ ὁλικωτέρα ταύτης ἡ 'πᾶς ἄνθρωπος πᾶν ζῷον' ἀεὶ ψεύδεται· ὥστε καὶ αὕτη περιεχομένη ὑπ' αὐτῆς καὶ πάντως αὐτῇ ἑπομένη ἀεὶ ψεύσεται) ἢ 'τὶς ἄνθρωπος οὐδεὶς λίθος' ἢ 'τὶς ἄνθρωπος τὶ ζῷον' ἢ 'τὶς ἄνθρωπος οὐ πᾶν ζῷον'· | καὶ αὗται πᾶσαι ἀληθεῖς. λοιπὸς οὖν ὁ οὐ πᾶς προσδιορισμὸς συμπλεκέσθω τῷ ὑποκειμένῳ· πάλιν οὖν ἐροῦμεν ἢ 'οὐ πᾶς ἄνθρωπος πᾶν ζῷον' (καὶ αὕτη ἀεὶ ἀληθὴς ὡς ἀντιφάσκουσα πρὸς τὴν ἀεὶ ψευδῆ τὴν 'πᾶς ἄνθρωπος πᾶν ζῷον') ἢ 'οὐ πᾶς ἄνθρωπος οὐδὲν ζῷον' (καὶ πάλιν 84r

---

1 ἢ πᾶς ἄνθρ. οὐδεὶς — οὐ πᾶν ζῶον (3) om. A 3 ζῶον] περιπατοῦν F
3. 4 ἀποκεκρ.] ἀποκεκριμένην a 5 συνατέσθω F ἢ om. AG 7 ἢ οὐδεὶς ἄνθρωπος iteratum del. G 9 ὁ ἄνθρ. F ὥστε — οὐκ ἔστιν (11) suppl. G² διότι] διὸ τὸ G 10. 11 πρότ. ἡ λέγουσα G 11 τὶ om. AMa 12 εἶναι suppl. G² 14 post κατηγ. add. τοῦ ὑποκειμένου A 15 δὲ] γὰρ a
15 προσδιορ.] διορισμὸν FG 16 συμπλέκουσα — προσδιορισμὸν (17) in mrg. suppl. A
17 ἡ superscr. A: τὸ G 18 οὐ om. F 19 προσδιορ. FG²: διορισμὸν AG¹Ma
ἡ om. A 21 καταφατ.] ἀποφατικὸν a προσδιορ.] διορισμὸν FG 22 post ζῶον add. ἀεὶ ἔσται ἀληθής FG ὥστε — ψευδής (23) om. F αὐτὴν] ταύτην Ma ἡ (alt.) G: καὶ AMa 23 ψευδής] ἀληθής G¹ 26 ἐψεύδετο F 27 αὕτη] αὐτὴ M 29 λοιπὸν M² 29. 30 οὖν om. G (utrobique) 31 ἀεὶ (prius) suppl. G²
32 οὐδὲν] πᾶν G¹

αὕτη ἀληθὴς ἐπί τε τῆς ἀναγκαίας καὶ τῆς ἐνδεχομένης ὕλης, διότι ψευδὴς ἐπὶ τούτων ἡ ἀντιφάσκουσα πρὸς αὐτὴν ἡ 'πᾶς ἄνθρωπος οὐδὲν ζῷον' ἢ 'οὐδὲν λευκόν') ἢ 'οὐ πᾶς ἄνθρωπος τὶς λίθος (καὶ φανερὸν ὅτι καὶ αὕτη ἀληθὴς ἐπὶ τῆς ἀδυνάτου ὕλης, διότι ψευδὴς ἐπὶ ταύτης ἡ ἀντιφάσκουσα πρὸς αὐτὴν ἡ 'πᾶς ἄνθρωπος τὶς λίθος') ἢ τὸ ὑπόλοιπον 'οὐ πᾶς ἄνθρωπως οὐ πᾶν ζῷον'· καὶ ταύτην πάλιν ἀεὶ ψευδῆ εἶναι συμβέβηκεν ὡς ἀναιροῦσαν τὴν ἀεὶ ἀληθῆ τὴν 'πᾶς ἄνθρωπος οὐ πᾶν ζῷον'· τοῦ δὲ ἀεὶ ταύτην ἀληθεύειν τὸ αἴτιον ἤδη προείπομεν, ὅτι ἐστὶ τὸ ἀναιρεῖν τὸν κακῶς συνταττόμενον τῷ κατηγορουμένῳ καθόλου καταφατικὸν προσδιορισμὸν ὑπὸ τῆς λεγούσης 'πᾶς ἄνθρωπος πᾶν ζῷον' καὶ μηδὲ ἐπὶ τῆς ἀναγκαίας ὕλης, ἐφ' ἧς ἐξ ἀνάγκης τὸ κατηγορούμενον ὑπάρχει τῷ ὑποκειμένῳ, συγχωροῦντα αὐτὴν ἀληθεύειν.

Ὥστε ταῖς ἓξ καὶ δέκα προτάσεσιν ἐπεξελθόντες τέτταρας μὲν εὕρομεν ἀεὶ ψευδομένας τέτταρας δὲ ἀεὶ ἀληθεῖς, τὰς δὲ λοιπὰς καὶ ἀληθεύειν καὶ ψεύδεσθαι κατ' ἄλλην καὶ ἄλλην ὕλην δυναμένας, καὶ ἐν ταῖς ἀεὶ ψευδομέναις δύο μὲν καταφάσεις κοινωνούσας μὲν κατὰ τὸ συμπλέκειν τῷ κατηγορουμένῳ τὸν πᾶς προσδιορισμὸν διαφερούσας | δὲ κατὰ τοὺς συντεταγμένους 84v τῷ ὑποκειμένῳ καταφατικοὺς προσδιορισμούς, τήν τε 'πᾶς ἄνθρωπος πᾶν ζῷον' καὶ τὴν 'τὶς ἄνθρωπος πᾶν ζῷον', δύο δὲ ἀποφάσεις κοινωνούσας μὲν κατὰ τὸ συμπλέκειν τῷ κατηγορουμένῳ τὸν οὐ πᾶς προσδιορισμὸν διαφερούσας δὲ κατὰ τοὺς συντεταγμένους τῷ ὑποκειμένῳ ἀποφατικοὺς προσδιορισμούς, τήν τε 'οὐδεὶς ἄνθρωπος οὐ πᾶν ζῷον' καὶ τὴν 'οὐ πᾶς ἄνθρωπος οὐ πᾶν ζῷον', ἐν δὲ ταῖς ἀεὶ ἀληθευούσαις δύο μὲν πάλιν καταφάσεις τὰς ἀντιφασκούσας ταῖς ἀεὶ ψευδομέναις ἀποφάσεσι, τὴν 'πᾶς ἄνθρωπος οὐ πᾶν ζῷον' καὶ τὴν 'τὶς ἄνθρωπος οὐ πᾶν ζῷον' ἢ 'οὐ πᾶς λίθος' ἢ 'οὐ πᾶν λευκόν', δύο δὲ ἀποφάσεις τὰς ἀντιφασκούσας ταῖς ἀεὶ ψευδομέναις καταφάσεσι, τὴν 'οὐδεὶς ἄνθρωπος πᾶν ζῷον' καὶ 'οὐ πᾶς ἄνθρωπος πᾶν ζῷον' ἢ 'πᾶς λίθος' ἢ 'πᾶν λευκόν'. αἱ δὲ ἄλλαι πᾶσαι καὶ ἀληθεύουσαι καὶ ψευδόμεναι κατ' ἄλλην καὶ ἄλλην ὕλην, ὥσπερ ἐλέγομεν, καταλαμβάνονται· τῶν γοῦν τῷ μὲν ὑποκειμένῳ τὸν ἕτερον τῶν καταφατικῶν προσδιορισμῶν συμπλεκουσῶν τῷ δὲ κατηγορουμένῳ μόνον τὸν ἐπὶ μέρους καταφατικὸν ἡ μὲν ἐπὶ μέρους κατά τε τὴν ἀναγκαίαν καὶ τὴν ἐνδεχομένην ὕλην ἀληθεύουσα καταλαμβάνεται, ἡ δὲ καθόλου κατὰ μόνην τὴν ἀναγκαίαν (ἐπὶ ταύτης γὰρ μόνης δύναται τὸ κατηγορούμενον ἅπασι τοῖς ὑπὸ τὸ ὑποκείμενον ἀτόμοις ὑπάρχειν), κατὰ δὲ τὰς λοιπὰς δῆλον ὅτι ψευδομένη. καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως.

1 τε superscr. A 6 ψευδῆ] συμψευδῆ F 7 prius ἀεὶ suppl. G² 8 προείπομεν] p. 103,19 ἐστὶ om. G 10 πᾶν ἄνθρωπον G¹ ἐπὶ] ὑπὸ AMa 11 ἐφ'] ἐξ F 13 ἐπελθόντες G 14 ἀεὶ (ante ἀληθ.) om. AGM 15 ὕλην om. F 17 προσδ.] διορισμὸν F 18 προσδ.] διορισμοὺς libri 20 πᾶς ἄνθρωπος F 22 προσδ.] διορισμοὺς Fa οὐδεὶς] οὐ πᾶς M 27. 28 καὶ — ζῶον suppl. G² 27 καὶ τὴν οὐ G 30. 31 τῶν καταφ.] τὸν καταφυσικὸν (sic) A 31 προσδιορισμὸν AMa: διορισμῶν G 35 ἀτόμοις om. M 35. 36 ψευδόμεναι AFMa

Ἀλλ' ὅπερ ἐξ ἀρχῆς ἐπισκέψασθαι προεθέμεθα, διὰ τίνα αἰτίαν πλειόνων οὐσῶν τῶν ἀεὶ ψευδομένων προτάσεων μόνην ἀπεδοκίμασεν | ὁ Ἀρι- 85r
στοτέλης τὴν ἑκατέρῳ τῶν ὅρων τὸν καθόλου καταφατικὸν προσδιορισμὸν συμπλέκουσαν; ἢ ἐπὶ τῶν λοιπῶν τὴν μὲν μερικὴν κατάφασιν, οἷον τὴν λέγουσαν 'τὶς ἄνθρωπος πᾶν ζῷον', ἐναργῶς ἑώρα διὰ τὸ περιέχεσθαι ὑπὸ τῆς καθόλου ἀεὶ ψευδομένην, τὰς δέ γε ἀποφάσεις συντρεχούσας ταῖς καταφάσεσιν, ἅτε ἀναιρούσας τὸν συντεταγμένον τῷ κατηγορουμένῳ μερικὸν ἀποφατικὸν προσδιορισμὸν διὰ τῶν σὺν τῷ ὑποκειμένῳ λεγομένων ἀποφατικῶν καὶ αὐτῶν ὄντων· συμβαίνει γὰρ οὕτως ἑκατέρας τῶν ἀρνήσεων ἀναιρουμένης ὑπὸ τῆς ἑτέρας περιίστασθαι πάλιν τὴν πρότασιν εἰς τὴν ἐξ ἀρχῆς κατάφασιν· τί γὰρ διαφέρει τὸ εἰπεῖν 'πᾶς ἄνθρωπος πᾶν ζῷόν ἐστι' τοῦ εἰπεῖν 'οὐ πᾶς ἄνθρωπος οὐ πᾶν ζῷόν ἐστι'; δυνάμει γὰρ δῆλον ὅτι λέγομεν 'πᾶς ἄνθρωπος οὐχὶ οὐ πᾶν ζῷόν ἐστιν' ἤτοι 'οὐχὶ πᾶς ἄνθρωπος οὐ πᾶν ζῷόν ἐστιν' καὶ καθ' ἑκατέραν εἰσφέρομεν τὴν ἐξ ἀρχῆς τὴν 'πᾶς ἄνθρωπος πᾶν ζῷόν ἐστιν'. ἢ πάλιν τί διαφέρει τὸ εἰπεῖν 'τὶς ἄνθρωπος πᾶν ζῷόν ἐστι' τοῦ εἰπεῖν 'οὐδεὶς ἄνθρωπος οὐ πᾶν ζῷόν ἐστι'; δυνάμει γὰρ πάλιν λέγομεν ὅτι 'ἄνθρωπος οὐχὶ οὐ πᾶν ζῷόν ἐστιν' ἤτοι 'οὐχὶ οὐδεὶς ἄνθρωπος πᾶν ζῷόν ἐστι' καὶ εἰσφέρομεν τὴν 'τὶς ἄνθρωπος πᾶν ζῷόν ἐστι'. διὸ καὶ θεωρεῖν ἔξεστι τὰς εἰρημένας ἀποφάσεις μαχομένας πρὸς ταύτας τὰς προτάσεις τῶν ἀεὶ ἀληθῶν, πρὸς ἃς ἐμάχοντο καὶ αἱ ἀεὶ ψευδόμεναι καταφάσεις· πρὸς μὲν γὰρ τὴν 'πᾶς ἄνθρωπος οὐ πᾶν ζῷον' ἀεὶ ἀληθῆ κατάφασιν μάχονται ἥ τε 'πᾶς ἄνθρωπος πᾶν ζῷον' ἀεὶ ψευδὴς κατάφασις | διὰ τὸν κατηγορούμενον καὶ ἡ 'οὐ πᾶς ἄνθρωπος οὐ πᾶν ζῷον' 85v
διὰ τὸν ὑποκείμενον (ὥστε συντρέχουσιν ἀλλήλαις), πρὸς δὲ τὴν λέγουσαν 'τὶς ἄνθρωπος οὐ πᾶν ζῷον' μάχονται ὁμοίως ἥ τε 'τὶς ἄνθρωπος πᾶν ζῷον' διὰ τὸν κατηγορούμενον καὶ ἡ 'οὐδεὶς ἄνθρωπος οὐ πᾶν ζῷον' διὰ τὸν ὑποκείμενον, ὥστε καὶ αὗται συντρέχουσιν. εἰ τοίνυν αἱ εἰρημέναι ἀποφάσεις τὴν αὐτὴν ἔχουσι δύναμιν ταῖς καταφάσεσιν ὁ τὴν ἀεὶ ψευδομένην καθόλου κατάφασιν καὶ σὺν αὐτῇ τὴν ἀεὶ ἑπομένην αὐτῇ μερικὴν κατάφασιν ἀποκρίνας τοῦ καταλόγου τῶν προτάσεων διὰ τούτων ἂν εἴη καὶ τὰς λοιπάς, τοῦτ' ἔστι τὰς δύο ἀποφάσεις τὰς διὰ τὸ συνᾴδειν ταῖς εἰρημέναις καταφάσεσιν ἀεὶ καὶ αὐτὰς ψευδομένας, ἀποδοκιμάσας· χρὴ γὰρ ἐφιστάνειν ὅτι ταῖς τε ἀεὶ ψευδομέναις τὴν αἰτίαν τοῦ ἀεὶ ψεύδεσθαι μόνη

1 προεθέμ. ἐπισκ. (corr. num. superscr.) G (cf. p. 102,19) 2 μόνη G 4 συμπλέκουσα G μὲν om. F 6 ψευδομένης Ma 8 προσδ.] διορισμὸν libri τῶν] τὴν F 9 συμβαίνει] σημαίνει A 11 πᾶν om. M 12 οὐ πᾶς] οὐδεὶς F 13 οὐ (prius) om. Aa: ante πᾶς ἄνθρ. colloc. G οὐ (alt.) ante πᾶς ἄνθρ. (alt.) collocaveris 13. 14 post οὐ πᾶν ζῷόν ἐστι add. ἀλλὰ πᾶς ἄνθρωπος πᾶν ζῷον δηλονότι G: ἀλλὰ πᾶς ἄνθρωπος πᾶν ζῷόν ἐστι a 14 ἑκατέραν] ἑτέραν G¹ εἰσεκφερομένην Aa: εἰσφερομένην M post ἀρχῆς add. πᾶς ἄνθρωπος M τὴν (alt.)] τῇ G: τῆς Ma 17 ὅτι] ὅτι πᾶς G: οὐχὶ M; scribas τὶς οὐ om. F 18. 19 καὶ εἰσφ.—ζῷόν ἐστι suppl. G² 22 ἀεὶ—ζῷον (23) om. F 23 οὐ (alt.) om. G post ζῷον add. ἀπόφασις M 28 ἀποφάσεις om. G 29 ἀεὶ ἑπομένην αὐτῇ om. F 31 τὸ] τοῦ AMa 33 τε om. M

παρέσχεν ἡ συμπλοκὴ τοῦ πᾶς πρὸς τὸ κατηγορούμενον (ἐν πάσαις γοῦν αὐταῖς ἐνυπάρχει ἢ κατ' ἐνέργειαν ἢ κατὰ δύναμιν) καὶ ταῖς ἀεὶ ἀληθευούσαις ἡ τούτου ἀναίρεσις· καὶ γὰρ αὗται πᾶσαι τὸ οὐ πᾶς ἔχουσι συντεταγμένον τῷ κατηγορουμένῳ ἢ κατ' ἐνέργειαν πάλιν, ὡς αἱ ἐν αὐταῖς κατα- 20
5 φάσεις, ἢ κατὰ δύναμιν, ὡς αἱ ἀποφάσεις· τὸ γὰρ 'οὐδεὶς ἄνθρωπος πᾶν ζῷον' διὰ τοῦτο ἀληθές, διότι πᾶς οὐ πᾶν ἐστι ζῷον, καὶ τὸ 'οὐ πᾶς ἄνθρωπος πᾶν ζῷον' ὡσαύτως, διότι καὶ ὁ κατὰ μέρος οὐ πᾶν ζῷον. ὥστε 25 εἰκότως μόνου τοῦ πᾶς τὴν πρὸς τὸ κατηγορούμενον συμπλοκὴν ἀδοκίμους ὁ φιλόσοφος ἀποφαίνεται ποιεῖν τὰς προτάσεις.

10 Δῆλον δὲ ὅτι κἂν ἄνευ προσδιορισμοῦ λαμβάνωμεν τὸ ὑποκείμε|νον 86r ἢ τὸ ἄρθρον αὐτῷ συντάττοντες ἢ μηδὲ τὸ ἄρθρον, τὸ αὐτὸ ἔσται τῶν οὕτω γινομένων προτάσεων ἁμάρτημα ταῖς μετὰ τῶν εἰρημένων προσδιορισμῶν λεγομέναις· παραπλησίαν γὰρ ἕξει τὴν δύναμιν ἡ μὲν 'ὁ ἄνθρωπος 5
15 πᾶν ζῷον' λέγουσα τῇ 'πᾶς ἄνθρωπος πᾶν ζῷον', ἡ δὲ 'ἄνθρωπος πᾶν ζῷον' τῇ 'τὶς ἄνθρωπος πᾶν ζῷον'. διὰ τὰ αὐτὰ δὲ κἂν τὸν καθ' ἕκαστα λαμβάνωμεν ὑποκείμενον, παραιτησόμεθα τῷ κατ' αὐτοῦ κατηγορουμένῳ τὸν πᾶς προσδιορισμὸν συμπλέκειν· οὐ γὰρ οἷόν τε σωφρονοῦντα λέγειν, 10 ὡς ἀληθῶς λέγοντα. ὅτι Σωκράτης πᾶς ἄνθρωπός ἐστιν. οὐ μὴν ἀλλ' οὐδὲ ἕνα ἢ ἀεὶ ἢ ποτὲ ἀληθεύουσαι γένωνται προτάσεις, ἀξιοῖ ὁ Ἀριστο-
20 τέλης προστιθέναι τινὰ τῷ κατηγορουμένῳ προσδιορισμόν· ὅλως μὲν γὰρ τὰς ἀεὶ ἀληθεῖς οὐχ ἧττον τῶν ἀεὶ ψευδῶν παραιτητέον τοῖς προθεμένοις 15 ἐπισκοπεῖν τὰς ἄνευ περιττῆς ποικιλίας προφερομένας ἀποφάνσεις, ὡς οὔτε διάφορόν τι κατὰ τὴν ἀναγκαίαν ἢ τὴν ἀδύνατον ὕλην σημαινούσας οὔτε πρὸς διάκρισιν ἡμῖν τῆς τε ἀληθείας καὶ τοῦ ψεύδους συμβαλλομένας. οὐ 20
25 μέντοι οὐδὲ τὰς παρὰ μέρος ἑκάτερον δέχεσθαι τούτων δυναμένας ἔχειν τινὰ δεῖ πρὸς τῷ κατηγορουμένῳ διορισμόν· τὴν αὐτὴν γὰρ αὐταῖς δύναμιν ἐχούσης τῆς ἄνευ προσδιορισμοῦ τὴν κατηγορίαν ποιουμένης προτάσεως, διὰ τί μὴ τὰς ἁπλουστέρας ἀντὶ τῶν παρέλκοντά τινα προσλαμβανουσῶν ἐπι- 25
30 λεξώμεθα, οἷον ἀντὶ τῆς 'πᾶς ἄνθρωπος τὶ ζῷον' ἢ 'πᾶς ἄνθρωπος οὐ πᾶν ζῷον' τὴν 'πᾶς ἄνθρωπος ζῷον' καὶ ἀντὶ τῆς 'πᾶς ἄνθρωπος οὐδεὶς λίθος' τὴν 'πᾶς ἄνθρωπος λίθος οὐκ ἔστιν' ἢ τὴν ταύτης ἁπλουστέρόν τε 86v καὶ αὐτοφυέστερον ἀποφαινομένην τὴν 'οὐδεὶς ἄνθρωπος λίθος ἐστίν'; ἐπεὶ καὶ ὅταν εὑρίσκωμεν τῶν παλαιῶν τινας δοκοῦντας τὸν ἐπὶ μέρους κατα-

---

2 ἢ (prius) om. AFMa (cf. v. 4) ἀεὶ suppl. G² 6 alterum ζῶον om. G καὶ τὸ — οὐ πᾶν ζῶον (7) om. F 8 εἰκότως] ἐκ F τῆς . . συμπλοκῆς F 10 κἂν] οὐκ ἂν M 11 αὐτῷ] αὐτὸ AMa 12 γενομ. GMa 13 ὁ om. Ma 14 ἡ δὲ ἄνθρ.] superscr. πᾶς M 15 καθέκαστον G 16 τὸν ὑποκ. Aa: τὸ ὑποκ. F παραιτησώμεθα M 19 ὁ om. A 20 διορισμόν AFGM 22 περιττῆς] τῆς F προσφερ. AGa ἀποφάσεις AFMa 24 συμβαλλ.] λαμβανομένας G 28. 29 ἐπιπλεξόμεθα FG: ἐπιπλεξώμεθα Ma 29 τὶ om. a ἢ πᾶς—ζῶον (30) om. F 30 οὐδεὶς om. F 31. 32 ἁπλουστέραν τε καὶ αὐτοφυεστέραν Fa 32 λίθος om. F

φατικὸν προσδιορισμὸν τῷ κατηγορουμένῳ συμπλέκειν, ὡς ὅταν αὐτὸς μὲν ὁ Ἀριστοτέλης τὴν ψυχὴν ἐντελέχειάν τινα ὀνομάζῃ, Πλάτων δὲ τὴν ῥητορικὴν ἐμπειρίαν τινά, τὸ τίς ἐπὶ τούτων παρειλῆφθαι ῥητέον ἐνδείξεως χάριν τοῦ μὴ ἀντιστρέφειν τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ ἀλλ' εἶναι αὐτοῦ γένος καὶ δεῖσθαι προσθήκης διαφορῶν τινων, ἵνα ποίησῃ τὸν ὁρισμὸν τοῦ ὑποκειμένου.

Ἀλλὰ πῶς, φασίν, οὐκ ἐπ' αὐτῶν τῶν πραγμάτων ὁ τοῦ Ἀριστοτέλους ἐλέγχεται λόγος, εἴπερ λέγοντες 'πᾶς ἄνθρωπος πάσης ἐπιστήμης ἐστὶ δεκτικός' καὶ τῷ καθόλου κατηγορουμένῳ τὸν καθόλου προσδιορισμὸν συντάττοντες ἀληθεύομεν; πρὸς ὃ ῥητέον ὅτι τὸ πάσης οὐ τῷ κατηγορουμένῳ κατὰ ἀλήθειαν συμπλέκομεν· κατηγορεῖται μὲν γὰρ τὸ περὶ τοῦ ὑποκειμένου λεγόμενον, λέγεται δὲ περὶ τοῦ ἀνθρώπου οὐχ ὅτι ἐστὶν ἐπιστήμη, ἀλλ' ὅτι δεκτικός ἐστιν ἐπιστήμης. εἰ μὲν οὖν τῷ δεκτικῷ συνταττομένου τοῦ πᾶς δύναται τότε ἀληθεύειν ἡ πρότασις, οἷον λεγόντων ἡμῶν 'πᾶς ἄνθρωπος πᾶν δεκτικὸν ἐπιστήμης ἐστίν', ἐλέγχοιτο ἂν τοῦ Ἀριστοτέλους ὁ λόγος· νῦν δὲ ἀδύνατον αὐτὴν ἀληθεύειν· ὁ γὰρ τοῦτο λέγων οὐδὲν ἄλλο φησὶν ἢ ὅτι τῶν ἀνθρώπων ἕκαστος πᾶς ἄνθρωπός ἐστιν. οἷον ὁ Σωκράτης οὐ μόνον ἐστὶ Σωκράτης ἀλλὰ καὶ Πλάτων καὶ Ἀλκιβιάδης καὶ τῶν ἄλλων ἕκαστος· | εἰ γάρ ἐστι πᾶς ἄνθρωπος πᾶν δεκτικὸν ἐπιστήμης, εἷς δὲ τῶν 87r πάντων καὶ Σωκράτης, καὶ οὗτος ἄρα πᾶν δεκτικὸν ἐπιστήμης ἐστίν, ὥστε καὶ Πλάτων ἔσται καὶ Ἀλκιβιάδης ὁ Σωκράτης, ἐπειδὴ καὶ οὗτοι δεκτικοί εἰσιν ἐπιστήμης· εἰ γὰρ μὴ εἴη ὁ Σωκράτης καὶ Πλάτων ἅμα καὶ Ἀλκιβιάδης, οὐκέτι ἔσται πᾶν δεκτικὸν ἐπιστήμης. τὸ οὖν πάσης οὐκ ἔστιν ἐνταῦθα τοῦ κατηγορουμένου προσδιορισμός, ἀλλὰ μέρος· αὐτὸ γὰρ τοῦτο λέγεται περὶ τοῦ ἀνθρώπου, ὅτι δεκτικός ἐστι πάσης ἐπιστήμης. ὅτι δὲ οὐκ ἔστι τὸ πάσης προσδιορισμὸς τοῦ κατηγορουμένου, δῆλον ἐκ τοῦ συμπλέκοντας ἡμᾶς ταύτῃ τῇ προτάσει ἑτέραν μείζονα πρότασιν καὶ τὸ ἐν ταύτῃ κατηγορούμενον, αὐτὸ λέγω τὸ δεκτικὸν πάσης ἐπιστήμης, ὑποκείμενον ἑτέρῳ τινὶ καθόλου κατ' αὐτοῦ κατηγουμένῳ ποιοῦντας, ἵνα συμπέρασμά τι ἐξ αὐτῶν συναγάγωμεν, προστιθέναι αὐτῷ τότε τὸν καθόλου προσδιορισμὸν ἅτε μὴ ἔχοντι, οἷον εἰ λέγοιμεν 'πᾶς ἄνθρωπος πάσης ἐπιστήμης ἐστὶ δεκτικός, πᾶν τὸ πάσης ἐπιστήμης δεκτικὸν λογικόν, πᾶς ἄρα ἄνθρωπος λογικός', καίτοι εἰ τὸ πάσης προσδιορισμὸς ἦν, τί ἡμῖν ἔδει καὶ

---

1 τῷ superscr. A 2 ὁ Ἀριστοτέλης] De an. B 1 p. 412a27b5, ubi τίς desideratur, sed 414a13 legitur λόγος τις ἂν εἴη καὶ εἶδος ἐνδελέχειαν G ὀνομάζῃ] λέγῃ F Πλάτων] Gorg. p. 462 C 3 παραληφθῆναι G 4 τὸν κατηγ. AMa 7 φησιν G² οὐκ] οὐδ' M 8. 9 ἐστι δεκτ.] ἐπιδεκτ. A 10 οὐ τῷ] αὐτῷ M 11 συμπλέκεται A¹G 12 ἐστὶν om. F 14 τότε om. F 16 ἀδύν.] οὐ δυνατὸν G 17 ἢ om. F 20 πᾶν om. G δεκτικὸς G 21 post Σωκρ. add. καὶ πλάτων ἅμα καὶ ἀλκιβιάδης ὁ σωκράτης G 22 εἰ γὰρ — ἐπιστήμης (23) om. M εἴη] ἦν A: ἢ G 23 πάσης G: πᾶς AFMa 24 ἐνταῦθα AMa: ἐν αὐτῇ F: ἐν ταύτῃ G 29 κατηγορουμένου G 30 τι om. M τότε τὸν] τὸν G: τόν τε a 32 ἐστι om. F δεκτικόν (pr. l.) AGMa ἄρα om. A 33 καίτοι] καὶ τὸ M post πάσης superscr. ἐπιστήμης G²

ἑτέρου προσδιορισμοῦ; πῶς δὲ οἷόν τε ἦν δύο προσδιορισμοὺς ἐφεξῆς ἀλλήλοις λέγεσθαι; ἀλλὰ δῆλον ὅτι οὔτε τὸ πάσης προσδιορισμὸν εἶναι τοῦ κατηγορουμένου δυνατὸν οὔτε τὸ κατηγορούμενον ἡ ἐπιστήμη ἐστὶν ἀλλὰ τὸ δεκτικόν, ᾧ ἐν τῇ δευτέρᾳ προτάσει ὑποκειμένῳ γινομένῳ κατὰ τὸν νόμον τῶν ἐν τῷ πρώτῳ χρήματι συμπλεκομένων προτάσεων ποτὲ μὲν τὸ ἄρθρον ποτὲ δὲ | τὸν καθόλου προσδιορισμὸν προστίθεμεν. 87v

Ὅτι μὲν οὖν οὐ χρὴ τῷ κατηγορουμένῳ προστιθέναι τὸν καθόλου προσδιορισμὸν τὸν καταφατικόν, εἴτε κοινότερον εἴη τοῦ ὑποκειμένου τὸ κατηγορούμενον ὡς ἐπὶ τῆς 'πᾶς ἄνθρωπος πᾶν ζῷον', εἴτε καὶ ἐξισάζον πρὸς αὐτὸ ὡς ἐπὶ τῆς 'πᾶς ἄνθρωπος πᾶν γελαστικόν', φανερὸν ἐκ τῶν εἰρημένων· καὶ γὰρ καὶ ἐπὶ τῶν ἐξισαζόντων ὅρων παραπλήσιον τὸ ἄτοπον, διότι ὁ πάντα ἄνθρωπον ἅπαν γελαστικὸν εἶναι ἀποφηνάμενος ἕκαστον τῶν κατὰ μέρος ἀνθρώπων ἅπασιν εἶναι τὸν αὐτὸν ἀποφαίνεται, οἷον τὸν Σωκράτην, διότι ἐστὶν ἄνθρωπος, ἅπαν εἶναι γελαστικόν, τοῦτο δέ ἐστι τὸν Σωκράτην πάντα ἄνθρωπον εἶναι. τοῦτο μὲν οὖν καὶ διὰ τῶν πρότερον εἰρημένων δῆλον, ἐν οἷς ἐδείκνυμεν ὡς οὐ δυνατὸν λέγειν ὅτι πᾶς ἄνθρωπος πᾶν δεκτικὸν ἐπιστήμης ἐστί· καὶ γὰρ τὸ δεκτικὸν ἐπιστήμης ἐξισάζει πρὸς τὸν ἄνθρωπον. ἀλλὰ τί τὸ αἴτιον τοῦ μὴ πεφυκέναι τὸ κατηγορούμενον ἀνέχεσθαι τῆς προσθήκης τοῦ πᾶς προσδιορισμοῦ, καίτοι τῷ οὐδεὶς συμφύεσθαι δοκοῦν; ἢ ὅτι τὸ καταφατικῶς κατηγορούμενον εἰ καθόλου κατηγοροῖτο τοῦ ὑποκειμένου, ἀεὶ περιλαμβάνειν ἐθέλει τὸ ὑποκείμενον, ἢ ὡς ἐξισάζον καὶ οἷον ἐφαρμόζον αὐτῷ ἢ καὶ ὡς ὑπερτεῖνον, καὶ ἔτι τὸ πλῆθος ἅπαν τῶν ὑπὸ τὸ ὑποκείμενον ἀτόμων τῇ ἑαυτοῦ μεθέξει συνδεῖν αὐτὸ πρὸς ἑαυτὸ καὶ ἑνοῦν πέφυκεν· ὅπερ γὰρ ἔλεγεν ἐν τοῖς προλαβοῦσιν ὁ Ἀριστοτέλης, τὸ πᾶς οὐ τὸ καθόλου σημαίνει, ἀλλ' ὅτι καθόλου. εἰ τοίνυν τὸ μὲν καταφατικῶς κατηγορούμενον συνάγειν ἐπείγεται καὶ τὰ φύσει διῃρημένα, ὡς ἂν αὐτῶν πολλῶν πρότερον κατὰ τὴν ἁπλότητα τὴν αὐτοῦ 88r θεωρουμένων, τὸ δὲ πᾶς οὐχ ἑνός τινος ἀλλὰ πλήθους ἐστὶν ἐμφαντικόν, φανερὸν ὡς συμπλέκεσθαι αὐτὰ πρὸς ἄλληλα τῶν ἀδυνάτων. ὅταν δὲ παντελῶς ἢ κεχωρισμένον τὸ ἀποφατικῶς κατηγορούμενον τοῦ ὑποκειμένου, τότε καὶ ἕκαστον τῶν ὑπὸ τὸ κατηγορούμενον ἀποφάσκειν δυνάμεθα τοῦ ὑποκειμένου, οἷον λέγοντες 'πᾶς ἄνθρωπος οὐδεὶς λίθος ἐστί', πλὴν ἐστοιβασμένην ποιήσομεν τὴν πρότασιν, ἐξὸν ἁπλούστερον λέγειν τὸ 'πᾶς ἄνθρωπος λίθος οὐκ ἔστι' καὶ τούτου ἔτι ἁπλούστερον τὸ 'οὐδεὶς ἄνθρωπος λίθος ἐστίν', ἵνα μὴ ἐπὶ ἀναιρέσεως τὸν καταφατικὸν προσδιορισμὸν παραλαμβάνωμεν.

2 προσδιορισμὸς AFMa 3 δύναται M 5 τῶν] τὸν M τῷ om. AG
11 καὶ (post γὰρ) om. FG 12 διότι] διὸ G ὁ om. G 15. 16 διὰ τῶν πρότ. εἰρ.] p. 107,13 sq. 18. 19 τὸν κατ. Aa 19 τῷ] τὸ AMa 20 δοκοῦν evan. A ἢ ὅτι] καίτοι A: ἢ διότι M 23 ἅπαν om. A 24. 25 ἐν τοῖς προλαβ. ὁ Ἀρ.] p. 17b11 27 αὐτῶν scripsi: αὐτὸ AFMa: αὐτῷ G πολλῶν G1: πολλῷ AFG2Ma αὐτοῦ] ἑαυτοῦ a 28 θεωρουμένων scripsi: θεωρούμενον libri 30 ἀποφαντικῶς AF τοῦ ὑποκ.—κατηγορούμενον (31) in mrg. suppl. A 31 τότε—ὑποκειμένου (32) suppl. G2
32. 33 ἐστειβασμένην A 33 ποιήσωμεν Ma 35 διαιρέσεως F

p. 17b16 Ἀντικεῖσθαι μὲν οὖν κατάφασιν ἀποφάσει λέγω ἀντιφατικῶς τὴν τὸ καθόλου σημαίνουσαν τῷ αὐτῷ ὅτι οὐ καθόλου, οἷον πᾶς ἄνθρωπος λευκός — οὐ πᾶς ἄνθρωπος λευκός, οὐδεὶς ἄνθρωπος λευκός — ἔστι τις ἄνθρωπος λευκός· ἐναντίως δὲ τὴν τοῦ καθόλου κατάφασιν καὶ τὴν τοῦ καθόλου ἀπόφασιν, οἷον πᾶς ἄνθρωπος δίκαιος — οὐδεὶς ἄνθρωπος δίκαιος. διὸ ταύτας μὲν οὐχ οἷόν τε ἅμα ἀληθεῖς εἶναι, τὰς δὲ ἀντικειμένας αὐταῖς ἐνδέχεταί ποτε ἐπὶ τοῦ αὐτοῦ ἀληθεύειν, οἷον οὐ πᾶς ἄνθρωπος λευκός καὶ ἔστι τις ἄνθρωπος λευκός.

Τὰς ἀντιθέσεις ἁπάσας τῶν προσδιωρισμένων προτάσεων ἐν τούτοις παραδίδωσιν ἡμῖν ὁ Ἀριστοτέλης, τάς τε τῶν διαγώνιον θέσιν ἐχουσῶν ἐν τῷ ἐκτε|θέντι πρότερον διαγράμματι καὶ τὴν τῶν καθόλου ὡς καθόλου 88v καὶ ἔτι τὴν τῶν καθόλου ὡς μερικῶν λεγομένων. καὶ τὰς μὲν διαγωνίους φησὶν ἀντιφατικῶς ἀντικεῖσθαι πρὸς ἀλλήλας, τοῦτ' ἔστιν ἀεὶ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, τήν τε καθόλου κατάφασιν μετὰ τῆς μερικῆς ἀποφάσεως καὶ τὴν καθόλου ἀπόφασιν μετὰ τῆς μερικῆς καταφάσεως, αὐτὰς δὲ τὰς καθόλου ὡς καθόλου προτάσεις μηκέτι ἀντιφατικῶς ἀλλ' ἐναντίως ἀντικεῖσθαι πρὸς ἀλλήλας διὰ τὸ συμψεύδεσθαι ἀλλήλαις ἐπὶ τῆς ἐνδεχομένης ὕλης, ἐφ' ἧς τὰς μερικὰς καὶ ὑπεναντίας λεγομένας συναληθεύειν ἀλλήλαις ἀνάγκη διὰ τὸ ἑκατέραν αὐτῶν ἀληθῆ εἶναι, ὅταν ἡ ἀντιφατικῶς αὐτῇ μαχομένη καθόλου πρότασις ψεύδηται, ὥστε κατὰ μηδένα τρόπον μάχεσθαι ταύτας ἀλλήλαις. δῆλα δὲ ταῦτα διά τε τῶν ὑπὸ τοῦ φιλοσόφου παρατεθέντων παραδειγμάτων καὶ ἐξ ὧν ἡμεῖς πρότερον περὶ αὐτῶν διεληλύθαμεν. εἰδέναι μέντοι χρὴ ὅτι γράφεται ἀντὶ τοῦ ἀντιφατικῶς καὶ ἀποφαντικῶς, σημαίνοντος, ὥς φησιν ὁ φιλόσοφος Πορφύριος, τοῦ Ἀριστοτέλους διὰ τούτου ποίας καταφάσεως πρὸς ποίαν ἀπόφασιν ἀξιοῖ τὴν ἀντίθεσιν λαμβάνειν, ὅτι τῆς ὡς ἀποφάνσεως, ἐπείπερ, ὥς φησιν, εἰώθασι καὶ τὰ ὡρισμένα ῥήματα καλεῖν καταφάσεις τὰ δὲ ἀόριστα ἀποφάσεις, καὶ ὑπώπτευσεν ἄν τις, εἰ μὴ προσέθηκε τὸ ἀποφαντικῶς, περὶ τῆς ἀντιθέσεως τῶν τοιούτων φωνῶν γίνεσθαι τὸν λόγον. δῆλον δὲ ὅτι τὰ ἐπαγό|μενα 89r συνᾴδουσι μᾶλλον τῇ προτέρᾳ γραφῇ· ἀποφαντικῶς γὰρ λέγοιντο ἂν ἀντι-

---

1 ἀντιφατ.—λευκός (9) om. M 2 οὐ—οὐ πᾶς ἄνθρ. λευκός (3) om. G 3 οἷον—λευκός (9) om. a 4 ἐναντίως—λευκός (9) om. G 6 post οἷον add. πᾶς ἄνθρωπος λευκός, οὐδεὶς ἄνθρωπος λευκός b 7 ἅμα suppl. F² 8 αὐταῖς] ταύταις F ποτε om. F ἀληθεύειν] ἅμα ἀληθεῖς εἶναι b 10 προσδιωρ.] διωρ. F 10. 11 παραδ. ἡμῖν διὰ τούτων (ἐν τούτοις om.) F 11 ὁ ἀριστοτέλης om. F διαγώνων θέσεις Ma 12 προτέρῳ M διαγρ.] p. 93,10 13 τὴν G: om. AFMa post διαγωνίους add. ἃς καθόλου ὡς καθόλου ἐκάλεσεν ὡς ἐχούσας τὴν ἑτέραν τῶν προτάσεων καθόλου AMa: ἃς καθόλου (ὡς καθόλου suppl. m²) G (cf. p. 110,17) 17 ὡς καθόλου om. AM 19 ὕλης om. F 23 πρότερον] p. 91,4 sq. 24 ἀντιφατ.] ἀποφατικῶς G 25 ἀποφαντ.] ἀποφατικῶς AMa 27 ὡς suppl. G² 28 καλεῖν om. F 29 ὑπώπτευσεν F 30 γενέσθαι M τοὺς λόγους G 31 ἂν λέγοιτο G ἂν om. A

κεῖσθαι κατὰ τοῦτο καὶ αἱ ἐναντίαι, ἃς ὡς καθ' ἕτερον τρόπον τῶν πρὸ αὐτῶν ἀντικειμένας παρέθετο εὐθὺς ὁ Ἀριστοτέλης.

p. 17b26 Ὅσαι μὲν οὖν ἀντιφάσεις τῶν καθόλου εἰσὶ καθόλου, ἀνάγκη τὴν ἑτέραν ἀληθῆ εἶναι ἢ ψευδῆ, καὶ ὅσαι ἐπὶ τῶν καθ' ἕκαστα, οἷον ἔστι Σωκράτης λευκός — οὐκ ἔστι Σωκράτης λευκός· ὅσαι δὲ ἐπὶ τῶν καθόλου μὲν μὴ καθόλου δέ, οὐκ ἀεὶ ἡ μὲν ἀληθὴς ἡ δὲ ψευδής· ἅμα γὰρ ἀληθές ἐστιν εἰπεῖν ὅτι ἔστιν ἄνθρωπος λευκὸς καὶ ὅτι οὐκ ἔστιν ἄνθρωπος λευκὸς καὶ ὅτι ἔστιν ἄνθρωπος καλὸς καὶ οὐκ ἔστιν ἄνθρωπος καλός· εἰ γὰρ αἰχρός, καὶ οὐ καλός, καὶ εἰ γίνεταί τι, καὶ οὐκ ἔστι. δόξειε δ' ἂν ἐξαίφνης ἄτοπον εἶναι διὰ τὸ φαίνεσθαι σημαίνειν τὸ οὐκ ἔστιν ἄνθρωπος λευκός ἅμα καὶ ὅτι οὐδείς ἐστιν ἄνθρωπος λευκός· τὸ δὲ οὔτε ταὐτὸν σημαίνει οὔθ' ἅμα ἐξ ἀνάγκης.

Τῶν ἐκ τῆς διαιρέσεως τοῦ ὑποκειμένου γινομένων ὀκτὼ προτάσεων τίνες μέν εἰσιν αἱ ἀντιφατικῶς ἀντικείμεναι πρὸς ἀλλήλας τίνες δὲ αἱ δοκοῦσαι μὲν ἀντιφάσκειν, οὐ μέντοι ἀντιφάσκουσαι, παραδίδωσιν ἡμῖν ὁ φιλόσοφος διὰ τούτων, τὰς μὲν διαγωνίους, ἃς καθόλου ὡς καθόλου προσαγορεύει διὰ τὸ ἔχειν τὴν ἑτέραν τῶν προτάσεων καθόλου ὡς καθόλου, μάχεσθαι πρὸς ἀλλήλας ἀντιφατικῶς ἀποφαινόμενος, τὴν πᾶς κατάφασιν τῇ οὐ πᾶς ἀποφάσει καὶ τὴν οὐδεὶς ἀπόφασιν τῇ τίς καταφάσει, καὶ ἔτι τὰς καθ' ἕκαστα, τὴν 'Σωκράτης λευκός ἐστι' τῇ 'Σωκράτης λευκὸς οὐκ ἔστι'· τὰς δέ γε ἀπροσδιορίστους, ἃς καὶ ἐν τούτοις καθόλου | μὴ καθόλου 89v προσηγόρευσεν, οὐ φάσκων ἀντιφάσκειν ἀλλήλαις· οὐδὲ γὰρ ἀεὶ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἀλλὰ ταῖς μερικαῖς τὴν αὐτὴν ἐχούσας δύναμιν συναληθεύειν ἐπὶ τῆς ἐνδεχομένης ὕλης, ἐφ' ἧς καὶ ἐκεῖναι συναληθεύουσαι κατελαμβάνοντο· ἀληθεύειν γὰρ ἅμα τήν τε 'ἔστιν ἄνθρωπος λευκός' ἀπροσδιόριστον κατάφασιν ἐπί τινος φέρε τῶν Σκυθῶν λαμβανομένην καὶ τὴν 'οὐκ ἔστιν ἄνθρωπος λευκός' ἀπροσδιόριστον ἀπόφασιν ἐπί τινος τῶν Αἰθιόπων, καὶ τὴν 'ἔστιν ἄνθρωπος καλός' ἐπὶ τοῦ Ἀχιλλέως ἢ Νιρέως καὶ τὴν 'οὐκ ἔστιν ἄνθρωπος καλός' ἐπὶ τοῦ Θερσίτου. ταῦτα τοίνυν οὕτως τοῦ Ἀριστοτέλους ἀποφαινομένου καὶ ἀντιφθεγγομένων πρὸς αὐτὸν κλεινῶν τε καὶ ἐμοὶ σεβασμίων ἀνδρῶν, προσῆκον ἂν εἴη φιλτέραν ἅμα καὶ αἰδοιο-

1 ἕτερον] ἑκάτερον AF 1. 2 πρὸ αὐτῶν] προτάσεων G¹ 2 ἀντικειμένων F: κειμένας G¹ 4 ἀνάγκη — ἀνάγκης (13) om. M ἀναγκαῖον A καὶ ὅσαι — ἀνάγκης (13) om. a 7 μὲν AG²: om. FG¹ 8 ὅτι (ante οὐκ) superscr. A ante λευκός (alt.) add. οὐ del. G 8. 9 καὶ ὅτι ἔστιν ἄνθρ. καλὸς — καλός om. G 8 ὅτι (ante ἔστιν) om. b 9 καὶ ὅτι οὐκ A 10 καλῶς A δόξει G¹ 11 σημαίνειν om. (in mrg. ταὐτὸν σημαίνειν) A 12 ἐστιν post οὐδείς) om. b 14 ὀκτὼ γιν. A 16 ἀντιφάσκουσαι] ἀντιφάσκουσιν F 17. 18 νῦν προσαγορεύει G 23 φάσκων] λέγων a 24 ἐχούσαις a 28 post τινος add. φέρε G 29 νηρέως A: τοῦ νιρέως Ma (cf. Hom. B 673) 31 ἀποφηναμένου GM κλεινῶν] cf. Plat. Soph. p. 243 A 32 σεβασμένων G¹ φιλτέραν κτλ.] cf. Plat. Phaedo. p. 91 C Arist. Eth. Nic. p. 1096 a 16

τέραν ἁπάντων τὴν ἀλήθειαν ἡμᾶς ἡγησαμένους, ὅπερ καὶ αὐτοὶ ἐπιτηδεύειν ἡμῖν παρακελεύονται, μὴ ἀβασανίστως τὸ θεώρημα παρελθεῖν, ἀλλ' ἐπισκέψασθαι τήν τε τοῦ Ἀριστοτέλους διάνοιαν, καθ' ἣν ἀξιοῖ συναληθεύειν ἀλλήλαις τὰς ἀπροδιορίστους προτάσεις, καὶ τὰ παρὰ τῶν ἀντιδιαττο- 20
5 μένων αὐτῷ περὶ τούτων λεγόμενα, καὶ ἔτι πρὸς τούτοις αὐτὴν τῶν πραγμάτων τὴν φύσιν καὶ τὴν τῶν προτάσεων τούτων αὐτῶν καθ' αὑτὰς δύναμιν, ὅπως ἂν τῶν τε ἐναντίων λόγων διακηκοότες καὶ τὰ πράγματα, περὶ ὧν ὁ λόγος, καθ' ἑαυτὰ θεωρήσαντες ἀκριβέστερον ἐπικρῖναι τὴν περὶ 25
αὐτῶν ἀλήθειαν δυνηθῶμεν.

10 Ὁ μὲν οὖν Ἀριστοτέλης, ὅπερ καὶ πρότερον ἐλέγομεν, ἀξιοῖ τὰς ἀπροσδιορίστους ταῖς μερικαῖς τὸ αὐτὸ φθέγγεσθαι, | τὴν μὲν κατάφασιν τῇ 90r
καταφάσει τὴν δὲ ἀπόφασιν τῇ ἀποφάσει· ταὐτὸν γὰρ σημαίνειν τὸν λέγοντα 'ἔστιν ἄνθρωπος λευκός' τῷ λέγοντι 'τὶς ἄνθρωπος λευκός ἐστι' καὶ τὸν λέγοντα 'οὐκ ἔστιν ἄνθρωπος λευκός' τῷ λέγοντι 'τὶς ἄνθρωπος λευκὸς οὐκ 5
15 ἔστιν' ἢ 'οὐ πᾶς ἄνθρωπος λευκός ἐστι'· διὸ ἐφ' ἧς ὕλης αἱ μερικαὶ συναληθεύουσι (συναληθεύουσι δὲ ἐπὶ τῆς ἐνδεχομένης), ἐπὶ ταύτης καὶ τὰς ἀπροσδιορίστους συντρέχειν ἀλλήλαις. εἰ δέ γε ὄντως ταύτην ἔχουσι τὴν δύναμιν αἱ προκείμεναι προτάσεις, ἐπισκεψώμεθα τὴν ἀρχὴν τῆς ἐπικρί- 10
σεως ἀπό τινος κοινῆς περὶ αὐτῶν ἐννοίας ποιούμενοι τῆσδε· τὰς ἀπρο-
20 διορίστους ἅπαντες ὁμολογοῦμεν ὕλης ἔχειν λόγον πρὸς τὰς προσδιωρισμένας προτάσεις. ἐπείπερ προσλαμβάνουσαι τοὺς προσδιορισμοὺς εἴδεσιν ἀναλογοῦντας ἀποτελοῦσι τὰς προσδιωρισμένας οἷον συναμφότερόν τι. ἐπεὶ 15
οὖν ἡ ὕλη ἅτε ἀνείδεος οὖσα πάντων μὲν ὑφεῖται τῶν εἰδοποιημένων, πλησιάζει δὲ μᾶλλον τοῖς χείροσιν αὐτῶν καὶ τοῖς μήπω διηρθρωμένον
25 ἔχουσι τὸ εἶδος ἅτε ἀμυδροτέραν ἔχουσι δύναμιν καὶ οὐ πολὺ αὐτῆς κατ' 20
οὐσίαν ὑπερέχουσι, δῆλον ὅτι καὶ τὰς ἀπροσδιορίστους προτάσεις ταῖς χείροσι τῶν προσδιωρισμένων ἰσοδυναμεῖν ἀναγκαῖον. οὐκοῦν ἐπισκεψώμεθα τῶν προσδιωρισμένων προτάσεων τίνας εἶναι χείρονας ῥητέον, καὶ ταύταις ἐροῦμεν τὰς ἀπροσδιορίστους τὸ αὐτὸ φθέγγεσθαι. τῶν μὲν οὖν 25
30 καταφάσεων τῶν προσδιωρισμένων ἀναμφισβητήτως ἡ μερικὴ τῆς καθόλου χείρων, διόπερ ἀνάγκη τὴν ἀπροσδιόριστον κατάφασιν ἰσοδυναμεῖν | τῇ με- 90v
ρικῇ καταφάσει. περὶ δὲ τῶν ἀποφάσεων ἀμφισβητοῦσιν οἱ ἐξηγηταὶ πρὸς ἀλλήλους, καὶ οἱ μὲν ἑπόμενοι τῷ Ἀριστοτέλει τὴν μερικὴν χείρονα εἶναί φασι τῆς καθόλου (σεμνότερον γὰρ ἐν τῇ κατὰ τὸ ποσὸν τῶν προτάσεων ἀντι- 5
35 θέσει τὸ καθόλου τοῦ κατὰ μέρος, ὥσπερ ἐν τῇ κατὰ τὸ ποιὸν τὸ καταφατικὸν τοῦ ἀποφατικοῦ), οἱ δὲ τὴν καθόλου χείρονα εἶναι τῆς μερικῆς ἀποφαίνονται, διότι οὐ μόνον τὸ ποσὸν ἐν ταῖς προτάσεσι ταύταις λαμβά-

1 ἁπάντων] αὐτῶν F 2 διελθεῖν (superscr. παρ) A 3 τε om. F 8 ante ἐπικρ. add. τὴν del. G 10 πρότερον ἐλέγομεν] p. 110,24 12 σημαίνει G 14 τὶς ἄνθρ. λευκὸς οὐκ ἔστιν ἢ om. F 15 αἱ μερικαὶ om. F 20. 21 προσδιωρ.] προσδιορ. F: διωρ. GMa 21 προδιορ. F 25 αὐτῶν F 28 τίνα A 30 ἀναμφισβήτως F 32 ἀποφ.] καταφάσεων G¹ 34 φασι om. G¹ (post καθόλου suppl. G²) 35 τοῦ] τῆς F 36 τῆς μερ.] τῇ κατὰ μέρος F

νομεν, ἀλλὰ μετὰ τῆς πρὸς τὴν ἀποφατικὴν ποιότητα συμπλοκῆς· ἔργον δὲ ταύτης τὴν τῶν πραγμάτων ὕπαρξιν ἀναιρεῖν. τῆς οὖν μερικῆς ἀποφάσεως τὴν καθόλου μόνον κατάφασιν ἀναιρεῖν ἐπιχειρούσης καὶ δυναμένης ποτὲ συμφθέγγεσθαι τῇ μερικῇ καταφάσει, καθάπερ ἐπὶ τῶν ἐνδεχομένων (τὸ γὰρ 'οὐ πᾶς ἄνθρωπος λευκός' συναληθεύει τῷ 'τὶς ἄνθρωπος λευκός ἐστιν'), εἰ κατὰ μὲν τὴν καθόλου ἀπόφασιν οὐδεμίαν ἔμφασιν ὑπάρξεως καταλείπεσθαι δυνατόν, κατὰ δὲ τὴν μερικὴν οὐκ ἀνεννόητοι μένομεν ἐπὶ μέρους ὑπάρξεώς τινος, δῆλόν φασιν ὡς ἀνάγκη χείρονα εἶναι τὴν καθόλου ἀπόφασιν τῆς μερικῆς ἀποφάσεως. ὅτι δὲ ταῦτα οὕτως ἔχει καὶ τῇ καθόλου ἀποφάσει τὴν αὐτὴν ἔχει δύναμιν ἡ ἀπροσδιόριστος ἀπόφασις, εἴπερ ὡς τελεία λαμβάνοιτο πρότασις, δηλοῖ, φασίν, οὐ μόνον ἡ ἄλλη πᾶσα τῶν Ἑλλήνων χρῆσις ἀλλὰ καὶ αὐτὸς ὁ Ἀριστοτέλης πολλαχοῦ τῶν ἑαυτοῦ συγγραμμάτων ἀντὶ τῆς καθόλου ἀποφάσεως τῇ ἀπροσδιορίστῳ χρώμενος, ὥσπερ ὅταν ἀποφήνασθαι βουλόμενος ὡς οὐκ ἐνδέχεται κίνησιν αὐτὴν καθ' αὑτὴν 91r
εἶναι δίχα τῶν κινουμένων πραγμάτων λέγῃ "οὐκ ἔστι δὲ κίνησις παρὰ τὰ πράγματα", δίχα μὲν προσδιορισμοῦ τὴν ἀπόφασιν ποιούμενος ταὐτὸν δὲ λέγων τῷ 'οὐδεμία κίνησίς ἐστι παρὰ τὰ πράγματα', ἀλλ' οὐχὶ τῷ 'οὐ πᾶσα'. καὶ ἀντὶ τοῦ εἰπεῖν 'οὐδεμία αἴσθησίς ἐστι παρὰ τὰς πέντε αἰσθήσεις' λέγει ὅτι "οὐκ ἔστιν αἴσθησις ἑτέρα παρὰ τὰς πέντε"· οὐκοῦν καὶ ὅταν λέγωμεν 'οὐκ ἔστιν ἄνθρωπος δίκαιος', ταὐτὸν λέγομεν τῷ 'οὐδεὶς ἄνθρωπος δίκαιος'. εἰ δέ τις ἀξιοῖ τὸν Ἄνυτον προσυπακούειν, 'οὐκ ἔστιν ἄνθρωπος δίκαιος (ὁ Ἄνυτος)' ἢ 'οὐκ ἔστιν ἄνθρωπος λευκὸς (ὁ Αἰθίοψ)', καὶ ταύτῃ νομίζοι τὸ αὐτὸ φθέγγεσθαι τὴν ἀπροσδιόριστον ἀπόφασιν τὴν 'οὐκ ἔστιν ἄνθρωπος δίκαιος' τῇ 'οὐ πᾶς ἄνθρωπος δίκαιος' καὶ τὴν 'οὐκ ἔστιν ἄνθρωπος λευκός' τῇ 'οὐ πᾶς ἄνθρωπος λευκός', πρῶτον μὲν οὐκέτι συγχωρεῖ, φασί, τελείαν εἶναι τὴν πρότασιν, ἔπειτα οὐδὲ φυλάξει τὰ εἰρημένα παρὰ τοῦ Ἀριστοτέλους περὶ τῆς ἀντιθέσεως τῶν ἀποφάσεων πρὸς τὰς καταφάσεις· ἐλέγετο γὰρ ὡς ἀντίκεινται πρὸς ἀλλήλας αἱ τὸν αὐτὸν ὑποκείμενον καὶ τὸν αὐτὸν κατηγορούμενον παραλαμβάνουσαι, δι' ὧν ἔφασκε "λέγω δὲ ἀντικεῖσθαι τὴν τοῦ αὐτοῦ κατὰ τοῦ αὐτοῦ, μὴ ὁμωνύμως δέ, καὶ ὅσα ἄλλα τῶν τοιούτων προσδιοριζόμεθα πρὸς τὰς σοφιστικὰς ἐνοχλήσεις". εἰ δὲ τῆς καταφάσεως εἰπούσης 'ἄνθρωπος δίκαιός ἐστι' καὶ ἀληθευούσης διὰ τὸν Σωκράτην τὴν ἀπόφασιν αὐτῆς τὴν 'ἄνθρωπος δίκαιος οὐκ ἔστιν' ἀληθεύειν λέγοιμεν διὰ τὸν Ἄνυτον, ἕτερον ποιήσομεν τὸν ὑπο-

---

1 ἀντιφατικὴν Ma 2 ταύτης ἐστὶ AMa 4 ποτὲ om. G 5 τῷ] τὸ A
7 καταλείπ.] λείπεσθαι F 9 τῆς om. F 10 ἔχειν Ma 15 λέγῃ] Phys. Γ 1 p. 200b32 16 ποιούμεθα G1 17 τῷ (prius)] τὸ Aa: om. M παρὰ] περὶ F τῷ (alt.) correxi: τὸ libri 18 πέντε om. G 19 λέγει] De an. Γ 1 p. 424b22 παρὰ suppl. G2 21 τὸν iter. F an προσυπ. ⟨οἷον⟩?
21. 22 δίκαιος ἄνθρ. colloc. AM 22 ταύτην Ma 23 νομίζει G 27. 28 πρὸς τὰς καταφ.] καὶ τῶν καταφάσεων F 28 πρὸς ἀλλ.] ἀλλήλαις Fa 29 παραλαμβ.] ἔχουσαι F 30 ἔφασκε] p. 17a34 33 τὴν ἀπόφασιν — ποιήσομεν (34) om. M
34 λέγομεν G

κείμενον ἐν τῇ ἀποφάσει παρὰ τὸν εἰλημμένον ἐν τῇ καταφάσει, | καὶ οὐ 91v
ποιήσει τοῦτο ἀντίφασιν. ὥστε εἰ φυλάξομεν τὴν ἔννοιαν τῆς ἀντιφάσεως
καὶ τὰς ἀπροσδιορίστους ὡς τελείας προτάσεις παραλάβοιμεν, ἀλλὰ μὴ
ποιοῖμεν μεταπίπτειν εἰς τὸ τῶν καθ' ἕκαστα εἶδος προσυπακούοντες αὐταῖς 5
5 καθ' ἕκαστά τινας ὑποκειμένους ὡς αὐταῖς καθ' αὐτὰς ἀτελέσιν οὔσαις.
ἀνάγκη, φασί, τὴν ἀπροσδιόριστον ἀπόφασιν τῇ καθόλου συμφθέγγεσθαι.
τούτου οὖν οὕτως ἔχοντος καὶ τῆς ἀπροσδιορίστου καταφάσεως τῇ μερικῇ
συντρεχούσης, ὡς ὅταν εἴπωμεν 'ἄνθρωπος πεντάπηχύς ἐστιν' (οἰόμεθα 10
γὰρ ἀληθεύειν τοῦτο λέγοντες, κἂν εἷς μόνος τύχῃ τηλικοῦτον ἔχων μέγε-
10 θος), ἀξιοῦσι τὰς ἀπροσδιορίστους προτάσεις ἀντιφατικῶς ἀντικεῖσθαι πρὸς
ἀλλήλας, ὥσπερ ἔχουσιν ἥ τε μερικὴ κατάφασις καὶ ἡ καθόλου ἀπόφασις. 15

Εἰ δὲ λέγοι τις ἐπὶ τῶν κακῶν αἱρετωτέραν εἶναι τὴν καθόλου ἀπό-
φασιν τῆς μερικῆς ἀποφάσεως, πρῶτον μὲν ἀγνοεῖ ὅτι ἐν τῇ λογικῇ πραγ-
ματείᾳ οὐ τὰς τῶν πραγμάτων ἐπισκεπτόμεθα φύσεις ἀλλὰ τῶν φωνῶν
15 αὐτῶν καθ' αὐτὰς τὴν δύναμιν, ἔπειτα οὐδὲ οὕτως δεῖξαι δυνήσεται συμ- 20
φθεγγομένας ἀλλήλαις τὰς ἀπροσδιορίστους προτάσεις· δῆλον γὰρ ὅτι κατὰ
τὴν αὐτὴν διάνοιαν αἱρετωτέραν ἐπὶ τῶν κακῶν φήσει εἶναι τὴν μερικὴν
κατάφασιν τῆς καθόλου καταφάσεως· ὥσπερ γὰρ βέλτιον τὸ παντελῶς μὴ
εἶναι τὰ κακὰ τοῦ ἐπὶ μέρους μὴ εἶναι, οὕτως καὶ τὸ ἐπὶ μέρους εἶναι 25
20 τοῦ παντελῶς εἶναι. συμβήσεται οὖν ἐπὶ τούτων τὴν ἀπροσδιόριστον κατά-
φασιν τῇ καθόλου καταφάσει ὡς χείρονι τῆς μερικῆς συναληθεύειν. ἀλλὰ
μὴν τὴν ἀπόφα|σιν ἐπὶ τούτων ἠξίου τῇ μερικῇ ἀποφάσει διὰ τὴν αὐτὴν 92r
αἰτίαν συναληθεύειν· ἀντικείσονται ἄρα καὶ ἐπὶ τῶν κακῶν αἱ ἀπροσδιό-
ριστοι τοῦτον τὸν τρόπον, ὃν ἡ μερικὴ ἀπόφασις πρὸς τὴν καθόλου κατά-
25 φασιν. ταύτας δὲ συντρέχειν πρὸς ἀλλήλας ἀδύνατον· ὥστε καὶ οὕτως 5
διαιρήσουσιν ἀεὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος αἱ ἀπροσδιόριστοι προτάσεις.
εἰ δέ τις ἀξιοῖ τὴν ἀπροσδιόριστον ἀπόφασιν ποτὲ μὲν τῇ μερικῇ ἀπο-
φάσει συντρέχειν ποτὲ δὲ τῇ καθόλου (παροξυτόνως μὲν γὰρ λαμβανομένου 10
τοῦ ἔστιν ἐν τῷ 'ἄνθρωπος δίκαιος οὐκ ἔστι' ταὐτὸν φθέγγεσθαι τῷ 'οὐδεὶς
30 ἄνθρωπος δίκαιός ἐστιν', ὀξυτόνως δὲ τῷ 'οὐ πᾶς ἄνθρωπος δίκαιός ἐστι'),
πρῶτον μὲν οὐ πείθειν ἀλλὰ νομοθετεῖν ἡμῖν λέγοιτο ἄν, ἔπειτα ῥητέον
πρὸς αὐτὸν ὡς οὐκ οἶδεν ἡ Ἑλληνικὴ χρῆσις ἐπὶ τέλους τὸ ἔστιν ὀξυτο- 15
νούμενον ἢ καὶ ἐν οἵᾳ δήποτε χώρᾳ τῇ ἀρνήσει ὑποτεταγμένον. εἰ οὖν
ὁμολογεῖ καὶ αὐτὸς βαρυνομένου τοῦ ἔστι τὴν ἀπροσδιόριστον ἀπόφασιν τῇ
35 καθόλου τὸ αὐτὸ φθέγγεσθαι, ἀεὶ δὲ βαρυτονεῖσθαι αὐτὸ ἀναγκαῖον ἐν ταῖς

---

1 ἐν utrobique om. M παρὰ — καταφάσει om. F καὶ om. M 3 προτάσεις om. FM λάβοιμεν F: προσλάβοιμεν a 4 ποιοῦμεν AG: ποιῶμεν M 5 αὐτὰς καθ' αὐτὰς ἀτελεῖς οὔσας F αὐτοτελέσιν G 9 τύχοι FG 12 εἶναι om. M 13 διότι F 17 φήσει] φύσει F: φασιν a 19 τὰ κακὰ] κακὰ A: κατὰ Ma 21 τῇ καταφ. τῇ καθ. G 24 αἱ μερικαὶ ἀποφάσεις FG 27 ἀξιοῖ G 28 γὰρ om. G 29. 34 τοῦ ἔστιν] τουτέστιν F 29. 30 ταὐτὸν — δίκαιός ἐστιν om. F 29 τῷ (ante οὐδεὶς)] τὸ A 30 τῷ] τὸ AM: τοῦ F πᾶς ex τὶς corr. A 31 ἄν om. M 33 ἢ] εἰ FGa δήποτε] ποτε AGM post χώρᾳ add. in mrg. προτάσεως A 35 ἐν] ἐπὶ F

τοιαύταις προτάσεσι, δῆλον ὅτι συνδραμεῖται τῇ τοῦ καθόλου ἀποφάσει καὶ ἀντίφασιν ποιήσει πρὸς τὴν οἰκείαν κατάφασιν.

Ταῦτα μὲν οὖν ὁ τῶν ἀντιφθεγγομένων τῷ Ἀριστοτέλει λόγος. μήποτε δὲ δυνατὸν πρὸς ἕκαστον τῶν ἐπιχειρηθέντων ἀπαντᾶν λέγοντας ὡς οὔτε εὔλογον τὴν καθόλου ἀπόφασιν χείρονα λέγειν τῆς κατὰ μέρος. εἴπερ κατὰ μὲν τὸ ποιὸν οὐ διαφέρουσι, κατὰ δὲ τὸ ποσὸν μόνον παραβάλλοντες τὰς προτάσεις πρὸς ἀλλήλας ὁμολογοῦμεν κρείττονα εἶναι τὴν | καθόλου 92v τῆς κατὰ μέρος ὡς ὅλην μέρους, οὐ προσποιούμενοι τὰ πράγματα, περὶ ὧν ποιοῦνται τοὺς ἀφορισμούς (οὕτω γὰρ οὐκέτι φυλάξομεν τὴν ὑπόθεσιν, λέγω δὲ τὸ περὶ μόνης τῆς κατὰ τὸ ποσὸν διαφορᾶς τῶν προτάσεων ποιήσασθαι τὴν ἐπίκρισιν), οὔτε τὴν κατὰ μέρος ἀπόφασιν ὕπαρξίν τινα καθ' αὑτήν εἰσάγειν ἐροῦμεν, ἀλλ' ἀναιρεῖν μόνον τὴν καθόλου κατάφασιν, καὶ οὐδὲν ἧττον ἀποφάσκειν τῆς καθόλου, ἀλλ' ἐλαττόνων ἐνίοτε μόνον (διὸ καὶ ὑφίεσθαι αὐτῆς λέγεται κατὰ τὸ ποσόν, ὥσπερ καὶ ἡ κατάφασις ἡ κατὰ μέρος ἔχει πρὸς τὴν καθόλου κατάφασιν), οὔτε εἰ φαίνοιτο χρώμενος ὁ Ἀριστοτέλης τῇ ἀπροσδιορίστῳ ἀποφάσει ἀντὶ τῆς καθόλου, θαυμαστὸν οὐδέν· συμφθέγγεται γὰρ αὐτῇ κατὰ τὴν ἀδύνατον ὅλην, ὥσπερ καὶ ἡ κατὰ μέρος. δῆλον δὲ ὅτι κατὰ ταύτην προήγαγεν ὁ φιλόσοφος τὰς εἰρημένας ἀποφάσεις· οὐ γὰρ ἐνδέχεσθαι ἀξιοῖ μηδεμίαν εἶναι κίνησιν παρὰ τὰ κινούμενα πράγματα ἢ μηδεμίαν αἴσθησιν παρὰ τὰς πέντε, ἀλλ' ἀδύνατον εἶναι. καὶ εἰ φαίνοιντο τῶν παλαιῶν τινες ἐπὶ τῆς ἐνδεχομένης ὅλης οὕτως αὐτῇ καταχρησάμενοι, ὡς ταὐτὸν δυναμένῃ τῇ καθόλου καὶ ἀληθευούσῃ ἐφ' ὧνπερ ἐκείνη (τοῦτο γάρ ἐστι τὸ ταὐτὸν δύνασθαι), φανερὸν ὅτι οὐκ ἀπαραλλάκτως, ἐπεὶ αὐτόθεν ἀδύνατον αὐτὴν ἀντὶ ἐνδεχομένης εἶναι ὁμολογήσομεν (κατὰ μόνην γὰρ τὴν ἀδύνατον ὅλην ἡ καθόλου ἀποφατικὴ πρότασις ἀληθής, κατὰ δὲ τὴν ἀναγκαίαν καὶ τὴν ἐνδεχομένην, ὅπερ ἔμπροσθεν ἐλέγομεν, ψευδής), ἀλλὰ τῷ τε χρόνῳ ὁριζομένην, οἷον ὅτι νῦν οὐκ ἔστιν ἄνθρωπος δίκαιος | ἢ σοφός, καὶ ὡς πρὸς τοὺς συνεγνωσμένους ἡμῖν ἢ ἐκ 93r συνουσίας ἢ καὶ ἐξ ἀκοῆς· οὐ γὰρ δὴ περὶ ὧν μηδεμίαν ἔχομεν ἢ ἐκ πείρας ἢ ἐκ μαρτυρίας γνῶσιν, εἰ μὴ τοῦ Κνήμωνος καὶ τοῦ Τίμωνος εἴημεν μισανθρωπότεροι. τολμήσομεν ἀποφαίνεσθαι, ὡς οὐδαμῶς μετεχόντων οὐ πέφυκεν ἡ φύσις ἡ ἀνθρωπεία μετέχειν, ἅτε ὄντος ἐνδεχομένου κατὰ τὴν ὑπόθεσιν. τοῦτο δὲ οὐκ ἔστι ταὐτὸν τῇ καθόλου ἀποφάσει· τὸ γὰρ ὁρίζειν ἢ κατ' ἐνέργειαν ἢ κατ' ἐπίνοιαν τὰ ἄτομα, ὧν τὸ κατηγορού-

---

2 τὴν ἀντίφ. G 3 οὖν om. F 5 οὐδὲ AG¹M: οὐδὲν G² λέγειν] εἶναι G κατὰ μέρος] μερικῆς G 6 τὸ (ante ποσὸν) om. FG 8 malim ὅλον 10 prius τὸ om. G 14 ὑφεῖσθαι Fa 16. 17 μηδὲν θαυμαστόν G¹ 18 παρήγαγεν F: προσήγαγεν M 19. 20 κινούμ.] καλούμ. M 21 φαίνοιτο G 23 ὧνπερ] ὧν Ma 24 αὐτόθεν om. F εἶναι ante αὐτὴν colloc. G 25 ἀποφαντικὴ M 26 τὴν ἀναγκαίαν καὶ om. F 26. 27 ἔμπροσθεν ἐλέγομεν] p. 91,25 sq. 27 scribas ὁριζομένῃ post ὁριζ. add. τῷ νῦν G ὅτι om. G οὐκ ἔστιν νῦν G 28 ὡς πρὸς] ὥσπερ a τὰς συνεγνωσμένας F 29 καὶ om. G 30 Κνήμωνος] alioquin ignotus 31 τολμήσωμεν Ma ἀποαποφαίν. F 33 τὸ] τῷ Ma

μενον ἀποφάσκει, δῆλον ὅτι συγχωρεῖ τινα αὐτὸ ἐν τοῖς λοιποῖς ἐνίοτε ὑπόστασιν ἔχειν. ὅλως τε τοὺς ἀδιόριστον ἀπόφασιν ἀντὶ τῆς καθόλου εἰπόντας καὶ ἀληθῶς ἀποφηναμένους, ὡς

οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ

καὶ

οὐκ ἀγαθὸν πολυκοιρανίη,

κατὰ ποίαν ὕλην ἐροῦμεν χρήσασθαι τῇ ἀποφάσει; εἰ μὲν γὰρ κατὰ τὴν ἀδύνατον, οὐδὲν πρὸς τὸν λόγον· εἰ δὲ κατὰ τὴν ἐνδεχομένην (δεῖ γὰρ καὶ κατὰ ταύτην, εἴπερ ἀεὶ τὸ αὐτὸ δύνανται), πρῶτον μὲν συμβήσεται μηκέτι ψεύδεσθαι τὰς καθόλου κατὰ τὴν ἐνδεχομένην, καίτοι διὰ τοῦτο προσαγορεύομεν αὐτὰς ἐναντίας, ἔπειτα σαφῶς ὁμολογήσομεν αὐτοὺς ἐκείνους κρατύνειν τὸ παρὰ τοῦ Ἀριστοτέλους λεγόμενον, ὅτι αἱ ἀδιόριστοι κατὰ τὴν ἐνδεχομένην ὕλην συναληθεύουσιν· εἰ γὰρ τῇ ἀποφάσει χρῶνται ὡς ἀληθεῖ, περὶ δὲ τῆς καταφάσεως οὔτε γέγονεν οὔτε γένοιτ' ἂν ἀμφισβήτησίς τις ὡς οὐ πάντως ἀληθευούσης ἐπὶ τῶν ἐνδεχομένων, ὥσπερ οὐδὲ τῆς κατὰ μέρος, δῆλον ὅτι συναληθεύειν ἀλλήλαις ἀνάγκη τὰς ἀπροσδιορίστους προτάσεις. | εἰ δέ τις φαίη κατὰ μόνην τὴν ἀδύνατον ὕλην ἀληθεύειν 93v τὴν ἀδιόριστον ἀπόφασιν παραπλησίως τῇ καθόλου, πρῶτον μὲν αὐτὸ αἰτήσεται τὸ ἐξ ἀρχῆς, ἔπειτα πῶς οὐκ ἀποκληρωτικὸν τὸ ἐπὶ μὲν τῆς καταφάσεως τῆς ἀπροσδιορίστου ὁμολογεῖν ὅτι ὁ ὑποκείμενος ταὐτὸν σημαίνων τῷ λεγομένῳ μετὰ τοῦ τίς προσδιορισμοῦ, καὶ μηδενὸς τῶν καθ' ἕκαστα ἐνεργείᾳ λαμβανομένου, τελείαν τε ποιεῖ τὴν πρότασιν καὶ ἀληθεύουσαν κατὰ τὴν ἐνδεχομένην ὕλην, ἐπὶ δὲ τῆς ἀποφάσεως μηδέτερον τούτων συγχωρεῖν; διὰ τί γὰρ ἡ μὲν 'ἄνθρωπος λευκός ἐστι' ταὐτὸν δύναται τῇ 'τὶς ἄνθρωπος λευκός ἐστιν', ἡ δὲ 'ἄνθρωπος λευκὸς οὐκ ἔστιν' οὐ δυνήσεται ταὐτὸν τῇ 'τὶς ἄνθρωπος λευκὸς οὐκ ἔστι' σημαινούσῃ ὅτι ἔστιν ἄνθρωπος οὐ λευκός; ὡρισμένα γὰρ ἄτομα προσυπακούειν ταῖς ἀπροσδιορίστοις, ἵνα συναληθεύσωσιν, οὐδαμῶς ἀναγκαῖον, εἰ μὴ καὶ ταῖς κατὰ μέρος. εἰ δὲ λέγοιμεν τὴν μὲν 'ἔστιν ἄνθρωπος καλός' ἀληθεύειν διὰ τὸν Νιρέα, τὴν δὲ 'οὐκ ἔστιν ἄνθρωπος καλός' διὰ τὸν Θερσίτην, οὔτε ἀτελεῖς διὰ τοῦτο ποιοῦμεν τὰς προτάσεις οὔτε διαφόρους τοὺς ὑποκειμένους, εἰ μὴ μέλλοιμεν τὰ αὐτὰ καὶ ἐπὶ τῶν κατὰ μέρος ἀπορεῖν, ἃς ὁμολογοῦμεν καὶ τελείας εἶναι καὶ συναληθεύειν ἀλλήλαις. διὰ μέντοι τὰ διάφορα μέρη τοῦ ὑπο-

---

1 αὐτῶ GM 2 τοὺς om. G¹: τοὺς τὴν suppl. G² 4 οὐκ ἔστιν οἰκεῖν . .] Σουσαρίωνος in mrg. A (cf. Com. Att. fr. ed. Kock I p. 3) 6 οὐκ ἀγαθὸν . .] Hom. B 204 7 ἐροῦμεν om. A χρῆσθαι G γὰρ om. F 8 εἰ δὲ καὶ κατὰ M 9 δύναται F 10 ψεύδεσθαι τὰς] συμβήσεται A κατὰ] διὰ G¹ ἐνδεχ. ὕλην G 13 συναληθεύουσαι A 15 περὶ τῆς Ma 16 ἀδιορ. A 18 τῆς καθόλου G 19 οὐκ om. F 22 λαμβανομένων A τε om. F ποιεῖν AGMa 23 ἀποφάνσεως A 24 γὰρ ἡ μὲν γὰρ A ταὐτὸν — οὐκ ἔστιν (25) om. F 25. 26 δυνήσεται] δύναται a 26 σημαινούσῃ τῇ Aa 26. 27 οὐκ ἔστιν τὶς ἄνθρ. λευκός F: ἔστι τὶς ἄνθρ. οὐ λ. G 27 ἀδιορίστ. AFMa 29 λέγομεν F καλός] λευκός a νηρέα A 32 ἀπορεῖν] ἀπομεριεῖν F 33 τὰ om. AFMa

κειμένου φήσομεν αὐτὰς ἀληθεύειν καθάπερ ἐκείνας, οἷον 'τὶς ἄνθρωπος δίκαιός ἐστι — τὶς ἄνθρωπος δίκαιος οὐκ ἔστιν'. εἰ δὲ ὡς ἄτοπον ἐπιφέροιμεν τὸ μὴ ποιεῖν αὐτὰς οὕτω λαμβανομένας ἀντίφασιν, οὐδὲν ἐροῦμεν ὑπεναντίον τοῖς ὑπὸ τοῦ Ἀριστοτέ|λους περὶ αὐτῶν λεγομένοις· αὐτὸ γὰρ 94r τοῦτό ἐστι τὸ διὰ τούτων λεγόμενον, ὡς διὰ τὸ ποτὲ συντρέχειν οὐ ποιοῦσι τὴν κυρίως καλουμένην ἀντίφασιν.

Ταῦτά τε οὖν ὑπὲρ τοῦ Ἀριστοτέλους μᾶλλον δὲ ὑπὲρ τῆς φαινομένης ἡμῖν ἀληθείας ἀπολογούμενοι λέγομεν καὶ ὅπερ ἐξ ἀρχῆς προεθέμεθα προσεξευποροῦντες πρὸς ἐπίκρισιν τοῦ θεωρήματος, ὅσα ἐπὶ νοῦν ἦλθε δίχα τῶν ἐφ' ἑκάτερα καταβεβλημένων περὶ αὐτοῦ λόγων, ἐφιστάνειν ἀξιοῦμεν πρῶτον μὲν ὅτι τὴν κατὰ μέρος κατάφασιν. ἣν ὁμολογοῦμεν τὴν αὐτὴν ἔχειν δύναμιν τῇ ἀδιορίστῳ, ἀναιρεῖν μὲν ἐπιχειροῦμεν τὸ ἀρνητικὸν μόριον αὐτῇ συμπλέκοντες. τοῦτο δὲ ποιοῦμεν κατὰ δύο τρόπους· ἢ γὰρ τῷ ἔστιν ἢ τῷ προσδιορισμῷ τοῦτο συνείροντες. ἀλλ' ὅταν μὲν προτάξωμεν αὐτὸ τοῦ προσδιορισμοῦ, τότε ὡς προσδιωρισμένην ἀναιροῦμεν τὴν πρότασιν, ὅταν δὲ τοῦ ἔστιν, ὡς τὸ αὐτὸ δυναμένην τῇ ἀπροσδιορίστῳ, ἐπεὶ καὶ κατὰ μόνον τὸν προσδιορισμὸν ἐπλεόνασεν αὐτῆς ἡ προσδιωρισμένη, τῆς δὲ ἀπροσδιορίστου τὴν ἀπόφασιν κατὰ μόνον τὸ ἔστι γίνεσθαι ἀνάγκη. ἀλλὰ μὴν εἰ ἡ τῷ ἔστι συμπλέκουσα τὴν ἄρνησιν ἀπόφασις κατὰ μέρος ἐστὶν ὥσπερ ἡ πρὸ τοῦ διορισμοῦ αὐτὴν τιθεῖσα καθόλου, καὶ τῆς ἀπροσδιορίστου ἄρα καταφάσεως ἡ ἀπόφασις τὸ αὐτὸ τῇ κατὰ μέρος δυνήσεται. πρὸς δέ γε τούτῳ τὰς ἐν τῷ πρώτῳ σχήματι γινομένας συλλογιστικὰς συμπλοκὰς ἐννοεῖν ἄξιον· εἰ γὰρ ὁμολογοῦμεν τὴν ἀπροσδιόριστον κατάφασιν ταὐτὸν δύνασθαι τῇ κατὰ μέρος καὶ διὰ τοῦτο χείρονα εἶναι κατὰ τὸ ποσὸν ἑκατέρας τῶν καθόλου καὶ τὸ συμπέρασμα δεῖν ἐοικέναι τῇ 94v ἑτέρᾳ τῶν εἰλημμένων ἐν τῷ συλλογισμῷ προτάσεων καὶ ἕπεσθαι πάντως τῇ χείρονι κατά τε τὸ ποσὸν καὶ κατὰ τὸ ποιόν, καὶ ἔτι πρὸς τούτοις τῶν προτάσεων ἀληθῶν οὐσῶν καὶ τῆς συμπλοκῆς αὐτῶν ἀμέμπτως ἐχούσης τὸ συμπέρασμα ἐξ ἀνάγκης ἀληθεύειν, ποῖον ἐροῦμεν συμπέρασμα συνάγεσθαι ἐξ ἀδιορίστου καταφατικῆς τῆς ἐλάττονος καὶ καθόλου ἀποφατικῆς τῆς μείζονος; ἀνάγκη μὲν γὰρ διὰ τὰ προειλημμένα ὁμολογεῖν ὅτι τε ἀπροσδιόριστον ἀποφατικὸν καὶ ἀληθῶν οὐσῶν ἐκείνων ἀληθές· πῶς δὲ δυνατὸν ἀληθεύειν αὐτὸ καθ' αὑτὸ κατὰ τὴν ἐνδεχομένην ὕλην, εἴπερ τὸ αὐτὸ φθέγγοιτο τῇ καθόλου ἀποφάσει, οἷον 'ἄνθρωπος δίκαιός ἐστιν, οὐδὲν δίκαιον ἄδικόν ἐστιν, ἄνθρωπος ἄρα ἄδικος οὐκ ἔστιν'; ἆρα τοῦτο τῇ

1. 2 τὶς ἄνθρ. δίκαιος οὐκ ἔστιν om. M 2. 3 ἐπιφέροιεν G 4 περὶ] ὑπ' M 7 ὑπὲρ] ἀπὸ (utrobique) G 8 ἡμῖν om. A ἐξ ἀρχῆς] p. 111,5 10 αὐτῶν G ἐφιστάνειν δὲ G 11 μέρος iter. F 14 μὲν suppl. G² 16 τοῦ ἔστιν] τουτέστιν F ἀδιορίστω AFGa 18 τῇ δὲ ἀπροσδιορίστω F 19 τῷ] τὸ AM 20 an προσδιορισμοῦ? 21 ἀδιορίστου F τῷ αὐτῷ A 22 τῷ] αὐτῷ a γενομ. Aa 24 χεῖρον G¹ 25 ἑκατέραν A: locus non sanus δεῖ A 27 τε om. FM 28 αὐτῶν om. M 30. 31 τῆς (utrobique) om. G 31 προειρημένα G 32 ἀδιόριστον AFM: ἀόριστον a ἀποφαντικὸν A 33 καθ' αὐτὸ om. F 35 ἄρα om. Ma

καθόλου συναληθεύειν ἐροῦμεν ἢ τῇ κατὰ μέρος; ἀλλὰ μήπω μηδὲ τῶν προτέρων καταψηφιζώμεθα λόγων ὡς οὐδὲν ἀληθὲς λεγόντων· ἐοίκασι γάρ, εἰ δεῖ τὸ ἐμοὶ φαινόμενον λέγειν, οὐδὲ μάχεσθαι πρὸς τοὺς ὕστερον εἰρημένους, εἴ τις αὐτοῖς ἀδεκάστως διαιτήσειε περιελὼν ἑκατέρων τὸ διατείνεσθαι ὡς ἡ ἀπόφασις ἡ ἀπροσδιόριστος τῇ ἑτέρᾳ μόνον τῶν προσδιωρισμένων συμφθέγγεται καὶ οὐδέποτε τῇ λοιπῇ· μήποτε γὰρ ἀνθ' ἑκατέρας αὐτὴν παραλαμβάνεσθαι ῥητέον, οὐ κατὰ συμβεβηκὸς οἷον κατὰ τὴν ἀδύνατον ὕλην, καθ' ἣν καὶ τὰς προσδιωρισμένας ἀποφάσεις συμβαίνει συντρέχειν ἀλλήλαις, ἀλλ' αὐτόθεν κατὰ τὰς διαφόρους τῶν ἀποφαινομένων ἐννοίας. διὸ καὶ συναληθεύειν | δύναται τῇ οἰκείᾳ καταφάσει καὶ ἀντιφάσκειν πρὸς αὐτὴν κατ' ἄλλην ἔννοιαν καὶ ἄλλην, ὡς εἴρηται, τῶν λεγόντων αὐτὴν ὡς καθ' ἑαυτὴν οὐδεμίαν ὡρισμένην κατὰ τὸ ποσὸν ἔχουσαν δύναμιν. διόπερ ἴσως καὶ ἑκάτερος τῶν μάχεσθαι δοξάντων λόγων πολλαῖς δεδύνηται χρήσασθαι δικαιολογίαις.

Ὅτι δὲ ταῦτα ἀληθῶς λέγομεν, μάθοιμεν ἂν ἐκ τοῦ ἰσοσθενεῖν μὲν ὁμολογουμένως τὰς καταφάσεις ἀλλήλαις, τήν τε ἀδιόριστον καὶ τὴν μερικήν, διὰ δὲ τοῦτο καὶ τὰς προτάσεις τὰς προτιθείσας τοῦ ἔστι τοῦ ἐνεργείᾳ ἢ δυνάμει ληφθέντος ἐν αὐταῖς τὸ ἀρνητικὸν μόριον. ἐπὶ δὲ τῆς κατὰ μέρος τὴν οὕτω γινομένην τῇ μὲν φωνῇ δοκοῦσάν πως εἶναι κατάφασιν διὰ τὸ μὴ συμπεπλέχθαι τὴν ἄρνησιν τῷ προσδιορισμῷ. δύναμιν δὲ ἔχουσαν ἀποφάσεως, ὅπερ ἐν τοῖς ἑξῆς σαφέστερον ἐπιδείξομεν, ποτὲ μὲν τῇ καθόλου ποτὲ δὲ τῇ κατὰ μέρος τὸ αὐτὸ δύνασθαι διὰ τὸ τὴν ἄρνησιν ἐνδέχεσθαι καὶ πρὸς τὸ τίς ἐξακούεσθαι καὶ πρὸς τὸ κατηγορούμενον, καὶ πρὸς μὲν τὸ τίς ἐξακουομένην ταὐτὸν σημαίνειν τῷ οὔτις καὶ οὐδείς, πρὸς δὲ τὸ κατηγορούμενον τῷ οὐ πᾶς· τὸ γὰρ 'τὶς ἄνθρωπος ἀθάνατος οὐκ ἔστιν' ἀκούσαντες εἰ τὸ οὐκ ἔστι πρὸς τὸ τίς ἐξακούσαιμεν, τῷ οὐδεὶς ταὐτὸν οἰόμεθα σημαίνειν, ὅπερ σαφέστερον φαίνεται τοῦ οὐκ ἔστι πρὸ τοῦ τίς τιθεμένου ἐν τῷ

οὐκ ἔστι θνητῶν ὅστις ἐστ' ἐλεύθερος,

'οὐκ ἔστι τις ἄνθρωπος ἀθάνατος' τοῦ τίς τῷ ἔστι συνεγκλινομένου καὶ τόνον ἴδιον μὴ δέχεσθαι δυναμένου, τὸ δὲ 'τὶς ἄνθρωπος ἐν γήρᾳ οὐ πολιοῦται' ἢ 'πενταδάκτυλος οὐκ ἔστιν' ἀκούσαντες | εἰ τὸ οὐκ ἔστι πρὸς τὸ ἐν γήρᾳ μὴ πολιοῦσθαι ἢ μὴ εἶναι πενταδάκτυλον ἐξακούσαιμεν, ὅπερ

1 ἐρ. συναλ. colloc. F τῇ suppl. G² 2 καταψηφιζόμεθα AMa 3 τοὺς τὸ ὕστερον G: τοὺς τὸ ἕτερον M 4 διαιτήσεις G¹ 5 ἀδιόριστος AFG: ἀόριστος a μόνη F 7 ὡς οὐ A 8 καὶ om. G πρὸς τὰς προσδ. a 9 κατὰ] καὶ G¹ 10 δύνανται A 11 καὶ ἄλλην, ὡς εἴρηται om. F (cf. p. 112, 2) 12 ἔχουσα AMa 13 δοξαζόντων F 15 μάθωμεν F 16 τὰς καταφ. ὁμολ. (num. corr.) G τὴν (alt.) om. G 17 τοῦ ἔστι] τουτέστι FGa 20 συμπλέκεσθαι G 21 ἐπιδείξωμεν Ma 23 ἐνδέχεσθαι om. M 24 μὲν om. M τῷ (post μὲν) G 27 τοῦ (prius)] τὸ Ma πρὸ] πρὸς G: om. M τοῦ (alt.)] τῷ G 29 οὐκ ἔστι θνητῶν . .] Eurip. Hec. 864 30 τῷ] τοῦ G συγκλιν. M 31 τόνον] τὸν G 33 ἑξαδάκτυλον G ἀκούσομεν G

σαφέστερον συμβαίνει ὑποστιζόντων ἡμῶν ἐν τῷ 'τὶς ἄνθρωπος', τῷ 'ἔστι τις μὴ τοιοῦτος' ταὐτὸν οἰόμεθα σημαίνειν τὴν πρότασιν καὶ τῷ οὐ πᾶς ἐστι τοιοῦτος', ὡς ἐν τῷ

καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄρρητον ἄμεινον·

τοῦτο γὰρ οὐδὲν διαφέρει τοῦ εἰπεῖν 'τὶ τῶν εἰρημένων ῥηθῆναι οὐκ ἔδει'. καὶ τὸ μὲν πρότερον κατὰ τὴν ἀδύνατον ὕλην ἀληθῆ ποιεῖν τὴν πρότασιν ἀξιοῦμεν, τὸ δὲ δεύτερον κατὰ μὲν τὴν ἐνδεχομένην καθ' αὑτὴν ἀληθῆ, κατὰ δὲ τὴν ἀδύνατον διὰ τὴν καθόλου. εἰ δὲ κατὰ μὲν τὴν προτέραν τὸ οὐκ ἔστι πρὸς τὸ ἀθάνατον ἐξακούσαιμεν, κατὰ δὲ τὴν δευτέραν πρὸς τὸ τίς, ἐκείνην μὲν κατὰ μέρος οἰησόμεθα εἶναι καὶ ἀληθῆ διὰ τὴν καθόλου, ἅτε τῆς ὕλης ἀδυνάτου οὔσης, ταύτην δὲ καθόλου καὶ κατὰ τὴν ἐνδεχομένην ὕλην πάντως ψευδῆ. ὥστε καὶ ἐπὶ τῆς ἀποφάσεως τῆς ἀδιορίστου σημαίνεσθαι μὲν ἄμφω ῥητέον τό τε καθόλου καὶ τὸ κατὰ μέρος κατὰ τὰς ἐννοίας, ὡς πλεονάκις εἴρηται, τῶν ἀποφαινομένων, τῆς ἀρνήσεως πάλιν συνταττομένης ἤτοι ὡς πρὸς τὸ τίς τὸ δυνάμει περιεχόμενον ἐν τῇ ἀδιορίστῳ καταφάσει ἢ ὡς πρὸς τὸ κατηγορούμενον, μᾶλλον μέντοι ἀποκλίνειν καὶ ταύτην πρὸς τὸ καθόλου, ὅταν ἀπὸ τῆς ἀρνήσεως ποιώμεθα τὴν ἀρχὴν τῆς ἀποφάσεως, 'οὐκ ἔστιν ἄνθρωπος πτερωτὸς ἢ δίκαιος' λέγοντες καὶ ἤτοι ἀληθεύοντες ἢ ψευδόμενοι. διὸ καὶ πάντες ἴσως οἱ τὴν ἀδιόριστον ἀπόφασιν ἀντὶ τῆς καθόλου εἰπόντες τοῦτον τὸν τρόπον αὐτῇ χρησάμενοι φαίνονται, "οὐκ ἔστι | κίνησις παρὰ τὰ πράγματα" λέγοντες καὶ "οὐκ 96r ἔστιν αἴσθησις παρὰ τὰς πέντε" καὶ

οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ

καὶ

οὐκ ἀγαθὸν πολυκοιρανίη

καὶ

οὐκ ἔστι θνητῶν ὅστις ἔστ' ἐλεύθερος.

Εἰ δὲ δεῖ κατὰ τὴν αὐτὴν μέθοδον καὶ τὰ περὶ τὴν καθόλου κατάφασιν συμβαίνοντα σκοπεῖν, ἐπειδὴ καὶ μνημονεύσει τοιούτων προτάσεων ἐν τοῖς ἑξῆς ὁ Ἀριστοτέλης, ῥητέον δηλονότι καὶ ἐν ταύτῃ πρὸ τοῦ ἔστι τῆς ἀρνήσεως τιθεμένης καὶ δυναμένης ἢ πρὸς τὸ πᾶς ἐξακούεσθαι ἢ πρὸς τὸ κατηγορούμενον συμβαίνειν τὴν πρότασιν ὡς μὲν ἀναιροῦσαν τὸ πᾶς ταὐτὸν δύνασθαι τῇ κατὰ μέρος ἀποφάσει, ὅπερ σαφέστερον πάλιν φαίνεται

1 ἐπιστιζ. G^1 2 τῶ] τὸ F 4 καί τι ἔπος . .] Hom. ξ 466 προσεήκεν A 7 μὲν om. AFMa 7. 8 ἀληθῆ, κατὰ δὲ τὴν om. F 9 πρὸς] καὶ M 10 ἐκείνη F 13 μὲν suppl. G^2 14 πολλάκις G εἴρηται] p. 117,10 15 τὸ (post τὶς) om. F 16 ἀποφάσει Ma 17 πρὸς] καὶ M τὴν καθόλου G 18 ἀποφάνσεως M 19 ἢ καὶ a 21 οὐκ ἔστι κίνησις] v. p. 112,15 21. 22 οὐκ ἔστιν αἴσθ.] v. p. 112,19 23 οὐκ ἔστιν οἰκεῖν] v. p. 115,4 24 καὶ om. A 25 οὐκ ἀγαθ.] v. p. 115,6 26. 27 καὶ οὐκ ἔστι θν.—ἐλεύθερος om. F 27 οὐκ ἔστι θν.] v. p. 117,29 ὅστις—ἐλεύθερος om. AM 29 συμβ.] συμπεραίνοντα G^1 σκοπεῖν συμβ. colloc. M 30 ἐν τοῖς ἑξῆς] p. 18a4 δηλονότι] ὅτι F 32 συμβαίνει AFG post πᾶς add. ἄνθρωπος λευκὸς οὐκ ἔστι a

κατ' ἀρχὰς τῆς προτάσεως τιθεμένου τοῦ οὐκ ἔστιν, ὡς ἐν τῷ 'οὐκ ἔστι πᾶς ἄνθρωπος σοφός', ὡς δὲ τὸ κατηγορούμενον ἀναιροῦσαν ταὐτὸν δύνασθαι τῇ καθόλου ἀποφάσει 'πᾶς ἄνθρωπος οὐ σοφός ἐστι' καὶ 'σοφὸς οὐκ ἔστιν', ἃ τῷ μηδένα εἶναι σοφὸν τὸ αὐτὸ δύναται. ταῦτα δὲ οὐ μόνον ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου προτάσεων, ἀλλὰ καὶ ἐπὶ τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου συμβαίνειν ἐροῦμεν, οἷον τῆς 'τὶς ἄνθρωπος οὐ γεωμετρεῖ ἢ 'οὐ γεωμετρεῖ τις ἄνθρωπος' καὶ 'πᾶς ἄνθρωπος οὐ γεωμετρεῖ' ἢ 'οὐ γεωμετρεῖ πᾶς ἄνθρωπος'· καὶ γὰρ ἐπὶ τούτων ἡ μὲν πρώτη καὶ ἡ τρίτη ἔτι προφάνεστερον τὸν κατηγορούμενον ἔχουσαι τὸ αὐτὸ ποσὸν ταῖς ἐξ ἀρχῆς καταφάσεσι φυλάττειν δοκοῦσιν, ἅτε αὐτόθεν τῷ κατηγορουμένῳ τῆς ἀρνήσεως συντεταγμένης καὶ οὐ πάνυ πρὸς ἄλλο τι ἐξακουομένης, αἱ δὲ λοιπαὶ τὰς ἀρνήσεις ἔχουσαι τοὺς ἑπομένους | αὐταῖς προσδιορισμοὺς ἀναιρεῖν 96v δοκούσας ἐπὶ τὸ ἀντικείμενον ποσὸν φαίνονται μᾶλλον ἀποκλίνειν. ὥστε καὶ ἐπὶ τῆς ἀδιορίστου ἀποφάσεως τὰ αὐτὰ πάλιν ἐροῦμεν, ἅπερ ἐπὶ τῆς κατὰ μέρος τῆς ἐχούσης τὴν ἄρνησιν μὴ τῷ προσδιορισμῷ συμπλεκομένην ἀλλὰ τῷ κατηγορουμένῳ, καὶ οὐδέτερος τῶν ἐξ ἀρχῆς μάχεσθαι δοξάντων λόγων φαίνεται παντάπασιν ἀπὸ σκοποῦ βάλλων.

Ὁ μὲν οὖν λόγος ἡμῖν ἐπιτρέπει παραλαμβάνειν τὴν ἀπροσδιόριστον ἀπόφασιν ἀνθ' ἑκατέρας τῶν διωρισμένων· οὐ μέντοι φαίνεταί τις τῶν παλαιῶν ἀντὶ τῆς μερικῆς αὐτῇ χρησάμενος, ὡς ἀσαφέστερον ἴσως τοῦτο σημαινούσῃ, καθ' ὃν καὶ διωρίσαμεν τρόπον, ἐπεὶ καὶ τῶν προσδιωρισμένων ἀποφάσεων αἱ τοῦ ἔστι προτιθεῖσαι τὴν ἄρνησιν τῶν συμπλεκουσῶν αὐτὴν τοῖς προσδιορισμοῖς σπανιώτεραι διὰ τοῦτο παρὰ τοῖς παλαιοῖς. εἰ δὲ τὸ ἐξ ἀδιορίστου καταφατικῆς τῆς ἐλάττονος καὶ καθόλου ἀποφατικῆς τῆς μείζονος συναγόμενον ἀδιόριστον ἀποφατικὸν συμπέρασμα φαίνεται ἀεὶ τῇ κατὰ μέρος, ἀλλ' οὐ τῇ καθόλου συνᾷδον, οὐ θαυμαστόν· ἀνάγκη γὰρ ἐν τοῖς κατὰ τὸ πρῶτον σχῆμα συμπεράσμασι τὸ κατηγορούμενον κατηγορεῖσθαι κατὰ τοῦ ἐν τῇ ἐλάττονι προτάσει ληφθέντος ὑποκειμένου μὴ μόνον τῷ ὀνόματι καὶ τῷ σημαινομένῳ τοῦ αὐτοῦ μένοντος, ἀλλὰ καὶ τῷ ποσῷ, διότι συμβαίνει καὶ κατὰ τοῦτο τὸ σχῆμα τῷ ποσῷ τῆς ἐλάττονος ἕπεσθαι τὸ ποσὸν τοῦ συμπεράσματος· ὥστε εἰ ἐν ἐκείνῃ δυνάμει εἴληπται τὸ κατηγορούμενον ὡς τινὶ τῶν ὑποκειμένων ὑπάρχον, καὶ ἐν τῷ συμπεράσματι τινὶ αὐτὸ μὴ ὑπάρ|χειν ῥηθήσεται, ὅπερ φαίνεται σαφέστερον ἐν ταῖς ἐκ μερικῆς 97r καταφατικῆς τῆς ἐλάττονος καὶ καθόλου ἀποφατικῆς τῆς μείζονος συζυγίαις

---

4 ἃ—δύναται om. F ἃ] ἐν M 5 προσκατηγορουμένων G ἐπὶ] περὶ G
6 τῆς om. AFMa 7 ἢ—ἄνθρ. οὐ γεωμετρεῖ om. F ἢ] καὶ AM 9 ἔτι] ὡς G πρὸς τὸν κατηγ. A: τὸν προσκατηγ. Ga: πρὸς τὸ κατηγ. M
11 συνταττομ. F 14 ἅπερ καὶ ἐπὶ M 15 μὴ om. G 16 οὐδέτερον A
18 ἀδιόριστον AFGa 20 σαφέστ. AG¹a ἴσως suppl. G² 21 σημαινούσης AGMa καὶ (prius) om. FG προσδιωρ.] διωρισμένον F 24 καταφατικοῦ G
τῆς ἐλ.—ἀποφατικῆς in mrg. suppl. A ἀποφ.] ἐκφαντικῆς (sic) A 29 σημαιν.] ὑποκειμένου (sic) G¹ μαίνοντος F 30 καὶ om. F 31 εἰ suppl. G² ἐν om. A
32 τῷ ὑποκειμένῳ F 33 αὐτῷ AFMa σαφ. φαίν. (num. corr.) G 34 συζυγίας Aa

συμπεράσματα συναγούσαις κατὰ μέρος ἀποφατικά, οἷον 'τὶς ἄνθρωπος δίκαιός ἐστιν, οὐδὲν δίκαιον ἄδικόν ἐστι, τὶς ἄρα ἄνθρωπος ἄδικος οὐκ ἔστιν', ᾧ ταὐτὸν δύναται κατὰ τὸν προειρημένον τρόπον τὸ 'ἄνθρωπος ἄδικος οὐκ ἔστιν'· ὡς γὰρ συντόμως εἰπεῖν, ἡ ἀπόφασις ἐν μὲν ταῖς καθ' ἕκαστα μηδὲ κατὰ φαντασίαν ἐπιδεχομέναις τινὰ κατὰ τὸ ποσὸν διαφορὰν τὸ αὐτὸ ποσὸν ἐξ ἀνάγκης τῇ καταφάσει φυλάττει, ἐν δὲ πάσαις ταῖς καθολικῷ ὑποκειμένῳ χρωμέναις καὶ διὰ τοῦτο ἐπαμφοτερίζειν δυναμέναις κατὰ τὸ καθόλου καὶ τὸ κατὰ μέρος, εἰ μὲν κατὰ τὸ ποσὸν ἀντιτεθείη πρὸς τὴν κατάφασιν ἢ κατ' ἐνέργειαν ἢ κατὰ δύναμιν, ἡ ἀντιφάσκουσα ἔσται, εἰ δὲ κατὰ τὸ ἔστιν ἢ κατ' ἐνέργειαν πάλιν ἢ κατὰ δύναμιν ἐν τῇ προτάσει περιεχόμενον, οὐκέτι, ἀλλ' ἐπὶ μὲν τῆς καθόλου ἡ ποτὲ συμψευδομένη, ἐπὶ δὲ τῶν λοιπῶν ἡ συνᾴδειν δυναμένη.

Τούτων οὖν διωρισμένων ἑξῆς ἐπισκεψώμεθα τὰς ἐπιχειρήσεις τοῦ Ἀριστοτέλους, δι' ὧν ἀξιοῖ κατασκευάζειν ὡς συντρέχουσιν ἀλλήλαις ἐπὶ τῆς ἐνδεχομένης ὕλης αἱ ἀπροσδιόριστοι προτάσεις. δύο μὲν οὖν οὐσῶν τῶν ἐπιχειρήσεων ἡ μὲν ἀπὸ τῶν ἐναντίων ποιεῖται τὴν ἔφοδον τῆς κατασκευῆς, ἡ δὲ ἀπὸ τῶν μὴ ἐναντίων. λαμβάνει δὲ τῶν μὲν ἐναντίων παραδείγματα τό τε καλὸν καὶ τὸ αἰσχρόν, τῶν δὲ μὴ ἐναντίων τὸ γινόμενον καὶ τὸ ὄν· ταῦτα δὲ οὐκ ἐναντία, εἴπερ | ὁδὸς ἐπὶ τὸ εἶναι ἡ γένεσις. 97v καὶ τὸ μὲν ἀπὸ τῶν ἐναντίων ἐπιχείρημα προάγεται τόνδε τὸν τρόπον· δύο λαμβάνει καταφάσεις ἀπροσδιορίστους συναληθευούσας ἀλλήλαις κατηγορουμένοις ἐναντίοις χρωμένας τήν τε 'ἔστιν ἄνθρωπος καλός' καὶ τὴν 'ἔστιν ἄνθρωπος αἰσχρός,' ὧν ἡ μὲν ἀληθὴς διὰ τὸν Νιρέα τυχόν, ἡ δὲ διὰ τὸν Θερσίτην· ἐλέγομεν γὰρ τὰς ἀπροσδιορίστους καταφάσεις ταῖς μεριαῖς καταφάσεσι τὴν αὐτὴν ἀναμφισβητήτως δύναμιν ἔχειν. εἰ οὖν ἅμα ἀληθεῖς ἥ τε 'τὶς ἄνθρωπος καλός' καὶ ἡ 'τὶς ἄνθρωπος αἰσχρός,' δῆλον ὅτι καὶ αἱ ἀπροσδιορίστως λεγόμεναι συναληθεύουσι. τὴν οὖν ἑτέραν τῶν οὕτως εἰλημμένων καταφάσεων δεικνὺς ταὐτὸν φθεγγομένην τῇ τῆς ἑτέρας ἀποφάσει συνάγει ὅτι ἐπὶ τῶν τοιούτων προτάσεων τὴν κατάφασιν συμβαίνει συντρέχειν τῇ ἑαυτῆς ἀποφάσει· τῇ γὰρ 'ἔστιν ἄνθρωπος αἰσχρός' συναληθεύει, φησίν, ἡ 'ἔστιν ἄνθρωπος οὐ καλός' (ὁ γὰρ ὢν αἰσχρὸς δῆλον ὡς εἴη ἂν οὐ καλός), ἡ δὲ 'ἔστιν ἄνθρωπος οὐ καλός' ἡ αὐτή ἐστι τῇ 'οὐκ ἔστιν ἄνθρωπος καλός' (ὁ γὰρ ὢν οὐ καλὸς δῆλον ὡς οὐκ ἂν εἴη καλός)· ὥστε τῇ 'ἔστιν ἄνθρωπος καλός' καταφάσει ἅμα ἀληθεύσει ἡ 'οὐκ

---

1 συμπεράσματι G 2 οὐκ om. M 3 ὦ] ὡς A τὸ] τῷ F 6 φυλάττειν AMa 8 κατὰ τὸ μέρος colloc. AM ἀντιτεθ.] κατατεθ. F: ἀντιτιθ. G 9 prius ἢ om. F 13 διορισμ. A ἑξῆς om. M 15 οὖν om. G 16 τῶν (prius) iter. F τί ποιεῖται G¹ ποιεῖ F 21. 22 κατηγόροις A 22 ἐναντίας G 23 νηρέα A¹ 24 ἐλέγομεν] p. 111,31 25 ἀμφισβήτως A ἔχειν δύν. colloc. M 26 ἀληθὴς FM 27 αἱ om. F ἀπροσδιορίστους M 32 ἡ δὲ — ἡ αὐτή ἐστι τῇ] τῇ δὲ ἔστιν ἄνθρ. καλὸς ἡ a ἡ δὲ] τῇ δὲ AM τῇ] ἡ M 33 ἄνθρ. καλὸς οὐκ ἔστιν colloc. F 33 ἂν εἴη] ἔστιν F 34 ἔστιν om. AGM συναληθεύσει G¹; ἀληθεύει M

ἔστιν ἄνθρωπος καλός' ἀπόφασις. δοκεῖ μὲν οὖν, ὅπερ ἔμπροσθεν ἐλέγομεν, πρὸς τὸ καθόλου μᾶλλον ἀποκλίνειν ἡ ἀπὸ τῆς ἀρνήσεως ἀρχομένη ἀδιόριστος ἀπόφασις, ἅτε τῆς ἀρνήσεως προσεχέστερον ἐξακουομένης πρὸς τὸ τίς τὸ κατὰ δύναμιν ἐνυπάρχον ἐν τῇ ἀδιορίστῳ καταφάσει, ἀλλ' ὁ Ἀριστοτέλης χρῆται καὶ οὕτως αὐτῇ ὡς ἴσον δυναμένῃ τῇ κατὰ μέρος, ἅτε καὶ κατὰ τοῦτον τὸν τρόπον δυνα|μένης τῆς ἀρνήσεως μὴ τῷ προσδιο- 98r
ρισμῷ ἀλλὰ τῷ κατηγορουμένῳ συμπλέκεσθαι. τὸ δὲ ἀπὸ τῶν μὴ ἐναντίων ἐπιχείρημα τὸν ὅμοιον τρόπον προϊὸν τῷ ἀπὸ τῶν ἐναντίων τοιαύτην ἔχει τὴν δύναμιν· δύο πάλιν λαμβάνει καταφάσεις ἀπροσδιορίστους τήν τε λέγουσαν 'ἔστιν ἄνθρωπος' καὶ τὴν λέγουσαν 'γίνεται ἄνθρωπος', ὧν ἡ μὲν ἀληθὴς διὰ τὸν ἐνεργείᾳ ὄντα ἡ δὲ διὰ τὸν ἔτι κυόμενον. ἀξιοῖ οὖν τῇ λεγούσῃ 'γίνεται ἄνθρωπος' συναληθεύειν τὴν λέγουσαν 'οὐκ ἔστιν ἄνθρωπος'· ὁ γὰρ γινόμενος ἄνθρωπος οὔπω ἔστιν ἄνθρωπος. εἰ οὖν τῇ μὲν 'ἔστιν ἄνθρωπος' ἡ 'γίνεται ἄνθρωπος' συναληθεύει, τῇ δὲ 'γίνεται ἄνθρωπος' ἡ 'οὐκ ἔστιν ἄνθρωπος', δῆλον ὅτι τῇ 'ἔστιν ἄνθρωπος' ἡ 'οὐκ ἔστιν ἄνθρωπος' συναληθεύσει, ὅπερ ἐξ ἀρχῆς ἡμῖν προέκειτο δεῖξαι.

Ἀπορήσειε δ' ἄν τις πῶς ὅλως ἠξίωσεν ὁ Ἀριστοτέλης τὴν τῶν προτάσεων τούτων ἀντίθεσιν προσαγορεύειν ἀντίφασιν, καίτοι συναληθεύειν αὐτὰς οἰόμενος τὴν δὲ ἀντίφασιν ὁριζόμενος ἐν τοῖς Ἀναλυτικοῖς "ἀντίθεσιν ἧς οὐδὲν μεταξὺ καθ' αὑτήν", καὶ ἐν Κατηγορίαις μέντοι, ἐν οἷς διέκρινε τὰ εἴδη τῶν ἀντικειμένων, εἰπὼν ὅτι ὅσα ὡς κατάφασις καὶ ἀπόφασις ἀντίκειται, διαφέρει τῶν κατὰ τὰς ἄλλας ἀντιθέσεις ἀντικειμένων τῷ ἐπὶ μόνων τούτων ἐξ ἀνάγκης τὸ μὲν ἀληθὲς εἶναι τὸ δὲ ψεῦδος· πῶς οὖν ὁ ταῦτα πανταχοῦ διοριζόμενος ἐν τούτοις ἠξίωσε τὴν ἀντίθεσιν τῶν συναληθευουσῶν, ὡς αὐτός φησιν, ἀλλήλαις προτάσεων, τῶν ἀπροσδιορίστων λέγω, καλεῖν ἀντίφασιν; προειπὼν γοῦν ὅσαι μὲν οὖν ἀντιφάσεις τῶν καθόλου | εἰσὶ καθόλου ἐπήγαγεν ὅσαι δὲ ἐπὶ τῶν κα- 98v
θόλου μὲν μὴ καθόλου δέ, ὡς ἂν καὶ τῆς τούτων ἀντιθέσεως ἀντιφάσεως καλουμένης. ῥητέον οὖν πρὸς τὴν ζήτησιν ὡς τὸ ὄνομα τῆς ἀντιφάσεως ποτὲ μὲν παραλαμβάνει ἐπὶ μάχης καταφάσεως καὶ ἀποφάσεως διαιρουσῶν ἀεὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ὡς δηλοῖ τά τε ἐν Κατηγορίαις ῥηθέντα καὶ ὁ ἐν τοῖς Ἀναλυτικοῖς ἀποδιδόμενος τῆς ἀντιφάσεως ὅρος, ποτὲ δὲ κοινότερον πᾶσαν ἁπλῶς ἀντίθεσιν καταφάσεως καὶ ἀποφάσεως τῷ αὐτῷ ὑποκειμένῳ καὶ τῷ αὐτῷ κατηγορουμένῳ χρωμένων. δηλοῖ δὲ

---

1. 2 ἔμπροσθεν ἐλέγομεν] p. 118, 16 2. 3 ἀρχ. ἀδιόριστος iter. F 4 ὁ] ὡς A 5 οὕτως] οὐ A ὡς om. AGM ἴσον — κατὰ om. F 8 προϊὸν suppl. G² 11 κυούμενον A 13 ἄνθρωπος (post γινόμ.) om. G 16 ἡμῖν om. F 17. 18 τὴν τῶν προτάσεων iter. A 19 ἐν ταῖς Ἀναλυτ.] Anal. post. A 2 p. 72a12 20 οὐδὲν] οὐκ ἔστι Arist. ἐν Κατηγορίαις] p. 13a37 21 ὅσα om. M 21. 22 καὶ ἀπόφασις iter. A 22 ἀντίκειται AFG ante ἀντικ. add. τῶν F τῷ] τὸ F 23 ψευδές Ga (cf. v. 31) 24 ὁ om. M 28 μὲν om. F 31 ταῖς κατηγ. Ma 34 χρωμ. ante καὶ τῷ αὐτῷ colloc. G post χρωμ. addas καλεῖ ἀντίφασιν

ἐφεξῆς λέγων ὡς οὐ πᾶσα ἀληθὴς ἢ ψευδὴς ἀντίφασις, ταὐτὸν λέγων τῷ 'οὐ πάσης ἀντιφάσεως τὸ μὲν τῶν μορίων ἀληθεύειν τὸ δὲ ψεύδεσθαι ἀνάγκη'. εἰ δὲ ἐν Κατηγορίαις ἐλέγετο τῶν ἀντικειμένων κατα- 15
φάσεων καὶ ἀποφάσεων ἀληθευούσης τῆς ἑτέρας ψεύδεσθαι τὴν λοιπὴν
5 καὶ ψευδομένης ἀληθεύειν. οὔτε προκεῖσθαι φήσομεν κατ' ἐκείνην τὴν πραγματείαν τὴν περὶ τούτων ἀκριβολογίαν, ἀλλὰ καὶ περὶ μόνων τῶν καθ' ἕκαστα προτάσεων διειλέχθαι τὸν φιλόσοφον ἐν ἐκείνοις τῶν ἀναμφισβητή- 20
τως ἀντιφασκουσῶν πρὸς ἀλλήλας κατὰ τὴν κυρίως λεγομένην ἀντίφασιν. μετὰ δέ γε τὰς ἐπιχειρήσεις, δι' ὧν κατεσκεύασεν ὡς συναληθεύουσιν αἱ
10 ἀπροσδιόριστοι προτάσεις, ἐφιστάνων καὶ αὐτὸς ὥς τισιν ἐνίοτε οὐ δόξει πιθανὰ λέγειν διὰ τὸ τὴν ἀπόφασιν τὴν ἀπροσδιόριστον μὴ δοκεῖν τῇ κατὰ 25
μέρος ἀλλὰ τῇ καθόλου συντρέχειν. τοῖς ἐξαίφνης φησὶν ἀκούουσι (λέγει δὲ τὸ ἐξαίφνης ἀντὶ τοῦ κατὰ πρώτην προσβολὴν καὶ ἀπερισκέ|πτως 99r
καὶ ἀβασανίστως) ἄτοπον εἶναι δόξει τὸ παραδεδομένον περὶ τῶν ἀπροσδιο-
15 ρίστων θεώρημα διὰ τὸ δοκεῖν τὴν 'οὐκ ἔστιν ἄνθρωπος λευκός' ἀπροσδιόριστον οὖσαν ἀπόφασιν ταὐτὸν σημαίνειν τῇ 'οὐδείς ἐστιν ἄνθρωπος λευκός', 5
ὅπερ εἰ μὲν κατὰ ἀλήθειαν οὕτως εἶχε, τῆς ἀπροσδιορίστου καταφάσεως ἀναμφισβητήτως ἀεὶ συντρεχούσης τῇ μερικῇ καταφάσει, πάντως ἂν διήρουν ἀεὶ τό τε ἀληθὲς καὶ τὸ ψεῦδος αἱ ἀπροσδιόριστοι προτάσεις, ὥσπερ
20 ἡ μερικὴ κατάφασις καὶ ἡ καθόλου ἀπόφασις. νῦν δέ, φησίν, οὔτε ταὐτὸν 10
σημαίνουσιν αἱ εἰρημέναι ἀποφάσεις, ἥ τε ἀπροσδιόριστος καὶ ἡ καθόλου, οὔτε ἅμα ἐξ ἀνάγκης ἀληθεύουσιν, ὡς ἕτερον τοῦτο προστιθεὶς παρὰ τὸ ταὐτὸν σημαίνειν· εἰσὶ γὰρ αἱ ταὐτὸν μὲν οὐ σημαίνουσι προτάσεις ἅμα δέ εἰσιν ἀληθεῖς διὰ τὸ ἕπεσθαι ἀλλήλαις. ὥσπερ ἡ 'ἀδύνατον εἶναι ἄν- 15
25 θρωπον πτερωτόν' καὶ ἡ 'ἀναγκαῖον μὴ εἶναι ἄνθρωπον πτερωτόν'· τούτων δὲ τῆς μὲν καθόλου ἀληθευούσης καὶ ἡ ἀδιόριστος ἀληθής, οὐ μέντοι ἔμπαλιν. ἄχρι τούτων ἡ θεωρία προήχθη τῶν ἀντιθέσεων τῶν ὑπαρχουσῶν ἐν ταῖς προτάσεσι ταῖς γινομέναις ἐκ τῆς διαιρέσεως 20
τοῦ ὑποκειμένου.

---

1 ἐφεξῆς λέγων] p. 18a10 5 ψευδομένη A¹ προσκεῖσθαι G² 7 ἐν om. F 7. 8 ἀναμφισβητήτων F 8 πρὸς ἀλλ.] ἀλλήλαις F 11 πιθανολογεῖν G 15 post θεώρημα add. τὸ G 16 οὖσαν om. A ἀπόφ. οὖσαν (num. corr.) colloc. G ἄνθρ. ἐστι (num. corr.) colloc. G 18 συντρεχ. — ἀεὶ (19) in mrg. suppl. A συντρεχούση A 19 τε om. F ὥσπερ] ὅπερ AM 24 εἰσιν ἀληθ.] εἶναι ἀληθ. δύνανται G ἡ] εἰ A 25 ἡ om. A 27 τὸ ἔμπαλιν G post τούτων add. καὶ del. M 28 ἐν] οὐ G γενομ. FM

p. 17b38 Φανερὸν δὲ ὅτι καὶ μία ἀπόφασις μιᾶς καταφάσεως· τὸ γὰρ αὐτὸ δεῖ ἀποφῆσαι τὴν ἀπόφασιν, ὅπερ κατέφησεν ἡ κατάφασις, καὶ ἀπὸ τοῦ αὐτοῦ, ἢ τῶν καθ' ἕκαστά τινος ἢ ἀπὸ τῶν καθόλου τινὸς ἢ ὡς καθόλου ἢ ὡς μὴ καθόλου, λέγω δὲ οἷον ἔστι Σωκράτης λευκός — οὐκ ἔστι Σωκράτης λευκός. ἐὰν δὲ ἄλλο τι ἢ ἀπ' ἄλλου τὸ αὐτό, οὐχ ἡ ἀντικειμένη, ἀλλ' ἔσται ἐκείνης ἑτέρα· τῇ δὲ πᾶς ἄνθρωπος λευκός ἡ οὐ πᾶς | ἄνθρωπος λευκός, τῇ δὲ τὶς ἄνθρωπος λευκός ἡ οὐδεὶς ἄν- 99v θρωπος λευκός, τῇ δὲ ἔστιν ἄνθρωπος λευκός ἡ οὐκ ἔστιν ἄνθρωπος λευκός. ὅτι μὲν οὖν μιᾷ ἀποφάσει μία κατάφασις ἀντίκειται ἀντιφατικῶς καὶ τίνες εἰσὶν αὗται, εἴρηται, καὶ ὅτι αἱ ἐναντίαι ἄλλαι καὶ τίνες εἰσὶν αὗται, καὶ ὅτι οὐ πᾶσα ἀληθὴς ἢ ψευδὴς ἀντίφασις καὶ διὰ τί καὶ πότε ἀληθὴς ἢ ψευδής.

Πάσαις ἐπεξελθὼν ταῖς ἀντιθέσεσι τῶν προτάσεων ὁ Ἀριστοτέλης ὥσπερ πόρισμά τι συνάγει καὶ παραδίδωσιν ἡμῖν διὰ τούτων ὅτι τῇ μιᾷ καταφάσει μίαν μόνην ἀπόφασιν μάχεσθαι δυνατόν, πλείους δὲ μιᾷ ἀδύνατον. πῶς οὖν διὰ τῶν προειρημένων τοῦτο συνάγεσθαι φήσομεν; ἢ ὅτι τῇ καθόλου ὡς καθόλου καταφάσει δύο μάχεσθαι ἀποφάσεις ἐδόκουν, ἥ τε καθόλου ὡς καθόλου καὶ ἡ κατὰ μέρος, ὧν ἡ μὲν κατὰ μέρος ὡς ἀντιφάσκουσα τῷ ὄντι πρὸς αὐτήν, ἡ δὲ καθόλου συμψευδομένη αὐτῇ κατὰ τὴν ἐνδεχομένην ὕλην ἐφωρᾶτο. τὸν αὐτὸν δὲ τρόπον καὶ τῇ μερικῇ καταφάσει δύο μὲν ἐδόκουν μάχεσθαι ἀποφάσεις αἱ προειρημέναι, τούτων δὲ ἡ μὲν καθόλου ὄντως ἐμάχετο πρὸς αὐτὴν ὡς ἀεὶ διαιροῦσα μετ' αὐτῆς τό τε ἀληθὲς καὶ τὸ ψεῦδος, ἡ δὲ μερικὴ συντρέχουσα πρὸς αὐτὴν ἐπὶ τῆς ἐνδεχομένης ὕλης κατελαμβάνετο. τοῦτο οὖν παραδιδοὺς ἡμῖν ὅτι μία ἀπόφασις τῆς μιᾶς καταφάσεως καὶ τὴν αἰτίαν ἐπάγων τοῦ συμβαίνοντος τὸ γὰρ αὐτό φησιν ἀποφῆσαι δεῖ τὴν ἀπόφασιν, ὅπερ κατέφησεν ἡ κατάφασις, καὶ ἀπὸ τοῦ αὐτοῦ. λέγει δὲ τὸ αὐτὸ μὲν τὸ κατηγορούμενον, ἀπὸ δὲ τοῦ αὐτοῦ τοῦ | ὑποκειμένου· προείρηται γὰρ πολλάκις ὅτι καὶ 100r ὑποκειμένῳ τῷ αὐτῷ καὶ κατηγορουμένῳ χρῆσθαι ἀνάγκη τὰς ἀντιφατικῶς ἀντικειμένας ἀλλήλαις προτάσεις. εἶτα ὥσπερ ἀναμιμνήσκων ἡμᾶς τῆς γενομένης ἀπὸ τοῦ ὑποκειμένου διαιρέσεως τῶν προτάσεων ἢ τῶν καθ'

---

1 δὲ suppl. G^2 καὶ om. F post καταφάσεως add. ἐστι FG^2Mab 2 τὸ—ψευδής (14) om. M ἀπόφασιν—ψευδής (14) om. a 4 τινὸς om. F ὡς (prius) om. G ἢ (alt.) om. G 6 ἐὰν—ψευδής (14) om. G 10 μιᾷ καταφάσει μία ἀπόφασις b (cf. p. 124,31) 12 post αὗται add. εἴρηται b (cf. p. 125,4) 15 ἐξελθὼν AMa: ἐπελθὼν Brand. 16 ἡμῖν om. G 17 μιᾷ] μιᾶς AFMa 18 φήσωμεν Ma 19 τῇ] τὸ F ἀποφ.] ἀντιφάσεις AMa 22 τῇ om. M 24 τε om. F 26 τῆς om. AMa 28 δεῖ ἀποφ. coll. b (cf. v. 2) ἀπόφασιν] ἀλήθειαν G^1 ὅπερ] ὥσπερ A 29 ἀπὸ (prius)] ἐκ G μὲν suppl. G^2 τὸ (ante κατ.) om. F 30 τοῦ (ante ὑποκ.) om. F 31 χρήσασθαι F 33 ἀπὸ] ἡμᾶς (sic) G

ἕκαστά τινος φησιν ἢ ἀπὸ τῶν καθόλου τινὸς ἢ ὡς καθόλου ἢ ὡς μὴ καθόλου. λέγοι δ' ἂν τὸ μὲν ἢ τῶν καθ' ἕκαστα περὶ τῆς ἀντιθέσεως τῶν καθ' ἕκαστα δηλονότι προτάσεων, τὸ δὲ ἢ ἀπὸ τῶν καθόλου τινὸς περὶ πασῶν ἁπλῶς τῶν καθολικῷ ὑποκειμένῳ χρωμένων, καὶ τούτου τὸ μὲν ἢ ὡς καθόλου περὶ τῶν προσδιωρισμένων τὸ δὲ ἢ ὡς μὴ καθόλου περὶ τῶν ἀπροσδιορίστων. εἶτα τῶν καθ' ἕκαστα παραδείγματα παραθέμενος διὰ τοῦ οἷον ἔστι Σωκράτης λευκός — οὐκ ἔστι Σωκράτης λευκός, πρὶν τὰ τῶν ἄλλων προτάσεων παραδείγματα ἐπαγαγεῖν, ἐξηγεῖται πρὸς τίνος διάκρισιν εἴρηται τὸ δεῖν τὸ αὐτὸ ἀποφῆσαι τὴν ἀπόφασιν, ὅπερ κατέφησεν ἡ κατάφασις, καί φησιν ἐὰν δὲ ἄλλο τι ἢ ἀπ' ἄλλου τὸ αὐτό, οὐχ ἡ ἀντικειμένη, ἀλλ' ἔσται ἐκείνης ἑτέρα, τοῦτο δέ ἐστιν ἐὰν ἄλλο τι ἀποφήσῃ ἡ ἀπόφασις κατηγορούμενον καὶ μὴ ὃ κατέφησεν ἡ κατάφασις, οἷον τῆς καταφάσεως εἰπούσης 'ἄνθρωπος λευκός ἐστιν' ἡ ἀπόφασις εἰ εἴποι 'ἄνθρωπος δίκαιος οὐκ ἔστιν', οὐκ ἔσται αὕτη τῆς εἰρημένης καταφάσεως ἡ ἀπόφασις, ἀλλ' ἑτέρα παρ' ἐκείνην· ἡ μὲν γὰρ ἀπόφασις αὐτῆς ἔσται ἡ 'ἄνθρωπος λευκὸς οὐκ ἔστιν', ἡ δὲ 'ἄνθρωπος δίκαιος οὐκ ἔστι' κατὰ τὸ κατηγορούμενον διαφέρει τῆς 'ἄνθρωπος λευκὸς οὐκ ἔστιν'. ὁμοίως δὲ κἂν ἀπὸ ἑτέρου τινὸς | ὑποκειμένου ἀπο- 100v φήσῃ τὸ κατηγορούμενον ἡ ἀπόφασις καὶ μὴ ἀπ' ἐκείνου, οὗ κατέφησεν αὐτὸ ἡ κατάφασις, οὐκ ἔσται πάλιν αὕτη τῆς καταφάσεως ἐκείνης ἀπόφασις· τῆς γὰρ 'ἄνθρωπος περιπατεῖ' τίς ἂν ὑποπτεύσειεν ἀπόφασιν εἶναι τὴν 'ἵππος οὐ περιπατεῖ'; δῆλον γὰρ ὅτι ἡ μὲν ὄντως οὖσα ἀπόφασις τῆς 'ἄνθρωπος περιπατεῖ' ἐστὶν ἡ 'ἄνθρωπος οὐ περιπατεῖ', ἡ δὲ 'ἵππος οὐ περιπατεῖ' ἐξήλλακται αὐτῆς κατὰ τὸν ὑποκείμενον ὅρον. ταῦτα διὰ μέσου εἰπὼν προστίθησι τὰ λοιπὰ τῶν προτάσεων παραδείγματα λέγων τῇ δὲ 'πᾶς ἄνθρωπος λευκός' (ἀντίκειται δηλονότι, τοῦτο γὰρ ἔξωθεν δεῖ προσυπακούειν) ἡ 'οὐ πᾶς ἄνθρωπος λευκός', τῇ δὲ 'τὶς ἄνθρωπος λευκός' ἡ 'οὐδεὶς ἄνθρωπος λευκός', τῇ δὲ 'ἔστιν ἄνθρωπος λευκός' ἡ 'οὐκ ἔστιν ἄνθρωπος λευκός', ὧν δηλονότι αἱ μέν εἰσι προσδιωρισμέναι αἱ δὲ ἀπροσδιόριστοι. εἶτα συμπεραινόμενος τὰ διὰ τοῦ πορίσματος εἰρημένα φησίν ὅτι μὲν οὖν μιᾷ ἀποφάσει μία κατάφασις ἀντίκειται ἀντιφατικῶς καὶ τίνες εἰσὶν αὗται, εἴρηται· πᾶσι γὰρ ἐπεξῆλθε τοῖς εἴδεσι τῶν προτάσεων τῶν τε καθ' ἕκαστα καὶ τῶν προσδιωρισμένων καὶ ἔτι τῶν ἀπροσδιορίστων, καὶ ἐπὶ πασῶν ἔδειξε τοῦτο

---

1 ἀπὸ om. AFM τινὸς (post καθ.) om. AM ἢ ὡς] ἢ τῶν ὡς A: καὶ τῶν καθόλου ἢ ὡς M ἢ (ante ὡς μὴ) om. G 2 λέγει A¹ 3 ἢ om. AFGM 4 καθολικῶν G 4. 5 τούτου τὸ] τοῦτο AM: τούτων τὸ a 5 prius ἢ om. G 6 προδείγματα M 11 ἔσται] ἔστιν G 12 δέ om. F ὅτι ἐὰν AMa ἀποφήσει F¹ 14 εἴπη AFM 14. 16 ἔσται] ἔστιν G 15 ἡ (ante ἀπόφ.) om. F 16 ἡ (ante ἄνθρ.)] ὡς G ἡ δὲ — οὐκ ἔστι (17) suppl. in mrg. A 17 δίκαιος] λευκὸς A 18 κἂν] καὶ εἰ G 20 αὐτὸ om. AM ἔστι FG αὕτη] αὐτὸ G 20. 21 ἡ ἀπόφ. GM 24 ἐξήλακται G¹ 26. 27 προσυπ. δεῖ colloc. FM 27 δὲ suppl. G² 28 τῇ δὲ ἔστιν — οὐκ ἔστιν ἄνθρ. λευκός (29) om. G 31 μιᾷ καταφάσει μία ἀπόφασις Gb: μία κατάφασις μιᾷ ἀποφάσει a 34 ἐδείξαμεν A

συμβαῖνον. καὶ τὰ λοιπὰ δὲ τῶν εἰρημένων περὶ τῶν ἐν ταῖς προτάσεσιν ἀντιθέσεων συμπεραινόμενος ἐπήγαγε καὶ ὅτι αἱ ἐναντίαι ἄλλαι (λέγει δὲ ἄλλαι παρὰ τὰς ἀντιφατικῶς ἀντικειμένας δηλονότι) καὶ τίνες εἰσὶν αὗται (κατὰ κοινοῦ καὶ ἐνταῦθα καὶ ἐπὶ τῶν ἑφεξῆς ῥηθησομένων ὑπακουομένου τοῦ εἴρηται) καὶ ὅτι οὐ πᾶσα ἀληθὴς ἢ ψευδὴς | ἀντί- 101r φασις. τοῦτο δὲ τί αὐτῷ σημαίνει. φθάσαντες εἴπομεν. ὅτι τῆς κοινότερον λεγομένης ἀντιφάσεως καὶ σημαινούσης τὴν τυχοῦσαν ἀντίθεσιν τῆς καταφάσεως πρὸς τὴν ἀπόφασιν τῶν τοῖς αὐτοῖς ὅροις χρωμένων οὐ πάντως φησὶ τὰ μόρια διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. εἴρηται δὲ τοῦτο τῶν ἀπροσδιορίστων προτάσεων χάριν, ἃς ἠξίου συναληθεύειν ἐπὶ τῆς ἐνδεχομένης ὕλης διὰ τὸ συμφθέγγεσθαι αὐτὰς ταῖς μερικαῖς προτάσεσιν, ὅπερ σημαίνει αὐτῷ τὸ καὶ διὰ τί. καὶ τὸ πότε δὲ ἀληθὴς ἢ ψευδής περὶ τῶν ἀπροσδιορίστων προτάσεων καὶ αὐτὸ λέγεται· κατὰ γὰρ τὰς λοιπὰς τῶν ὑλῶν παρὰ τὴν ἐνδεχομένην, λέγω δὴ τήν τε ἀναγκαίαν καὶ τὴν ἀδύνατον, διαιροῦσι καὶ αὗται τὸ ἀληθὲς καὶ τὸ ψεῦδος.

p. 18a13 Μία δέ ἐστι κατάφασις καὶ ἀπόφασις ἡ ἓν καθ' ἑνὸς σημαίνουσα ἢ καθόλου ὄντος καθόλου ἢ μὴ ὁμοίως, οἷον ἔστι πᾶς ἄνθρωπος λευκός — οὐκ ἔστι πᾶς ἄνθρωπος λευκός, ἔστιν ἄνθρωπος λευκός — οὐκ ἔστιν ἄνθρωπος λευκός, οὐδεὶς ἄνθρωπος λευκός — ἔστι τις ἄνθρωπος λευκός, εἰ τὸ λευκὸν ἓν σημαίνει. εἰ δὲ δυοῖν ἓν ὄνομα κεῖται, ἐξ ὧν μή ἐστιν ἕν, οὐ μία κατάφασις οὐδὲ ἀπόφασις μία· οἷον εἴ τις θεῖτο ὄνομα ἱμάτιον ἵππῳ καὶ ἀνθρώπῳ, τὸ ἔστιν ἱμάτιον λευκόν. αὕτη οὐ μία κατάφασις οὐδὲ ἀπόφασις μία· οὐδὲν γὰρ διαφέρει τοῦτο εἰπεῖν ἢ ἔστιν ἵππος καὶ ἄνθρωπος λευκός. τοῦτο δὲ οὐδὲν διαφέρει τοῦ εἰπεῖν ἔστιν ἵππος λευκὸς καὶ ἔστιν ἄνθρωπος λευκός. εἰ οὖν αὗται πολλὰ σημαίνουσι καὶ εἰσὶ πολλαί, δῆλον ὅτι καὶ ἡ πρώτη ἢ πολλὰ ἢ οὐδὲν σημαίνει· οὐ γάρ ἐστί τις ἄνθρωπος ἵππος. ὥστε οὐδὲ ἐν ταύταις | ἀνάγκη τὴν μὲν 101v ἀληθῆ τὴν δὲ ψευδῆ εἶναι ἀντίφασιν.

Προειπὼν ὅτι τῇ μιᾷ καταφάσει μία μάχεται ἀπόφασις, τίς ποτέ ἐστιν ἡ μία κατάφασις καὶ ἡ μία ἀπόφασις προστίθησι διὰ τούτων, ἤδη μὲν

---

1 καὶ om. M 2 ὅτι καὶ G 3 ἄλλας G 4 ἐπὶ] περὶ G ἑξῆς F 5. 6 ἀντίφ. φησι AGM: φησὶν ἀντίφ. Fa; φησι eieci 6 αὐτὸ AMa φθάσαντες εἴπομεν] p. 121,29 8 ὅρων F 9 διαιρεῖ G 11 συμφθεγ.] συμψεύδεσθαι G¹: συντίθεσθαι G² αὐτὰς] αὐταῖς M ὅπερ] ὅπως G 12 αὐτῷ] αὐτὸ G καὶ τὸ (pr. l.) colloc. G ἢ ἀληθ. ἢ G 15 τό τε ἀλ. M 16 ἡ ἓν — ἀντίφασιν (30) om. M 17 καθ. ὄντος ὡς καθ. a μὴ om. A οἷον — ἀντίφασιν (30) om. a οἷον iter. G 17. 18 πᾶς ἄνθρ. λ. ἐστι colloc. b 18. 19 ἔστιν ἄνθρ. — ἀντίφασιν (30) om. G 22 οὐδὲ ἀπόφασις μία om. A τις] τι A θεῖτο ὄνομα] ὄνομα θεῖον F 24 μία (alt.) om. F 25 ἢ b: ὅτι F: om. A τοῦτο δὲ — ἔστιν (26) om. A 28 ἢ (prius)] ἤτοι b ὁ τὶς b 30 ἀντίφ. εἶναι colloc. F 31 προειπὼν — ἀπόφασις suppl. G² τῇ om. GM μία om. M τίς] τί M

καὶ διὰ τῶν προλαβόντων παραδοὺς ἡμῖν τὴν περὶ τούτων ἔννοιαν, δι' ὧν ἔλεγεν "ἔστι δὲ εἷς λόγος ἀποφαντικὸς ἢ ὁ ἓν δηλῶν ἢ ὁ συνδέσμῳ εἷς, πολλοὶ δὲ οἱ πολλὰ καὶ μὴ ἓν ἢ οἱ ἀσύνδετοι", ἀλλ' ἐν ἐκείνοις μὲν αἰνιττόμενος τὴν διαφορὰν τοῦ τε ἑνὸς καὶ τῶν πολλῶν λόγων, ἐνταῦθα δὲ μετὰ πλείονος ἐπεξεργασίας τὸ θεώρημα παραδιδοὺς· μίαν γὰρ εἶναί φησι πρότασιν τὴν ἑνὶ χρωμένην κατὰ τὸ σημαινόμενον ὑποκειμένῳ καὶ ἑνὶ κατηγορουμένῳ, εἴτε καθόλου ὡς καθόλου εἴη εἴτε μὴ ὁμοίως, τοῦτ' ἔστιν εἴτε μερικὴ εἴτε καὶ ἀπροσδιόριστος ἢ καὶ καθ' ἕκαστα, εἰ καὶ μὴ τέθεικε τῶν καθ' ἕκαστα παραδείγματα διὰ τούτων· τὴν γοῦν 'ἔστιν ἄνθρωπος λευκός' πρότασιν μίαν εἶναι, εἰ τό τε ἄνθρωπος μίαν τινὰ φύσιν σημαίνει καὶ τὸ λευκὸν μὴ ὁμώνυμον λαμβάνοιμεν ἀλλά τινος ὡρισμένου δηλωτικόν. εἰ δὲ ὁμώνυμον εἴη τὸ ὑποκείμενον ἐν τῇ προτάσει ἢ καὶ τὸ κατηγορούμενον, οὐκέτι μίαν εἶναι τὴν πρότασιν ἀλλὰ τοσαύτας, ὅσα ποτὲ ἂν εἴη τὰ σημαινόμενα ὑπὸ τῆς παραληφθείσης ὁμωνύμου φωνῆς. εἰ γοῦν ὅπερ αὐτός φησιν ὄνομα θείημεν τῷ τε ἀνθρώπῳ καὶ τῷ ἵππῳ τὸ ἱμάτιον, ἔπειτα λέγοιμεν 'ἱμάτιον λευκόν ἐστιν', οὐδὲν ἄλλο λέγομεν ἢ ὅτι 'ἔστιν ἵππος καὶ ἄνθρωπος λευκός', καὶ ἐνταῦθα μὲν ὁ καί συμπλεκτικὸς σύνδεσμος φαντασίαν παρέχει τοῦ μίαν τὴν | πρότασιν εἶναι συνδέειν δοκῶν τὸν ἄν- 102r
θρωπον καὶ τὸν ἵππον. εἰ δὲ τὸν σύνδεσμον ἀφελόντες εἴπωμεν 'ἔστιν ἵππος λευκός, ἔστιν ἄνθρωπος λευκός', οὐδεμία ἔτι φαντασία τοῦ μίαν εἶναι τὴν πρότασιν ὑπολειφθήσεται. εἰ οὖν αἱ οὕτως λεγόμεναι προτάσεις ὁμολογουμένως πολλαί, δῆλον ὅτι καὶ ἡ τὴν αὐτὴν ταύταις ἔχουσα δύναμιν ἡ εἰποῦσα 'ἔστιν ἱμάτιον λευκόν', ἣν ἐκάλεσε πρώτην ὡς ἐκ ταύτης μεταβὰς ἐπὶ τὰς διαφόροις ὁμολογουμένως ὑποκειμένοις χρωμένας ἤτοι οὐδὲν ἢ πολλὰ σημαίνει· ἓν μὲν γὰρ σημαίνειν αὐτὴν οὐ δυνατόν, ὡς ἐδήλωσεν ἡ εἰς τὰ σημαινόμενα τῆς ὁμωνύμου φωνῆς, τοῦ ἱματίου λέγω, διαίρεσις. ἐπεὶ δὲ ἀνάγκη πᾶσαν φωνὴν ἢ ἄσημον εἶναι ἢ σημαίνειν τι, καὶ εἰ σημαίνοι, ἢ ἓν σημαίνειν ἢ πολλά, δῆλον ὅτι καὶ ἡ εἰρημένη πρότασις ἡ 'ἔστιν ἱμάτιον λευκόν' ἢ τῶν ἀσήμων ἔσται ἢ τῶν σημαντικῶν καὶ ἢ τῶν ἕν τι σημαινουσῶν ἢ τῶν πολλὰ καὶ μὴ ἕν. ἐληλεγμένου τοίνυν τοῦ ἕν τι αὐτὴν σημαίνειν, τὸ ἕτερον τῶν λοιπῶν δύο καταλείπεσθαι ἀνάγκη. ἀλλὰ μὴν τὸ μηδὲν σημαίνειν αὐτὴν ἄλογον, εἰ καὶ τοῦ τελείου τῆς διαιρέσεως ἕνεκεν παρείληπται καὶ τοῦτο ἐν τῇ ἐξετάσει τοῦ

---

2 ἔλεγεν] p. 17r 15 ἔστι] ἔτι G 3 μὴ ἓν] μηδὲν G¹ 5 γὰρ om. G 6 ὑποκείμενον σημαινομένῳ G¹ 6. 7 καὶ ἑνὶ κατηγορουμένῳ om. F 7 καὶ ὡς G 8 καὶ (ante ἀπροσδ.) om. FG 9 λευκός om. M 10 εἶναι φαμέν a σημαίνοι M 11 λαμβάνομεν F 12 καὶ om. a 13 εἶναι om. G πρότασιν φαμέν a ὁπόσα A ποτὲ] τε F 14 παραλειφθ. A 15 θείομεν G 16 λέγοιμεν] λέγομεν AM 16. 17 ἄνθρ. καὶ ἵππος colloc. GM 17 σύνδ. συμπλ. colloc. G 18 μίαν ἔτι G συνδεῖν G 19 εἴπομεν Aa; an εἴποιμεν? 20 ἔτι post φαντ. colloc. AG: om. Ma 21 ὑποληφθήσεται AGa 24 ὁμολογουμένας M χρωμ. ὑποκ. colloc. G 25 γὰρ] οὖν F 28 ἢ (prius) om. G σημαίνειν] σημαίνει AG 29 ἔσται] ἐστὶν M 29. 30 ἢ τῶν σημαντικῶν καὶ om. AM 30 τι om. G 31 τοῦ μὴ ἓν G

θεωρήματος. μόνως ἄρα πολλὰ σημαίνει, κἂν δοκῇ κατὰ τὴν φωνὴν μία εἶναι ἡ πρότασις τῷ τὸν ὑποκείμενον ἕνα εἶναι δοκεῖν διὰ τὸ ἓν εἶναι ὄνομα τῶν πλειόνων σημαινομένων, οἷον τοῦ ἀνθρώπου καὶ τοῦ ἵππου σημαντικὸν τὸ ἱμάτιον.

Τὸ δὲ οὐ γάρ ἐστί τις ἄνθρωπος ἵππος εἰρῆσθαί μοι δοκεῖ διὰ τὸ δύνασθαί ποτε καὶ τὰς οὕτω λαμβανομένας προτάσεις μὴ πολλὰ σημαίνειν ἀλλὰ ἕν. ὅταν τοῖς ἕν | τινι ὁρισμῷ παραλαμβανομένοις πλείοσι πρά- 102v
γμασι, τῷ τε γένει φημὶ καὶ ταῖς διαφοραῖς, ἕν τις ὄνομα θῇ τὸ τυχόν· κείσθω γὰρ τῷ ζῴῳ τῷ λογικῷ τῷ θνητῷ τῷ νοῦ καὶ ἐπιστήμης δεκτικῷ κοινὸν ὄνομα, ὡς παρέλαβεν ὁ Ἀριστοτέλης, ἱμάτιον· ἆρ' οὖν ὅταν εἴπωμεν 'ἔστιν ἱμάτιον λευκόν', οὐ μίαν ἀλλὰ πολλὰς φήσομεν εἶναι ταύτην τὴν πρότασιν; οὐδαμῶς, ἐπειδὴ ἐκ πάντων, οἷς κεῖται τὸ ἱμάτιον ὄνομα, μία τις φύσις ἡ τοῦ ἀνθρώπου συμπληροῦται καὶ ταὐτόν ἐστι τὸ εἰπεῖν 'ἔστιν ἱμάτιον λευκόν' καὶ 'ἔστι ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικὸν λευκόν', τοῦτο δὲ ταὐτὸν τῷ 'ἔστιν ἄνθρωπος λευκός'. ὥστε οὐκ ἂν λέγοι πλείους προτάσεις ὁ ἕν | τι κατηγορῶν τοῦ τιθεμένου ὀνόματος κοινῶς ἅπασι τοῖς συμπληροῦσι τὸν αὐτὸν ὁρισμόν. τίς οὖν ὁ διορισμὸς τῶν πραγμάτων, ἐφ' ὧν οὐκ ἐνδέχεται τὸ τεθὲν αὐτοῖς ὄνομα μίαν ἐργάσασθαι πρότασιν καὶ ἐφ' ὧν δυνατόν; ὅτι ἐφ' ὧν μὲν οὐκ ἐνδέχεται μίαν γενέσθαι τὴν πρότασιν, ταῦτα διακεκρίσθαι ἀλλήλων ἀνάγκη, ὥσπερ ἐπὶ τοῦ ἀνθρώπου καὶ τοῦ ἵππου ἐλέγομεν, ἐφ' ὧν δὲ δυνατὸν μίαν εἶναι τὴν πρότασιν, ταῦτα ἐνίοτε μὲν καὶ καθόλου πάντως δὲ κατὰ μέρος καταφάσκεσθαι ἀλλήλων ἀνάγκη, οἷον ὡς ἐλέγομεν ἐπὶ τοῦ ζῴου καὶ λογικοῦ καὶ θνητοῦ καὶ πάντων ἁπλῶς τῶν πρὸς συμπλήρωσιν ἑνός τινος ὁρισμοῦ παραλαμβανομένων· τούτων γὰρ ἕκαστον τοῦ τε ὁριστοῦ πράγματος καθόλου κατηγορούμενον καὶ καθ' ἑκάστου τῶν τὸν αὐτὸν ὁρισμὸν αὐτῷ συμπληρούντων κατὰ μέρος καταφάσκεσθαι ἀνάγκη· ἐπεὶ γὰρ τὸ ζῷον κατὰ παντὸς ἀνθρώπου κατηγο|ρεῖται καὶ τὸ λογικόν ὡσαύτως, δῆλον ὅτι ἀνάγκη ἑκά- 103r
τερον αὐτῶν τοῦ ἑτέρου κατηγορεῖσθαι κατὰ μέρος· καὶ γὰρ τὶ λογικὸν ζῷον καὶ τὶ ζῷον λογικόν. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ ζῴου καὶ θνητοῦ (καὶ γὰρ τὶ θνητὸν ζῷον καὶ τὶ ζῷον θνητόν) καὶ λογικοῦ καὶ θνητοῦ (καὶ γὰρ τὶ λογικὸν θνητὸν καὶ τὶ θνητὸν λογικόν), εἰ καί τινα τούτων ἀληθῆ εἶναι διὰ τὰ καθόλου συμβαίνει. ταῦτα οὖν αὐτὸς συντόμως ἐνε-

---

1 μόνος F μίαν F 2 δοκεῖ G 5 ὁ τὶς b δοκῶ G 6 καὶ om. G 7 τισιν A 8 ὄνομα θῇ] ὀνομασθῇ A θῇ τὸ] θεῖτο F 10 ὡς παρέλαβεν] ὥσπερ ἔλαβεν AGMa 11 φεισόμεν F 13 συμπληρ.] πληρ. F ταυτά F 15 post λευκόν iter. καὶ ἔστι — λευκόν G¹ 16 λέγη A πλείονας M 17 ἐν ἅπασι Aa: ἐν πᾶσι M αὐτοῦ F 18 πραγμ.] προτάσεων Ma αὐτῆς A 18. 19 εἰργάσθαι AF 22 καὶ om. G 23 οὐκ ἀνάγκη M ὡς ἄνθρωπος ἐλέγ. a 24 καὶ (ante θνητοῦ) suppl. G² 24. 25 παραλ. ὁρ. colloc. G¹ 25 ἕκαστον] ἑκάτερον G ὁριστικοῦ GMa 26 ἕκαστα G 26. 27 αὐτῷ συμπλ.] ἀποσυμπλ. a 28 ἀνάγκη om. F 29 κατηγορηθήσεται F 30 τοῦ ζώου καὶ τοῦ θνητοῦ a 31 λογικὸν καὶ θνητὸν G 32 καὶ (post εἰ) om. G 33 τὸ καθ. G ὁ αὐτὸς G 33. p. 128,1 ἀνεδείξ. F

δείξατο εἰπὼν οὐ γάρ ἐστί τις ἄνθρωπος ἵππος. ὅπως δὲ καὶ τοῦτο τὸ θεώρημα συμβάλλεται πρὸς τὴν τῆς κυρίως λεγομένης ἀντιφάσεως θεωρίαν, διδάσκων ἐπήγαγεν ὥστε οὐδὲ ἐν ταύταις ἀνάγκη τὴν μὲν ἀληθῆ τὴν δὲ ψευδῆ εἶναι ἀντίφασιν, ταὐτὸν λέγων τῷ 'ὥστε οὐδὲ ἐν ταῖς τοιαύταις ἀντιφάσεσι ταῖς ὁμωνύμῳ χρωμέναις ὑποκειμένῳ ἢ κατηγορουμένῳ ἀνάγκη τὴν μὲν τῶν προτάσεων ψεύδεσθαι τὴν δὲ ἀληθεύειν'. καὶ τοῦτο εἰκότως, ἐπείπερ οὐδὲν κωλύει τῶν ὑπὸ τῆς ὁμωνύμου φωνῆς σημαινομένων διαφόρων πραγμάτων τὸ μὲν μετέχειν τοῦ κοινῶς αὐτῶν κατηγορηθέντος τὸ δὲ μὴ μετέχειν, ὥσπερ ἐλέγομεν ἐπὶ τοῦ 'Αἴας ἐμονομάχησεν Ἕκτορι' καὶ 'Αἴας οὐκ ἐμονομάχησε', καὶ ὡς ἐπὶ τοῦ εἰρημένου παραδείγματος τοῦ 'ἔστιν ἱμάτιον λευκόν' καὶ 'οὐκ ἔστιν ἱμάτιον λευκόν'· δυνατὸν γὰρ ἀνθρώπου μέν, εἰ οὕτως ἔτυχεν, ὄντος λευκοῦ ἵππου δὲ μὴ λευκοῦ, ἀμφοτέρας τε ἀληθεύειν τὰς προτάσεις καὶ ἀμφοτέρας ψεύδεσθαι καὶ τὴν μὲν ψεύδεσθαι τὴν δὲ ἀληθεύειν.

p. 18a28 Ἐπὶ μὲν οὖν τῶν ὄντων καὶ γενομένων ἀνάγκη τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἀληθῆ ἢ ψευδῆ εἶναι, καὶ ἐπὶ | μὲν 103v τῶν καθόλου ὡς καθόλου ἀεὶ τὴν μὲν ἀληθῆ τὴν δὲ ψευδῆ, καὶ ἐπὶ τῶν καθ' ἕκαστα ὥσπερ εἴρηται, ἐπὶ δὲ τῶν καθόλου λεχθέντων μὴ καθόλου οὐκ ἀνάγκη· εἴρηται δὲ καὶ περὶ τούτων. ἐπὶ δὲ τῶν καθ' ἕκαστα καὶ μελλόντων οὐχ ὁμοίως.

Παραδοὺς ἡμῖν διὰ τῶν προλαβόντων ὁ Ἀριστοτέλης τὴν ἀπὸ τοῦ ὑποκειμένου τῶν προτάσεων διαίρεσιν καὶ διακρίνας τάς τε συναληθεύειν ἢ συμψεύδεσθαί ποτε δυναμένας προτάσεις καὶ τὰς ἀεὶ διαιρούσας τό τε ἀληθὲς καὶ τὸ ψεῦδος, διὰ τούτων προστίθησι τὴν ἀπὸ τοῦ κατηγορουμένου γινομένην ἐν αὐταῖς διαφορὰν πρὸς τὸ διαιρεῖν πάλιν ἢ μὴ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος· ἐπεὶ γὰρ τὸ κατηγορούμενον ἐν ταῖς προτάσεσι ῥῆμα εἶναι ἀναγκαῖον τὸ δὲ ῥῆμα χρόνον ἐλέγομεν προσσημαίνειν τὸν δὲ χρόνον τριχῇ διαιροῦμεν εἴς τε τὸ παρεληλυθὸς καὶ τὸ ἐνεστὸς καὶ τὸ μέλλον, ἀνάγκη τῶν προτάσεων ἑκάστην καθ' ἕνα τῶν τριῶν λαμβάνεσθαι χρόνων. τεττάρων οὖν οὐσῶν ἐν ταῖς προτάσεσιν ἀντιθέσεων κατὰ τὴν ἀπὸ τοῦ ὑποκειμένου διαίρεσιν, δύο μὲν τῶν διαγωνίων, τῆς πᾶς πρὸς τὴν οὐ πᾶς καὶ τῆς τίς πρὸς τὴν οὐδείς, τρίτης δὲ τῆς τῶν ἀπροσδιορίστων, καὶ ἐπὶ

---

1 ὁ τὶς b 3 τὸ οὐδὲ A 4 ἀντίφ. εἶναι colloc. Fa τῷ] τὸ A 5 τοιαύτ.] ταύταις G¹ 9 ἐλέγομεν] p. 73,11 11 καὶ om. F 13 τε om. F τε τὸ G post προτ. add. μὴ ὄντος δὲ F 14 καὶ] ἢ F 15 γινομ. G 16 τὴν (ante ἀπόφ.) om. FM ἀληθῆ — ὁμοίως (20) om. M καὶ ἐπὶ — ὁμοίως (20) om. a καὶ om. A μὲν — καὶ ἐπὶ (17.18) om. G μὲν om. F 17 τῶν] τοῦ F ψευδῆ εἶναι b 18. 19 μὴ καθ. λεχθ. colloc. b 19 καὶ μὴ καθ. G 24 προτίθ. F 27 ἀνάγκη G ἐλέγομεν] p. 48,3 28 τε om. AFM ἐνεστὼς AM καὶ (alt.) om. G 30 οὖν] τοίνυν Fa τὴν τοῦ ἀπὸ τοῦ M 31 ante τῶν διαγ. III litt. eras. A 32 τῆς (ante τίς)] τὴν AG²

ταύταις τῆς τῶν καθ' ἕκαστα, πάνυ προσεκτικῶς τὰ μὲν τρία τῶν ἐν ταῖς προτάσεσιν ἀντιθέσεων εἴδη κατὰ πάντα χρόνον ὁμοίως ἔχειν φησὶ πρὸς τὸ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ἢ συναληθεύειν, λέγω δὴ τάς τε διαγωνίους καὶ τὰς ἀπροσδιορίστους, τὰς δὲ καθ' ἕκαστα οὐκέτι.

Γινέσθω δὲ ἡμῖν ὁ λόγος ἐπὶ μιᾶς | τῶν εἰρημένων τριῶν ἀντιθέ- 104r σεων, ἵνα καὶ ὅπῃ διαφέρουσιν αὐτῶν κατὰ τὸν εἰρημένον τρόπον αἱ καθ' ἕκαστα προτάσεις γένηται φανερόν, τῶν αὐτῶν ἁρμόσαι ἡμῖν δηλονότι δυναμένων πρὸς τὴν διάκρισιν τῶν καθ' ἕκαστα προτάσεων ἀπὸ τῶν λοιπῶν δύο ἀντιθέσεων. εἰλήφθωσαν οὖν ἥ τε μερικὴ κατάφασις καὶ ἡ καθόλου ἀπόφασις. ταῦτα τοίνυν εἰ μὲν κατὰ τὴν ἀναγκαίαν ὕλην λαμβάνοις, ἀεὶ τὴν μὲν κατάφασιν ἀληθεύουσαν εὑρήσεις τὴν δὲ ἀπόφασιν ψευδομένην, εἰ δὲ κατὰ τὴν ἀδύνατον, τὴν μὲν κατάφασιν ψευδομένην τὴν δὲ ἀπόφασιν ἀληθεύουσαν· ἐπὶ δὲ τῆς ἐνδεχομένης τὴν μὲν κατάφασιν ἅτε ἐπὶ μέρους εἶναι τὸ ἐνδεχόμενον λέγουσαν, ὥσπερ καὶ πέφυκεν ὑπάρχειν, ἀληθεύουσαν πάλιν εὑρήσεις, τὴν δὲ ἀπόφασιν παντελῶς ἀναιροῦσαν τὸ ἐνδεχόμενον τὸ τισὶ μὲν πεφυκὸς ὑπάρχειν τισὶ δὲ μὴ ὑπάρχειν ἐξ ἀνάγκης ψευδομένην· ὥσπερ γὰρ κατὰ τὸν ἐνεστῶτα χρόνον τὸ μὲν 'τὶς ἄνθρωπος λευκός ἐστιν' ἀληθὲς τὸ δὲ 'οὐδεὶς ἄνθρωπος λευκός ἐστι' ψεῦδος, οὕτω καὶ ἐπὶ τοῦ παρεληλυθότος τὸ μὲν 'τὶς ἄνθρωπος λευκὸς ἦν' ἀληθὲς τὸ δὲ 'οὐδεὶς ἄνθρωπος λευκὸς ἦν' ψεῦδος, καὶ ἐπὶ τοῦ μέλλοντος ὡσαύτως· τὸ μὲν 'τὶς ἄνθρωπος λευκὸς ἔσται' ἀληθὲς τὸ δὲ 'οὐδεὶς ἄνθρωπος λευκὸς ἔσται' ψεῦδος. ὁ δὲ αὐτὸς δηλονότι λόγος ἁρμόσει καὶ ἐπὶ τῆς ἑτέρας τῶν διαγωνίων ἀντιθέσεων, τῆς πᾶς καὶ οὐ πᾶς· καὶ γὰρ ἐκείνης τὰ μόρια καθ' οἵαν ἂν ὕλην ληφθῶσι, παραπλησίως ἔχοντα κατὰ πάντα χρόνον πρὸς τὸ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος καταλαμβάνονται. καὶ τὰς | ἀπροσδιο- 104v ρίστους μέντοι λεγομένας προτάσεις εἰ μὲν ἐπὶ τῆς ἀναγκαίας ἢ τῆς ἀδυνάτου ὕλης θεωροίης, ὄψει κατὰ πάντα χρόνον ὁμοίως διαιρούσας τό τε ἀληθὲς καὶ τὸ ψεῦδος· ἐπὶ δὲ τῆς ἐνδεχομένης εἴτε συναληθεύοιεν, ὡς ἐλέγετο πρότερον, κατὰ πάντα χρόνον ὑπάρξει αὐταῖς τὸ συναληθεύειν, καὶ οὐ κατὰ μὲν τὸν ἐνεστῶτα, εἰ τύχοι, συναληθεύουσι κατὰ δὲ τὸν παρεληλυθότα ἢ τὸν μέλλοντα οὐχ οὕτως ἕξουσιν, εἴτε διαιροῖεν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, τῆς ἀδιορίστου ἀποφάσεως οὐ τῇ μερικῇ ἀποφάσει ταὐτὸν φθεγγομένης ἀλλὰ τῇ καθόλου, κατὰ πάντα πάλιν χρόνον ἕξουσι τὸ ἀντιφάσκειν πρὸς ἀλλήλας παραπλησίως τῇ τῆς μερικῆς καταφάσεως πρὸς τὴν καθόλου ἀπόφασιν ἀντιθέσει.

---

3 καὶ τὸ ψεῦδος om. F δὴ] δὲ G 6 καὶ om. F διαφέρωσιν A
8 τὴν om. G 9. 10 μερικὴ ἀπόφασις καὶ ἡ καθ. κατάφασις M 13 τὴν μὲν — εὑρήσεις (15) om. F post κατάφασιν add. παντελῶς G 15 ὡς παντ. F
20 καὶ ἐπὶ — ψεῦδος (22) om. F 22 δηλονότι om. G 23 ἀντιθέσεως Ma
τῆς] τὴν G¹ ἐκεῖνα F 24 ἂν om. AG κατὰ — χρόνον om. G 27 θεωροῦντες G τε om. F 29 ἐλέγετο πρότερον] p. 111,15 30 συναληθεύσουσι G
31 οὐχ οὕτως] ἐναντίως (superscr. οὐχ ὁμοίως) G 34 τῇ τῆς] τῆς τε G καταφάσεως] ἀποφάσεως Ma

Τῶν οὖν εἰρημένων τριῶν ἀντιθέσεων κατὰ πάντα χρόνον ὁμοίως ἐχουσῶν κατὰ τὸ ποιεῖν ἀντίφασιν ἢ μὴ ποιεῖν, τὰς καθ' ἕκαστα προτάσεις φησὶν ὁ Ἀριστοτέλης ἐπὶ μὲν τῆς ἀναγκαίας ὕλης καὶ τῆς ἀδυνάτου διαιρεῖν ὁμοίως ταῖς ἄλλαις κατὰ πάντα χρόνον ὡρισμένως τὸ ἀληθὲς καὶ τὸ ψεῦδος (κατὰ μὲν γὰρ τὴν ἀναγκαίαν ὕλην τὴν μὲν κατάφασιν ἀληθεύειν ἀνάγκη τὸ ἀναγκαίως ὑπάρχον ὑπάρχειν λέγουσαν, τὴν δὲ ἀπόφασιν ψεύδεσθαι ἅτε ἀναιροῦσαν τὸ ἀναγκαίως ὑπάρχον, κατὰ δὲ τὴν ἀδύνατον τὴν μὲν κατάφασιν ψεύδεσθαι τὸ ἀδύνατον ὑπάρχειν λέγουσαν, τὴν δὲ ἀπόφασιν ἅτε ἀναιροῦσαν αὐτὸ ἀληθεύειν), κατὰ δέ γε τὴν ἐνδεχομένην ὕλην οὐκέτι φησὶν ὁμοίως αὐτὰς ἔχειν κατὰ πάντα χρόνον λαμβανομένας πρὸς τὴν διάκρισιν τοῦ τε ἀληθοῦς καὶ τοῦ ψεύδους· ἐπὶ μὲν | γὰρ τοῦ παρε- 105r
ληλυθότος καὶ τοῦ ἐνεστῶτος, ἅτε δὴ τοῦ πράγματος ἐκβεβηκότος περὶ οὗ ὁ λόγος, φανερὰν εἶναι τῶν καθ' ἕκαστα προτάσεων τήν τε ἀληθεύουσαν καὶ τὴν ψευδομένην· εἰ γὰρ τύχοι λουόμενος ἢ λουσάμενος χθὲς ὁ Σωκράτης, ἡ μὲν κατάφασις ἀληθεύσει ἡ λέγουσα 'Σωκράτης λούεται' 'Σωκράτης χθὲς ἐλούσατο', ἡ δὲ ἀπόφασις ἀναιρεῖν πειρωμένη τὸ ὑπάρχον ἢ ὑπάρξαν δῆλον ὅτι ψευδὴς ἔσται, καὶ εἰ τύχοι μὴ λουόμενος ἢ μὴ λελουμένος τῇ προτεραίᾳ, δῆλον ὅτι τὴν μὲν ἀπόφασιν κατὰ τὸν ἐνεστῶτα χρόνον καὶ τὸν παρεληλυθότα λαμβανομένην ἀληθεύειν ἀνάγκη, τὴν δὲ κατάφασιν ὑπάρχειν ἢ ὑπάρξαι λέγουσαν τὸ μὴ ἐκβεβηκὸς ψεύδεσθαι. κατὰ δέ γε τὸν μέλλοντα χρόνον διαιρεῖν μὲν καὶ οὕτως φησὶ τὰς καθ' ἕκαστα προτάσεις τό τε ἀληθὲς καὶ τὸ ψεῦδος, οὐκέτι μέντοι ὁμοίως ταῖς κατὰ τὸν ἐνεστῶτα χρόνον ἢ τὸν παρεληλυθότα λαμβανομέναις· οὐ γὰρ ἔτι ὡρισμένως ἔστιν εἰπεῖν ποτέρα μὲν αὐτῶν ἀληθεύσει ποτέρα δὲ ψεύσεται, μήπω τοῦ πράγματος ἐκβεβηκότος δυναμένου δὲ καὶ ἐκβῆναι καὶ μὴ ἐκβῆναι.

Τοῦτο μέντοι τὸ θεώρημα τὸ νῦν ὑπὸ τοῦ Ἀριστοτέλους κινούμενον δοκεῖ μὲν εἶναι λογικόν, κατὰ ἀλήθειαν δὲ πρὸς πάντα τὰ μόρια τῆς φιλοσοφίας ἐστὶν ἀναγκαῖον· κατά τε γὰρ τὴν ἠθικὴν φιλοσοφίαν πᾶσαν ἀνάγκη προσλαμβάνειν ὡς οὐ πάντα ἔστι καὶ γίνεται ἐξ ἀνάγκης, ἀλλ' ἔστι τινὰ καὶ ἐφ' ἡμῖν, ἐπείπερ κύριοι πράξεών τινων ὄντες καὶ ἐφ' ἡμῖν ὂν ἑλέσθαι ἢ μὴ ἑλέσθαι τάδε τινὰ καὶ πρᾶξαι ἢ μή, τὰς μὲν ἐπαινετὰς τὰς δὲ ψεκτὰς εἶναι τῶν τε | προαιρέσεων καὶ τῶν πράξεων λέγομεν, καὶ προ- 105v
τρέπειν μὲν τοὺς πέλας ἀξιοῦμεν ἐπὶ τὰς καλὰς καὶ ἀγαθὰς πράξεις ἀποτρέπειν δὲ ἐκ τῶν ἐναντίων. καὶ μέντοι καὶ πρὸς φυσιολογίαν φαίνεται χρήσιμον τὸ θεώρημα· ζητήσει γὰρ καὶ ὁ φυσιολόγος εἴτε πάντα ἐξ ἀνάγκης

4 ὡρισμένον G¹ 9 γε om. FG 10 οὐκέτι] οὐκ ἔστι F αὐτὰς ὁμοίως colloc. GM 11 ψευδοῦς AG¹Ma 12 δὴ] ἤδη F 13 φανερὸν AGM 15 ἀληθεύει Ma alt. ἡ om. F 16 ἢ om. G 20 γε om. F 22 τε om. G μέντοι om. A 23 ἢ τὸν ex εἴ τοι corr. A παρελ.] παρωχηκότα Fa 24 ἔστιν om. G ἀληθεύει . . ψεύδεται G 25 οὔπω Fa ἐκβεβηκότως A δὲ] μέντοι Fa 27 τοῦ om. G 28 δὲ] μέντοι F 30 ἔστι τε καὶ Fa 31 ὡς κύριοι F 33 ψεκτὰς] ψευκτὰς F εἶναι om. G 34 τοὺς πέλας ἀξιοῦμεν om. G 35. 36 χρ. φαίν. colloc. a 36 ζητήσοι F

γίνεται τὰ γινόμενα, εἴτε τινὰ ἀπὸ τύχης καὶ ἐκ ταὐτομάτου. καὶ πρὸς τὴν λογικὴν μέθοδον ὡσαύτως· αὐτὸ γοῦν τοῦτό ἐστι τὸ νῦν ζητούμενον εἴτε πᾶσα ἀντίφασις ἀφωρισμένως διαιρεῖ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος εἴτε ἔστι τις καὶ ἀορίστως ταῦτα διαιροῦσα. ἐκτεινόμενον δὲ τὸ θεώρημα καὶ ἐπὶ τὴν πρώτην φιλοσοφίαν εὑρήσεις· ζητήσει γὰρ καὶ ὁ θεολόγος κατὰ τίνα τρόπον ὑπὸ τῆς προνοίας διακυβερνᾶται τὰ ἐν τῷ κόσμῳ πράγματα, καὶ εἴτε πάντα ὡρισμένως καὶ ἐξ ἀνάγκης γίνεται τὰ γινόμενα, καθάπερ τὰ ἐπὶ τῶν ἀιδίων ὑπάρχοντα, ἢ ἔστι τινὰ καὶ ἐνδεχομένως ἐκβαίνοντα, ὧν τὴν γένεσιν ἐπὶ μερικὰς δηλονότι καὶ ἄλλοτε ἄλλως ἐχούσας αἰτίας ἀνάγειν ἀνάγκη. καὶ οὐδὲ τοὺς πάνυ ἰδιωτικῶς διακειμένους τῶν ἀνθρώπων εὑρήσεις ἀμελοῦντας τῆς περὶ τούτου τοῦ θεωρήματος ἐννοίας, ἀλλὰ τοὺς μὲν ὡς πάντων ἐξ ἀνάγκης γινομένων τὰς αἰτίας ὧν ἁμαρτάνουσιν ἐπὶ τὴν εἱμαρμένην ἢ τὴν πρόνοιαν τήν τε θείαν καὶ τὴν δαιμονίαν ἀναφέρειν πειρωμένους, καθάπερ ὁ ἀπαιδεύτως παρ' Ὁμήρῳ λέγων

ἐγὼ δ' οὐκ αἴτιός εἰμι,
ἀλλὰ Ζεὺς καὶ Μοῖρα καὶ ἠεροφοῖτις Ἐρινύς,

τοὺς δὲ ὡς ὄντων τινῶν καὶ ἐφ' ἡμῖν ἀπομαχομένους μὲν τοῖς πάντα ἀναγκάζουσιν ἀξιοῦντας δὲ ἡμᾶς ὡς αὐτο|κινήτους παιδείας τε καὶ ἀρετῆς 106r ἐπιμέλειαν ποιεῖσθαι.

Τοσαύτην οὖν δύναμιν ἔχοντος τοῦ θεωρήματος πρὸς πάντα ἡμῶν τὸν βίον ἀναγκαῖον ἡγοῦμαι τῶν πάντα ἀναγκάζειν πειρωμένων λόγων τοὺς δοκοῦντας παρέχειν τινὰ τοῖς ἀκούουσιν ἀπορίαν ἐκθέσθαί τε καὶ διαλῦσαι. δύο δὲ τούτων ὄντων, τοῦ μὲν λογικωτέρου τοῦ δὲ πραγματειωδεστέρου, ὁ μὲν λογικώτερος προάγεται ὡς ἐπί τινος ἡμῶν ἐνεργείας, οἷον τῆς κατὰ τὸ θερίζειν, τὸν τρόπον τοῦτον· εἰ θεριεῖς, φησίν, οὐχὶ τάχα μὲν θεριεῖς τάχα δὲ οὐ θεριεῖς, ἀλλὰ πάντως θεριεῖς, καὶ εἰ μὴ θεριεῖς, ὡσαύτως οὐχὶ τάχα μὲν θεριεῖς τάχα δὲ οὐ θεριεῖς. ἀλλὰ πάντως οὐ θεριεῖς· ἀλλὰ μὴν ἐξ ἀνάγκης ἤτοι θεριεῖς ἢ οὐ θεριεῖς· ἀνῄρηται ἄρα τὸ τάχα, εἴπερ μήτε κατὰ τὴν ἀντίθεσιν τοῦ θεριεῖν πρὸς τὸ μὴ θεριεῖν ἔχει χώραν, ἐξ ἀνάγκης τοῦ ἑτέρου τούτων ἐκβαίνοντος, μήτε κατὰ τὸ ἑπόμενον ὁποτεροῦν τῶν ὑποθέσεων· τὸ δὲ τάχα ἦν τὸ εἰσφέρον τὸ ἐνδεχόμενον· οἴχεται ἄρα τὸ ἐνδεχόμενον. πρὸς τοῦτον οὖν τὸν λόγον ῥᾴδιον ἀπαντᾶν λέγοντας ὡς ὅταν φάσκητε τὸ 'εἰ θεριεῖς. οὐχὶ τάχα μὲν θεριεῖς τάχα δὲ οὐ θεριεῖς, ἀλλὰ πάντως θεριεῖς', πῶς ἀξιοῦτε ὑποτίθεσθαι τὸ θεριεῖν ὡς ἀναγκαῖον

---

1 γίνονται G εἴτε] ἢ F τινὰ καὶ ἀπὸ FG ἐκ] ἀπὸ G 2 ζητοῦμεν A 4 καὶ (post τις) om. G ἀδιορίστως G δὲ suppl. G² 7 γίνονται G 8 τὰ] καὶ G: om. M ἢ] εἰ A ἐνδεχομένως F: ἐπὶ ἐνδεχομένων AMa: ἐπὶ τῶν ἐνδεχομένων G ἐκβαίνοντος F ὧν] τῶν A 9 μερικῆς M καὶ ἄλλοτε iter. A καὶ om. F 10 τοὺς] τὰς FG ἰδιωτικὰς G¹ διακειμένας G 14 παρ' Ὁμήρῳ] T 86. 87 15 οὐκ] οὐκέτι A: οὐκ ἂν G: οὐκέτι ἂν M 21 ante τῶν πάντα add. τὸν πάντα A 23 πραγματιωδ. A 26 καὶ] ὡς AM καὶ — ὡσαύτως] ὡσαύτως εἰ οὐ θεριεῖς F 27 τάχα (prius)] ταῦτα F: τὰ M 28 ἤτοι] εἴ τι A εἴπερ οὖν F 31 εἰσφερόμενον G¹ οἴχεται — ἐνδεχόμενον (32) om. G 33 φάσκηται AM οὐχὶ] οὐ M 34 ἀξιοῦται A: ἀξιοῖτε Ma

ἢ ὡς ἐνδεχόμενον; εἰ μὲν γὰρ ὡς ἐνδεχόμενον, ἔχομεν τὸ ζητούμενον, εἰ δὲ ὡς ἀναγκαῖον, πρῶτον μὲν αὐτὸ αἰτεῖσθε τὸ ἐξ ἀρχῆς ζητούμενον συγχωρεῖσθαι ὑμῖν ὡς ἐναργές, ἔπειτα ἀληθὲς μὲν ἔσται τὸ πάντως θεριεῖν, οὐκέτι μέντοι χώραν ἕξει τὸ λέγειν 'ἀλλὰ μὴν ἤτοι θεριεῖς ἢ οὐ θεριεῖς'· πῶς γὰρ τοῦ ἑτέρου τούτων ἐκβαίνοντος ἀναγκαίως τοῦ δὲ ἑτέρου | δηλον- 106v ότι ἀδυνάτου ὄντος χώραν ἔχει τὸ λέγειν 'ἀλλὰ μὴν ἢ τόδε ἔσται ἢ τόδε': ὥστε οὐ πρόεισιν αὕτη τέως αὐτοῖς ἡ ἐπιχείρησις.

Ὁ δέ γε ἕτερος τῶν λόγων οὕτως ὢν πραγματειώδης καὶ δυσαντίβλεπτος, ὥστε καὶ πολλοὺς τῶν ἐπιστατικωτέρων εἶναι δοκούντων ἀπάγεσθαι πρὸς τὴν ἀναιροῦσαν τὸ ἐνδεχόμενον δόξαν, πρόεισιν ἐκ διαιρέσεως τοιαύτης· οἱ θεοί, φασίν, ἤτοι ὡρισμένως ἴσασι τὴν ἔκβασιν τῶν ἐνδεχομένων ἢ παντάπασιν οὐδεμίαν αὐτῶν ἔχουσιν ἔννοιαν ἢ καθάπερ ἡμεῖς ἀόριστον αὐτῶν ἔχουσι τὴν γνῶσιν. ἀλλ' ἀγνοεῖν μὲν οὐδὲν τῶν ὄντων αὐτοὺς ἐνδέχεται τὰ πάντα παράγοντάς τε καὶ διακοσμοῦντας νοῦς τε παντελῶς ἀμιγεῖς πρὸς ὕλην ὄντας, μᾶλλον δέ (εἰ χρὴ τὸ ἀκριβέστερον φάναι) καὶ ὑπὲρ τὴν νοερὰν αὐτὴν ἰδιότητα τὴν ὄντως ἑαυτῶν ὕπαρξιν ἱδρυμένους· οὔτε γὰρ αὐτόματον ἐροῦμεν εἶναι τῶν ὄντων τὴν φύσιν τε καὶ τάξιν, οὔτε τοὺς θεοὺς εὔλογον ἢ ἀγνοεῖν ἅπερ παράγουσιν ἢ ὥς τινας ἀφεπόνους κατολιγωρεῖν τῆς τε γνώσεως αὐτῶν καὶ τῆς διακοσμήσεως· τὸ γὰρ ὑπολαμβάνειν ὡς ἐργώδη τε καὶ ἄσχολον ποιοῦμεν τὸν τῶν θεῶν βίον καὶ ἄμοιρον τῆς τοῖς θεοῖς προσηκούσης ἔμφρονος ῥαστώνης, ἐπιμελεῖσθαι τῶν κατὰ μέρος αὐτοὺς ἀποφαινόμενοι. μὴ συνεωρακότων ἐστὶ τὴν ὑπεροχὴν τῆς τῶν θεῶν γνώσεώς τε καὶ δυνάμεως πρὸς τὴν ἡμετέραν καὶ διὰ τὴν ἄγνοιαν ταύτην ἀξιούντων ἐκ τῶν περὶ ἡμᾶς τὰ κατὰ τοὺς θεοὺς σταθμᾶσθαι καὶ τὴν ἡμετέραν ἀσθένειαν ἐπ' ἐκείνους μεταφέρειν, ὡς τοῦ μὲν βασιλέως ἡλίου ἅπαντα ἅμα τὰ ἐν τῷ κόσμῳ καταλάμπειν δυναμένου, πλὴν εἰ | μή τισιν ἀντιφράττοι ποτέ τινα τῶν μὴ διαφανῶν ἀλλὰ στερεῶν 107r σωμάτων, τῆς δὲ ἀσωμάτου καὶ παντάπασιν ἀύλου τῶν θεῶν δυνάμεως οὐ δυναμένης ἀπαραποδίστως τε καὶ ἀθρόως ἅπασιν ἅμα παρεῖναι τοῖς οὖσιν, οὐδενὸς ἀντιφράττειν αὐτῇ δυναμένου πλὴν τῆς ἡμετέρας ἀνεπιτηδειότητος, οὐδὲ τότε κατὰ ἀλήθειαν τῆς προνοίας τῶν θεῶν παραποδιζομένης ἢ πρὸς τὴν γνῶσιν τῶν καθ' ἡμᾶς ἢ πρὸς τὴν ἐπιμέλειαν, ἀλλ' ἡμῶν αὐτῶν παραπλήσια πασχόντων τοῖς ὑπὸ τὸ φῶς τὸ ἡλιακὸν καθεύ-

---

1 γὰρ om. FM 2 αἰτεῖσθαι A 4 ἤτοι] εἴ τι A: εἴτε a 5. 6 δηλονότι om. F 6 ἀδ. ὄντος] ἀδυνατοῦντος F ἔσται] ἐστὶν AGMa 7 αὕτη] αὐτὴ G 8 οὕτως] ὄντως AG[1] ὢν iter. G πραγματιώδ. A 8. 9 δυσαντίβλ.] scribas δυσαντίλεκτος 9 εἶναι om. G δοκοῦντας F ἐπάγεσθαι G 11 φησίν A 12. 13 ἔχουσιν αὐτῶν G 14 παραγαγόντας a νοῦς] νόας F ἀμιγῆ A 16 ἱδρυσαμένους AM 17 τὴν τῶν ὄντ. φύσιν M φύσιν τε καὶ] φυσικὴν F 18 τινες A ἀφεροπόν. G[1] 18. 19 κατολιγορεῖν F 19. 20 ὑπολαμβάνειν] αἰνίττεται τὸ ἔπος μενάνδρειον· τοσαύτην τοὺς θεοὺς ἄγειν σχολὴν καὶ ἑξῆς in mrg. A: αἰν. τὸ μενάνδρειον ἔπος in mrg. G[2] (cf. fr. 174 Com. Att. fr. ed. Kock III p. 51) 20 ἀργώδη F[1] 21 τῆς om. AG τοῖς om. F μὴ προσηκ. Ma ἔκφρονος Ma 24 τοὺς om. M 27 ἀντιφράττοιτο Ma 29 ἀπαρεμποδ. G 33 παραπλήσιον G

δουσιν ἢ καὶ μύουσιν· ὥσπερ γὰρ ἐκεῖνοι τῆς μὲν θερμότητος τῆς ἀπὸ τοῦ ἡλίου τοῖς τῇδε παρεχομένης τυγχάνουσι, τῆς δὲ φωτιστικῆς αὐτοῦ δυνάμεως ἑαυτοὺς ἀποστεροῦσι διὰ τὴν οἰκείαν αἵρεσιν ἀλλ' οὐ διά τινα τοῦ θεοῦ μῆνιν ἀναστέλλοντος ἀπ' αὐτῶν τὰς οἰκείας ἀκτῖνας· οὕτω καὶ οἱ διά τινα κακοζωΐαν ἔξω τῆς προνοίας τῶν θεῶν λεγόμενοι πίπτειν οὐ παντάπασίν εἰσιν αὐτῆς ἔξω· οὐ γὰρ ἂν γένοιτό τις, ὅπερ φησὶν ὁ Ἀθηναῖος ξένος, ἢ οὕτω σμικρὸς ὥστε καταδὺς εἰς τὸ βάθος τῆς γῆς λαθεῖν τὴν ἅπαντα καὶ τὰ σμικρότατα ἐποπτεύουσαν πρόνοιαν, οὐδὲ οὕτως μέγας ὥστε ὑπερπτῆναι τὸν οὐρανὸν καὶ γενέσθαι ἔξω τῆς διακοσμούσης τὰ ὅλα προνοίας, ἀλλὰ τῶν αὐτόθεν νεμουσῶν ἡμῖν τὰ ἀγαθὰ δυνάμεων τῶν θεῶν ἑαυτοὺς ἀποστερήσαντες τυγχάνουσιν ἀναγκαίως τῶν διὰ τιμωρίας καὶ κολάσεως περιαγουσῶν αὐτοὺς εἰς τὸ κατὰ φύσιν.

Τούτων οὖν κατά τε τὰς κοινὰς καὶ ἀδιαστρόφους τῶν ψυχῶν ἐννοίας ὁμολογουμένων ὄντων καὶ ἐν τῷ δεκάτῳ τῶν Νόμων ἐναργῶς ἀποδεδειγμένων οὔτε ἀγνοεῖν τὰ ἡμέτερα | τοὺς θεοὺς δυνατὸν οὔτε ἀόριστον αὐτῶν 107v γνῶσιν ἔχειν, ὥσπερ εἰκάζοντας περὶ τῶν ἐκβησομένων· πρῶτον μὲν γάρ, ὡς ὁ Τίμαιος ἡμᾶς ἐδίδαξε καὶ αὐτὸς ὁ Ἀριστοτέλης θεολογῶν ἀποφαίνεται καὶ πρὸ τούτων ὁ Παρμενίδης οὐχ ὁ παρὰ Πλάτωνι μόνον ἀλλὰ καὶ ὁ ἐν τοῖς οἰκείοις ἔπεσιν, οὐδέν ἐστι παρὰ τοῖς θεοῖς οὔτε παρεληλυθὸς οὔτε μέλλον, εἴ γε τούτων μὲν ἑκάτερον οὐκ ὄν, τὸ μὲν οὐκέτι τὸ δὲ οὔπω καὶ τὸ μὲν μεταβεβληκὸς τὸ δὲ πεφυκὸς μεταβάλλειν, τὰ δὲ τοιαῦτα τοῖς ὄντως οὖσι καὶ μεταβολὴν οὐδὲ κατ' ἐπίνοιαν ἐπιδεχομένοις προσαρμόττειν ἀμήχανον· προηγεῖσθαι γὰρ ἀνάγκη τὸ παντελῶς ἀμετάβλητον τοῦ ὁπωσοῦν μεταβάλλοντος, ἵνα καὶ μένῃ μεταβάλλον. ὥστε ἐπὶ θεῶν ἀρχῆς ἐχόντων πρὸς τὰ ὄντα λόγον τὸ παρεληλυθὸς ἢ τὸ μέλλον θεωρεῖσθαι ἀδύνατον, ἀλλὰ πάντα παρ' αὐτοῖς ἐν ἑνὶ τῷ νῦν ἐστι τῷ αἰωνίῳ ἱδρυμένα, τῶν χρονικῶν μέτρων ἅμα τῇ ὑποστάσει τοῦ παντὸς ἀναφαινομένων καὶ μόνα μετρούντων τὰ κατὰ χρόνον ἔχοντα ἢ τὴν ὑπόστασιν ἢ τὴν ἐνέργειαν. ὥστε καὶ τὴν εἰκαστικὴν γνῶσιν πόρρω που τῶν θεῶν καὶ ἐν τῇ ἀποπερατώσει τῆς λογικῆς ζωῆς ἀπερρίφθαι ἀναγκαῖον. ἔπειτα πῶς ἂν δόξαιμεν κατὰ βραχὺ γοῦν σωφροσύνης μετέχειν, τῇ γνώσει τῶν θεῶν μηδὲν πλέον ἀξιοῦντες τῆς ἡμετέρας ἀπονέμειν, ἀλλὰ τολμῶντες ἀμφίβολον αὐτὴν καὶ ἀόριστον ὁμολογεῖν; τῆς γὰρ αὐτῆς ἔσται

1 καὶ om. F τῆς (post θερμ.) om. F 2 παρεχομένοις A¹Ga 3 αἵρεσιν] ἀσθένειαν F 4 ἀνατέλλ. M 5 πρωνοίας F πίπτειν] πιστεύειν FG¹ 6 εἰσιν suppl. G² 6. 7 ὁ Ἀθηναῖος ξένος] cf. Plat. Leg. X 12 p. 905 A 7 οὕτως μικρὸς (μικρῶς G) AG βάθος] μέγεθος F 8 οὔτε F 10 δυναμένων GMa 14 ὡμολογουμ. A ἐν τῷ δεκ. τῶν Νόμων] c. 10 p. 899 D sq. 14. 15 παραδεδειγμ. G¹ 17 ὁ Τίμαιος] Plat. Tim. c. 5 p. 27 C sq. ὁ Ἀριστοτέλης] Metaph. Λ 7 p. 1072a25 sq. 18 ὁ Παρμενίδης] fr. v. 61 (Mullach I p. 120), Plat. Parm. c. 9 p. 137 A sq. 20 μέλλων G¹ εἴ γε] οὔτε AGMa 22 ἐπιδεχ.] δεχ. G 25 ἢ τὸ] ἤτοι G¹ 26 ἐστι om. F 27 αἰῶνι Ma μέτρων] μερῶν G¹ τοῦ παντὸς om. M 28. 29 ἢ τὴν ὑπόστασιν iter. F 29 πόρω A 31 κατὰ] κἂν G

διανοίας, μᾶλλον δὲ ἀνοίας, καὶ τῶν ἀλόγων ζῴων τὴν γνῶσιν παραβάλλειν πρὸς τὴν ἡμετέραν μεταδιδόναι τε κἀκείνοις τῆς ἀντιλήψεως τῶν καθόλου καὶ τῶν νοητῶν. ὅλως δὲ εἰ πᾶσα ἀνάγκη | τῶν ὄντων ἁπάντων αἰτίους 108r εἶναι τοὺς θεοὺς ἢ προαιτίους, πῶς ἂν ἔχοι λόγον ἢ ἀγνοεῖν αὐτοὺς τὰ οἰκεῖα γεννήματα ἢ τὰ τῶν οἰκείων γεννημάτων ἀποτελέσματα ἢ τὰ ὑπ' ἐκείνων καθ' οἷον δήποτε τρόπον γινόμενα, ἢ ὥσπερ οὐδὲν αὐτοῖς προσηκόντων οὐδὲ ἐπ' αὐτοῖς κειμένων ἀμφίβολον ἔχειν τὴν γνῶσιν;

Κατ' οὐδετέραν γὰρ τούτων τῶν ὑποθέσεων ἐπιμελεῖσθαι τοὺς θεοὺς τῶν περὶ ἡμᾶς δυνατὸν κατὰ τὸν τοῖς θεοῖς προσήκοντα τρόπον τῆς προνοίας, τοῦτο δέ ἐστιν ἀπ' αὐτῆς τῆς οὐσίας τῶν προνοουμένων ποιουμένους αὐτῶν τὴν ἐπιμέλειαν καὶ ὥσπερ ἐκ πρύμνης αὐτὰ διακοσμοῦντας, οὐ τῷ βουλεύεσθαι περὶ αὐτῶν, ὡς οἱ ποιηταὶ λέγουσιν (ἔνδεια γὰρ ἡ βουλὴ φρονήσεως) οὐδὲ τῷ ἄλλοτε ἄλλα βουλεύεσθαι καὶ ποιεῖν (ἀλλότριον γὰρ τοῦτο τῆς μιᾶς καὶ ἁπλῆς καὶ ἀτρέπτου παντάπασιν αὐτῶν ἐνεργείας καὶ μόνοις προσῆκον τοῖς ὑπὸ χρόνου μετρουμένοις καὶ μετὰ προαιρέσεως τὰς ἐνεργείας ποιουμένοις), ἀλλ' αὐτῷ φασι τῷ εἶναι, καθάπερ ὁ ἥλιος οὐ βουλευόμενος οὐδὲ κινούμενος ἀλλὰ τῷ εἶναι, καὶ εἰ μένων ἐπινοηθείη, πληροῖ τὰ μετέχειν δυνάμενα τοῦ οἰκείου φωτός· οὔτε οὖν τὴν πρόνοιαν αὐτῶν οὕτω γίνεσθαι δυνατὸν οὔτε τὸ εὔχεσθαι καὶ ἱκετεύειν αὐτοὺς ὑπὲρ ὑετοῦ τυχὸν ἢ σωτηρίας καρπῶν ἢ νίκης, ὧν τὴν ἔκβασιν ἀγνοοῦσι, πόρρω ἂν ἐμπληξίας εἴη. εἰ δὲ ταῦτα καὶ ἀδύνατα καὶ οὔτε λέγειν οὔτε διανοεῖσθαι ὅσια καὶ ὑπ' αὐτῆς ἐλεγχόμενα τῆς πείρας, ὡς αἱ πολύστιχοι τῶν θείων ἐνεργειῶν πραγματεῖαι καὶ τὰ καθ' ἑκάστην ὡς εἰπεῖν ἡμέραν γινόμενα τοῖς ἐφιστάνειν αὐτοῖς δυναμένοις | σημαίνουσι, δῆλον ὅτι καὶ διατάττεσθαι 108v ὑπὸ τῶν θεῶν τὰ ἐνδεχόμενα ῥητέον καὶ ὡρισμένως γινώσκεσθαι αὐτῶν τὴν ἔκβασιν· μᾶλλον γὰρ ἦν εἰκὸς τὰ ἀΐδια τῶν πραγμάτων περιορᾶσθαι ὑπ' αὐτῶν ἔρημα τῆς ἐπιβαλλούσης αὐτοῖς προνοίας ἢ τὰ ῥευστὴν ἔχοντα φύσιν, εἴπερ ἐκεῖνα μὲν ἀπὸ τῆς ἑαυτῶν φύσεως τὸ ὡρισμένον ἔχει καὶ ἄτρεπτον τοιαύτην θεόθεν τὴν ὑπόστασιν εἰληχότα, τὰ δὲ ἐν γενέσει διὰ τὸ ῥευστὸν τῆς οἰκείας ὕλης ἐν παντοδαπῇ μεταβολῇ φέρεσθαι πεφυκότα οὔτε εἶναι οὔτε συνέχεσθαι καὶ διακοσμεῖσθαι δυνατὸν μὴ πολλῆς τυγχάνοντα τῆς τῶν ἀεὶ ὡσαύτως ἐχόντων δημιουργικῆς τε καὶ προνοητικῆς αἰτίας, οὐ μόνον τῆς ὁλικωτέρας καὶ ἐξῃρημένης ἀλλὰ καί τινος μερικωτέρας καὶ προσεχεστέρας· ὥσπερ καὶ τῶν ἀνθρώπων τοὺς παῖδας ὁρῶμεν πλείονος δεομένους ἐπιμελείας ἢ τοὺς ἄνδρας, καὶ τοὺς ἀνοήτους ἤπερ τοὺς ἔμφρο-

---

1 ἀλόγ.] ἄλλων F 3 τῶν (prius) om. M 4 προσαιτίους Ma ἢ (alterum) om. FM 5 γενημ. FM 8 γὰρ] δὲ a 9 τοῖς om. AMa 11 οὐ τῷ] οὕτω GM 12 λέγ.] μυθολογοῦσι GM ἔνδειαν F 13 τῷ] τὸ A 15 μόνης A χρόνον AF 16 αὐτὸ AGM 16. 17 βουλόμενος AGM 17 τῷ] τὸ M εἰ] ἀεὶ a 20 οὐκ ἀγνοοῦσι a 21 ἐκπληξίας G 22 καὶ ὑπ' αὐτῆς — σημαινουσι (24) om. F πολύστοιχοι Ma 25 τῶν om. AFG αὐτὴν A 26 εἰκότως FGM ἴδια AG 27 ἐπιβαλούσης G ἢ τὰ] εἶτα A 29 ἐν suppl. G² 31 τυχόντα GMa 33 τινὸς καὶ colloc. F 34 καὶ suppl. G²

νας. εἰ δὲ γινώσκουσιν οἱ θεοὶ τὰ ἐνδεχόμενα καὶ ὡρισμένως γινώσκουσιν, ἵνα μή, ὅπερ ἐλέγομεν, ἀόριστον αὐτῶν ποιῶμεν τὴν γνῶσιν, καὶ ἴσασιν ὅτι μόνον τὸ ξύλινον τεῖχος σώσει τὰς Ἀθήνας ἐκ τῶν βαρβαρικῶν κινδύνων καὶ ἡ θεία Σαλαμὶς ἀπολεῖ τὰ τέκνα τῶν γυναικῶν καὶ ὁ Κροῖσος τὸν Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει καὶ ὁ Λάϊος παιδοποιῶν ἄρδην ἀνατρέψει πᾶσαν ἑαυτοῦ τὴν οἰκίαν, δῆλον ὅτι οὐχ οἷόν τε ταῦτα μὴ ἐκβαίνειν, εἰ δὲ μή, ψεύδεσθαι αὐτοὺς ἀναγκαῖον. δυοῖν οὖν θάτερον, ἢ πάντα ἀναγκαίως καὶ ὡς ὑπὸ τῶν θεῶν γινώσκεταί τε καὶ προλέγεται φήσομεν ἐκβαίνειν καὶ τὸ ἐνδεχόμενον ὄνομα ἔσται | κενόν, 109r ἢ οὔτε γινώσκεσθαι ὑπὸ τῶν θεῶν οὔτε προνοεῖσθαι τὰ τῇδε φήσομεν· ἀλλὰ μὴν τοῦτο ἀδύνατον· οἴχεται ἄρα τὸ ἐνδεχόμενον.

Πρὸς τοῦτον οὖν τὸν λόγον δυσαντίβλεπτον, ὅπερ ἐλέγομεν, ὄντα καὶ ὑπ' αὐτῆς δοκοῦντα τῆς ἐναργείας κρατύνεσθαι, ὡς αἱ τῶν μαντειῶν προρρήσεις δηλοῦσιν, ἀπαντῶντες ἡμεῖς κατὰ τὴν τοῦ θείου Ἰαμβλίχου ὑφήγησιν, τὰ διάφορα μέτρα τῶν γνώσεων διαιρεῖν ἀξιώσομεν λέγοντες ὡς ἡ γνῶσις μέση οὖσα τοῦ τε γινώσκοντος καὶ τοῦ γινωσκομένου, εἴπερ ἐστὶν ἐνέργεια τοῦ γινώσκοντος περὶ τὸ γινωσκόμενον, οἷον τῆς ὄψεως περὶ τὸ λευκόν, ποτὲ μὲν κρειττόνως γινώσκει τὸ γινωσκόμενον, τῆς αὐτοῦ τοῦ γνωστοῦ φύσεως ποτὲ δὲ χειρόνως ποτὲ δὲ συστοίχως· ὅταν μὲν γὰρ τὸν νοῦν τὸν ἡμέτερον τὰς πολιτικὰς τῶν πράξεων προχειριζόμενον λέγωμεν γινώσκειν τὰ καθ' ἕκαστα τῶν πραγμάτων, ἀναφέροντα ταῦτα ἐπὶ τὰ καθόλου καὶ δι' ἐκείνων ὡς οἰκείων γινώσκειν αὐτὰ πειρώμενον, δῆλον ὅτι κρείττονα ἐνταῦθα ἐροῦμεν εἶναι τοῦ γινωσκομένου τὴν γνῶσιν, εἴπερ μεριστὸν μὲν καὶ ἐν μεταβολῇ τὸ καθ' ἕκαστον, ὁ δὲ λόγος, καθ' ὃν ταῦτα ὁ νοῦς ὁ πρακτικὸς γινώσκει, ἀδιαίρετός τε καὶ ἀμετάβλητος. ὅταν δὲ αὐτὸς πρὸς ἑαυτὸν ἐπιστρεφόμενος καὶ κατὰ τὰς καθαρτικὰς ἐνεργῶν ἀρετὰς τὴν οὐσίαν τὴν ἑαυτοῦ θεωρῇ, σύστοιχον εἶναι ἀνάγκη τῷ γινωσκομένῳ τὴν γνῶσιν. ὅταν δέ γε ἀνελθὼν ἐπὶ τὸ ἀκρότατον τῆς ἑαυτοῦ τελειότητος καὶ τὰς θεωρητικὰς τῶν ἀρετῶν προχειριζόμενος θεωρῇ τὰ περὶ τῶν θείων διακοσμήσεων καὶ ὅπως ἐκ τῆς μιᾶς τῶν πάντων ἀρχῆς αὗται παράγονται | καὶ τίς ἑκάστης ἡ ἰδιότης, χείρονα εἶναι ἀνάγκη τοῦ 109v γινωσκομένου τὴν γνῶσιν.

---

1. 2 οἱ θεοὶ — γινώσκουσιν om. F 2 ὅπερ ἐλέγομεν] p. 133,15 134,7 3 τὸ ξύλινον τεῖχος] cf. Herod. VII 141 4 ἡ θεία Σαλαμὶς] cf. Herod. VII 141 4. 5 ὁ Κροῖσος] cf. Herod. I 53 Diod. exc. VII 28 5 καὶ ὁ Λάϊος — οἰκίαν (6) om. F (unde haec Ammon. hauserit, nescio; cf. Soph. Oed. R. arg. et v. 711 sq. Eur. Phoen. arg. et v. 17—20) 7 οὖν om. G 8 καὶ ὡς om. G 8. 9 γινώσκεσθαι. . προλέγεσθαι AGMa 8 τε om. FG 10 τῶν om. FG 12 δυσαντίβλ.] scribas δυσαντίλεκτον (cf. p. 132,8) ὅπερ] ὥσπερ F ὄντα ὅπερ ἐλέγ. M 13 μαντειῶν F 14 ἀπατῶντες G¹ 17 οἷον — γινωσκόμενον (18) om. et ante ποτὲ δὲ (19) add. ποτὲ μὲν κρείττων F 18 τοῦ suppl. G² 19 χείρων F σύστοιχος F 21 τὰ καθ' ἕκαστα — γινώσκειν (22) om. F 22 οἰκεῖον A: οἰκεῖα M 22. 23 ἐντ. κρ. (num. corr.) colloc. G 25 πρακτ.] παρεκτικὸς G 27 θεωρεῖ G 29 θεωρεῖ F: θεωρεῖν G 31 παραγίνονται F: προάγονται G τίς] τῆς F

Τούτων οὖν οὕτως ἐχόντων ῥητέον τοὺς θεοὺς γινώσκειν μὲν πάντα τὰ γεγονότα καὶ τὰ ὄντα καὶ τὰ ἐσόμενα ἢ μέλλοντα τὸν θεοῖς προσήκοντα τρόπον, τοῦτο δέ ἐστι μιᾷ καὶ ὡρισμένῃ καὶ ἀμεταβλήτῳ γνώσει, διόπερ καὶ τῶν ἐνδεχομένων περιειληφέναι τὴν εἴδησιν, ἅτε καὶ πάντα τὰ ἐν τῷ κόσμῳ παράγοντας καὶ τῶν μὲν ἀιδίων οὐσιῶν αἰτίους ὄντας τῶν δὲ γεννητῶν προαιτίους κατὰ τὰς οἰκείας ἑκάστοις αὐτῶν ἐνεργείας καὶ οἷον ὁρῶντας οὐκ αὐτὰς μόνον τὰς οὐσίας ἀλλὰ καὶ τὰς δυνάμεις αὐτῶν καὶ τὰς ἐνεργείας τάς τε κατὰ φύσιν καὶ τὰς παρὰ φύσιν, ὅπερ παρὰ φύσιν συνεισῆλθε τῇ ἀναγκαίᾳ τῆς ὑποβάσεως τῶν ὄντων ὑφέσει τοῖς καὶ τούτου μετέχειν ποτὲ πεφυκόσιν, οὐ προηγουμένως ἀλλὰ κατὰ τὸν λεγόμενον τῆς παρυποστάσεως τρόπον· γινώσκειν μέντοι τὰ ἐνδεχόμενα κρειττόνως τῆς αὐτῶν ἐκείνων φύσεως, διόπερ ταῦτα μὲν ἀόριστον ἔχειν τὴν φύσιν δύνασθαί τε καὶ ἐκβαίνειν καὶ μὴ ἐκβαίνειν, ἐκείνους δὲ ἅτε κρειττόνως τῆς φύσεως αὐτῶν τὴν γνῶσιν αὐτῶν προειληφότας ὡρισμένως καὶ ταῦτα εἰδέναι· καὶ γὰρ τὰ μεριστὰ τῶν πραγμάτων ἀμερίστως καὶ ἀδιαστάτως γινώσκειν αὐτοὺς ἀναγκαῖον, καὶ τὰ πεπληθυσμένα ἑνοειδῶς καὶ τὰ ἔγχρονα αἰωνίως καὶ τὰ γεννητὰ ἀγεννήτως· οὐ γὰρ δὴ συμπαραθέειν τῇ ῥύσει τῶν πραγμάτων τὴν τῶν θεῶν γνῶσιν ἀνεξόμεθα λέγειν, οὐδὲ εἶναί τι ἐπ' ἐκείνων ἢ παρεληλυθὸς ἢ μέλλον οὐδὲ λέγεσθαι ἐπ' αὐτῶν, ὡς ἐν Τιμαίῳ παρειλήφαμεν, τὸ | ἦν ἢ τὸ ἔσται μεταβολῆς τινος ὄντα σημαντικά, μόνον 110r
δὲ τὸ ἔστι, καὶ τοῦτο οὐ τὸ συναριθμούμενον τῷ τε ἦν καὶ τῷ ἔσται καὶ ἀντιδιαιρούμενον αὐτοῖς, ἀλλὰ τὸ πρὸ πάσης χρονικῆς ἐμφάσεως ἐπινοούμενον καὶ τὸ ἄτρεπτον αὐτῶν καὶ ἀμετάβλητον σημαῖνον, ὅπερ καὶ ὁ μέγας Παρμενίδης παντὶ τῷ νοητῷ ὑπάρχειν ἀποφαίνεται· 'οὐ γὰρ ἔην οὐδ' ἔσται,' φησίν, 'ὁμοῦ πᾶν, ἔστι δὲ μοῦνον'. καὶ οὐ χρὴ νομίζειν ὅτι ἀναγκαίαν ἕξει τὴν ἔκβασιν ἃ λέγομεν ἐνδεχόμενα διὰ τὸ ὑπὸ θεῶν γινώσκεσθαι ὡρισμένως· οὐ γὰρ διότι γινώσκουσιν αὐτὰ οἱ θεοί, διὰ τοῦτο ἀναγκαίως ἐκβήσεται, ἀλλ' ἐπειδὴ φύσιν ἔχοντα ἐνδεχομένην καὶ ἀμφίβολον πέρας ἕξει πάντως ἢ τοῖον ἢ τοῖον, διὰ τοῦτο τοὺς θεοὺς εἰδέναι ἀναγκαῖον ὅπως ἐκβήσεται. καὶ ἔστι τὸ αὐτὸ τῇ μὲν φύσει τῇ ἑαυτοῦ ἐνδεχό-

---

1. 2 τὰ πάντα τὰ M 2 τὸν] τοῖς a 3 ἀμεταβάτῳ AGMa 4 τὰ] τοὺς F 6 γενητῶν AFMa προσαιτίους a 8 ὅπερ παρὰ φύσει AM; hoc παρὰ φύσιν fort. eicias 9 συνῆλθε GM ὑποβάσ.] ὑποστάσεως A ὑφέσει in mrg. suppl. A 9. 10 τοῦτο F 10 ποτὲ μετέχειν colloc. M 12 ἔχει AG: ἔχοντα Ma 13 δύναται G καὶ (post τε) om. M ἐκεῖνα G² 14 τῆς φύσεως—προειληφότας suppl. G² αὐτῶν (post γνῶσιν) supra scr. M 16 ἐγχρόνια G 17 γενητὰ AFMa ἀγενήτως FMa συμπαραθεῖν FMa (cf. συνδέειν p. 126,18) ῥεύσει Brand. 18 ἀνεξώμεθα A 19 ὡς] καὶ G¹: ὡς καὶ G² ἐν Τιμαίῳ] c. 10 p. 37 E 20 τὸ (ante ἦν) om. M σημ. ὄντα (num. corr.) G 21 τὸ (post οὐ) om. M τῷ (ante ἔσται) om. M 23 ὅπερ—μοῦνον (25) om. F ὥσπερ M 24 Παρμενίδης] fr. v. 61 (Mullach I p. 120) 25 οὐδ'] οὐκ G μόνον M 26 ἔχει G¹ 27 ὡρισμένως om. F 27. 28 ἀναγκαῖον G² 29 πάντως superscr. M ἢ (prius) om. FG ἢ τοῖον (alt.) om. F 30. p. 137, 1 post ἐνδεχ. add. καὶ ἀόριστον F

μενον, τῇ δὲ γνώσει τῶν θεῶν οὐκέτι ἀόριστον ἀλλ' ὡρισμένον. δῆλον δὲ ὅτι καὶ τῇ ἡμετέρᾳ γνώσει δυνατὸν ὡρισμένως ποτὲ γινώσκεσθαι τὸ ἐνδεχόμενον, ὅτε οὐδὲ κυρίως ἔτι ἐστὶν ἐνδεχόμενον ἀλλ' ἐξ ἀνάγκης ἀκολουθεῖ τοῖς προηγησαμένοις αἰτίοις τῆς ἑαυτοῦ γενέσεως· τὴν γοῦν σφαῖ- 20
5 ραν τὴν ἠρεμοῦσαν ἐν παραλλήλῳ τῷ ὁρίζοντι ἐπιπέδῳ δυνατὸν μὲν τοῦ ἐπιπέδου τὴν αὐτὴν ἔχοντος θέσιν κινεῖσθαί τε ὑπό τινος καὶ μή, τοῦ μέντοι ἐπιπέδου κλιθέντος μὴ κινηθῆναι ἀδύνατον. διὰ ταῦτα καὶ τοὺς ἰατροὺς ὁρῶμεν ὁτὲ μὲν οὐδὲν θαρροῦντας ἀποφαίνεσθαι περὶ τῶν ἀρρώ- 25
10 στων εἴτε ὑγιανοῦσιν εἴτε φθαρήσονται, ὡς ἂν ἐνδεχομένων ὄντων ἀμφοτέρων, ποτὲ δὲ ἀνενδοιάστως περὶ τοῦ ἑτέρου τούτων ὡς τῷ ἀρρώστῳ πάντως τι ὑπάρξοντος | ἀποφαινομένους. 110v

Ἐπεὶ δέ τινες θρασύτερον ἀναστρεφόμενοι περὶ τὴν ζήτησιν τοῦ προκειμένου θεωρήματος οἴονται δεικνύναι μηδὲ τοῖς θεοῖς ὡρισμένην ὑπάρχουσαν γνῶσιν τῶν ἐνδεχομένων χρησμοὺς παράγοντες ἡμῖν περὶ τῶν 5
15 μελλόντων ἀμφιβόλως ἀποφηναμένους, ῥητέον πρὸς αὐτούς, ἅπερ ὁ μέγας φησὶ Συριανός, ὅτι πρῶτον μὲν ἐφιστάνειν ἐχρῆν ὡς ἄλλη μέν ἐστιν ἡ τῶν θεῶν γνῶσις καὶ νόησις ἑτέρα δὲ ἡ τῆς προφήτιδος ἐνέργεια, κινηθείσης μὲν ἐκ θεοῦ τεκούσης δὲ ἐν αὐτῇ καὶ λόγον μεριστὸν καὶ μέτρα 10 καὶ γνῶσιν ἀμφίβολον· οὐ γὰρ δὴ τὸ ἐλλαμπόμενον τοιοῦτόν ἐστιν οἷον
20 τὸ ἐλλάμπον. ἔπειτα δὲ ὅτι καὶ τοῦ συμφέροντος ἕνεκεν τῶν ἀκουόντων πολλάκις ἀμφίβολοι δίδονται χρησμοὶ τὴν διάνοιαν αὐτῶν γυμνάζοντες· χρῶνται γὰρ ἡμῖν ὡς αὐτοκινήτοις οἱ θεοὶ καὶ τοῦτον τὸν τρόπον τὰ περὶ 15 ἡμᾶς κυβερνῶσι καὶ πάντα ἡμῖν κατὰ τὴν ἡμῶν αὐτῶν ἀξίαν ἀπονέμουσιν. ἀλλὰ ταῦτα μὲν ἴσως καὶ τολμηρὰ καὶ τῶν προκειμένων εἰς ἐξέτασιν
25 μακρὰν ἀποπλανώμενα· ὅλως δὲ ὁ πάντα ἀναγκάζων λόγος πότερον καὶ 20 αὐτὸ τοῦτο ἐξ ἀνάγκης συμβαίνειν τοῖς ἀνθρώποις φησί, τὸ λέγειν ὅτι πάντα ἠνάγκασται, ἢ ἐφ' ἡμῖν κεῖσθαι τὰς περὶ τοῦ τρόπου τῆς γενέσεως τῶν πραγμάτων δόξας; εἰ μὲν γὰρ τὸ δεύτερον ἀληθές, οὐκ ἄρα πάντα ἐξ ἀνάγκης· εἰ δὲ τὸ πρότερον, πῶς δοξάζουσί τινες τὸ ἀντικείμενον, ὅτι 25
30 πολλά ἐστιν ἐφ' ἡμῖν; τὸ γὰρ ὑπὸ τῆς φύσεως τῆς πάντα ἀναγκαζούσης, ὡς ὁ ἐκείνων λόγος, κινεῖσθαι παρὰ φύσιν ἡμᾶς ἐπὶ τὸ καταψηφίζεσθαι τῶν ὑπ' αὐτῆς γινο|μένων παντελῶς ἄλογον καὶ παραπλήσιον ὡς εἴ τις 111r ἰατρικὴν τέχνην διδάσκων δι' αὐτοῦ τούτου παρεσκεύαζε τοὺς διδασκο-

---

1 οὐκέτι ex οὐκ ἔστι corr. F 2 ἡμετ.] ἑτέρα F 3 ὅτε — ἐνδεχόμενον om. AGM (in mrg. suppl. AG²) 4 προηγουμένοις F τῆς] τοῖς A 5 τὴν om. M 5. 6 τοῦ ἐπιπ.] τοῦ ἐπ' ἐλπίδι G¹: ἐπὶ τοῦ ἐπιπ. M 6 τε om. M 7 κινεῖσθαι F 8 ὁτὲ] ὅτι M θαροῦντας F 9 ὑγιαίνουσιν FM 9. 10 ἀμφ. ὄντ. colloc. G 10 ποτὲ] ὁτὲ a ἀνενδυάστως A 11 τι om. FG ὑπάρξαντος G¹ 13 τῶ θεῶ F 14 τὴν γνῶσιν FG προάγ. F 15 ἀμφιβόλους A ἀποφαινομ. G 17 τοῦ θεοῦ F καὶ νόησις om. F 20 ὅτι] εἴ τι M 21 δίδ.] δηλοῦνται F 23 ἡμῶν om. F αὐτῶν om. G 24 ἀλλὰ — ἀποπλανώμενα (25) suppl. G² 26 ὅτι om. F 27 πάντα ἢ a ἠναγκάσθαι Aa κεῖται A 29 ἐξ om. F 31 ὁ superscr. A: om. M 33 τέχνην om. F

μένους τὰς ἀρχὰς τῆς τέχνης ἧς μετήεσαν ἀναιρεῖν, καίτοι τὸν μὲν τεχνίτην εἰκὸς ποιῆσαί τι τῶν παρὰ τὴν τέχνην, οὐ καθ' ὃ τοιοῦτος, οἷον τὸν ἰατρὸν δοῦναι φθόριον ἢ δηλητήριον, ἅτε ψυχὴν αὐτοκίνητον ἔχοντα καὶ τῆς τέχνης μηδὲν συντελούσης πρὸς αὐτὴν τῆς ψυχῆς τὴν τελειότητα τοῦ δὲ σώματος ἢ τῶν ἐκτὸς ἐπιμελουμένης, τὴν μέντοι φύσιν ὑπεναντίον τι τῷ οἰκείῳ τέλει ποιεῖν ἀμήχανον. οὐ μὴν οὐδ' ὥσπερ τῶν τεράτων, οὕτω καὶ τῶν δοξῶν πλεονεξίαν τῆς ὕλης ἢ ἔνδειαν αἰτιασόμεθα· οὔτε γὰρ πλάττειν αὐτοῖς βουλομένοις ῥᾴδιον ἀποδοῦναι τῶν διαφόρων δοξῶν ἐκ τῆς κατὰ τὴν ὕλην διαφορᾶς τὰς αἰτίας οὔτε πάντων ἔτι τὴν εἱμαρμένην αἰτίαν εἶναι ὁμολογήσουσιν. ἀλλὰ τούτων μὲν ἅλις.

Ἐπανάγοντες δὲ τὸν λόγον ἐπὶ τὴν ἐξήγησιν τῶν ὑπὸ τοῦ Ἀριστοτέλους ἐν τούτοις λεγομένων πρῶτον μὲν ἀκόλουθα εἶναι φήσομεν τὰ διὰ τούτων παραδιδόμενα τοῖς ὀλίγῳ πρότερον εἰρημένοις· ἐλέγετο γὰρ προσεχῶς περὶ ἀντιθέσεως καταφάσεώς τε καὶ ἀποφάσεως οὐκ ἀεὶ διαιρουσῶν τό τε ἀληθὲς καὶ τὸ ψεῦδος· τούτοις οὖν ἀκολούθως προστίθησι ποία κατάφασις πρὸς ποίαν ἀπόφασιν ἀντίκειται οὕτως ὥστε διαιρεῖν μὲν αὐτὰς ἀεὶ τό τε ἀληθὲς καὶ τὸ ψεῦδος, οὐ μέντοι ἀφωρισμένως ἀλλ' ἀορίστως. παραδίδωσι δὲ πρῶτον μὲν τὰ κοινῶς ὑπάρχοντα ταῖς τε διαγωνίοις ἀντιφάσεσι καὶ τῇ τῶν καθ' ἕκαστα, λέγων ὅτι πάσαις αὐταῖς ὑπάρχει τὸ ἀφωρισμένως ταῦτα | μερίζειν κατὰ τὸν ἐνεστῶτα χρόνον καὶ τὸν παρω- 111v
χηκότα (τοῦτο γάρ ἐστι τὸ ἐπὶ τῶν ὄντων καὶ γενομένων τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἀληθῆ ἢ ψευδῆ εἶναι), πρότερον μὲν ὅτι ταῖς διαγωνίοις τοῦτο ὑπάρχει διδάσκων, ἃς καθόλου ὡς καθόλου προσηγόρευσεν, ὡς ἐχούσας τὴν ἑτέραν τῶν προτάσεων καθόλου, ἔπειτα προστιθεὶς ὅτι καὶ ἐπὶ τῶν καθ' ἕκαστα προτάσεων τὸ αὐτὸ συμβαίνει, ὅπερ καὶ ἐπὶ τῶν διαγωνίων· τοῦτο γὰρ βούλεται τὸ ὥσπερ εἴρηται. ἐπισημαινόμενος δὲ ὅτι τῶν ἀπροσδιορίστων προτάσεων κατὰ τὴν ἐνδεχομένην ὕλην λαμβανομένων οὐκ ἀνάγκη τὴν μὲν ἀληθῆ τὴν δὲ ψευδῆ εἶναι, ἔπειτα ἐπάγων τὴν κατὰ τὸν μέλλοντα χρόνον διαφορὰν τῶν καθ' ἕκαστα προτάσεων πρὸς τὰ λοιπὰ τῶν ἀντιφάσεων εἴδη διὰ τοῦ λέγειν ἐπὶ δὲ τῶν καθ' ἕκαστα καὶ μελλόντων οὐχ ὁμοίως, καὶ ἐνδεικνύμενος ἡμῖν διὰ τούτων ὡς αἱ μὲν ἄλλαι προτάσεις, αἵ τε διαγώνιοι καὶ αἱ ἀπροσδιόριστοι, οὕτως ἔχουσι κατὰ τὸν μέλλοντα χρόνον, ὥσπερ εἶχον κατά τε τὸν ἐνεστῶτα χρόνον καὶ τὸν παρεληλυθότα, αἱ δὲ καθ' ἕκαστα οὐκέτι (πάνυ δὲ ἀκριβῶς τὸ ἴδιον τῶν προτάσεων, περὶ ὧν ὁ λόγος, ἀφοριζόμενος ἐπὶ τῶν

---

1 τὴν ἀρχὴν G ἧς μετήεσαν om. F μετίεσαν A 2 τὴν iter. G 3 φθόρον a 4 αὐτῆς M 5 ἐναντ. G 6 ποιεῖν τέλει colloc. G οὐδ'] δ' A περάτων AMa οὕτω δὴ G 8 ἀποδ. ῥάδ. colloc. M 10 εἶναι om. M 12 πρῶτα G 15 τε om. M τὸ (ante ψεῦδ.) om. F 17 τε om. F 18 τε om. A διαγωνίαις G 21 τῶν γενομ. Ma 21. 22 τὴν μὲν κατάφ. M: ἀνάγκη τὴν κατάφ. b 22 πρῶτον M 23 ὡς καθόλου — καθόλου (24) om. M 24 προηγόρ. Aa 25 προτιθεὶς F 30 διὰ τοῦτο λέγει F 33 τε om. FM 34 χρόνον om. M

ἕκαστα καὶ μελλόντων εἶπε διὰ τοῦ μελλόντων τὸ ἐπὶ τῆς ἐνδεχομένης ὕλης λαμβανόμενον σημαίνων· ἄλλο γάρ ἐστιν, ὡς αὐτὸς ἐν τοῖς Περὶ γενέσεως καὶ φθορᾶς διορίζεται, τὸ μέλλον παρὰ τὸ ἐσόμενον, καὶ τὸ μὲν ἐσόμενον τὸ πάντως ἐκβησόμενον σημαίνει, ὡς ὅταν εἴπωμεν 'ἔσται χειμὼν ἢ θέρος ἢ ἔκλειψις', τὸ δὲ μέλλον τὸ καὶ ἐκβῆναι καὶ μὴ ἐκβῆναι δυνάμενον, οἷον 'μέλλω βα|δίζειν, μέλλω πλέειν')· ἐνδεικνύμενος οὖν ὅτι κατὰ 112r μὲν τὰς ἄλλας ὕλας, τήν τε ἀναγκαίαν καὶ τὴν ἀδύνατον, ὁμοίως ἔχουσιν αἱ καθ' ἕκαστα προτάσεις, ὥσπερ ἐπὶ τοῦ προλαβόντος χρόνου καὶ τοῦ ἐνεστῶτος οὕτω δὲ καὶ ἐπὶ τοῦ μέλλοντος κατὰ τὸ ἀφωρισμένως διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, κατὰ δὲ τὴν ἐνδεχομένην οὐκέτι, καίτοι τῶν ἄλλων πασῶν ἀντιφάσεων καὶ ἐπὶ ταύτης τῆς ὕλης ὁμοίως ἐχουσῶν εἰς τὸν μέλλοντα χρόνον ὥσπερ καὶ ἐπὶ τῶν λοιπῶν, προστέθεικε τὸ οὐχ ὁμοίως, ἅμα διὰ τούτου σημαίνων κατά τί αὗται οὐκέτι ὁμοίως ἔχουσιν ἐπὶ τῆς εἰρημένης ὑποθέσεως λαμβανόμεναι, ὅτι διαιροῦσι μὲν πάντως τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, οὐ μέντοι ἀφωρισμένως ἀλλ' ἀορίστως· ἀνάγκη μὲν γὰρ τὸν Σωκράτην λούσασθαι ἢ μὴ λούσασθαι αὔριον, καὶ οὔτε ἄμφω οὔτε μηδέτερον γενέσθαι δυνατόν· πότερον δὲ τούτων ἔσται τὸ ἀληθές, οὐχ οἷόν τε γνῶναι πρὸ τῆς τοῦ πράγματος ἐκβάσεως, εἴπερ ἑκάτερον αὐτῶν καὶ γενέσθαι καὶ μὴ γενέσθαι δι' αὐτὴν τὴν τοῦ ἐνδεχομένου φύσιν ἐγχωρεῖ. τοῦτο οὖν βραχέως ἐνεδείξατο ἡμῖν διὰ τοῦ εἰπεῖν οὐχ ὁμοίως.

p. 18a34 Εἰ γὰρ πᾶσα κατάφασις ἢ ἀπόφασις ἀληθὴς ἢ ψευδής, καὶ ἅπαν ἀνάγκη ὑπάρχειν ἢ μὴ ὑπάρχειν· εἰ δὴ ὁ μὲν φήσει ἔσεσθαί τι ὁ δὲ μὴ φήσει τὸ αὐτὸ τοῦτο, δῆλον ὅτι ἀνάγκη ἀληθεύειν τὸν ἕτερον αὐτῶν, εἰ πᾶσα κατάφασις ἢ ἀπόφασις ἀληθὴς ἢ ψευδής· ἄμφω γὰρ οὐχ ὑπάρξει ἅμα ἐπὶ τοῖς τοιούτοις.

Βούλεται μὲν διὰ τούτων παραστῆναι τῇ δόξῃ τῇ ἀναιρούσῃ τὸ ἐνδεχόμενον, ἵνα ὡς οἷόν τέ ἐστι κρατυν|θεῖσαν αὐτὴν διελέγξῃ, τοὺς δὲ προ- 112v ισταμένους ταύτης τῆς δόξης διὰ τούτων ὑποκρινόμενος ὥσπερ λημμάτιόν τι πρῶτον λαμβάνει, ὅτι τῇ μὲν ἀληθείᾳ τῶν λόγων ἕπεσθαι ἀνάγκη τὴν ὕπαρξιν τῶν πραγμάτων, τῷ δὲ ψεύδει τὴν ἀνυπαρξίαν, ὅπερ αὐτῷ βούλεται τὸ εἰ γὰρ πᾶσα κατάφασις ἢ ἀπόφασις ἀληθὴς ἢ ψευδής, καὶ ἅπαν ἀνάγκη ὑπάρχειν ἢ μὴ ὑπάρχειν. ἔπειτα ὁρμᾶται μὲν

1 τοῦ suppl. G²: τῶν F 2 λαμβανομένων G 2. 3 ἐν τοῖς Περὶ γεν. καὶ φθ.] B 11 p. 337b3 2 ἐν] οὖν M 5 καὶ (prius) ante τὸ colloc. A: om. Ma 7 ὕλας om. G 10 καίτοι] καί τι F: καίτοι καὶ M 13 οὐκέτι] οὐχ G 17 δὲ] διὰ G ἐστὶ F 18 διαγνῶναι G εἴπερ] εἶπεν M 20 οὖν] δὲ M¹ βραχέος F 21 ἢ ἀπόφασις] καὶ ἀπόφασις F²Gb: om. F¹ (cf. v. 31) ἢ ἀληθὴς AGM (cf. v. 31) 22 καὶ ἅπαν — τοιούτοις (25) om. M εἰ δὴ — τοιούτοις (25) om. a εἰ δὴ AG: εἰ δὲ F: ὥστε εἰ b 24 ἢ ἀπόφ.] καὶ ἀπόφ. b 26 προστῆναι F: παραστῆσαι G²a τῆς δόξης τῆς ἀναιρούσης F 27 ἐστι om. M 30 αὐτὸ AF 31 ἢ ἀπόφασις om. F: καὶ ἀποφ. b

ἀπὸ τοῦ ἀξιώματος τῆς ἀντιφάσεως λέγων ὅτι ἀνάγκη τῶν καθ' ἕκαστα καὶ ἐνδεχομένων προτάσεων ἐπὶ τοῦ μέλλοντος χρόνου λαμβανομένων τὴν ἑτέραν ἀληθεύειν. ἐπειδὴ οὔτε ἀμφοτέρας ἅμα ψεύδεσθαι οὔτε ἀληθεύειν ἀμφοτέρας ἅμα δυνατόν. τούτων δὲ τὸ μὲν ὅτι οὐκ ἀληθεύουσιν ἄμφω λέγεται σαφῶς ἐν τούτοις διὰ τοῦ ἄμφω γὰρ οὐχ ὑπάρξει ἅμα ἐπὶ τοῖς τοιούτοις, τοῦτ' ἔστιν αἱ γὰρ τοιαῦται προτάσεις οὐ πείσονται τὸ αὐτὸ ταῖς ἀπροσδιορίστοις ταῖς ἐπὶ τῆς ἐνδεχομένης ὕλης λαμβανομέναις (ἐκείνας μὲν γὰρ συναληθεύειν ἐλέγομεν, ταύτας δὲ συναληθεύειν ἀδύνατον, ἵνα μὴ τὸ αὐτὸ ἅμα τῷ αὐτῷ καὶ ὑπάρχῃ καὶ μὴ ὑπάρχῃ, οἷον τῷ Σωκράτει καὶ τὸ λούσασθαι τῇ ἑξῆς καὶ τὸ μὴ λούσασθαι), τὸ δὲ ὅτι οὐδὲ ψεύδεσθαι αὐτὰς ἅμα δυνατόν, ἐν τοῖς ἐφεξῆς προσθήσει. τούτων οὖν ἀνῃρημένων καὶ διὰ τούτου κατεσκευασμένου τοῦ διαιρεῖν αὐτὰς τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ὅτι καὶ ὡρισμένως, φησί, τοῦτο ποιοῦσιν ἐπιδείξομεν. εἰ δύο τινὰς οἷον μαντεύεσθαι προσποιουμένους λάβοιμεν περί τινος τῶν καθ' ἕκαστα προλέγειν πειρωμένους οἷον ἀρρώστου. τὸν μὲν ὅτι ὑγιανεῖ τὸν | δὲ ὅτι 113r
οὐχ ὑγιανεῖ· δῆλον γὰρ ὅτι τὸν μὲν ἕτερον αὐτῶν ἀληθεύειν ἀνάγκη τὸν δὲ ἕτερον ψεύδεσθαι. εἰ μὲν οὖν ὁ λέγων ὑγιανεῖν αὐτὸν ἀληθεύοι, ἀνάγκη αὐτὸν ὑγιᾶναι (προείληπται γὰρ ὅτι τῇ ἀληθείᾳ τῶν λόγων ἕπεται πάντως ἡ ἔκβασις τῶν πραγμάτων). εἰ δὲ ὁ τὴν ἀπόφασιν εἰπὼν ἀληθεύοι, δῆλον ὅτι ἀδύνατον αὐτὸν ὑγιᾶναι· ὥστε ἢ ἀναγκαίως ἐκβήσεται τὸ πρᾶγμα ἢ ἀδύνατον ἕξει τὴν ἔκβασιν· ἀνῄρηται ἄρα τὸ ἐνδεχόμενον.

p. 18a39 Εἰ γὰρ ἀληθὲς εἰπεῖν ὅτι λευκὸν ἢ οὐ λευκόν ἐστιν, ἀνάγκη εἶναι λευκὸν ἢ οὐ λευκόν, καὶ εἰ ἔστι λευκὸν ἢ οὐ λευκόν, ἀληθὲς ἦν φάναι ἢ ἀποφάναι· καὶ εἰ μὴ ὑπάρχει, ψεύδεται, καὶ εἰ ψεύδεται, οὐχ ὑπάρχει· ὥστε ἀνάγκη τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἀληθῆ εἶναι ἢ ψευδῆ. οὐδὲν ἄρα οὔτε ἔστιν οὔτε γίνεται οὔτε ἀπὸ τύχης οὔτε ὁπότερ' ἔτυχεν, οὐδὲ ἔσται ἢ οὐκ ἔσται, ἀλλ' ἐξ ἀνάγκης ἅπαντα καὶ οὐχ ὁπότερ' ἔτυχεν· ἢ γὰρ ὁ φὰς ἀληθεύσει ἢ ὁ ἀποφάς· ὁμοίως γὰρ ἂν ἐγίνετο ἢ οὐκ ἐγίνετο· τὸ γὰρ ὁπότερ' ἔτυχεν οὐδὲν μᾶλλον οὕτως ἢ μὴ οὕτως ἔχει ἢ ἕξει.

Τὸ προειρημένον λημμάτιον κρατῦναι βουλόμενος ὁ Ἀριστοτέλης, ὅτι τῇ ἀληθείᾳ τῶν λόγων ἕπεται ἡ ὕπαρξις τῶν πραγμάτων καὶ τῷ ψεύδει ἡ ἀνυπαρξία, διὰ παραδειγμάτων ἐπιδείκνυσι τοῦτο οὕτως ἔχον, ἐπείπερ

1 ἀπὸ] ἐπὶ F 3. 4 ἀμφ. ἀλ. colloc. A 8 ἐκείναις G¹ 9 αὐτῷ] λόγῳ M ὑπάρχει (utrobique) G: compend. F 10 τὸ ἑξῆς G 11 ἐν] ἐπὶ G προσθείσει F 12 διὰ τούτων F 13 ἐπιδείξωμεν Ma 14 περί] παρά G 15 ὅτι (prius) om. A 16 ἀλ. αὐτ. colloc. AGa 17 αὐτ. ὑγ. colloc. AGM ὑγιαίνειν AG 21 ἔχει A² 22 ἢ ὅτι οὐ ab ἐστιν—ἕξει (31) om. M 23 καὶ εἰ—ἕξει (31) om. Ga 25 ἀνάγκη ἢ b (recte, cf. p. 141,19. 24) 25. 26 ἢ τὴν ἀπόφασιν suppl. F² 27 οὐδὲ ὁπότερον A 32 τὸ γὰρ προειρ. M

τὰ παραδείγματα σαφεστέρους ποιεῖν εἰώθασι τοὺς χωρὶς αὐτῶν λεγομένους λόγους. παρείληπται μὲν οὖν ὁ γάρ αἰτιολογικὸς σύνδεσμος ἐν τῷ εἰ γὰρ ἀληθὲς εἰπεῖν πρὸς ἔνδειξιν τῆς προσθέσεως τῶν νῦν λεγομένων, ὅτι τοῦ προειρημένου θεωρήματος περιέχουσι κατασκευήν. | λέγει δὲ ὅτι εἰ ἀληθὲς 113v εἰπεῖν περί τινος, οἷον τοῦδε τοῦ ἱματίου, ὅτι λευκόν ἐστιν, ἀνάγκη λευκὸν αὐτὸ εἶναι, καὶ εἰ ὅτι οὐ λευκόν, ἀνάγκη λευκὸν μὴ εἶναι. εἶτα προστίθησί τι διὰ τούτων τοῖς προειρημένοις ἀντιστρέφειν πρὸς ἑαυτὸ τὸ λημμάτιον ἀξιῶν, λέγω δὲ ὅτι οὐ μόνον τοῖς λόγοις ἀληθεύουσιν ἀκολουθεῖν ἀνάγκη τὴν ὕπαρξιν τῶν πραγμάτων, ἀλλὰ καὶ τῇ ὑπάρξει τὴν ἀλήθειαν τῶν λόγων· διόπερ φησὶ καὶ εἰ ἔστι λευκὸν ἢ οὐ λευκόν, ἀληθὲς ἦν φάναι ἢ ἀποφάναι. διδάσκων ἡμᾶς ἅμα διὰ τοῦ μὴ εἰπεῖν ἀληθές ἐστι φάναι ἀλλὰ ἀληθὲς ἦν, ὅπερ ἐν τοῖς ἑξῆς σαφῶς προσθήσει, ὅτι οὐ μόνον κατ' αὐτὸν τὸν χρόνον, καθ' ὃν ἐκβαίνει τὰ πράγματα καὶ ὑφέστηκεν, ἀληθές ἐστι λέγειν περὶ αὐτῶν ὅτι οὕτως ἔχει ὡς ἔχει, ἀλλὰ καὶ πρὸ τῆς ἐκβάσεως ἀληθής ἐστιν ἡ περὶ αὐτῶν πρόρρησις, ἀναγκαίως τοῦτο προλαμβάνων ὡς ἐσόμενον αὐτῷ χρήσιμον πρὸς τὴν ἀναίρεσιν τοῦ ἐνδεχομένου καὶ τὴν ὅλην τῆς ἐφόδου δύναμιν, ὡς μαθησόμεθα, συνέχον. τοῦτο οὖν ὥσπερ ἐκ συλλογισμοῦ συνάγων ἀκολούθως ἐπάγει τὸ ὥστε ἀνάγκη τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἀληθῆ εἶναι ἢ ψευδῆ, προσυπακουομένου δηλονότι τοῦ ἀφωρισμένως. καὶ τοῦτο εἰκότως· εἰ γὰρ ἀνάγκη τὸ λευκὸν ἢ εἶναι ἢ μὴ εἶναι καὶ παρὰ ταῦτα οὐκ ἔστιν, ἀλλ' ὄντος μὲν αὐτοῦ ἡ περὶ αὐτοῦ προρρηθεῖσα κατάφασις ὡρισμένως ἀληθὴς μὴ ὄντος δὲ ἡ ἀπόφασις, εὐλόγως ἄρα ὥσπερ συμπέρασμα ἐπόμενον τοῖς προειρημένοις ἐπήγαγε τὸ ὥστε ἀνάγκη ἢ τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν ἀληθῆ εἶναι ἢ ψευδῆ. ἀντιστρεφούσας δὲ ἀλλήλαις ἐπιδείξας 114r τήν τε ἀλήθειαν τῶν λόγων καὶ τὴν ὕπαρξιν τῶν πραγμάτων, πρὶν τὸ εἰρημένον συμπέρασμα ἐπαγαγεῖν, μεταξὺ προστίθησιν ὅτι καὶ τὸ ψεῦδος τῶν λόγων καὶ ἡ ἀνυπαρξία τῶν πραγμάτων ἀντιστρέφουσι πρὸς ἄλληλα διὰ τοῦ καὶ εἰ μὴ ὑπάρχει, ψεύδεται, καὶ εἰ ψεύδεται, οὐχ ὑπάρχει.

Τούτων οὖν οὕτως ἐχόντων ἐκ τῶν προειρημένων λαβὼν ὅτι ἀνάγκη τὴν ἑτέραν τῶν ἀντιφασκουσῶν ἀλλήλαις κατὰ τὸν μέλλοντα χρόνον καθ' ἕκαστα καὶ ἐνδεχομένων προτάσεων ὡρισμένως τὴν μὲν ἑτέραν ἀληθεύειν τὴν δὲ ἑτέραν ψεύδεσθαι, ὡς αὐτόθεν ἑπομένου τοῦ ἀναιρεῖσθαι διὰ τὰ προειλημμένα τὸ ἐνδεχόμενόν φησιν οὐδὲν ἄρα οὔτε ἔστιν οὔτε γίνεται οὔτε ἀπὸ τύχης οὔτε ὁπότερ' ἔτυχε, διὰ τοῦ ἄρα σημαίνων ὡς ἐκ τῆς ἀνάγκης τῶν προειλημμένων ἀναιρεῖσθαι συμβαίνει τὸ ἐνδεχό-

---

3 προσθέσεως scripsi: προθέσεως libri 5 περί] παρά G οἷον τοῦδε τοῦ om. G ἐστιν om. G 6 ὅτι εἰ G: ὅτι (εἰ om.) F μὴ εἶναι λ. colloc. F 14 ὡς ἔχει om. G 19 ἀνάγκη ἢ b (cf. v. 24) 21 ἢ (prius) om. M 22 ἀληθὲς A 24 ἢ (prius) om. FG 25 post ψευδῆ add. χρήσιμον αὐτῷ ἐσόμενον πρὸς ἀναίρεσιν τοῦ ἐνδεχομένου (cf. v. 16) G 28 ἀντιστρέφει a 29 εἰ (prius) om. F ὑπάρχῃ A 32 τὴν ἑτέραν om. G 33 ἑτέραν om. AGMa 35 οὔτε ἔστιν suppl. G² 36 ὁπότερον GMa διὰ τὸ A¹: διὰ τούτων G 37 ὡς—προειλημμένων om. F συμβ.] ἐμμένει A

μενον. οὗπερ εἰς τρία διῃρημένου τὸ μὲν λέγεται ὡς ἐπὶ τὸ πολύ, οἷον τὸ γενέσθαι ἄνθρωπον πενταδάκτυλον ἢ ἐν γήρᾳ πολιοῦσθαι (σπάνια γὰρ τὰ μὴ οὕτως ἔχοντα), τὸ δὲ ὡς ἐπ' ἔλαττον, οἷον τὸ τὸν σκάπτοντα θησαυρῷ περιτυχεῖν, τὸ δὲ ἐπ' ἴσης, οἷον τὸ λούσασθαι καὶ μὴ λούσα- 20
5 σασθαι ἢ βαδίσαι καὶ μὴ βαδίσαι. καὶ περὶ μὲν τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον ἔχουσι δύο τινὰ αἴτια, ἥ τε φύσις καὶ ἡ τέχνη· τήν τε γὰρ φύσιν ὡς ἐπὶ τὸ πολὺ κατορθοῦσαν ὁρῶμεν ἐν τοῖς οἰκείοις ἀποτελέσμασι (τὰ γὰρ τέρατα σπάνια) καὶ τὰς τέχνας ἐνίοτε μὲν ἀποτυγχανούσας διὰ 25
τὸ ῥευστὸν τῆς ὑποκειμένης αὐταῖς ὕλης, ὡς ἐπὶ τὸ πολὺ μέντοι κατορ-
10 θοῦν ἐπαγγελλομένας· οὐ γὰρ ἄν τις αὐταῖς ἐχρήσατο μὴ τοῦτο ἐπαγγελλο- 114v
μέναις· διόπερ ὅ τε ῥήτωρ ὡς ἐπὶ τὸ πολὺ διαβεβαιοῦται τὸν δικαστὴν πείσειν καὶ ὁ ἰατρὸς ὡς ἐπὶ τὸ πολὺ τὸν ἄρρωστον ὑγιάσειν, καὶ ἕκαστος τῶν ἄλλων τεχνιτῶν ὡς ἐπὶ τὸ πολὺ τεύξεσθαι τοῦ οἰκείου τέλους. περὶ δὲ τὸ ἐπ' ἔλαττον ἐνδεχόμενον δύο ταῦτα ἔχουσιν, ἥ τε τύχη καὶ τὸ 5
15 αὐτόματον. διαφέρουσι δὲ ἀλλήλων, ὅτι τὸ μὲν ἀπὸ τύχης παρυφίστασθαι καὶ ἐπισυμβαίνειν παρὰ δόξαν καὶ σπανίως λέγεται τοῖς κατὰ προαίρεσιν γινομένοις. ταὐτὸν δὲ εἰπεῖν τοῖς τῶν ἀνθρώπων ἔργοις (ἐπὶ μόνων γὰρ 10
τῶν ἀνθρώπων ἡ προαίρεσις λέγεται, τῶν βουλεύεσθαι καὶ αἱρεῖσθαι τόδε πρὸ τοῦδε πεφυκότων, οὔτε τῶν κρειττόνων ἡμῶν βουλῆς δεομένων οὔτε
20 τῶν ἀλόγων ζῴων βουλεύεσθαι δυναμένων), τὸ μὲν οὖν ἀπὸ τύχης παρυφίσταται, ὅπερ ἐλέγομεν, τοῖς κατὰ προαίρεσιν γινομένοις, τὸ δὲ ἀπὸ 15
ταὐτομάτου τοῖς κατὰ φύσιν· εἰ μὲν γάρ τις ἡμῶν προελθὼν ἐπὶ τὸ ἐντυχεῖν τῷ φίλῳ περιτύχοι παρ' ἐλπίδα τινὶ βιβλίον πιπράσκοντι καὶ τοῦτο ὠνήσαιτο, κατὰ τύχην λέγεται αὐτὸ ὠνήσασθαι, διότι τὸ πρίασθαι τὸ 20
25 βιβλίον προαιρέσει τινὶ τῇ πρὸς τὴν πρόοδον κινησάσῃ ἡμᾶς παρυπέστη καὶ ἔξωθεν ἐπισυμβέβηκεν, οὐδεμιᾶς αὐτὸ ὡρισμένως ποιησάσης προσεχοῦς αἰτίας (καὶ γὰρ ἐπὶ λουτρὸν ἀπιὼν ἐπρίατο ἂν τὸ βιβλίον καὶ εὐξόμενος ἢ θέαν τινὰ ὀψόμενος), εἰ δέ γε σεισμοῦ γεγονότος καὶ διαστάντος 25
τινὸς τῆς γῆς μέρους ὕδατος ἀναρραγείη πηγὴ μὴ οὖσα πρότερον ἢ οὖσα
30 ἀφανισθείη, οὐκ ἂν λέγοιτο ἀπὸ τύχης ἡ πηγὴ γεγονέναι ἢ ἀπολωλέναι ἀλλ' ἐκ τοὐτομάτου. καὶ εἰ ἀπὸ μετεώρου | τινὸς κατενεχθεὶς λίθος 115r
οὕτως ἔχοι θέσεως, ὥστε εἶναι πρὸς καθέδραν, φέρε εἰπεῖν, ἐπιτήδειος, ἀπὸ ταὐτομάτου καὶ οὐκ ἀπὸ τύχης λέγεται εἶναι καθέδρα, διότι τὸ σύμπτωμα τοῦτο παρυπέστη οὐ προαιρέσει ἀλλὰ τῇ φυσικῇ αὐτοῦ ῥοπῇ, καθ' 5

---

1. 3 οἷον] ὡς G 3 τὸν om. AFMa 10. 11 οὐ — ἐπαγγελλομέναις om. M
11. 12 ῥήτωρ — καὶ ὁ om. F 12 ὑγιάσει F 13 τεύξεται F 14 τύχη] τέχνη G¹ 15 ὑφίστασθαι A 16 καὶ (ante σπανίως) om. M καὶ σπανίως λέγεται iter. G 18 τόδε — τοῦδε (19) om. F τόδε] τότε M 20. 21 παρυφίστασθαι Ma 22 προελὼν F: προσελὼν G τὸ] τῷ Ma 23 παρ' ἐλπ. παρατύχοι (περιτ. G²) G post πιπρ. add. οὗ πάλαι ἠφίετο (sic) a 24 ὠνήσατο M αὐτῷ ἐντυχεῖν καὶ ὠνήσασθαι a 26 ὡρισμένης FM 27 καὶ (alt.)] ἢ a
29 ὕδωρ ἀναρραγῇ ἢ πηγὴ μὴ οὖσα πρ. φανῇ F 30 λέγ.] γένοιτο F 31 κατενεχθῇ A: κατενεχθείη GMa 32 ἔχει a

ἦν ἄνωθεν ἐπὶ τὰ κάτω ἠνέχθη. περὶ δέ γε τὸ ἐπ' ἴσης ἐνδεχόμενον ἡ προαίρεσις ἔχει μόνη, οἷον τὸ προελθεῖν ἢ μὴ προελθεῖν καὶ τὸ διαλεχθῆναι ἢ μή. καὶ τοῦτο μόνον τὸ εἶδος τοῦ ἐνδεχομένου καλεῖται ὁπότερον ἔτυχε, διότι οὐδὲν πλέον οὐδὲ ἔλαττον ἔχει κατὰ τοῦτο ἡ ὕπαρξις τῆς ἀνυπαρξίας, ἀλλ' ὁπότερον ἔτυχε μόριον τῆς ἀντιφάσεως ὁμοίως ἐκβῆναι δυνατόν. ἀναιρῶν οὖν, ὅπερ ἐλέγομεν, τὸ ἐνδεχόμενον οὐδὲν ἄρα, φησίν, οὔτε ἔστιν οὔτε γίνεται οὔτε ἀπὸ τύχης οὔτε ὁπότερ' ἔτυχε, τοῦτ' ἔστιν οὐδὲν ἄρα οὔτε νῦν ἐστιν ἤδη ἐκβεβηκὸς ἢ ὡς ἐπ' ἔλαττον ἐνδεχόμενον ἢ ὡς ἐπ' ἴσης οὔτε ὕστερόν ποτε ἐκβήσεται. εἶτα καὶ κοινὴν ποιούμενος τὴν ἀναίρεσιν παντὸς τοῦ ἐνδεχομένου προσέθηκεν οὐδ' ἔσται ἢ οὐκ ἔσται· ἅπαν γὰρ ἐνδεχόμενον ταύτῃ διαφέρει τοῦ τε ἀναγκαίως ἐκβαίνοντος καὶ τοῦ ἀδυνάτου, ὅτι τὸ μὲν μόνως ἔσεσθαι λέγομεν καὶ τὸ ἀδύνατον μόνως οὐκ ἔσεσθαι, τὸ δὲ ἐνδεχόμενον ἢ ἔσεσθαι ἢ μὴ ἔσεσθαι. οὐδὲν οὖν, φησίν, οὔτε ἔστιν οὔτε γίνεται τὸν τῶν ἐνδεχομένων τρόπον, ἀλλ' ἐξ ἀνάγκης ἅπαντα καὶ οὐχ ὁπότερ' ἔτυχεν. εἶτα ὥσπερ ἀναμιμνήσκων ἡμᾶς τῆς ἐφόδου, καθ' ἣν ταῦτα ἔδοξε συμβαίνειν, ἐπάγει ἢ γὰρ ὁ φὰς ἀληθεύσει ἢ ὁ ἀποφάς. εἰ δὲ ὁ ἕτερος τούτων ὡρισμένως ἀληθεύσει, τῷ δὲ τὴν ἑτέραν πρότασιν τῆς ἀντιφάσεως ὡρισμένως ἀληθεύειν εἴπετο | ἡ ἀναίρεσις τοῦ ἐνδεχομένου, φανερὸν ὅτι 115v οἰχήσεται τὸ ἐνδεχόμενον ἐκ τῶν ὄντων, τό τε ἄλλο καὶ τὸ οἷον κέντρον αὐτοῦ τὸ ὁπότερ' ἔτυχεν, ὅπερ ἔλαβεν ἀντὶ τοῦ ἐνδεχομένου παντὸς ὁ Ἀριστοτέλης. εἰ δέ γε εἶχέ τινα ὑπόστασιν, ὁμοίως ἂν ἐγίνετο ἢ οὐκ ἐγίνετο· τοῦτο γὰρ λέγομεν ὁπότερ' ἔτυχεν ἢ εἶναι ἢ γίνεσθαι, ὅπερ οὐδὲν μᾶλλον οὕτως ἢ μὴ οὕτως ἔχει ἢ ἕξει, ἐπὶ μὲν τοῦ γεγονότος δηλονότι καὶ ἤδη ἐν ὑποστάσει ὄντος τὸ ἔχει λέγοντες ἐπὶ δὲ τοῦ γενησομένου τὸ ἕξει.

---

1 τὸ κάτω Fa γε] τε G¹ 2 προσελθεῖν (utrobique) A ἢ μὴ προελθεῖν om. F τὸ (alt.) om. AFMa 3. 4 ὁπότερος G¹ 4 οὐδὲν] οὐδὲ A οὐδὲ ἔλαττον om. G οὐδὲ] οὔτε F 6 ὥσπερ F ἔλεγον F (cf. p. 141, 34) 7 ὁπότερον A 8 ἤδη om. F post ἐκβεβ. add. καὶ G² 11 γὰρ τὸ ἐνδεχ. F 15 πάντα F 16 ἔδοξαν G 18 ἀληθεύει F 20 ὄντων] αὐτῶν M κέντρον om. G 21 ἔλαβε μὲν AGMa 22 τινα ὑπόστ. εἶχε colloc. G 23 ἐλέγομεν GM; corrigas λέγει et v. 25 λέγων γενέσθαι AGMa 24 ἐπὶ — ἕξει (26) om. (in margine partim nunc absciso suppl.) A 25 δὲ om. G 26 τὸ om. G

p. 18b9 Ἔτι εἰ ἔστι λευκὸν νῦν, ἀληθὲς ἦν εἰπεῖν πρότερον ὅτι ἔσται λευκόν· ὥστε ἀεὶ ἀληθὲς ἦν εἰπεῖν ὁτιοῦν τῶν γινομένων ὅτι ἔστιν ἢ ἔσται. εἰ δὲ ἀεὶ ἀληθὲς ἦν εἰπεῖν ὅτι ἔστιν ἢ ἔσται, οὐχ οἷόν τε τοῦτο μὴ εἶναι οὐδὲ μὴ ἔσεσθαι· ὃ δὲ μὴ οἷόν τε μὴ γενέσθαι, ἀδύνατον μὴ γενέσθαι· ὃ δὲ ἀδύνατον μὴ γενέσθαι, ἀνάγκη γενέσθαι· ἅπαντα οὖν τὰ ἐσόμενα ἀναγκαῖον γενέσθαι· οὐδὲν ἄρα ὁπότερ' ἔτυχεν οὐδὲ ἀπὸ τύχης ἔσται· εἰ γὰρ ἀπὸ τύχης, οὐκ ἐξ ἀνάγκης.

Τὰ διὰ τῶν προλαβάντων ἀσυμφανῶς εἰρημένα πρὸς κατασκευὴν τοῦ καὶ εἰς τὸν μέλλοντα χρόνον λαμβανομένας τὰς προτάσεις, περὶ ὧν ὁ λόγος, ἀφωρισμένως διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ᾧ αὐτόθεν εἴπετο μηδεμίαν ἐν τοῖς οὖσι χώραν ἔχειν τὸ ἐνδεχόμενον, βούλεται διὰ τούτων σαφέστερον ἡμῖν παραδοῦναι μετὰ πλείονος ἐπεξεργασίας προάγων τὸν λόγον. διὸ ὥσπερ ἀπ' ἄλλης ἀρχῆς ποιούμενος τὴν ἐπιχείρησίν φησιν· ἔτι εἰ ἔστι λευκόν τι νῦν, οἷον παιδίον ἄρτι τεχθέν, ἀληθὲς ἦν εἰπεῖν τῇ προτεραίᾳ ὅτι τεχθήσεται τῇ ἑξῆς | λευκὸν παιδίον, καὶ οὐ τῇ προ- 116r
τεραίᾳ μᾶλλον ἢ πρὸ οἵου δήποτε χρόνου· τίς γὰρ ἡ ἀποπλήρωσις; ὃ δὲ ἀεὶ προλέγοντες ὅτι ἔσται ἀληθεύομεν, οὐχ οἷόν τε τοῦτο μὴ ἔσεσθαι, ὥσπερ οὐδὲ ὃ εἶναι λέγοντες ἀληθεύομεν, οἷόν τε τοῦτο μὴ εἶναι· ἀδύνατον ἄρα ἦν μὴ γενέσθαι λευκὸν παιδίον, διότι ἡ περὶ αὐτοῦ ἐν τῷ ἀπείρῳ καὶ προλαβόντι χρόνῳ γεγονυῖα πρόρρησις ἀληθής· ὃ γὰρ μὴ οἷόν τε, φησί, μὴ γενέσθαι, ἀδύνατον μὴ γενέσθαι, ὃ δὲ ἀδύνατον μὴ γενέσθαι, ἀνάγκη γενέσθαι, προάγων τὸν λόγον εἰς τὸ πάντα ἀναγκάζειν, ὅπερ ἦν αὐτῷ προκείμενον, ἐκ τῶν σαφεστέρων μὲν καὶ μᾶλλον συγχωρουμένων προτάσεων, ἴσον δὲ δυναμένων ταῖς εἰς ἃς μεταλαμβάνονται· τό τε γὰρ οὐχ οἷόν τε τὸ ἀδύνατον σημαίνει καὶ τὸ οὐχ οἷόν τε μὴ γενέσθαι τῷ ἀδύνατον μὴ γενέσθαι εἰς ταὐτὸν ἔρχεται, τὸ δὲ ἀδύνατον μὴ γενέσθαι τῷ ἀναγκαῖον γενέσθαι. ὥσπερ καὶ τὸ ἀδύνατον γενέσθαι τῷ

---

2 ὅτι — ἀνάγκης (8) om. M ὥστε — ἀναγκης (8) om. a ἀεὶ om. G 2. 3 ὁτιοῦν τῶν γινομένων suppl. G² γενομ. b 3 ἔστιν ἢ om. AF εἰ — ἔσται (4) suppl. G² ἀεὶ om. F ἦν om. G 5. 6 ἀδύν. μὴ γεν.· ὃ δὲ ἀδύν. μὴ γενέσθαι suppl. G² 6 ἅπαντα — γενέσθαι (7) om. G 7 οὐδὲν] οὐδὲ A 8 εἰ — τύχης, οὐκ] ἀλλ' F 10 καὶ om. Ma παραλαμβ. G 11 ὧ] οἷς F an εἴπετο ⟨τὸ⟩? 12 ἔχειν ante χώραν colloc. A: ante ἐν Fa 14 τὴν ἐπιχ. ποιούμ. colloc. G 15 ἔτι] ὅτι M τι om. Mab ἦν om. G 16. 17 τεχθ. — προτεραίᾳ om. F 16 τῇ (ante ἑξῆς)] καὶ τὰ G καὶ οὐ] εἰ δὲ τῇ προτεραία, τί M 17 πρὸ] πρὸς AFG¹ οἵου] ὅσου M ἀποκλήρωσις FGMa ὅ] εἰ AFM 18 ante ἔσεσθαι add. εἶναι ἀδύνατον ἄρα ἦν μὴ γενέσθαι λευκὸν παιδίον (sed del.) G (cf. v. 19. 20) 19 οὐχ οἷον G εἶναι (alt.)] ἢ F 21 καὶ] τῷ F 22 ἀδύνατον — ἀνάγκη γενέσθαι (23) om. G 23 τὸν λόγον iter. G 23. 24 ἀναγκάζειν] ἐξ ἀνάγκης Ma 25 εἰς ἃ F: ἴσαις G 25. 26 μεταλαμβανομέναις G 26 τὸ ἀδύν. — οἷόν τε om. G¹a 28 ἀναγκ. μὴ γεν. (sed μὴ del.) G γενέσθαι ὥσπερ — ἀναγκαῖον (p. 145,1) om. M

ἀναγκαῖον μὴ γενέσθαι. μᾶλλον μέντοι κινούμεθα ὑπὸ τοῦ ἀδύνατον μὴ γενέσθαι ὡς ἐναργεστέρου ἤπερ ὑπὸ τοῦ ἀνάγκη γενέσθαι, διὸ καὶ ὁ ἰατρὸς εἰπὼν λόγου χάριν ὅτι ἀνάγκη φλεβοτομηθῆναι τὸν ἄρρωστον, εἴπερ βούλοιτο ὑγιασθῆναι. ὡς κατασκευαστικὸν τούτου καὶ πρὸς τὴν πειθὼ κινῆσαι μᾶλλον ὀφεῖλον προστίθησιν 'ἀδύνατον γὰρ μὴ φλεβοτομηθέντα αὐτὸν ὑγιᾶναι'. ὥστε εἰκότως, φησίν, ἐλέγομεν ἅπαντα τὰ ἐσόμενα ἐξ ἀνάγκης γενέσθαι καὶ μηδὲν μήτε ἀπὸ τύχης μήτε καθ' ἕτερον τρόπον τοῦ ἐνδεχομένου.

Ῥητέον δὲ πρὸς ταύτην τὴν ἐπιχείρησιν ὅτι τὸ ἐκβεβηκὸς νῦν καὶ ἤδη γεγονὸς οὐκ ἀληθὲς πρὸ τῆς ἐκβάσεως λέγειν ὅτι ἔσται πάντως λευκόν· οὐ γὰρ | ἐπειδὴ ὁ χρόνος εἰς τὸ εἶναι αὐτὸ ἀποκατέστησε, διὰ τοῦτο 116v οἴεσθαι χρὴ ἐξ ἀναγκαίας αὐτὸ προκαταβολῆς γεγονέναι. ὥστε τῶν προλεγόντων περὶ αὐτοῦ οὐχ ὁ λέγων ὅτι ἐξ ἀνάγκης ἔσται λευκὸν ἀληθεύσει, ἀλλ' ὁ τὸ ὅλον τοῦτο ἐνδεχομένως αὐτὸ ἐκβήσεσθαι λέγων· εἰ δὲ τοῦτο, δῆλον ὅτι δυνατὸν ἦν αὐτὸ καὶ μὴ ἐκβῆναι· οὐ γὰρ ἂν ἄλλως ἠλήθευε τὸ ἐνδεχομένως αὐτὸ ἐκβήσεσθαι. μὴ τοίνυν ἀπὸ τοῦ ἤδη ἐκβάντος τὸ ἔτι μέλλον κρινέτωσαν οἱ ταῦτα λέγοντες, ἀλλὰ φυλάττοντες αὐτὸ μήπω ἐκβεβηκὸς ζητείτωσαν εἰ ἐξ ἀνάγκης ἐκβήσεται· οὐ γὰρ ἕξουσι τοῦτο ἐπιδεῖξαι, ὡς αὐτὸς ἡμᾶς σαφῶς ἐν τοῖς ἑξῆς ὁ Ἀριστοτέλης διδάξει.

p. 18b16 Ἀλλὰ μὴν οὐδ' ὡς οὐδέτερόν γε ἀληθὲς ἐνδέχεται λέγειν, οἷον ὅτι οὔτε ἔσται οὔτε οὐκ ἔσται· πρῶτον μὲν γὰρ οὔσης τῆς καταφάσεως ψευδοῦς ἡ ἀπόφασις οὐκ ἀληθής, καὶ ταύτης ψευδοῦς οὔσης τὴν κατάφασιν συμβαίνει μὴ ἀληθῆ εἶναι. καὶ πρὸς τούτοις εἰ ἀληθὲς εἰπεῖν ὅτι λευκὸν καὶ μέγα, δεῖ ἄμφω ὑπάρχειν· εἰ δὲ ὑπάρξει εἰς αὔριον, ὑπάρξειν εἰς αὔριον. εἰ δὲ μήτε ἔσται μήτε μὴ ἔσται αὔριον, οὐκ ἂν εἴη τὸ ὁπότερ' ἔτυχεν, οἷον ναυμαχία· δέοι γὰρ ἂν μήτε γενέσθαι ναυμαχίαν αὔριον μήτε μὴ γενέσθαι.

Ἐπειδὴ προείληπται μὲν πρὸς ἀναίρεσιν τοῦ ἐνδεχομένου τὸ τὰς προτάσεις, περὶ ὧν ὁ λόγος, ἀφωρισμένως διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἔλαβε δὲ τοῦτο διὰ τὸ μὴ δύνασθαι αὐτὰς συναληθεύειν ἀλλήλαις,

---

1 prius μὴ superscr. M ἀδυνάτου AMa 3 τὸν om. AG 4 βούλ.] μέλλοι G 5 μᾶλλον ante πρὸς (4) colloc. G 7 γίνεσθαι F 8 ἐνδεχ.] ἀντικειμένου F 10 ἤδη om. F τῆς ἐκβάσεως om. F 11 διὰ om. M 12 αὐτῷ A 13 ante ἔσται add. ὅτι G 15 γὰρ om. G ἄλλως] ὅλως F 17 μέλλον] μᾶλλον Ga 18 ζητήτ. F εἰ om. M εἰ οὐδ' a 19 αὐτὸ M σαφ. ἡμᾶς colloc. G ἐν τοῖς ἑξ. post ἡμᾶς colloc. M: post Ἀρ. a ὁ Ἀριστοτέλης fort. eicias 21 οἷον—γενέσθαι (28) om. M ὅτι—γενέσθαι (28) om. a 22. 23 καὶ ταύτης—γενέσθαι (28) om. G 24 λευκὸν ἅμα F 25 ὑπάρξειν] ὑπάρξει Fb 26 μήτε (prius)] μὴ F εἰς αὔριον F (cf. p. 146,26) 26. 27 ὁπότερον F 29 ἐπειδὴ] ἔπειτα δὴ M τὴν ἀναίρ. G

ὅπερ ἐλέγετο διὰ τοῦ ἄμφω γὰρ οὐχ ὑπάρξει ἅμα ἐπὶ τοῖς τοιούτοις. ἠδύνατο δέ τις ὑποπτεύειν ὡς οὐκ ἀναγ|καῖον ἢ συναληθεύειν 117r
αὐτὰς ἢ διαιρεῖν τὸ ἀληθὲς καὶ τὸ ψεῦδος (ἐνδέχεσθαι γὰρ καὶ συμψεύδεσθαι), διὰ τοῦτο νῦν προτίθεται δεῖξαι ὅτι οὐδὲ συμψεύδεσθαι δυνατὸν
5 ταύτας τὰς προτάσεις, ὅπερ οὔτε ὀνίνησί τι τὸν οὕτως λέγειν αἱρούμενον 5
πρὸς τὸ εἰσάγειν τὸ ἐνδεχόμενον ἀλλὰ καὶ ἄλλως ἐστὶν ἀδύνατον· δειχθήσεται γὰρ καὶ κατ' αὐτὴν τὴν ὑπόθεσιν τὸ αὐτὸ πρᾶγμα καὶ ἀναγκαίως ἐκβαῖνον καὶ ἀδύνατον ἔχον τὴν ἔκβασιν. φησὶν οὖν ὡς οὐδὲ τοῦτο ἐνδέχεται λέγειν ὅτι αἱ καθ' ἕκαστα καὶ ἐνδεχόμεναι προτάσεις κατὰ τὸν 10
10 μέλλοντα χρόνον συμψεύδονται ἀλλήλαις, ὅπερ ἐσήμηνε διὰ τοῦ οὐδ' ὡς οὐδέτερόν γε ἀληθές. ἐπεὶ πρῶτον μέν, φησίν, ἀναιρήσομεν τὸ ἀξίωμα τῆς ἀντιφάσεως, ἀφ' οὗ πάσας προάγομεν τὰς ἀποδείξεις ὡς ὄντος ἐναργεστάτου. πρὸς δὲ τούτοις συμβήσεται τὸ πρᾶγμα ἅμα μήτε ἔσεσθαι διὰ 15
τὸ ψεύδεσθαι τὴν λέγουσαν ἔσεσθαι αὐτὸ κατάφασιν καὶ πάλιν ἔσεσθαι
15 διὰ τὸ ψεύδεσθαι τὴν λέγουσαν μὴ ἔσεσθαι αὐτὸ ἀπόφασιν, ὥστε καὶ ἔσεσθαι αὐτὸ ἐξ ἀνάγκης καὶ μὴ ἔσεσθαι ἐξ ἀνάγκης, οὗ τί ἂν εἴη τερατωδέστερον; ἵνα δὲ τοῦτο συναγάγῃ, ἀναμιμνήσκει πάλιν ἡμᾶς 20
τοῦ λημματίου τοῦ λέγοντος ὅτι τῇ ἀληθείᾳ τῶν λόγων ἡ τῶν πραγμάτων ἔκβασις ἀκολουθεῖ, καὶ οὐ κατὰ τὸν ἐνεστῶτα χρόνον μόνον ἀλλὰ
20 καὶ κατὰ τὸν μέλλοντα· εἰ γάρ τις προειπὼν ὅτι τεχθήσεται αὔριον παιδίον λευκὸν καὶ μέγα ἀληθῶς προλέγοι, δεῖ αὔριον τεχθῆναι παιδίον, 25
ᾧ ἄμφω τὰ προειρημένα ὑπάρξει. σιωπήσας οὖν τὸ τούτων ἀκόλουθον, ὅτι καὶ τῷ ψεύδει τῶν λόγων ἕπεται τὸ τὰ πράγματα μὴ ὑπάρχειν, ὡς ἤδη πρότερον αὐτῷ παραδεδομένον, ἅμα τούτῳ | τῷ θεωρήματι 117v
25 τὸ ἑπόμενον τῷ παραλελειμμένῳ συνάγει λέγων εἰ δὲ μήτε ἔσται μήτε μὴ ἔσται αὔριον, οὐκ ἂν εἴη τὸ ὁπότερ' ἔτυχε, τοῦτ' ἔστιν εἰ δὴ συμψεύδονται αἱ τοιαῦται προτάσεις, ἀναιρεθήσεται μὲν καὶ οὕτως τὸ ἐνδεχόμενον, ἀναιρεθήσεται δὲ διὰ τὸ ἅμα ἀναγκαίως τε ἐκβαίνειν τὸ πρᾶγμα καὶ ἀδύνατον ἔχειν τὴν ἔκβασιν. 5

---

1 ἄμφω γὰρ . .] p. 18a38 οὐχ om. F 3 ἐνδέχεται Fa 4 νῦν om. A οὐδὲ suppl. G² 5 ταύτας om. G τῶν . . αἱρουμένων A ἠρημένον G 6 ἀλλὰ om. F 8 καί] καίτοι G 10 οὐδ' om. G 11 γε] τε G 15 αὐτὸ μὴ ἔσ. (num. corr.) G 16 μὴ om. F 17 τερατωδέστερος G¹ πάλιν om. ed. Ven. Brand. 19 μόνον χρ. colloc. Fa 21 παιδίον om. A λέγοι F: προλέγει a 22 ἀμφότερα Ma σκοπήσας A: σιωπήσασθαι G 23 τὸ om. G 24 αὐτῷ om. G 25 μηδὲ (utrobique) F 26 ὁπότερον F 27 ψεύδονται F προτ.] προρρήσεις F

p. 18b26 Τὰ μὲν δὴ συμβαίνοντα ἄτοπα ταῦτα καὶ τοιαῦτα ἕτερα, εἴπερ πάσης καταφάσεως καὶ ἀποφάσεως ἢ ἐπὶ τῶν καθόλου λεγομένων ὡς καθόλου ἢ ἐπὶ τῶν καθ' ἕκαστα ἀνάγκη τῶν ἀντικειμένων εἶναι τὴν μὲν ἀληθῆ τὴν δὲ ψευδῆ, μηδὲν δὲ ὁπότερ' ἔτυχεν εἶναι ἐν τοῖς γινομένοις, ἀλλὰ πάντα εἶναι καὶ γίνεσθαι ἐξ ἀνάγκης· ὥστε οὔτε βουλεύεσθαι δέοι ἂν οὔτε πραγματεύεσθαι, ὡς ἐὰν μὲν τοδὶ ποιήσωμεν, ἔσται τοδί, ἐὰν δὲ μὴ τοδί, οὐκ ἔσται τοδί· οὐδὲν γὰρ κωλύει καὶ εἰς μυριοστὸν ἔτος τὸν μὲν φάναι τοῦτο ἔσεσθαι τὸν δὲ μὴ φάναι, ὥστε ἐξ ἀνάγκης ἔσται ὁπότερον ἦν αὐτῶν ἀληθὲς εἰπεῖν τότε. ἀλλὰ μὴν οὐδὲ τοῦτο διαφέρει, εἴ τινες εἶπον τὴν ἀντίφασιν ἢ μὴ εἶπον· δῆλον γὰρ ὅτι οὕτως ἔχει τὰ πράγματα, κἂν μὴ ὁ μὲν καταφήσῃ τι ὁ δὲ ἀποφήσῃ· οὐ γὰρ διὰ τὸ καταφάναι ἢ ἀποφάναι ἔσται ἢ οὐκ ἔσται, οὐδ' εἰς μυριοστὸν ἔτος μᾶλλον ἢ ἐν ὁποσῳοῦν χρόνῳ. ὥστε εἰ ἐν ἅπαντι χρόνῳ οὕτως εἶχεν, ὥστε τὸ ἕτερον ἀληθεύεσθαι, ἀναγκαῖον ἦν τοῦτο γενέσθαι, καὶ ἕκαστον τῶν γενομένων ἀεὶ οὕτως εἶχεν, ὥστε ἐξ ἀνάγκης γενέσθαι· ὅ τε γὰρ ἀληθῶς εἰπέ τις ὅτι ἔσται, οὐχ οἷόν τε μὴ γενέσθαι, καὶ τὸ γινόμενον ἀλη|θὲς ἦν εἰπεῖν ὅτι ἔσται. 118r

Προέκειτο μὲν ἐξ ἀρχῆς σκοπεῖν εἰ πάσης ἀντιφάσεως εἰς τὸν μέλλοντα χρόνον λαμβανομένης αἱ προτάσεις ὡρισμένως διαιροῦσι τό τε ἀληθὲς καὶ τὸ ψεῦδος, δέδεικται δὲ διὰ πλειόνων ὡς ἕπεται τούτῳ τὸ ἐκποδὼν γίνεσθαι τοῦ ἐνδεχομένου τὴν φύσιν, τῶν μὲν ἐξ ἀνάγκης ἐκβαινόντων τῶν δὲ τὴν ἔκβασιν ἀδύνατον ἐχόντων, καὶ ἐφ' ἡμῖν εἶναι μηδέν, ἅπερ δεῖ λοιπὸν ἐπιδεῖξαι ἄτοπα καὶ τῇ ἐναργείᾳ μαχόμενα. σφίγγων οὖν ἐν τούτοις τὸν πάντα λόγον ὁ Ἀριστοτέλης τοῦ τε προτεθέντος ἐξ ἀρχῆς προβλήματος ἀναμιμνήσκει καί τινα τὰ ἕπεσθαι αὐτῷ δεδειγμένα προστίθησι, καὶ ἄτοπα ταῦτα καλεῖ, καίτοι μηδέπω δείξας ὅτι ἐστὶν ἄτοπα, ταῖς τε αὐτοφυέσιν ἐννοίαις τῶν ψυχῶν ἀποχρώμενος καὶ ὡς εὐθὺς ἐπάξων τὴν κατασκευὴν τοῦ ἄτοπον εἶναι τὸν ἀναιρεῖν πειρώμενον τὸ ἐνδεχόμενον λόγον (ὃν ἐλέγχει διχόθεν, νῦν μὲν ἐπιδεικνὺς ὅσα ἕπεται αὐτῷ ἀδύνατα, ὀλίγον δὲ ὕστερον καὶ τὰ ψευδῶς εἰλημμένα ἐν αὐτῷ διαβάλλων)· ἔδει γὰρ αὐτό τε καθ' αὑτὸ

---

1 τὰ τοιαῦτα G 2 εἴπερ—ἔσται (19) om. a καταφ.—ἔσται (19) om. M 3 ἕκαστον b 4 μηδὲν—ἔσται (19) om. G 5 ὁπότερον F 5. 6 καὶ εἶναι καὶ F 6 οὐδὲ (pr. l) F βούλεσθαι A^1F^1 9 prius τὸν] τὸ F 10 ἔσται] ἔσεσθαι b ὁποτερονοῦν b αὐτῶν ἀλ. ἦν b 13 τι om. F οὐ] οὐδὲ b καταφ.] φάναι F: καταφαθῆναι b 14 ἀποφαθῆναι b οὐδ'—ἔτος om. F^1 (πράγματα οὐδ' εἰς μ. ἔτος F^2) 15 τῷ χρ. (alt. l.) b 17 καὶ ἕκαστον — γενέσθαι (18) suppl. F^2 18 εἰ ὅ τε γὰρ A 19 γενόμ. F εἰπεῖν ἀεὶ b 20 προέκειτο G^1 ἐξ ἀρχῆς om. F 21 ὡρισμένως suppl. G^2 τε om. G 25 ἐναργείᾳ scripsi: ἐνεργείᾳ libri (cf. p. 148,3) 30 τὸ] τὸν A 32 ἐν αὐτῷ F: ἑαυτῷ AGMa

δεικνύναι τὸ πρᾶγμα ὅπως ἔχει φύσεως, λέγοντα ὅτι ἔστιν ἐν τοῖς οὖσι τὸ ἐνδεχόμενον (πολλὰ γὰρ ἕπεται ἀδύνατα τοῖς ἀναιρεῖν αὐτὸ πειρωμένοις. καὶ ἡ ἐνάργεια δείκνυσιν αὐτὸ ὑφεστηκός), καὶ ἐπὶ τούτοις σαθρὸν ἐπιδεῖξαι τὸν προειρημένον λόγον τὸν πάντα ἀναγκάζειν πειρώμενον καὶ τὸ ἐνδεχόμενον ἐκβάλλειν τῶν ὄντων. διὰ τούτων οὖν τέως παραδιδοὺς τὰ ἑπόμενα ἀδύνατα τοῖς ἀναιροῦσι τὸ ἐνδεχόμενον, φησὶν ὡς εἴ τις ἀξιοῖ πᾶσαν ἀντίφασιν κατὰ πάν|τα χρόνον ὁμοίως ἔχειν πρὸς τὸ διαιρεῖν τὸ 118v ἀληθὲς καὶ τὸ ψεῦδος καὶ μὴ μόνον τὰς διαγωνίους, ἃς καθόλου ὡς καθόλου καλεῖν εἴωθεν, ἀφωρισμένως ἔχειν ἀεὶ τὴν μὲν ἑτέραν τῶν προτάσεων ἀληθῆ τὴν δὲ ἑτέραν ψευδῆ κατὰ πᾶσαν ὕλην, ἀλλὰ καὶ τὰς καθ' ἕκαστα, ᾧ ἠκολούθει τὸ ἐκποδὼν γίνεσθαι τὸ ἐνδεχόμενον, ματαιοπονίαν τῆς φύσεως κατηγορήσει βουλευτικοὺς ἡμᾶς ποιησάσης· δῆλον γὰρ ὡς εἰ μηδέν ἐστιν ἐφ' ἡμῖν, μάτην ἐπιχειρήσομεν βουλεύεσθαι περὶ τῶν οὐκ ἐν τῇ ἐξουσίᾳ τῇ ἡμετέρᾳ κειμένων, καὶ ὅμοιόν τι ποιήσομεν τοῖς βουλευομένοις πῶς ἂν ἀνατείλαι ἢ μὴ ἀνατείλαι ὁ ἥλιος. ἀλλὰ μὴν τὸ λέγειν ὡς μάτην ἡμᾶς ἡ φύσις βουλευτικοὺς ἐποίησε παντελῶς ἄλογον· αὐτό τε γὰρ καθ' αὑτὸ τοῦτο ἀποδέδεικται γεωμετρικαῖς, φασίν, ἀνάγκαις ὡς οὐδὲν μάτην ὑπὸ τῆς φύσεως γίνεται, καὶ ὑπὸ τῆς ἐναργείας πάσης ἀποδείξεως μᾶλλον ὁμολογεῖται. καὶ αὐτοὶ μέντοι οἱ πάντα ἀναγκάζοντες καὶ τὸ ἐνδεχόμενον ἐκποδὼν ποιοῦντες πάντως ὁμολογήσουσιν αὐτὴν πάλιν εἶναι τὴν φύσιν τὴν πάντα, ὡς αὐτοί φασιν, ὡρισμένως καὶ ἐξ ἀνάγκης μάτην δὲ οὐδὲν ποιοῦσαν· ὥστε πῶς οὐ καταγέλαστον τὸ λέγειν τὴν φύσιν καὶ μηδὲν ἐν τῇ ἐξουσίᾳ τῇ ἡμετέρᾳ καταλιπεῖν καὶ ποιεῖν ἡμᾶς βουλευτικοὺς ὡς ἂν ὄντας κυρίους τοῦ πρᾶξαί τινα ἢ μὴ πρᾶξαι; εἰ γὰρ λέγοι τις ὅτι χρῆται τῇ διανοίᾳ ὡς ὀργάνῳ πρὸς τὴν ἔκβασιν τῶν πράξεων, ἀλλ' ἐχρῆν, φήσομεν, ὁρμᾶν ἡμᾶς αὐτόθεν ἐπὶ τὰς πράξεις, ἐφ' ἃς ἡ φύσις κατήπειγεν. ὥσπερ ἐπὶ τῶν ὄντως ὑπὸ φύσεως κινουμένων συμβαῖνον ὁρῶμεν ἀνενδοιάστως ἐπὶ τὰ οἰκεῖα | τέλη φερομένων. διὸ καὶ ἡμεῖς ὅταν μιμώ- 119r μεθα τὴν φύσιν κατὰ τέχνην τινὰ ἐνεργοῦντες, οὐ βουλευόμεθα, εἴπερ τελείαν καὶ πρόχειρον ἔχοιμεν τὴν γνῶσιν τῆς τέχνης, ὅπερ ἀνάγκη ὑπάρχειν τῷ μιμησομένῳ τὴν φύσιν.

Εἰ τοίνυν πάντα ἐξ ἀνάγκης, οὔτε βουλεύεσθαι δέοι ἄν, φησίν, οὔτε πραγματεύεσθαι, τοῦτ' ἔστι ταῖς ἀρχαῖς τῶν πράξεων ἐγχειρεῖν·

---

2 αὐτὰ a 3 ἐνέργεια A² 3. 4 ἐπιδ. σαθρὸν colloc. Aa 6 ἀξιοῖ G 8. 9 ὡς καθόλου om. M 9 εἴωθεν ὁ ἀριστοτέλης F 11 ῶ] αἷς G ἀκολουθεῖ F 12 τὴν φύσιν G¹ γάρ ἐστι M 14. 15 βουλομένοις FMa 15 ἂν om. AGMa ἀνατείλοι (utrobique) libri 16 ἡμᾶς superscr. G² παντελῶς om. F εὔλογον F αὐτό τε—τοῦτο (17) om. F τε] καὶ A 17 ἀποδέδ. γὰρ F φησιν Ma 18 ἐναργοῦς M πάσης] μᾶλλον G 19 μᾶλλον] πλέον F ὁμολόγηται A: ὁμολογεῖσθαι G 21 ὡρισμ. ante ὡς colloc. G 22 καὶ om. F 23 καταλείπειν G βουλευτικὰς F 24 τινα] τι Ma λέγει Ma 25 πράξ.] πραγμάτων FG 26 ὁρᾶν G¹ 26. 27 κατέπειγεν M 27 ὄντως] οὕτως AGMa ὑπὸ] ἀπὸ AGM 28 ἀνενδυάστ. Aa καὶ om. M 29 βουλόμεθα AG εἴπερ] εἰπεῖν G¹ 31 μιμησαμένω FM 33 πράξ.] πραγμάτων F

οἷον εἰ διανοοίμεθα πλεῦσαι ἐξ Αἰγύπτου Ἀθήναζε, οὐ χρὴ κατελθεῖν εἰς τὸν λιμένα οὐδὲ ναῦν ζητῆσαι οὐδὲ τὰ σκευάρια ἐμβαλέσθαι· καὶ γὰρ μηδὲν τούτων πεπραχότων ἡμῶν ἀνάγκη γενέσθαι ἡμᾶς ἐν Ἀθήναις. εἶτα καὶ τρόπον, καθ' ὃν βουλεύεσθαι εἰώθαμεν, ὑπογράφων ἡμῖν ὡς ἐὰν μὲν τοδὶ ποιήσωμεν, φησίν, ἔσται τοδί, ἐὰν δὲ μὴ τοδί, οὐκ ἔσται τοδί· προκειμένου γὰρ φέρε τοῦ ἀπελθεῖν εἰς τόνδε τὸν τόπον, εἰς ὃν δυνατὸν καὶ διὰ νεὼς ἀπελθεῖν καὶ ὑποζυγίῳ χρώμενον, βουλευόμεθα πότερος τῶν τρόπων τῆς ἐκεῖσε ἀφίξεώς ἐστιν ἡμῖν αἱρετώτερος, τὰ ἑκατέρῳ ἑπόμενα ἀγαθὰ ἢ φαῦλα παρατιθέντες παρ' ἄλληλα καὶ ἀντισηκοῦντες ἀλλήλοις· ὁποτέρῳ γὰρ ἂν αὐτῶν φαίνηται ἢ μεῖζον ἀγαθὸν ἢ ἔλαττον κακὸν ἑπόμενον, ἐκεῖνο μᾶλλον αἱρούμεθα. οὕτω δὲ καὶ ὁ ποιητὴς τὸν Ἀχιλλέα φησὶν εἰδέναι ὅτι μένων μὲν ἐν τῇ Τροίᾳ καὶ πολεμῶν ὀλιγοχρόνιος ἔσται καὶ εὐκλεής, ἀναχωρῶν δὲ τοῦ πολέμου καὶ τὴν ἐν τῇ πατρίδι διατριβὴν ἀγαπῶν πολυχρόνιος μὲν ἀκλεὴς δέ, καὶ προτιμῆσαι τὴν εὔκλειαν τοῦ εἰς γῆρας ἐλθεῖν. εἶτα πάλιν ἀναμνήσας ἡμᾶς τῆς ἐπιχειρήσεως τῆς ἀναιρεῖν δοκούσης τὸ ἐνδεχόμενον (λέγω δὴ τοῦ δύο τινῶν προλεγόντων ἀντίφασιν τὸν | ἕτερον ὡρισμένως ἀληθεύειν καὶ διὰ τοῦτο 119v ἐκβαίνειν τὸ ὑπ' ἐκείνου λεγόμενον), ὅπερ ἄν τις ἀπερισκέπτως εἶπεν ἐλέγχειν οἰόμενος τὴν ἐπιχείρησιν τῷ λέγειν 'ἀλλ' οὐδὲν γέγονε τοιοῦτον οὐδὲ προεῖπέ τις περὶ τοῦ πράγματος ὡς ἐκβησομένου, ἵνα καὶ ἀληθεύειν ἐκεῖνον συγχωρήσαντες ἀναγκαίως φῶμεν τὸ πρᾶγμα ἐκβεβηκέναι', τοῦτο θεὶς διαβάλλει καὶ δείκνυσιν οὐκ ὀρθῶς λεγόμενον· οὐ γὰρ διὰ τὸ ἀληθεῦσαι τοὺς πρὸ τῆς ἐκβάσεως τοῦ πράγματος εἰπόντας αὐτὸ ἐκβήσεσθαι φήσομεν ἐκβαίνειν τὸ πρᾶγμα, ἀλλ' ἔμπαλιν διὰ τὴν τοῦ πράγματος φύσιν ἀληθὴς ὁ περὶ αὐτοῦ λεγόμενος λόγος· ὡς γὰρ εἴρηται καὶ ἐν Κατηγορίαις, εἰ καὶ ἀντιστρέφουσι ταῦτα πρὸς ἄλληλα, ἥ τε τοῦ πράγματος φύσις καὶ ὁ ἀληθὴς περὶ αὐτοῦ λόγος, ἀλλ' οὐχ ὁ λόγος τῷ πράγματι τοῦ εἶναι αἴτιος ἀλλ' ἡ τοῦ πράγματος ὕπαρξις τοῦ ἀληθεύειν τὸν λόγον αἰτία· ὥστε εἰ μηδὲν ἔλαττον ἔχει τοῦ πράγματος ἡ ἔκβασις διὰ τὸ μὴ κατ' ἐνέργειαν προειρῆσθαι τὸν ἐκβήσεσθαι αὐτὸ ἀποφαινόμενον λόγον, πᾶσαι αἱ περὶ τῶν ἐνδεχομένως γινομένων πρὸ τῆς ἐκβάσεως λεγόμεναι προρρήσεις, εἴτε κατ' ἐνέργειαν εἴτε κατὰ δύναμιν, ἀληθεῖς ἔσονται. τούτου δὲ οὕτως ἔχοντος ἀναγκαίως ἐκβέβηκεν ἕκαστον αὐτῶν, καὶ οὐκ ἐνεδέχετο αὐτὸ μὴ ἐκβῆναι.

---

2 ἐκβαλ. F 4 ἡμῖν om. F 5 φησίν superscr. A 6 τοδί om. F 7 νηὸς Ga 8 πρότερος τὸν τρόπον τῆς ἐκ. ἀφ. εἰ ἔστιν F ἔσται M 8. 9 τὸ ἑκατέρας G¹ 9 ἑπόμ.] ἐσόμ. F 11 ἐκεῖνο] ἐκεῖ M ὁ ποιητὴς] Hom. I 412 12 τῇ om. M 13 ἀπὸ τοῦ πολ. G καὶ τὴν—ἀκλεὴς δέ (14)] τὴν μὲν μακροχρονίαν λάβοι, τὴν δὲ δόξαν ἀπολέσαι F 13 τῇ om. G 14 ἀκλ.] οὐκ εὐκλεὴς G προτιμήσας F 15 ὑπομνήσ. G 17 τὴν ἀντίφ. F ἀντίφασιν suppl. G² 18 ἥνπερ F εἶπεν] εἴπερ G 19 ἐλέγχει F οἰόμενος τὴν ἐπιχ.] ῥῆσιν F 21 ἐκεῖνο A: ἐκείνῳ a συγχωρήσαντος AMa θῶμεν M 23 αὐτὸ suppl. G² 25 ἐν Κατηγορίαις] c. 12 p. 14b14 29 ἔχειν Aa 30 αὐτῷ a 31 πρὸ τῆς ἐκβάσεως om. G 33 αὐτῶν suppl. G²

p. 19a7 Εἰ δὴ ταῦτα ἀδύνατα· ὁρῶμεν γὰρ ὅτι ἀρχή ἐστι τῶν ἐσομένων καὶ ἀπὸ τοῦ βουλεύεσθαι καὶ ἀπὸ τοῦ πρᾶξαί τι, καὶ ὅλως ὅτι ἔστιν ἐν τοῖς μὴ ἀεὶ ἐνεργοῦσι τὸ δυνατὸν εἶναι καὶ μὴ ὁμοίως· ἐν οἷς ἄμφω ἐνδέχεται καὶ τὸ εἶναι καὶ τὸ μὴ εἶναι, ὥστε καὶ τὸ γενέσθαι | καὶ τὸ μὴ γενέσθαι. καὶ πολλὰ 120r ἡμῖν δῆλά ἐστιν οὕτως ἔχοντα, οἷον ὅτι τοῦτο τὸ ἱμάτιον δυνατόν ἐστι διατμηθῆναι, καὶ οὐ διατμηθήσεται ἀλλ' ἔμπροσθεν κατατριβήσεται. ὁμοίως δὲ καὶ τὸ μὴ διατμηθῆναι δυνατόν· οὐ γὰρ ἂν ὑπῆρχε τὸ ἔμπροσθεν αὐτὸ κατατριβῆναι, εἴ γε μὴ δυνατὸν ἦν τὸ μὴ διατμηθῆναι. ὥστε καὶ ἐπὶ τῶν ἄλλων γενέσεων, ὅσαι κατὰ δύναμιν λέγονται τὴν τοιαύτην. φανερὸν οὖν ὅτι οὐχ ἅπαντα ἐξ ἀνάγκης οὔτε ἔστιν οὔτε γίνεται, ἀλλὰ τὰ μὲν ὁπότερ' ἔτυχε, καὶ οὐδὲν μᾶλλον ἡ κατάφασις ἢ ἡ ἀπόφασις ἀληθής, τὰ δὲ μᾶλλον μὲν καὶ ὡς ἐπὶ τὸ πολὺ θάτερον, οὐ μὴν ἀλλ' ἐνδέχεται γενέσθαι καὶ θάτερον, θάτερον δὲ μή.

Παραδοὺς ἡμῖν διὰ τῶν προλαβόντων ὅσα ἕπεται ἀδύνατα τοῖς ἀναιροῦσι τὸ ἐνδεχόμενον, ὅτι τὸ μάτην βουλεύεσθαι μάτην ἐγχειρεῖν ὅλως ταῖς πράξεσι καὶ ὅσα τούτοις ἑστὶν ἀκόλουθα, οἷον τὸ μάτην αἰτιᾶσθαί τινας ὡς συμπράττοντας ἡμῖν ἢ ἀντιπράττοντας, μάτην ἐπαινεῖν τινας ὡς ἀγαθοὺς ἢ ψέγειν ὡς κακούς, καὶ ὀνόματα κενὰ εἶναι τὰ πολυθρύλλητα ταῦτα, τὴν ἀρετὴν καὶ τὴν κακίαν (ποῦ γὰρ οἷόν τε ταῦτα χώραν ἔχειν, μηδενὸς ὄντος ἐφ' ἡμῖν ἀλλ' ἐξ ἀνάγκης ἡμῶν, ὡς ὁ ἐκείνων λόγος, ἐπὶ τὸ τάδε τινὰ πράττειν ἀγομένων; ἅπερ δηλονότι καὶ ἐναργῶς ἄλογα καὶ τὸν ὅλον τῶν ἀνθρώπων ἄρδην ἀνατρέπει βίον), προτίθεται διὰ τούτων καὶ ἐπ' εὐθείας ἐξ αὐτῆς τῆς ἐναργείας τῶν πραγμάτων ἐπιδεῖξαι ὅτι τε ἔστιν ἐν τοῖς οὖσι τὸ ἐνδεχόμενον καὶ ἐν τίσιν ἐστίν, ὅτι οὐκ ἐν τοῖς | ἀιδίοις ἀλλ' ἐν μόνοις τοῖς ἐν γενέσει καὶ φθορᾷ τὸ εἶναι ἔχουσιν. ὅτι 120v μὲν οὖν τό τε βουλεύεσθαι μεγάλην ἔχει πρὸς τὰς πράξεις δύναμιν καὶ πολλά ἐστιν ἐφ' ἡμῖν τῶν ὄντων, ἃ οὐκ ἂν ἐπράχθη μὴ βουλευσαμένων ἡμῶν καὶ ταῖς ὁδοῖς τῆς ἐκβάσεως αὐτῶν ἐγκεχειρηκότων, δείκνυσιν ἀπὸ τοῦ κατὰ τὸ ἱμάτιον παραδείγματος, ὃ ἐφ' ἡμῖν ἐστιν ἢ διατεμεῖν ἢ σῶον ἐᾶσαι καὶ ἀδιάτμητον, ἄχρις ἂν ἢ ἐν χρήσει ὂν καὶ φορούμενον κατατριβῇ ἢ καὶ ἄνευ χρήσεως κείμενον ὑπὸ τοῦ χρόνου κατασαπῇ. δῆλον δὲ ὅτι

---

1 δὴ] δὲ F ἔστιν ἀρχὴ colloc. Mab 2 ἐσομ.] εἰρημένων G καὶ ἀπὸ τοῦ βουλ. — μή (15) om. M βούλεσθαι A 3 καὶ ὅλως ὅτι — μὴ (15) om. Ga ὅτι ὅλως colloc. b 6 ὅτι om. F τουτὶ b 9 κατατρ. αὐτό colloc. F εἴ γε — διατμηθῆναι (10) suppl. F² 10 τὸ om. F διατμηθ. αὐτό A 11 οὖν] ἄρα b 14 τὸ om. F 16 παραδοὺς ἡμῖν om. M ἡμῖν om. F τὰ ἀδύν. G 17 τὸ suppl. G² 19 ἡμῖν om. G 21 χώραν ταῦτα colloc. A 23 ἅπερ] ἃ F 24 ἄρδην om. M 25 καὶ ἐξ αὐτῆς M ἐνεργ. Ma 30 ἐγχειρηκότων FG 31 ἐστιν suppl. G² 32. 33 κατατριβείη et κατασαπείη a

καὶ ἐπ' ἄλλων πολλάκις μυρίων οἱ αὐτοὶ ἁρμόσουσι λόγοι· ὥστε φανερὸν ὅτι πάντων τῶν οὕτω γινομένων κυρίους ἡμᾶς ἐποίησεν ἡ φύσις. ἅπερ ἐνδεικνύμενος ὁ Ἀριστοτέλης εἶπεν ὅτι ἀρχή ἐστι τῶν ἐσομένων καὶ ἀπὸ τοῦ βουλεύεσθαι καὶ ἀπὸ τοῦ πρᾶξαί τι, τῷ μὲν ὀνόματι τοῦ ἐσομένου ἐπὶ τοῦ μήπω μὲν ἐκβεβηκότος δυναμένου δὲ ἐκβῆναι, εἰ μή τι κωλύσοι, κοινότερον νῦν χρησάμενος, διὰ δὲ τοῦ πρᾶξαί τι δηλῶν τὸ ταῖς ἀρχαῖς ἐγχειρῆσαι τῆς πράξεως, ὅπερ πρότερον ἐκάλει πραγματεύεσθαι.

Ἐν τίσι δὲ τῶν ὄντων ἔχει τὴν ὑπόστασιν τὸ ἐνδεχόμενον, συντόμως ἐδίδαξεν εἰπὼν ὅτι ἐν τοῖς μὴ ἀεὶ ἐνεργοῦσι, ταὐτὸν δ' εἰπεῖν τοῖς ποτὲ μὲν οὖσι ποτὲ δὲ μὴ οὖσι· ταῦτα γὰρ μεταξὺ ὄντα τῶν τε ἀεὶ ὄντων καὶ τῶν ἀεὶ μὴ ὄντων ὡς μὲν ἐνεργοῦντα ὅλως διαφέροι ἂν τῶν ἀεὶ μὴ ὄντων, ὡς δὲ μὴ ἀεὶ ἐνεργοῦντα διαφέροι ἂν τῶν ἀεὶ ὄντων τε καὶ ἐνεργούντων. ποῖα δέ ἐστι τὰ μὴ ἀεὶ ἐνεργοῦντα, πάλιν συντόμως ἐδίδαξεν εἰπὼν ἐν οἷς ἄμφω ἐνδέχεται καὶ τὸ εἶναι καὶ τὸ μὴ εἶναι, τοῦτ' ἔστι τοῖς ἐν γενέσει | καὶ φθορᾷ· οὔτε γὰρ τῶν ἀεὶ μὴ ὄντων τι 121r δύναταί ποτε ἐνεργεῖν (πῶς γὰρ ὃ μηδὲ τὴν ἀρχὴν τοῦ εἶναι πέφυκε μετέχειν;) οὔτε τῶν ἀεὶ ὄντων τι δύναταί ποτε μὴ ἐνεργεῖν· εἰ γάρ ἐστιν ἀεὶ ὄν, δῆλον ὡς ἀεὶ τέλειόν ἐστι καὶ τὴν οὐσίαν τὴν ἑαυτοῦ κατὰ φύσιν ἔχον (οὐ γὰρ ἂν ἄλλως ἠδύνατο εἶναι ἀίδιον), τοιοῦτον δὲ ὂν ἕξει τινὰ πάντως οὐσιώδη ἐνέργειαν, καθ' ἣν ἀεὶ ἐνεργεῖν αὐτὸ ἀναγκαῖον, ἵνα μὴ καὶ ὁντινοῦν χρόνον ἀνενέργητον μένον ματαίαν δεικνύῃ τὴν ἑαυτοῦ φύσιν καὶ αὐτὸ τηνάλλως ἐγκαταλέγηται τοῖς οὖσιν. ὥστε εἰκότως τὰ ποτὲ μὲν ὄντα ποτὲ δὲ μὴ ὄντα τῶν ὄντων ἐχαρακτήρισεν ἀπὸ τοῦ μὴ ἀεὶ ἐνεργεῖν. πᾶσι μὲν οὖν τοῖς ἐνδεχομένοις τοῦτο ὑπάρχει τὸ δύνασθαι καὶ εἶναι καὶ μὴ εἶναι· ὥστε καὶ πρὸ τῆς ἐκβάσεως αὐτῶν ὑπάρξει αὐτοῖς τὸ δύνασθαι καὶ γενέσθαι καὶ μὴ γενέσθαι. ἀλλὰ τὰ μὲν αὐτῶν ὁμοίως ἔχει πρός τε τὸ εἶναι καὶ πρὸς τὸ μὴ εἶναι, διὸ καὶ πρὸς τὸ γενέσθαι καὶ τὸ μὴ γενέσθαι, ὅσα ἐπὶ τῇ προαιρέσει κεῖται τῇ ἡμετέρᾳ καὶ καλεῖται ὁπότερ' ἔτυχε, τὰ δὲ ἀποκλίνει μᾶλλον ἢ πρὸς τὸ εἶναι καὶ γενέσθαι καὶ λέγεται ὡς ἐπὶ τὸ πολύ, ἢ πρὸς τὸ μὴ εἶναι μηδὲ γενέσθαι καὶ λέγεται ὡς ἐπ' ἔλαττον, ἅπερ ἀμφότερα κοινῶς σημῆναι βουληθεὶς εἶπε τὰ δὲ μᾶλλον μὲν καὶ ὡς ἐπὶ τὸ πολὺ θάτερον, οὐ μὴν ἀλλ' ἐνδέχεται γενέσθαι καὶ θάτερον, θάτερον δὲ μή· ἔχει γὰρ τὸ μὲν οὕτως λεγόμενον ὡς ἐπὶ τὸ πολὺ τὴν

---

1 οἱ αὐτοὶ — γινομένων (2) in mrg. suppl. A 4 βουλεύσασθαι F 4. 5 τῶν ἐσομένων F 5 δὲ καὶ ἐκβῆναι F 6 κωλύσει a 10 ὅτι μὴ (sed μὴ del.) F 12 μὲν ἀεὶ ἐνεργ. a διαφέρει G¹ 13 μὴ ὄντων — τῶν ἀεὶ om. F τε om. M 16 τι post ποτε (17) colloc. G 17 δύνασθαι G ἐνεργεῖν — ποτε (18) om. M 18 μετ.] μὴ ἔχειν G δύναταί τι G ποτε om. F 19 τὴν (post οὐσίαν) om. A 20 ἀεὶ ὂν a 21 αὐτὸ ἐνεργ. colloc. F 22 ante ματ. add. καὶ G¹ δείκνυσι G 23 τηνάλλως] τοῖς ἄλλοτε ἄλλως ἔχουσι G τὰ om. M 27 τὰ] τὸ A 28 πρὸς τὸ suppl. G² καὶ τὸ μὴ γενέσθαι om. M καὶ πρὸς τὸ μὴ A 30 γίνεσθαι F 31 γίνεσθαι AFa: λέγεσθαι M 32 καὶ om. A 32. 33. 34 ἐπὶ πολὺ F

μὲν ἔκβασιν αὐτὸ τοῦτο ὡς ἐπὶ τὸ πολύ, ἐνδεχόμενον μέντοι καὶ τὸ μὴ ἐκβῆναι, εἰ καὶ σπανιώτερον τοῦ ἐκβῆναι, τὸ δὲ ἐπ' ἔλαττον τὸ μὲν μὴ ἐκβαίνειν | ὡς ἐπὶ τὸ πολύ, ἐνδεχόμενον μέντοι καὶ τὸ ἐκβαίνειν, εἰ καὶ 121v σπανιώτερον τοῦ μὴ ἐκβαίνειν. ἐπιτρέπων οὖν ἡμῖν τὸ ὡς ἐπὶ τὸ πολὺ θάτερον, τοῦ τε εἶναι δηλονότι καὶ τοῦ μὴ εἶναι, καὶ τὸ τούτῳ ἀντικείμενον καὶ ἐπ' ἔλαττον, ὃ καὶ αὐτὸ προσηγόρευσε θάτερον, μεθαρμόζειν ὡς ἂν ἐθέλωμεν πρός τε τὸ εἶναι καὶ τὸ μὴ εἶναι, διὰ τῶν αὐτῶν λεξειδίων περιέλαβε τὰ πλεῖστον ἀλλήλων διεστηκότα σημαινόμενα τοῦ ἐνδεχομένου, τό τε ἐπὶ τὸ πολὺ καὶ τὸ ἐπ' ἔλαττον. δῆλον δὲ ὅτι καὶ τοῖς πράγμασιν ὁμοίως ἔχουσιν αἱ περὶ αὐτῶν ἀποφάνσεις κατὰ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι.

p. 19a23 Τὸ μὲν οὖν εἶναι τὸ ὂν ὅταν ᾖ, καὶ τὸ μὴ ὂν μὴ εἶναι ὅταν μὴ ᾖ, ἀνάγκη· οὐ μέντοι οὔτε τὸ ὂν ἅπαν ἀνάγκη εἶναι οὔτε τὸ μὴ ὂν ἀνάγκη μὴ εἶναι· οὐ γὰρ ταὐτόν ἐστιν τὸ ὂν ἅπαν εἶναι ἐξ ἀνάγκης ὅτε ἐστί, καὶ τὸ ἁπλῶς εἶναι ἐξ ἀνάγκης. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ μὴ ὄντος. καὶ ἐπὶ τῆς ἀντιφάσεως ὁ αὐτὸς λόγος· εἶναι μὲν ἢ μὴ εἶναι ἅπαν ἀνάγκη, καὶ ἔσεσθαί γε ἢ μή· οὐ μέντοι διελόντα γε εἰπεῖν θάτερον ἀναγκαῖον. λέγω δὲ οἷον ἀνάγκη μὲν ἔσεσθαι ναυμαχίαν αὔριον ἢ μὴ ἔσεσθαι. οὐ μέντοι γενέσθαι ναυμαχίαν αὔριον ἀναγκαῖον οὐδὲ μὴ γενέσθαι. γενέσθαι μέντοι ἢ μὴ γενέσθαι ἀναγκαῖον. ὥστε ἐπεὶ ὁμοίως οἱ λόγοι ἀληθεῖς ὥσπερ τὰ πράγματα, δῆλον ὅτι ὅσα οὕτως ἔχει ὥστε ὁπότερ' ἔτυχεν εἶναι καὶ τὰ ἐναντία ἐνδέχεσθαι, ἀνάγκη ὁμοίως ἔχειν καὶ τὴν ἀντίφασιν. ὅπερ συμβαίνει ἐπὶ τοῖς μὴ ἀεὶ οὖσιν ἢ μὴ ἀεὶ μὴ οὖσι· τούτων γὰρ ἀνάγκη μὲν θάτερον μόριον τῆς ἀντιφάσεως ἀληθὲς εἶναι ἢ ψεῦδος, οὐ μέντοι | τόδε ἢ τόδε ἀλλ' ὁπότερ' ἔτυχε, καὶ μᾶλλον μὲν 122r ἀληθῆ τὴν ἑτέραν, οὐ μέντοι ἤδη ἀληθῆ ἢ ψευδῆ. ὥστε δῆλον ὅτι οὐκ ἀνάγκη πάσης καταφάσεως καὶ ἀποφάσεως τῶν ἀντικειμένων τὴν μὲν ἀληθῆ τὴν δὲ ψευδῆ εἶναι· οὐ γὰρ ὥσπερ ἐπὶ τῶν ὄντων, οὕτως ἔχει καὶ ἐπὶ τῶν μὴ ὄντων μὲν δυνατῶν δὲ εἶναι, ἀλλ' ὥσπερ εἴρηται.

Πρόκειται μὲν ἐν τούτοις αὐτὸν λοιπὸν τὸν λόγον τὸν ἀναιρεῖν δοκοῦντα τὸ ἐνδεχόμενον σαθρὸν ἐπιδεῖξαι καὶ μηδὲν ἀναγκαῖον συνάγοντα,

---

2 ἐκβαίνειν (pr. l.) M εἰ] ἢ A ἐκβῆναι (alt.) — σπανιώτερον τοῦ (4) om. M ἐπ' om. F 3 ὡς—μὴ ἐκβαίνειν (4) om. F 4. 9 ἐπὶ πολὺ F 5 τούτων AG 6 ἐπ' ἔλ.] ἐπίδηλον G¹ αὐτὸς GMa 7 ἐθέλοιμεν AMa πρὸς τὸ μὴ εἶναι καὶ τὸ εἶναι AFa: πρὸς τὸ εἶναι καὶ μὴ εἶναι M 12 μὴ ὂν—εἴρηται (32) om. M 13 οὐ — εἴρηται (32) om. G μέντοι] μὴν b 14 ἀνάγκη om. b οὐ γὰρ — εἴρηται (32) om. a 16 ἀντιφ. δὲ F 18 γε (post διελ.) om. F 20 μέντοι ἔσεσθαί γε αὔριον ναυμ. b 23 εἶναι om. b 31 μὲν suppl. F²: om. AF¹ δυνατὸν A 33 μὲν οὖν G τὸν (post λόγον) om. F 34 ἀναγκ.] ἐναντίον G

προήει δὲ οὗτος ἐκ τῶν ἤδη ἐκβεβηκότων ἀξιῶν κρίνεσθαι τὰ ἔτι μέλλοντα· λαβὼν γὰρ ὡς εἰ ἔστι τι νῦν λευκόν, ἀνάγκη ἀληθεύειν τὸν αὐτὸ τοῦτο λέγοντα περὶ αὐτοῦ ὅτι ἔστι λευκόν, καὶ οὐ νῦν μόνον ἀλλὰ καὶ ἐν ἅπαντι τῷ πρόσθεν χρόνῳ ἀληθὲς ἦν προλέγειν ὅτι ἔσται λευκόν (ὡς οὐδὲν τοῦτο ἐκείνου διαφέρον), καὶ ὅτι ὅπερ ἐν παντὶ τῷ πρόσθεν χρόνῳ ἀληθὲς ἦν εἰπεῖν ὅτι ἔσται λευκὸν ἀνάγκη γενέσθαι, συνάγειν ἠξίου τὸ πάντα ἐξ ἀνάγκης γίνεσθαι τὰ γινόμενα. πρὸς τοῦτον τοίνυν τὸν λόγον ἐνιστάμενος διὰ τούτων ὁ Ἀριστοτέλης πάνυ τεχνικῶς, πρὶν διελέσθαι τὰς εἰς τὸν μέλλοντα χρόνον γινομένας ἀποφάνσεις, πῶς μὲν ἔχουσι τὸ ἐξ ἀνάγκης ἀληθεύειν πῶς δὲ οὐκ ἔχουσι, διορίζεται πρότερον περὶ τῶν κατὰ τὸν ἐνεστῶτα χρόνον γινομένων, καὶ τὴν διαφορὰν αὐτῶν ἀπὸ τῆς φύσεως τῶν πραγμάτων λαμβάνων, ἐπειδὴ χρὴ τὸν ἀληθεύοντα λόγον συνᾴδειν ἐξ ἀνάγκης τῷ πράγματι περὶ οὗ ἀποφαίνεται, διττὸν εἶναί φησι τὸ ἀναγκαῖον, τὸ μὲν τὸ ἁπλῶς καὶ κυρίως λεγόμενον, ὅπερ ἐστὶ | τὸ ἀεὶ ὑπάρχον τῷ ὑποκειμένῳ 122v ὡς οὐδὲ ὑφεστάναι χωρὶς αὐτοῦ δυναμένῳ (τοῦ ἀεὶ ἤτοι κατὰ τὸν ἄπειρον χρόνον λαμβανομένου ὡς ἐπὶ τῶν ἀιδίων, οἷον ὅταν λέγωμεν ἐξ ἀνάγκης κινεῖσθαι τὸν ἥλιον ἢ τοῦ τριγώνου τὰς γωνίας δυσὶν ὀρθαῖς ἴσας εἶναι, ἢ ἕως ἂν ὑπάρχῃ τὸ ὑποκείμενον, ὡς ὅταν εἴπωμεν ἐξ ἀνάγκης τόδε τὸ πῦρ θερμὸν εἶναι ἢ τὸν Σωκράτην ζῷον εἶναι), τὸ δὲ οὐ τοιοῦτον ἀλλὰ μετὰ μὲν προσδιορισμοῦ τοῦ ἕως ἂν ᾖ τὸ κατηγορούμενον ὑπὸ τοῦ λέγοντος οὕτως αὐτὸ ἔχειν ἀληθεῦον, ἁπλῶς δὲ οὐκέτι, εἴτε ἀίδιον εἴη τὸ ὑποκείμενον εἴτε φθαρτόν· τὸ γὰρ ἐξ ἀνάγκης ἐπιπροσθεῖσθαι ὑπὸ τοῦ νέφους ἢ τῆς σελήνης τὸν ἥλιον, ἕως ἂν ἐπιπροσθῆται, ἀληθές, ἁπλῶς δὲ οὐκέτι, καὶ τὸ ἐξ ἀνάγκης καθέζεσθαί σε ἢ βαδίζειν, ἕως ἄν τι τούτων ὑπάρχῃ σοι, ἀληθές, ἁπλῶς δὲ οὐκέτι· οὔτε γὰρ ἀεὶ βαδίζομεν ἢ καθεζόμεθα, οὔτε μὴν ἕως ἂν τοῦ εἶναι μετέχωμεν. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἐξ ἀνάγκης μὴ ὄντος· καὶ γὰρ τοῦτο διττόν, τὸ μὲν ἁπλῶς (οἷον τὸ μὴ εἶναι τὴν διάμετρον σύμμετρον τῇ πλευρᾷ ἢ τὸ μὴ παύεσθαι τῆς κινήσεως τὸν ἥλιον ἢ τὸ μὴ εἶναι τόδε τὸ πῦρ ψυχρόν), τὸ δὲ ἕως ἂν μὴ ᾖ τὸ κατηγορούμενον, οἷον τὸ ἐξ ἀνάγκης μὴ βαδίζειν, ὅταν μὴ βαδίζῃς· οὐ γὰρ ἁπλῶς τοῦτο ἀληθές, ἀλλ' ἕως ἂν μὴ βαδίζῃς, ἐπειδὴ ἀδύνατον τὸν μὴ βαδίζοντα ὅτε μὴ βαδίζει ἅμα καὶ βαδίζειν. καὶ ἔχεις ἐν τούτοις τὴν κατὰ τὰς ὕλας διαφορὰν τῶν προτάσεων παραδεδομένην· τὸ μὲν γὰρ ἁπλῶς ὂν τὸ ἀναγκαῖον σημαίνει, τὸ δ' ἁπλῶς μὴ ὂν τὸ ἀδύνατον, τὸ δὲ ἔστ'

---

1 προείη AF 2 λευκὸν νῦν colloc. a 5 διαφέρει F ἅπαντι a
6 λευκόν om. F: del. G συνάγειν — γίνεσθαι om. M τὸ] τὰ A: om. a 7 ἱστάμ. A: ἀνιστάμ. F 9 ἀποφάσεις Ma 13 διττὸν δὲ F τὸ (post μὲν) om. AG¹
15 χωρὶς αὐτοῦ ὑφ. (num. corr.) G 17 τῆς τρυγώνου (sic) F δύο AFMa ἢ om. M 18 ἕως] ὡς G¹ ὑπάρχει F ἐξ ἀνάγκης om. G 19 σωκράτη A
20 λέγ.] μέλλοντός F 21 αὐτὸ om. G 22 ὑπὸ νέφους ἢ ὑπὸ τῆς σελ. F 24 καὶ τὸ — οὐκέτι (25) om. M 25 post ἁπλῶς δὲ add. ἤτοι κυρίως καὶ ἀιδίως a 26 μετέχομεν A 28 τῇ πλ. συμ. colloc. F 29 ἕως] ὡς a τὸ (ante κατ.) om. G
30 βαδίζη Fa: βαδίσης G 31 βαδίζῃς] βαδίζη Fa 32 ἐν τούτοις om. F

ἂν ᾖ τὸ κα|τηγορούμενον τῷ ὑποκειμένῳ ὂν καὶ ἔστ' ἂν μὴ ᾖ μὴ ὂν 123r
τὸ ἐνδεχόμενον.

Ταῦτα διελόμενος ὁ Ἀριστοτέλης παραπλησίως τοῖς ἐπὶ τῶν ὄντων εἰρημένοις ἔχειν φησὶ τὸ ἀναγκαῖον τὴν ἐν τοῖς λόγοις ἀλήθειαν· τοὺς μὲν γὰρ αὐτῶν ἐξ ἀνάγκης ἀληθεύειν κατὰ τὸ ἁπλῶς λεγόμενον ἀναγκαῖον, ἐφ' οἵων ἂν λέγωνται πραγμάτων, εἴτε ἀιδίων εἴτε φθαρτῶν εἴτε ὄντων εἴτε μὴ ὄντων, ὡς τοὺς κατὰ τὴν ὅλην ἀντίφασιν προφερομένους, οἷον ὅτι Σωκράτης ἢ βαδίζει ἢ οὐ βαδίζει (τὸ γὰρ ὅλον τοῦτο ἀνάγκη εἶναι ἀληθὲς οὐ μόνον ὄντος ἀλλὰ καὶ μὴ ὄντος Σωκράτους) καὶ ὅτι τὸ πῦρ ἢ θερμὸν ἢ οὐ θερμόν, εἰ καὶ συμβαίνει ἐπὶ τῶν τοιούτων διὰ τὴν τοῦ πράγματος φύσιν θάτερον μόριον τῆς ἀντιφάσεως ἀφωρισμένως ἀληθεύειν, καὶ οὐ τὴν ὅλην ἀντίφασιν μόνον. τοὺς μὲν οὖν τῶν λόγων οὕτως ἔχειν φησὶ τὸ ἐξ ἀνάγκης ἀληθεύειν κατὰ τὸ ἁπλῶς ἀναγκαῖον, τοὺς δὲ κατὰ τὸν ἕτερον τρόπον, ἕως ἂν ὑπάρχῃ ἢ μὴ ὑπάρχῃ τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ, ὡς τὸ ἐξ ἀνάγκης βαδίζειν ἢ ἐξ ἀνάγκης μὴ βαδίζειν τὸν Σωκράτην· οὕτως γὰρ ἀνάγκη τὸ ἀληθὲς ἔχειν τοὺς λόγους, ὅπερ φησὶν ὁ Ἀριστοτέλης, ὡς ἔχει φύσεως τὰ ὑπ' αὐτῶν σημαινόμενα πράγματα, ἐπεὶ καὶ εἰσὶν ἐξηγηταὶ τῶν πραγμάτων οἱ λόγοι καὶ διὰ τοῦτο μιμοῦνται αὐτῶν τὴν φύσιν, ὡς πρὸ τοῦ Ἀριστοτέλους ὁ Πλάτων ἡμᾶς ἐδίδαξεν.

Ἀλλὰ τί ταῦτα φαίης ἂν πρὸς τὸ προκείμενον καὶ πῶς διὰ τούτων σαλεύεται ὁ ἀναιρεῖν δοκῶν τὸ ἐνδεχόμενον λόγος; ὅτι, φήσω, εἰ μὲν πᾶς λόγος εἶχε τὸ ἐξ ἀνάγκης ἀληθεύειν κατὰ τὸ ἁπλῶς ἀναγκαῖον, | εἰκότως 123v
ἐλάμβανον οἱ ἀναιροῦντες τὸ ἐνδεχόμενον ἐκ τοῦ ὁρᾶν ἐξ ἀνάγκης ἀληθεύοντας τοὺς λόγους τοὺς οἰκείους τῇ ἐκβάσει τῶν πραγμάτων περὶ τῶν ἤδη ἐκβεβηκότων ἀποφαινομένους ὅτι καὶ οἱ πρὸ τῆς ἐκβάσεως αὐτῶν διαβεβαιούμενοι ἐκβήσεσθαι αὐτὰ τὸ ἀληθὲς ἐξ ἀνάγκης ἔχουσι, καὶ οὕτως τῷ ὄντι συνέβαινεν ἀναιρεῖσθαι τὸ ἐνδεχόμενον. ἐπεὶ δὲ τοῦτο τῇ μὲν ὅλῃ ἀντιφάσει, ὥσπερ ἐλέγομεν, ὑπάρχει, τοῖς δὲ μέρεσιν αὐτῆς, ἐφ' ὧν τὸ κατηγορούμενον ποτὲ μὲν ὑπάρχει τῷ ὑποκειμένῳ ποτὲ δὲ οὐχ ὑπάρχει, οὐκέτι, δῆλον ὅτι οὐ συνάγουσιν ὅπερ προτίθενται· οἷον, ὅπερ αὐτός φησιν, ἀνάγκη πάντως αὔριον ἢ γενέσθαι ἢ μὴ γενέσθαι ναυμαχίαν, οὐ μέντοι διελόντες καὶ τὸ ἕτερον μόνον μόριον τῆς ἀντιφάσεως εἰπόντες ἀσφαλῶς ἀποφανούμεθα ὅτι ἔσται πάντως ἢ οὐκ ἔσται πάντως. δῆλον ἄρα ὅτι ἀνάγκη τοὺς περὶ τῶν ἐνδεχομένων ἀποφαινομένους λόγους (ὅπερ ἐσήμηνε τῇ ἀναιρέσει τῶν ἄκρων, τοῦ ἀναγκαίου λέγω καὶ τοῦ ἀδυνάτου, ὧν τὸ μὲν ἐκάλεσεν ἀεὶ ὂν τὸ δὲ ἀεὶ μὴ ὄν) μὴ πάντως ἔχειν τὸ ἕτερον

---

1 τῷ ὑποκειμένῳ om. F 6 λέγονται G 10 ἢ θερμόν ἐστιν Fa συμβαίνοι Ma 11 μόριον] μόνον A 12 μόνως a 13 ἔχει GMa 16 τῷ σωκράτει F σωκράτη A ἔχεις F 18 post λόγοι add. δῆλον F: διὸ G 19 post ὡς add. καὶ G² ὁ Πλάτων] Cratyl. c. 3 p. 385 B sq. 27 τὸ ἀλ. ἔχ. ἐξ ἀν. colloc. M: ἐξ ἀν. τὸ ἀλ. ἔχ. a 29 ἐλέγομεν] v. 7 αὐτοῖς F 31 οὐκέτι om. A ὅτι ὡς AMa 32 ἢ γενέσθαι αὔρ. colloc. A 33 μόνον om. AG 36 p. 155,6 ἐσήμανε M

μόριον τῆς ἀντιφάσεως ἀφωρισμένως ἀληθεῦον, ὅπερ ἦν τὸ ἐξ ἀρχῆς ἡμῖν εἰς ἐπίσκεψιν προκείμενον, ἀλλ' ἤτοι ἄμφω ὁμοίως δεκτικὰ ψεύδους τε καὶ ἀληθείας, ὡς τὰ περὶ τῶν ὁπότερ' ἔτυχεν ἐνδεχομένων ἀποφαινόμενα, ἢ τὸ μὲν ἕτερον μᾶλλον ἀληθεύειν πεφυκὸς τὸ δὲ ἕτερον ψεύδεσθαι μᾶλλον, 25
5 οὔτε μέντοι τὸ ἀληθεῦον ἀεὶ ἀληθεῦον οὔτε τὸ ψευδόμενον ἀεὶ ψευδόμενον, ὅπερ ἐσήμηνε διὰ τοῦ οὐ μέντοι ἤδη ἀληθῆ ἢ ψευδῆ. δῆλον δὲ ὅτι ἐπὶ μὲν τοῦ ὡς ἐπὶ τὸ πολὺ | λεγομένου ἡ κατάφασίς ἐστιν ἡ μᾶλλον 124r ἀληθής, ἐπὶ δὲ τοῦ ὡς ἐπ' ἔλαττον ἡ ἀπόφασις.

p. 19b5 Ἐπεὶ δέ ἐστί τι κατά τινος ἡ κατάφασις σημαίνουσα,
10 τοῦτο δέ ἐστιν ἢ ὄνομα ἢ τὸ ἀνώνυμον, ἓν δὲ δεῖ εἶναι καὶ καθ' ἑνὸς τὸ ἐν τῇ καταφάσει (τὸ δὲ ὄνομα εἴρηται καὶ τὸ 5 ἀνώνυμον πρότερον· τὸ γὰρ οὐκ ἄνθρωπος ὄνομα μὲν οὐ λέγω, ἀλλ' ἀόριστον ὄνομα· ἓν γάρ πως σημαίνει τὸ ἀόριστον ὄνομα, ὥσπερ καὶ τὸ οὐχ ὑγιαίνει οὐ ῥῆμα λέγω, ἀλλ' ἀόριστον),
15 ἔσται πᾶσα κατάφασις ἢ ἐξ ὀνόματος καὶ ῥήματος ἢ ἐξ ἀορί- 10 στου ὀνόματος καὶ ῥήματος· ἄνευ δὲ ῥήματος οὐδεμία κατάφασις οὐδὲ ἀπόφασις· τὸ γὰρ ἔστιν ἢ ἦν ἢ γίνεται ἢ ὅσα ἄλλα τοιαῦτα ῥήματα ἐκ τῶν κειμένων ἐστί· προσσημαίνει γὰρ χρόνον. ὥστε πρώτη κατάφασις καὶ ἀπόφασις τὸ ἔστιν ἄνθρω-
20 πος — οὐκ ἔστιν ἄνθρωπος, εἶτα ἔστιν οὐκ ἄνθρωπος — 15 οὐκ ἔστιν οὐκ ἄνθρωπος, πάλιν ἔστι πᾶς ἄνθρωπος — οὐκ ἔστι πᾶς ἄνθρωπος, ἔστι πᾶς οὐκ ἄνθρωπος — οὐκ ἔστι πᾶς οὐκ ἄνθρωπος. καὶ ἐπὶ τῶν ἐκτὸς δὲ χρόνων ὁ αὐτὸς λόγος.

Παντοδαπῶς λεπτουργήσας τὴν διδασκαλίαν τῶν ἐξ ὑποκειμένου καὶ 20
25 κατηγορουμένου προτάσεων ὡς ὡρισμένου ὄντος τοῦ ὑποκειμένου, προστίθησι διὰ τούτων ὅτι ὅσαι εἰσὶν ἐκεῖναι τὸν ἀριθμόν, τοσαύτας ἑτέρας ἀνάγκη γίνεσθαι προστάσεις ἐξ ὑποκειμένου πάλιν καὶ κατηγορουμένου, ἀλλ' 25 οὐκέτι ὡρισμένου ὄντος τοῦ ὑποκειμένου ἀλλ' ἀορίστου. ὁ μὲν οὖν ὑποκείμενος ἢ ὡρισμένος ἢ ἀόριστος λαμβανόμενος τοῦ αὐτοῦ κατηγορουμένου
30 ὄντος διάφορα ποιήσει καταφάσεών τε | καὶ ἀποφάσεων εἴδη, ὁ δέ γε 124v κατηγορούμενος ποτὲ μὲν ὡρισμένος ποτὲ δὲ ἀόριστος ληφθεὶς τοῦ αὐτοῦ ὑποκειμένου μένοντος οὔτε καταφάσεις διαφόρους οὔτε ἀποφάσεις ποιήσει·

---

1 ἀρχῆς] ἀνάγκης F 4 ἕτερον μᾶλλον iteratum del. A ἀληθ. μᾶλλον colloc. M
5 οὔτε (prius)] οὐ M ἀεὶ ψευδόμενον om. M 6 ὅτι ὡς M 8 ὡς om. M 9 ἀπόφασις G 10 τοῦτο — λόγος (23) om. M 11 post ἑνὸς superscr. καὶ G² τὸ δὲ — λόγος (23) om. a 13 ἓν — λόγος (23) om. G σημαίνει καὶ b (recte, cf. 156,21) ὄνομα om. b (cf. 156,21) 14 λέγω om. b ἀλλ' ἀόρ. ῥῆμα b 15 κατάφ. καὶ ἀπόφασις Ab (cf. p. 157,4) 17 οὔτε F ἔστιν ἢ ἔσται b 19 πρώτη ἔσται b 24 τῶν] τὴν G 26. 27 ἀν. ἑτέρας (num. corr.) G 27 μὲν πάλιν F 29 ἢ ὡρισμένος om. F λαμβανόμενος om. F
30 καταφάσεως . . ἀποφάσεως F 31 ἀορίστως A

φανερὸν γὰρ ὅτι ὡρισμένου μὲν αὐτοῦ ὄντος ἀνάγκη καταφατικὴν εἶναι τὴν πρότασιν, ἀορίστου δὲ ἀποφατικὴν ἢ ἰσοδυναμοῦσαν ἀποφάσει, ἐπὶ μὲν τῶν καθ' ἕκαστα πάντως ἀπόφασιν τὴν ἀντιφάσκουσαν πρὸς τὴν κατάφασιν, ἐπὶ δὲ τῶν ἀδιορίστων πάντως μὲν πάλιν ἀπόφασιν, ἀλλ' οὐ πάντως τὴν ἀντιφάσκουσαν πρὸς τὴν κατάφασιν ἀλλ' ἐνίοτε καὶ συνᾴδειν αὐτῇ δυναμένην, ἐπὶ δὲ τῶν διωρισμένων οὐκέτι μὲν οὐδὲ καθαρῶς κατά γε τὴν λέξιν ἀπόφασιν ἀλλὰ ταὐτὸν τῇ καθαρῶς ἀποφάσει δυναμένην, πάλιν δὲ ἐπὶ μὲν τῶν κατὰ μέρος ἢ τὴν ἀντιφάσκουσαν ἢ τὴν συνᾴδουσαν, ὡς ἐπὶ τῶν ἀδιορίστων, ἐπὶ δὲ τῶν καθόλου ἢ τὴν ἀντιφάσκουσαν ἢ τὴν ἐναντίαν, ὡς ἔμπροσθεν διωρίσαμεν. ὥστε εἰκότως κατὰ μόνην τὴν τοῦ ὑποκειμένου διαφορὰν ἀμείβεσθαί φησι τὰ εἴδη τῶν τοιούτων ἀντιφάσεων ὁ Ἀριστοτέλης. ἵνα δὲ μή τις ὑπολάβῃ μηδ' ἂν γενέσθαι τὴν ἀρχὴν πρότασιν ἐξ ἀορίστου ὑποκειμένου, διότι, ὡς εἴρηκε πρότερον, τὴν μίαν πρότασιν ἓν χρὴ ἔχειν τὸ ὑποκείμενον καὶ ἓν τὸ κατηγορούμενον, ἓν δὲ οὐ τῷ ὀνόματι ἀλλὰ τῷ σημαινομένῳ, ὅπερ οὐχ ὑπάρχει τῷ ἀορίστῳ ὀνόματι (ἓν γὰρ ἀναιροῦν τὸ ὑπὸ τοῦ ὡρισμένου δηλούμενον τοῖς παρ' αὐτὸ πᾶσιν ἐφαρμόττει), διὰ τοῦτο τίθησί τε τὴν ἔννοιαν τῆς τοιαύτης ἀπορίας ὁ φιλόσοφος, ἀναμιμνήσκων ἡμᾶς τοῦ ἓν δεῖν εἶναι τὸ κατηγορούμενον ἐν τῇ μιᾷ κα|ταφάσει καὶ καθ' ἑνὸς λέγεσθαι ὑποκειμένου, καὶ 125r ἐπιδείκνυσιν ὑπάρχον τοῦτο καὶ ταῖς ἐξ ἀορίστου ὑποκειμένου προτάσεσι τῷ εἰπεῖν ἓν γάρ πως σημαίνει καὶ τὸ ἀόριστον ὄνομα, οὐ παρελκόντως τὸ πως προσθεὶς ἀλλ' ὑπὲρ τοῦ ἐνδείξασθαι ὅτι οὐ φύσιν μίαν σημαίνει, καθάπερ τὸ ὡρισμένον· ἐκεῖνο γὰρ εἰ μὴ ὁμώνυμον εἴη, ἢ τῷ γένει ἕν τι σημαίνει ἢ τῷ εἴδει ἢ τῷ ἀριθμῷ, τούτων δὲ ἕκαστον ὥρισται, τὸ δὲ ἀόριστον οὐχ οὕτως. κἂν ἑνικῶς αὐτὸ προφέρωμεν 'οὐκ ἄνθρωπος' λέγοντες, ἀλλὰ κοινωνίαν μόνον πρὸς ἄλληλα πάντων τῶν παρὰ τὸ σημαινόμενον ὑπὸ τοῦ ὡρισμένου κατ' αὐτὸ τοῦτο τὸ μηδὲν αὐτῶν εἶναι, ὅπερ ἐκεῖνο. διὸ καὶ λέγει ἑνικῶς τὸ δὲ ἀόριστον. τοῦτο τὸ ὄνομα εἰκότως ἀνώνυμον ἐκάλεσεν ἐνδεικνύμενος τὸ στερητικὸν αὐτὸ δηλοῦν τοῦ σημαινομένου ὑπὸ τοῦ ὡρισμένου ὀνόματος. ἐπεὶ δὲ νῦν πρῶτον πεποίηται μνήμην τοῦ ἀνωνύμου τούτου ὑποκειμένου, εἰκότως ἐπισημαίνεται ὅτι τοῦτό ἐστιν, ὃ πρότερον παραδέδωκεν ἀόριστον ὄνομα αὐτὸ προσαγορεύων, ἐν οἷς καὶ τὴν τοῦ ἀορίστου ῥήματος ἔννοιαν ἡμῖν παραδίδου. φανερὰ δὲ τῆς

---

4 ἀδιορ.] ἀορίστων G 6 δυναμένη F ὡρισμ. G¹ 7. 8 πάλιν δὲ om. A: δὲ om. G 10 πρόσθεν διωρισάμεθα (ὡς om.) F (cf. p. 94,29 sq.) 11 ἀντιφ.] φωνῶν M 12 δὲ om. G ὑπολάβοι AGM: ὑπολάβοιεν a 13 ἀόρ. ὑποκ.] ὑποκ. μόνου ὁ ἀριστοτέλης τοῦ A: ὑποκ. μόνου G: ὑποκ. μόνου τοῦ αὐτοῦ M: ὑποκ. μόνου τοῦ a εἴρηκε] εἴρηται AGMa (cf. p. 18a 13) 14 ἓν χρὴ] ἐχρῆν F: om. A ἓν καὶ ἓν (alt. l.) F 18 τοῦ] ὡς G δεῖ Ga 19 τῇ om. G καὶ ἐπιδ.—ὑποκειμένου (20) om. F 21 τῷ] τὸ A ὄνομα om. b 24 ἕν τι σημ.] ἐπισημ. F 25 κἂν] καὶ G¹ προσφέρωμεν A: προφέρομεν G ὁ οὐκ Ga 26 κοινωνίαν—ἄλληλα om. G πάντα τὰ G 28 λέγεται F δὲ post τοῦτο transponas τὸ (alt.) om. F 29 ἀνωνύμως A στέρησιν G 30 πρῶτον om. M 31 μνήμης Ma 32 πρότερον] p. 16a32b14

λέξεως ἡ ἀκολουθία, καὶ εἰ μεταξὺ παρεμβαλὼν τὴν διδασκαλίαν τοῦ ἀνω-
νύμου ὑποκειμένου ἠνάγκασται διὰ μακροῦ ποιήσασθαι τὴν ἀπόδοσιν· ἔχει
γὰρ οὕτως· ἐπεὶ δέ ἐστί τι κατά τινος ἡ κατάφασις σημαίνουσα, 25
τοῦτο δέ ἐστιν ἢ ὄνομα ἢ τὸ ἀνώνυμον, ἔσται πᾶσα κατάφασις
5 ἢ ἐξ ὀνόματος καὶ ῥήματος ἢ ἐξ ἀορίστου ὀνόματος καὶ ῥή-
ματος.

Λέγεται δὲ τοῦτο δηλονότι περὶ τῆς ἁπλουστάτης καταφάσεως | τῆς 125v
ἐξ ὑποκειμένου μόνον καὶ κατηγορουμένου, περὶ ἧς καὶ πρόκειται αὐτῷ
νῦν διδάσκειν· ὥστε οὐ χρὴ ζητεῖν πῶς ἂν ἐφαρμόσειε τοῦτο ἢ ταῖς ἐκ
10 τρίτου προσκατηγορουμένου καταφάσεσιν ἢ ταῖς μετὰ τρόπου. ἀλλὰ πῶς 5
ἑξῆς τούτοις ἐπιφέρει τὸ ἄνευ ῥήματος μηδεμίαν εἶναι οὐ μόνον κατάφασιν
ἀλλὰ καὶ ἀπόφασιν, εἴπερ τὰς ἀποφάσεις ἐκ τῶν ἀορίστων συμβαίνει γίνε-
σθαι ῥημάτων; ἢ ῥητέον, ὅπερ Ἀλέξανδρός φησιν, ὅτι τὸ ἀόριστον ῥῆμα
καὶ τὸ τοῦ ὑποκειμένου ἀποφασκόμενον καὶ τὴν ἀπόφασιν ποιοῦν τῷ μὲν 10
15 ὑποκειμένῳ τὰ αὐτὰ ὄντα τυγχάνουσι, τῇ μέντοι σχέσει διαφέρουσί πως
ἀλλήλων· τὸ γοῦν 'οὐ βαδίζει' καθ' ἑαυτὸ μὲν λεγόμενον ἀόριστον εἴη ἂν
ῥῆμα ὡς ἕν τι θεωρούμενον καὶ οὐδὲν μέρος καθ' ἑαυτὸ σημαντικὸν ἔχον,
καθάπερ εἴρηται πρότερον, ἐν μέντοι τῇ ἀποφάσει τῇ λεγούσῃ 'Σωκράτης 15
οὐ βαδίζει' οὐκ ἂν εἴποιμεν ἀκριβολογεῖσθαι βουλόμενοι τὸ 'οὐ βαδίζει'
20 ῥῆμα εἶναι ἀόριστον, ἀλλὰ μᾶλλον ῥῆμα καθ' ἑαυτὸ μὲν ὡρισμένον τοῦ
δὲ ὑποκειμένου ἀποφατικῶς κατηγορούμενον καὶ διὰ τοῦ ἀρνητικοῦ μορίου 20
διακρινόμενον ἀπ' αὐτοῦ, ὡς ἐνταῦθα μηκέτι μὲν ὡς ἓν ἀλλ' ὡς δύο λαμ-
βάνεσθαι [τὸ οὐχ ὑγιαίνει], τοῦ ἀρνητικοῦ μορίου τὸ διακεκρίσθαι τὸ κατη-
γορούμενον ἀπὸ τοῦ ὑποκειμένου ἐμφαίνοντος. μήποτε δὲ δυνατὸν ᾗ λέγειν
25 καὶ ὅτι ἐν τῷ ἄνευ δὲ ῥήματος οὐδεμία κατάφασις οὐδὲ ἀπό- 25
φασις τὸ τοῦ ῥήματος ὄνομα κοινότερον εἴληπται κατά τε τοῦ ὡρισμένου
καὶ τοῦ ἀορίστου, διδάσκοντος μὲν τοῦ Ἀριστοτέλους, ὅπερ εἴρηται καὶ
πρότερον, ὅτι πρὸς τὸ γενέσθαι ἀπο|φαντικὸν λόγον δεῖ πάντως ῥήματος, 126r
ἐξεπίτηδες δὲ νῦν πάλιν τοῦτο προσθέντος ἐν τῇ θεωρίᾳ τῶν ἐξ ἀορίστου
30 τοῦ ὑποκειμένου προτάσεων, ἵνα μή τις ὑπολάβῃ τὰ ἀόριστα ὀνόματα,
περὶ ὧν ἦν προσεχῶς ὁ λόγος, ἀρκεῖν καὶ καθ' ἑαυτὰ λεγόμενα πρὸς 5
γένεσιν ἀποφάσεως, ἐπεὶ καὶ φαντασίαν ἀποτελοῦσι τοῦ παραπλησίαν δύνα-
μιν ἔχειν ταῖς ἀποφάσεσιν, ὅπερ ἐν τοῖς ἑξῆς σαφέστερον παραδώσει.
κρατύνων δὲ τὸ εἰρημένον ὅτι πρὸς πᾶσαν κατάφασίν τε καὶ ἀπόφασιν δεῖ

---

1 παρεμβάλλων (ον F¹) F 2 ὑποκειμένου om. M ἠναγκάσθαι A 3 οὗτος G¹
4 κατάφ. καὶ ἀπόφασις b 10 τοῦ τρόπου a 11 τὸ om. Fa 12. 13 γίν.
συμβ. ῥημ. (num. corr.) G 14 καὶ τὸ A: καὶ τὸ κατὰ F: καὶ GM: κατὰ a
16 μὲν suppl. G² ἂν εἴη colloc. AM 18 εἴρηται πρότερον] p. 47,18 51,25
19 βαδίζειν (alt. l.) A 20 ἀόρ. εἶναι colloc. G 21 καταφατ. (ἀπο superscr.) G
22 μέν] μένον G: om. F (fort. recte) 23 τὸ οὐχ—διακεκρίσθαι om. F τὸ οὐχ
ὑγιαίνει inclusi: ποιεῖ G post μορίου iter. διακριν. (22)—ἀρνητικοῦ G 24 ἐμφαί-
νοντες AF 27 καὶ ὅπερ Ma 27. 28 εἴρηται καὶ πρότ.] p. 17a 10 28 ἀποφατ. M
29 δὲ suppl. G² προθέντος F τῶν] τοῦ M 30 προσάσεως M ἀπολάβῃ
F: ὑπολάβοι G 31 ἦν] νῦν Ma 32 τοῦ om. M 33 ἐπιδώσει G¹

ῥήματός τινος, ἐπάγει τὸ γὰρ ἔστιν ἢ ἦν ἢ γίνεται καὶ τὰ ἑξῆς, ὡς ἐναργοῦς μὲν ὄντος τοῦ μηδὲν μήτε ὡρισμένον μήτε ἀόριστον ὄνομα μήτε ἓν μήτε πολλὰ ποιεῖν αὐτοτελῆ λόγον δίχα τούτων τινός, τοῦ ἔστι λέγω ἢ τοῦ ἦν καὶ τῶν τούτοις παραπλησίων, ἐφιστάνειν δὲ ἡμῶν ὀφειλόντων ὅτι ταῦτα, ὧν προσδεδέηται τὰ ὀνόματα τά τε ὡρισμένα καὶ τὰ ἀόριστα πρὸς τὸ ποιῆσαι κατάφασιν ἢ ἀπόφασιν, ῥήματά ἐστιν ὡς τὸν ἀποδεδομένον τοῦ ῥήματος ὁρισμὸν ἐπιδεχόμενα τὸ χρόνον τινὰ προσσημαίνειν.

Ἐπὶ τούτοις τὴν τάξιν ἡμῖν παραδίδωσι τῆς εἰρημένης τῶν προτάσεων διαφορᾶς καί φησι προηγεῖσθαι τὰς ὡρισμένῳ ὑποκειμένῳ χρωμένας τῶν ἀόριστον αὐτὸν ἐχουσῶν, ἅτε ἁπλουστέρας αὐτῶν οὔσας, παραβάλλων πρὸς ἀλλήλας, τὰς δὲ κατὰ τὸ αὐτὸ εἶδος λεγομένας πρώτας μὲν ὡς ἁπλουστάτας τὰς ἄνευ προσδιορισμοῦ πρὸς τὰς μετὰ προσδιορισμοῦ, δευτέρας δὲ ὡς ἐκείνων συνθετωτέρας τὰς πλεονασάσας αὐτῶν κατὰ τοὺς προσδιορισμούς. λαμβάνει δὲ τῶν μὲν ἄνευ προσδιορισμοῦ οὐ τὰς καθ' | ἕκαστα ἀλλὰ τὰς ἀπροσδιορίστους. τῶν δὲ μετὰ προσδιορισμοῦ οὐ τὴν 126v κατὰ μέρος κατάφασιν ἀλλὰ τὴν καθόλου, ὡς τοῦ αὐτοῦ δηλονότι λόγου καὶ ἐπὶ τῶν παραλελειμμένων προτάσεων ἐφαρμόζοντος. τῆς μέντοι καθόλου καταφάσεως τῆς τε ὡρισμένον ἐχούσης τὸν ὑποκείμενον καὶ τῆς ἀόριστον οὐκ ἔλαβε τὴν κυρίως ἀπόφασιν τὴν ἀντιφατικῶς ἀεὶ πρὸς αὐτὴν ἀντικειμένην, ἀλλ' ὥσπερ ἐλέγομεν πρότερον. τὴν δοκοῦσαν μὲν ἐπαμφοτερίζειν καὶ συνᾴδειν τῇ τε ἀντιφασκούσῃ καὶ τῇ ἐναντίᾳ, μᾶλλον μέντοι τῇ ἀντιφασκούσῃ ταὐτὸν δυναμένην· τοιαῦται γὰρ ἥ τε 'οὐκ ἔστι πᾶς ἄνθρωπος' καὶ ἡ 'οὐκ ἔστι πᾶς οὐκ ἄνθρωπος', ἡ μὲν τῇ 'οὐ πᾶς ἄνθρωπός ἐστιν' ἡ δὲ τῇ 'οὐ πᾶς οὐκ ἄνθρωπός ἐστι' ταὐτὸν φθεγγομένη. τοῦτο δέ, διότι οὐκ ἦν προκείμενον παραδιδόναι νῦν πάλιν τὴν ἀντιφατικὴν τῶν προτάσεων ἀντίθεσιν, ἀλλ' ἐπισημήνασθαι μόνον ὅτι προηγοῦνται αἱ ἐξ ὡρισμένου τοῦ ὑποκειμένου προτάσεις τῶν ἐξ ἀορίστου. ἅμα δὲ ἴσως καὶ διδάξαι ἡμᾶς ὁ φιλόσοφος ἠβουλήθη ὅτι καὶ αἱ τοιαῦται προτάσεις συντάττοιντο ἂν ταῖς ἀποφάσεσι. δεῖ δὲ ἐφιστάνειν ὅτι ἀκριβῆ ἐν τούτοις ὁ Ἀριστοτέλης παραδείγματα παρέθετο τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεων ἔστιν ἄνθρωπος εἰπὼν καὶ ἔστι πᾶς ἄνθρωπος, ἀλλ' οὐ καθάπερ πρότερον ἔλεγεν "ἔστιν ἄνθρωπος λευκός" καὶ "ἔστιν ἄνθρωπος καλός", αἳ ἦσαν ἐκ τρίτου προσκατηγορουμένου προτάσεις. τοῦτο δέ, διότι ἐν ἐκείνοις μὲν οὔπω τελέως παρεδέδοτο ἡ θεωρία τῶν προκει-

---

1 ἔστιν ἢ ἔσται b γίν.] ἔσται M 4 τοῦ] τὸ F καὶ] ἢ G 5 προσδέεται F: προσδέδεκται Ma ante πρὸς add. ἃ AMa 7 προσσημ. χρ. (τινὰ om.) G 8 προτ.] πράξεων A¹ 9 ὡρισμένως G¹ 11 παραβάλλων πρὸς ἀλλήλας post λεγομένας transponas πρῶτον F 12 τὰς (prius) om. AMa πρὸς τὰς ἄνευ μετὰ A: καὶ τὰς μετὰ F: πρὸς τὰ μετὰ M 18. 19 ἀορίστου F 20 ὑποκειμένην G¹ ἐλέγομεν πρότ.] p. 120,7 22 δυναμένη F 23 ἡ μὲν] τῇ μὲν F 24 φθεγγ.] φυλαττομένη G¹ 25 πάλαι A 26 ἐπισημεῖν. F 27 ὑποκ. προτ. ὡρ. (τοῦ om. et ὡρ. προτ. corr.) G 29 ἀκριβῶς G 29. 30 παραδ. ὁ ἀρ. colloc. M 31 ἔστι πᾶς ἄνθρ. εἰπὼν καὶ ἔστι πᾶς οὐκ ἄνθρ. G ἄνθρωπος (post πᾶς) iter. del. M 32 πρότ. ἔλεγεν] p. 17b 31. 32 34 ὅτι F μὲν om. F παρεδίδοτο F: παραδέδοτο G

μένων προτάσεων, διόπερ ἀδιαφορώτερον | ἐχρῆτο τοῖς παραδείγμασι· 127ʳ
νῦν μέντοι ἀκριβῶς αὐτὴν διαρθρώσας εἰκότως τὰ οἰκεῖα τῷ εἴδει τῶν
προκειμένων προτάσεων παρέθετο παραδείγματα. δῆλον δὲ ἐκ τῶν εἰρη-
μένων καὶ ὅτι οὐ ταὐτόν ἐστιν ὡρισμένον ἢ ἀόριστον ὄνομα λέγειν 5
5 καὶ διωρισμένον ἢ ἀδιόριστον· τὰ μὲν γὰρ πρότερα ποιεῖ τὸ ἀρνητικὸν
μόριον προσκείμενον τοῖς ὀνόμασιν ἢ μή, τὰ δὲ ὕστερα οἱ προσδιορισμοί.
ἄχρι τούτων προήγαγεν ὁ Ἀριστοτέλης τὴν θεωρίαν τῶν ἐξ ὑποκειμένου
καὶ κατηγορουμένου προτάσεων. διὸ καὶ ἡμεῖς περὶ τῶν ἐφεξῆς ἄλλην 10
ἀρχὴν ἀρξάμενοι λέγωμεν.

10 p. 19ᵇ19 Ὅταν δὲ τὸ ἔστι τρίτον προσκατηγορῆται, ἤδη διχῶς
λέγονται αἱ ἀντιθέσεις, λέγω δὲ οἷον ἔστι δίκαιος | ἄνθρω- 127ᵛ
πος· τὸ ἔστι τρίτον φημὶ συγκεῖσθαι ὄνομα ἢ ῥῆμα ἐν τῇ
καταφάσει. ὥστε διὰ τοῦτο τέτταρα ταῦτα ἔσται, ὧν τὰ μὲν
δύο πρὸς τὴν κατάφασιν καὶ ἀπόφασιν ἕξει κατὰ τὸ στοιχοῦν
15 ὡς αἱ στερήσεις, τὰ δὲ δύο οὔ. λέγω δὲ ὅτι τὸ ἔστιν ἢ τῷ 5
δικαίῳ προσκείσεται ἢ τῷ οὐ δικαίῳ, ὥστε καὶ ἡ ἀπόφασις·
τέτταρα οὖν ἔσται. νοοῦμεν δὲ τὸ λεγόμενον ἐκ τῶν ὑπο-
γεγραμμένων· ἔστι δίκαιος ἄνθρωπος — ἀπόφασις τούτου — οὐκ
ἔστι δίκαιος ἄνθρωπος, ἔστιν οὐ δίκαιος ἄνθρωπος — ἀπό-
20 φασις τούτου — οὐκ ἔστιν οὐ δίκαιος ἄνθρωπος· τὸ γὰρ ἔστιν 10
ἐνταῦθα καὶ τὸ οὐκ ἔστι τῷ δικαίῳ προσκείσεται καὶ τῷ οὐ
δικαίῳ. ταῦτα μὲν οὖν, ὥσπερ ἐν τοῖς Ἀναλυτικοῖς λέγεται,
οὕτω τέτακται.

Ἄρχεται μὲν οὖν ἐντεῦθεν τὸ τρίτον τοῦ βιβλίου κεφάλαιον, ὅπερ 15
25 ἐλέγομεν εἶναι περὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου προτάσεων. δεῖ
δὲ καὶ ἐν τούτοις πρὶν διασαφῆσαι τὰ ὑπὸ τοῦ Ἀριστοτέλους λεγόμενα
πρῶτον ἡμᾶς ἐπισκέψασθαι τίνα τε τρόπον ἐπὶ τούτων τῶν προτάσεων ἐκ
τῶν καταφάσεων ποιοῦμεν τὰς ἀποφάσεις καὶ πῶς ἂν λαβόντες αὐτὰς μετὰ 20
τῆς προσηκούσης ἀκριβείας συνέλοιμεν αὐτῶν τὸν πάντα ἀριθμόν. ὅτι
30 μὲν οὖν οὐ τῷ ὑποκειμένῳ τῷ ἐν τῇ καταφάσει συνταχθὲν τὸ ἀρνητικὸν
μόριον ἐξεργάζεται τὴν ἀπόφασιν, φανερόν, εἴπερ μηδὲ ἐπὶ τῶν ἐξ ὑποκει-
μένου καὶ κατηγορουμένου τοῦτον ἐγίνοντο τὸν τρόπον αἱ ἀποφάσεις, ἀλλ' 25

---

1 ἀδιαφορώτερα G 2 ἀκριβῶς αὐτὴν om. G 4 καὶ ὅτι] ὡς G 4. 5 ὄνομα —ἀδιόριστον om. M 5 διορισμ. F 6 προκείμ. M 7 τὴν θεωρίαν τὴν τῶν a 9 λέγομεν AMa 10 ante lemma add. τμῆμα τρίτον AG²: ἀρχὴ τοῦ τρίτου τμήματος F: περὶ τοῦ τρίτου τμήματος M: ἀρχὴ τοῦ τρίτου τμήματος. Περὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου προτάσεων a: om. G¹ ἤδη—τέτακται (23) om. M 11 λέγω—τέτακται (23) om. a 13 ἔσται ταῦτα colloc. b 15 λέγω—τέτακται (22) om. G 17 νοῶμεν F 19. 20 ἔστιν οὐ δίκ. ἄνθρ.—ἄνθρωπος suppl. in mrg. A τούτου ἀπόφ. colloc. b 21 προσκείσ. post οὐ δικ. colloc. F 23 τετ.] γέγραπται A¹ 24 μὲν om. M οὖν om. FG 25 ἐλέγομεν] p. 8,17 27 τε om. GM 29 συνέλοιμεν scripsi: συνέλωμεν libri 30 οὖν om. M 31 ἐργάζ. AGM 32 ἐγίνετο G

ἡ ζήτησις γίνεται περὶ τῶν λοιπῶν παρὰ τὸν ὑποκείμενον δύο λέξεων, τοῦ τε κατηγορουμένου καὶ τοῦ προσκατηγορουμένου, οἷον τοῦ τε δίκαιος | καὶ τοῦ ἔστι, ποτέρῳ αὐτῶν χρὴ τὸ οὐ συντάττειν, ἵνα ποιήσωμεν ἀπό- 128ʳ φασιν. φανερὸν οὖν ὅτι οὐ τῷ κατηγορουμένῳ αὐτὸ συντακτέον, ἀλλὰ τῷ προσκατηγορουμένῳ· ὁ μὲν γὰρ εἰπὼν 'ἄνθρωπος οὐ δίκαιός ἐστιν' ἄνθρω- πόν τινα μὴ δίκαιον ὑπάρχειν φησίν, ὁ μέντοι λέγων 'ἄνθρωπος δίκαιος οὐκ ἔστιν' ἀποφαίνεται μὴ ὑπάρχειν τῷ ἀνθρώπῳ τὸ δίκαιον. τῶν δὲ ἀποφαντικῶν λόγων, ὡς ἔμπροσθεν ἐδιδάχθημεν, ὁ μὲν ὑπάρχειν τι λέγων κατάφασίς ἐστιν, ὁ δὲ μὴ ὑπάρχειν ἀπόφασις. καὶ ὅρα ὅτι εὐλόγως τῷ ἔστι συνταχθεῖσα ἐπὶ τούτων ἡ ἄρνησις ἀποτελεῖ τὴν ἀπόφασιν· ἐπεὶ γὰρ καὶ ὁ κατηγορούμενος ἐν ταῖς τοιαύταις προτάσεσιν ὄνομά ἐστιν, οἷον τὸ δίκαιος, καὶ οὐ δύναται καθ' ἑαυτὸν συνδυασθεὶς τῷ ὑποκειμένῳ τέλειον ἐργάσασθαι λόγον, ἔδει αὐτοῖς ὥσπερ δεσμοῦ τινος τοῦ συνδέοντος αὐτοὺς πρὸς ἀλλήλους καὶ τέλειον ποιοῦντος τὸν λόγον, ὃ ποιεῖ τὸ ἔστι. τοῦτο οὖν εἴη ἂν τὸ τὴν κυριωτάτην ἔχον ἐν τῇ προτάσει δύναμιν. διὸ καὶ τὴν προσηγορίαν ἀφ' ἑαυτοῦ δίδωσι ταῖς τοιαύταις προτάσεσι· καλοῦμεν γὰρ αὐτὰς ἐκ τρίτου προσκατηγορουμένου. τοῦτο ἄρα χρὴ ἀνελεῖν ὑπὲρ τοῦ καὶ ὅλην τὴν κατάφασιν ἀναιρεθῆναι καὶ γενέσθαι τὴν ἀπόφασιν. τὸ μὲν οὖν 'ἄνθρωπος δίκαιος οὐκ ἔστιν' ἀπόφασις, τὸ δὲ 'ἄνθρωπος οὐ δίκαιός ἐστι' κατάφασις. ἀλλ' ἐπεὶ πάσης καταφάσεως ἔστι τις ἀπόφασις, κατὰ τὴν αὐτὴν μέθοδον εὑρήσομεν τὴν ταύτης ἀπόφασιν γινομένην τὴν λέγου- σαν 'ἄνθρωπος οὐ δίκαιος οὐκ ἔστιν'. ὥστε δύο ἐνταῦθα γίνονται ἀντι- φάσεις ἀπροσδιόριστοι, τοῦ ὑποκειμένου | ὡρισμένου ὄντος, καίτοι ἐπὶ 128ᵛ τῶν ἁπλῶν μία ἐγίνετο μόνη· ἐκεῖ μὲν γὰρ ὁ κατηγορούμενος μετὰ τῆς ἀρνήσεως ληφθεὶς εὐθὺς ἀπόφασιν ἐποίει, ἐνταῦθα δὲ καταφάσεως ἄλλο εἶδος. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων πασῶν ἀντιφάσεων, οἷον τῶν τε καθ' ἕκαστα καὶ τῶν διαγωνίων, κατὰ πάντα χρόνον καὶ πᾶσαν ὕλην λαμβανομένων, τῶν τε ὡρισμένον ἐχουσῶν τὸν ὑποκείμενον καὶ τῶν ἀόρι- στον. διπλασίονες οὖν ἔσονται αὗται τῶν ἐξ ὑποκειμένου καὶ κατηγορου- μένου μόνον. ἐκεῖναι δὲ ἦσαν, ὡς ἐδείκνυμεν, ἑβδομήκοντα καὶ δύο. ἔσονται οὖν δηλονότι αὗται ἑκατὸν τετταράκοντα καὶ τέτταρες. πᾶσαι δὲ ἅμα διακόσιαι δέκα καὶ ἕξ.

Τούτων προληφθέντων ἐπισκεψώμεθα ἑξῆς τὰ διὰ τῆς ἐκτεθείσης

---

1 τὸ ὑποκ. FG δύο λεξ. post λοιπῶν colloc. F 3 ποτέρῳ δὴ χρὴ αὐτῶν G συνάπτειν AG 5 ἄνθρωπος suppl. G² 5. 6 ὑπάρχ. φησὶν ἄνθρ. τινὰ μὴ δ. colloc. F: ὑπάρχ. τινὰ φησὶν ἄνθρ. μὴ δ. G 7 ἀποφαίν. μὲν A 8 ἀποφατ. M ἔμπροσθεν ἐδιδ.] p. 16ᵃ25 sq. 16 δίδοσι A γὰρ] γοῦν AFM 17 ἀναιρεῖν Ma 18 τὴν ὅλην FG 19 δίκαιος—ἄνθρωπος suppl. G² ἄνθρωπος (alt.) om. M 20 πάσῃ καταφάσει G 21 τὴν (ante ταύτης) om. F 21. 22 λέγουσιν F¹ 22 οὐκ (ante ἔστιν) om. M 23 ὑποκειμένου ex ὡρισμένου corr. G² 24 ἁπλῶν] ἄλλων F ἐγένετο AGa μόνη om. G 24. 25 ληφθ. μ. τ. ἀρ. (num. corr.) G 25 ἀπόφανσιν A 28 ὡρισμένων F¹ τὸ ὑποκ. F τὸν ἀόρ. A 29 ἑξ om. F ante ὑποκ. add. ὕλης del. A 30 ἐδείκνυμεν] p. 91,2 33 τούτων οὖν a

ῥήσεως ὑπὸ τοῦ Ἀριστοτέλους λεγόμενα, ἐνταῦθα μὲν πάνυ ἀσαφῶς καὶ 15
δι' αἰνιγμάτων ῥηθέντα, πρὸς δὲ τῷ πέρατι τοῦ προτέρου βιβλίου τῶν
προτέρων Ἀναλυτικῶν διηρθρωμένως παραδιδόμενα, ὅθεν καὶ λαβόντες οἱ
ἐξηγηταὶ παρακολουθῆσαί τε τοῖς διὰ τούτων ὑπὸ τοῦ φιλοσόφου λεγομένοις 20
5 ἠδυνήθησαν καὶ διασαφῆσαι αὐτά. τῶν δὴ γινομένων ἐν ταῖς νῦν προ-
κειμέναις ἡμῖν προτάσεσι δύο ἀπροσδιορίστων ἀντιφάσεων τὴν μὲν ἑτέραν
καλεῖ ὁ Ἀριστοτέλης ἁπλῆν, τὴν ὡρισμένον τὸ κατηγορούμενον ἔχουσαν, ὡς
κατ' αὐτὸ τοῦτο τῆς ἑτέρας ἁπλουστέραν οὖσαν, τὴν δὲ ἑτέραν ἀόριστον 25
διὰ τὸ ἀόριστον εἶναι τὸ ἐν αὐτῇ κατηγορούμενον. ὁ μέντοι ἑταῖρος αὐ-
10 τοῦ Θεόφραστος ὀνομάζει αὐτὴν ἐκ μεταθέσεως, δι' ἣν ἑξῆς ἐροῦμεν
αἰτίαν. ἐκθέμενος οὖν τὰς ἁπλᾶς προτάσεις, | τὴν 'ἄνθρωπος δίκαιός ἐστι' 129r
καὶ τὴν 'ἄνθρωπος δίκαιος οὐκ ἔστιν', ἀξιοῖ ζητεῖν τῇ καταφατικῇ αὐτῶν
ποτέρα ἕπεται τῶν λοιπῶν, τοῦτο δέ ἐστι συναληθεύει, ὥστε ἐφ' ὧν ἡ
ἁπλῆ κατάφασις ἀληθεύει, καὶ τὴν ἕπεσθαι αὐτῇ λεγομένην πάντως ἀληθῆ 5
15 καταλαμβάνεσθαι· οὕτω γὰρ καὶ τῷ ἀνθρώπῳ λέγομεν ἕπεσθαι τὸ ζῷον,
διότι ἐφ' οὗ τὸ ἄνθρωπος ἀληθές, ἐπὶ τούτου καὶ τὸ ζῷον. καὶ εὑρίσκει
οὕτως ἔχουσαν οὐ τὴν ἐξ ἀορίστου κατηγορουμένου κατάφασιν, ἀλλὰ τὴν
ἀπόφασιν αὐτῆς· ἐφ' οὗ γὰρ τὸ 'ἄνθρωπος δίκαιός ἐστιν' ἀληθές, οἷον 10
Σωκράτους, ἐπὶ τούτου ψεῦδος μὲν τὸ 'ἄνθρωπος οὐ δίκαιός ἐστιν', ἀλη-
20 θὲς δὲ τὸ 'ἄνθρωπος οὐ δίκαιος οὐκ ἔστιν'· ὁ γοῦν Σωκράτης δι' αὐτὸ τὸ
εἶναι δίκαιος μὴ δίκαιος μὲν εἶναι οὐκ ἂν ῥηθείη, μὴ εἶναι μέντοι μὴ
δίκαιος λέγοιτο ἂν τῷ ἀναιρεῖσθαι ἀπ' αὐτοῦ τὸ μὴ δίκαιον, ὅ φαμεν 15
αὐτῷ μὴ ὑπάρχειν, καὶ τὰς δύο τοῦ δικαίου ἀρνήσεις μίαν θέσιν αὐτοῦ
πάλιν σημαίνειν διὰ τὸ δεκτικὸν εἶναι δικαιοσύνης τὸ ὑποκείμενον. ἐκτι-
25 θέμενος οὖν ἐπὶ διαγράμματος τὰς προτάσεις, ὅπερ καὶ ἡμεῖς ὑπετάξαμεν.
καὶ ὑπὸ τὴν ἁπλῆν κατάφασιν τάξας τὴν ἀόριστον ἀπόφασιν, ἀναγκαίως 20
λοιπὸν ὑπὸ τὴν ἀπόφασιν τὴν ἁπλῆν τίθησι τὴν ἀόριστον κατάφασιν. διὸ
καὶ ἐκάλεσεν αὐτὰς Θεόφραστος ἐκ μεταθέσεως, ὅτι μετατέθειται αὐτῶν
ἐν τῷ διαγράμματι ἡ τάξις καὶ ὑπὸ μὲν τὴν ἁπλῆν κατάφασιν τέτακται
30 ἡ τούτων ἀπόφασις, ὑπὸ δὲ τὴν ἁπλῆν ἀπόφασιν ἡ κατάφασις, ἣ καὶ ὅτι 25
μετατεθέντος τοῦ ὡρισμένου κατηγορουμένου καὶ τεθέντος τοῦ ἀορίστου
γεγόνασιν. ἀλλ' ὅτι μὲν τῆς ἁπλῆς καταφάσεως ἀληθευούσης ἡ ἐκ μετα-
θέσεως | ἀπόφασις πάντως ἀληθεύει, φανερόν. ἆρα δέ γε καὶ ἀντιστρέ- 129v
φει ὁ λόγος, ὥστε τῆς ἀορίστου ἀποφάσεως ἀληθευούσης τὴν ἁπλῆν κατά-
35 φασιν πάντως ἀληθεύειν; ἢ οὔ, ἀλλ' ἔστιν ἐφ' ὧν ἡ μὲν εἰρημένη ἀπό-
φασις ἀληθής, ἡ δὲ ἁπλῆ κατάφασις ψευδής, οἷον ἐπὶ τῶν ὅλως μὴ ὄντων 5
ἀνθρώπων· τὸν γοῦν κύνα εἰπεῖν μὲν μὴ εἶναι ἄνθρωπον μὴ δίκαιον ἀλη-

---

3 Ἀναλυτ.] c. 46 p. 51b5 6 ὑμῖν AMa 7 τὸ] τὸν G¹ 7. 8 ὡς—οὖσαν om. M
10 θεόφραστος suppl. in mrg. G (cf. Zelleri Phil. Gr. III³ p. 816) 12 τὴν om. AFMa
13 προτέρα Aa ἕπεσθαι a συναληθεύειν AMa 16 ἀφ' F ἀληθής M 17 κατη-
γορουμένην F 20 αὐτὸ om. M 21 εἶναι (ante οὐκ) om. F 24. 25 ἐκτιθέμενος—
ἡμεῖς ὑπετάξαμεν] haec figura apud Arist. (p. 19b31) et Amm. (p. 159,23) desideratur (cf.
p. 165,4 not.) 25 ὥσπερ F 26 ἀόριστον iter. A 28 ὁ θεόφρ. G 30 καὶ om. F
33 γε καὶ om. G 34 τῆς τοῦ ἀορ. AMa 37 ante δικ. add. εἶναι a

θές (ὅλως γὰρ μὴ ὢν ἄνθρωπος δῆλον ὅτι οὔτε δίκαιος λέγοιτο ἂν εἶναι ἄνθρωπος οὔτε μὴ δίκαιος), τὸ μέντοι εἰπεῖν αὐτὸν εἶναι ἄνθρωπον δίκαιον ψεῦδος. ὥστε ἐπὶ πλέον εἴη ἂν ἡ ἐκ μεταθέσεως ἀπόφασις τῆς ἁπλῆς καταφάσεως. τῆς ἄρα ἀποφάσεως τῆς ἁπλῆς ἐπ' ἔλαττον ἔσται ἡ ἐκ μεταθέσεως κατάφασις· εἰ γὰρ ἐπὶ πάντων ἢ ἡ κατάφασις ἡ ἁπλῆ ἀληθὴς ἢ ἡ ἀπόφασις, ὁμοίως δὲ καὶ ἤτοι ἡ κατάφασις ἡ ἐκ μεταθέσεως ἢ ἡ ἀπόφασις, ἐπὶ πλειόνων δὲ ὡμολόγηται ἀληθεύειν ἡ ἐκ μεταθέσεως ἀπόφασις ἤπερ ἡ ἁπλῆ κατάφασις, ἡ ἄρα κατάφασις ἡ ἐκ μεταθέσεως ἐπὶ τῶν λοιπῶν ἐλαττόνων ὄντων ἀληθεύσει ἤπερ ἡ ἁπλῆ ἀπόφασις· ὑποκείσθωσαν γὰρ τὰ ὄντα πάντα, φέρε εἰπεῖν χίλια τὸν ἀριθμόν, καὶ τῆς καταφάσεως τῆς ἁπλῆς ἀληθευούσης καθ' ὑπόθεσιν ἐπὶ τετρακοσίων ἡ ἐκ μεταθέσεως ἀπόφασις ἐπὶ πλέον ἀληθὴς οὖσα λόγου χάριν ἀληθευέτω ἐπὶ ἑξακοσίων· φανερὸν ἄρα ὅτι τῶν λοιπῶν δύο προτάσεων ἡ μὲν ἁπλῆ ἀπόφασις ἐπὶ τῶν λοιπῶν ἑξακοσίων ἀληθεύσει, ἡ δέ γε ἐκ μεταθέσεως κατάφασις ἐπὶ τῶν λοιπῶν τετρακοσίων παρὰ τὴν οἰκείαν ἀπόφασιν ἀληθεύουσα ἐπ' ἔλαττον ἔσται τῆς | ἁπλῆς ἀποφάσεως. 130r

Ἀλλ' οὕτως μὲν χρῆσθαι ἀναγκαζόμεθα τῷ τὰς ἀπροσδιορίστους ἀντιφάσκειν ἀλλήλαις, εἴπερ ἀξιοῦμεν ἐπὶ ἑκάστου τῶν ὄντων τὴν ἑτέραν αὐτῶν ἀληθεύειν. ἄμεινον δὲ ἴσως καὶ ταῖς ἐννοίαις τοῦ Ἀριστοτέλους ἀκολουθότερον ἀπὸ τῶν πραγμάτων πιστοῦσθαι τὸ ἐπ' ἔλαττον εἶναι τὴν ἄνευ προσδιορισμοῦ λεγομένην ἀόριστον κατάφασιν τῆς ἁπλῆς ἀποφάσεως· εἴ τις μὲν γάρ ἐστιν οὐ δίκαιος ἄνθρωπος, οὗτος δίκαιος ἄνθρωπος οὐκ ἔστιν, οὐ μὴν εἴ τις οὐκ ἔστι δίκαιος ἄνθρωπος, ἤδη καὶ ἔστιν οὐ δίκαιος ἄνθρωπος. ἐπὶ γοῦν τοῦ ὅλως μὴ ὄντος ἀνθρώπου ἀληθεύει μὲν ἡ ἁπλῆ ἀπόφασις, ψεύδεται δὲ ἡ ἀόριστος κατάφασις. ἡ δέ γε προτέρα ἐπιχείρησις, ᾗ καὶ αὐτὸς ὁ Ἀριστοτέλης πρὸς τῷ πέρατι τοῦ πρώτου τῶν Ἀναλυτικῶν φαίνεται χρώμενος, ἐπὶ μὲν τῶν ἀντιφασκουσῶν ἀλλήλαις προτάσεων, ὅπερ ἐν ἐκείνοις ὑπέθετο, εὐοδώσει, ἐπὶ δὲ τῶν συναληθεύειν ποτὲ δυναμένων οὐ προχωρήσει. ὅλως δὲ χρὴ ἐφιστάνειν ὅτι τὰς ἀπροσδιορίστους ἐπὶ διαφόρων μὲν τοῦ ὑποκειμένου μερῶν ἅμα δυναμένας ἀληθεύειν καταλαμβάνομεν ὁμοίως ταῖς κατὰ μέρος, ὡς ἔμπροσθεν διωρίσαμεν, καθ' ἑνὸς μέντοι καὶ τοῦ αὐτοῦ κατηγοροῦντες αὐτὰς ἢ κατ' ἐνέργειαν ἢ κατ' ἐπίνοιαν ἀεὶ διαιρεῖν εἰκότως μετ' ἐκείνου φαμὲν τό τε ἀληθὲς καὶ τὸ ψεῦδος· ἀνάγκη γὰρ τῶν τε ὄντων καὶ τῶν μὴ ὄντων ἕκαστον ἢ εἶναι τυχὸν ἄνθρωπον δίκαιον ἢ μὴ εἶναι. δῆλον δὲ ὅτι κατὰ ταύτην τὴν

---

1 δηλονότι post δίκαιος transp. G¹ οὔτε] οὐδὲ FG²M: μηδὲ G¹ λέγοιτο om. G 3 ἂν εἴη colloc. GM 5 ἢ om. a 6 κατάφ.] ἀπόφασις F 7 ἀπόφ.] κατάφασις F 8 εἴπερ G 8. 9 ἡ ἄρα—ἀπόφασις om. F 9 ὄντως M 9. 10 ὑποκείσθω G 12 ἐπὶ πλείονα ἀληθεύουσα G 13 τῶν ἑξακ. Ma ἐπὶ τῶν λοιπ. AM 14 ἑξακ.] φησὶν G¹: φ' G² ἀληθεύει G 15 τετρακοσίων om. FG οἰκείαν] ἁπλῆν a ἀπόφασιν εἶναι FG 16 τῆς iter. A ἀποφάσεως] καταφάσεως Ma 17 τῷ] τὸ F 26 ὁ ἀρ. αὐτὸς colloc. G 26. 27 Ἀναλυτ.] c. 46 p. 51 b 32 29. 30 ἀδιοριστ. FGM 30 δυναμένων F¹G¹ 31 ἔμπροσθεν διωρ.] p. 110,22 sq. 32 κατηγοροῦντος G¹ ἢ] οὐχὶ G² 33 ἐκείνας G 35 κατ' αὐτὴν G

ἔννοιαν θεωροῦντες τὰς προτάσεις, περὶ ὧν ὁ λόγος, καὶ τὸ ἐπὶ πλέον ἢ ἐπ' ἔλαττον ἀληθεύειν ἐπ' αὐτῶν | λέγομεν, ὥσπερ καὶ ὅταν τοῦ ἀνθρώ- 130v
που λέγωμεν ἐπὶ πλέον εἶναι τὸ ζῷον· οὐδὲν γὰρ ἄλλο διὰ τούτου σημαί-
νομεν ἢ ὅτι ἐφ' ὧν μὲν τὸ ἄνθρωπος ἀληθὲς κατηγορεῖν, ἐπὶ τούτων καὶ
5 τὸ ζῷον, οὐ μέντοι ἔμπαλιν. αὗται μὲν οὖν οὕτως ἔχουσι τῆς πρὸς ἀλλή- 5
λας ἀκολουθίας.

Ἐπεὶ δὲ παραλαμβάνει καὶ ἑτέρας τινὰς ἐν τῷ διαγράμματι προτά-
σεις ὁ Ἀριστοτέλης, ἁπλᾶς μὲν καὶ αὐτὰς οὔσας διαφερούσας δὲ τῶν αὐτὸ
τοῦτο ἁπλῶν καλουμένων τῷ μὴ ἕξιν ἀλλὰ στέρησιν τὸ κατηγορούμενον 10
10 ἔχειν, οἷαί εἰσιν αἱ 'ἄνθρωπος ἄδικός ἐστιν — ἄνθρωπος ἄδικος οὐκ ἔστι'·
τὸ μὲν γὰρ δίκαιον ὅρος τις καὶ εἶδος καὶ ἕξις ἢ ὡς τελειότης, διὸ ἁπλῆ
λέγεται πρότασις ἡ 'ἄνθρωπος δίκαιός ἐστι', τὸ δὲ ἄδικον ἀοριστία καὶ
στέρησις τοῦ εἴδους, διὸ στερητικὴ πρότασις ἡ λέγουσα 'Σωκράτης ἄδικός 15
ἐστι'· λέγω γὰρ στέρησιν ἐν τούτοις τὴν ἀπουσίαν ἁπλῶς τοῦ εἴδους
15 σημαινομένην, οὐ τῇ ἀποφάσει ἀλλ' ἢ τῷ τοῦ εἴδους ὀνόματι προσλα-
βόντι τὸ ᾱ στερητικόν, ὡς ἐπὶ τοῦ ἄπολις καὶ ἄοικος καὶ ἄδικος καὶ τῶν
τοιούτων ἁπάντων, ἢ καὶ ἑτέρῳ ὀνόματι ἤτοι τοῦ χείρονος τῶν ἐναντίων, 20
ὡς ἐπὶ τοῦ κακοῦ, ἢ μηδὲ ὄντος ἐναντίου, ὡς ἐπὶ τοῦ γυμνοῦ, καὶ ἤτοι
ἀνακάμπτειν ἐπὶ τὸ εἶδος πεφυκυῖαν κατὰ τὴν παραδεδομένην ἐν ταῖς
20 Φυσικαῖς πραγματείαις τῆς στερήσεως ἔννοιαν, ὡς τὸ ἄμουσον, ἢ μηδὲ
ἀνακάμπτειν, ὥσπερ ἐν Κατηγορίαις ἐλέγετο ἔχειν ἡ τυφλότης (ἐπὶ πάν- 25
των γὰρ τῶν σημαινομένων ὁμοίως ὁ λόγος ἁρμόσει)· ἐπεὶ οὖν, ὅπερ
ἐλέγομεν, τὰς στερητικὰς προτάσεις τίθησι μεταξὺ τῶν τε ἁπλῶν καὶ τῶν
ἐκ μεταθέσεως, ἴδωμεν καὶ | ταύτας ὅπως ἔχουσι τῆς πρὸς τὰς ἑκατέ- 131r
25 ρωθεν ἑαυτῶν ἀκολουθίας· τούτου γὰρ εὑρεθέντος καταφανὴς ἡμῖν ἔσται
λοιπὸν ἡ τοῦ Ἀριστοτέλους ῥῆσις, ἄλλως δὲ οὔ. φανερὸν δὴ ὅτι οὐδὲ
τούτων ἡ κατάφασις ἕψεται τῇ ἁπλῇ καταφάσει, ἀλλ' ἡ ἀπόφασις· ὁ γὰρ 5
δίκαιος ὢν ἄνθρωπος ἄδικος μὲν εἶναι οὐ λέγεται, μὴ εἶναι μέντοι ἄδικος
λέγεται. διὸ καὶ τῶν στερητικῶν προτάσεων ἡ μὲν ἀπόφασις τέτακται ἐν
30 τῷ διαγράμματι ὑπὸ τὴν ἁπλῆν κατάφασιν, ἡ δὲ κατάφασις ὑπὸ τὴν ἀπό- 10
φασιν. ἆρα δὲ ὥσπερ ἐφ' ὧν ἡ ἁπλῆ κατάφασις, ἐπὶ τούτων ἡ στερη-
τικὴ ἀπόφασις, οὕτω καὶ ἔμπαλιν; ἢ οὔ· ἐπὶ πλειόνων γὰρ ἀληθὴς
ἡ στερητικὴ ἀπόφασις, ἐφ' ὧν καὶ τὴν ἀόριστον ἀπόφασιν κατελαμβάνομεν
ἐπὶ πλέον οὖσαν τῆς ἁπλῆς καταφάσεως, τοῦτ' ἔστιν ἐπὶ τῶν παρὰ τὸν 15
35 ἄνθρωπον πάντων. αὕτη δέ, ἡ στερητικὴ λέγω ἀπόφασις, οὐ μόνον ἐπὶ
τῶν παρὰ τὸν ἄνθρωπον ὑπερτείνει τῆς ἁπλῆς καταφάσεως, ἀλλὰ καὶ ἐπὶ
τῶν ἀνθρώπων μὲν ὄντων οὔτε δὲ τῆς ἕξεως οὔτε τῆς τοιαύτης στερήσεως
μετεχόντων, οἷον τῶν οὔτε δικαίαν ἕξιν οὔτε ἄδικον ἐχόντων. δῆλον δὲ 20

---

1 περὶ] δι' A^1 3 οὐδὲ G^1 τοῦτο M 15. 16 ἀποφάσει—προσλαβόντι suppl. G^2 16 ἄδικος καὶ ἄοικος colloc. G 17 ἑτέρων F 19. 20 ἐν ταῖς Φυσ. πραγμ.] A 7 p. 189b 30 sq. 20 ἐπὶ τοῦ ἄμουσον G 21 ἐν Κατηγ.] c. 10 p. 13a 5 23 ἐλέγομεν] v. 13 25 αὐτῶν G ἡμῶν F 28. 29 μὴ—λέγεται suppl. G^2 33 καταλαμβ. FMa

ἐκ τῶν πρότερον εἰρημένων ὅτι ἡ κατάφασις ἡ στερητικὴ ἐπ' ἔλαττον ἔσται τῆς ἁπλῆς ἀποφάσεως. ἄμφω ἄρα αἱ ἀποφάσεις, ἥ τε στερητικὴ καὶ ἡ ἀόριστος, ἕπονταί τε τῇ ἁπλῇ καταφάσει καὶ τὸν αὐτὸν λόγον ἔχουσι πρὸς αὐτήν· ἄμφω γὰρ αὐτῆς ἐδείχθησαν ἐπὶ πλέον οὖσαι. ὡσαύτως δὲ καὶ αἱ καταφάσεις αὐτῶν τὸν αὐτὸν ἕξουσι λόγον πρὸς τὴν ἁπλῆν ἀπόφασιν· καὶ γὰρ ταύτας ἐδείκνυμεν ἐκείνης ἐπ' ἔλαττον οὔσας.

Λοιπὸν οὖν ἐπισκεψώμεθα εἰ ὥσπερ ἔχουσιν αἱ ἁπλαῖ προτάσεις | πρὸς τὰς ἐκ μεταθέσεως, οὕτως ἔχουσι καὶ αἱ στερητικαὶ πρὸς αὐτὰς 131v πάλιν τὰς ἐκ μεταθέσεως, τοῦτ' ἔστιν εἰ ὥσπερ ἡ ἁπλῆ κατάφασις ἐπ' ἔλαττόν ἐστι τῆς ἀόριστον ἐχούσης τὸν κατηγορούμενον ἀποφάσεως, οὕτω καὶ ἡ στερητικὴ ἀπόφασις ἐπ' ἔλαττόν ἐστιν αὐτῆς, καὶ ὥσπερ ἡ ἁπλῆ ἀπόφασις ἐπὶ πλέον ἐστὶ τῆς ὑπ' αὐτὴν τεταγμένης ἀόριστου καταφάσεως, οὕτω καὶ ἡ στερητικὴ κατάφασις. ἔστι δὲ τούτου πᾶν τοὐναντίον ἀληθές· οὔτε γὰρ ἡ ἀπόφασις ἡ στερητικὴ τῆς ἀορίστου ἐπ' ἔλαττον ἀλλ' ἐπὶ πλέον, οὔτε ἡ κατάφασις τῆς καταφάσεως ἐπὶ πλέον ἀλλ' ἐπ' ἔλαττον. ὅτι δὲ τοῦτο οὕτως ἔχει, ῥᾳδίως δείξομεν τὴν ἀρχὴν τῆς ἐφόδου λαμβάνοντες ἀπὸ τῶν καταφάσεων, ἐπεὶ καὶ γνωριμώτεραι ὡς μᾶλλον ὡρισμέναι τῶν ἀποφάσεων αἱ καταφάσεις. φανερὸν δὴ ὅτι ἐπ' ἔλαττον ἡ κατάφασις ἡ στερητικὴ τῆς ἐκ μεταθέσεως· εἴ τις μὲν γάρ ἐστιν ἄδικος ἄνθρωπος, οὗτος δηλονότι καὶ οὐ δίκαιος, οὐ μέντοι εἴ τις οὐ δίκαιος, ἤδη καὶ ἄδικος, διά τε τὴν μέσην ἕξιν καὶ τὴν μηδετέρου πεφυκυῖάν πω μετέχειν, ὡς ἐπὶ τῶν παίδων. ὥστε ἡ ἀπόφασις ἡ στερητικὴ ἐπὶ πλέον τῆς ἐκ μεταθέσεως ἀποφάσεως ἀληθεύσει· καὶ γὰρ ἐπὶ τῶν προειρημένων ἕξεων, τῆς τε μέσης καὶ τῆς τῶν παίδων, ἡ μὲν στερητικὴ ἀπόφασις ἀληθής, ἐπεὶ μή εἰσιν ἄνθρωποι ἄδικοι, ἡ μέντοι ἐκ μεταθέσεως ψευδής, ἐπεὶ ἡ κατάφασις αὐτῆς ἀληθής· εἰσὶ γὰρ οὐ δίκαιοι ἄνθρωποι. διὰ ταῦτα οὖν περιγράψομεν τῇ μὲν ἁπλῇ καταφάσει ἐπ' ἔλαττον ἀμφοῖν, τῶν ὑπ' αὐτὴν δηλονότι ἀποφάσεων, τῇ δὲ ἀποφάσει αὐτῆς ἐπὶ πλέον ἀμφοῖν, | καὶ τῇ μὲν ἐκ 132r μεταθέσεως ἀποφάσει ἐπὶ πλέον τῆς ἁπλῆς (μόνης γὰρ ἐκείνης εὕρηται οὖσα ἐπὶ πλέον), καὶ τῇ καταφάσει αὐτῆς κατὰ τὸ ἀκόλουθον ἐπ' ἔλαττον τῆς ἁπλῆς, καὶ πάλιν τῇ μὲν στερητικῇ ἀποφάσει ἐπὶ πλέον καὶ τῆς μετ' αὐτήν, ἐπεὶ ἀμφοτέρων τῶν ἑκατέρωθεν ἑαυτῆς κατείληπται οὖσα ἐπὶ πλέον, τῇ δὲ καταφάσει δηλονότι ἐπ' ἔλαττον καὶ τῆς μετ' αὐτήν. ὥστε

1 πρότ. εἰρ.] p. 162,4 κατάφ.] ἀπόφασις F 1. 2 ἐπ' ἔλαττον—στερητικὴ om. F 3 καὶ ἀόρ. A αὐτὸν] ἁπλὸν F 6 ἐκείνας M 7 εἰ suppl. G² 8 ἑαυτὰς M 11 ἐπ' ἔλαττόν ἐστιν αὐτῆς om. F ἁπλῇ om. F 13 τοῦτο AMa ante ἀλ. add. τὸ G¹ 16 δείξ.] διδάξομεν G 20 prius καὶ om. a οὗτος ἤδη καὶ ἄδ. Ma 21 πω] ποτε F: πως G ἔχειν G 22 ἡ (alt.) suppl. G² 23 ἀποφάσεως om. F ἀληθεύει G τε om. M 25 ἄδ. ἄνθρ. colloc. G 25. 26 αὐτῆς om. G 26 παραγράψ. AM 27 αὐτῇ A: αὐτῆς M 28 post ἀμφοῖν add. ταῖς ὑπ' αὐτήν a 28. 29 ἐκ μεταθ.] ἀορίστω F 29 ἁπλῆς καταφάσεως Ma 30 κατὰ suppl. G² 31 ἁπλῆς ἀποφάσεως a 32 ἑαυτῆς] αὐτῆς G 32. 33 ἐπὶ πλ. οὖσα colloc. G¹a 33 τῇ δὲ] καὶ τῇ G 33 δηλονότι om. G ante ἐπ' ἔλ. add. αὐτῆς G: τῆς a ἐπ' om. F

φανερὸν ὅτι αἱ μὲν ἐκ μεταθέσεως τοῦτον ἔχουσι τὸν λόγον πρὸς τὰς ἁπλᾶς ὃν αἱ στερητικαί, οὐ μέντοι αἱ ἁπλαῖ τοῦτον ἔχουσι τὸν λόγον πρὸς τὰς ἐκ μεταθέσεως ὃν αἱ στερητικαί.

Λείπεται οὖν ἐπελθεῖν τῇ ῥήσει τοῦ Ἀριστοτέλους καὶ | ἐπιδεῖξαι 132r ὡς οὐδὲν τῶν προειρημένων μάτην ἐρραψῳδήσαμεν. ὅταν οὖν, φησί, τὸ ἔστι τρίτον προσκατηγορῆται, οὐχ ὡς τρία μὲν ἀξιῶν εἶναι τὰ ἐν τῇ προτάσει κατηγορούμενα τρίτην δὲ ἔχειν τάξιν ἐν αὐτοῖς τὸ ἔστιν, ἀλλὰ τρίτον μὲν ἐν τῇ προτάσει πρὸς τοῖς δύο ὅροις, τῷ τε ὑποκειμένῳ καὶ τῷ κατηγορουμένῳ, κατὰ δευτέραν μέντοι τάξιν καὶ αὐτὸ ἔχον τὸ κατηγορεῖσθαι καὶ ὥσπερ ἐπικατηγορεῖσθαι· ὅταν γοῦν εἴπωμεν 'ἄνθρωπος δίκαιός ἐστι', τοῦ ὑποκειμένου τοῦ ἀνθρώπου προηγουμένως μὲν τὸ δίκαιον κατηγορήσαμεν. ἐπειδὴ τοῦτο προεθέμεθα περὶ αὐτοῦ ἀποφήνασθαι. διότι δὲ οὐκ ἦν αὔταρκες τοῦτο τῷ ὑποκειμένῳ συμπλακὲν πρὸς τὸ ποιῆσαι ἀπόφανσιν, τὸ ἔστιν αὐτοῖς προστέθειται συνδέον τε αὐτά, ὡς εἴρηται πρότερον, καὶ ἐπικατηγορούμενον τοῦ ὑποκειμένου· τὸ ὅλον γοῦν τοῦτο λέγομεν περὶ αὐτοῦ ὅτι ἐστὶ δίκαιος. οὐ πάντως μέντοι, ὅτε ἐστὶ τρίτον ἐν τῇ προτάσει τὸ ἔστιν, ἤδη καὶ προσκατηγορεῖται· ἐν γοῦν τῇ λεγούσῃ 'Σωκράτης ὁ φιλόσοφος ἔστι' κατηγορεῖται μόνον ἀλλ' οὐ προσκατηγορεῖται τὸ ἔστι, διότι τὸ ὅλον τοῦτο τὸ 'Σωκράτης ὁ φιλόσοφος' ὡς ἓν λαμβάνεται καὶ ὑποκείμενον γίνεται διὰ τὴν τοῦ ἄρθρου προσθήκην, ὅπερ οὐκ ἐθέλει συντάττεσθαι τοῖς κατηγορουμένοις ἀλλὰ μόνοις τοῖς ὑποκειμένοις. λέγεται δὲ περὶ αὐτοῦ ὅτι ἔστι καὶ οὔπω τέθνηκεν. ἀλλ' οὐδ' ὅταν εἴπωμεν 'ὁ ἥλιος ἐξ ἀνάγκης ἐστίν', οὐδὲ τότε προσκατηγορεῖται τὸ ἔστι, καίτοι ἁπλοῦν ἐστιν ἐνταῦθα τὸ ὑποκείμενον, ἀλλὰ τὸ 'ἐξ ἀνάγκης' οὐκ ἦν κατηγορούμενον ἀλλὰ τρόπος. περὶ δὲ τῶν μετὰ τρόπου προτάσεων 133r ἄλλο εἶδος ἐχουσῶν παρὰ τὰς νῦν ἡμῖν προκειμένας ἐν τοῖς ἑξῆς διδάξει ἡμᾶς ὁ Ἀριστοτέλης. οὐχ ἁπλῶς δὲ εἶπεν 'ὅταν ῥῆμά τι προσκατηγορῆται ἐν ταῖς προτάσεσιν', ἀλλὰ διώρισεν ἀκριβῶς τί ἐστι τὸ προσκατηγορεῖσθαι πεφυκός, ὅτι μόνον τὸ ἔστιν, ὅπερ ὅτι οὕτως ἔχει, διὰ τῶν ἑξῆς κατὰ καιρὸν ἐπιδείξομεν.

Ὅταν οὖν, φησί, τὸ ἔστι τρίτον ὂν ἐν τῇ προτάσει προσκατηγορῆται, διχῶς λοιπὸν λέγονται τῶν προτάσεων αἱ ἀντιθέσεις αἱ ἐπὶ τῶν πρότερον παραδεδομένων προτάσεων μοναχῶς λεγόμεναι. εἶτα πρὶν διδάξαι πῶς

---

3 ὧν F 4 ante λείπεται add. ἄνθρωπος δίκαιός ἐστιν. ἄνθρωπος δίκαιος οὐκ ἔστιν. ἄνθρωπος ἄδικος οὐκ ἔστιν. ἄνθρωπος ἀδικός ἐστιν. ἄνθρωπος οὐ δίκαιος οὐκ ἔστιν. ἄνθρωπος οὐ δίκαιός ἐστιν. ἔστιν δίκαιος οὐκ ἄνθρωπος. οὐκ ἔστι δίκαιος οὐκ ἄνθρωπος. οὐκ ἔστιν ἄδικος οὐκ ἄνθρωπος. ἔστιν ἄδικος οὐκ ἄνθρωπος. οὐκ ἔστιν οὐ δίκαιος οὐκ ἄνθρωπος. ἔστιν οὐ δίκαιος οὐκ ἄνθρωπος bipertito collocata a: priora sex enuntiata (in FG sive inter versus sive in marginibus notis ἁπλαῖ, στερητικαί, ἐκ μεταθέσεως, ἐπ' ἔλαττον ἀμφοῖν, aliis instructa) exhibent etiam FGM: om. A 5 οὐδενὶ M μάτην om. F ἐραψ. AMa φησι om. G 13.14 ἀπόφασιν AGMa 14 προστίθεται AMa εἴρηται πρότερον] p. 160,13 16 ὅτε] ὅτι a 17 τὸ om. G 19 alt. τὸ om. AG 21 μόνον A λέγει A¹ 24 post ἐξ ἀνάγκης add. ἐστιν a 26 ἐν τοῖς ἑξῆς] c. 12 p. 21a34 29 ὅτι ὅπερ colloc. A τῶν] τὸν Fa 30 κατὰ om. a 32 λοιπὸν om. G ἐπὶ] περὶ Ma 33 πρὶν διδάξαι] περὶ τοῦ καὶ M

διχῶς λέγονται. πρότερον ἐπὶ παραδείγματος ὑφηγεῖται πότε λέγεται προσκατηγορεῖσθαι τὸ ἔστιν, ὅπερ ἐκάλεσεν ὄνομα ἢ ῥῆμα, διότι ῥῆμα μέν ἐστιν ἅτε προσσημαῖνον χρόνον, οὐδὲν δὲ κωλύει αὐτὸ καὶ ὄνομα καλεῖν κατὰ τὴν ἔννοιαν, καθ' ἣν ἐλέγομεν πάσας τὰς σημαντικὰς φωνὰς ὀνό- 15
5 ματα προσαγορεύεσθαι. καὶ οὐδὲ οὕτως ἐπήγαγε τὴν κατασκευὴν τοῦ διχῶς λέγεσθαι ταύτας τὰς ἀντιθέσεις, ἀλλὰ νῦν μὲν ὡς δήλου τούτου ὄντος κατὰ τὸ μέγεθος τῆς ἑαυτοῦ νοερᾶς ἕξεως τὸ συμπέρασμα μόνον εἶπε. μᾶλλον δὲ τὸ ἀκόλουθον τῷ συμπεράσματι, ἐπαγαγὼν ὥστε διὰ 20
τοῦτο. λέγει δὲ τὸ διχῶς λέγεσθαι τὰς ἀντιθέσεις, τέτταρα ταῦτα
10 ἔσται· εἴρηται δὲ τοῦτο κατὰ ἔλλειψιν τοῦ μόρια· τέτταρα γὰρ μόρια καὶ τέτταρες προτάσεις εἰσὶ τῶν δύο ἀντιθέσεων, τῆς τε ἁπλῆς καὶ τῆς ἀορίστῳ 25
κατηγορουμένῳ χωμένης. ἐφεξῆς δὲ καὶ τὴν κατασκευὴν σαφῶς ἐπάγει τοῦ διχῶς ἐνταῦθα λέγεσθαι τὰς ἀντιθέσεις τὰς τῷ αὐτῷ ὑποκειμένῳ χρωμένας καὶ τέτταρα αὐτῶν γίνεσθαι μόρια, δι' ὧν φησι | λέγω δὲ ὅτι 133v
15 τὸ ἔστιν ἢ τῷ δικαίῳ προσκείσεται ἢ τῷ οὐ δικαίῳ καὶ τὰ ἑξῆς. ἐν οἷς καὶ ἀξιοῖ ὡς ἐπὶ τοῦ ἐκτεθέντος διαγράμματος τήν τε διαφορὰν τῶν προτάσεων καὶ τὴν ἀκολουθίαν θεωρεῖν. ταῦτα μὲν οὖν δῆλα, πλὴν 5
ὅτι τὸ ὥστε καὶ ἡ ἀπόφασις σημαίνει αὐτῷ τὸ 'ὥστε καὶ τὸ ποιοῦν τὴν ἀπόφασιν, τὸ οὐκ ἔστιν, ἢ τῷ δικαίῳ προσκείσεται ἢ τῷ οὐ δικαίῳ,
20 καθάπερ τὸ ἔστι· διόπερ τὸ μὲν ποιήσει δύο καταφάσεις τὸ δὲ δύο ἀποφάσεις.'

Ἐπεὶ δὲ μεταξὺ τοῦ τε εἰπεῖν τὸ ἀκόλουθον, ὡς ἐλέγομεν, τῷ συμ- 10
περάσματι τὸ ὥστε διὰ τοῦτο τέτταρα ταῦτα ἔσται καὶ τῆς κατασκευῆς τοῦ δύο εἶναι ἀντιθέσεις καὶ τέτταρα αὐτῶν τὰ μόριά φησιν ὧν
25 τὰ μὲν δύο πρὸς τὴν κατάφασιν καὶ ἀπόφασιν ἕξει κατὰ τὸ στοιχοῦν ὡς αἱ στερήσεις, τὰ δὲ δύο οὔ, Σφιγγὸς μὲν κελαινῆς 15
κατὰ τὸν Λυκόφρονα γῆρυν ἐκμιμούμενος πολλὰ δὲ πράγματα τοῖς ἐξηγηταῖς παρασχών, τί ποτε ἐννοεῖν τοῦτο τὸ ῥησείδιον ἐροῦμεν; φημὶ δὴ ὅτι τὴν διὰ πλειόνων ἐπιδεδειγμένην ἡμῖν τῶν προτάσεων ἀκολουθίαν αἰνίττε-
30 ται διὰ τούτων ὁ φιλόσοφος, κατάφασιν μὲν καὶ ἀπόφασιν καλῶν τὰς 20
ἁπλᾶς προτάσεις ὡς ἀρχετύπους, ἐπειδὴ αὗται προσλαβοῦσαι κατὰ τοὺς κατηγορουμένους τὰς ἀρνήσεις ποιοῦσι τὰς ἐκ μεταθέσεως, λέγων δὲ ὅτι τῶν εἰρημένων τεττάρων μορίων τῶν δύο ἀντιθέσεων (προείρηται γὰρ τὸ 25
ὥστε διὰ τοῦτο τέτταρα ταῦτα ἔσται), τούτων οὖν τὰ μὲν δύο,
35 δηλονότι μόρια (λέγει δὲ τὰς ἐκ μεταθέσεως προτάσεις), πρὸς τὴν κατάφασιν καὶ ἀπόφασιν, τοῦτ' ἔστι τὰς ἁπλᾶς, | ἕξει κατὰ τὸ 134r

---

3 καὶ ὄνομα αὐτὸ colloc. Ma 4 ἐλέγομεν] p. 45,15 5. 6 post λέγ. iter. καὶ οὐδὲ— λέγεσθαι F 6 δῆλον F 9 τὸ] τῷ AM 9. 10. 23. 34 ἔσται ταῦτα b 10 τοῦ μορίου FMa 15 προσκ.—οὐ δικαίῳ om. F 16 ἐκτεθ. διαγρ.] cf. p. 161,24. 25 18 τὸ (ante ὥστε utrobique) om. G αὐτὸ AMa 22 τοῦ τε εἰπεῖν] τούτων εἶπε F 23. 24 τὴν κατασκευὴν F: τῆς μὲν κᾶτασκευῆς Ma 25 post ἀπόφασιν add. τῶν ἁπλῶν a 26 ὥσπερ M μὲν οὐ κελ. F 27 κατὰ τὴν Λυκόφρονος a (Alexandrae v. 7) 28 νοεῖν F τοῦτο om. G δὴ] δὲ AM 30 δὲ διὰ A 31 προλαβ. A 32 λέγω AFMa 34 δύο om. F 36 κατὰ τὰς ἁπλᾶς (sed κατὰ del.) G ἕξει om. G

στοιχοῦν (ἀντὶ τοῦ κατὰ συστοιχίαν καὶ ἀναλογίαν) ὡς αἱ στερήσεις, τοῦτ' ἔστιν ὅτι ὂν ἔχουσι στοῖχον καὶ τάξιν καὶ ἀναλογίαν αἱ στερητικαὶ προτάσεις πρὸς τὰς ἁπλᾶς κατὰ τὸ ἐπὶ πλέον αὐτῶν ἢ ἐπ' ἔλαττον εἶναι, τοῦτον καὶ αἱ ἐκ μεταθέσεως. τὰ δὲ δύο (φησὶ δῆλον πάλιν ὅτι μόρια ἐκ τῶν τεττάρων· ποῖα δὲ ἂν εἴη ταῦτα; δῆλον ὅτι τὰ λοιπὰ παρὰ τὰ πρότερον εἰρημένα, τοῦτ' ἔστιν αἱ ἁπλαῖ προτάσεις) οὐχ ἕξουσι κατὰ τὸ στοιχοῦν ὡς αἱ στερήσεις, ὅπερ αὐτὸς βραχέως ἐνεδείξατο διὰ τοῦ οὔ, τὰ δὲ δύο οὔ εἰπών. ἀλλὰ πρὸς τίνας οὐχ ἕξουσιν αἱ ἁπλαῖ προτάσεις κατὰ τὸ στοιχοῦν ὡς αἱ στερήσεις; ἢ δῆλον ὅτι πρὸς τὰ λοιπὰ παρ' αὐτὰς δύο μόρια τῶν τεττάρων, τοῦτ' ἔστι πρὸς τὰς ἐκ μεταθέσεως· ἐπιδέδεικται γὰρ καὶ τοῦτο πρότερον ὅτι οὐχ ὡς ἔχουσιν αἱ στερητικαὶ πρὸς τὰς ἐκ μεταθέσεως κατὰ τὸ ἐπὶ πλέον αὐτῶν ἢ ἐπ' ἔλαττον ἀληθεύειν, οὕτως ἔχουσι καὶ αἱ ἁπλαῖ. συνεβάλλετο ἄρα ἡμῖν τὰ προληφθέντα περὶ τῆς ἀκολουθίας τῶν προτάσεων πρὸς κατανόησιν τῆς ῥήσεως τοῦ Ἀριστοτέλους.

Οἶδα μὲν οὖν ὅτι τῶν ἐξηγητῶν οἱ ἀκριβέστεροι γράφουσι καὶ ἑτέραν ἐξήγησιν τῆς ῥήσεως ταύτης, ἣ καὶ μᾶλλον ἀρέσκεσθαί φασιν ἅτε πολλῷ ἁπλουστέρᾳ οὔσῃ τῆς προειρημένης καὶ οὐκ ἀναγκαζούσῃ ἡμᾶς, ὅπερ αὐτοί φασι, μαντεύεσθαι τὴν διάνοιαν τοῦ Ἀριστοτέλους· ἀξιοῦσι γὰρ κατάφασιν μὲν καὶ ἀπόφασιν μὴ τὰς ἁπλᾶς λέγεσθαι προτάσεις, ἀλλ' αὐτὸ τὸ καταφατικὸν εἶδος τῶν προτάσεων καὶ τὸ ἀποφατικόν, τῶν δὲ τεττάρων μορίων τῶν δύο ἀντιθέσεων, τῆς τε ἁπλῆς καὶ τῆς | ἐκ μεταθέσεως, τὰ μὲν 134v δύο τὰ ἐκ μεταθέσεως οὕτως ἔχειν πρὸς αὐτὸ τὸ εἶδος καὶ τὴν δύναμιν τῆς καταφάσεως καὶ ἀποφάσεως, ὡς αἱ στερητικαὶ προτάσεις. πῶς δὲ ἔχουσιν ἐκεῖναι; ἁπλῶς μὲν καταφάσεις ἢ ἀποφάσεις οὐ λέγονται, τὸ δὲ ὅλον τοῦτο στερητικαὶ καταφάσεις καὶ ἀποφάσεις, ὥσπερ καὶ ὁ τεθνεὼς ἄνθρωπος ἁπλῶς μὲν ἄνθρωπος οὐ λέγεται, τὸ δὲ ὅλον τοῦτο νεκρὸς ἄνθρωπος λέγεται. τοῦτον οὖν, φασί, τὸν τρόπον ἔχουσι καὶ αἱ ἐκ μεταθέσεως πρὸς αὐτὸ τὸ καταφατικὸν καὶ ἀποφατικὸν εἶδος· οὐ γάρ εἰσιν ἁπλῶς καταφάσεις ἢ ἀποφάσεις, ἀλλὰ τὸ ὅλον τοῦτο ἀόριστοι καταφάσεις καὶ ἀόριστοι ἀποφάσεις. τὰ δὲ λοιπὰ δύο μόρια τὰ τῆς ἁπλῆς ἀντιθέσεως οὐκ ἔχειν οὕτως πρὸς τὸ καταφατικὸν καὶ τὸ ἀποφατικὸν εἶδος· αὐτοφυεῖς γὰρ εἶναι ταύτας καταφάσεις καὶ ἀποφάσεις καὶ ἄνευ προσθήκης τινὸς προσαγορεύεσθαι τοῖς ὀνόμασι τούτοις δυναμένας. ταῦτα μὲν οὖν ὁ ἐκείνων λόγος· οὐ μὴν ἐμέ γε ἐπάγεται καὶ πολὺ ἔχουσα τὸ πιθανὸν ἡ ἐξήγησις· ἄτοπον γὰρ ἡγοῦμαι σαφῶς βοῶντος τοῦ Ἀριστοτέλους ὅτι νοεῖ-

---

1 στοιχ.] συστοιχοῦν F 4 φησὶν οὔ a πάλιν om. M 6 εἰρ.] εἰλημμένα FG 7 στερ.] προρρήσεις F ὅπερ—στερήσεις (9) suppl. G² πρὸ βραχέως Aa: πρὸ βραχέος M: πρὸ βραχέων Brand. 10 ἐπιδέδεικται] p. 165,2 12 τὸ om. M 13 συνεβάλετο FG περὶ] παρὰ G 15 οἴδαμεν libri οὖν om. F ἀκριβέστατοι F 16 ῥήσεως τοῦ ἀριστοτέλους G 19 προτάσεις om. G 20 δὲ om. A 22 ἔχει Ma 27 ἔχουσι om. G 27. 28 καὶ αἱ ἐκ μεταθέσεως suppl. G² 29 ἀλλὰ—καταφάσεις suppl. G²: om. M 29. 30 καὶ ἀόριστοι ἀποφάσεις om. FG 30 post ἀντιθ. add. ἀλλὰ τὸ ὅλον τοῦτο ἀόριστοι καταφάσεις G (cf. v. 29) 31 ἔχει Ma 32 ταύτας τὰς G 33 οὖν om. AFa 34 ἐμοί G καὶ] κἂν Ma

σθαι βούλεται τὰ ἐνταῦθα λεγόμενα ἐκ τῶν εἰρημένων ἐν τοῖς Ἀναλυτικοῖς, περὶ αὐτῶν τούτων ἔχοντας ἡμᾶς τὰ περὶ τῆς εἰρημένης τῶν προτάσεων ἀκολουθίας μάλα ἐναργῶς πρὸς τῷ πέρατι τοῦ πρώτου βιβλίου τῶν Ἀναλυτικῶν παραδεδομένα, ὅπερ καὶ αὐτοὶ συνομολογοῦσι, πρὸς μὲν ταῦτα μύειν, ἄλλην δέ τινα τοῦ Ἀριστοτέλους διάνοιαν τῷ ὄντι ἀπομαντεύεσθαι.

Ἀλλὰ πρὸς τί, φαίης ἄν, συμβαλεῖται ἡμῖν τὸ εἰδέναι τὴν εἰρημένην τῶν προτάσεων ἀκολουθίαν; φημὶ δὴ ὅτι πρὸς τὴν γινομένην πολλάκις 135ʳ ἐν τοῖς συλλογισμοῖς τῶν προτάσεων μετάληψιν· συγχωρήσαντος γάρ τινος δίκαιον εἶναι τὸν Σωκράτην, εἰκότως ἐροῦμεν 'οὐκοῦν ἄδικος οὐκ ἔστι' καὶ 'οὐκοῦν οὐ δίκαιος οὐκ ἔστιν'. εἰ μέντοι συγχωρηθέντος τοῦ μὴ εἶναι αὐτὸν ἄδικον ἀξιώσομεν λαμβάνειν ὅτι 'οὐκοῦν δίκαιός ἐστι καὶ οὐ δίκαιος οὐκ ἔστιν', εὐήθης ἡ μετάληψις. ἐν δὲ τούτοις οὐκ ἐνδέχεται κατορθοῦν τὸν μὴ προδιελόμενον ποῖαι προτάσεις ποίων ἐπὶ πλέον. ἐπεὶ δὲ οἴονταί τινες μηδαμῶς τελείας ἔτι μένειν ταύτας τὰς προτάσεις ἀλλὰ κατηγορεῖσθαι μόνον, ἐπειδὰν λέγωμεν, φέρε ἐπὶ ξύλου, τὰς μὲν ἀποφάσεις, τήν τε στερητικὴν καὶ τὴν ἐκ μεταθέσεως, ἀληθεύειν τὴν δὲ κατάφασιν τὴν ἁπλῆν ψεύδεσθαι, ῥητέον πρὸς αὐτοὺς ὡς ὅταν μὲν ἐνεργείᾳ λάβωμεν τὸ ξύλον ἐν τῇ προτάσει λέγοντες 'τὸ ξύλον ἄνθρωπος δίκαιός ἐστι', τῷ ὄντι κατηγορούμενον ποιοῦμεν τὸ ὅλον τοῦτο τὸ 'ἄνθρωπος δίκαιός ἐστιν'· ἀλλ' οὐκέτι μένει ἡ πρότασις ἀπροσδιόριστος, ἀλλ' ὡς μὲν ἐπὶ τοῦ ἁπλῶς ξύλου ἔσται καθόλου (δηλοῖ δὲ τὸ ἄρθρον τὴν δύναμιν ἔχον τοῦ καθόλου προσδιορισμοῦ), ὡς δὲ ἐπὶ τοῦδε τοῦ ξύλου ἔσται καθ' ἕκαστα. εἰ μέντοι φυλάττοιμεν τῆς προτάσεως τὸ εἶδος μηδὲν κατ' ἐνέργειαν αὐτῇ προστιθέντες, οὐδὲν κωλύει καὶ ξύλον καὶ ἵππον καὶ ἄλλα μυρία περιέχεσθαι κατὰ δύναμιν ὑπ' αὐτῆς, ἐφ' ὧν λέγεται ἢ ψεύδεσθαι ἢ ἀληθεύειν· τὴν μὲν γὰρ κατάφασιν, οἷον τὴν λέγουσαν 'ἄνθρωπος δίκαιός ἐστιν', ἅτε εἶναί τι τοιόνδε ὂν ἀποφαινομένην, ἐπὶ μόνων ἀνθρώπων ἀληθεύειν δυνατόν, καὶ τούτων δικαίων, | ψεύδεσθαι δὲ ἀναγκαῖον ἐφ' ὧν ἢ ὁ ὑποκείμενος μὴ 135ᵛ ἁρμόττει ἢ ὁ κατηγορούμενος, τὴν δὲ ἀπόφασιν ἅτε μαχομένην τῇ καταφάσει ψεύδεσθαι μὲν ἐφ' ὧν ἐκείνη ἀληθής, ἀληθεύειν δὲ ἐφ' ὧν ἐκείνη ψευδής. οὕτω δὲ καὶ ὁ Ἀριστοτέλης ἐν τοῖς ἑξῆς δείξει τῆς 'ἔστι λευκὸς ἄνθρωπος' μὴ οὖσαν ἀπόφασιν τὴν 'ἔστιν οὐ λευκὸς ἄνθρωπος', ὅτι συμβήσεται αὐτὴν ἐπὶ τοῦ ξύλου ἀληθεύειν, διότι ψευδὴς ἐπ' αὐτοῦ ἡ κατά-

---

4 τῶν Ἀναλ.] v. p. 161,3 not. 5 ταύτας G 7 φαίης ἄν] καταφαίησαν F ἄν, συμβαλεῖται suppl. G² συμβάλλεται F 11 καὶ om. A οὐ (ante δίκ.) om. A 12 ἀξιώσωμεν A: ἀξιωθέντος F ὅτι om. G 13 κατορθοῦντα G 14 τὸν om. G πλέων A 15 ταύτας om. F 19 ἐν] καὶ G¹ 19. 20 τῷ ὄντι—δίκαιός ἐστιν in mrg. suppl. A τῷ ὄντι κατ.] τὸ ἀντικατ. G 20 ἐστιν om. M 21 μαίνει F 22 ἔχον om. A 23 τοῦδε om. F 24 μηδὲ G¹ 27 μὲν om. F 28 τοιόνδε τι colloc. M ὂν om. AMa 29 ψεύδ. δὲ ἀναγκαῖον om. F ὧν δὲ F μὴ om. G 30 ἁρμόττη A post κατηγ. add. ψεύδεσθαι F 32 καὶ om. Ma ὁ om. AG ἐν τοῖς ἑξῆς] p. 20ᵇ4 τῆς ἔστι] τουτέστι F 33 οὐ om. A

φασις. καὶ ὅταν μέντοι λέγωμεν 'ὁ Νιρεὺς ἄνθρωπος καλός ἐστιν', οὐ χρὴ νομίζειν ὅτι τρία ποιοῦμεν κατηγορούμενα· τὸ γὰρ ὅλον τοῦτο ὡς ἕν τι τότε τοῦ Νιρέως κατηγοροῦμεν τὸν καλὸν ἄνθρωπον καὶ τὸ ἔστι προσκατηγοροῦμεν, παραπλήσιον λέγοντες ὡς εἴ τις ἔλεγεν 'ὁ Νιρεὺς ζῷον λογικὸν θνητόν ἐστι'. τοῦτο δὲ ἐπὶ μόνων γίνεσθαι τῶν ἀδιορίστων δυνατόν· οὔτε γὰρ ἐπὶ τῶν προσδιωρισμένων, ὥστε πᾶσαν τὴν προσδιωρισμένην πρότασιν κατηγορηθῆναί τινος ὥσπερ τὴν ἀπροσδιόριστον, ἐπεὶ μὴ εὔλογον προσδιορισμὸν τῷ κατηγορουμένῳ συμπλέκειν, οὔτε ἐπὶ τῶν καθ' ἕκαστα, ἐπεὶ οὐχ οἷόν τε τὰ ἄτομα κατηγορεῖσθαι κατ' ἄλλων, ὥσπερ οὐδὲ τὰ ἄλλα κατὰ τῶν ἀνωτάτω γενῶν. ἀπὸ δὲ τούτων ἐπιλυσόμεθα καὶ τὴν ἀπορίαν τὴν περὶ τῆς ἀντιφάσεως· ὅταν γὰρ λέγωμεν ὡς χρὴ ἐπὶ παντὸς ἢ τὴν κατάφασιν ἀληθεύειν ἢ τὴν ἀπόφασιν, οὐχ ὅτι δυνατὸν μὲν πάσης ἀντιφάσεως ἑκάτερον τῶν μορίων καθ' ὁτουοῦν ὅλον κατηγορεῖσθαι, οἷον τοῦ Σωκράτους τὸ 'Θεαίτητος κάθηται' καὶ 'Θεαίτητος οὐ κάθηται', τὸ μέντοι ἕτερον μόνον ἀληθεύειν ἀνάγκη λέγομεν (τοῦτο γὰρ ἄλογον | ἐπί τε τῶν 136r προσδιωρισμένων, ὡς εἴρηται, καὶ τῶν καθ' ἕκαστα), ἀλλ' ὅτι τῶν ποιούντων ἐν ταῖς προτάσεσι μορίων τὴν κατάφασιν καὶ τὴν ἀπόφασιν, τοῦτ' ἔστι τῶν κατηγορουμένων καταφατικῶς καὶ ἀποφατικῶς, ἑκάτερον μὲν ὁτουοῦν τῶν τε ὄντων καὶ τῶν μὴ ὄντων κατηγορεῖν δυνατὸν καὶ μετὰ τοῦ καθ' οὗ κατηγοροῦνται ποιεῖν τελείαν πρότασιν, μόνον μέντοι τὸ ἕτερον αὐτῶν ἀληθεύειν ἀνάγκη, οἷον κάθηται — οὐ κάθηται, λευκόν ἐστι — λευκὸν οὐκ ἔστι. δηλοῖ δὲ τὸ 'ἐπὶ παντός' ὅτι περὶ μόνων τῶν κατηγορουμένων ὁ λόγος, ἃ συμπλεκόμενα ἑνί τινι τῶν πάντων προτάσεις ποιοῦσι, τὴν μὲν ἀληθῆ τὴν δὲ ψευδῆ.

Ζητήσειε δ' ἄν τις περὶ τῶν σύνθετον ἐχουσῶν τὸ κατηγορούμενον ἁπλῶν καταφάσεων, πῶς ἐπὶ τούτων τὴν ἀόριστον ἤτοι ἐκ μεταθέσεως λεγομένην κατάφασιν ποιήσομεν, ἆρα καθ' ἕκαστον τῶν συντιθέντων τὸ κατηγορούμενον ὀνομάτων τὴν ἄρνησιν παραλαμβάνοντες ἢ ἕν τι ἐξ αὐτῶν, καὶ ποῖον τοῦτο, ὥστε μὴ δοκεῖν ἀποκληρωτικὸν εἶναι τὸν λόγον. φημὶ τοίνυν ὡς εἴτε πάντα τὰ σύνθετα κατ' οὐσίαν κατηγοροῖντο τοῦ ὑποκειμένου, καθάπερ ἐπὶ τῶν ὡρισμένων, εἴτε καὶ ἕν τι ἐξ αὐτῶν κατὰ συμβεβηκός, ὡς ὅταν εἴπωμεν 'ὁ Σωκράτης ἄνθρωπος λευκός ἐστι', παντὸς χρὴ τοῦ κατηγορουμένου προτίθεσθαι τὴν ἄρνησιν, ἵνα τὴν ζητουμένην ποιήσωμεν κατάφασιν πρὸς ἅπαν ὡς ἓν τὸ κατηγορούμενον αὐτὴν ἐξακούοντες, καὶ οὐ μόνον πρὸς τὸ μόριον ᾧ τυγχάνει συντεταγμένη· ὁ γὰρ λέγων τὸν ἄνθρωπον ζῷον οὐκ ἄλογον εἶναι ἢ τὸν Αἰθίοπα ἄνθρωπον οὐ

1 νηρεὺς A (ubique) 3 τότε om. G τὸν om. a 5 ἀορίστ. G¹ 9 τὰ (alt.) om. F 10 ἀνωτάτων M 11 ἀντιθέσεως F 15 ἄλογον] ὅλον F ἐπί] ἐπεί F 16 ὡς om. F 21 κάθηται—λευκόν ἐστι om. F 22 δὲ καὶ G 23 ἓν M ποιοῦσι προτ. colloc. M 25 τὸν κατ. AMa 27 συνθέντων F 27. 28 ὀνομ. τὸ κατ. colloc. Aa 30 σύνθετα] συντεθέντα Ga κατηγορεῖν τὸ τοῦ G 31 ὁρισμένων A: ὡρισμῶν F 32 πάντως AFMa 33 προστίθ. Ma 36 ἢ τὸν iter. A

λευκὸν παραπλήσιον κατὰ τοῦτο | λέγει τῷ εἰπόντι τὸν Σωκράτην ἐπι- 136ᵛ
στήμονα εἶναι τοῦ μὴ ἀγαθοῦ· αὕτη δὲ σαφῶς ἁπλῆ κατάφασις ἀόριστόν
τι, τὸ μὴ ἀγαθόν, τῷ ὡρισμένῳ κατηγορουμένῳ, τῷ ἐπίστασθαι, συμπλέκουσα
καὶ διὰ τοῦτο συναληθεύουσα τῇ ἐπιστήμονα τοῦ ἀγαθοῦ εἶναι αὐτὸν ἀπο-
5 φαινομένῃ, καίτοι τῆς ὄντως ἀορίστου καταφάσεως οὐδέποτε τῇ ἁπλῇ
συντρέχειν ἐπὶ τοῦ αὐτοῦ δυναμένης. ὥσπερ ἐν τῷ πρώτῳ διώρισται τῶν
Ἀναλυτικῶν. ὁ δὲ αὐτὸς λόγος ἐπὶ πάντων, ἐφ' ὧν τὸ προστιθέμενον
τῷ κατηγορουμένῳ οὐχ ὡς ὑπάρχον λέγεται τῷ ὑποκειμένῳ, ἀλλ' ὡς ἐνερ-
γείᾳ τινὶ αὐτοῦ ὑποβεβλημένον· οὐ γάρ ἐστι ταὐτὸν φάναι τὸν Σωκράτην
10 εἶναι μὴ ἀγαθόν, ὅπερ ἐστὶν ὑπάρξεως, καὶ ἐπίστασθαι τὸ μὴ ἀγαθόν
(τοῦτο γὰρ ἐνεργείας τινὸς δηλωτικόν), ἢ εἶναι μὴ Ἀλκιβιάδην καὶ φιλεῖν
μὴ Ἀλκιβιάδην· καὶ γὰρ τὸ αὐτὸ μὲν εἶναι τόδε τι ἅμα καὶ μὴ τόδε ἀμήχανον, ἐνεργεῖν δὲ ἅμα περὶ τὰ ἀντικείμενα τὸ αὐτὸ οὐκ ἀδύνατον. διὸ ἅμα μὲν εἶναί τινα καὶ ἀγαθὸν καὶ μὴ ἀγαθὸν οὐκ ἐγχωρεῖ, ἐπίστασθαι
15 δὲ ἅμα ἄμφω δυνατόν. εἰ δὲ τὸ 'ἄνθρωπος λευκός ἐστι' καὶ 'ἄνθρωπος
οὐ λευκός ἐστιν' οὐχ οἷόν τε συντρέχειν ἀλλήλοις ἐπὶ Αἰθίοπος ἢ ἄλλου
τινὸς ἑνὸς κατηγορούμενα, παρὰ τὸ πεφυκέναι τὸ λευκὸν καὶ δίχα τῆς πρὸς
τὸν ἄνθρωπον συμπλοκῆς κατηγορεῖσθαι τοῦ ὑποκειμένου ὡρισμένως τε
καὶ ἀορίστως καὶ ποιεῖν δύο καταφάσεις οὐ δυναμένας συνᾴδειν ἀλλήλαις
20 τοῦτο συμβαίνειν ἐροῦμεν. ὅλως δὲ χρὴ ἐφιστάνειν ὡς οὐ δυνατὸν διὰ
μιᾶς ἀντιφάσεως ἢ ἀντιθέσεως ἀορίστου καταφάσεως πρὸς ὡρισμένην ἕκα-
στον ἐπισκέπτεσθαι | τῶν παραληφθέντων πρὸς τὴν γένεσιν τῆς συνθέ- 137ʳ
του κατηγορίας· οὐδὲ γὰρ μίαν ὅλως εἶναι πρότασιν δυνατόν, ἐν ᾗ πλείονα
παραλαμβάνεται κατηγορούμενα, διότι θαυμαστὸν οὐδὲν τὰ μὲν αὐτῶν ἀλη-
25 θῶς τὰ δὲ ψευδῶς κατηγορεῖσθαι, καθάπερ ἐν τοῖς ἑξῆς διορισθήσεται, ἀλλ' 5
ἕκαστον χρὴ τῶν συντιθεμένων καθ' ἑαυτὸ σκοπεῖν, εἰ ἀληθῶς κατηγορεῖται, καὶ οὕτως τὰς μερικωτέρας κατηγορίας προσυφαίνειν ταῖς ὁλικωτέραις καὶ τὰς κατὰ συμβεβηκὸς τοῖς καθ' αὑτὸ κατηγορουμένοις, ὡς ἐπὶ 10
τῆς ὄντως μιᾶς προτάσεως τὸ κατηγορούμενον ἤτοι ὄνομα λαμβάνεσθαι
30 φύσεως μιᾶς δηλωτικὸν ἢ λόγον ἀναμφισβητήτως ταὐτὸν ὀνόματι σημαίνοντα, εἴτε λεγομένῳ εἴτε καὶ παρημελημένῳ ὑπὸ τῶν τὰ ὀνόματα θεμένων,
καὶ διὰ τοῦτο πάλιν ὀρθῶς ἔχειν τὸ παρ' ἡμῶν διωρισμένον, ὅτι παντὸς 15
αὐτοῦ χρὴ προηγεῖσθαι τὴν ἄρνησιν πρὸς τὸ γενέσθαι τὴν ἀόριστον κατάφασιν. τούτων μὲν οὖν ἅλις.

---

3 κατηγορούμενον F 4 ἐπιστήμη G¹ 6 ὥσπερ] ὡς FG 6. 7 τῶν Ἀναλ.] Anal. pr. A 46 p. 51ᵇ5 sq. 9 τινὶ] τις F αὐτῷ G ὑποβεβλημένου F ἐστι om. G σωκράτη A 10 μὴ εἶναι (num. corr.) G 11 μὴ om. G 12 τῷ αὐτῷ G ἅμα] ἀλλὰ G alterum τόδε] εἶναι G 13 ἐνεργ.] ἀνερεῖν F¹ 15 ἐστι om. G καὶ suppl. G² 17 ἑνὸς om. AF 18 post συμπλ. add. καὶ ἀορίστως G 19 καὶ ἀορίστως om. A: καὶ ἀορίστως καὶ om. G 20. 21 διὰ μιᾶς iter. G 24. 25 τὰ] τὸ (utrobique) G 25 ἑφεξῆς A 26 καθ'] καὶ G 27 τάς τε μερ. a 30 μιᾶς φυσ. colloc. Fa αὐτὸν M 31 παρημενημένῳ F τιθεμ. M 32 τὸν παρ' ἡμῶν διορισμὸν AMa πάντως AGMa (cf. p. 169,32) 33 αὐτοῦ om. G χρὴ αὐτοῦ colloc. M

Ἐπεὶ δὲ γεγράφθαι φασὶν ἐν πολλοῖς τῶν ἀντιγράφων ὅτι τὸ ἔστιν ἢ τῷ ἀνθρώπῳ προσκείσεται ἢ τῷ οὐκ ἀνθρώπῳ, εἰδέναι χρὴ ὅτι κἂν οὕτως ἡ γραφὴ ἔχῃ, τὸ ἄνθρωπος, ὅπερ φησὶν ὁ φιλόσοφος Πορφύριος, οὐχ ὡς ὑποκείμενον ἀλλ' ὡς κατηγορούμενον ἀντὶ τοῦ δίκαιος ἢ λευκὸς εἰλῆφθαι φήσομεν, ὡς ἐπὶ προτάσεως τῆς λεγούσης Καλλίας ἄνθρωπός ἐστιν'.

p. 19b31 Ὁμοίως δὲ ἕξει, κἂν καθόλου τοῦ ὀνόματος ἢ ἡ κατάφασις, οἷον πᾶς ἐστιν ἄνθρωπος δίκαιος — ἀπόφασις τούτου — οὐ πᾶς ἐστιν ἄνθρωπος δίκαιος, πᾶς ἐστιν ἄνθρωπος οὐ δίκαιος — οὐ πᾶς ἐστιν ἄνθρωπος οὐ δίκαιος. πλὴν οὐχ | ὁμοίως τὰς κατὰ διάμετρον ἐνδέχεται συναληθεύειν, ἐνδέχεται δὲ ποτέ. 137v

Τὴν εἰρημένην ἐπὶ τῶν ἀπροσδιορίστων προτάσεων ἀκολουθίαν ἀξιοῖ θεωρεῖν ἡμᾶς καὶ ἐπὶ μιᾶς τῶν διαγωνίων ἀντιφάσεων, τῆς πᾶς καὶ οὐ πᾶς, ὡς καὶ ἐπὶ ταύτης λαμβανομένων τῶν τε ἁπλῶν προτάσεων καὶ τῶν ἐκ μεταθέσεως καὶ ἔτι τῶν στερητικῶν. συμβαίνει δὲ τὰς μὲν ἐκ μεταθέσεως τοῦτον ἔχειν τὸν λόγον πρὸς τὰς ἁπλᾶς ὃν αἱ στερητικαί, τὰς μέντοι ἁπλᾶς μηκέτι τοῦτον ἔχειν τὸν λόγον πρὸς τὰς ἐκ μεταθέσεως ὃν αἱ στερητικαί· τετάξονται μὲν γὰρ καὶ ἐνταῦθα δηλονότι ὑπὸ τὴν ἁπλῆν κατάφασιν αἱ τῶν λοιπῶν ἀντιφάσεων ἀποφάσεις (οὐ γὰρ δὴ αἱ καταφάσεις), ὑπὸ δὲ τὴν ἀπόφασιν αἱ καταφάσεις· ἔσται δὲ πάλιν τῆς μὲν ἁπλῆς καταφάσεως ἐπὶ πλέον ἑκατέρα τῶν ὑπ' αὐτὴν ἀποφάσεων· πάντων μὲν γὰρ ὄντων δικαίων ἥ τε μὴ πάντας ἀδίκους εἶναι λέγουσα ἀληθὴς καὶ ἡ μὴ πάντας οὐ δικαίους, ἐπειδὴ καὶ ψευδὴς ἑκατέρα τῶν ἀντικειμένων αὐταῖς καταφάσεων. εἰ μέντοι τῶν ἀνθρώπων οἱ μὲν δίκαιοι εἶεν οἱ δὲ μὴ δίκαιοι, τῶν μὲν εἰρημένων ἀποφάσεων ἑκατέρα ἀληθής, ἡ δὲ ἁπλῆ κατάφασις ψευδής. ὥσπερ δὲ τῆς ἁπλῆς καταφάσεως ἐπὶ πλέον αἱ ὑπ' αὐτὴν ἀποφάσεις, οὕτω δηλονότι καὶ τῆς ἁπλῆς ἀποφάσεως ἐπ' ἔλαττον αἱ ὑπ' αὐτὴν καταφάσεις. ὥστε σώζεται πρὸς τὰς ἁπλᾶς προτάσεις τῶν μετ' αὐτὰς ἡ ἀναλογία. οὐκέτι μέντοι οὐδὲ ἐπὶ τούτων σώζεται ἡ πρὸς τὰς ἐκ μεταθέσεως | τῶν πρὸ 138r αὐτῶν ἀναλογία· τῶν μὲν γὰρ ἁπλῶν ἡ μὲν κατάφασις ἐπ' ἔλαττον ἀληθεύουσα ἐδείχθη τῆς ἀορίστου ἀποφάσεως καὶ ἡ ἀπόφασις τῆς καταφάσεως ἐπὶ πλέον, τῶν μέντοι στερητικῶν ἡ μὲν ἀπόφασις πάλιν ἐπὶ πλέον ἔσται

---

1 γέγραπται F φησὶν M 3 κἂν] ὅταν a 5 τῆς προτ. τῆς a 7 ἔχει b
8 οἷον—ποτέ (12) om. M ἀπόφασις — ποτέ (12) om. a 9. 10 ἐστιν post οὐ δίκαιος (utrobique) colloc. G 11 ἐνδέχεσθαι (priore l.) F συναληθεύεσθαι F² post συναλ. add. ἀεὶ G² 15 ὡς om. F ταύτην A 16 ἔτι] ἐπὶ A συμβαίνειν AF δὲ om. AFMa 17 post στερ. add. πρὸς τὰς ἁπλᾶς F
18 ἔχειν τοῦτον colloc. FMa ὃν] οἷον AMa 22 ἀποφ. ex καταφ. corr. G
24 ἐπεὶ G 25 αὐταῖς iter. M 26 εἶεν] εἰσί M 27 κατάφ.] ἀπόφ. F¹ ἐπὶ τῆς ἁπλ. G 30 καὶ τῶν G 33 ἐδείχθη] v. 21 καὶ ἡ] ἡ δὲ G

τῆς ἐκ μεταθέσεως ἀποφάσεως ἡ δὲ κατάφασις ἐπ' ἔλαττον τῆς κατα-
φάσεως. ὅτι δὲ τοῦτο οὕτως ἔχει, λέγω δὲ τὸ περὶ τῶν στερητικῶν καὶ
τῶν ἐκ μεταθέσεως εἰρημένον, ῥᾳδίως δείξομεν ἀπὸ τῶν καταφάσεων ποι-
ούμενοι πάλιν τὴν ἐπιχείρησιν· πάντων μὲν γὰρ ἀνθρώπων ἀδίκων ὄντων
5 ἀληθεύσει καὶ ἡ πάντας λέγουσα εἶναι μὴ δικαίους· ὁ γὰρ ἄδικος δηλονότι
οὐ δίκαιος. εἰ μέντοι εἶεν τῶν ἀνθρώπων οἱ μὲν ἄδικοι οἱ δὲ μέσην
ἔχοντες ἕξιν, ἡ μὲν λέγουσα πρότασις πάντας εἶναι μὴ δικαίους ἀληθής,
ἡ μέντοι λέγουσα πάντας ἀδίκους εἶναι ψευδής. τὰ αὐτὰ οὖν, ὥσπερ ἐλέ-
γομεν, καὶ ἐπὶ τούτων τῶν προτάσεων συμβαίνει τοῖς ἐπὶ τῶν ἀπροσδιο-
10 ρίστων τεθεωρημένοις. |

Ὅτι δὲ τὴν εἰρημένην τῶν προτάσεων ἀκολουθίαν πρότερόν τε 138v
παρεδίδου ἡμῖν ὁ Ἀριστοτέλης ὡς ἐπὶ προτάσεων ἀπροσδιορίστων, δι' ὧν
ἔλεγεν ὧν τὰ μὲν δύο πρὸς τὴν κατάφασιν καὶ ἀπόφασιν ἕξει
κατὰ τὸ στοιχοῦν ὡς αἱ στερήσεις, τὰ δὲ δύο οὔ, καὶ νῦν ἐπὶ τῆς
15 ἀντιφάσεως τῆς καθόλου καταφάσεως πρὸς τὴν μερικὴν ἀπόφασιν τὰ αὐτὰ
ἡμᾶς θεωρεῖν ἀξιοῖ καὶ οὐδὲν ἕτερον, σαφῶς ἐδήλωσεν ἐπαγαγὼν πλὴν
οὐχ ὁμοίως τὰς κατὰ διάμετρον ἐνδέχεται συναληθεύειν, ἐνδέ-
χεται δὲ ποτέ, δι' οὗ λέγοι ἂν τὸ διάφορον τῶν διαγραμμάτων, τοῦ τε
ἐπὶ τῶν ἀπροσδιορίστων καὶ τοῦ ἐπὶ τῶν προσδιωρισμένων προτάσεων·
20 καθ' ἑκάτερον μὲν γὰρ αὐτῶν κατὰ διάμετρον συμβαίνει τετάχθαι τὰς κατα-
φάσεις ἀλλήλαις, τὴν ἁπλῆν | λέγω καὶ τὴν ἐκ μεταθέσεως ἢ τὴν ἁπλῆν 139r
καὶ τὴν στερητικήν, καὶ τὰς ἀποφάσεις ὁμοίως· ἀλλ' ἐπὶ μὲν τῶν ἀπροσ-
διορίστων κατὰ τὴν ἐνδεχομένην ὅλην τάς τε καταφάσεις συναληθεύειν
ἀλλήλαις συμβαίνει καὶ τὰς ἀποφάσεις ἅτε ταῖς μερικαῖς ἰσοδυναμούσας,
25 ἐπὶ δὲ τῶν προσδιωρισμένων, περὶ ὧν νυνὶ αὐτῷ ὁ λόγος, τῆς καθόλου
καταφάσεως καὶ τῆς ἐπὶ μέρους ἀποφάσεως, τὰς μὲν καταφάσεις συναλη-
θεῦσαι ἀδύνατον καθ' οἵαν δήποτε ὅλην, τὰς μέντοι ἀποφάσεις συμβαίνει
συναληθεύειν κατὰ μόνην τὴν ἐνδεχομένην· ἐπεὶ γὰρ τῶν ἀνθρώπων οἱ
μὲν δίκαιοί εἰσιν οἱ δὲ ἄδικοι οἱ δὲ μέσην ἔχουσιν ἕξιν, φανερὸν ὅτι πάσας
30 συμβήσεται τὰς προκειμένας ἀποφάσεις ἀληθεύειν, 'οὐ πᾶς ἄνθρωπος
δίκαιος' 'οὐ πᾶς ἄνθρωπος ἄδικος' 'οὐ πᾶς ἄνθρωπος οὐ δίκαιος'. τὸ οὖν

---

1. 2 post καταφάσεως add. τῆς ἐκ μεταθέσεως Ma 3 post εἰρ. add. ἐκ προνοίας G ῥᾳδίως suppl. G² δείξωμεν AMa ἀποφάσεων F 7 εἶναι πάντας colloc. F μὴ om. M 8 μέντοι] δὲ M ψευδής] ψεύσεται A 8. 9 ἐλέγομεν] p. 171,13 9. 10 τοῖς . . τεθεωρ.] τῆς . . τεθεωρημένης G 10 post τεθεωρ. add. ἄνθρωπος δίκαιός ἐστιν. ἄνθρωπος δίκαιος οὐκ ἔστιν. ἄνθρωπος ἄδικος οὐκ ἔστιν. ἄνθρωπος ἀδικός ἐστιν. ἄνθρωπος οὐ δίκαιος οὐκ ἔστιν. ἄνθρωπος οὐ δίκαιός ἐστιν. πᾶς ἄνθρωπος δίκαιός ἐστιν. οὐ πᾶς ἄνθρωπος δίκαιός ἐστιν. οὐ πᾶς ἄνθρωπος ἀδικός ἐστιν. πᾶς ἄνθρωπος ἀδικός ἐστι. οὐ πᾶς ἄνθρωπος οὐ δίκαιός ἐστιν. πᾶς ἄνθρωπος οὐ δίκαιός ἐστιν. bipertito collocata Ma: sex posteriora enuntiata notis ἁπλαῖ, στερητικαί, ἀόριστοι ἐκ μεταθέσεως, ἐπ' ἔλαττον ἀμφοῖν, aliis instructa exhibent etiam FG: omnia om. A 11 δὲ καὶ F 13 ἔλεγεν] p. 19b 23 15 τὰ αὐτὰ] ταῦτα F 17 ἀληθεύεσθαι F 19 προσδιωρ.] διωρ. G 24 συμβαίνει om. FM 25 νῦν AG αὐτῷ om. F 26. 27 συναληθεύεσθαι F 28 καὶ συναλ. G 30 συναληθ. G

ἐνδέχεται δὲ ποτέ οὕτως ἀκουστέον, οὐχ ὡς πασῶν τῶν κατὰ διάμετρον ποτὲ συναληθευουσῶν (τοῦτο γὰρ ἀδύνατον), ἀλλ' ὡς τινῶν ἐξ αὐτῶν, οἷον τῶν ἀποφάσεων, συναληθευουσῶν ἐπὶ τῆς ὕλης, ὡς εἴρηται, τῆς μήτε ἀναγκαίας μήτε ἀδυνάτου. καὶ ταῦτα σαφῶς εὑρήσομεν οὐ διοριζόμενον μόνον ἀλλὰ καὶ δεικνύντα τὸν Ἀριστοτέλην πρὸς τῷ πέρατι τοῦ πρώτου τῶν Ἀναλυτικῶν. ὅθεν ὁρμώμενος ἄν τις ὑποπτεύσειεν ἐπὶ μόνου τοῦ διαγράμματος τῶν ἀδιορίστων ἁρμόζειν τὸ μὴ ὁμοίως τὰς κατὰ διάμετρον ἐνδέχεσθαι συναληθεύεσθαι· λέγεται γὰρ ἐν ἐκείνοις ὡς τῶν ἀποφάσεων τῶν ἀδιορίστων καὶ κατ' ἄλλον τρόπον παρὰ τὰς καταφάσεις συναληθεύειν ποτὲ δυναμένων· | οὐ γὰρ μόνον ἐπὶ διαφόρων τοῦ ὑποκειμένου μερῶν, 139v ὅπερ αἱ καταφάσεις ποιοῦσιν, ἀλλὰ καὶ ἐπὶ τοῦ αὐτοῦ, ὅταν μέντοι ἀλλότριον ᾖ τοῦ ἐν τῇ ἐξ ἀρχῆς προτάσει ληφθέντος ὑποκειμένου· κατὰ γὰρ τοῦ ξύλου τυχὸν καὶ τὸ 'ἄνθρωπος δίκαιος οὐκ ἔστι' καὶ τὸ 'ἄδικος οὐκ ἔστι' καὶ τὸ 'οὐ δίκαιος οὐκ ἔστιν' ἀληθῶς κατηγορήσεις, καίτοι τῶν καταφάσεων οὐδεμιᾶς ἀληθεύειν ἐπὶ ὁτουοῦν τῶν παρὰ τὸν ἄνθρωπον δυναμένης. ἀλλὰ τὸ μήτε τῇ διδασκαλίᾳ τῇ περὶ ἐκείνου τοῦ διαγράμματος προστεθεῖσθαι ταύτην τὴν ῥῆσιν καὶ περὶ τῶν προσδιωρισμένων εἰπόντα τὸν φιλόσοφον ὅτι κατὰ τὰς ἀκολουθήσεις ὁμοίως ἔχουσι ταῖς ἀδιορίστοις ἐπαγαγεῖν τὸ πλὴν οὐχ ὁμοίως τὰς κατὰ διάμετρον ἀληθεύεσθαι δυνατόν οὐδὲν ἕτερον ἐννοεῖν ἡμῖν ἐπιτρέπει ἢ ὅτι διαφοράν τινα παραδίδωσι τῶν διαγραμμάτων κατὰ τὸ μὴ ὁμοίως, ὅπερ αὐτός φησι, τὰς κατὰ διάμετρον ἐν αὐτοῖς συναληθεύειν.

Ἀλλ' εἰ δεῖ μὴ παρέργως ἀκροᾶσθαι τῶν ὑπὸ τοῦ Ἀριστοτέλους λεγομένων, ἄξιον οἶμαι ζητῆσαι διὰ τίνα αἰτίαν ἐπὶ μόνης τῆς ἀντιθέσεως τῆς καθόλου καταφάσεως πρὸς τὴν μερικὴν ἀπόφασιν ὁμοίως ἔχειν φησὶ τῶν προτάσεων τὴν ἀκολουθίαν τῇ ἐπὶ τῶν ἀπροσδιορίστων· μήποτε οὖν ὡς ἐπὶ τῶν ὑπολοίπων ἀντιφάσεων, τῆς τε μερικῆς καταφάσεως πρὸς τὴν καθόλου ἀπόφασιν καὶ τῆς τῶν καθ' ἕκαστα, μηκέτι σωζομένης τῆς αὐτῆς ἀκολουθίας· ἐπὶ μὲν γὰρ τῆς τίς καὶ οὐδεὶς ἀντιφάσεως οὐδὲ ἐνδέχεται δεῖξαι τὴν ἁπλῆν κατάφασιν τῆς στερητικῆς ἀποφάσεως ἢ ἐπὶ πλέον ἢ ἐπ' ἔλαττον οὖσαν· οὔτε γὰρ εἰ τὶς ἄνθρωπος δίκαιος, ἤδη οὐδεὶς ἄδικος, 140r οὔτε εἰ μηδεὶς ἄδικος, ἤδη τὶς δίκαιος· τί γάρ, εἰ πάντες τὴν μέσην ἔχοιεν ἕξιν; ὥστε οὐκ ἔστιν οὐδεμίαν ἀκολουθίαν ἀναγκάσαι. εἰ δὲ τὰς ἁπλᾶς πρὸς τὰς ἐκ μεταθέσεως παραβάλλοις, ταῖς μὲν ἀποφάσεσι τὰς καταφάσεις ἑπομένας εὑρήσεις, οὐκέτι μέντοι τὰς ἀποφάσεις ταῖς καταφάσεσιν· εἰ μὲν γὰρ μηδεὶς

---

1 δὲ om. FGM 2. 3 τοῦτο – συναληθευουσῶν om. F 3 ante ὕλης add. ἐνδεχομένης a ὡς εἴρηται] p. 172,27 5 καὶ om. G δεικνύοντα G ἀριστοτέλη a 6 τῶν Ἀναλ.] Anal. pr. A 46 p. 51 b 5 sq. 13 prius καὶ om. G 16 τὸ] τῷ AMa alter. τῇ] τῆς AMa 16. 17 προτεθ. A 18 κατὰ om. F ἀκολουθείσης F ἐπήγαγε G 19 τὸ om. G ἀληθεύειν δυν. a: ἐνδέχεται συναληθεύειν b 20 οὐδὲν οὖν G 21 prius κατὰ] καὶ F 22 ἐν] ἐπ' G 23. 24 λεγ.] γεγραμμένων A 24 ante ἐπὶ add. τῆς del. G 30 ἢ (prius) om. G 31 ἤδη om. M 32 εἰ πάντες] εἰπόντες AFGa 33 ἕξιν] τάξιν M ἔστιν] ἔστ' ἂν M 34 παραβάλοις A 35—174,2 εἰ—δίκαιον om. F

μὴ δίκαιος, δῆλον ὡς πᾶς τε καὶ τῶν κατὰ μέρος ἕκαστος ἔσται δίκαιος· οὐ μὴν εἰ ἔστι τὶς δίκαιος, ἤδη δεήσει μηδένα εἶναι μὴ δίκαιον. οὐ μὴν ἀλλ' οὐδὲ ἐπὶ τῶν καθ' ἕκαστα τὴν εἰρημένην ἀναλογίαν προχωροῦσαν εὑρήσεις· τὴν μὲν γὰρ ἁπλῆν κατάφασιν καὶ τὴν ἐκ μεταθέσεως ἀπόφασιν ἀντιστρέφειν ἀλλήλαις συμβαίνει, 'Σωκράτης δίκαιός ἐστι — Σωκράτης οὐ δίκαιος οὐκ ἔστι', τὴν μέντοι στερητικὴν ἀπόφασιν ἑκατέρας αὐτῶν ἐπὶ πλέον εἶναι τῷ ἀληθεύειν ἐπ' αὐτοῦ τε καὶ τοῦ τὴν μέσην ἕξιν καθ' ὑπόθεσιν ἔχοντος. εἰ δέ τις ὑπολαμβάνοι καὶ ἐπὶ τῶν καθ' ἕκαστα σώζεσθαι τὴν εἰρημένην τῆς ἀκολουθίας τῶν προτάσεων ἀναλογίαν διὰ τὸ καταφατικῶς μὲν τὰ ἄτομα κατὰ μηδενὸς ἀληθῶς κατηγορεῖσθαι, μήτε ἄλλου παρ' αὐτὰ μήτε μέρους ἑαυτῶν ἀτόμων ὄντων, ἀποφάσκεσθαι μέντοι ἀληθῶς ἑκάστου τῶν ἄλλων, οἷον ὅταν λέγωμεν 'Θεαίτητος Σωκράτης οὐκ ἔστιν', ὥσπερ καὶ τῶν γενικωτάτων καταφάσκεσθαι μὲν οὐδὲν ἀληθῶς δυνατόν, ἀποφάσκεσθαι δὲ οὐκ ἀδύνατον, ὁπόταν λέγωμεν 'τὸ ποσὸν οὐσία οὐκ ἔστιν'· εἰ οὖν διὰ τοῦτο ἀξιοῖη τὴν 'Σωκράτης οὐ δίκαιος οὐκ ἔστι' καὶ 'ἄδικος οὐκ ἔστιν' ἐπὶ πλέον εἶναι τῆς 'Σωκράτης δίκαιός ἐστιν', ὑπερτεινούσας αὐτῆς ἐπὶ τῶν παρὰ | Σωκράτην, πρῶτον μὲν ἴστω καὶ τὴν κατάφασιν ὅλην ὡς 140v κατηγορουμένην λαμβάνων, πρὸς ἣν τὴν ἀπόφασιν ὅλην παραβάλλων ἐπὶ πλέον αὐτῆς ἀληθεύειν φησίν, ἔπειτα ὅτι οὐδὲ ἀποφατικῶς κατηγορεῖν τινος ὅλον τὸ 'Σωκράτης δίκαιος ἢ οὐ δίκαιος' εὔλογον· ἐν μὲν γὰρ τῷ πλήθει τῶν ἀνθρώπων καὶ τὸ δίκαιον ἅμα καὶ τὸ μὴ δίκαιον κατ' ἐνέργειαν ὑφεστηκότα θεωροῦντες εἰκότως ἑκάτερον αὐτῶν ἅμα τῷ ἄνθρωπος καὶ καταφάσκομέν τινων καὶ ἀποφάσκομεν· οὐδενὸς μέντοι τῶν ἀτόμων ἅμα μετέχειν ἀμφοτέρων δυναμένου τὸ μὲν Σωκράτης ἀληθῶς ἀποφήσομεν τοῦ Θεαιτήτου, καὶ εἰ ὁμώνυμον εἴη τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ, μὴ εἶναι τοῦτον, εἰ τύχοι, τὸν φιλόσοφον ἢ τὸν δίκαιον Σωκράτην λέγοντες, μετὰ τοῦ ἄρθρου τὸ προσκείμενον αὐτῷ προφερόμενοι· ἄνευ δὲ τοῦ ἄρθρου ὅτι ὅδε Σωκράτης δίκαιος οὐκ ἔστιν οὐ λέγομεν· οὔτε γὰρ τῇ 'Ελληνικῇ χρήσει τοῦτο συνεγνωσμένον οὔτε ἔχον λόγον.

---

1 μὴ om. G¹M ἔσται δίκ. ἔκ. (num. corr.) G 2 μὴ om. M
3. 4 εὑρ. προχ. colloc. G 3 προσχωρ. AMa 6 οὐκ om. G 7 τῶ] τὸ AMa τε καὶ τοῦ F: τοῦ καὶ G: καὶ AMa 11 ἑαυτοῦ M 12 λέγομεν M 15 εἰ—δίκαιος οὐκ ἔστι om. M γοῦν G ἀξιοῖ Aa 16 εἶναι om. G ὑπερτεινούσης G 17 τῶν] τὸν G 17. 26 σωκράτη A
19 ὅτι om. AFMa 20 ἄλογον G . πλήθει] πλάτει F 22 ἅμα om. G¹ τῶ] τὸ F 26 εἰ τύχοι] ἢ F λέγομεν F 27 προκείμ. FG αὐτὸ G προσφερ. FMa post ὅδε add. ὁ del. G

p. 19b36 Αὗται μὲν οὖν δύο ἀντίκεινται. ἄλλαι δὲ πρὸς τὸ οὐκ ἄνθρωπος ὡς ὑποκείμενόν τι προστεθέντος· ἔστι δίκαιος οὐκ ἄνθρωπος — οὐκ ἔστι δίκαιος οὐκ ἄνθρωπος, ἔστιν οὐ δίκαιος οὐκ ἄνθρωπος — οὐκ ἔστιν οὐ δίκαιος οὐκ ἄνθρωπος. πλείους δὲ τούτων οὐκ ἔσονται ἀντιθέσεις. αὗται δὲ χωρὶς ἐκείνων αὗταὶ καθ' αὑτὰς ἔσονται, ὡς ὀνόματι τῷ οὐκ ἄνθρωπος χρώμεναι.

Προφανὲς τὸ διὰ τούτων παραδιδόμενον θεώρημα· φησὶ γὰρ τοσαύτας εἶναι ἀντιφάσεις καὶ ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου προτάσεων ἀορίστῳ ὑποκειμένῳ χρωμένας, ὅσαι ἦσαν ἐξ ὡρισμένου τοῦ | ὑποκει- 141r
μένου. δύο δὲ ἦσαν ἐκεῖναι καθ' ἕκαστον προτάσεων εἶδος τὸ κατὰ τὸν ὑποκείμενον ὀνομαζόμενον, οἷον καθ' ἕκαστα ἢ ἀδιόριστοι ἢ καθόλου ἢ ἐπὶ μέρους· δύο ἄρα καὶ αὗται. ὧν καὶ παραδείγματα παρέθετο, τῶν τε ἁπλῶν καὶ τῶν ἐκ μεταθέσεως, 'οὐκ ἄνθρωπος δίκαιός ἐστιν — οὐκ ἄνθρωπος δίκαιος οὐκ ἔστιν' (αὗται ἁπλαῖ μὲν ἐξ ἀορίστου τοῦ ὑποκειμένου), 'οὐκ ἄνθρωπος οὐ δίκαιός ἐστιν — οὐκ ἄνθρωπος οὐ δίκαιος οὐκ ἔστιν'· αὗται καὶ ἀόριστοι ἤτοι ἐκ μεταθέσεως καὶ ἐξ ἀορίστου πάλιν τοῦ ὑποκειμένου. ἡ δὲ λέξις ἡ ἄλλαι δὲ πρὸς τὸ οὐκ ἄνθρωπος ὡς ὑποκείμενόν τι προστεθέντος ἐλλιπέστερον ἔχει· τὸ γὰρ πλῆρες οὕτως ἂν ἔχοι 'ἄλλαι δὲ δύο ἀντιφάσεις ἀντίκεινται, τοῦτ' ἔστιν ἐξ ἀντικειμένων προτάσεων γίνονται, πρὸς τὸ οὐκ ἄνθρωπος ὡς ὑποκείμενόν τι παραληφθὲν ἐν ταῖς προτάσεσι, προστεθέντος αὐτῷ (τῷ οὐκ ἄνθρωπος δηλονότι) τοῦ τε κατηγορουμένου καὶ τοῦ προσκατηγορουμένου, καὶ κατηγορουμένου μὲν ἢ ὡρισμένου ἢ ἀορίστου, προσκατηγορουμένου δὲ ἢ καταφατικοῦ ἢ ἀποφατικοῦ'. λάβωμεν οὖν τοῦτον τὸν τρόπον πάσας τὰς ἐκ τρίτου προσκατηγορουμένου προτάσεις ἐκ διαιρέσεως· ἀνάγκη γὰρ ἢ ἄμφω τοὺς ὅρους, τόν τε ὑποκείμενον καὶ τὸν κατηγορούμενον, ὡρισμένους αὐτὰς ἔχειν ἢ ἄμφω ἀορίστους ἢ τὸν μὲν ὡρισμένον τὸν δὲ ἀόριστον, καὶ τοῦτο διχῶς (καὶ δῆλον ὅπως), καὶ ἢ καταφατικὰς εἶναι ταύτας ἢ ἀποφατικάς. αὗται δὲ πᾶσαι κατηριθμήθησαν, καὶ εἰκότως ἐθάρρησεν ἀποφήνασθαι ὡς πλείους τούτων οὐκ ἔσονται ἀντιφάσεις. εἶτα διδάσκων ὅτι | καὶ αὗται 141v

---

1 ἀντίκ. ἀλλήλαις Ma δὲ δύο Fab (cf. v. 18) πρὸς—χρώμεναι (7) om. M 2 ὡς —χρώμ. (7) om. a προστεθέν Fb (cf. v. 19) 6 τὸ A 6. 7 προσχρώμ. AG (cf. p. 176,2) 9 ἀντιφ.] τὰς ἀντιθέσεις G 10 an χρωμένων? post ἦσαν add. αἱ Fa ὑποκ. ὡρισμ. (τοῦ om.) G 13 ἄρα] ἅμα AMa παράδειγμα M παρατίθεται FG 14 μεταθέσεων G 14. 15 οὐκ ἄνθρ. δίκ. ἐστιν—μεταθέσεως (17) om. F 15 μὲν ἀλλ' M 16 οὐκ ἄνθρ. οὐ δίκαιός ἐστιν—ὑποκειμένου (18) om. M 17 πάλιν om. G 18 ἄλλαι δὲ δύο b 19 ante ὑποκ. add. οὐχ G¹ προτεθέντος G¹: προστεθέν b ἐλλειπ. AM 21 παραλειφθὲν A 23 τοῦ om. M καὶ κατηγόρου μὲν G 25 λαβὼν F 25. 26 προσκατηγορουμένας G 26. 27 τῶν τε ὑποκειμένων καὶ τῶν κατηγορουμένων A 29 καὶ om. M 30 καὶ om. F ὡς om. M πλείω A 31 ἀντιθέσεις Fb (cf. v. 5)

τέλειαί εἰσι προτάσεις αἱ ἐξ ἀορίστου τοῦ ὑποκειμένου, φησὶν αὐτὰς χωρὶς ἐκείνων αὐτὰς καθ' αὑτὰς εἶναι τῷ οὐκ ἄνθρωπος ὡς ὑποκειμένῳ χρωμένας καὶ διὰ τοῦτο πρὸς αὐτὸ τὸ ἀποφαίνεσθαι μηδὲν ἔλαττον ἐχούσας ἐκείνων.

p. 20a3 Ἐφ' ὅσων δὲ τὸ ἔστι μὴ ἁρμόττει, οἷον ἐπὶ τοῦ ὑγιαίνειν καὶ βαδίζειν, ἐπὶ τούτων ταὐτὸν ποιεῖ οὕτω τιθέμενα ὡς ἂν εἰ τὸ ἔστι προσήπτετο, οἷον ὑγιαίνει πᾶς ἄνθρωπος — οὐχ ὑγιαίνει πᾶς ἄνθρωπος, ὑγιαίνει πᾶς οὐκ ἄνθρωπος — οὐχ ὑγιαίνει πᾶς οὐκ ἄνθρωπος· οὐ γάρ ἐστι τὸ οὐ πᾶς ἄνθρωπος λεκτέον, ἀλλὰ τὸ οὔ, τὴν ἀπόφασιν, τῷ ἄνθρωπος προσθετέον· τὸ γὰρ πᾶς οὐ τὸ καθόλου σημαίνει, ἀλλ' ὅτι καθόλου. δῆλον δὲ ἐκ τοῦδε· ὑγιαίνει ἄνθρωπος — οὐχ ὑγιαίνει ἄνθρωπος, ὑγιαίνει οὐκ ἄνθρωπος — οὐχ ὑγιαίνει οὐκ ἄνθρωπος· ταῦτα γὰρ ἐκείνων διαφέρει τῷ μὴ καθόλου. ὥστε τὸ πᾶς ἢ μηδεὶς οὐδὲν ἄλλο προσσημαίνει ἢ ὅτι καθόλου τοῦ ὀνόματος ἢ κατάφασιν ἢ ἀπόφασιν. τὰ οὖν ἄλλα τὰ αὐτὰ δεῖ προστιθέναι.

Τινὲς μὲν τῶν ἐξηγησαμένων τοῦτο τὸ χωρίον ὑπέλαβον λέγειν τὸν Ἀριστοτέλην διὰ τούτων, ὅτιπερ ἐν ταῖς προτάσεσι ταῖς ἀντὶ τοῦ ἔστιν ἄλλο τι ῥῆμα προσκατηγορούμενον ἐχούσαις, οἷον τὸ βαδίζειν ἢ τὸ ὑγιαίνειν, ὡς ἐν ταῖς 'ἄνθρωπος δίκαιος ὑγιαίνει'. 'ἄνθρωπος δίκαιος βαδίζει', ἡ αὐτὴ γίνεται τῶν προτάσεων τάξις τε καὶ ἀκολουθία, ἥπερ ἐτύγχανε καὶ ἐπὶ τῶν τὸ ἔστι προσκατηγορούμενον ἐχουσῶν, παντάπασιν ἀποπλανώμενοι τῆς τε τοῦ Ἀριστοτέλους διανοίας καὶ τῆς τῶν λόγων αὐτῶν ἀκριβείας· 142r οὔτε γὰρ ὁ φιλόσοφος φαίνεται τῆς τοιαύτης προτάσεως παραδείγματα ἡμῖν παρατιθέμενος οὔτε ἐνδέχεται παρὰ τὸ ἔστιν ἄλλο τι ῥῆμα προσκατηγορούμενον γίνεσθαι. καὶ τοῦτο οὐ μόνον τῷ Ἀριστοτέλει πιστεῦσαι δεῖ πρότερόν τε σαφῶς εἰπόντι μόνον τὸ ἔστιν ἐν ταῖς τοιαύταις προτάσεσι προσκατηγορεῖσθαι καὶ ἐν τοῖς Ἀναλυτικοῖς ὅρον μὲν εἶναι ἀποφαινομένῳ τὸν εἰς ὃν διαλύεται ἡ πρότασις, τόν τε κατηγορούμενον καὶ τὸν ὑποκείμενον, ἐπάγοντι δὲ "προστιθεμένου ἢ διαιρουμένου τοῦ εἶναι ἢ μὴ εἶναι" καὶ μηδενὸς ἄλλου ῥήματος παρὰ τοῦτο μνείαν ποιουμένῳ, ἀλλὰ

---

1 τέλειοι a αἱ om. AFMa 2 τὸ A 3 αὐτὰς F 5 ὅσον F¹ οἷον — προστιθέναι (16) om. M ἐπὶ — προστιθέναι (16) om. a 5. 6 ὑγιαίνει καὶ βαδίζει b 6 τιθέμενον b ὥσπερ G 7 ante ὑγιαίνει add. ἔστιν ὑγιαίνων πᾶς ἄνθρωπος A: eras. F, idemque Amm. legisse videtur (cf. p. 178,25) ὑγιαίνει] ἔστιν ὑγιαίνων G 7. 8 ante οὐχ ὑγ. add. ἔστιν οὐχ ὑγιαίνων πᾶς ἄνθρωπος A, idemque Amm. ante ὑγιαίνει πᾶς ἄνθρ. (7) videtur legisse (cf. p. 178,25) 8 ὑγ. πᾶς οὐκ — προστιθέναι (16) om. G 14 τῷ] τὸ A καθόλου εἶναι b ἢ τὸ πᾶς F μηδεὶς] οὐδεὶς b 15. 16 καταφήσειν ἢ ἀποφήσειν F 16 οὖν] δὲ b 18 ἀριστοτέλη A 19. 20 βαδίζει ἢ τὸ ὑγιαίνει F 19 ἢ om. G 23 τε om. M τοῦ om. G αὐτῶν om. G 24 τῆς om. G παράδειγμα F 25 ἡμῖν om. F 26. 27 δεῖ πιστ. colloc. G 27 πρότερον] p. 19b19 28 Ἀναλυτ.] Anal. pr. A 1 p. 24b16 30 ἢ προστιθ. Arist. 31 τούτῳ a

καὶ ἡμεῖς ἐν τοῖς ἑξῆς ἐναργῶς ἀποδείξομεν, ὅπερ καὶ πρότερον ἐπηγγειλάμεθα, δι' ὧν ὁ Ἀριστοτέλης ζητήσει πότε τὰ ἴδια καὶ χωρὶς κατηγορούμενα δύναται συμπλεκόμενα ἀλλήλοις μίαν ποιῆσαι κατηγορίαν καὶ πότε οὔ. ἕτεροι δέ γε ὑπέλαβον ζητεῖσθαι διὰ τούτων εἰ ὥσπερ ἐν ταῖς ἐνεργείᾳ τὸ ἔστι προσκατηγορούμενον ἐχούσαις τοῦ κατηγορουμένου ὀνόματος, οἷον τοῦ δίκαιος, προταττόμενον τὸ ἀρνητικὸν μόριον οὐ ποιεῖ ἀπόφασιν ἀλλὰ κατάφασιν ἐκ μεταθέσεως, τὴν 'ἄνθρωπος οὐ δίκαιός ἐστιν', οὕτω καὶ ἐν αἷς δυνάμει περιέχεται τὸ ἔστιν ἐν τῷ κατηγορουμένῳ ῥήματι, διαλυομένου τοῦ ῥήματος ἐκείνου, καθὰ καὶ πρότερον ἐλέγομεν, εἴς τε τὴν οἰκείαν αὐτῷ μετοχὴν καὶ τὸ ἔστι, προταττόμενον πάλιν τὸ ἀρνητικὸν μόριον τῆς μετοχῆς οὐ ποιήσει ἀπόφασιν ἀλλὰ κατάφασιν ἐκ μεταθέσεως· ἡ μὲν γὰρ λέγουσα πρότασις 'ἄνθρωπος βαδίζει' ταὐτὸν ὁμολο|γουμένως 142r φθέγγεται τῇ 'ἄνθρωπος βαδίζων ἐστί', ζητεῖται δέ, φασί, διὰ τούτων εἰ τὴν 'ἄνθρωπος οὐ βαδίζων ἐστί' κατάφασιν ῥητέον πάλιν ἐκ μεταθέσεως ἀλλ' οὐκ ἀπόφασιν, οὔτε τοῦ προβλήματος ἀξίου, οἶμαι, ζητήσεως ὄντος (τίς γὰρ ἡ ἀποκλήρωσις ὥστε τὴν μὲν 'ἄνθρωπος οὐ δίκαιός ἐστι' κατάφασιν καλεῖν τὴν δὲ 'ἄνθρωπος οὐχ ὑγιαίνων ἐστίν' ἀπόφασιν;) οὔτε τοῦ Ἀριστοτέλους οὐδὲν τοιοῦτον διὰ τῶν παρ' αὐτοῦ λεγομένων ἐμφαίνοντος.

Μήποτε οὖν ταῖς ῥήσεσιν αὐταῖς τοῦ Ἀριστοτέλους προσφυέστερον ᾖ τὸ λέγειν ὅτι παραδοὺς ἡμῖν τὰς ἐξ ἀορίστου τοῦ ὑποκειμένου ἀντιφάσεις πρότερον μὲν ἐπὶ τῶν ἁπλουστάτων προτάσεων, τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου μόνον, διὰ δὲ τῶν προσεχῶς προειρημένων καὶ ἐπὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου. καὶ ἐν οἷς παρέθετο αὐτῶν παραδείγματα τὸ ἔστι λαβὼν πρότερον μὲν ὡς κατηγορούμενον (δι' ὧν ἔλεγεν ἔστιν οὐκ ἄνθρωπος — οὐκ ἔστιν οὐκ ἄνθρωπος καὶ ἔστι πᾶς οὐκ ἄνθρωπος — οὐκ ἔστι πᾶς οὐκ ἄνθρωπος), δι' ὧν δὲ προσεχῶς παρεδίδου καὶ ὡς προσκατηγορούμενον (ἐν οἷς ἔλεγεν αὗται μὲν οὖν δύο ἀντίκεινται, ἄλλαι δὲ πρὸς τὸ οὐκ ἄνθρωπος· ἔστι δίκαιος οὐκ ἄνθρωπος — οὐκ ἔστι δίκαιος οὐκ ἄνθρωπος, ἔστιν οὐ δίκαιος οὐκ ἄνθρωπος — οὐκ ἔστιν οὐ δίκαιος οὐκ ἄνθρωπος), προτίθεται διὰ τούτων διδάξαι ἡμᾶς ὅτι καὶ ἐπὶ τῶν προτάσεων τῶν ἀντὶ τοῦ ἔστιν ἄλλο τι ῥῆμα ἐχουσῶν οὐ προσκατηγορούμενον (τοῦτο γὰρ εἴρηται ὅτι ἀδύνατον), ἀλλὰ κατηγορούμενον, ἀορίστῳ μέντοι πάλιν τῷ ὑποκειμένῳ χρωμένων. τοῦτον δεῖ τὸν τρόπον γίνεσθαι τὰς ἀπο|φάσεις, ὃν ἐγίνοντο καὶ τοῦ ἔστιν ἐνεργείᾳ κατηγορουμένου· διὸ 143r καθάπερ ἐπ' ἐκείνων τῷ ἔστι συμπλέκων τὸ ἀρνητικὸν μόριον ἐποίει τὰς

---

1 πρότερον] p. 165,29 2 ζητήσει] p. 20b31 sq. 4 εἰ om. G¹: ἢ suppl. G² 6 προστατ. M 9 πρότερον ἐλέγ.] p. 55,24. 25 εἴς τε] εἴτε M 13 et 14 βαδίζον G 15 ἄξιον M ὄντως A 16 ἡ om. AMa 19 ἦν M 20 ἐξ] ἐπ' M 23 αὐτὸ AMa: αὐτὸς F 24 ἔλεγεν] p. 19b16. 17 26 ante οὐκ ἔστι πᾶς add. καὶ G προσεχ.] ποσαχῶς F 27 ἔλεγεν] p. 19b36 29. 30 ἔστιν οὐ δίκ. οὐκ ἄνθρ.—οὐκ ἔστιν οὐ δίκ. οὐκ ἄνθρωπος om. F 31 προστίθ. A καὶ om. F 33 τοῦτο—κατηγορούμενον om. A εἴρηται] p. 176,25 34 δεῖ] δὴ A 35. 36 διόπερ καθὰ δὴ a τῷ] τὸ M

ἀποφάσεις, οὐκ ἔστιν οὐκ ἄνθρωπος λέγων καὶ οὐκ ἔστι πᾶς οὐκ ἄνθρωπος, οὕτω καὶ νῦν τῆς ὑγιαίνει πᾶς οὐκ ἄνθρωπος ἀπόφασιν εἶναί φησι τὴν οὐχ ὑγιαίνει πᾶς οὐκ ἄνθρωπος. δῆλον δὲ ὅτι καὶ εἰ τὰς ὄντως αὐτῶν ἀποφάσεις ἐθέλοιμεν ποιεῖν, τὸν αὐτὸν τρόπον ἐπ' ἀμφοτέρων ποιήσομεν, τῶν τε τὸ ἔστιν ἐνεργείᾳ κατηγορουσῶν καὶ τῶν ἀντὶ τοῦ ἔστιν ἕτερόν τι ῥῆμα· μόνης δὲ νῦν τῆς καθόλου καταφάσεως μνημονεύσας τῆς ἀόριστον ἐχούσης τὸν ὑποκείμενον καὶ τὸ ὑγιαίνειν κατ' αὐτοῦ κατηγορούσης, ἐπιζητεῖ πῶς τὴν ἀπόφασιν αὐτῆς ποιητέον, ὡς ἂν ἀρκούσης τῆς ἐπὶ τούτων θεωρίας παραστῆσαι ἡμῖν ἐκ τῶν πολλάκις εἰρημένων τὴν μέθοδον, καθ' ἣν καὶ ἐπὶ τῶν ἄλλων καταφάσεων ποιήσομεν τὰς ἀποφάσεις.

Τοῦτο δὲ ἔοικε τὸ θεώρημα κινῆσαι νῦν ὁ Ἀριστοτέλης ὥσπερ δείσας μή τις ἀδιάφορον εἶναι ὑπολάβῃ πρὸς τὸ γενέσθαι τὴν ἀπόφασιν τὸ ἀφαιρεῖν μὲν τοῦ ἀορίστου ὑποκειμένου τὸ ἀρνητικὸν μόριον προτάττειν δὲ αὐτὸ τοῦ προσδιορισμοῦ· δηλοῖ δὲ σαφῶς λέγων οὐ γάρ ἐστι τὸ οὐ πᾶς ἄνθρωπος λεκτέον, ἀλλὰ τὸ οὔ, τὴν ἀπόφασιν, τῷ ἄνθρωπος προσθετέον, τοῦτ' ἔστιν οὐ γὰρ τὴν 'οὐ πᾶς ἄνθρωπος ὑγιαίνει' λεκτέον ἀπόφασιν εἶναι τῆς 'πᾶς οὐκ ἄνθρωπος ὑγιαίνει' καταφάσεως, ἀλλὰ τὸ οὔ, ὃ ἐκάλεσεν ἀπόφασιν ὡς ποιητικὸν τῆς ἀποφάσεως, τῷ ἄνθρωπος καὶ ἐν τῇ ἀποφάσει προσθετέον, ἵνα μένῃ ἐν ἀμφοτέραις ταῖς προτάσεσιν ὁ αὐτὸς ὑποκείμενος. | καθάπερ ὁ αὐτὸς κατηγορούμενος, ὅπερ ἔχειν ἀνάγκη 143v τὰς ἀντιφατικῶς ἀλλήλαις ἀντικεισομένας προτάσεις. τούτου οὖν χάριν τοῦ ἐξομοιῶσαι ταῖς ἐνεργείᾳ τὸ ἔστιν ἐχούσαις προτάσεσι τὰς δυνάμει αὐτὸ παραλαμβανούσας καὶ διδάξαι ὅτι ἐπ' ἀμφοτέρων τὸν αὐτὸν τρόπον τὰς ἀντιφάσεις ποιητέον, ἔοικεν ἐξ ἀρχῆς ἐν τοῖς παραδείγμασι τὸ ὑγιαίνει ῥῆμα διαλῦσαι εἴς τε τὴν ὑγιαίνων μετοχὴν καὶ τὸ ἔστιν. εἶτα πρῶτον παραθέμενος παραδείγματα προτάσεων ἐξ ὡρισμένου τοῦ ὑποκειμένου, ὡς γνωριμώτερα καὶ ὁδηγῆσαι ἡμᾶς δυνάμενα πρὸς κατανόησιν τῶν ἐξ ἀορίστου τοῦ ὑποκειμένου, ἐπάγει τὰς ἐξ ἐκείνων γενομένας καὶ ἀορίστῳ χρωμένας τῷ ὑποκειμένῳ, περὶ ὧν ἦν αὐτῷ προκείμενον λέγειν, ὅπως ἐπ' αὐτῶν ἐκ τῶν καταφάσεων γίνονται αἱ ἀποφάσεις. δηλοῖ δὲ ἐπὶ τούτων μόνον τὴν αἰτίαν ἀποδιδοὺς τοῦ μὴ ἄλλον τρόπον γίνεσθαι τὰς ἀποφάσεις. εἰπὼν μέντοι μὴ χρῆναι | τῆς 'πᾶς οὐκ ἄνθρωπος ὑγιαίνει' λέγειν ἀπό- 144r φασιν τὴν 'οὐ πᾶς ἄνθρωπος ὑγιαίνει', τὴν αἰτίαν τούτου προστίθησιν

---

1 οὐκ (post ἔστιν) om. M 4 ἐθέλομεν AM 6 καταφάσεως om. G 8 αὐτοῦ] αὐτὴν G 9 παραστήσῃ a 10 καὶ suppl. G² 13 ἀπολάβῃ A¹: ὑπολάβοι G 13. 14 ἀναιρεῖν F 14 προστάττ. A¹ 15 αὐτὸ] ἀπὸ G ὁρισμοῦ G¹: διορισμοῦ G² λέγων] τὸ λεγόμενον G 21 καθάπερ] ὁ αὐτός περ A¹: ὥσπερ A² 22 ἀντικειμένας G 25 ante ἔοικεν add. ἔστιν οὐκ ἄνθρωπος. οὐκ ἔστιν οὐκ ἄνθρωπος. ἔστι πᾶς οὐκ ἄνθρωπος. οὐκ ἔστι πᾶς οὐκ ἄνθρωπος. ἔστι δίκαιος οὐκ ἄνθρωπος. οὐκ ἔστι δίκαιος οὐκ ἄνθρωπος. οὐκ ἔστιν οὐ δίκαιος οὐκ ἄνθρωπος. ἔστιν οὐ δίκαιος οὐκ ἄνθρωπος. bipertito collocata a τὸ] τοῦ G ὑγιαίνειν AFMa 28 γνωριμότερα codd. 29 τοῦ om. AMa 31 γίνωνται M 32 μόνων G

εὐθὺς ἐπάγων τὸ γὰρ πᾶς οὐ τὸ καθόλου σημαίνει, ἀλλ' ὅτι καθόλου, ὅπερ ὅ τι μὲν δηλοῖ τῷ φιλοσόφῳ διὰ τῶν πρότερον εἰρη- 5 μένων παρεστήσαμεν τὸ ῥησείδιον αὐτὸ τοῦτο ἐξηγούμενοι, παρείληπται δὲ νῦν ὡς δηλωτικὸν τοῦ δεῖν μὲν ἐν ταῖς ἀντιφασκούσαις προτάσεσι τὸν 5 αὐτὸν ὑποκείμενον παραλαμβάνεσθαι, τοῦτο δὲ μηκέτι συμβαίνειν, ὅταν εἴπωμεν τῇ 'πᾶς οὐκ ἄνθρωπος ὑγιαίνει' καταφάσει μάχεσθαι τὴν 'οὐ 10 πᾶς ἄνθρωπος ὑγιαίνει' ἀπόφασιν· δέον γὰρ τούτων ἀποφάσκειν τὸν κατηγορούμενον ἐν τῇ ἀποφάσει, καθ' ὧν αὐτὸν κατηγοροῦμεν ἐν τῇ καταφάσει, τοῦτο οὐ ποιοῦμεν ἐν τῇ ἐκτεθειμένῃ ἀποφάσει· τῆς γὰρ κατα- 15 10 φάσεως πάντων τῶν οὐκ ἀνθρώπων τὸ ὑγιαίνειν κατηγορησάσης, ἡ εἰρημένη ἀπόφασις τῶν ἀνθρώπων αὐτὸ ἀποφάσκει. ὅτι δὲ ταύτην ἔχουσιν οἱ καθόλου προσδιορισμοὶ τὴν δύναμιν, τὸ σημαίνειν ὅτι τὸ κατηγορούμενον πᾶσι μὲν ὑπάρχει τοῖς ὑπὸ τὸ ὑποκείμενον ἐν τῇ καθόλου καταφάσει πᾶσι 20 δὲ οὐχ ὑπάρχει ἐν τῇ καθόλου ἀποφάσει, σαφῶς ἐδήλωσε τὰς αὐτὰς προ- 15 τάσεις, ἃς ἐξέθετο πρότερον μετὰ τοῦ καθόλου προσδιορισμοῦ ποτὲ μὲν ὡρισμένον ποτὲ δὲ ἀόριστον λαβὼν τὸν ὑποκείμενον, ταύτας ἐφεξῆς ἄνευ τοῦ προσδιορισμοῦ παρατιθέμενος ὑπὲρ τοῦ δηλῶσαι ὅτι ὁ πᾶς προσδιορι- 25 σμός, καθ' ὃν ἐπλεόναζον αἱ πρότεραι προτάσεις τῶν ὑστέρων, παρέσχεν αὐταῖς τὸ ποιεῖσθαι τὴν κατηγορίαν κατὰ πάντων τῶν ὑπὸ τὸ ὑποκείμενον 20 ἀτόμων, | ὅπερ οὐκ ἔχουσιν αἱ ἀπροσδιόριστοι προτάσεις. ὡς δὲ ταὐτὸν 144v δυναμένης τῆς 'πᾶς ἄνθρωπος οὐχ ὑγιαίνει' καὶ 'πᾶς οὐκ ἄνθρωπος οὐχ ὑγιαίνει' τῇ 'οὐδεὶς ἄνθρωπος ὑγιαίνει' καὶ 'οὐδεὶς οὐκ ἄνθρωπος ὑγιαίνει', εἰκότως συμπεραινόμενός φησιν ὥστε τὸ πᾶς ἢ μηδεὶς οὐδὲν ἄλλο 5 προσσημαίνει ἢ ὅτι καθόλου τοῦ ὀνόματος ἢ κατάφασιν ἢ ἀπό- 25 φασιν, τοῦτ' ἔστι κατὰ πάντων τῶν μετεχόντων τῆς φύσεως τοῦ ὑποκειμένου ἢ καταφάσκει τὸ κατηγορούμενον ἢ ἀποφάσκει ὁ καθόλου ἀποφαινόμενος. διακρινομένων οὖν κατὰ μόνα ταῦτα τῶν ἀντικειμένων ἀλλήλαις 10 προτάσεων τὰ ἄλλα, φησί, τὰ αὐτὰ δεῖ προστιθέναι, παρακελευόμενος ἡμῖν τόν τε ὑποκείμενον ὅρον καὶ τὸν κατηγορούμενον τὸν αὐτὸν φυλάττειν 30 ἐν ταῖς ἀντιφασκούσαις προτάσεσιν.

---

1 οὐ τὸ] ἄνθρωπος G¹ 2 ὅπερ] ὅτιπερ Ma 2. 3 πρότερον εἰρ.] p. 101,2 3 παρεστήκαμεν F ἐξηγησάμενοι AMa παρελήφθη G 5 post αὐτὸν add. τῶ del. G 11 ἀποφάσκειν A 16 τὸν] τὸ A 17 ὁ om. a 18 ὄν] ὧν A ὕστερον G 21. 22 καὶ πᾶς οὐκ ἄνθρ. οὐχ ὑγιαίνει om. Ga: οὐχ (ante ὑγ.) om. M 22 τῇ οὐδεὶς ἄνθρ. ὑγιαίνει om. F ante οὐδεὶς οὐκ ἄνθρ. add. τῆς πᾶς οὐκ ἄνθρ. οὐχ ὑγιαίνει G 23 μηδεὶς] οὐδεὶς Mb 24. 25 κατάφασις ἢ ἀπόφασις AG: καταφήσειν ἢ ἀποφήσειν F 26 post καταφ. add. τῶ ὑποκειμένω F

p. 20a16 Ἐπεὶ δὲ ἐναντία ἀπόφασίς ἐστι τῇ ἅπαν ἐστὶ ζῷον δίκαιον ἡ σημαίνουσα ὅτι οὐδέν ἐστι ζῷον δίκαιον, αὗται μὲν φανερὸν ὅτι οὐδέποτε ἔσονται οὔτε ἀληθεῖς ἅμα οὔτε ἐπὶ τοῦ αὐτοῦ, αἱ δὲ ἀντικείμεναι ταύταις ἔσονταί ποτε, οἷον οὐ πᾶν ζῷον δίκαιον καὶ ἔστι τι ζῷον δίκαιον.

Μέλλων ἐν τοῖς ἑξῆς ὁ Ἀριστοτέλης παραδιδόναι καθόλου τινὰ ἀπόφασιν ἀκολουθοῦσαν καθόλου τινὶ καταφάσει, τὴν ἁπλῆν τῇ ἐκ μεταθέσεως καὶ τὴν ἐκ μεταθέσεως τῇ ἁπλῇ, προλαμβάνει διὰ τούτων εἰκότως καὶ διορίζεται ὅτι καθάπερ ἐπὶ τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεων τὰς καθόλου ὡς καθόλου ἐναντίας προσηγόρευσε καὶ συμψεύδεσθαι ἀλλήλαις ἀπεφήνατο τὰς δὲ ἀντιφασκούσας πρὸς | αὐτὰς συναληθεύειν 145r ἀλλήλαις. ἐν οἷς ἔλεγε διὸ ταύτας μὲν οὐχ οἵόν τε ἅμα ἀληθεῖς εἶναι, τὰς δὲ ἀντικειμένας αὐταῖς ἐνδέχεται ἐπὶ τοῦ αὐτοῦ, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν νυνὶ προκειμένων εἰς ἐπίσκεψιν προτάσεων, τῶν προσκατηγορουσῶν τὸ ἔστι, τὰς μὲν καθόλου τὰς μηδεμίαν ἐχούσας περὶ τοὺς ὅρους διαφορὰν ἀξιοῖ μήτε συναληθεύειν ποτὲ ἀλλήλαις μήτε σημαίνειν τὰ ἐπὶ τοῦ αὐτοῦ συντρέχειν ἅμα δυνάμενα, τὰς δὲ μαχομένας πρὸς αὐτὰς ἀντιφατικῶς συντρέχειν ποτὲ ἀλλήλαις, διὰ τοῦ ποτέ δηλονότι σημαίνων τὸ κατὰ μόνην τὴν ἐνδεχομένην ὕλην ὑπάρχειν αὐταῖς τὸ συναληθεύειν. ἡμεῖς μὲν οὖν, ὡς εἴρηται, διῃρημένως ἀκούομεν τὸ οὔτε ἀληθεῖς ἅμα οὔτε ἐπὶ τοῦ αὐτοῦ, τὸ μὲν λαμβάνοντες ἐπ' αὐτῶν τῶν λόγων τὸ δὲ ἐπὶ τῶν σημαινομένων ὑπ' αὐτῶν πραγμάτων. συμβαίνει δὲ ταῦτα συντρέχειν ἀλλήλοις· εἰ γὰρ ἅμα ἀληθεῖς οἱ λόγοι, καὶ τὰ ἐν αὐτοῖς κατηγορούμενα τῷ αὐτῷ ἅμα ὑπάρχουσι, καὶ τὸ ἀνάπαλιν. καὶ δῆλον ὅτι τοῦ ἅμα εἶναι ἀληθεῖς τοὺς λόγους αἴτιον γίνεται τὸ τὰ πράγματα συνυπάρχειν. ἕτεροι δέ γε τὸ οὔτε καίτοι δὶς παραληφθὲν παρέλκειν ὑπολαβόντες δι' ἀμφοτέρων, τοῦ τε ἅμα καὶ τοῦ ἐπὶ τοῦ αὐτοῦ, περιγράφεσθαί φασι τὸ χαρακτηρίζον τὴν ἀντίθεσιν τῶν τοιούτων προτάσεων· ἅμα τε γὰρ ἀληθεῖς δύνανται εἶναι, φασίν, αἱ προτάσεις μὴ ἐπὶ τοῦ αὐτοῦ λαμβανόμεναι, οἷον 'πᾶς ἄνθρωπος δίπους — οὐδεὶς ἵππος δίπους', καὶ πάλιν ἐπὶ τοῦ αὐτοῦ μὲν ἀληθεῖς, οὐ μέντοι ἅμα, ὡς ὅταν λέγωμεν 'πᾶς ἄνθρωπος ἐπὶ τοῦ χρυσοῦ λεγομένου γένους | δίκαιος — οὐδεὶς 145v

---

1 τῇ—τι ζῷον δίκαιον (5) om. M τῇ] τῆς G 3 ἀληθεῖς—τι ζῷον δίκαιον (5) om. a 4 οἷον F²: om. AF¹G 5 πᾶν ex τὸ corr. F² 6 καθόλου om. M 7 καθόλου om. A 8 εἰκότως om. G (fortasse recte) 10 ἐναντίας τε F προσηγόρευε G συμψεύδ.] ψεύδ. A 11 ἀπεφαίνετο FG 12 ἔλεγε] p. 17b23 ἅμα om. F 13 αὐταῖς] αὐτὰς M ἐνδέχ. ποτε ἐπὶ b 14 νῦν G 14. 15 τῶν προσκ. τὸ ἔστι om. F 15 ante μηδεμ. add. δὲ G² 16 prius μήτε] μήπως F 17 τὰς . . δυναμένας AMa 18. 19 σημαῖνον A 19 τὸ κατὰ—αὐταῖς τὸ suppl. G² 19. 20 ἀληθεύειν G¹ 20 τὸ] τοῦ G 25 τοῦ] τὸ G 26 γε om. M τὸ om. G 32 τοῦ om. F

ἄνθρωπος ἐπὶ τοῦ σιδηροῦ λεγομένου γένους δίκαιος', καίτοι τοῦ τε Ἀριστοτέλους κατ' ἀρχὰς παραδόντος ἡμῖν ποίας ἀξιοῖ ἀντικεῖσθαι ἀλλήλαις προτάσεις, ὅτι τὰς τοῦ αὐτοῦ κατὰ τοῦ αὐτοῦ καὶ τὰ ἑξῆς τούτοις, καὶ τῆς κατὰ χρόνον ἐξαλλαγῆς περὶ μὲν τὴν φύσιν τῶν καθ' ἕκαστα θεωρεῖσθαι δυναμένης, ἐν δὲ τοῖς καθόλου χώραν οὐδεμίαν ἐχούσης, εἰ μὴ μέλλοιμεν τοῖς μυθικοῖς πλάσμασι χρήσασθαι πρὸς ἀνατροπὴν τῶν ἐναργῶς ἀποδεδειγμένων.

p. 20a20 Ἀκολουθοῦσι δὲ αὗται, τῇ μὲν πᾶς ἐστιν ἄνθρωπος οὐ δίκαιος ἢ οὐδεὶς ἐστιν ἄνθρωπος δίκαιος, τῇ δὲ ἔστι τις ἄνθρωπος δίκαιος ἢ ἀντικειμένη ὅτι οὐ πᾶς ἐστιν ἄνθρωπος οὐ δίκαιος· ἀνάγκη γὰρ εἶναί τινα.

Κατ' ἀρχὰς μὲν τῆς θεωρίας τῶν ἐκ τρίτου προσκατηγορουμένου προτάσεων ἐδιδασκόμεθα ὅπως ἔχουσιν αἱ ὅλαι αὐτῶν ἀντιφάσεις τῆς πρὸς ἀλλήλας τάξεώς τε καὶ ἀκολουθίας καὶ παρεβάλλετο τὰ μόρια αὐτῶν πρὸς ἄλληλα, ἡ μὲν καθόλου ἁπλῆ κατάφασις πρὸς τὴν ἐπὶ μέρους ἐκ μεταθέσεως ἀπόφασιν ὡς ἑπομένην καὶ ἐπὶ πλέον αὐτῆς οὖσαν, ἡ δὲ καθόλου ἐκ μεταθέσεως κατάφασις πρὸς τὴν ἁπλῆν ἀπόφασιν ὡς τὸν αὐτὸν τρόπον ἔχουσαν πρὸς αὐτήν· νῦν δὲ παραδίδωσιν ἡμῖν ὁ Ἀριστοτέλης τὰς ποσὸν μὲν τὸ αὐτὸ ἐχούσας προτάσεις ἑπομένας μέντοι ἀλλήλαις, οὐκέτι ὅλην ἀντίφασιν πρὸς ὅλην παραβάλλων, ἀλλ', ὥσπερ εἴρηται, μιᾶς μόνης προτάσεως πρὸς μίαν πρότασιν τὴν συμφωνίαν θεωρῶν. ἀκολουθεῖν οὖν φησι τῇ μὲν 'πᾶς ἄνθρωπος οὐ δίκαιός ἐστι' τὴν 'οὐδεὶς | ἐστιν ἄνθρωπος 146r δίκαιος' τῇ δὲ 'τὶς ἄνθρωπος δίκαιός ἐστι' τὴν 'οὐ πᾶς ἄνθρωπος οὐ δίκαιός ἐστι'· δῆλον γάρ φησιν ὅτι τούτου ἀληθοῦς ὄντος τοῦ 'οὐ πᾶς ἄνθρωπος οὐ δίκαιός ἐστιν' ἀνάγκη εἶναί τινα ἄνθρωπον δίκαιον· ψευδοῦς γὰρ οὔσης τῆς 'τὶς ἄνθρωπος δίκαιός ἐστιν' οὐκέτι ἀληθὴς ἡ 'οὐ πᾶς οὐ δίκαιος', ὅπερ ὑπέκειτο, ἀλλ' ἡ μαχομένη πρὸς αὐτὴν ἡ 'πᾶς οὐ δίκαιος'. ὥστε ἀκολουθοῦσιν ἀλλήλαις αἱ κατὰ μέρος προτάσεις, ὥσπερ αἱ καθόλου. ὁ μὲν οὖν Ἀριστοτέλης παραδείγματα μόνα παραθέμενος ἡμῖν τινων ἀκολουθουσῶν ἀλλήλαις προτάσεων ἀπηλλάγη τοῦ θεωρήματος, ὁ δέ γε ἡμέτερος καθηγεμὼν καὶ εὐεργέτης κανόνας ἡμῖν πάνυ τεχνικοὺς παρεδίδου, καθ' οὓς οἷόν τε πάσῃ τῇ προτεθείσῃ προτάσει τὴν ἀκολουθοῦσαν εὑρεῖν· ἐπεὶ γὰρ αἱ

---

1 τοῦ τε] γε τοῦ F 2 παραδόντος] p. 17a35 4 τῶν] τὸν A: τὴν M: om. sec. ed. Ven. Brand. 6 πλάσμ.] πράγμασι M 8 πᾶς — τινα (11) om. M 8. 9 τῇ μὲν οὐδεὶς ἐστιν ἄνθρ. δίκ. ἡ πᾶς ἐστιν ἄνθρ. οὐ δίκ. AF¹G (cf. v. 22) 8 ἐστιν post οὐ δίκ. (9) colloc. b 9 ἔστι (ante τις) om. F 10 ἐστιν post alt. ἄνθρ. colloc. b 12 κατ' ἀρχὰς] p. 19b32 προσκατηγορουμένων A 14 αὐτῶν τὰ μόρια colloc. F πρὸς] ὡς F 18 δέ γε G 19 post μὲν add. περὶ G² 20 ὥσπερ εἴρηται] p. 180,5 22. 23 οὐδεὶς ἄνθρ. δίκ. ἐστι colloc. G 23 οὐ (ante δίκαιος) om. M 24 τούτου] τοῦ M ὄντως G 26 ἐστιν om. FG οὐκέτι] οὐκ a: superscr. A: om. M post οὐ πᾶς add. ἄνθρωπος Fa οὐ (ante δίκ.) suppl. F² 27 ἀλλ' om. AM 32 πᾶσι A ἀκολουθίαν M

προτάσεις καὶ ὡς ὅλαι θεωροῦνται καὶ μέρη ἔχουσι, τὰς ἀντιθέσεις αὐτῶν ἐλάμβανεν ἢ ἀπὸ τῆς περὶ τὰ μέρη αὐτῶν θεωρουμένης διαφορᾶς ἢ ἀπὸ τῆς περὶ ὅλας αὐτάς. ἐπεὶ δὲ δύο μὲν τῶν προτάσεων τὰ μέρη, ὅ τε ὑποκείμενος ὅρος καὶ ὁ κατηγορούμενος, δύο δὲ καὶ τὰ περὶ ὅλας αὐτὰς ὡς ὅλας θεωρούμενα, τό τε ποιὸν αὐτῶν καὶ τὸ ποσόν, τετραχῶς συμβαίνει λαμβάνεσθαι τὰς τῶν προτάσεων ἀντιθέσεις· ἀπὸ μὲν γὰρ τῶν ὑποκειμένων διαιρούμενος αὐτὰς ἐρεῖς ἢ ὡρισμένον ἔχειν τὸν ὑποκείμενον ἢ ἀόριστον, ἀπὸ δὲ τῶν κατηγορουμένων ἤτοι ἁπλᾶς εἶναι ἢ ἐκ μεταθέσεως. καὶ πάλιν κατὰ μὲν τὸ ποσὸν τὴν διαίρεσιν αὐτῶν ποιούμενος ἐρεῖς τὰς μὲν εἶναι καθόλου τὰς δὲ μερικὰς τὰς δὲ καὶ ἀδιορί|στους ἢ καὶ καθ' 146v ἕκαστα, κατὰ δὲ τὸ ποιὸν τὰς μὲν καταφάσεις τὰς δὲ ἀποφάσεις. τούτων οὕτως ἐχόντων ἀποβλέπειν παρεκελεύετο πρὸς τὴν προτεθεῖσαν πρότασιν, ᾗ βουλόμεθα τὴν ἀκολουθοῦσαν εὑρεῖν, πῶς ἔχει καθ' ἕκαστον τούτων, καὶ ἀποφαίνεσθαι τὴν ἑπομένην αὐτῇ ταύτην εἶναι τὴν κατὰ μὲν τὸν ὑποκείμενον ὅρον καὶ κατὰ τὸ ποσὸν ὁμοίως αὐτῇ ἔχουσαν κατὰ δὲ τὰ λοιπὰ ἄμφω διαφόρως· προκείσθω γὰρ εὑρεῖν τῇ 'πᾶς ἄνθρωπος δίκαιός ἐστιν' ἢ 'ζῷόν ἐστιν' (ἵνα καὶ ἀληθείας μετέχῃ ὁ λόγος) τὴν ἀκολουθοῦσαν (καὶ μάλιστα ὅτι οὐδὲ τίθησι τοιαύτης προτάσεως παραδείγματα ὁ Ἀριστοτέλης)· οὐκοῦν ἐπεὶ αὕτη ὡρισμένον τε ἔχει τὸν ὑποκείμενον καὶ ἔστιν ἁπλῆ καὶ ἔτι καθόλου καὶ καταφατική, δεήσει ἕπεσθαι αὐτῇ πρότασιν ὡρισμένον μὲν ἔχουσαν τὸν ὑποκείμενον οὐκέτι δὲ ἁπλῆν ἀλλ' ἐκ μεταθέσεως, καὶ πάλιν καθόλου μὲν καὶ αὐτὴν οὖσαν οὐκέτι μέντοι κατάφασιν ἀλλ' ἀπόφασιν. ποία οὖν ἔσται πρότασις ἐξ ὡρισμένου τοῦ ὑποκειμένου ἐκ μεταθέσεως καθόλου ἀπόφασις; δηλαδὴ ἡ λέγουσα 'οὐδεὶς ἄνθρωπος οὐ δίκαιός ἐστιν' ἢ 'οὐ ζῷόν ἐστιν'· αὕτη ἄρα ἐκείνῃ ἕψεται.

Τὸν αὐτὸν δὴ τρόπον καὶ πάσῃ ἄλλῃ προτάσει εἴτε ὡρισμένον εἴτε ἀόριστον ἐχούσῃ τὸν ὑποκείμενον τὴν ἀκολουθοῦσαν εὑρήσεις· συμβαλοῦνται γὰρ ἡμῖν οἱ κανόνες οὗτοι καὶ πρὸς τὰ ἐφεξῆς ῥηθησόμενα παρὰ τοῦ Ἀριστοτέλους περὶ τῆς ἀκολουθίας τῶν ἐξ ἀορίστου τοῦ ὑποκειμένου προτάσεων. ἐπὶ μὲν οὖν τῶν προσδιωρισμένων οὐ μόνον ταῖς καταφάσεσιν ἕπεσθαι συμβαίνει τὰς ἀποφάσεις | ἀλλὰ καὶ ταῖς ἀποφάσεσι τὰς κατα- 147r φάσεις, ὅπερ καὶ αὐτὸς ἐδήλωσε μετὰ τὸ παραθέσθαι τὴν μερικὴν ἀπόφασιν ἐπαγαγὼν τὸ ἀνάγκη γὰρ εἶναί τινα· εἴπερ δὲ ἄρα, ἐπὶ τῶν ἀπροσδιορίστων ταῖς μὲν καταφάσεσιν ἕψονται αἱ ἀποφάσεις,

---

2 αὐτῶν — μέρη (3) om. F 4 κατ. ὅρος καὶ ὁ ὑποκ. colloc. G 6 μὲν om. M 7 τὸν] τὸ F 10 καὶ (prius) Ma ἀορίστ. FGMa καὶ (alt.) om. Ga 11 τούτων οὖν a 12 ἐχουσῶν G 13 ᾗ] εἰ AMa 14 μὲν suppl. G² 15 τὸ om. F 16 προσκείσθω F 18 προστίθ. G παράδειγμα FMa 19 τε om. G τὸν] τὸ G 20 μὲν om. AFMa 21 τὸν] τὸ F post ὑποκ. add. καὶ ἔστιν ἁπλῆ καὶ ἔτι καθόλου καὶ καταφατική del. G 24 δῆλον δὲ (δὴ corr. F) ὅτι FG: δῆλον δὴ Ma ἐστιν om. FG 28 τοῦ om. AMa 31. 32 ἀλλὰ — καταφάσεις om. F 33 εἴπερ δὲ ἄρα om. F 34 ἐπὶ δὲ F post καταφ. add. οὐ πάντως αἱ καταφάσεις del. A ἕπονται F αἱ om. M

ταῖς δὲ ἀποφάσεσιν οὐ πάντως αἱ καταφάσεις. καὶ τοῦτο εἰκότως· ἐπὶ τούτων μὲν γὰρ διὰ τὸ ἀόριστον τῶν ὑποκειμένων καὶ ἐπ' ἄλλου τινὸς παρὰ τὸ σημαινόμενον ὑπὸ τοῦ ὑποκειμένου τὴν ἀποφατικὴν ἐγχωρεῖ πρότασιν ἁρμόττειν, οἷον 'ὁ κύων οὐκ ἔστι δίκαιος ἄνθρωπος', ἐπὶ δὲ τῶν προσ- 10
διωρισμένων, ἐξ ὧν καὶ τὰ παραδείγματα παρέλαβεν ὁ Ἀριστοτέλης. οὐκέτι τοῦτο γίνεσθαι δυνατόν, ἐπεὶ οὐκέτι φυλάξομεν τὴν πρότασιν προσδιωρισμένην, ἀλλὰ καὶ τῷ κατηγορουμένῳ συντάξομεν τὸν προσδιορισμόν, οἷον ὅταν εἴπωμεν 'ὁ κύων οὐδεὶς ἄνθρωπος δίκαιός ἐστιν'. ἐπὶ μόνων 15
οὖν τῶν ὑπὸ τὸ ὑποκείμενον ἀτόμων τοῦ ἐν ταῖς προσδιωρισμέναις καθόλου κατηγορουμένου λέγεσθαι δυναμένου συμβαίνει τῶν λαμβανομένων κατὰ τὸν εἰρημένον τρόπον προτάσεων ἑκατέραν ἕπεσθαι τῇ λοιπῇ. ἐν δὲ τῷ 20
τῇ δὲ ἔστι τις ἄνθρωπος δίκαιος ἡ ἀντικειμένη ὅτι οὐ πᾶς ἐστιν ἄνθρωπος οὐ δίκαιος φανερὸν ὅτι τὸ ἀντικειμένη λέγει πρὸς τὴν ἐξ ἀρχῆς κατηριθμημένην καθόλου κατάφασιν τὴν 'πᾶς ἄνθρωπος οὐ δίκαιός ἐστιν', πρὸς ἣν ἀντιφατικῶς ἀντίκειται ἡ 'οὐ πᾶς ἄνθρωπος οὐ δίκαιός ἐστιν'. 25

Εἰ δέ τις ἀποροίη πῶς ἐπὶ τῶν μὴ ὄντων ἁρμόσουσιν οἱ προειρημένοι περὶ τῆς ἀκολουθίας τῶν προτάσεων κανόνες, οἷον ἐπὶ τραγελάφου (τὴν μὲν γὰρ καθόλου | ἀπόφασιν τὴν ἁπλῆν ἀληθεύειν ἐπ' αὐτοῦ 147v
λέγουσαν μηδενὶ τραγελάφῳ τὸ δίκαιον τυχὸν ὑπάρχειν, τὴν δὲ καθόλου κατάφασιν τὴν ἐκ μεταθέσεως ψεύδεσθαι παντὶ αὐτῷ ὑπάρχειν τὸ μὴ δίκαιον ἀποφαινομένην, δέον καὶ ταύτην ἀληθεύειν, εἴπερ ἀμέμπτως εἶχον 5
οἱ παραδεδομένοι κανόνες), πρῶτον μὲν ἀκουέτω τοῦ Ἀριστοτέλους οὐ μόνον ἐν τούτοις ἀποφαινομένου τῇ τε κατὰ μέρος ἁπλῇ καταφάσει τὴν ἐκ μεταθέσεως ἀπόφασιν τὴν κατὰ μέρος ἀκολουθεῖν καὶ ἀντιστρέφειν ἐξ 10
ἀνάγκης πρὸς αὐτήν, δι' ὧν φησι τῇ δὲ ἔστι τις ἄνθρωπος δίκαιος ἡ ἀντικειμένη ὅτι οὐ πᾶς ἐστιν ἄνθρωπος οὐ δίκαιος· ἀνάγκη γὰρ εἶναί τινα, δηλονότι δίκαιον, εἴπερ ἡ ἀπόφασις ἀληθής, ἀλλὰ καὶ ἐν οἷς περὶ τῆς ἀκολουθίας τῶν ἐξ ἀορίστου ὑποκειμένου προτάσεων διορί- 15
ζεται κεκραγότος ὅτι τῇ καθόλου ἁπλῇ ἀποφάσει τὸ αὐτὸ σημαίνει ἡ ἐκ μεταθέσεως καθόλου κατάφασις· τὸ γὰρ πᾶς, φησίν, οὐ δίκαιος οὐκ ἄνθρωπος τῷ οὐδεὶς δίκαιος οὐκ ἄνθρωπος τὸ αὐτὸ σημαίνει, τῶν αὐτῶν δηλονότι θεωρουμένων καὶ ἐπὶ τῶν ὡρισμένον ἐχουσῶν τὸν 20
ὑποκείμενον καθόλου προτάσεων· οὐ γὰρ παρὰ τοὺς ὑποκειμένους διαφορά τις συμβαίνει περὶ τὰς ἀκολουθούσας ἀλλήλαις προτάσεις. ἔπειτα ἐννοείτω

1 ταῖς — αἱ καταφ.] οὐκέτι μέντοι καὶ ταῖς ἀποφ. αἱ καταφ. F 2 ἀδιόριστον Ma 7 τῷ] τὸ F 10 δυναμένους G 12. 13 ἡ ἀντικ. — ἄνθρ. δίκαιος (οὐ om.) suppl. G² 13. 27 ἄνθρ. ἐστιν coll. b 13 ἀνακειμ. F λέγει ἀποβλέπων F 14 κατηριθμημένου G 15 πρὸς ἣν] ἢ Fa 19 τῇ μὲν γὰρ κ. ἀποφάσει τὴν ἀπόφασιν τὴν ἁπλῆν F 21 αὐτῷ παντὶ (num. corr.) G¹: π. ἐν τῷ G² 22 δέον γὰρ καὶ G 26 ἔστι om. F 30 σημ. τὸ αὐτὸ colloc. AFa 31 φησίν] p. 20a39 32 τὸ (pro τῷ) οὐδεὶς — ἄνθρωπος suppl. G² 33 post θεωρ. add. τῷ οὐδεὶς δίκαιος οὐκ ἄνθρωπος G (del. G²) 33 τὸν] τὸ F 35 συμβ.] σημαίνει M περὶ] παρὰ G μὲν νοείτω F

ὅτι μάχεται ταῖς κοιναῖς ἐννοίαις εἶναί τι φάσκων ἢ τῶν ὄντων ἢ τῶν μὴ ὄντων, ὃ δύναται εἶναι μήτε τόδε μήτε μὴ τόδε, οἷον μήτε ἀγαθὸν μήτε μὴ ἀγαθόν· πάντων γὰρ τῶν οὕτω καταφασκομένων τὰ μὲν ὡρισμένα ἐπὶ μόνων ἀληθεύοντα τῶν δέχεσθαι αὐτὰ πεφυκότων, ὅταν κατ' ἐνέργειαν | αὐτῶν μετέχωσιν, ἐπὶ τῶν παρ' ἐκεῖνα πάντων ψεύδεσθαι 148r ἀνάγκη, τὰ δὲ ἀόριστα φανερὸν ὅτι ἀντικειμένως αὐτοῖς ἕξει κατὰ τὸ ψεύδεσθαι καὶ τὸ ἀληθεύειν· τὸ γὰρ 'ἔστιν οὐ δίκαιος' οὐ μόνον ἐπὶ ἀνθρώπων ἀδίκων ἢ μέσην ἕξιν ἐχόντων ἢ καὶ μήπω πεφυκότων μετέχειν ἀληθές, ἀλλὰ καὶ ἐπὶ λίθου, εἰ τύχοι, καὶ τοῦ πολυθρυλλήτου τραγελάφου. εἰ δὲ τέρας εἶναι ὑπολαμβάνοι τὸ περί τινος τῶν μὴ ὄντων τὸ ἔστιν ἀληθῶς λέγεσθαι καὶ εἰς τὸ εἶναι πάντως ἤγοῖτο μεταπίπτειν, οὗ ἂν τοῦτο κατηγορῆται, μανθανέτω πρῶτον μὲν ὅτι κακῶς τὰ περὶ τοῦ μὴ εἶναι ἀποφατικὴν τὴν τοιαύτην πρότασιν λεγόμενα ἐπὶ τὸ μὴ ἀληθεύειν αὐτὴν μεταφέρει· ἀπόφασις μὲν γὰρ εἰκότως λέγεται μὴ εἶναι, διότι ὅλως εἶναί τι ἀποφαίνεται, εἰ καὶ ἀόριστον, οὐ μὴν διὰ τοῦτο ἢ ψευδῶς αὐτὴν λέγεσθαι φήσομεν ἢ τῶν ὄντων ποιεῖν τὸ πρᾶγμα, οὗ κατηγορεῖται· εἰ μὲν γὰρ αὐτὸ μόνον καθ' αὑτὸ τὸ ἔστι κατηγορεῖτο τοῦ μὴ ὄντος, οἷον 'τραγέλαφος ἔστιν', ἐλέγετο ἄν τι, νῦν δὲ τὸ ὅλον τοῦτο λέγεται ὑπάρχειν αὐτῷ τὸ εἶναι μὴ τοιῷδε, οἷον μὴ δικαίῳ, οὐ μέντοι τὸ ἁπλῶς εἶναι· κατὰ συμβεβηκὸς γὰρ ἐνταῦθα τοῦ τραγελάφου κατηγορεῖται τὸ ἔστιν, ὥσπερ ἐν τοῖς ἑξῆς ῥηθήσεται περὶ τῆς προτάσεως τῆς λεγούσης ποιητὴν εἶναι τὸν μηκέτι ὄντα Ὅμηρον. καὶ οὐδὲν ἧττον ἐπὶ τούτων ἀληθὴς ἔσται ἡ πρότασις ἤπερ ἐπί τινος τῶν ὄντων μὲν μὴ δεκτικῶν δὲ ἢ τῶν μὴ ἐχόντων δικαιοσύνην ἀνθρώπων, οἷον ὅταν εἴπωμεν 'ὁ λίθος οὐ δίκαιός ἐστιν' ἢ 'Ἄνυτος οὐ δίκαιός ἐστιν'. εἰ δὲ ζητοίη τῷ ποῦ ὄντι τραγελάφῳ τὸ μὴ δίκαιον ὑπάρ|χειν λέγοντες ἀληθεύομεν, τῷ ἐπινοουμένῳ παρ' 148v ἡμῶν φήσομεν, καθ' οὗ τὸ δοξαστὸν καὶ τὸ ὀνομαστόν, καίτοι ὡρισμένα ὄντα, κατηγοροῦντες ἀληθῶς ἐροῦμεν· τὸ μὲν γὰρ μηδαμῶς ὂν οὔτε δοξαστόν ἐστιν οὔτε ὀνομαστὸν οὔτε ἄλλην τινὰ κατηγορίαν ἐπιδεχόμενον, ὡς οὔτε ἑνικῶς οὔτε κατ' ἄλλον τινὰ ἀριθμὸν λέγεσθαι δυνάμενον, ὡς ὁ Ἐλεάτης ξένος διώρισεν· οὐ γὰρ λίνον λίνῳ συνάπτειν ἐστὶ τὸ μονάδα ἢ ἀριθμὸν τῷ μηδαμῶς ὄντι συμπλέκειν. οὐ μέντοι κατηγορεῖν τινα ἐγχειροῦμεν, τοῦτο προεπινενοῆσθαι παρ' ἡμῶν ἀνάγκη καὶ ἤτοι ἐν ψιλῇ

---

2 μὴ (alt.) om. FM 3 μὴ superscr. M 4 τὸν ἀληθ. G 5 ἐκείνων A ἁπάντων A: πάντα M 7 μόνων G 8 ἀνθρ. post ἀδ. colloc. G: om. M μετ. πεφ. colloc. G 10 εἶναι om. M ὑπολαμβάνει G¹: ὑπολαμβάνοιτο G² περὶ] παρὰ G 12 ὅτι πρ. μὲν (num. corr.) M τὰ περὶ τοῦ] διὰ τὸ F 13 πρότ. τὴν τοιαύτ. (num. corr.) G λεγομένην F μὴ om. G 14 μεταφέρειν FGMa 15 αὐτὴν om. G 19 ante prius εἶναι add. μὴ del. M 21 ἑξῆς] p. 21ª25 23 ἤπερ] εἴπερ a 25 ἢ — ἐστιν om. FM ὁ Ἄνυτος a ποῦ] ποι (ου superscr.) A: οὐ ποίω a 26 ἀληθεύοιμεν G 28 κατηγοροῦνται G 29 ὀνομαστὸν — ἑνικῶς οὔτε (30) om. F ὀνομαστόν ἐστιν G 30. 31 ὁ Ἐλεάτης ξένος] cf. Plat. Soph. p. 238 B 31 οὐ γὰρ λίνον λίνῳ συνάπτ.] cf. Arist. Phys. Γ 6 p. 207ª17 32 ἢ om. G τῷ] τὸ A οὗ] εἰ F: οὐ G κατηγοροῦμεν G τινα] τὶ κατά τινος F 33 προεπινοεῖσθαι FG

τῇ φαντασίᾳ τὴν ὅλην ἔχειν ὑπόστασιν ἢ καὶ πρὸ τῆς ἐπινοίας τῆς ἡμετέρας αὐτὸ καθ' αὑτὸ ὑφεστάναι. ὅλως τε χρὴ μὴ ἀγνοεῖν τὰ ἐν τῷ τρίτῳ τῶν Μετὰ τὰ φυσικὰ παγκάλως εἰρημένα περὶ τοῦ θείαν ὄντως εἶναι τοῦ πρώτου ὄντος τὴν δύναμιν ἐκτεινομένην οὐ μόνον ἄχρι καὶ τῆς ἀνειδέου παντάπασιν ὕλης ἀλλὰ καὶ τῶν στερήσεων καὶ τῶν ἀποφάσεων καὶ αὐτοῦ τοῦ μὴ ὄντος, εἴπερ καὶ τὸ μὴ ὂν λέγομεν αὐτὸ τοῦτο εἶναι μὴ ὄν.

Εἰ δὲ ἀπὸ τοῦ μὴ δύνασθαι τὴν ἀόριστον κατάφασιν τοῦτον τὸν τρόπον ἀντιστρέφειν ὅνπερ ἡ ἁπλῆ ἀπόφασις μηδὲ τὴν ἁπλῆν κατάφασιν ὅνπερ ἡ ἀόριστος ἀπόφασις διάφορον αὐτῶν τὴν δύναμιν ἀποφαίνειν ὑπολαμβάνοι, δικαιότερον ἂν τοῦτο αὐτόθεν ὑπώπτευσεν ἐκ τοῦ διάφορον εἶναι τῶν προτάσεων τὸ ποιόν· πῶς γὰρ ἄν ποτε ἀπαραλλάκτως ἡ αὐτὴ γένοιτο ἀπόφασις καταφάσει; ἀλλ' οὔτε τοῦτο ἀξιώσειεν ἄν τις οὔτε τὰς ἀντιστροφὰς αὐτῶν εὔλογον ὁμοίας εἶναι διὰ τὸ ἐπὶ τῶν αὐτῶν αὐτὰς ἀληθεύειν· | ἡ 149r μὲν γὰρ καθόλου ἀπόφασις διάκρισιν παντελῆ τῶν σημαινομένων ὑπ' αὐτῆς πραγμάτων δηλοῦσα δι' αὐτὸ τοῦτο πρὸς ἑαυτὴν ἀντιστρέφει (τὸ γὰρ ἀπεζευγμένον ἀπεζευγμένου ἀπέζευκται, οἷον λίθου τε παντὸς τὸ δίκαιον καὶ δικαίου παντὸς ὁ λίθος), ἡ μέντοι καθόλου κατάφασις οὐκέτι τοῦτο ἐπαγγελλομένη ἀλλὰ τοὐναντίον σύνθεσίν τινα τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον ἐμφαίνουσα, κἂν ἀόριστόν τι συνδέῃ πρὸς τὸ ὑποκείμενον, ἀντιστρέφειν οὐχ οἵα τέ ἐστιν αὐτὴ πρὸς ἑαυτήν, ἐπειδὴ ἀναγκάζεται λέγειν παντὶ τῷ ἀορίστως ἐξ ἀρχῆς κατηγορηθέντι τὸ ὑποκείμενον ὑπάρχειν, μετέχον μὲν αὐτοῦ τῆς ἀοριστίας οὐ μέντοι συμπαρεκτείνεσθαι αὐτῷ δυνάμενον· οὐ γὰρ εὔλογον, ἐπειδὴ παντὶ λίθῳ τὸ μὴ δίκαιον ὑπάρχει, ἤδη καὶ παντὶ μὴ δικαίῳ τὸν λίθον ὑπάρχειν· τοῦ γὰρ λίθου τὸ μὴ δίκαιον ἐπὶ πλέον. εἰ δὲ προφέροι τὰ κατ' ἀρχὰς τοῦ τρίτου τμήματος εἰρημένα περὶ τῆς ἀκολουθίας τῶν τε ἁπλῶν προτάσεων καὶ τῶν ἐκ μεταθέσεως καὶ ἔτι τῶν στερητικῶν, ἐν οἷς ἐδείκνυμεν τῆς 'ἄνθρωπος οὐ δίκαιός ἐστιν' ἀορίστου καταφάσεως ἐπὶ πλέον οὖσαν τὴν 'ἄνθρωπος δίκαιος οὐκ ἔστιν' ἁπλῆν ἀπόφασιν, ἐφιστανέτω ὅτι οὐκ αὐτὴν καθ' αὑτὴν τὴν τοῦ ὡρισμένου κατηγορουμένου ἀπόφασιν ἀπεφαίνομεν ἐπὶ πλέον οὖσαν τῆς τοῦ ἀορίστου καταφάσεως, οἷον τὸ 'δίκαιος οὐκ ἔστι' τοῦ 'οὐ δίκαιός ἐστι' (τοῦτο γὰρ ψεῦδος), ἀλλὰ τὰς ὅλας προτάσεις κατηγορουμένας λαμβάνοντες τὴν εἰρημένην ἀπόφασιν τῆς καταφάσεως ἐπὶ πλέον οὖσαν κατελαμβάνομεν, διότι ἡ μὲν ἀπόφασις καὶ ἐπὶ τῶν ὅλως | μὴ ὄντων ἀνθρώπων ἀληθής, οἷον 149v

---

3 τῶν] τῆς F: τὰ M Μετὰ τὰ φυσικὰ] Γ 2 p. 1003b5 sq. 4 ὄντως M 6 τοῦτο] τὸ G εἶναι om. F 11 αὐτόθεν om. M ὑπόπτευσεν A post διάφ. iter. αὐτῶν (10) — διάφορον G 12 γίγνοιτο AMa 14 τὸ] τοῦτο AM 16 διὰ τοῦτο αὐτὸ coll. AM 16. 17 τὰ γὰρ ἀπεζευγμένα G¹ 17 ἀπεζευγμένου om. a 20 ἐμφαίνουσα — ὑποκείμενον iter. F 23 αὐτοῦ] αὐτὸν F αὐτῷ] αὐτὸ G 24 ὑπάρχειν AGMa 26 προσφέροι Ma κατ' ἀρχὰς τοῦ τρίτου τμήματος] p. 162,4 31 ἀποφαίν. AGMa τοῦ suppl. G² 32 τοῦ] τὸ G²Ma

ἐπὶ κυνὸς ἀποφαινομένη αὐτὸν μὴ εἶναι ἄνθρωπον δίκαιον, ἡ δὲ κατάφασις ψευδής, οὐχ ὅτι κατηγορεῖ αὐτοῦ τὸ μὴ δίκαιον, ἀλλ' ὅτι τὰ παρὰ τὸν ἄνθρωπον ἀνθρώπους εἶναι μὴ δικαίους ἀποφαίνεται. μᾶλλον οὖν ἐχρῆν ἀπορεῖν πῶς συνάσεται ταῦτα τοῖς περὶ τὸ πέρας τοῦ πρώτου τῶν 'Αναλυτικῶν λεγομένοις ὅτι 'τῷ μὲν ὄντι μὴ ἴσῳ ὑπόκειταί τι, καὶ τοῦτό ἐστι τὸ ἄνισον, τῷ δὲ μὴ ὄντι ἴσῳ οὐδέν'. πρὸς ὃ δηλονότι φήσομεν, ἐφ' ὧν τὸ ἔστι καθ' αὑτὸ κατηγορεῖται, ταῦτα διορίζεσθαι τὸν 'Αριστοτέλην. τῇ μὲν οὖν φειδοῖ τῶν διὰ νώθειαν ῥᾳδίως παραγομένων ταῦτα κεχαρίσθω· τοῖς γὰρ καὶ ὁπωσοῦν ἐφιστάνειν δυναμένοις οὐκ ἀναγκαίως δόξει διατρίβειν ὁ λόγος περί τινας μειρακιώδεις ἐνοχλήσεις. τούτων δὲ διωρισμένων φανερὸν ὅτι καὶ ἐπὶ τῶν ἀπροσδιορίστων προτάσεων οἱ εἰρημένοι κανόνες προχωρήσουσιν, εἰ μὴ τὰς ὅλας προτάσεις κατηγορουμένας λάβοιμεν, ἀλλὰ μόνην τὴν σχέσιν τῶν κατηγορουμένων πρὸς τοὺς ἐν αὐταῖς ὑποκειμένους πολυπραγμονοῖμεν· πᾶν γὰρ τὸ μὴ ὂν δίκαιον ἀνάγκη εἶναι μὴ δίκαιον, οὗ εἶναι ὅταν ἐπὶ μὴ ὄντος λέγηται κατὰ συμβεβηκὸς κατηγορουμένου, καὶ πᾶν ὅ ἐστι μὴ δίκαιον, ἀνάγκη μὴ εἶναι δίκαιον, ἃ καὶ ὁ 'Ελεάτης σοφὸς ἐν τῷ Σοφιστῇ διαρρήδην ἀποφαίνεται.

p. 20a23 Φανερὸν δὲ καὶ ὅτι ἐπὶ μὲν τῶν καθ' ἕκαστον, εἰ ἀληθὲς ἐρωτηθέντα ἀποφῆσαι, ὅτι καὶ καταφῆσαι ἀληθές· οἷον ἆρά γε Σωκράτης σοφός; οὔ· Σωκράτης ἄρα οὐ σοφός. ἐπὶ δὲ τῶν καθόλου οὐκ ἀληθὴς ἡ ὁμοίως λεγομέ|νη, ἀληθὴς δὲ ἡ 150r ἀπόφασις· οἷον ἆρά γε πᾶς ἄνθρωπος σοφός; οὔ· πᾶς ἄρα ἄνθρωπος οὐ σοφός· τοῦτο γὰρ ψεῦδος, ἀλλὰ τὸ οὐ πᾶς ἄρα ἄνθρωπος σοφὸς ἀληθές. αὕτη δέ ἐστιν ἡ ἀντικειμένη, ἐκείνη δὲ ἡ ἐναντία.

'Ακόλουθόν ἐστι τοῦτο τὸ θεώρημα τῷ προσεχῶς παραδεδομένῳ καὶ δι' ἐκείνου λαμβάνον τὴν πίστιν· πρότερον μὲν γὰρ ἐδίδασκεν ἡμᾶς ποίᾳ ἀληθεῖ καταφάσει συναληθεύσει ἀπόφασις ὁμοίως αὐτῇ κατὰ τὸ ποσὸν ἔχουσα, νῦν δὲ διδάσκει ποίας μὲν ἁπλῆς καταφάσεως ψευδομένης τὴν ἐπὶ

---

1 τοῦ κυνὸς a 2 οὐχ — ἀλλ' om. F 4 συνάσεται scripsi: συνέσεται libri
4. 5 τῶν 'Αναλ.] Anal. pr. A 46 p. 51b26 6 τὸ] τοῦτο A 8 οὖν om. G
νοθείαν AFM: νωθρείαν G παραγενομένων AG: παραγινομ. F 9 κεχαρῆσθαι A: κεχάρισται F: κεχαρίσθαι M γὰρ καὶ] δὲ a 10 post ἐνοχλήσεις add. δεῖ οὖν λέγειν ὅτι ἀληθεῖς οἱ κανόνες, ὅταν ἐπὶ τοῦ αὐτοῦ ὑποκειμένου λαμβάνωνται αἱ προτάσεις καὶ ὅταν ὁ κατηγορούμενος ὅρος ἐν ταῖς προτάσεσι μὴ τελεία εἴη πρότασις M et in mrg. A
11 ἀδιορ. AFGa 13 λάβωμεν F τοὺς] τοῖς F 14 πολυπραγμονοῦμεν F
15 post μὴ δίκαιον add. καὶ πᾶν ὅ ἐστι μὴ δίκαιον, ἀνάγκη μὴ εἶναι δίκαιον AMa (cf. v. 16) μὴ (ante ὄντος) om. M λέγεται G 17 ὁ 'Ελεάτης] cf. p. 184,30. 31 not. σοφῶς G 18 μὲν om. a ἕκαστα FGMa εἰ — ἐναντία (25) om. M
19 οἷον — ἐναντία (25) om. a 22 ἄρα γε πᾶς ἄνθρ. οὐ σοφός; G 25 ἡ om. G 26 καὶ om. F 27 μὲν om. G 28 συναληθεύει F
29 δὲ om. G

τῶν αὐτῶν ὅρων καὶ κατὰ τὸ αὐτὸ ποσὸν λεγομένην ἐκ μεταθέσεως κατάφασιν ἀληθεύειν ἀνάγκη, ποίας δὲ ἀδύνατον. καί φησιν ὅτι ἐπὶ μὲν τῶν καθ' ἕκαστον ψευδομένης τῆς ἁπλῆς καταφάσεως τὴν ἐκ μεταθέσεως κατάφασιν ἀναγκαῖον ἀληθεύειν, ἐπὶ δὲ τῶν καθόλου ὡς καθόλου συμψεύδεσθαι ἀνάγκη τῇ ἁπλῇ καταφάσει τὴν ἐκ μεταθέσεως. εἶτα καὶ πρὸς τὰς διαλεκτικὰς συνουσίας χρήσιμον τὸ θεώρημα ποιῶν ἡμᾶς τε προσεκτικωτέρους πρὸς τὸ μὴ προχείρως συγχωρεῖν ἀπὸ τοῦ περί τινας τῶν προτάσεων συμβαίνοντος ὅτι καὶ ἐπὶ πασῶν τῶν ὁμοίως λεγομένων ὡσαύτως ἔχει, προάγει τὸν λόγον ὡς ἐν ἐρωτήσει λεγομένων τῶν προτάσεων καί φησιν ὡς εἴπερ πρὸς τὸν ἐρόμενον καθ' ἕκαστά τινα κατάφασιν ἁπλῆν, οἷον τὸ 'ἆρα Σωκράτης σοφός ἐστιν;', ἀληθὲς εἴη καθ' ὑπόθεσιν τὸ ἀποφῆσαι, τοῦτ' ἔστι τὸ ἀποφατικὸν ἀποκρίνασθαι μόριον καὶ εἰπεῖν ὅτι οὔ, ἔσται πάντως ἀληθὲς ἐπ' αὐτοῦ καὶ τὸ καταφῆσαι, τοῦτ' ἔστι προτάξαντας τοῦ κατηγορουμένου τὴν ἄρνησιν | ποιῆσαι κατάφασιν ἐκ μεταθέσεως καὶ εἰπεῖν 'Σω- 150v
κράτης ἄρα οὐ σοφός ἐστιν' ἢ 'οὐκ ἄδικος' ἢ 'οὐ πτερωτός', ἵνα καὶ ὄντως ᾖ ἀληθὴς ὁ λόγος, πρὸς δέ γε τὸν ἐρόμενον καθόλου τινὰ κατάφασιν ἁπλῆν, οἷον τὴν 'ἆρα πᾶς ἄνθρωπος σοφός;', ἀληθὲς μὲν τὸ ἀποφῆσαι καὶ ἀποκρίνασθαι ὅτι οὔ, τὸ μέντοι συνθεῖναι πάλιν τὴν ἐρώτησιν καὶ τὴν ἀπόκρισιν καὶ σχηματίσαι εἰς μίαν ἐκ μεταθέσεως κατάφασιν τὴν 'πᾶς ἄρα ἄνθρωπος οὐ σοφός ἐστιν' οὐκέτι ἀληθές. τούτου δὲ αἴτιον τὸ ἐπὶ μὲν τῶν καθ' ἕκαστα τῇ ἁπλῇ ἀποφάσει ταὐτὸν δύνασθαι τὴν ἐκ μεταθέσεως κατάφασιν, ὡς ἐδιδάχθημεν διὰ τῶν ἀρτίως παραδεδομένων κανόνων. ψευδομένης δὲ τῆς ἁπλῆς καταφάσεως τήν τε ἀπόφασιν αὐτῆς ἐξ ἀνάγκης ἀληθεύειν καὶ τὴν ἴσον αὐτῇ δυναμένην τὴν ἐκ μεταθέσεως κατάφασιν. ἐπὶ δὲ τῶν καθόλου τὴν ἐκ μεταθέσεως κατάφασιν μὴ ἰσοδυναμεῖν τῇ ἀντιφασκούσῃ πρὸς τὴν ἁπλῆν κατάφασιν ἀποφάσει ἀλλὰ τῇ ἐναντίᾳ πρὸς αὐτήν· ὁ γὰρ εἰπὼν 'πᾶς ἄνθρωπος οὐ σοφός ἐστι' ταὐτὸν φθέγγεται τῷ λέγοντι 'οὐδεὶς ἄνθρωπος σοφός ἐστι' χωρίζων ἀπὸ πάντων τῶν καθ' ἕκαστα ἀνθρώπων τὸ σοφός, ἀλλ' οὐ μόνον τὸ κατὰ πάντων κατηγορεῖσθαι τὸ σοφός ἀναιρῶν, ὅπερ ποιεῖ ὁ λέγων 'οὐ πᾶς ἄνθρωπος σοφός ἐστιν'. ἐπεὶ οὖν τὰς ἐναντίας συμψεύδεσθαι ἀλλήλαις ἀνάγκη, τῇ δὲ ἐναντίᾳ πρὸς τὴν ἁπλῆν κατάφασιν ἀποφάσει ταὐτὸν ἐλέγομεν φθέγγεσθαι τὴν ἐκ μεταθέσεως κατάφασιν κατὰ τοὺς παραδεδομένους περὶ τῆς ἀκολουθίας τῶν προτάσεων κανόνας, διὰ τοῦτο καὶ ταύτην συμψεύδεσθαι αὐτῇ ἀναγκαῖον,

---

1 ante ποσὸν add. ὑποκείμενον del. G 2 ποίαν AFGM 3 ἕκαστα a ante ἐκ add. μὲν M 7 post τοῦ add. μὴ M 9 λεγ.] γεν. G καὶ om. G ἔφη F 10. 16 ἐρώμενον A 10 τὸ om. F 12 ἀποφαντ. A 13 προτάξαντος F 18 ἀποκρίνεσθαι F ὅτι om. M 20 οὐκέτι] οὐκ ἔστι F ἀληθής Ma 21 ἕκαστον G ἀποφάσει] καταφάσει a 22 ἐδιδάχθημεν] p. 181,31 sq. παραδιδ. F 23 δὲ] γὰρ F 24 ἴσην F τὴν (alt.) eicias ἐπὶ — κατάφασιν (25) om. FG[1] 26 τὴν ἐναντίαν F 27 post αὐτήν add. ἤγουν τῇ οὐδεὶς ἄνθρωπος σοφός ἐστιν in mrg. A: τῇ οὐδεὶς ἄνθρωπος σοφός G 29 σοφόν AFG ἀλλ' — τὸ σοφός (30) om. F 30 σοφὸν (pr. l.) AG καὶ ἀναιρῶν F 31 δὲ om. a

ὅπερ οὐκ ἐνεδέ|χετο γίνεσθαι ἐπὶ τῶν καθ' ἕκαστα προτάσεων· ἐπ' ἐκεί- 151ʳ
νων μὲν γὰρ τῇ καταφάσει μία μόνη ἀντίκειται ἀπόφασις, ἡ ἀντιφάσκουσα
πρὸς αὐτήν, ὡς ἐναντία δὲ οὐδεμία· τῶν δὲ τῇ καθόλου καταφάσει μαχο-
μένων δύο ἀποφάσεων ἡ μὲν ἐναντία πρὸς αὐτὴν δῆλον ὅτι συμψεύσεται 5
5 αὐτῇ καὶ ἡ ἰσοδυναμοῦσα αὐτῇ ἐκ μεταθέσεως κατάφασις, ἡ δὲ ἀντιφατι-
κῶς αὐτῇ μαχομένη ἀληθεύσει. διό φησιν ἀληθὲς εἶναι τὸ 'οὐ πᾶς ἄρα
ἄνθρωπος σοφός'. ἀλλὰ περὶ τῶν λοιπῶν καταφάσεων τί ἐροῦμεν, τῆς 10
τε ἀπροσδιορίστου καὶ τῆς ἐπὶ μέρους; φημὶ δὴ ὅτι τῇ καθ' ἕκαστα
ὁμοίως ἔχουσι διὰ τὸ μηδὲ ταύταις εἶναί τινα συμψευδομένην, ἀλλ' ἤτοι
10 συναληθεύουσαν ἢ διαιροῦσαν μεθ' ἑκατέρας αὐτῶν τὸ ἀληθὲς καὶ τὸ ψευ-
δος. διὸ τῆς 'ἆρά γε ἄνθρωπος πτερωτός ἐστιν;' καὶ 'ἆρά γε τὶς ἄν-
θρωπος πτερωτός ἐστιν;' ἐρωτήσεως ψευδομένης οὔτε ἡ 'ἄνθρωπος ἄρα οὐ 15
πτερωτός ἐστιν' οὔτε ἡ 'τὶς ἄνθρωπος ἄρα οὐ πτερωτός ἐστιν' ἐκ μετα-
θέσεως κατάφασις ψευδής.

15 p. 20ᵃ31 Αἱ δὲ κατὰ τὰ ἀόριστα ἀντικείμεναι ὀνόματα καὶ ῥή-
ματα, οἷον ἐπὶ τοῦ μὴ ἄνθρωπος καὶ μὴ δίκαιος, ὥσπερ ἀπο- 20
φάσεις ἄνευ ὀνόματος καὶ ῥήματος δόξαιεν ἂν εἶναι, οὐκ εἰσὶ
δέ· ἀεὶ γὰρ ἀληθεύειν ἀνάγκη ἢ ψεύδεσθαι τὴν ἀπόφασιν, ὁ δ'
εἰπὼν οὐκ ἄνθρωπος οὐδὲν μᾶλλον τοῦ ἄνθρωπος ἀλλὰ καὶ
20 ἧττον ἠλήθευκεν ἢ ἔψευσται, ἐὰν μή τι προστεθῇ.

Πρὸς μὲν τῷ συμπεράσματι τοῦ δευτέρου κεφαλαίου παραδιδοὺς ἡμῖν 25
τὰς ἐξ ἀορίστου τοῦ ὑποκειμένου προτάσεις ἐνεδείκνυτο, ὡς καὶ ἐν ἐκεί-
νοις ἐπεσημηνάμεθα, ὅτι τὰ ἀόριστα ὀνόματα ὑποπτευθεῖεν μὲν ἂν | ἀπο- 151ᵛ
φάσεις εἶναι, οὐ μέντοι καὶ οὕτως ἔχουσι, δι' ὧν ἔλεγεν ἄνευ δὲ ῥήμα-
25 τος οὐδεμία κατάφασις· ἐν δέ γε τούτοις διττὴν ἡμῖν διαφορὰν τῶν
προτάσεων πρότερόν τε παραδοὺς καὶ ἑξῆς ἐπάγειν μέλλων, τὴν μὲν κατὰ 5
τὸ ὡρισμένον καὶ ἀόριστον τῶν ὑποκειμένων τὴν δὲ κατὰ τὸ ὡρισμένον
καὶ ἀόριστον τῶν κατηγορουμένων, εἰκότως ηὐλαβήθη μὴ τὸ οὗ ἀποφατι-
κὸν μόριον συντεταγμένον τοῖς τε ὀνόμασιν ἐν τοῖς ἀορίστοις ὑποκειμένοις
30 καὶ τοῖς ῥήμασιν ἐν τοῖς ἀορίστοις κατηγορουμένοις ποιήσῃ τῶν ἁπλουστέ- 10
ρων τινὰς ὑπολαβεῖν ὅτι καὶ αὐτὰ καθ' αὑτὰ λεγόμενα τὰ ἀόριστα ὀνό-
ματα καὶ τὰ ἀόριστα ῥήματα δύνανται ποιεῖν ἀποφάσεις, καὶ τὴν γενομένην

---

1 ἐνδέχεται GM 4 συμψεύδεται A 5 ante ἐκ add. ἡ A 9 ταύτας Ma
10 ἑτέρας F 11 καὶ ἄρα — πτερωτός ἐστιν (12) om. AFa 13 οὔτε ἡ τὶς — πτερωτός ἐστιν om. F ἄρα οὐ superscr. M 15 ὀνόματα — προστεθῇ (20) om. M
16 οἷον — προστεθῇ (20) om. a τὸ F 17 δόξειεν A: δόξειαν b ἂν suppl. G²
19 post τοῦ add. εἰπόντος b 20 ἠλήθευκέ τι b ἂν FG 21 τοῦ δευτ. κεφ.] p. 19ᵇ5 sq. 22 τοῦ om. AFMa ἐδείκνυτο G¹ 23 ἐπεσημηνάμεθα] p. 157,10 sq. μὲν ἂν om. M: ἂν om. A 24 ἔλεγεν] p. 19ᵇ12 26 ἐπαγαγεῖν AMa
27 ὑποκειμ. — ἀόριστον τῶν (28) om. F 30 ποιήσει AF¹M 31 λεγόμενα om. G
32 δύναται Fa

ἂν ἐντεῦθεν ἀπάτην εὐθὺς ἰάσατο ἐπιδείξας ὅσον διεστήκασι τῶν ἀπο-
φάσεων. φησὶν οὖν αἱ δὲ κατὰ τὰ ἀόριστα ἀντικείμεναι ὀνόματα καὶ ῥήματα, ἐλλιπῶς αὐτὸ διὰ συντομίαν ἀπαγγείλας· οὔτε γὰρ τίνες αἱ ἀντικείμεναι εἴρηται οὔτε τίσιν ἀντικείμεναι. τὸ δὲ πλῆρες τῆς λέξεως
5 εἴη ἂν 'αἱ δὲ φωναὶ αἱ κατὰ τὰ ἀόριστα ὀνόματα καὶ ῥήματα ἀντικείμεναι ταῖς κατὰ τὰ ὡρισμένα δόξαιεν ἂν αὐτῶν ἐκείνων τῶν ὡρισμένων εἶναι ἀποφάσεις, αἱ μὲν τῶν ἀορίστων ὀνομάτων φωναὶ ἀποφάσεις οὖσαι ἄνευ ῥήματος, αἱ δὲ τῶν ἀορίστων ῥημάτων ἀποφάσεις ἄνευ ὀνόματος, ὡς τῆς ὄντως ἀποφάσεως ἐξ ἀμφοῖν συμπληροῦσθαι ὀφειλούσης, ὀνόματός τε καὶ
10 ῥήματος'. οὐ μέντοι, φησί, καὶ ὄντως εἰσὶν ἀποφάσεις. καὶ συλλογίζεται τοῦτο ἐναργῶς ἐν δευτέρῳ σχήματι, λέγων ὅτι τὰς μὲν ἀποφάσεις λόγους οὔσας ἀποφαντικοὺς πᾶσα ἀνάγ|κη ἀληθεύειν ἢ ψεύδεσθαι. τὰ δὲ ἀόριστα 152r ὀνόματα, οἷον τὸ οὐκ ἄνθρωπος, καὶ τὰ ἀόριστα ῥήματα, οἷον τὸ οὐ δίκαιος, οὔτε ἀληθὲς οὔτε ψεῦδος οὐδὲν σημαίνειν δυνατόν· οὐκ ἄρα ταῦτα ἀπο-
15 φάσεις. ὅτι δὲ οὐδὲν σημαίνουσιν ἀληθὲς ἢ ψεῦδος, ἐναργῶς κατεσκεύασε παραβάλλων αὐτὰ πρὸς τὰ ὡρισμένα ὀνόματά τε καὶ ῥήματα καὶ χρώμενος τῇ ἀπὸ τοῦ μᾶλλον καὶ ἧττον ἐπιχειρήσει· εἰ γὰρ τὰ ὡρισμένα φύσιν τινὰ ὡρισμένην σημαίνοντα καὶ κατ' αὐτὸ τοῦτο τῶν ἀορίστων ἐπιτηδειότερα ὄντα πρὸς τὸ σημῆναί τι ἀληθὲς ἢ ψεῦδος, εἴπερ ἐπεφύκει
20 ταῦτα ἐν ἁπλαῖς θεωρεῖσθαι φωναῖς, οὐδὲν ὅμως σημαίνει τοιοῦτον, ὡς εἴρηται πολλάκις ἐν τοῖς προλαβοῦσι, τὰ ἄρα ἀόριστα τὰς μὲν ὑπὸ τῶν ὡρισμένων δηλουμένας φύσεις ἀναιροῦντα οὐδεμίαν δὲ ἄλλην εἰσάγοντα, ἀλλ' ὁμοίως πᾶσιν οὖσί τε καὶ μὴ οὖσιν ἐφαρμόττειν δυνάμενα πολλῷ ἂν μᾶλλον ἀφεστήκοι τοῦ σημαίνειν τι ἀληθὲς ἢ ψεῦδος, ὅπερ αὐτὸς ἐνε-
25 δείξατο· ἧττον αὐτὰ ἐκείνων ἀληθεύειν ἢ ψεύδεσθαι εἰπών, ἂν μή τι προστεθῇ· ἐὰν γὰρ ἢ τῷ ἀορίστῳ ὀνόματι ῥῆμά τι προσθῶμεν (οὐ μόνον τὸ κατὰ τὸ κατηγορεῖσθαι λεγόμενον ῥῆμα, οἷον τὸ δίκαιος, ἀλλὰ πρὸς τούτῳ καὶ τὸ χρόνον τινὰ προσσημαῖνον), ἢ τῷ κατὰ τὸ κατηγορεῖσθαι ἀορίστῳ λεγομένῳ ῥήματι, οἷον τῷ οὐ δίκαιος, ὄνομά τε καὶ τὸ κατὰ χρόνον
30 λεγόμενον ῥῆμα, ἢ τῷ οὐ περιπατεῖ καὶ πᾶσι τοῖς κατὰ χρόνον λεγομένοις ὄνομα μόνον, τότε ποιοῦμεν αὐτοτελῆ λόγον ἀληθείας ἢ ψεύδους δεκτικόν.

---

3 καὶ ῥήματα suppl. G^2 ἐλλειπῶς AM διὰ συντ. αὐτὸ colloc. AM 4 τίσιν ἀντίκεινται G (fort. recte) 5 εἴη] εἶπεν F 6 εἶναι om. F 10 ὄντος A καὶ (ante συλλ.) om. M λογίζεται F 12 ἀποφατικοὺς a ἢ ἀληθ. ἢ G 16 παραβ.] παραλαβὼν AMa 19 σημᾶναι AMa: σημαίνειν F 21 εἴρηται πολλάκις] p. 55,11 sq. πλεονάκις F 22 δὲ] τε A 23 ἐφαρμόττειν] εἰ τὸ μέλλον (sic) G^1 δυνάμεθα FG^1 24 τι] τὸ F 26 ἢ om. M ῥῆμά τι] ῥήματα AMa: ῥῆμα G 27. 28 κατὰ τὸ utrobique om. M 27 κατηγορούμενον F 28 τῷ] τὸ G 29 τῷ] τὸ AFMa 30 post λεγομένοις add. ῥήμασι G^2: ἀορίστοις ῥήμασιν a (fort. recte)

p. 20a37 Σημαίνει δὲ τὸ ἔστι πᾶς οὐκ ἄνθρωπος δίκαιος | οὐδεμιᾷ ἐκείνων ταὐτόν, οὐδὲ ἡ ἀντικειμένη ταύτῃ ἡ οὐκ 152v ἔστι πᾶς οὐκ ἄνθρωπος δίκαιος· τὸ δὲ πᾶς οὐ δίκαιος οὐκ ἄνθρωπος τῷ οὐδεὶς δίκαιος οὐκ ἄνθρωπος ταὐτὸν σημαίνει.

Συνεχῆ μὲν ἐχρῆν εἶναι τὰ διὰ τούτων λεγόμενα τοῖς πρότερον εἰρη- 5
μένοις περὶ τῶν ἀκολουθουσῶν ἀλλήλαις προτάσεων, ἐν οἷς ἔλεγεν ἀκο-
λουθοῦσι δὲ αὗται· παραδοὺς γὰρ ἡμῖν ἐν ἐκείνοις τὴν ἀκολουθίαν τῶν
ἐξ ὡρισμένου τοῦ ὑποκειμένου προτάσεων, ἐν τούτοις παραδίδωσιν ὅπως 10
καὶ αἱ ἀόριστον ἔχουσαι τὸν ὑποκείμενον ἀκολουθοῦσιν ἀλλήλαις. ἀλλὰ
διέκοψε τὸ συνεχὲς τῆς διδασκαλίας προσεχῶς μὲν ἡ διάκρισις τῶν ἀορί-
στων ὀνομάτων τε καὶ ῥημάτων ἀπὸ τῶν ἀποφάσεων, πρὸ ἐκείνου δὲ ἡ
διδασκαλία τοῦ πῶς τῶν καταφάσεων τῶν ἁπλῶν ψευδομένων αἱ ἀόριστον 15
ἔχουσαι τὸν κατηγορούμενον ἐξ ἀνάγκης ἀληθεύουσιν, ὅπερ ἦν ἀντικείμενον
μέν πως τοῖς περὶ τῆς ἀκολουθίας εἰρημένοις, συγγενὲς δὲ ὅμως πρὸς
αὐτὰ καὶ παραλαμβάνον προτάσεις τὰς μὲν ἐξ ἀμφοτέρων τῶν ὅρων
ὡρισμένων τὰς δὲ ἐξ ὡρισμένου μὲν τοῦ ὑποκειμένου ἀορίστου δὲ τοῦ 20
κατηγορουμένου. μετ' ἐκεῖνα οὖν μέλλων ἡμῖν παραδιδόναι τὴν ἀκολου-
θίαν, ὡς εἴρηται, τῶν ἐξ ἀορίστου τοῦ ὑποκειμένου προτάσεων, ἀναγ-
καίως πρός τε τὰ προλαβόντα καὶ πρὸς τὰ ἐπάγεσθαι μέλλοντα περὶ αὐ- 25
τῶν τῶν ἀορίστων διείλεκται φωνῶν, ποίαν ἔχουσι δύναμιν. διὸ μετὰ
ταῦτα εἰκότως τὸ ἀκόλουθον ἐκείνοις ἀποδιδοὺς προστίθησιν ὅπως ἕπονται
ἀλλήλαις αἱ ἀόριστον ἔχουσαι τὸν ὑποκείμενον προτάσεις. | καὶ πρῶτον 153r
μὲν ἐπισημαίνεται ὅτι ἄλλο εἶδος τῶν τοιούτων προτάσεων παρὰ τὰς ἐξ
ὡρισμένου τοῦ ὑποκειμένου· τὸ γὰρ οὐδεμιᾷ ἐκείνων λέγει περὶ τῶν
ὡρισμένον ἐχουσῶν τὸν ὑποκείμενον, ὧν πρότερον παραδέδωκε τὴν ἀκο- 5
λουθίαν· πῶς γὰρ ταὐτὸν ἂν σημαίνοιεν αἱ ἐξ ἀορίστου τοῦ ὑποκειμένου ταῖς
ἐξ ὡρισμένου; εἶτα καὶ ἐπὶ τούτων μίαν πρότασιν ἐκθέμενος ἄμφω ἔχουσαν
ἀόριστα, τό τε ὑποκείμενον καὶ τὸ κατηγορούμενον, τὴν 'πᾶς οὐκ ἄνθρω-
πος οὐ δίκαιός ἐστι', καὶ ἀκολουθεῖν αὐτῇ ἀποφηνάμενος τὴν 'οὐδεὶς οὐκ 10
ἄνθρωπος δίκαιός ἐστι', μεταβέβηκεν ἐπὶ ἑτέρου θεωρήματος ἐπίσκεψιν.
εἰ δὲ βούλοιτό τις καὶ ἄλλῃ οἵᾳ δήποτε προτάσει τῶν ἐξ ἀορίστου τοῦ
ὑποκειμένου τὴν ἀκολουθοῦσαν εὑρεῖν, ῥᾳδίαν ἕξει τὴν εὕρεσιν ἀπὸ τῶν
πρότερον ἡμῖν παραδεδομένων κανόνων. φανερὸν δὲ ὅτι καὶ τὰ εἰρημένα 15
μετὰ τὴν θεωρίαν τῆς ἀκολουθήσεως τῶν ἐξ ὡρισμένου τοῦ ὑποκειμένου

---

1 δίκαιος — σημαίνει (4) om. M 2 ἐκείνων] τῶν ὡρισμένων superscr. F²: add. a 3 τὸ δὲ — σημαίνει (4) om. a 5 προσεχῆ G 5. 6 τοῖς πρότ. εἰρ.] p. 20a20 7 γὰρ suppl. G² 9 αἱ] τὸ F τὸν] τὸ FG 11 πρὸς ἐκείνω G 12 τοῦ πῶς] τῶν ὑπὸ AMa τῶν (prius) om. F τῶν (alt.) om. AFMa 15 παραλαμβάνων AM 17 μετ'] κατ' F 18 τοῦ om. FM 20 διὸ καὶ a 22 αἱ om. M 24 τὸ] τοῦτο A 25 ὁρισμ. A 26 ἂν ταὐτὸν colloc. F 29 καὶ ἀκολ. — δίκαιός ἐστι (30) om. AG¹ (suppl. G²) 30 σκέψιν F 31 ἄλλαι G¹ τοῦ om. AFMa 33 πρότερον ἡμῖν παραδ.] p. 181,31 sq. τὰ εἰρημ.] p. 20a23

προτάσεων περὶ τοῦ ψευδομένης τῆς ἁπλῆς ἐν αὐταῖς καταφάσεως τὴν ἐκ μεταθέσεως ποτὲ μὲν ἀληθῆ ποτὲ δὲ ψευδῆ καταλαμβάνεσθαι παραπλησίως ἐκείναις ἁρμόσει καὶ ἐπὶ τῶν ἀόριστον ἐχουσῶν τὸν ὑποκείμενον, ὅπερ Ἀριστοτέλης ὡς ἐναργὲς ἔοικε παραλελοιπέναι.

p. 20b 1 Μετατιθέμενα δὲ τὰ ὀνόματα καὶ τὰ ῥήματα ταὐτὸν σημαίνει, οἷον ἔστι λευκὸς ἄνθρωπος — ἔστιν ἄνθρωπος λευκός· εἰ γὰρ μὴ τοῦτό ἐστι, τοῦ αὐτοῦ πλείους ἔσονται ἀποφάσεις. ἀλλὰ δέδεικται ὅτι μία μιᾶς. τοῦ μὲν γὰρ ἔστι λευκὸς ἄνθρωπος ἀπόφασις τὸ οὐκ ἔστι λευκὸς ἄνθρωπος, τοῦ δὲ ἔστιν ἄνθρωπος λευκός, εἰ μὴ ἡ αὐτή ἐστι | τῇ ἔστι λευκός 153v ἄνθρωπος, ἔσται ἀπόφασις ἤτοι τὸ οὐκ ἔστιν οὐκ ἄνθρωπος λευκός ἢ τὸ οὐκ ἔστιν λευκὸς ἄνθρωπος. ἀλλ' ἡ ἑτέρα μέν ἐστιν ἀπόφασις τοῦ ἔστιν οὐκ ἄνθρωπος λευκός, ἡ ἑτέρα δὲ τοῦ ἔστι λευκὸς ἄνθρωπος· ὥστε ἔσονται δύο μιᾶς. ὅτι μὲν οὖν μετατιθεμένου τοῦ ὀνόματος καὶ τοῦ ῥήματος ἡ αὐτὴ γίνεται κατάφασις καὶ ἀπόφασις, δῆλον.

Ἀκόλουθον καὶ τοῦτο τὸ θεώρημα τοῖς πρότερον ἡμῖν παραδεδομένοις· διαλεχθεὶς γὰρ περὶ τῶν ἑπομένων, ταὐτὸν δὲ εἰπεῖν συναληθευουσῶν ἀλλήλαις προτάσεων, διδάσκει ἡμᾶς διὰ τούτων ὅτι εἰσὶ προτάσεις τινὲς δοκοῦσαι μὲν εἶναι διάφοροι καὶ συναληθεύειν ἀλλήλαις, κατ' ἀλήθειαν μέντοι οὐδεμίαν ἔχουσαι πρὸς ἀλλήλας διαφορὰν πλὴν περὶ τὴν λέξιν. τοιαῦται δέ εἰσιν αἱ μετατιθεῖσαι, ὅπερ αὐτός φησι, τά τε ὀνόματα καὶ τὰ ῥήματα; τοῦτ' ἔστι τά τε ὑποκείμενα καὶ τὰ κατηγορούμενα, ὡς δηλοῖ τὰ παρατεθέντα παρ' αὐτοῦ παραδείγματα, τὸ ἔστιν ἄνθρωπος λευκός καὶ ἔστι λευκὸς ἄνθρωπος· ἐν γὰρ ταῖς τοιαύταις προτάσεσι περὶ μόνον τὸ κατηγορούμενον καὶ τὸ ὑποκείμενον τῆς μεταθέσεως γινομένης τὸ ὄνομα ἔφη καὶ τὸ ῥῆμα μετατίθεσθαι, μετάθεσιν καλῶν τὴν μετάταξιν τὴν κατὰ τὴν ἐκφώνησιν, τοῦτ' ἔστι τὸ τόδε πρὸ τοῦδε φθέγγεσθαι ἡμᾶς ἐν τῇ προτάσει ἢ τόδε πρὸ τοῦδε· ἡ γὰρ τοιαύτη μετάθεσις τῶν ὀνομάτων καὶ τῶν ῥημάτων οὐδεμίαν ἐξαλλαγὴν ἐργάζεται περὶ τὰς προτάσεις κατὰ τὰ σημαινόμενα· περὶ μὲν γὰρ τὸ εὔρυθμον τῆς ἀπαγγελίας πλείστην ὅσην ποιεῖ | διαφορὰν ἡ τοιάδε τάξις τῶν ὀνομάτων τε καὶ ῥημάτων· οὐ γὰρ 154r ὁμοίως εὔηχον τῷ 'κατέβην χθὲς εἰς Πειραιᾶ' τὸ 'εἰς Πειραιᾶ κατέβην

---

1 τοῦ] τῆς Ga 6 οἷον — δῆλον (16) om. Ma 8 ἀλλὰ — δῆλον (16) om. G 9 ἀπόφασις — ἄνθρωπος in mrg. suppl. F 10 ἄνθρ. λευκός] λευκὸς ἄνθρ. (num. corr.) A 12 ἄνθρ. λευκός colloc. b 15 μεταθεμένου F1 16 καὶ ἀπόφασις om. F 18 post εἰπεῖν add. περὶ τῶν a 19. 20 δοκοῦσι G1 20 μὲν om. M μέντοι ἀλ. colloc. A 21 πρὸς ἀλλ.] ἀλλήλαις A 22 μετατεθεῖσαι Ga 24 ante τὸ add. οἷον G 26 τὸν ὑποκ. καὶ τὸν κατηγ. G 27 μετατεθεῖσθαι G τὴν superscr. A 30 ἐξάλλαξιν G 32 τὴν διαφ. G 33 κατέβην κτλ.] Plat. Reip. A 1 p. 327 A εἰς Πειραιᾶ (priore l.) — χθές (p. 192,1) om. M τὸν Πειρ. (priore l.) G

χθές'. διὸ τοῖς ῥήτορσι πολὺς γίνεται λόγος οὐ μόνον τῆς ἐκλογῆς τῶν Ἑλληνικῶν ὀνομάτων τε καὶ ῥημάτων ἀλλὰ καὶ τῆς τοιᾶσδε αὐτῶν συν- 5
τάξεως. περὶ μέντοι αὐτὸ τὸ σημαινόμενον, ὑπὲρ οὗ τοῖς φιλοσόφοις προη-
γουμένως ὁ λόγος, οὐδὲν ἐκείνου τοῦτο διαφέρει. λέγεται δέ τις καὶ ἑτέρα
5 μετάθεσις τῶν ὀνομάτων καὶ τῶν ῥημάτων, ἡ τῶν ὡρισμένων εἰς τὰ 10
ἀόριστα μετάβασις, ἥτις παντάπασιν ἐξαλλάττει τὰς προτάσεις. ἀλλ' οὐδὲν
τοῦτο πρὸς τὰ νῦν ὑπὸ τοῦ Ἀριστοτέλους παραδιδόμενα. πάνυ δὲ ἀκρι-
βῶς τὴν τῶν ὀνομάτων μόνον καὶ τῶν ῥημάτων μετάθεσιν τὰς αὐτὰς
φυλάττειν ἔφη προτάσεις, οἷον 'ἄνθρωπος δίκαιός ἐστιν — ἄνθρωπός ἐστι 15
10 δίκαιος — δίκαιος ἄνθρωπός ἐστι — δίκαιός ἐστιν ἄνθρωπος — ἔστιν
ἄνθρωπος δίκαιος — ἔστι δίκαιος ἄνθρωπος'· τὸ γὰρ ἀποφατικὸν μόριον
αὐτὸ καθ' αὑτὸ μετατιθέμενον παντάπασιν ἐξαλλάττει τὰς προτάσεις, καὶ
τῷ μὲν ὑποκειμένῳ συμπλεκόμενον ποιεῖ κατάφασιν ἐξ ἀορίστου τοῦ ὑπο- 20
κειμένου, τῷ δὲ κατηγορουμένῳ κατάφασιν ἐκ μεταθέσεως, τῷ δέ γε ἔστιν
15 ἢ ἐν ταῖς προσδιωρισμέναις προτάσεσι τῷ προσδιορισμῷ ποιεῖ ἀπόφασιν.
εἰ μέντοι γε μετὰ τοῦ ὅρου, ᾧ ἐν τῇ ἐξ ἀρχῆς προτάσει τυγχάνει συν- 25
τεταγμένον, μετατιθείη τις αὐτό, καὶ οὕτως μένει ἡ αὐτὴ πρότασις τῷ
ῥῆμα ἀόριστον εἶναι τὸ μετατεθὲν ἀλλ' οὐ καθ' αὑτὸ τὸ ἀρνητικὸν μόριον,
οἷον 'οὐκ ἔστιν ἄνθρωπος λευκός — ἄνθρωπος οὐκ ἔστι λευκός — |
20 ἄνθρωπος λευκὸς οὐκ ἔστι'. ταῦτα μὲν οὖν δῆλα. 154v

Ποιεῖται δὲ τὴν δεῖξιν ὁ Ἀριστοτέλης τοῦ προκειμένου προβλήματος,
ὅτι αἱ αὐταί εἰσιν ἥ τε 'ἔστιν ἄνθρωπος λευκός' καὶ ἡ 'ἔστι λευκὸς ἄνθρω-
πος', κατὰ τὸν δεύτερον τῶν ὑποθετικῶν τῇ ἀναιρέσει τοῦ ἑπομένου τὸ ἡγούμ- 5
μενον συναναιρῶν· εἰ γὰρ μή εἰσιν αἱ αὐταί, φησίν, αἱ εἰρημέναι προτά-
25 σεις, συμβαίνει τῆς αὐτῆς καταφάσεως πλείονας εἶναι ἀποφάσεις· ἀλλὰ
μὴν τοῦτο ἀδύνατον, ὡς ἐδείκνυτο πρότερον, ἐν οἷς ἔλεγε φανερὸν δὲ ὅτι
καὶ μία ἀπόφασις μιᾶς καταφάσεως· οὐκ ἄρα διαφέρουσιν αἱ εἰρη- 10
μέναι προτάσεις ἀλλήλων. ἀλλὰ πόθεν δῆλον ὅτι τῷ διαφόρους εἶναι τὰς
προτάσεις, περὶ ὧν ὁ λόγος, ἕπεται τὸ τῆς αὐτῆς καταφάσεως πλείονας
30 εἶναι ἀποφάσεις; ὅτι, φησίν, εἰ ἑτέρα ἐστὶν ἡ 'ἔστι λευκὸς ἄνθρωπος' 15
κατάφασις παρὰ τὴν 'ἔστιν ἄνθρωπος λευκός', διάφοροι αὐτῶν ἔσονται καὶ
αἱ ἀποφάσεις, εἴπερ τῆς μιᾶς καταφάσεως μία ἀπόφασις· ἀλλὰ τῆς 'ἔστι
λευκὸς ἄνθρωπος' ἀπόφασις ἡ 'οὐκ ἔστι λευκὸς ἄνθρωπος'· τῆς ἄρα 'ἔστιν
ἄνθρωπος λευκός' ἑτέρα τις ἔσται ἀπόφασις· οὐκοῦν ἢ τὴν 'οὐκ ἔστιν 20

---

1 οὐ superscr. A an ⟨περὶ⟩ τῆς? 4 ἐκεῖνο τούτου FG 6 μετάβ.] βάσις G
6. 7 οὐδὲν τούτω M: οὐδ' ἐν τούτῳ a 9 τὰς προτάσεις FG 9. 10 ἄνθρ. δίκ. ἐστιν, ἔστιν ἄνθρ. δίκ. (sic), δίκ. ἄνθρ. ἐστι, δίκ. ἐστιν ἄνθρ., ἔστιν ἄνθρ. δίκ., ἔστι δίκ. ἄνθρ. F: ἄνθρ. δίκ. ἐστιν, ἔστι δίκ. ἄνθρ., ἔστιν ἄνθρ. δίκ., ἄνθρ. ἐστι δίκ. (reliquis om.) G
13 τοῦ om. a 15 ἢ] εἰ ἡ F: om. G 16 γε om. G μετὰ] κατὰ F¹
17 μεταθείη G μενεῖ M τῷ] τὸ FMa 19. 20 οἷον ἄνθρ. οὐ λευκός ἐστιν, οὐ λευκὸς ἄνθρ. ἐστιν (rel. om.) F 19 ἄνθρ. οὐκ ἔστι λευκός om. G 24 αἱ (ante εἰρημ.) om. G 25 πλείους F 26 ἐδείκνυμεν G ἔλεγε] p. 17b38 δὲ om. F
27 καὶ om. FG¹ 28 δῆλον om. AFMa 30 εἰ] ἡ a 31 παρὰ τὴν] περὶ τῆς F
32 αἱ om. AM ἤπερ G 33 ἄνθρ. λευκός (pr. l.) colloc. F 34 ἔσται] ἐστὶν AGMa

ἄνθρωπος λευκός' ἐρεῖς εἶναι αὐτῆς ἀπόφασιν ἢ τὴν 'οὐκ ἔστιν οὐκ ἄνθρωπος λευκός'. ἀλλ' ἡ 'οὐκ ἔστιν οὐκ ἄνθρωπος λευκός' τῆς 'ἔστιν οὐκ ἄνθρωπος λευκός' καταφάσεώς ἐστιν ἀπόφασις. ὡσαύτως δὲ καὶ ἣν ἂν λάβῃς ἄλλην παρὰ τὴν 'οὐκ ἔστιν ἄνθρωπος λευκός', ἑτέρας τινὸς καταφάσεως εὑρήσεις αὐτὴν οὖσαν ἀπόφασιν. ἀνάγκη ἄρα τὴν 'οὐκ ἔστιν ἄνθρωπος λευκός' τῆς 'ἔστιν ἄνθρωπος λευκός' καταφάσεως ἀπόφασιν εἶναι. ἀλλ' ἡ αὐτή, ἡ 'οὐκ ἔστιν ἄνθρωπος λευκός', καὶ | τῆς 'ἔστι λευκὸς ἄνθρωπος' 155r καταφάσεώς ἐστιν ἀπόφασις, οὐχ ὅτι, ὥσπερ φασί τινες, ἀεὶ μερίζει μετ' αὐτῆς τὸ ἀληθὲς καὶ τὸ ψεῦδος οὐ κατὰ τήνδε μόνον ἢ τήνδε τὴν ὅλην, ὡς ἐπί τινων προτάσεων γίνεσθαι συμβαίνει, οἷον τῶν ἐναντίων ἢ τῶν κατὰ μέρος, ἀλλὰ κατὰ πᾶσαν ἁπλῶς ὅλην (ταῦτα γὰρ ἐπιλελησμένων ἐστὶ τῆς περὶ τούτων τοῦ Ἀριστοτέλους διδασκαλίας), ἀλλ' ὅτι διαφέρουσι μὲν αὗται τῶν προσδιωρισμένων κατὰ μόνους τοὺς προσδιορισμούς, πρὸς δὲ τὴν 'πᾶς ἐστι λευκὸς ἄνθρωπος' ἀντιφάσκει ὁμολογουμένως ἑκατέρα τῶν 'οὐ πᾶς ἐστι λευκὸς ἄνθρωπος', 'οὐ πᾶς ἐστιν ἄνθρωπος λευκός', καὶ ἐπὶ τῆς τίς καὶ οὐδείς ὡσαύτως. διὸ καὶ ἐπὶ τῶν ἀπροσδιορίστων τοῦτο οὕτως ἕξει, οὐ κατὰ τὸ ἀντιφάσκειν, ἀλλὰ κατὰ τὸ μηδὲν ἔλαττον ἔχειν ὁποτεραοῦν τῆς λοιπῆς πρὸς τὸ εἶναι τῆς αὐτῆς καταφάσεως ἀπόφασιν. ὥσθ', ὅπερ ἐλέγομεν, μιᾶς καταφάσεως, τῆς 'ἔστι λευκὸς ἄνθρωπος', ἔσονται δύο ἀποφάσεις, ἥ τε 'οὐκ ἔστι λευκὸς ἄνθρωπος' καὶ ἡ 'οὐκ ἔστιν ἄνθρωπος λευκός.' ἣν μὲν οὖν καὶ συντομώτερον τὸ αὐτὸ συλλογίσασθαι, λέγοντα ὅτι τῶν εἰρημένων δύο καταφάσεων μία ἔσται ἀπόφασις, ἡ 'οὐκ ἔστι λευκὸς ἄνθρωπος', κατὰ τὴν αὐτὴν ἔννοιαν, καθ' ἣν τῇ μιᾷ καταφάσει τὰς δύο ἀποφάσεις μάχεσθαι λέγομεν. ἀλλ' ἔοικεν ὁ Ἀριστοτέλης τὴν μὲν κατάφασιν ὡς ὅρον τινὰ καὶ εἶδος οὖσαν μίαν εἰληφέναι, εἰς ἄτοπον δὲ τὸν λόγον ἀπάγειν τὸ τῷ αὐτῷ οἷον εἴδει δύο μάχεσθαι στερήσεις.

Ἀπορήσειε δ' ἄν τις, ὅπερ ἤδη τις ἠπόρει πρὸς ἡμᾶς, πῶς οὖν συμβήσεται τὴν καθόλου καταφατικὴν | πρότασιν ἀντιστρέφειν πρὸς ἑαυτήν, 155v εἴπερ ἀληθὲς τὸ παραδιδόμενον ὑπὸ τοῦ Ἀριστοτέλους θεώρημα· τῇ γὰρ 'πᾶς ἄνθρωπος ζῷον' καταφάσει συναληθεύσει ἡ λέγουσα 'πᾶν ζῷον ἄνθρωπος', μόνων ἐν αὐταῖς μετατεθειμένων κατὰ τὴν τάξιν τοῦ τε ὑποκειμένου καὶ τοῦ κατηγορουμένου. πρὸς ὃν ἐροῦμεν ὅτι μάλιστα μὲν κατὰ μόνην τὴν ἐκφώνησιν ἀξιοῖ γίνεσθαι τὴν μετάθεσιν τῶν ὅρων ὁ Ἀριστοτέλης, τῆς ἑκατέρου δυνάμεως τῆς αὐτῆς φυλαττομένης, τοῦτ' ἔστι τοῦ τε ὑποκειμένου καὶ μετὰ τὴν μετάθεσιν μένοντος ὑποκειμένου καὶ τοῦ κατηγορουμένου κατηγορουμένου· οὐ γὰρ τῷ πρῶτον ἢ

---

5 οὖσαν αὐτὴν (num. corr.) G οὖσαν] εἶναι F 6 εἶναι ἀπόφ. colloc. F ἡ om. FG 8 οὐχ ὅτι οὐχ G 9 μόνον] μίαν F 14. 15 ἀντιφάσκει—λευκὸς ἄνθρωπος omisso v. 15 ante οὐ (alt.) add. ἡ F 18. 19 ὥσθ', ὅπερ] ὥσπερ F 19 ἐλέγομεν] p. 192,25 post καταφάσεως add. ἀπόφασιν G 23 αὐτὴν om. F 26 τὸ] τὸν a εἴδει] εἴδη F¹: ἔδει a 27 ἀπορήσει A 30 συναληθεύει M 31 μόνον AMa μετατιθεμ. F 31. 32 ὑποκ. τε colloc. A 33 γενέσθαι Aa 34 ἑκατέρας G¹ 35 καὶ om. F 36 alt. κατηγορουμένου om. AFa τῷ] τὸ AGMa πρότερον F

δεύτερον ἐν τῇ προτάσει λέγεσθαι κρίνομεν τόν τε ὑποκείμενον καὶ τὸν κατηγορούμενον, ἀλλὰ κατὰ τοὺς παραδεδομένους περὶ αὐτῶν πάλαι διορισμοὺς τῷ τὸν μὲν εἶναι περὶ οὗ ὁ λόγος τὸν δὲ περὶ αὐτοῦ λέγεσθαι, καὶ τὸν μὲν ἢ ἔχειν ἢ δύνασθαί γε προσλαμβάνειν τὸ ἄρθρον ἤ τινα τῶν προσδιορισμῶν τὸν δὲ οὐδαμῶς. ἐν μὲν οὖν ταῖς ἐκτεθειμέναις παρὰ τοῦ Ἀριστοτέλους προτάσεσιν ὅ τε ἄνθρωπος καθ' ἑκατέραν ὑπόκειται (περὶ αὐτοῦ γὰρ ὁ λόγος) καὶ κατηγορεῖται τὸ λευκόν, ἐν δέ γε ταῖς 'πᾶς ἄνθρωπος ζῷον — πᾶν ζῷον ἄνθρωπος' οὔτε ὑποκείμενος ὁ αὐτὸς οὔτε κατηγορούμενος. δηλοῖ δὲ ὁ προσδιορισμὸς ἄλλοτε ἄλλῳ συμπλεκόμενος τῶν ὅρων. ἔπειτα, ὅπερ ἐλέγομεν περὶ τοῦ ἀποφατικοῦ μορίου, ὅτι καθ' ἑαυτὸ μὲν μετατιθέμενον ἄλλας ἐξ ἄλλων ποιεῖ τὰς προτάσεις, μετὰ δέ γε τοῦ μορίου τῆς προτάσεως, ᾧ συμπεπλεγμένον ἐξ ἀρχῆς τυγχάνει, παντοδαπῶς μεταταττόμενον τὴν αὐτὴν | φυλάττει πρότασιν, τὸ αὐτὸ καὶ ἐπὶ 156r τῶν προσδιορισμῶν γίνεσθαι συμβαίνει· καθ' ἑαυτοὺς μὲν γὰρ μεταταττόμενοι τὰς προτάσεις ἐνίοτε ἀναστρέφουσι καὶ ψευδεῖς ἐξ ἀληθῶν ποιοῦσιν, ὥσπερ ἐπὶ τῶν εἰρημένων ἔχει παραδειγμάτων, μετὰ μέντοι τῶν ὅρων, οἷς ἐξ ἀρχῆς συμπεπλεγμένοι τυγχάνουσι, μετατιθέμενοι τὰς αὐτὰς ποιοῦσι προτάσεις, οἷον 'πᾶς ἄνθρωπος ζῷόν ἐστιν — ἔστι πᾶς ἄνθρωπος ζῷον — ζῷον πᾶς ἄνθρωπός ἐστιν — ἔστι ζῷον πᾶς ἄνθρωπος' καὶ ὁσαχῶς ἄλλως ἐνδέχεται αὐτὰ διαπλέκειν. δοκεῖ μὲν οὖν ἐνίοτε, ὅπερ ἔμπροσθεν ἐλέγομεν, ἐν ταῖς ἀποφάσεσιν ἡ τοῦ οὐκ ἔστι μετάθεσις ἕτερον ποιεῖν τὸ σημαινόμενον, ἀλλὰ πρῶτον μὲν ὅταν κατὰ τὴν αὐτὴν ἔννοιαν τῇ προτέρᾳ προτάσει καὶ τὴν δευτέραν λέγωμεν, οὐδεμία ἔσται περὶ τὰ σημαινόμενα διαφορά. ἔπειτα ὁ Ἀριστοτέλης ἐπὶ καταφάσεων πεποίηται τὸν λόγον, καὶ ἐν ταύταις τὸ μὲν ἔστιν ἐπὶ τῆς αὐτῆς φυλάξας χώρας, μόνον δὲ τὸ ὑποκείμενον καὶ τὸ κατηγορούμενον μεταθείς, ὡς δέον ὂν τὰ αὐτὰ καὶ ἐπὶ τῶν ἀποφάσεων ποιεῖν, εἰ μέλλοι μηδὲ κατὰ φαντασίαν ἑτεροιοῦσθαι ἡ πρότασις.

---

2. 3 κατὰ τοὺς παραδεδομένους . . πάλαι διορ.] p. 7, 33 προσδιορ. F 4 γε] γὰρ F 5 παρὰ] ὑπὸ G 7 ἐν] ἐὰν M γε om. F 9 ἄλλῳ] ἄλλως G 10 ὅρων] ὄντων M ἐλέγομεν] p. 192, 11 ἀποφαντ. M 11 μετατεθειμένου G: μετατιθέμενος Ma 12 τυγχ.] ὑπάρχει G 16 ὥσπερ] ὅπερ M ἔχει ante ἐπὶ colloc. G 17 συμπεπλ.] γρ. συνεζύγησαν in mrg. A 18 ἔστι πᾶς ἄνθρωπος ζῷον om. FGM 19 ζῶον πᾶς ἄνθρ. ἐστιν om. F 20 αὐτὰ om. F διαπλ.] πλέκειν F 20. 21 ἔμπροσθεν ἐλέγομεν] p. 117, 25 21 ἀντιφάσεσιν A τοῦ] τὸ G¹ 23 λέγομεν Ma 24 ἐπὶ] περὶ M

p. 20ᵇ13 Τὸ δὲ ἓν κατὰ πολλῶν ἢ πολλὰ καθ' ἑνὸς καταφάναι ἢ ἀποφάναι, ἐὰν μὴ ἕν τι ᾖ τὸ ἐκ τῶν πολλῶν συγκείμενον, οὐκ ἔστι κατάφασις μία οὐδὲ ἀπόφασις. λέγω δὲ ἓν οὐκ ἐὰν ὄνομα ἓν ᾖ κείμενον, μὴ ᾖ δὲ ἕν τι ἐξ ἐκείνων, οἷον ὁ ἄνθρωπος ἴσως ἐστὶ καὶ ζῷον καὶ δίπουν καὶ ἥμερον, ἀλλὰ καὶ ἕν τι γίνεται ἐκ τούτων· ἐκ δὲ τοῦ λευκοῦ καὶ τοῦ ἀνθρώπου καὶ τοῦ βαδίζειν οὐχ ἕν. ὥστε οὔτε ἐὰν ἕν τι κατὰ τούτων καταφήσῃ τις, μία | κατάφασις, ἀλλὰ φωνὴ μὲν μία καταφάσεις δὲ πολλαί, 156ᵛ
οὔτε ἐὰν καθ' ἑνὸς ταῦτα, ἀλλ' ὁμοίως πολλαί.

Παραδέδωκε μὲν ἡμῖν καὶ πρότερον ὁ φιλόσοφος τὴν διάκρισιν τῆς τε ὄντως οὔσης μιᾶς προτάσεως καὶ τῆς δοκούσης μὲν εἶναι μιᾶς μὴ μέντοι καὶ οὔσης, ἐν οἷς ἔλεγε μία δέ ἐστι κατάφασις καὶ ἀπόφασις ἡ ἓν καθ' ἑνὸς σημαίνουσα, καὶ νῦν δὲ πάλιν περὶ τοῦ αὐτοῦ διαλέγεται θεωρήματος, οὐ ταυτολογῶν οὐδ' ὅτι πρότερον μὲν περὶ τῶν ἁπλουστάτων διελέγετο προτάσεων νῦν δὲ περὶ τῶν ἐκ τρίτου προσκατηγορουμένου (τυχὸν μὲν γὰρ οὐδὲ τοῦτο ἄλογον, τὸ ἐπιδεῖξαι καθ' ἑκάτερον τῶν προτάσεων εἶδος τὸν αὐτὸν τρόπον γινομένην τὴν εἰρημένην τῶν ἀποφαντικῶν λόγων διάκρισιν), ἀλλ' εἰ δεῖ τὸ ἐμοὶ φαινόμενον λέγειν, διαλεχθεὶς πρότερον περὶ τῶν πρὸς ἐρώτησίν τινα γινομένων ἀρνήσεων, πότε μὲν οἷόν τε αὐτὰς συμπλεκομένας ταῖς ἐρωτήσεσι ποιῆσαι κατάφασιν ἐκ μεταθέσεως ἀληθῆ πότε δὲ οὔ, βούλεται τὸ ὁλοσχερέστερον εἰλημμένον ἐν ἐκείνοις ἐπιδιαρθρῶν ἐπιστατικωτέρους ἡμᾶς ποιῆσαι πρὸς τὸ μὴ προχείρως ἀποκρίνασθαι διὰ μιᾶς ἀποκρίσεως πρὸς τὴν γεγενημένην ἐρώτησιν· οὐ γὰρ δὴ καὶ ὅταν δοκῇ μὲν εἶναι μία, κατὰ ἀλήθειαν μέντοι μὴ ᾖ μία. πρὸς οὖν τὴν τούτου κατανόησιν, λέγω δὲ τοῦ τίς ἡ μία διαλεκτικὴ ἐρώτησις καὶ τίς ἡ οὐ μία, προχείρους ἐχρῆν ἔχειν τοὺς κανόνας τῆς διακρίσεως τῆς τε μιᾶς καὶ τῆς οὐ μιᾶς προτάσεως, εἴπερ ἡ διαλεκτικὴ ἐρώτησις πρότασίς τίς ἐστι. διόπερ ἔοικεν ἀναλαμβάνειν νῦν τὴν περὶ τοῦ θεωρήματος τούτου σκέψιν ὁ Ἀριστοτέλης. δηλοῖ δὲ | ὥσπερ συμπέρασμα 157ʳ τούτων ἐπάγων τὴν διδασκαλίαν τοῦ πότε οὐ χρὴ διὰ μιᾶς ἀποκρίσεως ἀποκρίνασθαι πρὸς τὴν ἐρώτησιν, λέγων εἰ οὖν ἡ ἐρώτησις ἡ διαλεκτικὴ ἀποκρίσεώς ἐστιν αἴτησις καὶ τὰ ἑξῆς, οὐκ ἂν εἴη ἀπόκρισις μία πρὸς ταῦτα· οὐδὲ γὰρ ἡ ἐρώτησις μία. περὶ μὲν οὖν τῆς

---

1 καταφάναι — πολλαί (9) om. M καταφῆναι A 2 ἐὰν — πολλαί (9) om. G ἐκ — πολλαί (9) om. a συγκ.] δηλούμενον b 4 ὁ om. A 10 μὲν om. FG 11 ὄντως om. M μὴ] οὐ G 12 ἔλεγε] p. 18ᵃ13 καὶ ἀπόφασις om. G 13 δὲ] καὶ G 15 διαλέγεται A 16 τοῦτο] τότε M 18 ἀποφατ. codd. 18. 19 ἐμοὶ — διαλεχθεὶς post ἀρνήσεων colloc. G 19 γενομ. M 24 δοκοίη FMa μὲν] μὴ G: om. M 25 δὲ] δὴ G 28 τί F τὴν om. F 29 post τούτου add. τοῦ A 31 ἀποκρίνασθαι om. G (ἀποφήνασθαι superscr. G²) post ἐρώτησιν add. καὶ F λέγων] p. 20ᵇ22 32 τὰ om. AGMa

προθέσεως τῶν προκειμένων καὶ τῆς τάξεως ἱκανὰ τὰ εἰρημένα. λέγει δὲ περὶ αὐτῶν οὐχ ἅπερ εἴρηκε πρότερον (τοῦτο γὰρ ὄντως ταυτολογοῦντος ἦν), ἀλλ' ἐν τούτοις παραδίδωσι καὶ ἑτέραν ἡμῖν διαφορὰν τῆς τε ὄντως οὔσης καὶ τῆς μόνον δοκούσης εἶναι μιᾶς προτάσεως.

Ἵνα δὲ ῥᾴδιον παρακολουθήσωμεν τοῖς ῥηθησομένοις, λέγομεν ὡς ἐπεὶ τοὺς λαμβανομένους ἐν ταῖς προτάσεσιν ὅρους καὶ φωνάς τινας εἶναι ἀναγκαῖον καὶ πράγματά τινα σημαίνειν, τέτταρας αὐτῶν συμβαίνει γίνεσθαι τὰς διαφοράς· ἢ γὰρ κατ' ἄμφω ἁπλοῖ εἰσι, τήν τε φωνὴν καὶ τὸ σημαινόμενον, ἢ κατ' οὐδέτερον ἢ κατὰ θάτερον. καὶ τοῦτο δηλονότι διχῶς. εἰ μὲν οὖν κατ' ἄμφω τὸ ἁπλοῦν ἔχοι τῶν ὅρων ἑκάτερος, ὁμολογουμένως μία ἡ πρότασις, ὡς ὅταν εἴπωμεν 'ὁ ἄνθρωπος ζῷόν ἐστι'. καὶ εἰ κατὰ μόνον τὸ σημαινόμενον μὴ μέντοι κατὰ τὴν λέξιν, μία καὶ οὕτως, εἰ καὶ ἧττον ἔχει τὸ προφανῶς εἶναι μία διὰ τὴν περὶ τὴν λέξιν θεωρουμένην ποικιλίαν, ἢ κατὰ θάτερον τῶν ὅρων ἢ κατ' ἀμφοτέρους, ὡς ὅταν εἴπωμεν 'ὁ ἄνθρωπος ζῷον λογικὸν θνητόν ἐστιν' ἢ 'τὸ ζῷον λογικὸν θνητὸν ἄνθρωπός ἐστιν' ἢ 'τὸ ζῷον λογικὸν θνητὸν οὐσία ἔμψυχος αἰσθητική ἐστιν'. εἰ δέ γε κατὰ μόνην τὴν λέξιν τὸ ἁπλοῦν ἔχοιεν οἱ ὅροι, ὁμώνυμοι δηλαδὴ ληφθέντες, ἢ ἄμφω ἢ καὶ ὁ ἕτερος, | οὐκέτι μὲν 157v μία ἡ πρότασις, ἀλλὰ τὴν κατὰ τοῦτο διαφορὰν πρότερον ἡμῖν παρεδίδου, δι' ὧν ἔλεγεν εἰ δὲ δυοῖν ἓν ὄνομα κεῖται καὶ οἷον εἴ τις θεῖτο ἱμάτιον ὄνομα ἵππῳ καὶ ἀνθρώπῳ. λείπεται οὖν ἔτι μία διαφορά, καθ' ἣν οἱ ὅροι καὶ τῇ λέξει καὶ τοῖς σημαινομένοις πεπληθυσμένοι παραλαμβάνονται, ἢ ἄμφω πάλιν ἢ μόνος ὁ ἕτερος. ἀλλὰ πιθανώτερον ὑπολαβὼν ὁ Ἀριστοτέλης πρὸς τὸ νομίζεσθαι μίαν τὴν οὐ μίαν πρότασιν τὸ ὑποθέσθαι μόνον τὸν ἕτερον τῶν ὅρων κατ' ἄμφω ποικίλον τοῦ λοιποῦ ὅρου ὄντως ἑνὸς ὄντος ἢ τὸ ἀμφοτέρους, καὶ ἅμα ὡς τούτῳ συνελεγχομένης ἀπὸ τοῦ μᾶλλον τῆς λοιπῆς ὑποθέσεως τῆς ἄμφω τοὺς ὅρους μηδεμιᾶς μετέχειν ἁπλότητος ὑποτιθεμένης, ἐπὶ ταύτης προάγει τὸν λόγον, τὸ ἓν κατὰ πολλῶν ἢ πολλὰ καθ' ἑνὸς κατηγορεῖν καταφατικῶς ἢ ἀποφατικῶς μὴ ἀξιῶν ποιεῖν μίαν ἀπόφανσιν, εἰ μὴ τύχοι, φησίν, ἐκ τῶν πολλῶν τῶν κατηγορηθέντων ἢ ὑποτεθέντων ἕν τι γινόμενον, ἵνα πάλιν περὶ μόνην τὴν λέξιν ἡ ποικιλία θεωρῆται τὸ δὲ σημαινόμενον ἁπλοῦν ᾖ, καθάπερ ἐπὶ τῶν ὁρισμῶν ἐλέγομεν ἔχειν. ἐπάγοντος δὲ τοῦ Ἀριστοτέλους τὸ

---

1 προθέσεως] προτάσεως M 3 ἡμῖν καὶ ἑτ. colloc. G 4 μόνον om. F εἶναι om. G 5 δὲ suppl. G² an ῥᾷον? ῥηθησ.] εἰρημένοις G λέγωμεν F ὡς om. F 6 ἐπεὶ] ἐπὶ M 8. 9 τῇ τε φωνῇ καὶ τῷ σημαινομένῳ G 9 κατὰ θάτ.] καθ' ἕτερον G 12 λέξιν] τάξιν F 14 ποικιλίαν ex θεωρίαν corr. G 15. 16 ἢ τὸ ζῶον λογ. θν. ἄνθρωπός ἐστιν om. a 17 αἰσθητική superscr. A γε om. F 19 ἡ om. G 20 ἔλεγεν] p. 18a18 θείη τὸ F 21 ὄνομα ἱμάτιον colloc. b (cf. p. 125, 22. 23) ἀνθρ. καὶ ἵππω colloc. G 22 πεπληθυσμένος G¹ 23. 24 ὑπολαμβάνων F 26 ὄντος ἑνὸς (ὄντως om.) F 26. 27 συνελ.] συνεχομένης M 27 τοῖς λοιποῖς F¹ 28 ταύτην A 30 ἀξιῶν μὴ colloc. F ἀπόφανσιν] ἀπόφασιν FMa: πρότασιν G 32 ᾖ om. A 33 ἐλέγομεν] p. 127,7

λέγω δὲ ἓν οὐκ ἐὰν ὄνομα ἓν ᾖ κείμενον, μὴ ᾖ δὲ ἕν τι ἐξ ἐκείνων, ἕνιοι μὲν τῶν ἐξηγητῶν ὑπέλαβον συντάττεσθαι αὐτὸ πρὸς τὸ ἐὰν μὴ ἕν τι ᾖ τὸ ἐκ τῶν πολλῶν συγκείμενον, ὡς ἂν δηλοῦντος διὰ τούτων τοῦ φιλοσόφου πῶς ποτε δεῖ ἔχειν τὸ ἓν ἐκεῖνο τὸ ἐκ τῶν πολλῶν συγκεῖσθαι λεγόμενον, ὅτι πάντως μὲν ἓν ὄνομα ἔχειν οὐ μέντοι τῷ ὀνόματι μόνον ἓν αὐτὸ εἶναι χρή, ὡς ὅταν ληφθῇ ὁμωνύμως αὐτῶν κατηγορού|μενον, ἀλλὰ προηγουμένως τῷ σημαινομένῳ. καὶ οἴονται τὸ 158ʳ λεγόμενον μηδὲν διαφέρειν τοῦ πρότερον ἤδη ῥηθέντος οἷον εἴ τις θεῖτο ἱμάτιον ὄνομα ἵππῳ καὶ ἀνθρώπῳ, τὰ αὐτὰ πάλιν περὶ τῶν αὐτῶν λέγεσθαι ὑπολαμβάνοντες. ἄμεινον δὲ ἴσως καὶ τοῖς ἐπιφερομένοις μᾶλλον συνᾷδον τὸ λέγειν ὅτι δὶς τοῦ ἑνὸς μνημονεύσας ἐν τοῖς προσεχῶς προειρημένοις, δι' ὧν τε ἔλεγε τὸ δὲ ἓν κατὰ πολλῶν ἢ πολλὰ καθ' ἑνός καὶ πάλιν δι' ὧν ἐφεξῆς ἐπῆγεν ἐὰν μὴ ἕν τι ᾖ τὸ ἐκ τῶν πολλῶν συγκείμενον, τοῦ μὲν πρότερον ὡς ἐνεργείᾳ τε παραληφθέντος ἐν τῇ προτάσει καὶ ὁμολογουμένως τῷ πράγματι ἑνὸς εἶναι ὀφείλοντος, τοῦ δὲ ὕστερον ὡς ἐνεργείᾳ μὲν οὐ ληφθέντος συγκεῖσθαι μέντοι ἐκ τῶν πολλῶν τῶν ἐνεργείᾳ παραληφθέντων ὀφείλοντος, εἰ μέλλοι μία εἶναι ἡ πρότασις, πρὸς ἀμφοτέρας τοῦ ἑνὸς τὰς ἐννοίας ταῦτα νῦν ἀποδίδωσιν, ἐξ ἀρχῆς μὲν διὰ τοῦ λέγω δὲ ἕν διδάσκων ὡς πρόκειται αὐτῷ τοὺς περὶ τοῦ δὶς προρρηθέντος ἑνὸς παραδοῦναι διορισμούς, δι' ὧν δὲ ἑξῆς ἐπιφέρει οὐκ ἐὰν ὄνομα ἓν ᾖ κείμενον, μὴ ᾖ δὲ ἕν τι ἐξ ἐκείνων δὶς μὲν τοῦ ἑνὸς πάλιν μνημονεύων, οὐ μέντοι περὶ τοῦ αὐτοῦ, ὥσπερ ὑπολάβοι ἄν τις, ἑνὸς ὅρου διαλεγόμενος καὶ διαστέλλων πῶς μὲν ἑνὸς πῶς δὲ οὐχ ἑνὸς αὐτοῦ ληφθέντος πολλὰς ἀντὶ μιᾶς εἶναι συμβαίνει τὰς προτάσεις, ἀλλὰ τὸ μὲν λέγων περὶ τοῦ ὄντως ἑνὸς ληφθέντος ὅρου φωνῇ τε καὶ σημασίᾳ, τὸ ἐὰν ὄνομα ἓν ᾖ κείμενον, τὸ δὲ περὶ τοῦ ἑτέρου τοῦ κατὰ τὴν φωνὴν ἐνεργείᾳ τὸ πλῆθος ἔχοντος, τὸ μὴ ᾖ δὲ ἕν τι ἐξ ἐκείνων· ἐὰν γὰρ | ἑνός τινος τεθέντος ὑποκειμένου ἢ κατηγορουμένου 158ᵛ ὀνόματος καὶ ἕν τι πρᾶγμα σημαίνοντος μὴ ᾖ ἐκ τῶν πολλῶν τῶν κατηγορηθέντων αὐτοῦ ἢ ὑποτεθέντων αὐτῷ ἕν τι συγκείμενον, οὐκέτι μία ἡ πρότασις, ἀλλ' ὅσον τὸ πλῆθος τῶν κατηγορηθέντων καὶ ὑποτεθέντων.

Ὅτι δὲ τοῦτό ἐστιν ὃ βούλεται λέγειν, σαφέστατα δηλοῖ δι' ὧν παρατίθεται παραδειγμάτων· τὸν γὰρ ἄνθρωπον ὡς ἕν τι ὑποκείμενον λαβὼν κατηγορεῖ κατ' αὐτοῦ πρότερον μὲν πλείονας ἅμα φωνὰς σημαντικὰς πραγμάτων κατ' οὐσίαν τοῦ ὑποκειμένου κατηγορουμένων καὶ συμπλέκεσθαι

---

1 alt. ᾖ om. G 3. 14 συγκ.] δηλούμενον b 4 διὰ τούτων om. G 7 οἴονται] οἷόν τε F 8. 9 θείη τὸ AMa 9 ἱμάτιον ὄν.] cf. p. 196,21 not. 10 ὑπολαβόντες F 11 μᾶλλον suppl. G² δὶς] διὰ G 13 ἐπήγαγεν AFa post ἐὰν add. γὰρ G² τὸ om. F 16 τοῦ δὲ—ὀφείλοντος (17) om. F 16. 17 ἐκ τοῦ πολλῶν τοῦ ἑν. G 19 τοὺς om. AGM 20 ἐφεξῆς Ma 21 ἓν ὄνομα colloc. F alt. ᾖ suppl. G² 22 πάλιν τοῦ ἑνὸς colloc. G 25 περὶ τοῦ om. F ὄντος M 26 ἓν] μὲν G 27 τὴν] τὰ F 28 τιθέντος M 30 αὐτοῦ ἢ ὑποτεθέντων om. FM αὐτῷ om. M 31 καὶ] ἢ FGa 34 κατηγορεῖται Ma

ἀλλήλοις πρὸς τὴν γένεσιν τοῦ ὁρισμοῦ αὐτοῦ πεφυκότων, ὕστερον δὲ πλείονας μὲν πάλιν ἅμα φωνὰς ἀλλὰ σημαντικὰς τῶν κατὰ συμβεβηκὸς ὑπαρχόντων τῷ ὑποκειμένῳ καὶ διὰ τοῦτο συμφύεσθαι πρὸς ἄλληλα μὴ δυναμένων, καί φησι τὴν μὲν ἐκ τοῦ ἑνὸς ὑποκειμένου καὶ τῶν συμπλέκεσθαι πεφυκότων κατηγορουμένων πρότασιν οὐ τῇ φωνῇ μόνον ἀλλὰ καὶ τῇ δυνάμει μίαν εἶναι, ὅταν συμπλέξαντες ἀλλήλοις τὰ πολλὰ ἐκεῖνα τοῦ ἑνὸς ὑποκειμένου κατηγορήσωμεν, τὴν δέ γε ἐκ τοῦ ἑνὸς ὑποκειμένου καὶ τῶν μὴ πεφυκότων συμφύεσθαι κατηγορουμένων μηδέποτε γίνεσθαι ὄντως μίαν, κἂν ἡμεῖς τῇ φωνῇ συνείραντες πρὸς ἄλληλα τὰ συμβεβηκότα ὡς δὴ ἕν τι ἅμα πάντα τοῦ ὑποκειμένου κατηγορεῖν ἐπιχειρήσωμεν· οὕτω γὰρ καὶ τὴν πρότασιν συμβήσεται τῇ μὲν φωνῇ δοκεῖν μίαν εἶναι τῇ δὲ δυνάμει μηδαμῶς μετέχειν τοῦ ἑνός. καὶ ταῦτα οὕτω διοριζόμενος οὐδαμοῦ ἐν τούτοις φαίνεται λέγων τι περὶ ὁμωνύμου κατηγορουμένου | ἢ ὑποκει- 159r
μένου, αὐτῶν δὲ τῶν κατ' οὐσίαν κατηγορουμένων πρότερον, ὡς εἴρηται, ποιούμενος μνείαν ἐνδείκνυται ὅτι διαφόρως δύνανται κατηγορεῖσθαι τοῦ ὑποκειμένου· ποτὲ μὲν γὰρ οὐ τῇ φωνῇ μόνον ἀλλὰ καὶ τοῖς σημαινομένοις ὡς πολλὰ κατηγοροῦνται καὶ οὐ μίαν ἀλλὰ πολλὰς ποιοῦσι προτάσεις, ποτὲ δὲ κατὰ μόνην τὴν φωνὴν τὸ πλῆθος ἔχουσι καὶ μίαν ὄντως ποιοῦσι πρότασιν· τὸ γὰρ ζῷον καὶ τὸ δίπουν καὶ τὸ ἥμερον λαμβάνων κατ' οὐσίαν τοῦ ἀνθρώπου κατηγορούμενα καὶ δυνάμενα συμπληροῦν αὐτοῦ τὸν ὁρισμὸν παραδείγματος χάριν, ὡς δηλοῖ καὶ τὸ ἴσως αὐτοῖς προσκείμενον, ἀλλὰ καὶ ἕν τι, φησί, γίνεται ἐκ τούτων, ὡς ὅταν μὲν εἴπωμεν 'ὁ ἄνθρωπος καὶ ζῷόν ἐστι καὶ δίπουν καὶ ἥμερον', πλείονων τε ληφθέντων κατηγορουμένων διὰ τοὺς συνδέσμους καὶ πλείονας ποιούντων προτάσεις (ὅμοιον γάρ τι ποιοῦμεν ὡς εἰ ἐλέγομεν 'ὁ ἄνθρωπος ζῷόν ἐστιν, ὁ ἄνθρωπος δίπουν ἐστί, ὁ ἄνθρωπος ἥμερόν ἐστιν', ὅπερ ἐστὶ πολλὰς ἐναργῶς λέγειν προτάσεις τῷ αὐτῷ ὑποκειμένῳ χρωμένας), ὅταν δὲ ἄνευ τῶν συνδέσμων λάβωμεν τὰ κατηγορούμενα καὶ συνείροντες πρὸς ἄλληλα ἐφεξῆς εἴπωμεν 'ὁ ἄνθρωπος ζῷον δίπουν ἥμερόν ἐστιν', ἀλλὰ μὴ σιωπῇ μέσῃ διακόψωμεν τὴν συνέχειαν τῶν συμπληρούντων τὸν ὁρισμόν, ἑνός τε ληφθέντος κατηγορουμένου καὶ μίαν ὄντως ποιοῦντος πρότασιν. ταῦτα περὶ τούτων διορισάμενος ἑξῆς προστίθησι τὰ περὶ τῶν κατὰ συμβεβηκὸς κατά τινος κατηγορουμένων καὶ ἀποφαίνεται μηδέποτε γενέσθαι ἂν ἐκ τούτων μίαν κατηγορίαν | ἢ μίαν πρότασιν, 159v
κἂν ἐφεξῆς αὐτὰ κατηγορήσωμεν, καθάπερ ἐποιοῦμεν ἐπὶ τῶν ὁρισμῶν· οὐ γὰρ ὥσπερ τὸ ζῷον καὶ τὸ δίπουν καὶ τὸ ἥμερον συνεκίρναντο ἀλλή-

1 αὐτῶν F 2 μὲν πάλιν om. M 5 προτάσεων G 8 ὄντως γίν. (num. corr.) G 10 post τι add. ἢ M 12 μηδαμῶς] μηδενὸς M post ταῦτα superscr. μὲν G² οὐδ.] οὐδαμῶς G 14 ὡς εἴρηται] p. 197,35 ὡς om. G 16. 17 σημανομ. F 17 ποιοῦνται Ma προτ. ποιοῦσι colloc. G 19 τὴν πρότασιν M 21 αὐτῷ F προκείμενον Ga 22 γίγνεσθαι AM μὲν om. FG 25 λέγοιμεν Fa 26 πολλὰς om. F: post ἐναργ. (27) colloc. (sed num. corr.) G 27 προσλέγειν Aa: προλέγειν M 31 ἑνός τε] ἑνὸς AG: ἑνίοτε M 32 διωρισμένης G τὰ om. F 33 κατά τινος om. F 35 κἂν] καὶ A ποιοῦμεν F 36 συνεκίρναντο F

λοις πρὸς μίαν φύσεως σύστασιν, οὕτω δὲ καὶ τὰ πλείονα συμβεβηκότα δύναται κραθέντα ἢ ἀλλήλοις ἢ τῷ κοινῷ αὐτῶν ὑποκειμένῳ μίαν ἐργάσασθαι φύσιν. διὸ οὔτε ὁ εἰπὼν 'ἄνθρωπος λευκὸς βαδίζων ἐστί' μίαν εἶπε πρότασιν, ἐπεὶ οὐδὲ τὸ κατηγορούμενον ἕν, ὡς ἐν τοῖς ἑξῆς διορισθήσεται. καὶ ὅμοιον ὡς εἰ λέγοιμεν 'ὁ ἄνθρωπος λευκός ἐστιν, ὁ ἄνθρωπος βαδίζων ἐστίν', οὔτε μὴν ὁ εἰπὼν 'ὁ Σωκράτης ἄνθρωπος λευκὸς βαδίζων ἐστί', διότι οὐδὲ ἐκ τούτων ἕν τι γίνεται κατηγορούμενον, ἅτε πλειόνων συμβεβηκότων τῷ ἀνθρώπῳ παραληφθέντων. διορισθήσεται δὲ τὰ περὶ τούτων ἐν τοῖς ἑξῆς ἀκριβέστερον.

p. 20b22 Εἰ οὖν ἡ ἐρώτησις ἡ διαλεκτικὴ ἀποκρίσεώς ἐστιν αἴτησις, ἢ τῆς προτάσεως ἢ θατέρου μορίου τῆς ἀντιφάσεως, ἡ δὲ πρότασις ἀντιφάσεως μιᾶς μόριον, οὐκ ἂν εἴη ἀπόκρισις μία πρὸς ταῦτα (οὐδὲ γὰρ ἡ ἐρώτησις μία), οὐδ' ἂν ᾖ ἀληθής. εἴρηται δὲ ἐν τοῖς Τοπικοῖς περὶ αὐτῶν. ἅμα δὲ δῆλον ὅτι οὐδὲ τὸ τί ἐστιν ἐρώτησίς ἐστι διαλεκτική· δεῖ γὰρ δεδόσθαι ἐκ τῆς ἐρωτήσεως ἑλέσθαι ὁπότερον βούλεται μόριον τῆς ἀντιφάσεως ἀποφήνασθαι. ἀλλὰ δεῖ τὸν ἐρωτῶντα προσδιορίσαι πότερον τόδε ἐστὶν ὁ ἄνθρωπος ἢ οὐ τοῦτο.

Διττὸν εἶναί φασιν οἱ παλαιοὶ τῆς ἐρωτήσεως τὸ εἶδος, τὸ μὲν τῆς διαλεκτικῆς τὸ δὲ τῆς καλουμένης πυσματικῆς. καὶ διαλεκτικὴν μὲν ἐρώτησιν εἶναί φασι | πρὸς ἣν ἔστιν ἀποκρίνασθαι τὸ ναί ἢ τὸ οὔ μόνον 160r εἰπόντα καὶ συμβολικῶς κατανεύσαντα μόνον ἢ ἀνανεύσαντα, οἷον 'ἆρά γε ἡ ψυχὴ ἀθάνατος;'· αὔταρκες γὰρ πρὸς τὸ ἀποπλῆσαι τὸν τοῦτο ἐρωτήσαντα καὶ τὸ κατανεῦσαι μόνον ἢ ἀνανεῦσαι, ὅταν, ὅπερ ἀκόλουθόν ἐστι, τὸ ἕτερον μόνον τῆς ἀντιφάσεως μόριον ὁ ἐρωτῶν λέγῃ· διὰ μὲν γὰρ τοῦ ναί εἰπεῖν ἢ τοῦ κατανεῦσαι συνομολογοῦμεν ἀληθὲς εἶναι τὸ ἠρωτημένον τῆς ἀντιφάσεως μόριον, εἴτε καταφατικὸν εἴτε ἀποφατικὸν εἴη (πολλάκις γὰρ ἐρωτώμεθα καὶ τὴν ἀπόφασιν, οἷον 'ἆρά γε οὐκ ἔστιν ἡ ψυχὴ ἀθάνατος;'), διὰ δὲ τοῦ εἰπεῖν οὔ καὶ τοῦ ἀνανεῦσαι ἀπομαχόμεθα μὲν πρὸς τὴν ἐρώτησιν, ὁμολογοῦμεν δὲ τὸ λοιπὸν τῆς ἀντιφάσεως μόριον εἶναι τὸ ἀληθές. εἰ δέ γε ὅλην τις τὴν ἀντίφασιν ἐν τῇ ἐρωτήσει λέγοι, οἷον 'ἆρά γε ἡ ψυχὴ ἀθάνατός ἐστιν ἢ οὔ;', δεῖ μὲν καὶ οὕτως τὸν ἀποκρινόμενον ἢ τὸ ναί λέγειν ἢ τὸ οὔ, ἀλλ' εἰ μὲν ἀρέσκοιτο τῇ καταφάσει, τὸ ναί ἐρεῖ καὶ αὐτὴν προσθήσει τούτῳ τὴν κατάφασιν 'ναί, ἀθάνατός ἐστι'

---

1 μιᾶς scribendum recte monuit Wallies δὲ om. G 1. 2 δύνανται AMa 3 διότι G ὁ om. G ὅτι ὁ ἄνθρ. G 3. 5. 6 βαδίζον (ter) G¹ 6 οὔτε — ἐστί (7) om. F ὁ (alt.) om. G 10 ἀποκρίσεώς — τοῦτο (18) om. M 12 ἡ δὲ — τοῦτο (18) om. a 13 ἐὰν b ᾖ] εἴη AF 16. 17 μέρος τῆς ἀντ. G: τῆς ἀντ. μόριον b 18 ὁ om. FG 20 διαλεκτικῆς (alt. l.) M 22 καὶ] an ἢ καὶ? (cf. p. 200,21) οἷον — ἀνανεῦσαι (24) in mrg. suppl. A 23 ἀποπληρῶσαι M 25 ὁ ἐρωτῶν — μόριον (27) om. F 26 τοῦ om. sec. ed. Ven. Brand. συνομολ. — ἀνανεῦσαι (29) om. M 31 τις om. F εἴποι G 33 ἢ (ante τὸ ναί) om. FG

λέγων (μὴ προστιθεμένης γὰρ τῆς καταφάσεως ἄδηλον πρὸς πότερον τῶν μορίων τῆς ἠρωτημένης ἀντιφάσεως τὸ ναί τοῦτο ἀποκέκριται), εἰ δὲ τῇ ἀποφάσει, τό τε οὔ ἀποκρινεῖται καὶ αὐτὴν πάλιν προσθήσει τὴν ἀπόφασιν 'οὔ, οὐκ ἔστιν ἀθάνατος' λέγων. καὶ τοιαύτην μὲν εἶναί φασι τὴν διαλεκτικὴν ἐρώτησιν. πυσματικὴν δὲ πρὸς ἣν τὸ μὲν ναί καὶ τὸ οὔ χώραν οὐκ ἔχουσι, λέξεως δὲ ἄλλης, ἐνίοτε δὲ καὶ λόγου πλείονος δεῖ τῷ ἐρωτωμένῳ πρὸς τὴν ἀπόκρισιν· διδαχθῆναι γάρ τι περί τινος βουλομένων ἐστὶν ἡ πυσματικὴ ἐρώτησις, | οἷον 'πότε ἦλθες; τίς καλεῖ; ποῦ οἰκεῖς; 160ᵛ πόθεν δῆλον ὅτι ἀθάνατος ἡ ψυχή; διὰ τί ἡ Μαγνῆτις λίθος ἕλκει τὸν σίδηρον;'. καὶ ὁ μὲν τὴν πυσματικὴν ἐρώτησιν ἐρωτώμενος κύριός ἐστι τοῦ ἀποκρίνασθαι ὅπερ ἂν ἐθέλῃ τῶν προσαρμόττειν τῇ ἐρωτήσει δυναμένων ἀναριθμήτων τυγχανόντων, ἢ ἀληθεύων δηλονότι ἢ καὶ ψευδόμενος, ὁ δέ γε τὴν διαλεκτικὴν ἐρώτησιν ἐρωτώμενος ἀναγκάζεται τῆς ἀντιφάσεως, ἧς μόριόν ἐστιν ἡ γεγενημένη ἐρώτησις, ἢ τὴν κατάφασιν ἀποκρίνασθαι ἢ τὴν ἀπόφασιν, καὶ ἄλλο παρὰ ταῦτα οὐδέν.

Τούτων οὖν οὕτως ἐχόντων εἰκότως φησὶν ὁ Ἀριστοτέλης ὡς εἴπερ ἡ ἐρώτησις ἡ διαλεκτικὴ ἀποκρίσεώς ἐστιν αἴτησις, οὐ τῆς τυχούσης, ἀλλ' ἤτοι τῆς προτάσεως, τοῦτ' ἔστιν αὐτοῦ τοῦ κατ' ἐνέργειαν ὑπὸ τοῦ ἐρωτήσαντος εἰρημένου μορίου τῆς ἀντιφάσεως καὶ προτα- θέντος τῷ ἐρωτηθέντι πρὸς ἐπίκρισιν, ὅπερ γίνεται, ὡς ἐλέγομεν, ὅταν ὁ ἠρωτημένος τὸ ναί ἀποκρίνηται ἢ καὶ κατανεύσῃ, ἢ θατέρου μορίου τῆς ἀντιφάσεως, τοῦ κατ' ἐνέργειαν μὲν μὴ ῥηθέντος ὑπὸ τοῦ ἐρωτήσαντος δυνάμει δὲ ἐμπεριεχομένου τῇ ἐρωτήσει, ὡς δηλοῦσιν αἱ ἀρνητικαὶ ἀποκρίσεις· διὰ τούτων γὰρ τῷ λειπομένῳ μορίῳ τῆς ἀντιφάσεως παρὰ τὴν ἐρώτησιν ἀρέσκεσθαί φαμεν, ὡς ἂν δυνάμει προταθέντι πρὸς ἐπίκρισιν ἐν τῇ ἐρωτήσει· πρὸς γοῦν τὴν μηδαμῶς γενομένην ἐρώτησιν δῆλον ὡς οὐδεμία γένοιτο ἂν ἀπόκρισις. εἰ οὖν ταῦτα οὕτως ἔχει καὶ δεῖ τὸν πρὸς τὴν διαλεκτικὴν ἐρώτησιν ἀποκρινόμενον μίαν τινὰ μόνην ἀποκρίνασθαι πρότασιν, ἢ τὴν κατ' ἐνέργειαν ἢ τὴν κατὰ δύναμιν προενεχθεῖσαν ὑπὸ 161ʳ τοῦ ἐρωτήσαντος, ἡ δὲ μία πρότασις μιᾶς ἀντιφάσεώς ἐστι μόριον, μία δὲ ἀντίφασις, ὡς διώρισται πρότερον, ἡ τοῦ αὐτοῦ κατὰ τοῦ αὐτοῦ μηδαμῇ ὁμωνυμίᾳ προσχρωμένη· εἰ ταῦτα πάντα οὕτως ἔχει, ὧν τὰ μὲν τέθεικεν ὁ Ἀριστοτέλης τὰ δὲ ὡς ἀκόλουθα τοῖς τεθειμένοις παρῆκεν, οὐκ ἂν εἴη,

---

2 ἐρωτωμένης G ἀποφάσεως M εἰ δὲ τῇ] τῇ δὲ F 3 τότε τὸ οὔ M ἀπόφ.] ἀπόκρισιν G 4 φησι Fa 6 ἔχει Aa: ἕξει M δὲ alterum om. A 7 διαλεχθῆναι A 8 καλῇ FGMa 9 μαγνῖτις A 10 κύριος — ἐρωτώμενος (13) om. M 11 ἐθέλοι Aa 12 ἢ (prius) om. G καὶ om. F 14. 15 ἀποκρίνασθαι ἢ τὴν ἀπόφασιν iter. F 16 ὡς om. G εἰ οὖν b 18 ἢ b 19 εἰρημένα F μορ. εἰρ. (sed num. corr.) G 19. 20 προτεθέντος F 20 ἐλέγωμεν A (cf. p. 199, 21) 21 ἐρωτώμενος G ἀποκρίνεται (η superscr.) F καὶ om. F κατανεύσει AF¹ alt. ἢ] κατὰ AMa 23. 24 αἱ ἀποκρ. αἱ ἀρν. A 25 προτεθέντι F: προστεθέντι G 26 ἐν om. M οὖν F γινομ. GM 27 ἡ ἀπόκρ. a 28 ante μίαν add. πρὸς F 31 διώρισται πρότερον] p. 17ᵃ35 32 εἰ] ἡ A 33 τεθημένοις F

φησίν, ἀπόκρισις μία πρὸς ταῦτα (λέγει δὲ ταῦτα περὶ ὧν ἦν αὐτῷ προσεχῶς ὁ λόγος, τοῦτ' ἔστι τὰς ἐρωτήσεις τὰς πρότασίν τινα ἡμῖν προτιθείσας, δοκοῦσαν μὲν εἶναι μίαν κατ' ἀλήθειαν μέντοι οὖσαν πολλὰς κατὰ τοὺς ὀλίγῳ πρότερον παραδεδομένους περὶ αὐτῶν διορισμούς), καὶ τὴν αἰτίαν εὐθὺς προσέθηκε τοῦ μὴ δεῖν διὰ μιᾶς ἀποκρίσεως ἁπαντᾶν πρὸς τὰς τοιαύτας ἐρωτήσεις εἰπὼν οὐδὲ γὰρ ἡ ἐρώτησις μία. διὸ συμβαίνει τὸν πρὸς ταύτην ἀποκρινόμενον ἅμα καὶ ἀληθεύειν καὶ ψεύδεσθαι κατ' ἄλλο καὶ ἄλλο τῶν σημαινομένων ὑπὸ τῆς προτάσεως ἢ ὡς ὑποκειμένων ἢ ὡς κατηγορουμένων, ἢ ὁμωνύμων ὄντων, ὡς ἔμπροσθεν ἐλέγετο, ἢ καὶ διαφόροις ὀνόμασι καλουμένων τοῖς κατ' ἐνέργειαν ἐν τῇ προτάσει παρειλημμένοις, ὡς ἐν τοῖς προσεχῶς εἰρημένοις παρεδίδοτο· πῶς γὰρ ἄν τις ἀποκρίνοιτο διὰ μιᾶς ἀποκρίσεως πρὸς τὸν ἐρόμενον 'ἆρά γε Αἴας ἐμονομάχησεν Ἕκτορι;' ἢ 'ἆρά γε Σωκράτης λευκὸς βαδίζων ἐστίν;', εἰ τύχοι τῶν ἠρωτημένων τὸ μὲν ἕτερον ὑπάρχον αὐτῷ τὸ δὲ ἕτερον μὴ ὑπάρχον; ταῦτα δὲ καὶ Πλάτων πρὸ τοῦ Ἀριστοτέλους ἡμᾶς ἐδίδαξεν· ἐγκαλεῖ γοῦν ὁ ἐν τῷ Γοργίᾳ Σωκράτης τῷ Πώλῳ ἐρομένῳ αὐτὸν | εἰ μὴ δοκοῦσιν 161v αὐτῷ οἱ ῥήτορες ὥσπερ οἱ τύραννοι ἅπαντα ποιεῖν, ἃ βούλονταί τε καὶ δοκεῖ αὐτοῖς βέλτιστα εἶναι, ὡς πλείονας ἅμα ἐρωτήσεις ἐρομένῳ διὰ τὴν ἄγνοιαν τῆς διαφορᾶς τῆς τε βουλήσεως καὶ τῆς δοκήσεως. ἐπεὶ δὲ συμβαίνει πολλάκις κατὰ πάντα τὰ σημαινόμενα τῆς ἐρωτήσεως τὴν αὐτὴν ἀπόκρισιν ἀληθῆ τυγχάνειν, ὡς ἐπὶ τῆς 'ἆρά γε Αἴας ἐπὶ Ἴλιον ἐστράτευσε;' καὶ τῆς 'ἆρά γε Σωκράτης λευκὸς βαδίζων ἐστίν;', ὅταν ἄμφω τύχῃ ὑπάρχοντα τῷ Σωκράτει, διὰ τοῦτο διδάσκων ἡμᾶς μὴ κατὰ τύχην ἀλλὰ κατὰ τέχνην ὀρθὰς ποιεῖσθαι τὰς ἀποκρίσεις προστίθησι τὸ οὐδ' ἂν ᾖ ἀληθής, ὅπερ συντακτέον τῷ οὐκ ἂν εἴη ἀπόκρισις μία πρὸς ταῦτα· κἂν γὰρ ἀληθὲς ᾖ τὸ ἑνὶ λόγῳ συμφῆσαι τῷ ἐρομένῳ εἰ ἐπὶ Ἴλιον Αἴας ἐστράτευσεν, ἀλλὰ παραιτητέον τὸ οὕτως ἀποκρίνασθαι, ἵνα μὴ ἐθιζώμεθα παραβαίνειν τοὺς διαλεκτικοὺς κανόνας, καὶ πάντως ἐπισημαντέον ὅτι πολλὰ μὲν ἅμα ἠρώτησεν, οὐ δέον, συμβέβηκε δὲ πρὸς ἅπαντα τὰ ἐν τῇ ἐρωτήσει περιεχόμενα τὴν αὐτὴν ἀπόκρισιν ἁρμόττειν. ὥστε οὐδὲ πρὸς τὸν ἐρόμενον εἰ ὁ ἄνθρωπος καὶ ζῷον καὶ δίπουν καὶ ἥμερόν ἐστι μίαν ποιητέον ἀπόκρισιν, ἐπεὶ οὐδὲ αὕτη μία ἡ πρότασις. εἴρηται

---

2. 3 προτάσεις τινὰς ἡμῖν (ἡμῖν τινας M) πρ. δοκούσας Ma 3 προστεθείσας M: προτεθείσας a οὔσας AMa 4 ὀλίγον Ma πρότερον] p. 197, 10 7 ταύτης A 8. 9 ὡς τῶν ὑποκ. et ὡς τῶν κατηγ. F 9 ἢ (ante ὁμων.) om. F ἢ ὡς ὁμων. a ἔμπροσθεν ἐλέγετο] p. 17a35 10 κατ'] μετ' Aa 11 ἐν τοῖς προσεχῶς εἰρ.] p. 20b18 12 ἐρώμενον A 13 ἢ om. AM γε om. F λευκὸν βαδίζων (corr. βαδίζον) A εἰ τύχοι] ἡ τύχη A 14 τὸν ἠρωτημένων (corr. τῶν ἠρωτημένον) A: τῶν εἰρημένων F: τὸν ἠρωτημένον M 16 ὁ ἐν τῷ Γοργίᾳ Σωκρ.] p. 466 B sq. 18 ὡς] καὶ F 18. 26 ἐρωμένω A 21 ὡς iter. F ὕλιον A[1] 22 καὶ ἐπὶ τῆς a ὅτ' ἄμφω F 23 τύχοι AM: om. F 24 ὀρθὰς] ἡμᾶς M 25 ἐὰν ᾖ b ἀληθές Aa: ἀληθῶς G 26 συμφωνῆσαι F 28 ἐθιζώμεθα suppl. G[2] 29 δεόντως M 30 ἐν om. F ἁρμότειν A 32 αὐτὴ F: αὐτῆς G εἴρηται — πραγματείας (202, 1. 2) om. M

δὲ αὐτῷ περὶ τούτων ἐπὶ πλέον ἐν τῷ ὀγδόῳ βιβλίῳ τῆς Τοπικῆς πραγματείας.

Ἀλλ' ἐπειδὴ ἀμφισβητοῦσι πρὸς ἀλλήλους περὶ τῆς διαλεκτικῆς ἐρωτήσεως ὅ τε ἀπὸ τῆς Ἀφροδισιάδος ἐξηγητὴς καὶ ὁ θεῖος Ἰάμβλιχος, ὁ μὲν τῇ προκειμένῃ ἑπόμενος ῥήσει καὶ ἀξιῶν τοῦ ἑτέρου μόνον μορίου τῆς ἀντιφάσεως εἶναι τὴν | διαλεκτικὴν ἐρώτησιν, ὁ δὲ τοῖς λεγομένοις 162r περὶ αὐτῆς ἐν τῷ προοιμίῳ τῶν Ἀναλυτικῶν καὶ ἀξιῶν αὐτὴν τῆς ὅλης ἀντιφάσεως ἐρώτησιν εἶναι (ἔστι γάρ, φησὶν ἐν ἐκείνοις, ἡ διαλεκτικὴ πρότασις "πυνθανομένῳ μὲν ἐρώτησις ἀντιφάσεως, συλλογιζομένῳ δὲ λῆψις τοῦ φαινομένου καὶ ἐνδόξου"), φανερὸν ἐκ τῶν πρότερον εἰρημένων ὅπως διαιτήσομεν τῇ ἀμφισβητήσει· κατ' ἐνέργειαν μὲν γὰρ τὸ ἕτερον μόνον μόριον τῆς ἀντιφάσεως ἐρωτᾶσθαι χρή, εἰ μέλλοι πρὸς ἔπος ἀπαντᾶν ὁ τὸ ναί μόνον ἢ τὸ οὔ ἀποκρινόμενος, δυνάμει δέ γε καὶ τὸ ἕτερον προτείνεται· κἂν γὰρ εὑρίσκωμεν παρὰ τῷ θειοτάτῳ Πλάτωνί τινας ἐρωτήσεις τὴν ὅλην ἀντίφασιν κατ' ἐνέργειαν ἐρωτώσας, ὥσπερ ἐν Φαίδωνι "τί δὲ δὴ περὶ αὐτὴν τὴν τῆς φρονήσεως κτῆσιν, πότερον ἐμπόδιον τὸ σῶμα ἢ οὔ;" (πρὸς ὃ καὶ μάλιστα βλέπων ὁ μέγας Ἰάμβλιχος ἀποφαίνεται τὴν ὅλην ἀντίφασιν ἐν τῇ διαλεκτικῇ ἐρωτήσει περιλαμβάνεσθαι), ἀλλ' εἰδέναι χρὴ ὅτι οὐ διαγίνεται ὁ παρὰ Πλάτωνι Σωκράτης ἐν ταῖς πρὸς τοὺς κοινωνοῦντας αὐτῷ τῶν λόγων συνουσίαις κατὰ τὴν πρόθεσιν τοῦ κατὰ τὸν Ἀριστοτέλην καλουμένου διαλεκτικοῦ· ὁ μὲν γὰρ οὕτω λεγόμενος διαλεκτικὸς πρὸς νίκην μόνον ὁρᾷ τοῦ προσδιαλεγομένου καὶ τὸ περιαγαγεῖν αὐτὸν εἰς τὴν ἀντίφασιν, ὁ δέ γε Σωκράτης καὶ πταίοντας τοὺς προσδιαλεγομένους ἐπανορθοῖ καὶ τέλος τίθεται οὐ τὴν νίκην ἀλλὰ τὴν τῆς ἀληθείας κατάληψιν. ὥστε κἂν εὕρῃς τὴν ὅλην ἀντίφασιν αὐτὸν προτείνοντα, ἤτοι γυμνασίας ἕνεκα τῶν προσδιαλεγομένων εὑρήσεις τοῦτο ποιοῦντα ἢ εὐθὺς δια|σαφοῦντα πρὸς πότερον αὐτὸν μόριον τῆς ἀντιφάσεως 162v ἀποκρίνασθαι ἀξιοῖ, ἢ τὸν προσδιαλεγόμενον οὐ λέγοντα τὸ ναί μόνον ἢ τὸ οὔ, ἀλλὰ δηλοῦντα πρὸς πότερον μόριον τῆς ἀντιφάσεως ποιεῖται τὴν ἀπόκρισιν. ὅλως τε ἡ πρότασις ἡ διαλεκτικὴ προηγουμένως μὲν τῆς χρείας ἕνεκα τοῦ διαλεκτικοῦ συλλογισμοῦ παραλαμβάνεται καὶ ὡς μέρος τούτου γινομένη οὔτε τὸ 'ἆρά γε' προσκείμενον ἕξει καὶ θάτερον μόνον μόριον παραλήψεται τῆς ἀντιφάσεως τὸ τῷ προσδιαλεγομένῳ δοκοῦν· ἐπεὶ δὲ ὑφεῖται τῆς ἀποδεικτικῆς τῷ μὴ ἀπὸ τῶν πραγμάτων αὐτῶν ἀλλ' ἀπὸ τῶν συγχωρουμένων ὑπὸ τοῦ προσδιαλεγομένου λαμβάνεσθαι, διὰ τοῦτο

---

1 ἐν τῇ ὀγδόῳ (sic) βίβλῳ a (cf. Top. Θ 4 p. 159a16 sq.) 1. 2 πραγματίας F 3 ἀλλ' ἐπεὶ διαμφισβ. G 5 καὶ om. AM 6 τὴν] αὐτὴν a 7 τῶν Ἀναλυτ.] p. 24b10 9 μὲν om. A 11 γὰρ om. FG 12 μέλλοι] μέντοι G ἀπαντᾶ G 13 δέ om. M 14 προτείν.] ἀποκρίνεται M τινας] τὰς M 15 ἐν Φαίδωνι] p. 65 A 16 τί] ἔτι G: τὸ a ἐμπόδιον in mrg. suppl. M 17 μέγας] θεῖος G 20 αὐτοῦ τῷ λόγῳ F 21 λεγ.] διαλεγόμ. (sed corr.) G 27 αὐτὸν — πρὸς (29) in mrg. suppl. A αὐτῶν a; αὐτὸν ante πρὸς transponas 28 τὸ om. G alt. ἢ] καὶ M 29 ποιοῦντα G¹: ποιῆσαι G² 34 τῷ] τὸ F πραγμ.] προγυμνασμάτων M

καὶ προτίθεται δι' ἐρωτήσεως τῷ κοινωνῷ τῶν λόγων πρὸς ἐπίκρισιν τῆς ἐκείνῳ φαινομένης ἀληθείας οὐκ αὐτὴ μόνον ἀλλ', ὥσπερ εἴρηται, καὶ τὸ λοιπὸν τῆς ἀντιφάσεως μόριον καὶ τὸ 'ἆρά γε' προσλαμβάνει διὰ τὸ σχῆμα τῆς ἐρωτήσεως.

Ἀλλὰ τί ἐστιν ὅπερ ἐφεξῆς ὡς ἐν πορίσματος τάξει προτίθησιν ὁ Ἀριστοτέλης, ἅμα δὲ δῆλον λέγων ὅτι οὐδὲ τὸ τί ἐστιν ἐρώτησίς ἐστι διαλεκτική, καὶ τίνι τοῦτο ἕπεσθαι ἀξιοῖ; φανερὸν δὴ ὅτι τοῖς εἰρημένοις περὶ τῆς ἐρωτήσεως τῆς διαλεκτικῆς ὅτι ἐστὶν ἀποκρίσεως αἴτησις, ἢ τῆς προτάσεως ἢ θατέρου μορίου τῆς ἀντιφάσεως· εἰ γὰρ τοιαύτη μὲν ἡ διαλεκτικὴ ἐρώτησις, ὥστε διδόναι καὶ ἐπιτρέπειν τῷ προσδιαλεγομένῳ ὁπότερον ἂν βούληται τῆς ἀντιφάσεως μόριον ἀποκρίνασθαι, ἡ δὲ τοῦ τί ἐστιν ἐρώτησις οὐ τοιαύτη, ἀλλὰ διδασκαλίαν καὶ ὑφήγησιν τῆς τοῦ πράγματος φύσεως ἀπαιτοῦσα, | φανερὸν ὅτι ἡ τοῦ τί 163r ἐστιν ἐρώτησις οὐκ ἂν εἴη διαλεκτική. ἀλλ' εἴπερ ὅλως ἐθέλοιμεν σχηματίζειν τὴν περὶ τοῦ τί ἐστι πεῦσιν εἰς διαλεκτικὴν ἐρώτησιν, αὐτοὺς ἡμᾶς χρὴ τὸν δοκοῦντα ἡμῖν τοῦ πράγματος εἶναι ὁρισμὸν ἐνεργείᾳ προφερομένους ἐρωτᾶν, οἷον 'πότερον ὁ ἄνθρωπος ζῷον δίπουν ἥμερόν ἐστιν;', εἴπερ ἐθέλοιμεν τὴν κατάφασιν ἐρωτᾶν, ἢ 'πότερον ὁ ἄνθρωπος ζῷον δίπουν ἥμερον οὐκ ἔστιν;', εἰ περὶ τῆς ἀποφάσεως ἐθέλοιμεν πυνθάνεσθαι. ὅπερ αὐτὸς ἐνεδείξατο συντόμως διὰ τοῦ ἢ οὐ τοῦτο.

p. 20b31 Ἐπεὶ δὲ τὰ μὲν κατηγορεῖται συντιθέμενα ὡς ἓν τὸ πᾶν κατηγόρημα τῶν χωρὶς κατηγορουμένων, τὰ δὲ οὔ, τίς ἡ διαφορά; κατὰ γὰρ τοῦ ἀνθρώπου ἀληθὲς εἰπεῖν καὶ χωρὶς ζῷον καὶ χωρὶς δίπουν, καὶ ταῦτα ὡς ἕν, καὶ ἄνθρωπον καὶ λευκόν, καὶ ταῦτα ὡς ἕν. ἀλλ' οὐχὶ εἰ σκυτεὺς καὶ ἀγαθός, καὶ σκυτεὺς ἀγαθός· εἰ γὰρ διότι ἑκάτερον ἀληθές, εἶναι δεῖ καὶ τὸ συνάμφω, πολλὰ καὶ ἄτοπα ἔσται· κατὰ γὰρ τοῦ ἀνθρώπου καὶ τὸ ἄνθρωπος ἀληθὲς καὶ τὸ λευκόν, ὥστε καὶ τὸ ἅπαν. πάλιν εἰ τὸ λευκὸν αὐτό, καὶ τὸ ἅπαν, ὥστε ἔσται ἄνθρωπος λευκὸς λευκός, καὶ τοῦτο εἰς ἄπειρον. καὶ πάλιν μουσικὸς λευκὸς βαδίζων, καὶ ταῦτα πολλάκις πεπλεγμένα. ἔτι εἰ ὁ Σωκράτης Σωκράτης καὶ ἄνθρωπος, καὶ Σωκράτης Σωκράτης ἄνθρωπος. καὶ εἰ ἄνθρωπος

---

1 κοινῶ G¹ 2 ἐκείνων AGMa αὐτὸ G: αὐτῇ a ὥσπερ εἴρηται post μόριον (3) colloc. G εἴρηται] p. 202,11 5 ἐφεξῆς] ἐξ ἀρχῆς M ὡς om. AM 7 τούτῳ a δὴ] δὲ AF 11. 12 ἀποκρίνεσθαι F 15 post τὴν add. τοῦ F 17 ἐρωτῶν G¹ οἷον om. M 18 τὴν κατάφ.—ἐθέλοιμεν (19) iter. G 20 post διὰ τοῦ add. πότε τὰ ἴδια λεγόμενα ἅμα οὐ λέγονται G: in mrg. A ante ἢ add. τόδε F οὐ om. G 21 ὡς—δίπουν (p. 204,14) om. M 22 post κατηγόρημα add. γίγνεσθαι a 23 κατὰ—δίπουν (p. 204,14) om. a κατὰ] ἐπὶ G ἀληθῶς G 24 τὸ ζῶον G 25 οὐκ F 26 ὅτι b 28 ἀληθὲς om. G 32 συμπεπλεγ. FG post πεπλεγ. add. εἰς ἄπειρον b 33 σωκράτης (ante ἄνθρ.) in ras. F: om. A

καὶ δίπους, καὶ ἄνθρωπος δίπους. ὅτι μὲν οὖν εἴ τις ἁπλῶς φήσει τὰς συμπλοκὰς γίνεσθαι, πολλὰ συμβαίνει λέγειν ἄτοπα, δῆλον· ὅπως δὲ θετέον, λέγομεν νῦν. τῶν δὴ κατηγορουμένων καὶ ἐφ' οἷς κατηγορεῖσθαι συμβαίνει, ὅσα μὲν λέγεται κατὰ 163v
συμβεβηκὸς ἢ κατὰ τοῦ αὐτοῦ ἢ θάτερον κατὰ θατέρου, ταῦτα οὐκ ἔσται ἕν· οἷον ἄνθρωπος λευκός ἐστι καὶ μουσικός, ἀλλ' οὐχ ἓν τὸ λευκὸν καὶ τὸ μουσικόν· συμβεβηκότα γὰρ ἄμφω τῷ αὐτῷ. οὐδ' εἰ τὸ λευκὸν μουσικὸν ἀληθὲς εἰπεῖν, ὅμως οὐκ ἔσται τὸ μουσικὸν λευκὸν ἕν τι· κατὰ συμβεβηκὸς γὰρ τὸ μουσικὸν λευκόν, ὥστε οὐκ ἔσται τὸ λευκὸν μουσικὸν ἕν τι. διὸ οὐδὲ ὁ σκυτεὺς ἀγαθὸς ἁπλῶς, ἀλλὰ ζῷον δίπουν· οὐ γὰρ κατὰ συμβεβηκός. ἔτι οὐδ' ὅσα ἐνυπάρχει ἐν τῷ ἑτέρῳ· διὸ οὔτε τὸ λευκὸν πολλάκις οὔτε ὁ ἄνθρωπός ἐστι ζῷον ἢ δίπουν· ἐνυπάρχει γὰρ ἐν τῷ ἀνθρώπῳ τὸ ζῷον καὶ τὸ δίπουν.

Εἰπὼν ἐν τοῖς προλαβοῦσιν ὅτι τῶν διαφόρων κατὰ τοῦ αὐτοῦ κατηγορημάτων τὰ μὲν δύναται συμπλέκεσθαι καὶ μίαν τινὰ ἐξ ἁπάντων κατηγορίαν ποιεῖν τὰ δὲ οὐ δύναται, καὶ μηδένα ἡμῖν κανόνα ἐν ἐκείνοις παραδοὺς τῆς τούτου διακρίσεως, ἀλλ' εὐθὺς μεταβὰς ἐπὶ τὴν διδασκαλίαν τοῦ θεωρήματος, πρὸς ὅπερ ἦν ἐκεῖνο χρήσιμον, λέγω δὲ τὸ μὴ δεῖν μίαν ποιεῖσθαι ἀπόκρισιν πρὸς τὴν μὴ οὖσαν μίαν ὄντως ἐρώτησιν, βούλεται λοιπὸν διὰ τούτων τὸ ἐν ἐκείνοις παραλελειμμένον προσθεῖναι. καὶ λαβὼν ὡς ὁμολογούμενον ὅτι τῶν κατὰ τοῦ αὐτοῦ κατηγορηθέντων πλειόνων ὀνομάτων τε καὶ πραγμάτων τὰ μὲν δύναται συντιθέμενα ἀλλήλοις καὶ ὥσπερ συμφυόμενα ἕν τι ποιεῖν ἅπαν τὸ ἐξ αὐτῶν κατηγόρημα, ὥσπερ ἐλέγομεν ἐπὶ τοῦ ζῷον δίπουν ἤμερον, τὰ δὲ οὐ δύναται | ὡς ἐπὶ τοῦ λευκοῦ καὶ 164r
τοῦ βαδίζειν, ἀξιοῖ ζητεῖν τίς ἡ διαφορά, τοῦτο δέ ἐστι τί τὸ αἴτιον τῆς τοιαύτης διαφορᾶς καὶ διὰ τίνα αἰτίαν τάδε μέν τινα συμφύεται τάδε δὲ οὔ. πρῶτον δὲ παρίστησιν ὅτι ἔστιν ὄντως ἡ τοιαύτη ἐν τοῖς πλείοσι κατηγορουμένοις διαφορά, ἡ κατὰ τὸ πεφυκέναι συντίθεσθαι λέγω καὶ μὴ πεφυκέναι, πρὶν ἐπισκέψασθαι αὐτῆς τὴν αἰτίαν, ἐπεὶ καὶ ἦν ἀκόλουθον τὸ ὅτι ἡμᾶς πρὸ τοῦ διότι μανθάνειν. ὅτι μὲν οὖν πεφύκασί τινα συντίθεσθαι πρὸς μιᾶς κατηγορίας γένεσιν, δείκνυσι τό τε ζῷον καὶ τὸ δίπουν λαμβάνων, ἅπερ οὐ διακεκριμένως μόνον ἀλλὰ καὶ ἅμα τοῦ ἀνθρώπου

1 καὶ ἄνθρ. δίπ.] καὶ εἰ ἄνθρ. δίπους καὶ ἄνθρ. δίπ. G: καὶ ἄνθρ. ἄνθρ. δίπ. b ὅτι—δίπουν (14) om. G 6 ἔσται] ἔστιν F 9 ἔστι A λευκὸν om. A 10 τὸ μουσ. λευκ.] τὸ λευκ. μουσ. colloc. F 11 ὁ om. A ἁπλ. ἀγαθός colloc. b οὐ] οὐδὲ F 13 ἄνθρωπος ἄνθρωπος b ἐστι om. F: post ζῷον colloc. b 14 τὸ δίπουν καὶ τὸ ζῷον colloc. F 15 ἐν τοῖς προλαβοῦσι] p. 20b13 sq. 18 τούτων Aa 19 δὲ] δὴ a δεῖν] δὲ G 23 ante συντιθ. add. καὶ AMa 24 ἐλέγομεν] p. 198, 22 26 τί om. AFG 27 τάδε (alt.)] τὰ GMa 28 παρίστισιν A ὄντως ἡ τοι— superscr. G 29 κατηγορουμένη A 33 διακεκριμμένως G μόνον om. F

κατηγορεῖται, ὅταν ζῷον δίπουν εἶναι αὐτὸν ἀποφαινώμεθα, καὶ πάλιν τὸν ἄνθρωπον καὶ τὸ λευκόν, ἅπερ κατηγορεῖται τοῦδε τοῦ ἀνθρώπου διακεκριμένως τε καὶ συμπλεπλεγμένως, ὁπόταν λέγωμεν 'ὁ Σωκράτης ἄνθρωπος λευκός ἐστιν'. ὅτι δὲ ἔστιν ἃ συντίθεσθαι ἀδυνάτως ἔχει, δείκνυσιν ἐπὶ ὑποθέσεως σκυτέα τινὰ λαμβάνων τὴν μὲν τέχνην οὐκ ἀκριβώσαντα τὸ δὲ ἦθος ἐπιεικῶς διακείμενον, ὁποῖος δοκεῖ γεγονέναι ὁ Σίμων ὁ τῷ Σωκράτει γνώριμος· κατὰ γὰρ τούτου τὸ μὲν ὅτι σκυτεύς καὶ τὸ ὅτι ἀγαθός ἰδίᾳ ἑκάτερον ἀληθῶς κατηγορήσεις, τὸ δὲ ἐξ ἀμφοῖν συγκείμενον ὅτι ἐστὶ σκυτεὺς ἀγαθός οὐκέτι· καθ' ἑαυτὸ μὲν γὰρ τὸ ἀγαθὸν ὁτουοῦν τῶν καθ' ἕκαστα ἀνθρώπων κατηγορούμενον ὡς ἀνθρώπου κατηγορεῖται καὶ τὸ εἶδος αὐτοῦ τῆς ζωῆς σημαίνει, συντιθέμενον δὲ μετὰ τοῦ σκυτέως καὶ οὕτω κατηγορούμενον οὐκέτι πρὸς τὸ εἶδος ἐξακούεται τῆς τοῦ ἀνθρώπου ζωῆς, ἀλλὰ πρὸς τὸ ποιὸν τῆς | τέχνης. διὸ καὶ ὁ παρὰ Πλάτωνι Γορ- 164ᵛ γίας οὐ ῥήτωρ ἁπλῶς, ἀλλὰ τὸ ὅλον τοῦτο 'ῥήτωρ ἀγαθός' ὑπὸ τοῦ Σωκράτους ἠξίου προσαγορεύεσθαι, ταύτῃ διακρίνων ἑαυτὸν ἀπὸ τῶν μοχθηρῶς τῇ τέχνῃ χρωμένων.

Ἐπεὶ δὲ εἰκὸς ἦν τῶν ἁπλούστερον διακειμένων τινὰς ὑπολαβεῖν ὅτι χρὴ πάντως τὰ ἰδίᾳ κατηγορούμενα καὶ ἅμα κατηγορεῖσθαι καὶ ἀποκληρωτικὸν οἰηθῆναι τὸ λέγειν ἡμᾶς ἐπὶ τινῶν μὲν ἐνδέχεσθαι τοῦτο ἐπὶ τινῶν δὲ μηκέτι καὶ πρὸς τὸ περὶ τοῦ σκυτέως καὶ τοῦ ἀγαθοῦ εἰρημένον πειρᾶσθαι διαφιλονεικεῖν, διὰ τοῦτο παριστὰς ἡμῖν τὸ ἀναγκαῖον τοῦ κινουμένου θεωρήματος δείκνυσιν ὅσα ἕπεται ἄτοπα τοῖς οὕτως ὑπολαμβάνουσι καί φησιν εἰ γὰρ διότι ἑκάτερον ἀληθές (ᾧ προσυπακούειν χρὴ 'τῶν ἰδίᾳ κατηγορουμένων'), εἰ οὖν διὰ τοῦτο εἶναι δεῖ καὶ τὸ συνάμφω (κἂν τούτῳ πάλιν ὑπακουομένου τοῦ ἀληθές), ⟨εἰ οὖν⟩ εἶναι δεῖ καὶ τὸ συναμφότερον κατηγόρημα ἀληθές, πολλὰ ἄτοπα συμβήσεται· καὶ γὰρ ἀδολεσχεῖν δεήσει τὸν οὕτως ὑπολαμβάνοντα καὶ ἀδιανόητα λέγειν πρὸς τῷ ἀδολεσχεῖν καὶ παρέλκοντά τινα καὶ μάταια· κατὰ γὰρ Σωκράτους τό τε ἄνθρωπος καὶ τὸ λευκὸς ἀληθῶς κατηγορήσαντες καὶ τὸ συναμφότερον ἀληθῶς κατηγορήσομεν, ὅτι ἐστὶν ἄνθρωπος λευκός. ἀλλ' εἰ πάντα τὰ κεχωρισμένως κατηγορούμενα καὶ συντεθέντα κατηγορεῖσθαι δυνατόν, ἐὰν πρὸς ταύτῃ τῇ συνθέτῳ κατηγορίᾳ λάβωμεν πάλιν τὸ λευκὸν αὐτὸ καθ' αὑτὸ τοῦ Σωκράτους κατηγορούμενον, δεήσει πάλιν ἐξ ἀμφοτέρων τῶν κατηγοριῶν, τῆς τε συνθέτου καὶ τῆς ἁπλῆς, μίαν γίνεσθαι | τὴν ὅλην κατηγορίαν, ὥστε 165ʳ

---

4 ἔχειν A post ἔχει add. καὶ ἴδια κατηγορούμενα, οὐχὶ καὶ (καὶ om. F) ἅμα κατηγορεῖται FG 5 λαμβανούσης AG²Ma 6 ὁ Σίμων] cf. Zelleri Phil. Gr. II³ p. 206 9 ἑαυτὸν G 10 ὡς ἄνθρωπον οὐ κατηγορεῖται G 12 τοῦ om. A 13 post τέχνης add. δηλούσης τῆς προτάσεως ὡς ὁ σίμων κατὰ τὴν σκυτοτομικὴν ἀγαθός ἐστιν, ὅπερ οὐχ ὑπέκειτο FG 13. 14 ὁ παρὰ Πλάτωνι Γοργίας] Gorg. p. 449 A 15 διακρίνον G¹ αὐτὸν M 15. 16 μοχθηρῶν G¹ 17 ἁπλουστέρως GF: ἁπλούστερα a 21 δι' αὐτοῦ AM παριστῶν FG κινουμ.] οἰκείου G 23 ὅτι b 24 συνάμφω — καὶ τὸ (25) om. M κἂν] καὶ AGa 25 τούτῳ om. G τοῦ] τὸ G τοῦ εἰ ἀλ. a εἰ οὖν addidi 27 τῷ] τὸ G 30 ἐστὶν om. FG 31 συντιθέντα M 34 γενέσθαι F τὴν ὅλην om. F

λέγεσθαι ὅτι ἐστὶν ὁ Σωκράτης ἄνθρωπος λευκὸς λευκός, καὶ τοῦτο εἰς ἄπειρον, ὅπερ ἐστὶν ἐναργῶς ἀδολεσχούντων. πάλιν εἰ τὸ μουσικός καὶ τὸ λευκός καὶ τὸ βαδίζων οὐ μόνον κεχωρισμένως ἀλλὰ καὶ ἅμα κατηγοροῦνται τοῦ Σωκράτους, ἐὰν πρὸς τῇ συνθέτῳ ἐκ τούτων κατηγορίᾳ τὸ λευκὸν πάλιν αὐτὸ καθ' αὑτὸ κατηγορήσωμεν, ἐροῦμεν ὅτι ἐστὶ μουσικὸς λευκὸς βαδίζων λευκός, καὶ πάλιν τοῦ μουσικοῦ, εἰ τύχοι, καθ' αὑτὸ κατηγορηθέντος, μουσικὸς λευκὸς βαδίζων λευκὸς μουσικός, καὶ ταῦτα, ὅπερ αὐτός φησι, πολλάκις πεπλεγμένα. ὡς πρὸς τῷ ἀδολεσχεῖν καὶ ἀδιανόητον γίνεσθαι τὴν κατηγορίαν. τούτοις δὲ ἄλλο τι τρίτον ἄτοπον προστιθεὶς τοῦ ὁρωμένου φησὶ κατηγορεῖσθαι τυχὸν τὸ ὅτι Σωκράτης ἐστί καὶ ὅτι ἄνθρωπος, ὥστε δεήσει λέγειν καὶ ὅτι ὁ ὁρώμενος Σωκράτης ἄνθρωπός ἐστι. καὶ πάλιν τοῦ Σωκράτους τὸν μὲν ἄνθρωπον καὶ τὸ δίπουν ἰδίᾳ ἑκάτερον ἀμέμπτως κατηγορήσεις, οὐκέτι μέντοι τὸ ἐξ ἀμφοῖν, ὅπερ ἐστὶν ἄνθρωπος δίπους· ἄλογα γὰρ ταῦτα καὶ παντάπασι παρέλκοντα, εἴπερ ἐναργὲς ὅτι τόν τε Σωκράτην ἄνθρωπον εἶναι ἀνάγκη καὶ τὸν ἄνθρωπον δίποδα· εἰ γὰρ καὶ πεφύκασιν, ὅπερ ἐλέγομεν, ἢ ἁπλῶς ἢ κατὰ μέρος συμφύεσθαι πρὸς ἄλληλα τὰ κατ' οὐσίαν κατηγορούμενα, ὡς τό τε γένος καὶ αἱ εἰδοποιοὶ διαφοραί, ἀλλ' οὐ κατὰ τὴν τυχοῦσαν δεῖ αὐτὰ συνείρειν πρὸς ἄλληλα τάξιν· οὐ γὰρ προτάξομεν τὰ μερικώτερα καὶ ἐπὶ τούτοις θήσομεν τὰ καθολικώτερα καὶ ἐξ ἀνάγκης αὐτοῖς ἑπόμενα, ἀλλ' ἔμπαλιν τὰ καθολικώτερα προτάξομεν τῶν μερικωτέρων.

Διὰ τούτων οὖν | ἐπιδείξας ἀναγκαῖον ὄντα τὸν περὶ τούτων διορι- 165ᵛ
σμόν, ἑξῆς αὐτὸν παραδίδωσι λέγων ὅτι τῶν κατηγορουμένων κατά τινων ὑποκειμένων, ἃ ἐκάλεσεν ἐφ' οἷς κατηγορεῖσθαι συμβαίνει, τοῦτ' ἔστι καὶ τῶν ὑποκειμένων καθ' ὧν τὰ κατηγορούμενα κατηγορεῖσθαι συμβαίνει, ἐκ τούτων οὖν τῶν κατηγορουμένων τὰ μὲν καθ' αὑτὸ κατηγορεῖται τῶν οἰκείων ὑποκειμένων τὰ δὲ κατὰ συμβεβηκός. τὰ μὲν οὖν κατὰ συμβεβηκός, περὶ ὧν πρῶτον ποιεῖται τὸν λόγον, εἴτε ἄμφω τοῦ ὑποκειμένου κατὰ συμβεβηβὸς κατηγορούμενα λαμβάνοιτο εἴτε τὸ μὲν ἕτερον τοῦ ὑποκειμένου καὶ ἐν ᾧ τὸ εἶναι πεφύκασιν ἔχειν τὸ δὲ ἕτερον τοῦ ἑτέρου, κατ' οὐδένα τρόπον μίαν κατηγορίαν ποιήσουσιν· οὔτε γὰρ εἰ τοῦ Σωκράτους τό τε μουσικὸν καὶ τὸ λευκὸν κατὰ συμβεβηκὸς κατηγορήσῃς, μίαν γινομένην εὑρήσεις τὴν ἐξ αὐτῶν κατηγορίαν, οὔτε εἰ τὸ μὲν μουσι-

1 λευκός (alt.) om. Ma 2. 3 μουσικὸν καὶ τὸ λευκὸν καὶ τὸ βαδίζον FG 3 οὐ μόνον οὐ AMa 4 κατηγορίαν F 5 ἐστὶ om. a 6 καθ' αὑτοῦ AM 7 ante prius μουσικὸς add. τοῦ M 8 ἀδιανόητα Ma 9 post προστιθεὶς iter. τούτοις — ἄτοπον del. G 11 ὁ om. M 12 τὸν] τὸ M post ἰδίᾳ add. μὲν G² 13 post κατηγ. add. καὶ G² ὅπερ] ὅτι FG 14 παντάπ.] παρὰ πᾶσι G 15 ἐναργῶς ἐστιν G 16 πεφύκασι μὲν γὰρ (εἰ γὰρ καὶ om.) AM: εἰ γὰρ καὶ πεφ. μὲν γὰρ a ὅπερ ἐλέγομεν] p. 197,35 ἢ ἁπλῶς ἢ κατὰ μέρος om. A¹FG¹ 19 πρὸς ἄλληλα om. FG¹ 20 καθ.] κοινότερα (superscr. καθολικῶς) A 24. 25 τοῦτ' ἔστι — συμβαίνει (25. 26) om. A¹FG¹M 25 καὶ] corrigas κατὰ κατηγορεῖσθαι om. G 26 ἐκ om. FG¹ 27 οἰκείων] ἰδίων M 27. 28 τὰ μὲν οὖν κατὰ συμβεβηκός om. Ma 30 πεφ. τὸ εἶναι colloc. M 32 τε om. F

κὸν τοῦ Σωκράτους· τὸ δὲ λευκὸν τοῦ μουσικοῦ κατηγορούμενον λάβοις, οὐδὲ οὕτως. ταύτην δὲ τὴν ὑπόθεσιν ἐκ περιουσίας ἔλαβεν ὁ Ἀριστοτέλης, ἐπεὶ ἀνάγκη τὸ λευκὸν προηγουμένως κατηγορεῖσθαι Σωκράτους, ὥσπερ τὸ μουσικόν (οὐ κατ' οὐσίαν μὲν ἅτε ὂν συμβεβηκός, κατὰ φύσιν μέντοι, διότι πεφύκασι τὰ συμβεβηκότα καὶ ὑφίστασθαι ἐν τοῖς σφετέροις ὑποκειμένοις καὶ κατηγορεῖσθαι κατ' αὐτῶν), τοῦ δὲ μουσικοῦ μηκέτι προηγουμένως μηδὲ κατὰ φύσιν, ἀλλὰ τῷ ὄντι κατὰ συμβεβηκός, διότι ἄμφω συνέβη συνδραμεῖν ἐν τῷ αὐτῷ ὑποκειμένῳ. καὶ ὅλως ἀνάγκη τὰς διαζευκτικῶς εἰρημένας ὑπὸ τοῦ Ἀριστοτέλους ὑποθέσεις ἕπεσθαι ἀλλήλαις· εἴτε γὰρ τοῦ αὐτοῦ ὑποκειμένου | δύο συμβεβηκότα κατηγοροῖντο, 166ʳ πάντως καὶ ἀλλήλων κατὰ συμβεβηκὸς κατηγορηθήσονται (κἂν τὸ μὲν οὐσιῶδες ᾖ τὸ δὲ συμβεβηκός, τὸ μὲν συμβεβηκὸς τοῦ οὐσιώδους κατὰ φύσιν κατηγορηθήσεται τὸ δὲ οὐσιῶδες τοῦ συμβεβηκότος παρὰ φύσιν, οἷον ὁ ἄνθρωπος τοῦ λευκοῦ τῷ ὄντι κατὰ συμβεβηκός), εἴτε ἐξ ἀρχῆς λαμβάνοιμεν τὸ ἕτερον τῶν συμπληρούντων τὴν κατηγορίαν περὶ ἧς ζητοῦμεν (εἴτε μία ἐστὶν εἴτε μή) τοῦ λοιποῦ κατὰ συμβεβηκὸς κατηγορούμενον, ἀνάγκη πρότερον εἰλῆφθαι αὐτὸ τοῦ ὑποκειμένου καθ' αὑτὸ κατηγορηθέν· αὐτὸ γὰρ τοῦτό ἐστι τὸ νῦν ζητούμενον, πότε τὰ ἰδίᾳ κατηγορηθέντα καὶ συμπλακέντα δύναται κατηγορεῖσθαι. καὶ μήποτε χρὴ τῆς ῥήσεως οὐ διαζευκτικῶς ἀκούειν ἀλλὰ τὸ ἤ λέγειν ἀντὶ τοῦ καί παρειλῆφθαι, ὡς καὶ παρ' Ὁμήρῳ τὸ

ἢ νέος ἠὲ παλαιός

ἀντὶ τοῦ 'καὶ νέος καὶ παλαιός', καὶ ὡς εἰώθασιν ἔνια τῶν συγγραμμάτων ἐπιγράφειν οἱ ἀρχαῖοι "Νικοκλῆς ἢ Συμμαχικός" καὶ "Φαίδων ἢ Περὶ ψυχῆς", οὐκ ἀντιδιαστέλλοντες ἀλλ' ἑκατέρῳ τῶν ὀνομάτων καλεῖν ἡμῖν τὸν λόγον ἐπιτρέποντες, ὡς εἶναι τὸ λεγόμενον 'καὶ κατὰ τοῦ αὐτοῦ καὶ θάτερον κατὰ θατέρου'.

Τί οὖν τὸ αἴτιον τοῦ μὴ πεφυκέναι συνδυάζεσθαι τὰ οὕτω κατηγορούμενα; ὅτι παντάπασιν ἀπηρτημένην ἀλλήλων ἔχουσι τὴν φύσιν ὑπὸ διαφόρους ἐνίοτε τελοῦντα κατηγορίας, καὶ κίρνασθαι αὐτὰ πρὸς ἄλληλα ἐπὶ τῷ μίαν ἐργάσασθαι φύσιν ἀδύνατον. εἰ δὲ ταῦτα οὕτως ἔχει, δῆλον ὅτι ὀρθῶς ἐλέγομεν πρότερον ὡς παρὰ τὸ ἔστιν οὐδὲν ἄλλο προσκατηγορεῖσθαι δυνατὸν ἐν ταῖς προ|τάσεσιν, οἷον τὸ βαδίζειν· ἐν γὰρ τῷ 'ἄνθρωπος 166ᵛ δίκαιος βαδίζει' εἰ τὸ μὲν δίκαιος κατηγορεῖσθαι λέγοις τὸ δὲ βαδίζει

---

1 λάβῃς AG 5 σφαιτέροις F 6 μηκέτι superscr. A 8 συμβαίνει a ὅλως] οὕτως M 9 διαζευκτικὰς G εἰρημ.] γρ. διακεχωρισμένας in mrg. A 12 τὸ δὲ κατὰ συμβ. FG¹ τὸ μὲν οὖν FG 13 παρὰ φύσιν om. A¹FG 17 αὐτὸ] ἀπὸ M 18 ἴδια libri 19 πότε μὴ F χρὴ δὲ F τῆς ῥήσεως om. M 21 παρ' Ὁμήρῳ] Ξ 108 22 ἢ] ἠὲ AMa ἠὲ καὶ παλ. FG 23 καὶ (primum) om. M 24 Νικοκλῆς ἢ Συμμαχικός] Isocratis orationem spectans aut Νικοκλῆς ἢ Κύπριοι (III) aut Περὶ εἰρήνης ἢ Συμμαχικός (VIII) scribere debebat συμμαχ.] λυσίμαχος Ma 24. 25 Φαίδων ἢ Περὶ ψ.] Platonis dialogus 26 καὶ om. F 29 καὶ ἀλλ. M 31 τὸ FG 32 ἐλέγομεν] p. 165,29 176,25 34 βαδίζει (pr. l.) — λέγοις om. A βαδίζειν (alt. l.) FG

προσκατηγορεῖσθαι, οὐκ ἔσται μία ἡ τοιαύτη πρότασις· ἄμφω γὰρ κατὰ συμβεβηκὸς τοῦ ἀνθρώπου κατηγορούμενα κίρνασθαι ἀλλήλοις πρὸς μιᾶς κατηγορίας γένεσιν οὐ πεφύκασι. τὸ δὲ ἔστιν ἅτε οὐκέτι καθ' αὑτὸ τοῦ ὑποκειμένου μόνον κατηγορούμενον, ὥσπερ τὸ βαδίζει καὶ τῶν ἄλλων ῥημάτων ἕκαστον, ἀλλὰ μόνου τοῦ συνδῆσαι τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ χάριν παραλαμβανόμενον συμφύεσθαί τε μόνον τῶν ῥημάτων πρὸς τὸ κατηγορούμενον πέφυκεν. αὐτὸ προσκατηγορεῖσθαι λεγόμενον, καὶ μίαν τήν τε κατηγορίαν ποιεῖν καὶ διὰ τοῦτο τὴν ὅλην πρότασιν. ἆρ' οὖν, φασί τινες, οὐδὲ ὁ λέγων 'Ἱπποκράτης ἀγαθὸς ἰατρός ἐστιν' ἢ 'Ζεῦξις ἀγαθὸς ζωγράφος ἐστί' μίαν εἶπε κατηγορίαν, ἐπεὶ ἑκάτερον, τό τε ἀγαθὸν λέγω καὶ ἡ τέχνη, συμβέβηκε τῷ ὑποκειμένῳ; ἢ ἐπὶ τούτων ἄλλο μέν ἐστι τὸ καθ' αὑτὸ κατηγορούμενον ἀγαθὸν ἄλλο δὲ τὸ τῇ βαναύσῳ τέχνῃ συμπλεκόμενον· τὸ μὲν γὰρ καθ' αὑτὸ κατηγορούμενον, ὅπερ καὶ πρότερον ἐλέγομεν, τὴν ζωὴν αὐτὴν σημαίνει τῆς ψυχῆς, τὸ δέ γε τῇ τέχνῃ συμπλεκόμενον οὐκέτι, ἀλλ' ἔοικεν ὥσπερ γένος τι τῆς τέχνης ἢ τῶν μετιόντων τὰς τέχνας παραλαμβάνεσθαι· κατὰ πάσας μὲν γὰρ τὰς κατηγορίας θεωρεῖται τὸ ἀγαθόν. ἀλλὰ τὸ ἐν ποιῷ συνδιαιρεῖται τοῖς μετέχειν αὐτοῦ πεφυκόσιν. ἀνάγκη οὖν εἶναί τι καὶ περὶ ψυχὴν θεωρούμενον ἀγαθόν, ὅπερ ἢ κατὰ τὴν ζωὴν λαμβάνεται τῆς ψυχῆς ἢ κατὰ τὴν γνῶσιν, καὶ ταύτην ἢ ἐπιστημονικήν, | φέρε εἰπεῖν, ἢ τεχνικήν. ὥσπερ οὖν τὸ ποιὸν 167r γένος εἶναί φαμεν τοῦ τεχνίτου, οὕτω καὶ τὸ ἐν ποιῷ ἀγαθὸν γένος εἶναι ἀνάγκη τοῦ κατὰ τὸν τεχνίτην ἀγαθοῦ. καθ' αὑτὸ οὖν ἐνταῦθα τὸ ἀγαθὸν τοῦ ἰατροῦ καὶ τοῦ ζωγράφου καὶ ἁπλῶς τοῦ τεχνίτου κατηγορούμενον μίαν εἰκότως ἐργάζεται τὴν κατηγορίαν, ὡς εἰ λέγοιμεν 'τὸ ὁρώμενον χρῶμα λευκόν ἐστιν'· ἔστι γὰρ καὶ συμβεβηκὸς καθ' αὑτὸ κατηγορεῖν, ὅταν εἴδους τινὸς ἑαυτοῦ κατηγορῆται, καὶ οὐσίαν κατὰ συμβεβηκός, ὅταν αὐτὴν τοῦ συμβεβηκότος κατηγορήσωμεν, ὡς ὅταν τὸ λευκὸν φῶμεν ξύλον εἶναι. διώρισται δὲ περὶ τούτων ἐπὶ πλεῖον ἐν τῷ προτέρῳ βιβλίῳ τῶν Ἀποδεικτικῶν. καὶ τοῦτο τὸ ἀγαθὸν οὐκέτι ἔσται τῶν προηγουμένως τοῦ ὑποκειμένου κατηγορουμένων, ἀλλ' εἴπερ, κατὰ συμβεβηκὸς διὰ τὴν προηγουμένως κατηγορουμένην αὐτοῦ τέχνην. διὸ οὐδὲ μόνον ληφθὲν δύναται κατηγορεῖσθαι, ὥσπερ οὐδὲ τὸ αὐτόθεν τοῦ ὑποκειμένου κατηγορηθὲν ἀγαθὸν τέχνης ἔτι προηγουμένως κατηγορεῖται, ἀλλὰ κατὰ

---

1 ἔστι AMa τοιαύτη] αὐτὴ FG 3 οὐκέτι] μὴ ὂν FG 4 μόνου AM: μὲν οὐ F κατηγοροῦμεν FG 5 μόνον FGa 6 παραλαμβάνομεν FG 9 ζεύξης G 10 τὴν κατηγ. F 12 post ἐστι add. πεπλεγμένον del. G 13 συμπεπλεγμένον FG ante μὲν add. κατηγορούμενον ἀγαθὸν del. A 13. 14 πρότ. ἐλέγομεν] p. 205,9 14. 15 συμπεπλεγμένον F 15 γένος] μέρος F τι om. A 16 alt. τὰς om. FMa 18 τῇ ψυχῇ (περὶ om.) a 21 post τεχνίτου add. τὸ ποιὸν M ἐν τῷ ποιῷ A 22. 23 τὸ ἀγαθὸν om. FG¹ 25 καὶ om. FG 26 κατηγορεῖται G 28. 29 ἐν τῷ προτ. β. τῶν Ἀποδ.] Anal. post. A 22 p. 83a1 sq. 29 τοῦτο] γοῦν F τὸ om. M 32 αὐτόθεν] αὐτὸ παρὰ G 33 ἔτι] οὕτω M post ἔτι add. οὐ F: οὐδὲ G

συμβεβηκός, ὡς ἐπὶ τοῦ σκυτεὺς ἀγαθός. διὸ οὐδὲ δύναται συνδυασθὲν αὐτῇ μίαν ποιῆσαι τὴν ὅλην κατηγορίαν. ἀλλὰ πῶς ἐκ τοῦ ἀνθρώπου καὶ τοῦ λευκοῦ μίαν φαμὲν γίνεσθαι κατηγορίαν, εἴπερ μήτε ἄμφω καθ' αὑτὸ κατηγοροῦνται τοῦ Σωκράτους, ἀλλὰ καὶ θάτερον κατὰ θατέρου κατὰ συμβεβηκός; ἢ διότι οὐκ ἄμφω συμβεβηκότα εἰσὶ τῷ ὑποκειμένῳ, ὅτε καὶ ἑκάτερον αὐτῶν συμβαίνει τοῦ λοιποῦ παρὰ φύσιν κατηγορεῖσθαι καὶ τῷ ὄντι κατὰ συμβεβηκός, τῶν δὲ κατὰ τοῦτον μόνον τὸν τρόπον κατηγορουμένων ἀπεγίνωσκεν ὁ | Ἀριστοτέλης ὡς συμφύεσθαι πρὸς ἄλληλα μὴ 167v δυναμένων, ἐπεὶ τὸ λευκὸν τῷ ἀνθρώπῳ συνδυάζεσθαι πεφυκὸς καὶ ποιότητα αὐτοῦ σημαῖνον, οὐ τὴν οὐσιώδη ἀλλὰ τὴν οἷον ἐπιπολῆς τὴν κατὰ τὸ ἁπλῶς λεγόμενον ποιόν, εἰκότως μετ' αὐτοῦ μίαν ποιεῖ κατηγορίαν οὐσίαν μίαν σημαίνουσαν, οὐ τὴν ἁπλῆν ἀλλὰ τὴν τινὰ λεγομένην.

Ταῦτα περὶ τῶν κατὰ συμβεβηκὸς κατηγορουμένων καὶ συνδυάζεσθαι μὴ πεφυκότων διορισάμενος καὶ εἰπὼν ὅτι διὰ τοῦτο οὐχ ἁπλῶς ἀληθὲς τὸ σκυτεὺς ἀγαθός, τοῦτ' ἔστιν οὐκ ἀεὶ ἀληθές, ἐπειδὴ ποτὲ συνδραμεῖν αὐτὰ οὐ θαυμαστόν, ἐπάγει ἀλλὰ ζῷον δίπουν· οὐ γὰρ κατὰ συμβεβηκός, δυνάμει λέγων ὅτι 'τὰ δὲ μὴ κατὰ συμβεβηκὸς ἀλλὰ καθ' αὑτὰ κατηγορούμενα συντίθεσθαι πρὸς ἄλληλα καὶ μίαν ποιεῖν κατηγορίαν δυνατόν', ἀλλ' οὐδὲ ταῦτα ὡς ἔτυχε λαμβανόμενα οὐδὲ κατὰ τὴν τυχοῦσαν συμπλεκόμενα πρὸς ἄλληλα τάξιν· οὐ γὰρ δὴ τὰ ἤδη ἐν τῇ ἑτέρᾳ τῶν κατηγοριῶν εἰλημμένα, ἢ κατ' ἐνέργειαν ἢ κατὰ δύναμιν, πάλιν ληψόμεθα, ἵνα μὴ ἀδολεσχῶμεν ἢ παρέλκοντά τινα λέγειν ἀναγκαζώμεθα, ὅπερ ἐστὶ πάλιν ἀδολεσχεῖν· οἷον εἰπόντες ὅτι ἐστὶν ὁ ἄνθρωπος ζῷον δίπουν οὐ ληψόμεθα πάλιν τὸ δίπουν καθ' ἑαυτὸ διὰ τὸ κατ' ἐνέργειαν ἐν τῇ προτέρᾳ εἰλῆφθαι κατηγορίᾳ, καὶ εἰπόντες ὅτι ἐστὶν ὁ Σωκράτης ἄνθρωπος οὐ ληψόμεθα ἑτέραν κατηγορίαν ὡς συμπλέκεσθαι πρὸς τὸν προτέραν ὀφείλουσαν, ὅτι ἐστὶ δίπους ἢ ζῷον, διὰ τὸ δυνάμει τούτων ἑκάτερον ἐν τῇ προτέρᾳ κατηγορίᾳ τῇ τοῦ ἀνθρώπου προειλῆφθαι. |

---

1 οὐδὲ] οὐ a 3 μήτε] μήπως F 4 κατὰ (alt.) superscr. A: καὶ FG¹ 5 ὅτε] ὅτι G 6 αὐτῶν om. G post φύσιν add. εἶναι del. G 7 τὸν τρόπον μόνον colloc. FG 12 μίαν οὐσ. colloc. M 13 et 17 μὴ suppl. G² 17 τὰ μὴ δὲ colloc. M ἀλλὰ καὶ καθ' F καθ' αὑτὰ] θαυμαστὰ G¹ 21 ληψώμεθα G 22 ἀναγκαζόμεθα G ἀναγκ. λέγειν (num. corr.) A 23 ὁ om. FG 27 δίπουν a 28 τοῦ] τε G

p. 21a18 Ἀληθὲς δέ ἐστιν εἰπεῖν κατὰ τοῦ τινὸς καὶ ἁπλῶς, 168v
οἷον τὸν τινὰ ἄνθρωπον ἄνθρωπον ἢ τὸν τινὰ λευκὸν ἄνθρω-
πον ἄνθρωπον λευκόν· οὐκ ἀεὶ δέ, ἀλλ' ὅταν μὲν ἐν τῷ προσ-
κειμένῳ τῶν ἀντικειμένων τι ἐνυπάρχῃ ᾧ ἕπεται ἀντίφασις, 5
5 οὐκ ἀληθὲς ἀλλὰ ψεῦδος, οἷον τὸν τεθνεῶτα ἄνθρωπον ἄνθρω-
πον εἰπεῖν. ὅταν δὲ μὴ ἐνυπάρχῃ, ἀληθές. ἢ ὅταν μὲν ἐν-
υπάρχῃ, ἀεὶ οὐκ ἀληθές, ὅταν δὲ μὴ ἐνυπάρχῃ, οὐκ ἀεὶ ἀληθές.
ὥσπερ Ὅμηρός ἐστί τι, οἷον ποιήτης· ἆρα οὖν καὶ ἔστιν ἢ οὔ;
κατὰ συμβεβηκὸς γὰρ κατηγορεῖται τοῦ Ὁμήρου τὸ ἔστιν· ὅτι 10
10 γὰρ ποιητής ἐστιν, ἀλλ' οὐ καθ' αὑτὸ κατηγορεῖται κατὰ τοῦ
Ὁμήρου τὸ ἔστιν. ὥστε ἐν ὅσαις κατηγορίαις μήτε ἐναντιότης
ἔνεστιν, ἐὰν λόγοι ἀντ' ὀνομάτων λέγωνται, καὶ καθ' αὑτὰ
κατηγορῆται καὶ μὴ κατὰ συμβεβηκός, ἐπὶ τούτων τὸ τὶ καὶ 15
ἁπλῶς ἀληθές ἐστιν εἰπεῖν. τὸ δὲ μὴ ὄν, ὅτι δοξαστόν, οὐκ
15 ἀληθὲς εἰπεῖν ὄν τι· δόξα γὰρ αὐτοῦ ἐστιν οὐχ ὅτι ἔστιν, ἀλλ'
ὅτι οὐκ ἔστιν.

Ἐν τούτοις ζητεῖται τὸ ἀντικείμενον θεώρημα τῷ προσεχῶς παρα-
δεδομένῳ· πρότερον μὲν γὰρ ἐζητεῖτο πότε τὰ ἰδίᾳ κατηγορηθέντα καὶ 20
ἅμα κατηγορηθῆναι δυνατόν, ἐν δέ γε τούτοις ζητεῖται πότε τὰ ἅμα κατη-
20 γορηθέντα καὶ κεχωρισμένως κατηγορηθῆναι δυνατόν. καλεῖ δὲ τινὰ
κατηγορίαν τὴν σύνθετον ἐκ τῶν ἅμα κατηγορηθέντων, ἁπλῶς δὲ τὴν
ἁπλῆν καὶ ἄνευ προσθήκης τινὸς λεγομένην, διότι πανταχοῦ αἱ προσθέ- 25
σεις ἀποστενοῦσι καὶ μερικώτερα ποιοῦσι τὰ ὑπὸ τῶν ὑπομενόντων τὰς
προσθήκας δηλούμενα, οἷον ὅταν εἰπόντες 'ζῷον' προσθῶμεν τούτῳ τὸ λογι-
25 κόν. εἶτα | τὸ θνητόν. εἶτα τὸ γραμματικόν, εἶτα ἄλλο τι καὶ ἄλλο· φανε- 169r
ρὸν γὰρ ὅτι καθ' ἑκάστην προσθήκην μερικώτερον εὑρήσομεν γινόμενον τὸ
σημαινόμενον. διόπερ φησὶν ἀληθὲς δέ ἐστιν εἰπεῖν κατὰ τοῦ τινὸς
καὶ ἁπλῶς, τοῦτ' ἔστι καθ' οὗ ποιούμεθα τὴν σύνθετον κατηγορίαν, 5
κατὰ τούτου καὶ ἄνευ τῆς προσθήκης ἀληθὲς τὸ κατηγορούμενον εἰπεῖν,
30 οἷον τὸν Ἀρίσταρχον οὐ μόνον ἄνθρωπον γραμματικὸν ἀλλὰ καὶ ἁπλῶς
ἄνθρωπον καὶ ἁπλῶς γραμματικόν, καὶ τὸν Γαλάτην οὐ μόνον λευκὸν
ἄνθρωπον ἀλλὰ καὶ ἁπλῶς λευκὸν καὶ ἁπλῶς ἄνθρωπον. ἐπεὶ δὲ οὐκ 10
ἀεὶ τοῦτο οὕτως ἔχει (τὸν γοῦν ἄνθρωπον τὸν τεθνεῶτα τὸ μὲν ὅλον

---

2 οἷον — οὐκ ἔστιν (16) om. M 3 οὐκ — οὐκ ἔστιν (16) om. a 3. 4 προκειμ. AF[1] 4 ἐνυπάρχοι FG ᾧ — οὐκ ἔστιν (16) om. G ᾧ om. A
5 ψευδές F 9 τὸ ἔστιν τοῦ ὁμ. colloc. F 13 κατηγορεῖται F[1] 14 ἐστιν om. F: ἔσται b δοξαστόν ἐστιν F οὐκ om. F 15 αὐτοῦ οὐκ ἔστιν ὅτι ἔστιν b (recte, cf. p. 212,30) 18 κατηγορηθέντα] κατηγορούμενα Ma 19 et 20 δύνανται AM: δύναται a 19 τὰ om. A 20 τινὰ μὲν G 22. 23 προθέσεις A 27 ante εἰπεῖν add. τὸ G 29 τῆς om. FG 30 post μόνον add. εἶναι del. F

τοῦτο ἄνθρωπον νεκρὸν λέγομεν, οὐκέτι μέντοι ἄνευ τῆς προσθήκης ἄνθρωπον δυνάμεθα λέγειν, διότι ὁ μὲν ἄνθρωπος ζῷον λογικὸν θνητόν, τὸ δὲ ζῷον οὐσία ἔμψυχος αἰσθητική, ὁ δὲ τεθνεὼς οὔτε ἔμψυχος οὔτε αἰσθητικὸς ἀλλὰ τὰ ἀντικείμενα· καὶ τὴν κίβδηλον δραχμὴν καὶ τὴν λιθίνην
5 ναῦν τὸ μὲν ὅλον τοῦτο ἐρεῖς ἑκατέραν, οὔτε μέντοι δραχμὴν ἁπλῶς οὔτε ναῦν), δῆλον ὅτι καὶ ἐνταῦθα δεήσει τινὸς ἡμῖν διορισμοῦ τοῦ διδάσκοντος πότε μὲν δυνατὸν πότε δὲ οὐ δυνατὸν διακεκριμένως κατηγορηθῆναι τὰ ἅμα κατηγορηθέντα. τοῦτον οὖν τὸν κανόνα πρότερον μὲν ὁλοσχερέστερον παραδίδωσιν ὁ Ἀριστοτέλης. ὕστερον δὲ ἀκριβέστερον, ἐξ ἀρχῆς μὲν λέγων
10 ὡς ὅταν ἐν τῷ προστεθέντι τῇ ἁπλῇ κατηγορίᾳ ὑπάρχῃ τις ἀντίθεσις πρὸς τὸ ᾧ πρόσκειται (ἢ αὐτόθεν ἐν τοῖς ὀνόμασιν αὐτῶν φαινομένη, ὡς ὅταν τὸν εὐνοῦχον ἄνδρα ἅμα καὶ οὐκ ἄνδρα εἴπωμεν καὶ τὴν νυκτερίδα | ὄρνιν ἅμα καὶ οὐκ ὄρνιν καὶ τὴν κίσηριν ὁμοίως λίθον ἅμα καὶ οὐ λίθον 169v καὶ τὸν δικαστὴν ἄρχοντα καὶ οὐκ ἄρχοντα, ἢ ἐν τοῖς ὁρισμοῖς αὐτῶν
15 καταλαμβανομένη, καθάπερ ἐπὶ τοῦ ἀνθρώπου καὶ τοῦ νεκροῦ), τότε ἀδύνατον τὰ ἅμα κατηγορηθέντα καὶ διακριθέντα κατηγορηθῆναι, ὅταν δὲ μηδεμία αὐτοῖς ἐνυπάρχῃ πρὸς ἄλληλα ἀντίθεσις, τότε δυνατόν· ὕστερον δὲ τὸν μὲν εἰρημένον κανόνα περὶ τοῦ πότε οὐ δυνατὸν διακριθῆναι τὰ ἅμα κατηγορηθέντα ὀρθῶς εἰρῆσθαι ἀποφαινόμενος, δι' ὧν φησιν ἢ ὅταν
20 μὲν ἐνυπάρχῃ, ἀεὶ οὐκ ἀληθές, ὑποστίζειν μὲν ἡμῶν ὀφειλόντων εἰς τὸ ἐνυπάρχῃ (ἡ ἀντίθεσις δηλονότι ἡ ἐν τῷ προσκειμένῳ πρὸς τὸ ἐξ ἀρχῆς κατηγορηθέν· τοῦτο γὰρ ἤδη εἰρημένον καὶ ἐνταῦθα ὑπακούσομεν), ὡς δὲ ἀκόλουθον τούτῳ ἐπιφέρειν τὸ ἀεί, τοῦτ' ἔστιν ἐξ ἀνάγκης, οὐκ ἀληθὲς ἀλλὰ ψεῦδος τὸ διακριθῆναι τὴν σύνθετον κατηγορίαν, τὸν δὲ
25 ἕτερον, τὸν λέγοντα μὴ οὔσης ἀντιθέσεως ἐν τοῖς ἅμα κατηγορηθεῖσι τὴν διάκρισιν αὐτῶν χώραν ἔχειν, οὐκ ἀεὶ ἀληθεύειν διαβεβαιούμενος ἀλλ' ἑτέρου τινὸς δεῖσθαι διορισμοῦ καὶ τὸν ἔλεγχον εὐθὺς ἐπιφέρων· τὸν γὰρ Ὅμηρον τὸ μὲν ὅλον τοῦτο ποιητὴν εἶναι λέγομεν, διότι ἔστιν αὐτοῦ ἡ ποίησις, ἁπλῶς δὲ εἶναι οὐ λέγομεν, ἐπεὶ τὸ ἔστιν ἀμέσως τοῦ Ὁμήρου
30 κατηγορούμενον οὐκ ἐξακούεται πρὸς τὸν ἐν τῇ ποιήσει Ὅμηρον, ἀλλὰ πρὸς αὐτὸν τὸν ἄνδρα, οὗτος δὲ οὐκ ἔστιν. ὅταν μέντοι συμπεπλεγμένον τῷ ποιητὴς κατηγορῆται τοῦ Ὁμήρου τὸ ἔστι, τὸ μὲν ποιητὴς προηγουμένως αὐτοῦ καὶ καθ' αὑτὸ κατηγορηθήσεται. λέγω δὲ τὸ | καθ' αὑτὸ 170r

---

1 λέγ. νεκρόν colloc. AM μέντοι καὶ AM 3. 4 οὐδὲ ἔμψυχον οὐδὲ αἰσθητικόν FG 4 δραχμ.] γραμμὴν G¹ 5 μέντοι] μὲν τὴν G 7 διακεκριμένως G¹ 9 λέγω G 10 ὅτε G ὑπάρχει G 11 πρόκειται M 13 καὶ τὴν κίσηριν — οὐ λίθον om. FG κίσηριν A: κίσσηριν Ma 15 ἢ καθάπερ a 16 τὸ ἅμα διακριθῆναι (18) om. M 17 μηδ.] μὴ ἰδία FG¹ ἐνυπάρχοι A: ἐνυπάρχει FG ἡ πρὸς F 18. 19 καὶ τὰ ἅμα M 19 ἢ om. FG 20. 21 εἰς τὸ] ἐν τῷ AMa 21 ἐνυπάρχει A: ἐνυπάρχειν G ἡ (ante ἀντίθ.) om. FGa προκειμένῳ libri 22 ὑπακούσωμεν a 23 ἐπιφέρει AG τὸ] τοῦ G 28 μὲν] γὰρ sec. ed. Ven. Brand. 29 ante ἔστιν add. μὲν G² 32 τῷ] τὸ G κατηγορεῖται A²G 33 prius αὑτὸ] αὐτὸν FG

οὐχ ὅτι κατ' οὐσίαν ἀλλ' ὅτι κατὰ φύσιν, τὸ δέ γε ἔστι τοῦ μὲν ποιητὴς καθ' αὑτὸ τοῦ δὲ Ὁμήρου κατὰ συμβεβηκός. ἐξαιρεθέντος οὖν τοῦ καθ' αὑτὸ κατηγορηθέντος οὐδὲν ἔτι φθέγγεται ὑγιὲς τὸ κατὰ συμβεβηκὸς κατηγορούμενον. καίτοι οὐδεμίαν ἔστιν εὑρεῖν ἀντίθεσιν τοῦ ποιητοῦ πρὸς τὸ ἔστιν, οὔτε αὐτόθεν ἐν τοῖς ὀνόμασιν, ὡς ἐπὶ τοῦ ἀνὴρ καὶ οὐκ ἀνήρ, οὔτε ἐν τοῖς ὁρισμοῖς αὐτῶν, ὡς ἐπὶ τοῦ νεκρὸς ἄνθρωπος. ὥστε ὀρθῶς ἐλέγομεν ὅτι οὐκ ἀεὶ ἀληθὲς τὸ μὴ ἐνυπαρχούσης ἀντιθέσεως ἐν τοῖς ἅμα κατηγορηθεῖσι δύνασθαι καὶ ἕκαστον καθ' αὑτὸ κατηγορηθῆναι. διόπερ ἄνωθεν ἀρξάμενος ὁ Ἀριστοτέλης καταλέγει τοὺς περὶ τῆς διακεκριμένης κατηγορίας κανόνας, λέγων ὡς ὅταν μήτε ἐναντιότης ἐν τοῖς ὁρισμοῖς ὑπάρχῃ τῶν ἅμα κατηγορουμένων μήτε κατὰ συμβεβηκὸς ἀλλὰ καθ' αὑτὸ τοῦ αὐτοῦ ὑποκειμένου κατηγορούμενα τύχωσι, τότε δὴ πάντως ἐγχωρεῖ τὸ συμπεπλεγμένως κατηγορηθὲν καὶ ἄνευ τῆς συμπλοκῆς κατηγορηθῆναι. φανερὸν δὲ ὡς εἴ τις τὸ ἔστι τὸ ἐπὶ τοῦ Ὅμηρος ποιητής ἐστιν' ἀντὶ τοῦ ἦν εἰλῆφθαι λέγοι (καθάπερ τὸ ἦν ἀντὶ τοῦ ἔστι πολλάκις οἱ παλαιοὶ παραλαμβάνουσιν, ὡς ἐπὶ τοῦ 'τί ἦν' ἀντὶ τοῦ 'τί ἐστι' καὶ ἐπὶ τοῦ ὁρισμοῦ τὸ 'τί ἦν εἶναι' ἀντὶ τοῦ 'τί ἐστι τῷ πράγματι τὸ εἶναι'), καὶ τὸ ἔστιν αὐτὸ καθ' αὑτὸ κατηγορεῖσθαι τοῦ Ὁμήρου συγχωρήσει παρὰ τὰ δοκοῦντα τῷ Ἀριστοτέλει. τῆς δὲ λέξεως τὸ μὲν τῶν ἀντικειμένων τι ἐνυπάρχῃ, οἷς ἕπεται ἀντίφασις εἴρηται οὐχ ὡς τισὶ μὲν ἀντικειμένης ἀντιφάσεως τισὶ δὲ μή, ἀλλ' ὅτι 'οἷς πᾶσιν ἕπεται 170v ἡ ἀντιφατικὴ πρὸς ἄλληλα ἀντίθεσις', ἅτε οὖσα κοινοτάτη· οὐδέτερον γὰρ τῶν ἀντικειμένων ἐστὶν ὅπερ τὸ ἕτερον.

Ἑξῆς δὲ τούτοις ὥσπερ ἐλέγχων τοὺς οἰομένους ὅτι τὸ ἔστιν εἰ μετὰ τοῦ δοξαστοῦ κατηγοροῖτο τοῦ μὴ ὄντος, λεγόντων ἡμῶν 'τὸ μὴ ὂν δοξαστόν ἐστιν', ἤδη καὶ καθ' αὑτὸ κατηγορεῖσθαι κατὰ τούτου δυνήσεται καὶ ἐροῦμεν ἀληθῶς 'τὸ μὴ ὂν ἔστι', παραπλησίως τοῖς ἄλλοις ἐφ' ὧν τὴν σύνθετον κατηγορίαν καὶ διακεκριμένως γίνεσθαι δυνατόν, ἐπάγει τὸ δὲ μὴ ὄν, ὅτι δοξαστόν, οὐκ ἀληθὲς εἰπεῖν ὄν τι, καὶ τὴν αἰτίαν, δι' ἣν οὐκ ἀληθές, προστίθησι λέγων δόξα γὰρ αὐτοῦ οὐκ ἔστιν ὅτι ἔστιν, ἀλλ' ὅτι οὐκ ἔστιν· ἐπεὶ γὰρ δοξάζομεν περὶ τοῦ μὴ ὄντος αὐτὸ τοῦτο ὅτι οὐκ ἔστι, δῆλον ὅτι δοξαστὸν μὲν εἶναι αὐτὸ εἰκότως λέγομεν, οὐ μὴν διὰ τοῦτο εἶναι αὐτὸ ὁμολογήσομεν. καὶ ἀποτείνεσθαι μὲν δοκεῖ πρὸς τὰ ἐν τῷ Σοφιστῇ καὶ πρὸς τῷ πέρατι τοῦ πέμπτου τῆς Πολιτείας περὶ τοῦ μὴ εἶναι δοξαστὸν

---

2. 3 τοῦ δὲ—καθ' αὑτὸ om. F 2 δὲ iter. G 6 ὀρθ.] καλῶς FG
12 δὴ] δὲ AMa: μὴ F 14 τὸ ἐπὶ τοῦ] ἐπὶ τοῦ F: ἐπὶ τὸ G 15 λέγει G 16 τι (post ἐπὶ τοῦ) iter. G τί ἦν ἀντὶ τούτου τὸ τί ἐστι M τοῦ (post ἦν ἀντὶ) suppl. G² 17 τί (ante ἐστι τῷ) om. AGM 18 καθ' αὑτὸ om. FG 19 παρὰ] ταῦτα FG μὲν] ἀλλ' ὅταν μὲν ἐν τῷ προσκειμένῳ F
20 ἐνυπάρχει GMa οἷς] ᾧ b 21 ὅτι] ἔστιν G 22 ἀντιφαντ. Ma
25 ὄντως A 26 κατ' αὐτοῦ FG 30 ἔστιν οὐχ (pr. l.) colloc. FG
31 ἐδοξαζ. AMa περὶ] ἐπὶ A 32 εἰκότως—αὐτὸ om. FG 33 καὶ ἀποτείν.—λεγόμενα (p. 213,1) om. A ἐν τῷ Σοφιστῇ] p. 258 B sq. 34 τῷ πέμπτῳ τῆς Πολιτείας] p. 477 D sq.

τὸ μὴ ὂν ὑπὸ Πλάτωνος λεγόμενα. δεῖ μέντοι εἰδέναι ὅτι πολλὰς ἐκεῖνος τοῦ μὴ ὄντος τάξεις ἡμῖν παραδιδούς, τοῦ ὑπὲρ τὰ ὄντα, ταὐτὸν δὲ εἰπεῖν, ὑπὲρ εἶδος ἅπαν (οὐ γὰρ ἂν ἄλλως προῆγε τά τε εἴδη πάντα χωριστά τε τῆς ὕλης καὶ ἀχώριστα καὶ ἐπ' ἐσχάτοις αὐτὴν τὴν παντελῶς ἀνείδεον ὕλην), τοῦ κατὰ τὴν ἑτερότητα θεωρουμένου καὶ διὰ πάντων τῶν ὄντων πεφοιτηκότος οὐ παρ' ἔλαττόν τε τοῦ ὄντος εἶναι διὰ ταῦτα λεγομένου, τοῦ τὸ γενητὸν σημαίνοντος κατὰ τὴν ὕφεσιν τὴν πρὸς τὸ ὄντως ὂν καὶ πάσης μεταβολῆς ὑπεριδρυμένον, τοῦ ἐπὶ τῆς ὕλης κατηγορουμένου διὰ τὴν ἀπόπτωσιν πάντων τῶν εἰδῶν κατὰ τὴν θρυλλουμένην ἀνό|μοιον 171r αὐτῆς πρὸς τὸ πρῶτον ὁμοιότητα, καὶ ἕν τι τῶν σημαινομένων τοῦ μὴ ὄντος λέγων εἶναι τὸ ἐν ἐσχάτοις τῶν ἄλλων κείμενον τὸ ἐπὶ τοῦ μηδαμῇ μηδαμῶς ὄντος λεγόμενον. τοῦτο καὶ ἄρρητον καὶ ἀδόξαστον εἶναι διισχυρίζεται, διότι τὸ ῥητὸν ἢ δοξαστὸν ἀρίθμητόν τέ ἐστιν, ὅπερ καὶ πρόσθεν ἐλέγομεν, καὶ τῇ ῥήσει ἢ τῇ δόξῃ λέγεται εἶναι ῥητὸν ἢ δοξαστόν, καὶ ἔστι τῶν πρός τι κατὰ τὴν πρὸς τὴν ῥῆσιν ἢ τὴν δόξαν σχέσιν λεγόμενον εἶναι τοιοῦτον. ἐπεὶ οὖν τῶν πρός τι τοῦ ἑτέρου ὄντος καὶ τὸ ἕτερόν εἶναι ἀναγκαῖον, ἔστι δὲ ἡ ῥῆσις καὶ ἡ δόξα καθ' ἣν λέγεται εἶναι ῥητὸν ἢ δοξαστόν, ἔσται ἄρα ταύτῃ καὶ τὸ μηδαμῶς ὂν ἐν αὐτῇ τῇ ῥήσει τῇ περὶ αὐτοῦ καὶ τῇ δόξῃ. ὅ τε οὖν Πλάτων ἀνελέγκτως ταῦτα οὕτως ἀποφαινόμενος καὶ ὁ Ἀριστοτέλης ὀρθῶς ὑπολαβών, ὡς εἰκός, τινὰς μὴ παρακολουθήσαντας τῷ βάθει τῆς τοῦ Πλάτωνας διανοίας οἰηθῆναι ὅτι γίνεσθαι τῶν ὄντων φησὶ τὸ μηδαμῶς ὄν, εἰ λέγοι τὸ ῥητὸν ἢ δοξαστόν, οὐ καθ' ὃν εἰρήκαμεν τρόπον ἀλλ' ὡς αὐτόθεν ὑπόστασιν ἔχον, καὶ διὰ τοῦτο λέγων μὴ εἶναι ἀληθὲς τὸ φάσκειν οὕτως ὂν γίνεσθαι τὸ μὴ ὄν, δοξαστὸν εἶναι λεγόμενον ὡς καὶ ἄνευ τῆς πρὸς ἡμᾶς σχέσεως ὑπόστασιν ἔχον, ὁποῖον εἶναι ἀξιοῖ τὸ κατὰ τὴν ἑτερότητα μὴ ὄν, ὅπερ κατακεκερματίσθαι φησὶν ἐν πᾶσι τοῖς οὖσι καὶ οὐ παρ' ἔλαττον εἶναι τοῦ κυρίως ὄντος.

Ἄχρι τούτων προήγαγεν ὁ Ἀριστοτέλης τὴν θεωρίαν τῶν ἐκ τρίτου προσκατηγορουμένου προτάσεων, πολλὰ μὲν ἡμῖν καὶ καλὰ παραδοὺς περὶ αὐτῶν θεωρήματα, δόξας δὲ τοῖς πολλοῖς μηδεμίαν αὐτοῖς ἐπιθεῖναι τάξιν, ὥστε διὰ τοῦτο | καὶ ἀποφήνασθαί τινας ὑπομνηματικώτερον εἶναι τὸ 171v βιβλίον. ἡμεῖς μέντοι καθ' ἕκαστον τῶν κεφαλαίων προηγουμένως ἐπεμελήθημεν τοῦ ἐπιδεῖξαι τὴν συνέχειαν τῆς ἀκολουθίας. ἀλλ' ἐπὶ τὰς μετὰ τρόπου προτάσεις χωρῶμεν.

---

2 παραδίδωσι G alt. τοῦ] τὸ AMa ταὐτὸν — ὕλην (5) om. FG¹ 6 πεφυκότος Ma τε om. FG¹ ὄντος] ὄντως A² 7 γεννητόν AG κατὰ — ὑπεριδρυμένον (8) om. FG¹ πρὸς] κατὰ a 9 διὰ — ὁμοιότητα (10) om. FG¹ διὰ] κατὰ G 10. 11 τοῦ μὴ ὄντος] αὐτοῦ FG 11 λέγον M τὸ ἐν — κείμενον om. A prius τὸ] τοῦ F ἐπὶ om. FG 12 λεγόμενον om. FG μὴ δοξαστὸν FG 13 τε om. a 14 ἐλέγομεν] p. 184, 27 15 λέγομεν a 17 ἀναγκ. εἶναι colloc. M 18 μηδαμοῦ μηδαμῶς M 19 ἀνέλεγκτος Brandis 22 τὸ (ante μηδαμῶς) suppl. G² λέγει G 25 ante λεγόμενον add. καὶ FG 29 καὶ om. M 34 post χωρῶμεν add. τέλος τοῦ τρίτου τμήματος A

p. 21a34 Τούτων δὲ διωρισμένων σκεπτέον ὅπως ἔχουσιν αἱ ἀποφάσεις καὶ καταφάσεις πρὸς ἀλλήλας αἱ τοῦ δυνατὸν εἶναι καὶ μὴ δυνατὸν καὶ ἐνδεχόμενον καὶ μὴ ἐνδεχόμενον, καὶ περὶ τοῦ ἀδυνάτου τε καὶ ἀναγκαίου· ἔχει γὰρ ἀπορίας τινάς.

Λειπομένης ἔτι πρὸς τὴν παντελῆ θεωρίαν τῶν κατὰ τήνδε τὴν πραγματείαν ἡμῖν προκειμένων τῆς ἐπισκέψεως τῶν μετὰ τρόπου προτάσεων, ταύτην παραδίδωσιν ὁ Ἀριστοτέλης ἐν τούτῳ τῷ τετάρτῳ τοῦ βιβλίου κεφαλαίῳ, δύο μόνα ταῦτα θεωρήματα διδάσκων ἡμᾶς περὶ αὐτῶν, τόν τε τρόπον τῆς ἀντιθέσεως τῶν ἀποφάσεων πρὸς τὰς καταφάσεις καὶ ἔτι τὴν ἀκολουθίαν τῶν κατὰ τοὺς διαφέροντας τρόπους προτάσεων. ἡμᾶς δέ, εἰ μέλλοιμεν διηρθρωμένην ἔχειν τὴν τῶν νῦν παραδιδομένων προτάσεων γνῶσιν καὶ ῥᾷον παρακολουθεῖν τοῖς ὑπὸ τοῦ φιλοσόφου περὶ αὐτῶν λεγομένοις, προλαβεῖν χρὴ τῆς τῶν ῥητῶν ἐξηγήσεως τί τέ ἐστι τρόπος καὶ εἰ πεπερασμένος αὐτῶν ὁ | ἀριθμὸς καὶ ἡμῖν γνώριμος, πόσους τε καὶ 172r ποίους ἐκλέγεται τρόπους ὁ Ἀριστοτέλης πρὸς τὴν διδασκαλίαν τῶνδε τῶν προτάσεων καὶ διὰ τίνα αἰτίαν τούτους καὶ οὐκ ἄλλους, καὶ πῇ τῶν καλουμένων ὁλῶν διαφέρουσιν οἱ παραλαμβανόμενοι τρόποι τοῖς ὀνόμασιν αὐτῶν ὀνομαζόμενοι, καὶ εἰ μηδεὶς παραλέλειπται τρόπος τῶν ὀφειλόντων ἐν τῇ προκειμένῃ τῶν προτάσεων θεωρίᾳ παραληφθῆναι, τίνα τε τρόπον ἐπὶ τῶν τοιούτων προτάσεων ἐκ τῶν καταφάσεων ποιοῦμεν τὰς ἀποφάσεις, ὅπερ ἔφαμεν πρῶτον ἐπισκέψασθαι περὶ αὐτῶν τὸν Ἀριστοτέλην, καὶ ἐπὶ πᾶσι πῶς ἂν ἐκ διαιρέσεως ἕλοιμεν καὶ τούτων τῶν προτάσεων πασῶν τὸν ἀριθμόν.

Τρόπος μὲν οὖν ἐστι φωνὴ σημαίνουσα ὅπως ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ, οἷον τὸ ταχέως, ὅταν λέγωμεν 'ἡ σελήνη ταχέως ἀποκαθίσταται', ἢ τὸ καλῶς ἐν τῷ 'Σωκράτης καλῶς διαλέγεται', ἢ τὸ πάνυ ἐν τῷ 'Πλάτων Δίωνα πάνυ φιλεῖ', ἢ τὸ ἀεὶ ἐν τῷ 'ὁ ἥλιος ἀεὶ κινεῖται'. ἀριθμὸς δὲ αὐτῶν φύσει μὲν οὐκ ἔστιν ἄπειρος, οὐ μὴν δὲ περίληπτός γε ἡμῖν, ὥσπερ οὐδὲ ὁ τῶν καθόλου ὑποκειμένων ἢ κατηγορουμένων, ἀναριθμήτων δὲ αὐτῶν ὄντων. τέτταρας δὲ μόνους ὁ Ἀριστοτέλης

1 ante lemma add. ἀρχὴ τοῦ τετάρτου τμήματος AFG²: περὶ τοῦ τετάρτου τμήματος M: ἀρχὴ τοῦ τετάρτου τμήματος τῶν μετὰ τρόπου προτάσεων a 2 καταφ. καὶ ἀποφ. colloc. a αἱ τοῦ—τινάς (5) om. M 4. 5 ἀπορίαν τινά G 6 θεωρ.] ἀπορίαν A τήνδε] ταύτην FG 7 ἡμῖν om. FG¹ προσκειμ. A 11 τρόπων G¹ ἡμεῖς G 12 δέ γε Ma τὴν om. FG παραδεδ. AMa 13 ante γνῶσιν add. ἡμῖν del. G 22 ἔφαμεν] v. 10 ἐπισκέπτεσθαι FGMa 23 ἕλοιμεν scripsi: ἕλωμεν libri 24 τῶν ἀριθμῶν A 25 σημαντικὴ FG τοῦ ὅπως F ὑπάρχῃ G 26 τὸ om. A 27 ὁ σωκρ. Ma 28 ὁ πλάτ. Ma ὁ om. G 29 prius δὲ] μὲν G alt. δὲ om. M 30 ληπτός FG γε] γὰρ F: δὲ M ὁ om. AMa 31 prius δὲ] τὲ AGMa; an δὴ? ὄντων om. M τέτταρας μόνους (δὲ om.) FM: τεταραγμένας G¹: τέτταρας μόνον G²

παραλαμβάνει πρὸς τὴν θεωρίαν τῶν μετὰ τρόπου προτάσεων, τὸν ἀναγκαῖον τὸν δυνατὸν τὸν ἐνδεχόμενον καὶ ἐπὶ τούτοις τὸν ἀδύνατον, ὡς ὄντας καθολικωτάτους τε καὶ αὐτῇ τῇ φύσει τῶν πραγμάτων οἰκειοτάτους. τίνα μὲν οὖν διαφορὰν ἔχειν βούλεται τὸ δυνατὸν πρὸς τὸ ἐνδεχόμενον, καὶ ὅτι τὸ κυρίως δυνατὸν ὀνόματι μόνον διαφέρει τοῦ ἐνδεχομένου, | τὸ δέ γε 172v ἁπλῶς δυνατὸν ἐπὶ πλέον λέγεται τοῦ κυρίως ἐνδεχομένου, διὰ τῶν ἑξῆς αὐτοῦ διδάσκοντος ἡμᾶς τοῦ Ἀριστοτέλους εἰσόμεθα. νῦν δέ γε ὡς τῶν αὐτῶν ὄντων ἐπισκεψώμεθα πῇ διοίσουσιν οἱ τρόποι τῶν ὕλων, ἐπεὶ καὶ ταύτας διῃροῦμεν εἰς τὴν ἀναγκαίαν καὶ ἀδύνατον καὶ ἐνδεχομένην. ῥητέον οὖν ὅτι τὰς μὲν ὕλας ἐν αὐτῇ φαμεν θεωρεῖσθαι τῇ φύσει τῶν ἐν τῇ προτάσει παραληφθέντων πραγμάτων (πᾶσα γὰρ ἀνάγκη τὸ κατηγορούμενον ἢ ἀεὶ ὑπάρχειν τῷ ὑποκειμένῳ ἢ μηδέποτε ἢ ποτὲ μὲν ποτὲ δὲ μή, διὸ καὶ καλεῖσθαι αὐτὰς ὕλας ἐλέγομεν ὡς ἄνευ τούτων μηδὲ τὴν ἀρχὴν ὑποστῆναι τῶν προτάσεων δυναμένων), τοὺς δέ γε τρόπους ἐν αὐτῷ τῷ ἐκφωνεῖσθαι παρ' ἡμῶν καὶ ἔξωθεν προστίθεσθαι τοῖς συμπληροῦσι τὴν πρότασιν ὅροις τὴν ὑπόστασιν ἔχειν φαμέν. διὸ πολλάκις συμβαίνει τὴν πρότασιν παρὰ τὴν ὕλην ἀληθεύουσαν διὰ τὸν τρόπον τὸν προστιθέμενον ψεύδεσθαι· ἡ μὲν γὰρ λέγουσα πρότασις 'ὁ ἥλιος κινεῖται' ἀληθής, ἡ δὲ προστιθεῖσα τὸ ἐνδεχομένως καὶ λέγουσα ὅτι κινεῖται ἐνδεχομένως διὰ τὸν τρόπον μόνον ψευδής. οὕτω δὲ καὶ τὴν 'Σωκράτης ὑγιαίνει' ἢ 'λευκός ἐστι' πρότασιν ἀληθῆ ἐνίοτε οὖσαν ὁ ἐξ ἀνάγκης τρόπος προστεθεὶς ἐποίησε ψευδῆ, ὅταν εἴπωμεν 'Σωκράτη ὑγιαίνειν ἀναγκαῖον' ἢ 'λευκὸν εἶναι ἀναγκαῖον'· μὴ γάρ τοι νομίσῃς ὅτι μόνους χρὴ τοὺς οἰκείους ταῖς ὕλαις τρόπους ταῖς προτάσεσι προστιθέναι· ὥσπερ γὰρ ἑκάστου τῶν ὑποκειμένων ἔξεστι μὲν κατηγορεῖν ὅ τι τις βούλεται, γίνονται δὲ τῶν προτάσεων αἱ μὲν ἀληθεῖς αἱ δὲ ψευδεῖς. οὕτω δὲ καὶ τῇ ἄνευ τρόπου | προτάσει 173r προστιθέναι μὲν ἔξεστιν ὃν ἂν βούληταί τις προσαρμόττειν τρόπον, ἀλλὰ τὰς προτάσεις ὁτὲ μὲν ἀληθεῖς ὁτὲ δὲ ψευδεῖς γίνεσθαι συμβαίνει.

Τούτων δὲ φανερῶν ὄντων ἑξῆς ἐπισκεψώμεθα πότερον ἔστι τις καὶ ἄλλος παρὰ τούτους τρόπος, συγγενὴς μὲν τοῖς εἰρημένοις καὶ ἐν ἄλλοις ὑπὸ τοῦ Ἀριστοτέλους ἐν τῇ τῶν προτάσεων θεωρίᾳ παρειλημμένος ἐν δὲ τῇ νυνὶ προκειμένῃ πραγματείᾳ παραλελειμμένος, ἢ οὐδαμῶς· ἀξιοῦσι μὲν γὰρ οἱ πλεῖστοι τῶν ἐξηγητῶν τοῦ Ἀριστοτέλους τοῦτον εἶναι τὸν ὑπάρχοντα καὶ ἐν τοῖς Ἀναλυτικοῖς πρὸ τοῦ ἀναγκαίου καὶ τοῦ ἐνδεχομένου

---

1 ἀναλαμβ. M πρὸς τὴν θεωρ. παραλ. colloc. G 1. 2 τὸν ἀναγκαῖον suppl. A² 2 τοῦτον G¹ 6 δυνατὸν om. A ὡς διὰ G 7 αὐτοῦ om. F 8 ὄντων om. F πῇ] ποῖ A: τί M καὶ om. sec. ed. Ven. Brand. 11 παραλειφθ. M 13 ἐλέγομεν] p. 88,20 14 αὐτῷ om. AM 17 παρὰ] περὶ G¹ διὰ δὲ a τὸν (post τρόπον) om. G 19 καὶ — ἐνδεχομένως om. M καὶ om. F 20 τὴν] τὸν F ὑγιαίνει — σωκράτη (22) om. FG¹ 21. 22 προστιθεὶς A 22 Σωκράτη scripsi: σωκράτει libri (cf. p. 218,10 sq.) ἀναγκ. ὑγ. (num. corr.) F λευκῶ Ma 23 τοι superscr. A 24 post τρόπους add. προστιθεὶς A 26 οὕτω δὲ] cf. p. 199,1 27 βούλεται F¹ 29 τίς ἐστι colloc. a 31 παρειλ.] παραλελειμμένος G 32 νῦν A 34 ἐν τοῖς Ἀναλ.] Anal. pr. A 2 p. 25a1 A 8 p. 29b29

κατηριθμημένον. δοκοῦσι δέ μοι παντάπασιν ἁμαρτάνειν τῆς τε ἀληθείας καὶ τῆς τοῦ Ἀριστοτέλους διανοίας· οὐ γάρ ἐστιν ὅλως τρόπος τὸ ὑπάρχειν, ἀλλὰ τῶν προτάσεων διῃρημένων εἴς τε τὰς ἄνευ τρόπου καὶ τὰς μετὰ τρόπου τὸ ὑπάρχειν εἰδοποιεῖν φημι τὰς ἄνευ τρόπου προτάσεις, ἀποβλέπων εἴς τε τὴν παραδεδομένην πρότερον διδασκαλίαν τῆς ἀντιθέσεως τῶν ἄνευ τρόπου ἀποφάσεων πρὸς τὰς καταφάσεις, ἐν οἷς ἔλεγεν "ἐπεὶ δὲ ἔστι καὶ τὸ ὑπάρχον ἀποφαίνεσθαι ὡς μὴ ὑπάρχον" καὶ τὰ ἑξῆς τούτοις, κατὰ τὸ ὑπάρχειν καὶ μὴ ὑπάρχειν τὰς ἀντιθέσεις ἐκείνων τῶν προτάσεων γίνεσθαι ἀποφαινόμενος, ταὐτὸν δὲ εἰπεῖν, κατὰ τὸ εἶναι καὶ μὴ εἶναι, καθ' ὃ λέγεται σαφῶς καὶ ἐν τούτοις ἡ ἀντιφατικὴ ἀντίθεσις γίνεσθαι τῶν ἄνευ τρόπου πασῶν προτάσεων, εἴτε ἐνεργείᾳ τὸ ἔστιν ἔχοιεν εἴτε καὶ δυνάμει, τῶν μετὰ τρόπου μὴ ἀνεχομένων τῆς τοιαύτης ἀντιθέσεως ἀλλὰ κατὰ τοὺς τρόπους αὐτοὺς ἀλλήλαις ἀντιτιθεμένων· διὸ καὶ ὁ Ἀριστοτέλης | ἐν τούτῳ τῷ κεφαλαίῳ παραδοῦναι προθέμενος τὰς μετὰ 173v τρόπου προτάσεις τοῦτο πρῶτον ἠξίωσε ζητεῖν περὶ αὐτῶν. τίς ὁ τρόπος τῆς ἀντιφατικῆς αὐτῶν ἀντιθέσεως, ὡς οὔτε εἰπών τι πρότερον περὶ τρόπων οὔτε τοῦ ὑπάρχειν καὶ μὴ ὑπάρχειν κοινόν τι πρὸς τοὺς τρόπους ἐχόντων. διά τε οὖν ταῦτα τὸ ὑπάρχειν οὐ δοκεῖ μοι τρόπος τις εἶναι, καὶ ὅτι αὐτὸ τοῦτο τρόπον εἶναί φαμεν τὸν σημαίνοντα ὅπως ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ (πῶς οὖν ἔχει λόγον τὸ ὑπάρχειν αὐτὸ τρόπον ὀνομάζειν τὸν δηλωτικὸν τῆς τοῦ ὑπάρχειν ποιότητος;), καὶ ὅτι τήν τε προκειμένην περὶ τῶν προτάσεων πραγματείαν καὶ τὴν ἐν τοῖς Ἀναλυτικοῖς περὶ τῶν συλλογισμῶν ἀτελῆ εἶναι ὁμολογήσομεν. μήτε ἐν τούτοις ἅπαντας τοὺς καθόλου καὶ πραγματειώδεις τρόπους παρειλῆφθαι λέγοντες μήτε ἐν ἐκείνοις ἐκ πασῶν τῶν προτάσεων παραδεδόσθαι τῶν συλλογισμῶν τὰς γενέσεις, ἀλλ' ἐκ μόνων τῶν μετὰ τρόπου, καίτοι τοῦ Ἀριστοτέλους ἁπασῶν ἁπλῶς τῶν προτάσεων ποιουμένου τὴν διαίρεσιν ἐν ἐκείνοις, δι' ὧν φησιν "ἐπεὶ δὲ πᾶσα πρότασίς ἐστιν ἢ τοῦ ὑπάρχειν ἢ τοῦ ἐξ ἀνάγκης ὑπάρχειν ἢ τοῦ ἐνδέχεσθαι ὑπάρχειν".

Τοῦτο μὲν οὖν ἔκ τε τῶν εἰρημένων ἐναργῶς, οἶμαι, ἀποδέδεικται καὶ διὰ πλειόνων ἔτι συλλογίζεσθαι δυνατόν. οὐ μὴν ἀλλ' οὐδὲ τὸ μόνον, ὁπόταν λέγωμεν 'μόνον τὸ ζῷον αἰσθητικόν' ἢ 'μόνον βαδιστικόν', τρόπος ἂν εἴη τις, ὥσπερ φασί τινες (οὐ γὰρ ἂν συνεπλέκετο τῷ ὑποκειμένῳ), ἀλλὰ μᾶλλον προσδιορισμός· οὐ μέντοι ἁπλοῦς, λέγω δὲ καταφατικός τις ἢ ἀποφατικός, οὐδὲ τινὶ | ὑποκειμένῳ, εἴτε ὡρισμένῳ εἴτε 174r ἀορίστῳ, προσαρμόττεσθαι δυνάμενος, ὥσπερ τῶν παρειλημμένων πρὸς

---

2 ὅλος G ὁ τρόπος τοῦ ὑπ. G 6 ἔλεγεν] p. 17a26 11 εἴτε ἐνεργ. τὸ ἔστιν ἔχοιεν om. F 14 προτιθέμ. GMa 16 ante τῆς add. περὶ G εἰπών τι] εἰπόντι M 17 τοῦ] τὸ μὴ (sed μὴ del.) G 18 τε] τοι F: om. G 19 τρόπος G¹ 20 ὑπάρχειν Brand.: ὑπάρχον libri 21 ὅτι] ἔτι F 23 περὶ om. M ὁμολογήσωμεν G 24 πραγματιώδ. FGa 27 ἁπασῶν] ἐκ πασῶν a 28 φησιν] Anal. pr. A 2 p. 25a1 30 τε om. FG 31 ἔτι] ἔστι A 32 ὅταν FG 33 ὡς F 35 τινὶ] ἑνὶ superscr. G² εἴτε — εἴτε] οὔτε — οὔτε FG

τὴν θεωρίαν τῶν προτάσεων τεττάρων προσδιορισμῶν ἕκαστος, ἀλλ' ἐνεργείᾳ μὲν περὶ ἑνὸς τοῦ ἐν τῇ προτάσει λεγομένου τὴν ἀπόφανσιν ποιούμενος, δυνάμει δὲ καὶ περὶ τῶν ἄλλων, τῶν τε ὄντων καὶ τῶν μὴ ὄντων. διὸ καὶ σύμμικτος ἔκ τε τοῦ ἑτέρου τῶν καταφατικῶν προσδιορισμῶν καὶ μόνου τοῦ καθόλου τῶν ἀποφατικῶν· ὁ γὰρ εἰπὼν 'μόνον τὸ ζῷον αἰσθητικόν' ἢ 'μόνον βαδιστικόν' οὐδὲν ἄλλο σημαίνει ἢ ὅτι τῷ μὲν ζῴῳ ὑπάρχει τὸ κατ' αὐτοῦ κατηγορούμενον ἤτοι παντί, ὡς τὸ αἰσθητικόν, ἢ τινί, ὡς τὸ βαδιστικόν, οὐδενὶ δὲ ἄλλῳ παρὰ τὸ ζῷον ὑπάρχει. ὥστ' οὐδὲ μία κυρίως ἡ τοιαύτη πρότασις, ἅτε προφανῶς πλείοσι χρωμένη τοῖς ὑποκειμένοις, τῷ τε ζῴῳ καὶ τῷ μὴ ζῴῳ, καὶ τὸ αὐτὸ τοῦ μὲν ἑτέρου τούτων καταφάσκουσα καθόλου ἢ κατὰ μέρος τοῦ δὲ ἑτέρου καθόλου ἀποφάσκουσα. καὶ διὰ ταῦτα οὐκ ἀνάγκη τὸ τοῦ κατηγορουμένου καθόλου κατηγορούμενον, οἷον τὸ ἔμψυχον, ὁπόταν λέγωμεν 'πᾶν αἰσθητικὸν ἢ πᾶν βαδιστικὸν ἔμψυχον', μόνου πάλιν κατηγορεῖσθαι τοῦ ἐν τῇ ἐξ ἀρχῆς προτάσει ληφθέντος ὑποκειμένου· κατηγορεῖσθαι μὲν γὰρ αὐτὸ τοῦ ζῴου ἀνάγκη κατὰ τὸν πρῶτον ἢ τὸν τρίτον τρόπον τοῦ πρώτου σχήματος, οὐ μέντοι καὶ μόνου· ἀποφάσκεσθαι γὰρ τῶν παρὰ τὸ ζῷον οὐκέτι ἀνάγκη, ἅτε ἀποφατικῆς τῆς ἐλάττονος προτάσεως γινομένης. κυρίως μὲν οὖν λαμβανόμενον τὸ μόνον, τοῦτο δέ ἐστιν ὡς ὄνομα, καθ' ὁποῖον ἂν λέγηται τῶν τριῶν γενῶν, οὐ τρόπος ἀλλ', ὥσπερ εἴρηται, | προσδιορισμὸς καὶ συμπλέκεται τῷ ὑποκειμένῳ διάκρισιν αὐτοῦ πρὸς τὰ 174v ἄλλα πάντα τὰ παρ' αὐτὸ δηλοῦν (καὶ γὰρ εἰ φαίνοιτο καὶ μετὰ τοῦ κατηγορουμένου ποτὲ λεγόμενον, ὡς ἐπὶ τοῦ 'Σωκράτης μόνον τριβώνιον ἠμφίεσται', παραπλήσιον καὶ τοῦτο ἕξει τοῖς ἁπλοῖς προσδιορισμοῖς, ὡς ἐν τῷ 'πᾶς ἄνθρωπος πάσης ἐπιστήμης ἐστὶ δεκτικός'), εἰ μέντοι ἐπιρρηματικῶς λέγοιτο, ταὐτὸν δυνάμενον τῷ μόνως, τότε δὲ τρόπος οὐ τῷ ὑποκειμένῳ συνδυαζόμενος ἀλλὰ τῷ κατηγορουμένῳ καὶ σημαίνων τὸ εἰλικρινῶς αὐτοῦ τὸ ὑποκείμενον μετέχειν, ἀλλὰ μὴ σὺν τῷ ἀντικειμένῳ. διὸ τὸν μὲν θεὸν ἀθάνατον μόνως εἶναί φαμεν, τὴν μέντοι λογικὴν ψυχὴν καὶ τὸ κυκλοφορικὸν σῶμα καὶ ἀθάνατα καὶ οὐκ ἀθάνατα, τὸ μὲν ἀπονέμοντες αὐτοῖς διὰ τὴν οὐσίαν τὸ δὲ διὰ τὴν ἐνέργειαν, ἢ καὶ ἄμφω κατὰ τὴν οὐσίαν κατ' ἄλλην καὶ ἄλλην τοῦ ἀθανάτου σημασίαν· ἀμέλει καὶ ὁ Τίμαιος ἀθανάτοις μὲν ὁμώνυμον προσαγορεύει τὴν λογικὴν οὐσίαν ἡμῶν, οὐ πάμπαν δὲ ἀθάνατα τὰ οὐράνια σώματα. πλὴν οὐδὲ τότε τὸ μόνον ἢ ἀνθ' οὗ τοῦτο παραλαμβάνεται, τὸ μόνως, πλέον τι ἕξει τῶν πολλῶν καὶ

1 τῶν om. M προσδιορισμὸν A 2 ἀπόφασιν AFG¹a 3 τε om. a
5 μόνου] μόνον FG 6 βαδ. μόνον colloc. Aa ante οὐδὲν add. ζῶον AMa
8 ἄλλο A 9 μίαν A 10 τῷ μὴ ζῴῳ] τοῖς παρ' αὐτὸ (αὐτῶ G) FG 12 οὐ κατ' ἀνάγκην G¹ 14 μόνον AMa 15 γὰρ om. G 17 μόνον A τῶν] τὸν A 18 ἀποφαντ. G 20 ὁποίαν G 21 συμπλέκεσθαι τοῦ ὑποκειμένου A
23. 24 ἠμφίασται AMa 26 τῷ μόνως] τὸ μόνον G δὲ om. M; an δὴ?
ὁ τρόπος AMa 27 σημαῖνον F: σημαίνει G 28 ἀντικ.] ὑποκειμένῳ G²a 30 κυκλοφορητικὸν F 32. 33 ὁ Τίμαιος] Plat. Tim. p. 41 C 34 τότε τὸ] τοῦτο G ἢ — μόνως (35)] ὅτ' ἀντὶ τοῦ μόνως παραλαμβάνεται F 35 πλεῖον G

ἀναριθμήτων τρόπων, οἷον τοῦ καλῶς καὶ τοῦ σαφῶς, ὡς παραληφθῆναι πρὸς τὴν νῦν προκειμένην τῶν προτάσεων θεωρίαν.

Τίνα δὲ τρόπον ἐκ τῶν προκειμένων καταφάσεων ποιοῦμεν τὰς ἀπο- 25
φάσεις, ἐπὶ πλέον μὲν παρεπόμενοι τοῖς ὑπὸ τοῦ Ἀριστοτέλους περὶ τού-
5 των λεγομένοις ἐπισκεψόμεθα, νῦν δέ γε τοῦ ἀριθμοῦ τῶν μετὰ τρόπου
προτάσεων χάριν διὰ βραχέων ὑπομιμνήσκοντές φαμεν καὶ ἐν | ταύταις 175r
τῷ κυριωτάτῳ τῶν προτάσεων μορίῳ δεῖν συνταχθῆναι τὴν ἄρνησιν, ἵνα
τῆς καταφάσεως ἀναιρεθείσης γένηται ἡ ἀπόφασις. κυριώτατον δὲ μόριον
τῶν νῦν προκειμένων ἡμῖν προτάσεων ὁ τρόπος αὐτός, ἀφ' οὗ καὶ ὀνο- 5
10 μάζονται ὡς εἰδοποιοῦντος αὐτάς. ὥστε τῆς 'Σωκράτη βαδίσαι δυνατόν'
ἔσται ἀπόφασις οὐχ ἡ 'Σωκράτη μὴ βαδίσαι δυνατόν' (συναληθεύσει γὰρ
οὕτως ἡ ἀντίφασις, ἐπεὶ τὸ ἐνδεχόμενον ἅμα καὶ ἐκβῆναι καὶ μὴ ἐκβῆναι
δυνατόν), ἀλλ' ἡ 'Σωκράτη βαδίσαι οὐ δυνατόν', καὶ τῆς 'Σωκράτη 10
μουσικὸν εἶναι δυνατόν' οὐχ ἡ 'Σωκράτη μὴ μουσικὸν εἶναι δυνατόν'
15 οὐδ' ἡ 'Σωκράτη μουσικὸν μὴ εἶναι δυνατόν', ἀλλ' ἡ 'Σωκράτη μουσικὸν
εἶναι οὐ δυνατόν'. καὶ τοῦτο εἰκότως· ἐπεὶ γὰρ τὸ δυνατὸν τρόπος, ὁ δὲ
τρόπος ποιότητά τινα ὑπάρξεως σημαίνει, δεῖ ἄρα τῆς ὑπάρξεως τῆς αὐ- 15
τῆς μεσούσης, ἥτις ἐν τοῖς ὑποκειμένοις καὶ κατηγορουμένοις καὶ προσ-
κατηγορουμένοις ὅροις θεωρεῖται, τὴν ποιότητα κρίνεσθαι, εἴτε ἔστιν εἴτε
20 μή, καὶ θετικῶς μὲν λεγομένην κατάφασιν ποιεῖν ἀρνητικῶς δὲ ἀπόφασιν.
ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν λοιπῶν τρόπων, τοῦ τε ἀναγκαίου καὶ τοῦ 20
ἀδυνάτου· δεῖ γὰρ ἕνα καὶ τὸν αὐτὸν εἶναι κανόνα τῆς ἀντιθέσεως πασῶν τῶν
ὁμοειδῶν προτάσεων. τούτων οὖν οὕτως ἐχόντων λέγομεν ὅτι ἀνάγκη τῶν
τρόπων ἕκαστον προστίθεσθαι ἢ ταῖς ἐξ ὑποκειμένου καὶ κατηγορουμένου ἢ
25 ταῖς ἐκ τρίτου προσκατηγορουμένου προτάσεσιν. ἀλλὰ τῶν μὲν ἐξ ὑποκει- 25
μένου καὶ κατηγορουμένου τέσσαρας ἀνάγκη γίνεσθαι διαφοράς (ἢ γὰρ ἄμφω
τοὺς ὅρους ὡρισμένους ἕξουσιν, οἷον 'Σωκράτη βαδίσαι δυνατόν', ἢ ἄμφω
ἀορίστους, | οἷον 'οὐ Σωκράτη μὴ βαδίσαι δυνατόν', ἢ τὸν ὑποκείμενον 175v
ὡρισμένον τὸν δὲ κατηγορούμενον ἀόριστον, 'Σωκράτη μὴ βαδίσαι δυνατόν', ἢ
30 ἔμπαλιν, 'οὐ Σωκράτη βαδίσαι δυνατόν'), τῶν δὲ ἐκ τρίτου προσκατηγορου- 5
μένου ὀκτώ· ἢ γὰρ τούς τε ὅρους ἀμφοτέρους καὶ τὸ προσκατηγορούμενον
ὡρισμένως ληψόμεθα ἢ πάντα ἀορίστως, ἢ δύο μὲν ὡρισμένως τὸ δὲ λοιπὸν
ἀορίστως, ἢ ἔμπαλιν ἓν μὲν ὡρισμένως τὰ δὲ δύο ἀορίστως. ἀλλ' εἴ τε
τὰ δύο ὡρισμένα εἶεν τὸ δὲ ἓν ἀόριστον, τριχῶς συμβήσεται διαπλέκεσθαι 10

4 μὲν om. FG 5 ἐπισκεψώμεθα AGMa 6 τούτοις F 8 ante μόριον add. νῦν del. G 9 ἀφ' οὗ] αὐτοῦ F 9. 10 ὀνομάζοντες A 10 σωκράτην Ga (ubique) 11 μὴ superscr. A 14 εἶναι (prius)] βαδίσαι G¹ ἡ σωκράτη μὴ — οὐδ' (15) om. FG δυνατόν om. Ma 15 ἀλλ' — δυνατόν (16) om. FG¹ 17 σημαίνει — ὑπάρξεως om. FG¹ δεῖ] δὴ A 18. 19 προκατ. F 20 ποιεῖ A 23 λέγωμεν G 24 προτίθ. M 25 τῶν μὲν] τὸν μὲν A: καὶ τῶν FG 26 καὶ κατηγορουμένου om. G 27 σωκράτει G βαδίσαι — σωκράτη (28) om. G¹ 28 μὴ G: οὐ AMa: om. F 29 ante σωκρ. add. οἷον Ma σωκράτει FG 29. 30 ἢ ἔμπαλιν — δυνατόν om. F 30 ἔμπαλιν] τὸν ὑποκείμενον ἀόριστον τὸν δὲ κατηγορούμενον ὡρισμένον οἷον G σωκράτει G 30. 31 προσκατηγορούμενα G

τὰς προτάσεις (ἢ γὰρ τὰ πρῶτα δύο ληψόμεθα ὡρισμένα, τὸ ὑποκείμενον λέγω καὶ τὸ κατηγορούμενον, ἢ τὰ ἄκρα, τὸ ὑποκείμενον καὶ τὸ προσκατηγορούμενον, ἢ τὰ ὕστερα, τὸ κατηγορούμενον καὶ τὸ προσκατηγορούμενον), καὶ εἰ τὸ ἓν μόνον ὡρισμένον λαμβάνοιτο, τρεῖς πάλιν συμβαίνει γίνεσθαι προτάσεις, ἢ τοῦ ὑποκειμένου ὡρισμένου ὄντος ἢ τοῦ κατηγορουμένου ἢ τοῦ προσκατηγορουμένου. καὶ δῆλα τῶν ὀκτὼ προτάσεων τὰ παραδείγματα. καθ' ἕκαστον ἄρα τῶν τρόπων δώδεκα, ὅπερ ἐλέγομεν, συμβαίνει γίνεσθαι τὰς καθ' ἕκαστα ἀντιφάσεις, τοσαύτας δὲ δηλονότι καὶ τὰς ἀπροσδιορίστους καὶ ἔτι τὰς καθόλου καὶ τὰς κατὰ μέρος, πάσας δὲ ἅμα τεσσαράκοντα καὶ ὀκτώ. τριπλασιάσαντες οὖν ταύτας διὰ τὴν κατὰ τοὺς χρόνους τῶν κατηγορουμένων διαφορὰν καὶ πάλιν τὰς γενομένας διὰ τὰς ὅλας τριπλασιάσαντες καθ' ἕκαστον τῶν τρόπων εὑρήσομεν τετρακοσίας τριάκοντα καὶ δύο γινομένας ἀντιφάσεις. τῶν οὖν κυριωτάτων τρόπων τριῶν ὄντων, διότι τὸ | δυνατὸν ἢ τῷ ἐνδεχομένῳ μόνῳ συντρέχει 176r ἢ ἐκτείνεται καὶ ἐπὶ τὸ ἀναγκαῖον, οὐ μὴν ἔξω πίπτει τῶν εἰλημμένων τριῶν τρόπων, συμβαίνει πάσας τὰς μετὰ τρόπου ἀντιφάσεις γίνεσθαι τὸν ἀριθμὸν χιλίας διακοσίας ἐνενήκοντα ἕξ. ἐδείκνυμεν δὲ πρότερον τὰς μὲν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου ἑβδομήκοντα καὶ δύο οὔσας, τὰς δὲ ἐκ τρίτου προσκατηγορουμένου ἑκατὸν τεσσαράκοντα καὶ τέσσαρας· ἅμα ἄρα πᾶσαι αἱ ἐν τῷ Περὶ ἑρμηνείας παραδεδομέναι ἀντιφάσεις ἔσονται χίλιαι πεντακόσιαι δέκα καὶ δύο. προτάσεις δὲ δηλονότι διπλάσιαι τούτων. πᾶσιν οὖν τοῖς προτεθεῖσιν ἐπελθόντες αὐτὴν λοιπὸν τὴν λέξιν τοῦ Ἀριστοτέλους ἐπισκεψώμεθα.

p. 21a38 Εἰ γὰρ τῶν συμπλεκομένων αὗται ἀλλήλαις ἀντίκειν-
ται αἱ ἀντιφάσεις, ὅσαι κατὰ τὸ εἶναι καὶ μὴ εἶναι τάττονται,
οἷον τοῦ εἶναι ἄνθρωπον ἀπόφασις τὸ μὴ εἶναι ἄνθρωπον,
οὐ τὸ εἶναι μὴ ἄνθρωπον, καὶ τοῦ εἶναι λευκὸν ἄνθρωπον τὸ
μὴ εἶναι λευκὸν ἄνθρωπον, ἀλλ' οὐ τὸ εἶναι μὴ λευκὸν ἄνθρω-
πον (εἰ γὰρ κατὰ παντὸς ἡ κατάφασις ἢ ἡ ἀπόφασις, τὸ ξύλον
ἔσται ἀληθὲς εἰπεῖν εἶναι μὴ λευκὸν ἄνθρωπον), εἰ δὴ τοῦτο
οὕτως, καὶ ὅσαις τὸ εἶναι μὴ προστίθεται, τὸ αὐτὸ ποιήσει τὸ
ἀντὶ τοῦ εἶναι λεγόμενον, οἷον τοῦ ἄνθρωπος βαδίζει οὐ τὸ
οὐκ ἄνθρωπος βαδίζει ἀπόφασίς ἐστιν, ἀλλὰ τὸ οὐ βαδίζει

2. 3 ἢ τὰ ἄκρα — προσκατηγορούμενον om. FG[1] 3. 4 ἢ τὰ ὕστερα — προσκατηγορούμενον om. M 3 καὶ] ἢ FG[1] 4 ὡρισμένως Ma 7 τρόπον F[1] δώδεκα ante τρόπων colloc. a ἐλέγομεν] p. 218,26. 31 12. 13 τριακοσίας A[1] 14 μόνον A: om. FG συντρέχειν A[1] 16 συμβαίνειν A 17 καὶ ἕξ a πρότερον] p. 91,2 160,31 18 alt. καὶ om. a 21 καὶ om. M post τούτων add. ἤγουν τρισχίλιαι εἴκοσι καὶ τέτταρες a 25 αἱ om. AMab (cf. p. 221,25) ὅσαι — οὐκ ἀληθές (221,10) om. M τὸ μὴ εἶναι καὶ εἶναι colloc. FG τάττονται — οὐκ ἀληθές (221,10) om. a 26 τὸ] τοῦ G 27. 28 οὐ — τὸ μὴ εἶναι λευκὸν ἄνθρωπον om. G 28 prius ἄνθρωπον om. F 29 ἡ (ante ἀπόφ.) om. G 30 δὴ] δὲ Gb τοῦτο om. AG 31 ὅσοις Gb προστίθεσθαι A 31. 32 τὸ ἀντὶ — οὐκ ἀληθές (221,10) om. G 33 ἐστιν A: ἔσται b: om. F

ἄνθρωπος (οὐδὲν γὰρ διαφέρει εἰπεῖν ἄνθρωπον βαδίζειν ἢ ἄνθρωπον βαδίζοντα εἶναι· ὥστε εἰ οὕτω πανταχοῦ. καὶ τοῦ δυνατὸν εἶναι ἀπόφασις ἔσται οὐ τὸ μὴ δυνατὸν εἶναι, ἀλλὰ τὸ δυνατὸν μὴ εἶναι. δοκεῖ | δὲ τὸ αὐτὸ δύνασθαι καὶ εἶναι καὶ μὴ 176v
5 εἶναι· πᾶν γὰρ τὸ δυνατὸν τέμνεσθαι ἢ βαδίζειν καὶ μὴ βαδίζειν καὶ μὴ τέμνεσθαι δυνατόν. λόγος δέ, ὅτι ἅπαν τὸ οὕτως δυνατὸν οὐκ ἀεὶ ἐνεργεῖ, ὥστε ὑπάρξει αὐτῷ καὶ ἡ ἀπόφασις· 5
δύναται γὰρ καὶ μὴ βαδίζειν τὸ βαδιστικὸν καὶ μὴ ὁρᾶσθαι τὸ ὁρατόν. ἀλλὰ μὴν ἀδύνατον κατὰ τοῦ αὐτοῦ ἀληθεύεσθαι τὰς
10 ἀντικειμένας φάσεις· οὐκ ἄρα τοῦ δυνατὸν εἶναι ἀπόφασίς ἐστι τὸ δυνατὸν μὴ εἶναι· συμβαίνει γὰρ ἐκ τούτων ἢ τὸ αὐτὸ φάναι καὶ ἀποφάναι ἅμα κατὰ τοῦ αὐτοῦ, ἢ μὴ κατὰ τὸ εἶναι 10
καὶ μὴ εἶναι τὰ προστιθέμενα γίνεσθαι φάσεις καὶ ἀποφάσεις. εἰ οὖν ἐκεῖνο ἀδύνατον, τοῦτο ἂν εἴη αἱρετόν. ἔστιν ἄρα ἀπό-
15 φασις τοῦ δυνατὸν εἶναι τὸ μὴ δυνατὸν εἶναι. ὁ δὲ αὐτὸς λόγος καὶ περὶ τοῦ ἐνδεχόμενον εἶναι, καὶ ἐπὶ τῶν ἄλλων δὲ 15
ὁμοιοτρόπως, οἷον ἀναγκαίου τε καὶ ἀδυνάτου. γίνεται γὰρ ὥσπερ ἐπ' ἐκείνων τὸ εἶναι καὶ τὸ μὴ εἶναι προσθέσεις, τὰ δ' ὑποκείμενα πράγματα τὸ μὲν λευκὸν τὸ δ' ἄνθρωπος, οὗ- 20
20 τως ἐνταῦθα τὸ μὲν εἶναι καὶ μὴ εἶναι ὡς ὑποκείμενον γίνεται, τὸ δὲ δύνασθαι καὶ τὸ ἐνδέχεσθαι προσθέσεις διορίζουσαι. ὥσπερ ἐπ' ἐκείνων τὸ εἶναι καὶ μὴ εἶναι, τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. ὁμοίως αὗται ἐπὶ τοῦ εἶναι δυνατὸν καὶ εἶναι οὐ 25
δυνατόν. τοῦ δὲ δυνατὸν μὴ εἶναι ἀπόφασις οὐ τὸ οὐ δυνατὸν
25 εἶναι, ἀλλὰ τὸ οὐ δυνατὸν μὴ εἶναι, καὶ τοῦ δυνατὸν εἶναι οὐ τὸ δυνατὸν μὴ εἶναι, ἀλλὰ τὸ μὴ δυνατὸν εἶναι. διὸ καὶ ἀκολουθεῖν ἂν δόξαιεν | ἀλλήλαις αἱ τοῦ δυνατὸν εἶναι καὶ 177r
δυνατὸν μὴ εἶναι· τὸ γὰρ αὐτὸ δυνατὸν εἶναι καὶ μὴ εἶναι· οὐ γὰρ ἀντιφάσεις ἀλλήλων αἱ τοιαῦται. ἀλλὰ τὸ δυνατὸν εἶναι
30 καὶ μὴ δυνατὸν εἶναι οὐδέποτε ἐπὶ τοῦ αὐτοῦ ἅμα ἀληθεύονται 5
(ἀντίκεινται γάρ), οὐδέ γε τὸ δυνατὸν μὴ εἶναι καὶ τὸ οὐ δυνατὸν μὴ εἶναι οὐδέποτε ἅμα ἐπὶ τοῦ αὐτοῦ ἀληθεύονται. ὁμοίως δὲ καὶ τοῦ ἀναγκαῖον εἶναι ἀπόφασις οὐ τὸ ἀναγκαῖον μὴ εἶναι,

3. 4 τὸ δυνατὸν μὴ εἶναι ἀλλ' οὐ τὸ μὴ δυν. εἶναι Ab (cf. p. 222,26) 4 ταὐτὸν F 5 post ἢ add. καὶ F 5. 6 καὶ μὴ τέμνεσθαι καὶ (ἢ m²) μὴ βαδίζειν colloc. F 12 ἅμα om. F post ἅμα add. καὶ b μὴ om. et ante γίν. (13) superscr. F 15 τὸ] τοῦ F¹ post alt. εἶναι add. ἀλλ' οὐ τὸ δυνατὸν μὴ εἶναι F 16 post ἐνδεχ. εἶναι add. καὶ γὰρ τούτου ἀπόφασις τὸ μὴ ἐνδεχόμενον εἶναι b 18 πρόσθεσις F 20 ante ἐνταῦθα add. καὶ F ante μὴ add. τὸ F ὑποκείμενα F 21 τὸ (alt.) om. F 23 εἶναι οὐ] μὴ εἶναι F 26 alt. μὴ] οὐ F καὶ om. A 27 δόξειεν A: δόξειαν b αἱ—μὴ εἶναι (28) in mrg. suppl. A τοῦ b: τὸ A: om. F καὶ—μὴ εἶναι (28) suppl. F² 27. 28 καὶ τὸ δυνατὸν A 29 post τοιαῦται add. τὸ δυνατὸν εἶναι καὶ δυνατὸν μὴ εἶναι b 30 ante μὴ superscr. τὸ A ἅμα ἐπὶ τοῦ αὐτοῦ colloc. F 31 ἀντίκεινται—ἀληθεύονται (32) suppl. F² ἀντίκειται A alt. τὸ om. b οὐ] μὴ F 33 μὴ om. A

ἀλλὰ τὸ μὴ ἀναγκαῖον εἶναι, τοῦ δὲ ἀναγκαῖον μὴ εἶναι τὸ μὴ ἀναγκαῖον μὴ εἶναι, καὶ τοῦ ἀδύνατον εἶναι οὐ τὸ ἀδύνατον μὴ εἶναι, ἀλλὰ τὸ μὴ ἀδύνατον εἶναι, τοῦ δὲ ἀδύνατον μὴ εἶναι τὸ οὐκ ἀδύνατον μὴ εἶναι. καὶ καθόλου δέ, ὥσπερ εἴρηται, τὸ μὲν εἶναι καὶ μὴ εἶναι δεῖ τιθέναι ὡς τὰ ὑποκείμενα, κατάφασιν δὲ καὶ ἀπόφασιν ταῦτα ποιοῦντα πρὸς τὸ εἶναι καὶ μὴ εἶναι συντάττειν. καὶ ταύτας οἴεσθαι χρὴ εἶναι τὰς ἀντικειμένας φάσεις· δυνατόν — οὐ δυνατόν, ἐνδεχόμενον — οὐκ ἐνδεχόμενον, ἀδύνατον — οὐκ ἀδύνατον, ἀναγκαῖον — οὐκ ἀναγκαῖον, ἀληθές — οὐκ ἀληθές.

Βούλεται μέν, ὥσπερ ἐλέγομεν, ἐπισκέψασθαι διὰ τούτων τίνα τρόπον ἐκ τῶν μετὰ τρόπου καταφάσεων γίνεσθαι χρὴ τὰς ἀποφάσεις· ὅπερ δὲ ἄν τις περὶ αὐτῶν πιθανὸν εἶναι ὑπέλαβεν, οὐκ ὂν ἀληθές, λέγω δὲ τὸ παραπλησίως ταῖς ἄνευ τρόπου προτάσεσι καὶ ἐπὶ τούτων γίνεσθαι τὰς ἀποφάσεις, τοῦτο προλαβὼν διελέγχει, πρὶν ὑφηγήσασθαι ὅπως ἔχει τὸ ἀληθές. ἐγίνοντο δὲ τῶν ἄνευ τρόπου καταφάσεων τῶν δίχα προσδιορισμοῦ | λεγομένων αἱ ἀποφάσεις τοῦ ἀρνητικοῦ μορίου προταττομένου 177v τοῦ ἔστι τοῦ ληφθέντος ἐν ταῖς προτάσεσιν ἢ κατ' ἐνέργειαν ἢ πάντως γε κατὰ δύναμιν. τοῦτο οὖν δείκνυσι μὴ δυνάμενον προχωρεῖν ἐπὶ τῶν μετὰ τρόπου προτάσεων, κατασκευάζειν πρότερον διὰ πλειόνων πειρώμενος ὅτι ὄντως ἐστὶ πιθανόν, ἵνα μή τινες τῶν ὕστερον τῶν λόγων τούτων ἀκούσαντες καὶ καλῶς ἔχειν αὐτοὺς νομίσαντες κατ' ἐκεῖνον τὸν τρόπον οἰηθῶσι καὶ ἐπὶ τούτων τῶν προτάσεων γίνεσθαι τὰς ἀντιφάσεις. φησὶν οὖν εἰ γὰρ τῶν συμπλεκομένων ἀλλήλαις φωνῶν καὶ προτάσεων αὗται ἀλλήλαις ἀντίκεινται αἱ ἀντιφάσεις, ὅσαι κατὰ τὸ εἶναι καὶ μὴ εἶναι τάττονται, διὰ μὲν βραχυλογίαν ἐλλιπέστερον αὐτὸ ἀπαγγείλας, βουλόμενος δὲ εἰπεῖν 'εἰ γὰρ τῶν συμπλεκομένων ἀλλήλαις φωνῶν καὶ προτάσεων γινομένων αὗται ἀντίκεινται ἀλλήλαις πρὸς τὸ ποιῆσαι ἀντιφάσεις, ὅσαι κατὰ τὸ εἶναι καὶ μὴ εἶναι τὴν ἀντίθεσιν ἔχουσιν', ἢ μᾶλλον οὕτως, ἵνα μὴ πλείονα ἔξωθεν προσυπακούειν ἀναγκαζώμεθα, 'εἰ τῶν συμπλεκομένων, τοῦτ' ἔστι συνδυαζομένων, προτάσεων πρὸς τὴν γένεσιν τῶν ἀντιφάσεων αὗται ἀλλήλαις ἀντίκεινται, ὅσαι κατὰ τὸ εἶναι καὶ μὴ εἶναι διακρίνονται'. καὶ πρὶν τὸ ἀκόλουθον ἐπαγαγεῖν, ὅτι καὶ ἐπὶ τῶν μετὰ τρόπου προτάσεων δεήσει τοῦτο οὕτως ἔχειν, εὐθὺς αὐτῶν παραθέμενος τὰ παραδείγματα τῶν ἄνευ τρόπου, πρότερον μὲν τῶν ἐνεργείᾳ τὸ ἔστιν ἐχουσῶν,

3 prius μὴ] οὐκ F 5 μὲν om. F 7 συνάπτειν F εἶναι (alt.) om. A 8 post φάσεις add. καὶ ἀποφάσεις F 11 μέν om. F ἐλέγομεν] p. 214,10 12 ὥσπερ A 13 πιθ. περὶ αὐτῶν colloc. G ὄν] ἦν a 15 παραλαβὼν G¹ ὅπως om. F 18 τοῦτ' ἔστι FGM: om. a 19 μὴ superscr. A 24 συμπεπλεγμ. A ἀλλήλαις—προτάσεων ex v. 27. 28 irrepsisse videntur ἀλλήλας A 25 πρὸς ἀλλήλαις F: πρὸς ἀλλήλας GMa ἀντίκειται A αἱ om. FGb 26 ἐλλειπέστερον AMa ἀπαγείλ. M 27 συμπεπλεγμ. AMa 30 πλέον F εἰ τῶν] εἰπὼν A 31 γέννησιν F 34 εὐθὺς om. FG αὐτῶν scripsi: αὐτὸ A: αὐτῷ Ma: om. FG

ἐπὶ δὲ ταύταις τῶν δυνάμει, καὶ ἐν ταῖς ἐνεργείᾳ τὸ ἔστιν ἐχούσαις προ-
τάξας τὴν ἐξ ὑποκειμένου καὶ κατηγορου|μένου τῆς ἐκ τρίτου προσκατη- 178r
γορουμένου, δείκνυσιν ἐπὶ πασῶν μὴ ἄλλως τὴν ἀπόφασιν γινομένην, εἰ
μὴ τῷ ἔστι τὸ ἀρνητικὸν συμπλακείη μόριον, ἐπὶ δὲ τῶν ἐκ τρίτου προσ-
5 κατηγορουμένου καὶ διελέγχει τοὺς οἰομένους γίνεσθαι τὴν ἀπόφασιν τῆς 5
ἀρνήσεως μὴ πρὸ τοῦ ἔστι τιθεμένης ἀλλὰ πρὸ τοῦ κατηγορουμένου, ὥστε
λέγεσθαι τῆς 'ἄνθρωπος λευκός ἐστιν' ἀπόφασιν τὴν 'ἄνθρωπος οὐ λευκός
ἐστιν'· εἰ γὰρ σώσομεν, φησί, τὸ ἀξίωμα τῆς ἀντιφάσεως, ὁμολογοῦντες
κατὰ παντός, οὗ ἄν τις λάβῃ, δεῖν τὴν κατάφασιν ἀληθεύειν ἢ τὴν ἀπό- 10
10 φασιν, δεήσει καὶ τούτων τῶν προτάσεων, τῆς 'ἄνθρωπος λευκός ἐστι' καὶ
'ἄνθρωπος οὐ λευκός ἐστιν, ἐπὶ τοῦ ξύλου λαμβανομένων τὴν ἑτέραν ἀλη-
θεύειν, ἅτε ἀντιφατικῶς ἀντικεῖσθαι λεγομένων καὶ συμψεύδεσθαι μηδέποτε 15
δυναμένων. ὥστε ἐπεὶ ψευδὴς ὁμολογουμένως ἡ κατάφασις ἡ λέγουσα τὸ
ξύλον ἄνθρωπον εἶναι λευκόν, ἀνάγκη τὴν ἀπόφασιν ἀληθεύειν τὴν λέγου-
15 σαν τὸ ξύλον ἄνθρωπον εἶναι μὴ λευκόν. εἰ οὖν τοῦτο ἐναργῶς ἄτοπον,
δῆλον ὅτι τῆς 'ἄνθρωπος λευκός ἐστιν' ἀπόφασις ἔσται ἡ 'ἄνθρωπος λευ- 20
κὸς οὐκ ἔστι', τῷ ἔστιν αὐτῷ συμπλέκουσα τὸ ἀρνητικὸν μόριον.

Τοῦτο οὖν καὶ ἐπὶ τῶν δυνάμει τὸ ἔστιν ἐχουσῶν οὕτως ἔχον ἐπι-
δείξας, οἷον τῆς 'ἄνθρωπος βαδίζει', τῷ ἀναλῦσαι τὸ βαδίζει εἰς τὴν μετο-
20 χὴν καὶ τὸ ἔστι καὶ καταλιπεῖν συλλογίζεσθαι ἡμῖν ὡς εἰ ἐπὶ τῆς ἀναλελυ- 25
μένης προτάσεως καὶ ἐνεργείᾳ τὸ ἔστιν ἐχούσης αὐτῷ τῷ ἔστι συμπλέ-
κοντες τὴν ἄρνησιν ποιοῦμεν τὴν ἀπόφασιν, δεήσει καὶ ἐπὶ τῆς κατὰ
δύναμιν αὐτὸ ἐχούσης | τῷ περιέχοντι αὐτὸ μορίῳ τῆς προτάσεως τὸ 178v
ἀποφατικὸν μόριον συμπλέκειν· ταῦτα οὕτως ἔχοντα ἐπὶ πασῶν τῶν ἄνευ
25 τρόπου προτάσεων ἐπιδείξας, ἐπιφέρει ὥστε εἰ οὕτω παντα χοῦ, καὶ
τοῦ δυνατὸν εἶναι ἀπόφασις ἔσται οὐ τὸ μὴ δυνατὸν εἶναι, ἀλλὰ 5
τὸ δυνατὸν μὴ εἶναι, σαφῶς μὲν ἐκ τῆς ὁμοιότητος τῆς πρὸς τὰς
ἄλλας προτάσεις συλλογίζεσθαι ἀξιῶν ὅτι καὶ ἐπὶ τῶν μετὰ τρόπου τὴν
ἀπόφασιν ποιήσομεν τοῦ ἔστιν ἀλλ' οὐ τοῦ τρόπου προτιθέντες τὴν ἄρνη-
30 σιν. ἐπάγων δὲ τὸν ἔλεγχον τῶν οὕτως ὑπολαμβανόντων ἐκ τοῦ ἐπιδεῖξαι 10
τὴν διαφορὰν τῶν μετὰ τρόπου προτάσεων καὶ τῶν ἄνευ τρόπου, ὅτι ἐπὶ
μὲν τῶν ἄνευ τρόπου τὰς κατὰ τὸ ἔστι καὶ οὐκ ἔστι μαχομένας ἀλλήλαις
προτάσεις κατὰ τοὺς παραδεδομένους πρότερον διορισμοὺς ἀδύνατον ἢ συνα- 15
ληθεύειν ἢ συμψεύδεσθαι ἀλλήλαις, ἐπὶ δὲ τῶν μετὰ τρόπου κατά τε τὸ

---

2 ante τῆς add. τουτέστι AMa τῆς] τὴν Brand. 4 τῷ] τὸ A¹ συμπλεκείη A: συμπλακῆ FG δὲ om. F 5 καὶ om. AG ἐλέγχει G ante οἰομ. add. οἷον γίγνεσθαι τοὺς M 7 τῆς ex τις corr. A 8 δώσομεν Ma 9 τις om. FG¹ 10 τούτων τῆς προτάσεως M 15 μὴ] οὐ Ma 18. 19 ἐπιδεῖξαι A 19 τῷ] τὸ AMa βαδίζειν (alt. l.) AMa 20 ante καταλιπεῖν add. τὸ a καταλιπὼν F ὡς εἰ] ὡσεὶ AFG: ὡς Ma 22 prius τὴν om. a 23 αὐτῷ (alt. l.) AF 24 ταῦτα οὖν a πάντων FG 26 τοῦ] τῶν G οὐ — μὴ εἶναι (27)] cf. p. 220,3. 4 not. μὴ om. a 28 μετὰ] κατὰ F 29 ante ποήσ. add. οὕτως F ποιήσωμεν A τοῦτ' ἔστι FG¹ ἀλλ' οὐ] αὐτοῦ F τρόπου] πρώτου G προστιθ. A 33 πρότερον] p. 160,4 sq. 33. 34 ἢ συναληθεύειν om. A 34 τε om. FG

δυνατὸν καὶ τὸ ἐνδεχόμενον αἱ τοῦτον τὸν τρόπον ἀντικείμεναι οὐκ ἀντιφάσκουσαι ἀλλήλαις ἀλλὰ συναληθεύουσαι καταλαμβάνονται, αἱ δέ γε προτάττουσαι τῶν τρόπων τὰς ἀρνήσεις σώζουσι τὸ ἀξίωμα τῆς ἀντιφάσεως μήτε ἅμα ἀληθεῖς μήτε ἅμα ψευδεῖς ποτε γινόμεναι. τοῦ δὲ συναληθεύειν ἐπὶ τοῦ δυνατοῦ καὶ ἐνδεχομένου τὰς κατὰ τὸ εἶναι καὶ μὴ εἶναι διαφερούσας προτάσεις τὴν αἰτίαν ἀπὸ τῶν πραγμάτων αὐτῶν ἀποδίδωσι, λόγον αὐτὴν προσαγορεύων, ὡς καὶ Πλάτων ἐν Γοργίᾳ "ἐγὼ δὲ τέχνην οὐ καλῶ, ὃ ἂν ᾖ ἄλογον πρᾶγμα", λέγων δὲ ὅτι ἅπαν τὸ οὕτω δυνατόν, τοῦτ' ἔστι τὸ μὴ ἐπὶ τοῦ ἀναγκαίου λεγόμενον, ὅπερ ἐν τοῖς ἑξῆς ῥηθήσεται, ἀλλ' ἐπὶ μόνου τοῦ ἐνδεχομένου, οὐκ ἀεὶ ἐνεργεῖ οὐδὲ ἀεὶ ἔστιν. 179r ἐπεὶ οὐκέτι ἂν ἦν ἐνδεχόμενον, ἀλλὰ καὶ τοῦ μὴ εἶναι τὴν δύναμιν ἅμα ἔχει καὶ τοῦ γενέσθαι καὶ τοῦ μὴ γενέσθαι, ὡς διώρισται προτέρον· ὥστε καὶ τῶν λεγομένων περὶ αὐτῶν ἀποφάνσεων ἑκατέρα ἔσται ἀληθής, ἥ τε δύνασθαι εἶναι αὐτὸ καὶ ἡ δύνασθαι μὴ εἶναι λέγουσα καὶ ἡ δύνασθαι γενέσθαι καὶ ἡ δύνασθαι μὴ γενέσθαι. διὸ παραιτεῖσθαι ἀξιοῖ τοῦτον τὸν τρόπον τῆς ἀντιθέσεως οὐ ποιοῦντα ἀντίφασιν. καὶ διὰ τοῦτο ἐπὶ πασῶν τῶν μετὰ τρόπου προτάσεων πρὸ τῶν τρόπων τιθεμένης τῆς ἀρνήσεως γίνεσθαί φησι τὰς ἀποφάσεις, ἵνα τεχνικῶς ἐπὶ πασῶν ἑνὶ καὶ τῷ αὐτῷ κανόνι χρώμενοι τάς τε ἀποφάσεις λαμβάνωμεν καὶ τὰς ἀντιφάσεις, ἐπεὶ οὐ δοκεῖ ὁ ἐπὶ τοῦ δυνατοῦ ῥηθεὶς ἔλεγχος τοῦ μὴ γενέσθαι τὰς ἀντιφάσεις κατὰ τὸ εἶναι καὶ μὴ εἶναι καὶ ἐπὶ τοῦ ἀναγκαίου τρόπου ἢ τοῦ ἀδυνάτου χώραν ἔχειν (οὐ γὰρ ἔτι τῇ ἀναγκαῖον εἶναι συναληθεύει ἡ ἀναγκαῖον μὴ εἶναι ἢ τῇ ἀδύνατον εἶναι ἡ ἀδύνατον μὴ εἶναι), ἀλλὰ καὶ καθ' ἑκάτερον τρόπον ἔστι συλλογίσασθαι ὅτι οὐδὲ αὗται ἀντιφάσκουσι πρὸς ἀλλήλας, εἴπερ ἐπὶ τῶν ἐνδεχομένων ἄμφω ψευδεῖς οὖσαι καταλαμβάνονται· οὔτε γὰρ ἀναγκαῖον εἶναι οὔτε ἀναγκαῖον μὴ εἶναι τὸ δυνάμενον εἶναι καὶ μὴ εἶναι, οὔτε ἀδύνατον εἶναι οὔτε ἀδύνατον μὴ εἶναι. ὥστε καὶ ἐπὶ τούτων δεῖ κατὰ τοὺς τρόπους γίνεσθαι τὰς καταφάσεις καὶ τὰς ἀποφάσεις.

Εἰδέναι μέντοι χρὴ ὅτι μόνου μὲν τοῦ εἶναι ἀπαρεμφάτου ῥήματος ἐν τῇ μετὰ τρόπου προτάσει κειμένου | ἀναμφισβητήτως κατὰ μόνον τὸν 179v τρόπον γίνεται ἡ ἀπόφασις. ἀλλ' οὐ τελεία ἡ τοιαύτη πρότασις, διότι χρεία πρὸς τὸν αὐτοτελῆ ἀποφαντικὸν λόγον ῥήματος κατὰ τὴν ὁριστικὴν παρὰ τοῖς γραμματικοῖς λεγομένην ἔγκλισιν προφερομένου. ὥστε ἡ αὐτό-

---

1. 2 ἀντιφάσκουσιν FG 4 ἅμα (alt.) om. FG¹ 4. 5 post συναλ. add. καὶ M 5 τὰς om. a 7 ἐν Γοργίᾳ] p. 465 A 8 λέγων] λόγος FG: λέγω a ὅτι ἔστι G πᾶν G 12 ἔχειν G διώρισται πρότερον] p. 143,22 13 ἀποφάσεων FG 14 μὴ εἶναι — δύνασθαι om. M 16 an ἀντιθέσεως ⟨ὡς⟩? 19 χρώμεθα G¹ λαμβάνομεν AG 20 ἀδυνάτου M: evan. A γίνεσθαι FG²: δύνασθαι G¹ 21 post ἢ add. ἐπὶ a 22 ἔχει G συναληθεύειν G 23 τῇ] τί G ἀδύν. (alt.)] δυνατὸν a 26 οὔτε (prius)] οὕτως F οὔτε ἀναγκ. μὴ εἶναι om. FG¹ ante alt. ἀναγκ. add. καὶ Ma 30 εἰδέναι — χρὴ om. FG¹ 31 τρόπον G 33 ἀποφατικὸν Ma 34 πραγματικοῖς F προφερομένη G

θεν τοῦ ἔστι δεησόμεθα κατ' ἐνέργειαν λεγομένου, εἴπερ ὡς ἐπὶ τρίτου τινὸς προσώπου ποιοίμεθα τὴν ἀπόφανσιν, ἤ τινος ἄλλου δυνάμει τὸ ἔστιν ἐν ἑαυτῷ περιέχοντος. ἀλλὰ τοῦτο μὲν καθόλου περὶ πασῶν εἴρηται τῶν αὐτοτελῶν ἀποφάνσεων, ἐπὶ δέ γε τῶν μετὰ τρόπου λεγομένων αὐτοῦ μόνου χρεία τοῦ ἔστιν, ἢ κατ' ἐνέργειαν ἐκφερομένου ἢ ἔξωθεν τῇ προτάσει προσυπακουομένου· ἢ γὰρ ὅτι Σωκράτη βαδίσαι δυνατόν ἐστι λέγομεν καὶ Σωκράτη μουσικὸν εἶναι δυνατόν ἐστι, κατ' ἐνέργειαν τὸ ἔστι λέγοντες, ἢ κἂν ἄνευ τοῦ ἔστι προενεγκώμεθα τὰς προτάσεις, 'Σωκράτη βαδίσαι δυνατόν' καὶ 'Σωκράτη μουσικὸν εἶναι δυνατόν' λέγοντες, τὸ ἔστι προσυπακούεσθαι καθ' ἑκατέραν ἀξιοῦμεν. ὅταν μὲν οὖν μὴ ᾖ κατ' ἐνέργειαν ἐν τῇ μετὰ τρόπου προτάσει τὸ ἔστι λεγόμενον, ἀναμφισβητήτως μόνῳ τῷ τρόπῳ προστεθεῖσα ἡ ἄρνησις ποιήσει τὴν ἀπόφασιν, ἀλλ' οὐχὶ τῷ εἶναι ἀπαρεμφάτῳ ῥήματι, οὐδ' ἔτι μᾶλλον τῷ ὑποκειμένῳ ἢ τῷ κατηγορουμένῳ ὅρῳ. ὅταν μέντοι καὶ τὸ ἔστι κατ' ἐνέργειαν ἐν ταῖς προτάσεσι λέγωμεν, οὐ μᾶλλον τῷ τρόπῳ ἢ τῷ ἔστι συμπλέκοντες τὴν ἄρνησιν τὴν ἀπόφασιν ποιήσομεν· τῆς γὰρ 'αὔριον ναυμαχίαν γενέσθαι δυνατόν ἐστι' καταφάσεως οὐ μᾶλλον εἴποις ἂν ἀπόφασιν εἶναι τὴν 'αὔριον ναυμαχίαν γενέσθαι οὐ δυνα|τόν ἐστιν' ἢ τὴν 'αὔριον ναυμαχίαν γενέσθαι δυνατὸν 180r οὐκ ἔστιν'· οὐδὲ γὰρ αὕτη, καίτοι τῷ ἔστι συμπλέκουσα τὴν ἄρνησιν, συνάσεταί ποτε τῇ εἰρημένῃ καταφάσει.

Ἆρ' οὖν ῥητέον ὅτι κατὰ μίαν μέθοδον ἐπὶ πασῶν τῶν προτάσεων, τῶν τε ἄνευ τρόπου καὶ τῶν μετὰ τρόπου, τῷ ἔστι συμπλέκοντες τὴν ἄρνησιν τὴν ἀπόφασιν ποιοῦμεν, καὶ ὥσπερ ἐπὶ τῶν ἄνευ τρόπου μετὰ προσδιορισμοῦ λεγομένων καταφάσεων συνέβαινε τοῦ ἔστιν ἐν αὐταῖς ἐνεργείᾳ κειμένου κατὰ δύο τρόπους γίνεσθαι τὰς ἀποφάσεις, ποτὲ μὲν τοῦ προσδιορισμοῦ ποτὲ δὲ τοῦ ἔστιν, ἢ τοῦ ἐνεργείᾳ ἢ τοῦ δυνάμει λεγομένου, προσλαμβάνοντος τὴν ἄρνησιν, ἄνευ μέντοι τοῦ ἔστι παντελῶς τῶν προτάσεων λεγομένων κατὰ μόνον τὸν προσδιορισμὸν ἐποιοῦμεν τὴν ἀπόφασιν. ὡς ἐπὶ τῶν 'πᾶς ἄνθρωπος ζῷον — οὐ πᾶς ἄνθρωπος ζῶον', οὕτω καὶ ἐπὶ τῶν μετὰ τρόπου τὸ μὲν ἔστι κατ' ἐνέργειαν ἐχουσῶν διχῶς γίνεσθαι τὴν ἀπόφασιν ἐροῦμεν, ποτὲ μὲν τοῦ τρόπου ποτὲ δὲ τοῦ ἔστι προσλαμβάνοντος τὴν ἄρνησιν, μὴ ἐχουσῶν μέντοι κατὰ μόνον τὸν τρόπον, ὡς καὶ ὁ Ἀριστοτέλης ἡμᾶς ἐδίδαξεν; ἢ οὔτε ἐπὶ τῶν ἄνευ τρόπου προσδιωρισμένων προτάσεων τὰς κατὰ τὸ ἔστι γινομένας ἀποφάσεις ἀντιφάσκειν πρὸς τὰς καταφάσεις ἐλέγομεν, ἀλλ' ἐπὶ μὲν τῶν καθόλου γίνεσθαι τὴν ἐναντίαν

2 προσώπου om. M ποιούμεθα A ἀπόφασιν FGMa τὸ ἔστιν] τοῦτο F 3 αὐτῶ F 4 ἀπαφάσεων G 5 τουτέστι G 6 σωκράτει G 8 προεπενεγκ. a 9 ante λέγοντες add. εἶναι FG¹ (del. G²) 11 μόνον G 12 προστιθεῖσα G ποιεῖται G τῷ] τὸ G 13. 14 ὅρω post ὑποκειμ. colloc. M 15 λεγόμενον M οὐ om. M 16 ποιήσωμεν M 20 συνάσεται scripsi: συνέσεται libri 22 καὶ τῶν μετὰ τρόπου — τρόπου (23) om. FG¹ 23 τὴν om. Ma 26 ἢ τοῦ δυνάμει ἢ τοῦ ἐν. colloc. M 28 μόνων τῶν προσδιορισμῶν Ga 30 τὸ] τῶν F γενέσθαι G 32 μόνων τῶν τρόπων G 33 ὁ om. FGMa οὔτε] οὕτως F 35 ἐλέγομεν] p. 95,22 180,6 sq. μὲν om. FG

ἐπὶ δὲ τῶν κατὰ μέρος τὴν ὑπεναντίαν, οὔτε εἰ ἐπὶ τῶν ἄνευ τρόπου τοῦτο οὕτως εἶχεν, ἤδη καὶ ἐπὶ τῶν μετὰ τρόπου διχῶς ἀναγκαῖον ἦν, ὡς προείρηται, γίνεσθαι τὰς ἀποφάσεις· ὅλως γὰρ οὐδὲ ἔχει τινὰ κατὰ τὴν δύναμιν διαφορὰν ἡ 'Σωκράτη | βαδίσαι δυνατόν' κατάφασις πρὸς 180v τὴν 'Σωκράτη βαδίσαι δυνατόν ἐστιν' ἢ ἡ 'Σωκράτη μουσικὸν εἶναι δυνατόν' πρὸς τὴν 'Σωκράτη μουσικὸν εἶναι δυνατόν ἐστιν', ὡσαύτως δὲ οὔτε ἡ 'Σωκράτη βαδίσαι οὐ δυνατόν' ἀπόφασις πρὸς τὴν 'Σωκράτη βαδίσαι δυνατὸν οὐκ ἔστιν' οὔτε ἡ 'Σωκράτη μουσικὸν εἶναι οὐ δυνατόν' πρὸς τὴν 'Σωκράτη μουσικὸν εἶναι δυνατὸν οὐκ ἔστιν', ἐπεὶ οὐδὲ καθ' αὐτὸ τὸ δυνατόν λέγοντες ὡς ἕτερόν τι παρὰ τὸ δύνατόν ἐστι λέγειν ἀξιοῦμεν, οὐδὲ ὅλως ὡς δύο αὐτὰ καὶ διάφορα προφερόμεθα, ἀλλ' ὡς ἕν τι ὅλον τὸ δυνατόν ἐστι λέγομεν, αὐτὸ τοῦτο ἀποφαινόμενοι ὅτι ὑπάρχει ὁ τοιοῦτος τρόπος τῆς ὑποστάσεως ἐπὶ τῶν πραγμάτων τῶν διὰ τῆς προτάσεως λεγομένων. διὸ οὐδὲ τὸ οὐ δυνατὸν ἕτερόν τι ἔσται παρὰ τὸ δυνατὸν οὐκ ἔστιν. ὥστε οὐδὲν ἔχομεν προσθεῖναι τοῖς ὑπὸ τοῦ Ἀριστοτέλους περὶ τούτων παραδεδομένοις. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν δυνάμει τὸ ἔστι περιεχουσῶν προτάσεων· τῆς γὰρ 'Σωκράτης καλῶς βαδίζει' καταφάσεως ὁριστικὸν ῥῆμα ἐχούσης τὸ βαδίζει, ἐν ᾧ οὐ τὸ εἶναι ἀλλὰ τὸ ἔστι περιείληπται, οὐ μᾶλλον φαίης ἂν ἀπόφασιν εἶναι τὴν 'Σωκράτης οὐ καλῶς βαδίζει' ἢ τὴν 'Σωκράτης οὐ βαδίζει καλῶς'. εἰ δέ γε μὴ βαδίζοντος ὅλως τοῦ Σωκράτους ψεύδοιτο ὁ καλῶς αὐτὸν βαδίζειν ἀποφηνάμενος, ἆρα καὶ τότε τῷ τρόπῳ προσθέντες τὴν ἄρνησιν ποιήσομεν τὴν ἀπόφασιν ἢ μᾶλλον τῷ κατηγορουμένῳ; ἢ ῥητέον ὅτι ἀεὶ μὲν τῷ τρόπῳ αὐτὴν προσθετέον, οὐ μέντοι ἀεὶ κατὰ τὴν αὐτὴν ἔννοιαν· ὥσπερ γὰρ τὴν κατάφασιν κατὰ δύο τρόπους ψεύ|δεσθαι συμβαίνει, μὴ βαδίζοντός τε ὅλως τοῦ Σω- 181r κράτους καὶ βαδίζοντος μὲν μὴ μέντοι καλῶς βαδίζοντος, οὕτω δηλονότι καὶ ἐπὶ τῆς ἀποφάσεως ἕξει τῆς 'Σωκράτης οὐχὶ καλῶς βαδίζει' λεγούσης.

Εἰ δέ τις ἀποροίη περὶ τῶν προσδιωρισμένων μετὰ τρόπου καταφάσεων, τίνα τρόπον ἐπὶ τούτων ποιητέον τὰς ἀποφάσεις, πότερον τῷ προσδιορισμῷ ἢ τῷ τρόπῳ τῆς ἀρνήσεως συμπλεκομένης, ἐπείπερ ὁ Ἀριστοτέλης ὡς ἐπὶ ἀπροσδιορίστων τὴν περὶ αὐτῶν πᾶσαν πεποίηται σκέψιν, ῥᾴδιον ἀπαντᾶν ὅτι οὐδὲ ἐπὶ τούτων ἑτέρῳ τινὶ παρὰ τὸν τρόπον αὐτὴν συντάξομεν· δεῖ γὰρ τὰς προτάσεις, ἀλλὰ μὴ τοὺς ὅρους εἶναι στερητικούς· εἰ δὲ μή, κατὰ τὸ κυρίως πάλιν δυνατὸν καὶ ἐνδεχόμενον τὴν ἀντίφασιν συμβήσεται συναληθεύειν, ὅπου καὶ τὰς ἐναντίας κατὰ τὸ ἐπ' ἴσης ἐνδεχό-

1 εἰ om. AG 3 ὡς προείρηται] p. 224,30 4 κατάφασις — δυνατόν (5) om. F 6 ante πρὸς add. ἐστὶ FG post μουσ. εἶναι add. οὐ F 8 οὔτε — οὐκ ἔστιν (9) om. F 10 παρὰ] περὶ M 11 προσφερ. AMa 14 οὐ om. A 16 post παραδεδ. add. οὐδὲ μὴν ἀφελεῖν δύναιο ἄν G² et in mrg. A 17 ἐχουσῶν AM 18. 19 παρείληπται F 21 βαδ. αὐτὸν colloc. FG ἀποφαινόμενος FG 23 ἢ om. M 25 μὴ βαδ.] ἢ μηδ' ὅλως βαδίζοντος (τε ὅλως τοῦ σωκράτους om.) FG τε] τότε A 26 καὶ] ἢ FG 31 προσδιορ.] πρώτω διορ. G : ἐπειδὴ FGa 32 ἐπὶ superscr. A 35. 36 συμβ. τὴν ἀντίφ. colloc. M

μενον συντρέχειν ἀλλήλαις συμβαίνει· ὁ γὰρ ἐνδέχεται παντί, τοῦτο πάντως μὲν καὶ οὐ παντὶ κατὰ πᾶσαν τοῦ ἐνδεχομένου τὴν ἔννοιαν, ἐπεὶ οὐκέτι ἐνδεχομένως ὑπάρξει παντί, ἐνίοτε δὲ καὶ οὐδενί. καὶ δῆλον ὡς οὐ διαφωνήσει ταῦτα καὶ πρὸς τὰ κατ' ἀρχὰς εἰρημένα περὶ τοῦ μάχεσθαι ἀεὶ καὶ κατὰ τὴν ἐνδεχομένην ὕλην τήν τε πᾶς τῇ οὐ πᾶς καὶ τὴν οὐδείς τῇ τίς, κἂν λαμβάνωνται κατὰ τὸν μέλλοντα χρόνον· ἐν ἐκείνοις μὲν γὰρ ὡς ὑπαρχούσας ἐπισκεπτόμενοι τὰς προτάσεις ταῦτα περὶ αὐτῶν ἀπεφαινόμεθα, διότι ἀνάγκη κατὰ ταύτην τὴν ὕλην ψεύδεσθαι ἄμφω τὰς ὄντως καθόλου, ἅτε τὸ ἐνδεχόμενον τὸ τισὶ μὲν ὑπάρχειν τισὶ δὲ μὴ ὑπάρχειν πεφυκὸς παντὶ | ἢ μηδενὶ ἀνενδοιάστως ὑπάρξειν ἀποφαινομένας (ὁμοίως 181v ταῖς περὶ τῶν ἀναγκαίως ἐκβαινόντων ἢ μὴ ἐκβαινόντων προρρήσεσιν, ἐφ' ὧν τὸ ἔσται ἢ τὸ οὐκ ἔσται λέγειν εἰώθαμεν), ὅπερ οὔτε κατὰ τὸ ἐπὶ πλέον οὔτε κατὰ τὸ ἐπ' ἔλαττον ἐνδεχόμενον ἔχει χώραν, λεγόντων ἡμῶν 'πᾶς ἄνθρωπος ἐν γήρᾳ πολιωθήσεται' ἢ 'οὐδεὶς ἑξαδάκτυλος ἔσται'. τὰς δὲ κατὰ μέρος ἀμφοτέρας ἀληθεύειν, διόπερ αὐτὰς ἀντιφάσκειν εἰκότως συμβαίνει πρὸς τὰς καθόλου· νῦν δὲ ὁ λόγος περὶ τῶν μετὰ τοῦ ἐνδεχομένου τρόπου λεγομένων προτάσεων, καθόλου τε διισχυριζόμεθα πᾶσι τοῖς ἀτόμοις ἢ μηδενὶ τὸ κατηγορούμενον ὑπάρξειν. ὅπου γε οὐδὲ τὸ κατὰ μέρος, ἀλλὰ καὶ ἀληθεύομεν οὐ τὸ τῇ φύσει καθόλου λαμβάνοντες (οὐ γὰρ οἷόν τε τοῦτο πᾶν ἢ μετέχειν ἢ ἐστερῆσθαί τινος τῶν ἐνδεχομένως αὐτοῦ κατηγορουμένων), ἀλλὰ τὸ προσδιορισμοῖς τισι περιαχθὲν εἰς τὸ καθόλου ἑαυτὸ γενέσθαι δεκτικὸν τοῦ συμβεβηκότος, ὡς ὅταν εἴπωμεν 'ἐνδέχεται πάντας Ἀθηναίους τοὺς κατὰ τόνδε τὸν χρόνον ἐσομένους ἐν γήρᾳ πολιοῦσθαι, ἀλλὰ καὶ μὴ πάντας' καὶ 'ἐνδέχεται μηδένα ἑξαδάκτυλον γενέσθαι, ἀλλὰ καὶ τινὰ δυνατόν' καὶ 'ἐνδέχεται κατὰ τόδε τὸ ἔτος καὶ τήνδε τὴν χώραν ἐν μηδεμιᾷ ἡμέρᾳ τῶν ὑπὸ κύνα ὑετὸν γενέσθαι, ἀλλὰ καὶ ἐν τινὶ γενέσθαι δυνατόν', 'καὶ ἐν πάσῃ χειμερινῇ τυχὸν ἢ τοῦδε τοῦ μηνὸς ὑετόν, ἀλλὰ καὶ μὴ ἐν πάσῃ δυνατόν.' ὥστε ὅταν λέγωμεν ἀντιφάσκειν ἀεὶ τὰς καθόλου ταῖς κατὰ μέρος ἐπὶ τῶν τοιούτων λεγομένων προτάσεων, ἐφ' ὧν τὸ κατηγορούμενον ἢ ἤδη ὑπάρχειν ἢ ὑπάρξαι ἢ | πάντως ὑπάρξειν τῷ ὑποκειμένῳ λέγομεν, οὕτως ἀποφαινόμεθα, καθὰ 182r καὶ παραδέδωκεν ἡμῖν ὁ Ἀριστοτέλης ἐν τῷ συμπεράσματι τοῦ πρώ-

3 παντὶ ὑπ. colloc. A καὶ δῆλον—ὑπογράφων (227,1. 2) om. FG¹ (in fol. separato suppl. G²) 4 καὶ om. a τὰ κατ' ἀρχὰς εἰρημένα] p. 93,6 5 καὶ (ante κατὰ) om. Ga τῇ οὐ πᾶς om. a 6 τῇ] τὴν A 7 ὑπαρχούσης Ma 7. 8 ἀπεφαιν. scripsi: ἀποφαιν. libri post ἀπεφαινόμεθα add. ἔτι δὲ καὶ περὶ τοῦ πᾶς καὶ τοῦ οὐδεὶς ὅτι συμψεύδονται ἐπὶ τῆς ἐνδεχομένης ὕλης a 8 ὄντως] οὕτως GMa 9 ἅτε] ὥστε G 10 ἀνενδυάστως AM ἀνενδ. ante παντὶ colloc. G ἀποφαινόμενος G 11 ἀναγκαίων A¹ 12 τὸ (alt.) om. G 14 ἢ om. GMa 16 μετὰ τοῦ om. A 17 καθόλου] καθό A: an ⟨καθ' ὅν⟩ καθόλου? 18 ὑπάρχειν G alt. τὸ] τῷ GM 20 στερῆσθαι a 22 καὶ καθόλου Ga ἑαυτῷ A 25 ante γενέσθαι add. εἶναι A ἐνδέχεσθαι G 26 ἐν om. AGa κύναστρον M 28 ὡς Ma 28. 29 ἀεὶ ἀντιφ. colloc. G 29 λεγομένων a: λέγομεν AGM 30 ὑπάρχει ἢ ὑπῆρξεν a 31 καθάπερ G 32. p. 227,1 ἐν τῷ συμπ. τοῦ πρώτου τμ.] p. 17a25 sq.

του τμήματος τοῦδε τοῦ βιβλίου τῆς ἀντιφάσεως τὴν δύναμιν ὑπογράφων.

Εἰ δὲ ζητοίη τις τὴν 'ἐνδέχεται μηδένα ἄνθρωπον δίκαιον εἶναι' πότερον κατάφασιν ἢ ἀπόφασιν χρὴ προσαγορεύειν, κατάφασιν ὁμολογουμένως ἀποκρινούμεθα, διότι ὁ τρόπος ἄνευ τῆς ἀρνήσεως παρείληπται, καὶ πρὸς τῇ εἰρημένῃ ἐπ' αὐτῶν τῶν πραγμάτων δείξει μάρτυρα τούτου παρεξόμεθα τὸν Ἀριστοτέλη καλοῦντα μὲν ἐν τῇ πραγματείᾳ τῶν Ἀναλυτικῶν τὰς 'ἐνδέχεται μηδενὶ ἢ μὴ παντί' καὶ 'ἀνάγκη μηδενὶ ἢ μὴ παντί' ἀποφάσεις, δι' ἣν ἑξῆς ἐροῦμεν αἰτίαν, διδάσκοντα δὲ ἐν αὐτοῖς ἐκείνοις ὅτι οὐκ εἰσὶν ὄντως ἀποφάσεις, ἀλλὰ καταφάσεις· λέγει γοῦν "νῦν δὲ τοσοῦτον ἡμῖν ἔστω πρὸς τοῖς εἰρημένοις δῆλον, ὅτι τὸ ἐνδέχεσθαι μηδενὶ ἢ τινὶ μὴ ὑπάρχειν καταφατικὸν ἔχει τὸ σχῆμα", τοῦ μὴ τῷ τινὶ συνταττομένου καὶ οὐ τῷ ὑπάρχειν ἐν τῷ 'τινὶ μὴ ὑπάρχειν' καὶ τῆς προτάσεως ταὐτὸν σημαινούσης τῷ 'μὴ παντὶ ὑπάρχειν.' καὶ τούτου τὴν κατασκευὴν εὐθὺς ἐπιφέρει λέγων "τὸ γὰρ ἐνδέχεται τῷ ἔστιν ὁμοίως τάττεται" καὶ τὰ ἑξῆς τούτοις. ἐν μὲν οὖν τῇ προκειμένῃ τοῦ Περὶ ἑρμηνείας πραγματείᾳ τὰς ἀντιθέσεις τῶν προτάσεων καὶ τὰς παντοίας διαφορὰς προθέμενος παραδοῦναι ἡμῖν ὁ φιλόσοφος εἰκότως τὸν κυριώτατον ὑφηγήσατο τρόπον τῶν ἀποφάσεων, ἐν δέ γε τοῖς Ἀναλυτικοῖς τὰς γενέσεις τῶν συλλογισμῶν διδάξαι ἡμᾶς προθέμενος | παραλαμβάνει μὲν πάσας τὰς 182v προτάσεις, περὶ ὧν τε καὶ ἐξ ὧν οἱ συλλογισμοὶ κατὰ τὸ καταφατικὸν ὅπερ αὐτός φησι σχῆμα, δίοτι ὡρισμένον τι βουλόμεθα συνάγειν ἐν τοῖς συλλογισμοῖς, τὸ δὲ ὡρισμένον ἐξ ὡρισμένων προτάσεων, ὡρίσθαι δὲ μᾶλλον δοκοῦσιν αἱ καταφάσεις τῶν ἀποφάσεων ἅτε εἴδεσιν ἀναλογοῦσαι, καὶ διὰ τοῦτο ῥᾷον ἐπ' αὐτῶν παρακολουθοῦμεν ταῖς συλλογιστικαῖς ἢ ἀσυλλογίστοις τῶν προτάσεων συμπλοκαῖς. καλεῖ δὲ αὐτῶν τὰς μὲν καταφάσεις τὰς δὲ ἀποφάσεις οὐ μόνον κατὰ τοὺς προσδιορισμοὺς ποιούμενος τὴν τοιαύτην αὐτῶν διαίρεσιν, ἀλλὰ καὶ ὅτι συμβαίνει τὰς ἐν ἐκείνοις ὡς ἀποφάσεις εἰλημμένας ταὐτὸν φθέγγεσθαί τισι τῶν ὄντως ἀποφάσεων, λέγω δὴ τῶν ἀναιρουσῶν τόν τε τρόπον ἅμα καὶ τὸν προσδιορισμὸν τὸν καταφατικόν, ὡς οὔσας, ὅπερ φησὶ περὶ αὐτῶν ὁ φιλόσοφος Ἰάμβλιχος, φωνῇ μὲν καταφατικὰς δυνάμει δὲ ἀποφατικάς· ἐπεὶ γὰρ τῶν προτάσεων τὰς ἀντιθέσεις λαμβάνομεν ἢ κατὰ τοὺς τρόπους ἢ κατὰ τὸ ποσὸν ἢ κατὰ τὸ ποιόν, ἀντίκεινται δὲ κατὰ μὲν τοὺς τρόπους

1 σχήματος Ma 3 τις om. FG¹ εἶναι δίκ. (num. corr.) AF 4 πρότερον F alt. κατάφ. post ὁμολ. colloc. A: om. M 5 ἀποκρινόμεθα A 6 εἰρημ.] p. 223,6 7. 8 τῶν Ἀναλ.] Anal. pr. A 3 p. 25a39. b19 8 καὶ ἀνάγκη — παντί om. AM 10 οὖν FG 11 πρὸς] παρὰ Ma 12 post ἢ add. μὴ Ma 13 prius τῷ] τὸ G 14 ταὐτὸν] ταύτης A¹ τῷ] τὸ G 15 τὸ] τῶ A τῷ] τὸ A: τοῦ G 16 οὖν superscr. G² 17 προτ.] πραγμάτων F 20 παραθέμενος A 21 ἀποφατικὸν G 22 συναγαγεῖν FG 24. 25 ἀνάλογον οὖσαι AG¹M: ἀνάλογοι οὖσαι G² (cf. p. 67,18. 111,22) 25 τοῦτο] τοῦ G παρακολουθεῖν G 25. 26 συλλογικαῖς F 29 ἀποφ. ὡς colloc. a 30 δὴ] δὲ FG 31 τῶν καταφατικῶν G 34 δὲ] μὲν FG

αἱ ἀναγκαῖαι προτάσεις ταῖς ἐνδεχομέναις, διότι αἱ μὲν ἀεὶ ὡσαύτως ἔχειν τὸ πρᾶγμα, περὶ οὗ ἀποφαίνονται, σημαίνουσιν αἱ δὲ μεταπίπτειν κατὰ τὸ εἶναι καὶ μὴ εἶναι (τῶν τοῦ ἀδυνάτου συναριθμουμένων κατὰ τοῦτο ταῖς τοῦ ἀναγκαίου, διὸ καὶ ταὐτὸν δύνασθαι αὐτὰς λέγοντος ἀκουσόμεθα τοῦ 25 5 Ἀριστοτέλους), κατὰ δὲ τὸ ποσὸν αἱ καθόλου ταῖς κατὰ μέρος, κατὰ δὲ τὸ ποιὸν αἱ καταφατικαὶ ταῖς ἀποφατικαῖς, ἐπὶ μὲν τοῦ ἐνδεχομένου καὶ τοῦ | ἀναγκαίου εἰ ἀντιθέντες τρόπον τρόπῳ ποσὸν ποσῷ ποιὸν ποιῷ λάβοιμεν 183r τὴν ἀντικειμένην τῇ ὡς ἀποφάσει εἰλημμένῃ καταφάσει, οἷον τῇ 'ἐνδέχεται μηδενί' τὴν 'ἀνάγκη τινί', καὶ ταύτης λάβοιμεν τὴν κυρίως γινομένην ἀπό- 5 10 φασιν, τοῦτ' ἔστι κατὰ τὸν τρόπον, οἷον τὴν 'οὐκ ἀνάγκη τινί', ταύτῃ συνᾴδουσαν εὑρίσκομεν τὴν ἐν τοῖς Ἀναλυτικοῖς ὡς ἀπόφασιν εἰλημμένην· ὃ γὰρ οὐκ ἀνάγκη τινί, τοῦτο ἐνδέχεται μηδενί, καὶ ἔμπαλιν. ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν λοιπῶν κατὰ τοὺς τρόπους τούτους προτάσεων, οὐ τῶν 10 προσδιωρισμένων μόνον ἀλλὰ καὶ τῶν ἀδιορίστων, εἴ τις καὶ τούτων τὰς 15 τὴν ἄρνησιν τῷ εἶναι συμπλεκούσας κατὰ τὴν αὐτὴν ἔννοιαν τοῖς ἐπὶ τῶν προσδιωρισμένων ἀποφάσεις ἀξιοῖη καλεῖν· ἔσται γὰρ τῇ μὲν 'ἐνδέχεται μὴ εἶναι' ἀντιφάσκουσα μὲν κατά τε τὸν τρόπον καὶ τὸ ποιὸν ἡ 'ἀναγ- 15 καῖον εἶναι' συντρέχουσα δὲ ἡ 'οὐκ ἀναγκαῖον εἶναι' κυρίως οὖσα ἀπόφασις, τῇ δὲ 'ἀνάγκη μὴ εἶναι' ἀντιφάσκουσα μὲν ἡ 'ἐνδέχεται εἶναι' 20 συντρέχουσα δὲ ἡ 'οὐκ ἐνδέχεται εἶναι'. εἰ δὲ καὶ αἱ συντρέχουσαι κατὰ τὸν εἰρημένον τρόπον ἀλλήλαις προτάσεις ἔχουσί τινα πρὸς ἀλλήλας δια- 20 φοράν, οὐ τοῦ παρόντος καιροῦ πολυπραγμονεῖν, ἀλλὰ τῆς περὶ τῶν μίξεων ἐν τῷ προτέρῳ τῶν Προτέρων Ἀναλυτικῶν θεωρίας· οὔτε γὰρ βραχὺς οὔτε ὑπὸ τῶν ἀκριβεστέρων ὁμολογούμενος ὁ διακρῖναι αὐτὰς 25 πειρώμενος λόγος, ἅτε ὁρμώμενος ἐξ ὑποθέσεως ψευδοῦς τῆς ἀξιούσης 25 ἀντιστρέφειν ἐπὶ παντὸς ὁμοίως ἐνδεχομένου τὴν καθόλου κατάφασιν πρὸς τὴν καθόλου ἀπόφασιν καὶ μηδὲν κατὰ τοῦτο νεμούσης | πλέον τῷ ἐπ' ἴσης 183v ἐνδεχομένῳ τοῦ ὡς ἐπὶ τὸ πολὺ λεγομένου, ἀλλ' ὁμολογεῖν ἀναγκαζομένης ὅτι καθάπερ ἐνδέχεται πάντας ἀνθρώπους γενέσθαι πενταδακτύλους, οὕτω 30 καὶ μηδένα. ἐπὶ δὲ τοῦ ὑπάρχοντος, ἐπειδὴ τούτῳ οὐδέν ἐστιν εἶδος προ- 5 τάσεως ἀντικείμενον, τὴν κατὰ τὸ ποσὸν μόνον καὶ τὸ ποιὸν ἀντικειμένην λαβόντες, οἷον τῇ 'ὑπάρχει οὐδενί' τὴν 'ὑπάρχει τινί', τὴν ἀπόφασιν ταύτης τὴν 'οὐχ ὑπάρχει τινί' τῇ 'ὑπάρχει μηδενί' ταὐτὸν φθεγγο- μένην εὑρήσομεν. ὥστε οὐδετέρα τῶν πραγματειῶν ἐλλιπής, ὅπερ 10

---

1 prius αἱ om. G 3 τούτων G 4. 5 ἀκουσόμεθα τοῦ Ἀρ.] p. 22b8 5 prius δὲ] μὲν AMa 6 μὲν οὖν Ma 7 λάβωμεν M 8 alt. τῇ] τὴν FG 9 ταύτην A 10 οὐκ superscr. A ταύτην FGMa 11 συνᾴδουσα A τῇ . . ἀποφάσει εἰλημμένη F 13 post προτάσεων add. ὄντων AMa 14 ἀδιωρ. F 15 τῷ] τὸ G 16 ἀξιοῖ AMa ἔστι Ma μὲν om. M 17 τε om. A 18 συντρέχουσα — οὐκ ἐνδέχεται εἶναι (20) om. G1 19 ἀνάγκη] ἀναγκαῖον G 20 συντρέχουσαι] συνᾴδουσαι FG 23 τῶν Προτέρων Ἀναλ.] A 13 p. 32a15 sq. 24 διακρίνας F 26 ὁμοίωσιν A τὴν καθόλου κατάφ. πρὸς om. M 27 νεμούσης] μὲν ἐχούσης A: ἐχούσης Ma 28 τῆς ὡς ἐπὶ πολὺ λεγομένης F 30 τοῦτο G 33 ταύτης] ταύτην F τῇ] τὴν A 34 ἐλλειπής A

ὑποπτεύσειεν ἄν τις ἐν μηδετέρᾳ τῶν πραγματειῶν παραδιδομένας ὁρῶν τὰς ἐν τῇ ἑτέρᾳ ὡς ἀποφάσεις εἰλημμένας. ἀλλ' ἑκατέρᾳ τὸ προσῆκον εἶδος τῆς διδασκαλίας ἐφύλαξεν ὁ Ἀριστοτέλης. εἰ δὲ ἡ λέγουσα πρότασις 'οὐδένα ἄνθρωπον ἐνδέχεται πτερωτὸν εἶναι' δοκεῖ κυρίως εἶναι ἀπόφασις, θαυμάζειν οὐ χρή· ἐνταῦθα γὰρ ἡ ἄρνησις καὶ πρὸς αὐτὸν ἐξακούεται τὸν τρόπον, ἅτε πρὸ αὐτοῦ τεταγμένη, καὶ ταύτῃ ποιεῖ τὴν κυρίως ἀπόφασιν· ἀμέλει ἐὰν ἀντὶ τοῦ οὐδένα μηδένα εἴπωμεν λέγοντες 'μηδένα ἄνθρωπον γραμματικὸν εἶναι ἐνδέχεται', οὐκέτι δόξομεν ἀπόφασιν λέγειν ἀλλ' ὁμολογουμένως κατάφασιν ἐκ μεταθέσεως, διότι τὸ μὴ οὐ πέφυκεν ὥσπερ τὸ οὐ προτίθεσθαι τῶν τρόπων ἐν ταῖς ἀποφάσεσιν· οὐ γὰρ ὥσπερ λέγομεν 'οὐκ ἐνδέχεται', οὕτω δυνάμεθα λέγειν καὶ 'μὴ ἐνδέχεται'.

Ἀλλ' ἐπανέλθωμεν εἰς τὴν ἐξήγησιν τῶν ἑξῆς ὑπὸ τοῦ Ἀριστοτέλους παραδιδομένων καὶ λέγωμεν ὅτι ἀναλογίαν τινὰ γεωμετρικὴν ἀξιοῖ ἡμᾶς λαμβάνειν ἐπί τε τῶν ἄνευ τρόπου καὶ ἐπὶ τῶν μετὰ τρόπου προτάσεων, 184r λέγων ὅτι ἣν ἔχουσι τάξιν ἐπὶ τῶν ἄνευ τρόπου τὰ ὑποκείμενα καὶ τὰ κατηγορούμενα πράγματα πρὸς τὸ εἶναι καὶ μὴ εἶναι, ταύτην ἐπὶ τῶν μετὰ τρόπου τὸ εἶναι τοῦτο καὶ τὸ μὴ εἶναι πρὸς τοὺς τρόπους ἔχει. καθάπερ οὖν ἐπὶ τῶν ἄνευ τρόπου τὴν ἄρνησιν ἐχρῆν μήτε τῷ ὑποκειμένῳ μήτε τῷ κατηγορουμένῳ συμπλέκεσθαι πρὸς τὸ γενέσθαι τὴν ἀπόφασιν ἀλλὰ μόνῳ τῷ εἶναι, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τούτων οὐ τῷ εἶναι ἀλλὰ τῷ τρόπῳ συμπλεκομένη τὴν ἀπόφασιν ποιήσει· ἡ ἄρα 'Σωκράτη δίκαιον μὴ εἶναι δυνατόν' πρότασις οὐκ ἔσται ἀπόφασις, ἀλλὰ ἀναλογήσει ταῖς ἀορίστοις ἢ ἐκ μεταθέσεως καλουμέναις καταφάσεσι, καὶ ἀπόφασις αὐτῆς ἔσται κατὰ τὴν εἰρημένην μέθοδον ἡ 'Σωκράτη δίκαιον μὴ εἶναι οὐ δυνατόν.' καλοῦσι δὲ καὶ ταύτας ἐν ταῖς μετὰ τρόπου προτάσεσιν ἐκ μεταθέσεως, ἁπλᾶς δὲ τὰς δίχα τῆς ἀρνήσεως τὸ εἶναι παραλαμβανούσας 'Σωκράτη δίκαιον εἶναι δυνατόν — Σωκράτη δίκαιον εἶναι οὐ δυνατόν'. ὁ μέντοι Ἀριστοτέλης τὴν βραχυλογίαν καὶ ἐν τούτοις ἐπιτηδεύων τὴν μὲν ἁπλῆν κατάφασιν διὰ τοῦ δυνατὸν εἶναι μόνον σημαίνει, τὴν δὲ ἐκ μεταθέσεως διὰ τοῦ δυνατὸν μὴ εἶναι, καταλιμπάνων ἡμῖν ἅπερ ἂν ἐθέλωμεν πράγματα ὑποκείμενά τε καὶ κατηγορούμενα τούτοις ὑποβάλλειν. ταύτην δὲ τὴν διαφορὰν τῶν ἀντιφάσεων, τῆς τε ἁπλῆς φημι καὶ τῆς ἐκ μεταθέσεως, καὶ ἐπὶ τῶν λοιπῶν τρόπων ἀξιοῖ θεωρεῖν, τοῦ τε ἐνδεχομένου καὶ τοῦ ἀναγκαίου καὶ τοῦ ἀδυνάτου, καὶ | ἔστι φανερὰ τὰ περὶ 184v αὐτῶν λεγόμενα, πλὴν ὅτι τὸ κατάφασιν δὲ καὶ ἀπόφασιν ταῦτα

---

1 ὑποπτεύσει A ἐν μηδ. τῶν πραγμ.] μὴ δέεται (sic) FG 2 an ⟨ἐν⟩ ἑκατέρᾳ? τὸ om. F 3 ἡ] εἰ A 4 πτερ. ante ἐνδέχ. colloc. A: post εἶναι M ἀπόφασιν F 6 πρὸς αὐτὸν AMa 7 μηδένα οὐδένα (num. corr.) G 8 δόξομεν G²a: δοξάζομεν A: ἕξομεν FG¹: δείξομεν M 9 ἢ κατάφ. M post μή add. ἐπίρρημα a 10 προστίθ. A¹ ἐλέγομεν M 13 παραδεδ. AMa λέγομεν AF 16 τὰ om. A 17 ἔχειν AMa 18 ante καθάπερ add. καὶ AMa ante ἐχρῆν add. ἔχειν FG 18. 19 κατηγ. μήτε τῷ ὑποκ. colloc. AM 21 συμπλεκομένην AGMa ἡ] εἰ G 22 οὐκ — ἀπόφασις om. FG¹ ἔστιν G ἀλλὰ om. FG ἀναλογίσει Ma 24 εἰρημ.] p. 223,2 μὴ εἶναι δίκ. colloc. FG 25 καὶ suppl. G² 26 παραλαμβανομένας G¹ 27 σωκρ. δίκ. εἶναι δυνατόν om. FG¹a 29 τοῦ] τὸ G¹ 31 ἐθέλων ἡμῖν G ὑποβ.] ὑπολαμβάνειν F

ποιοῦντα περὶ τῶν τρόπων λέγεται· χρὴ γάρ, φησί, τούτους ἢ καταφατικῶς καὶ ἄνευ τῆς ἀρνήσεως λαμβάνοντας, οἷον δυνατόν, ἀναγκαῖον, ἢ ἀποφατικῶς καὶ μετὰ τῆς ἀρνήσεως, οἷον οὐ δυνατόν, οὐκ ἀναγκαῖον, πρὸς τὸ εἶναι καὶ μὴ εἶναι συντάττειν τε καὶ συμπλέκειν. καὶ δῆλον ὅτι καταφατικοὶ μὲν ληφθέντες τῷ μὲν εἶναι συμπλεκόμενοι ποιήσουσιν ἁπλᾶς καταφάσεις τῷ δὲ μὴ εἶναι ἐκ μεταθέσεως, ἀποφατικοὶ δὲ τῷ μὲν εἶναι συμπλεκόμενοι ποιήσουσιν ἁπλᾶς ἀποφάσεις τῷ δὲ μὴ εἶναι ἐκ μεταθέσεως. τούτῳ τε οὖν οὕτως ἐπιστῆσαι χρή, καὶ ὅτι μετὰ τὸ καταριθμήσασθαι τὰς κατὰ τοὺς εἰρημένους τρόπους ἀντιθέσεις προστίθησιν ἀληθές οὐκ ἀληθές, ἐνδείξασθαι ἡμῖν βουλόμενος ὡς εἰσὶ μὲν καὶ ἄλλοι ἀναρίθμητοι τρόποι παρὰ τοὺς εἰρημένους τέσσαρας, τὸν δυνατὸν τὸν ἐνδεχόμενον τὸν ἀναγκαῖον τὸν ἀδύνατον, ἀρκεῖται δὲ τούτοις πρὸς τὴν τῶν προτάσεων διδασκαλίαν διὰ τὴν εἰρημένην ἔμπροσθεν αἰτίαν.

p. 22a14 Καὶ αἱ ἀκολουθήσεις δὲ κατὰ λόγον γίνονται οὕτω τιθέμενοις· τῷ μὲν γὰρ δυνατῷ εἶναι τὸ ἐνδέχεσθαι εἶναι (καὶ τοῦτο ἐκείνῳ ἀντιστρέφει) καὶ τὸ μὴ ἀδύνατον εἶναι καὶ τὸ μὴ ἀναγκαῖον εἶναι, τῷ δὲ δυνατῷ μὴ εἶναι καὶ ἐνδεχομένῳ μὴ εἶναι τὸ μὴ ἀναγκαῖον μὴ εἶναι καὶ τὸ οὐκ ἀδύνατον μὴ εἶναι, τῷ δὲ μὴ δυνατῷ εἶναι καὶ μὴ ἐνδεχομένῳ εἶναι τὸ ἀναγκαῖον μὴ εἶναι καὶ τὸ ἀδύνατον εἶναι, τῷ δὲ μὴ δυνατῷ μὴ εἶναι καὶ μὴ ἐνδεχομένῳ μὴ εἶναι τὸ ἀναγκαῖον εἶναι | καὶ τὸ ἀδύνατον 185r μὴ εἶναι. θεωρείσθω δὲ ἐκ τῆς ὑπογραφῆς ὡς λέγομεν·

δυνατὸν εἶναι	οὐ δυνατὸν εἶναι
ἐνδεχόμενον εἶναι	οὐκ ἐνδεχόμενον εἶναι
οὐκ ἀδύνατον εἶναι	ἀδύνατον εἶναι
οὐκ ἀναγκαῖον εἶναι	ἀναγκαῖον μὴ εἶναι
δυνατὸν μὴ εἶναι	οὐ δυνατὸν μὴ εἶναι
ἐνδεχόμενον μὴ εἶναι	οὐκ ἐνδεχόμενον μὴ εἶναι
οὐκ ἀδύνατον μὴ εἶναι	ἀδύνατον μὴ εἶναι
οὐκ ἀναγκαῖον μὴ εἶναι	ἀναγκαῖον εἶναι.

Ὅτι μὲν περὶ τῆς ἀκολουθίας τῶν μετὰ τρόπου προτάσεων ὁ λόγος ἐν τούτοις, φανερόν. τεττάρων δὲ ὄντων τῶν τρόπων, τοῦ δυνατοῦ,

1 ποιοῦντες Aa: ποιοῦντας G τούτοις A 2 καὶ] ἢ F 3 ἢ ἀποφ. — ἀναγκαῖον om. FG¹ 4 post τὸ εἶναι add. τε G 6 τῷ δὲ] τῶν δὲ F: τὸ δὲ G τῷ μὲν] τῶν μὴ F: om. a 10 ἀναδείξασθαι F 11 παρὰ] περὶ FG 12 καὶ τὸν ἀδ. G 13 ἔμπροσθεν] p. 215,2. 3 14 γίνονται — λεγόμενον (22) om. M 15 δυνατὸν FGb καὶ τοῦτο — ἀναγκαῖον εἶναι (30) om. a 16 ἀντιστρέφειν G 17 δυνατὸν Gb καὶ] μὴ A ἐνδεχόμενον b 18 τὸ οὐκ ἀδ. μὴ εἶναι καὶ τὸ μὴ ἀναγκ. μὴ εἶναι colloc. A (cf. p. 232,3 sq., sed vide eorum quae hic sequuntur collocationem) οὐκ suppl. F² 19 τῷ δὲ — ἀδύν. εἶναι (20) suppl. G² 19 et 20 δυνατὸν b 19 et 21 ἐνδεχόμενον b 23 οὐ δύναται M 24 et 28 οὐκ ἐνδέχεται M 32 ἐν] ἔστιν ἐν F: ἐστὶ G

τοῦ ἐνδεχομένου, περὶ ὧν τῆς τε κοινωνίας καὶ τῆς διαφορᾶς ἐν τοῖς ἑξῆς διαλέξεται. καὶ ἐπὶ τούτοις τοῦ ἀναγκαίου καὶ τοῦ ἀδυνάτου, καὶ καθ' ἕκαστον τούτων τεττάρων θεωρουμένων προτάσεων, δύο μὲν τῶν ἁπλῶν δύο δὲ τῶν ἐκ μεταθέσεως, τὰς τοῦ δυνατοῦ τέτταρας προτάσεις ἐν τῷ διαγράμματι κατὰ τὴν προσήκουσαν τάξιν ἐκθέμενος ἐπισκέπτεται ὅπως ἔχουσι τῆς πρὸς ταύτας ἀκολουθίας αἱ καθ' ἕκαστον τῶν ἄλλων τρόπων προτάσεις, λέγω δὲ οἷον τῇ δυνατὸν εἶναι ἁπλῇ τοῦ δυνατοῦ καταφάσει ποία μὲν ἕπεται τοῦ ἐνδεχομένου πρότασις, ποία δὲ τοῦ ἀναγκαίου, ποία δὲ τοῦ ἀδυνάτου, καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. καὶ τίθεται πρῶτον τοῦ μὲν ἐνδεχομένου πάσας τὰς προτάσεις ἕπεσθαι πάσαις ταῖς τοῦ δυνατοῦ προτάσεσι τὰς ὁμοίως αὐταῖς λεγομένας, τῇ μὲν ἁπλῇ | καταφάσει τὴν 185v ἁπλῆν κατάφασιν τῇ δὲ ἐκ μεταθέσεως τὴν ἐκ μεταθέσεως, καὶ ἐπὶ τῶν ἀποφάσεων ὡσαύτως, διὰ τούτων ταὐτὸν φθέγγεσθαι τό τε δυνατὸν καὶ τὸ ἐνδεχόμενον ἀπαραλλάκτως τιθέμενος· δηλοῖ δὲ οὐ μόνον τῷ δυνατὸν εἶναι ἕπεσθαι φάσκων τὸ ἐνδεχόμενον εἶναι, ἀλλὰ προστίθησι καὶ τοῦτο ἐκείνῳ ἀντιστρέφει. τοῦ δὲ ἀδυνάτου ἕπεσθαι μὲν πάλιν ἀποφαίνεται τὰς ἁπλᾶς προτάσεις ταῖς ἁπλαῖς τοῦ δυνατοῦ καὶ τοῦ ἐνδεχομένου, οὐκέτι μέντοι τὰς ὁμοίας ταῖς ὁμοίαις, ἀλλ', ὥσπερ αὐτός φησιν, ἀντεστραμμένως τῇ μὲν καταφάσει τὴν ἀπόφασιν τῇ δὲ ἀποφάσει τὴν κατάφασιν, καὶ ἐπὶ τῶν ἐκ μεταθέσεως ὡσαύτως. καὶ ὅτι εὐλόγως φανερόν· τὸ γὰρ δυνατὸν εἶναι καὶ ἐνδεχόμενον εἶναι ἀδύνατον μὲν εἶναι φάναι γελοῖον, οὐκ ἀδύνατον δὲ εἶναι ἀληθές, τὸ δὲ οὐ δυνατὸν εἶναι καὶ οὐκ ἐνδεχόμενον εἶναι φανερὸν ὡς ἀδύνατον εἶναι ὁμολογήσομεν. οἷον 'οὐ δυνατὸν οὐδὲ ἐνδεχόμενον εἶναι σύμμετρον τὴν διάμετρον τῇ πλευρᾷ· οὐκοῦν ἀδύνατον εἶναι σύμμετρον τὴν διάμετρον τῇ πλευρᾷ.' τὰ δ' αὐτὰ καὶ ἐπὶ τῶν ἐκ μεταθέσεως ἐροῦμεν. τοῦ μέντοι ἀναγκαίου τίθεται τὴν ἀρχὴν ἕπεσθαι ταῖς ἁπλαῖς καταφάσεσι τοῦ δυνατοῦ καὶ τοῦ ἐνδεχομένου καὶ τῇ ἁπλῇ τοῦ ἀδυνάτου ἀποφάσει τὴν ἁπλῆν πάλιν ἀπόφασιν, ὥστε ὑπὸ τὸ δυνατὸν εἶναι καὶ ἐνδεχόμενον εἶναι καὶ οὐκ ἀδύνατον εἶναι τετάχθαι τὸ οὐκ | ἀναγκαῖον εἶναι· τὸ γὰρ δυνατὸν καὶ τὸ ἐνδεχό- 186r μενον μεταξὺ τοῦ ἀναγκαίου καὶ τοῦ ἀδυνάτου τετάχθαι δοκοῦντα καὶ οὐδετέρῳ τῶν ἄκρων τὰ αὐτὰ εἶναι εἰκότως ἔδοξασε τὰς ἀποφάσεις ἀμφοτέρων ἑπομένας ἔχειν. ὑπὸ δὲ τὰς ἁπλᾶς ἀποφάσεις τοῦ δυνατοῦ καὶ τοῦ ἐνδεχομένου καὶ τὴν ἁπλῆν τοῦ ἀδύνατου κατάφασιν τίθησιν οὐκέτι τὴν ἁπλῆν τοῦ ἀναγκαίου κατάφασιν, ἀλλὰ τὴν ἐκ μεταθέσεως· οὐ γὰρ

---

1 τοῦ om. G 2 διαλέγεται M 3 τούτων F: τῶν AGMa 6 ταύτας] αὐτὰς FG ἑκάστων G¹ 13 τό τε] ποτε τὸ FG 14 δὲ om. G: μὲν a οὐ] τοῦ M 15 προστίθησιν ὅτι FG 16 ἀποστρέφει F 17 ἁπλᾶς] ἄλλας AMa τοῦ (ante ἐνδέχ.) om. G 18 φησὶν αὐτός M (p. 22a34) 19 τὴν ἀπόφ. — κατάφασιν] τῇ ἁπλῇ τῆς πρώτης σελίδος τὴν ἁπλῆν ἀπόφασιν τῆς τετάρτης σελίδος, τῇ δὲ ἀποφάσει τῇ ὁμοίᾳ τοῦ ἐνδεχομένου τῇ ἐν τῇ αὐτῇ σελίδι τὴν κατάφασιν τὴν ἁπλῆν τοῦ ἐνδεχομένου τὴν ἐν τῇ πρώτῃ σελίδι a 22 οὐ δυν.] οὐκ ἀδύνατον M 25 οὐκοῦν — πλευρᾷ om. M 30 τετάχθω FG 32 ἔδοξε AFMa 32. 33 ἀμφοτέρας a

οὖν τε ἦν τὸ οὐ δυνατὸν εἶναι καὶ οὐκ ἐνδεχόμενον εἶναι καὶ ἀδύνατον εἶναι λέγεσθαι ἀναγκαῖον εἶναι, ἀλλὰ δῆλον ὅτι ἔσται ἀναγκαῖον μὴ εἶναι· εἰ γὰρ ἀδύνατον εἶναι τὴν διάμετρον τῇ πλευρᾷ σύμμετρον, ἀναγκαῖον αὐτὴν μὴ εἶναι σύμμετρον. πάλιν δὲ ὑπὸ τὰς ἐκ μεταθέσεως καταφάσεις τοῦ δυνατοῦ καὶ τοῦ ἐνδεχομένου τάξας τὴν ἐκ μεταθέσεως τοῦ ἀδυνάτου ὑπόφασιν, ὑπὸ τὰς ἐκείνων ἀποφάσεις εἰκότως τίθησι τὴν κατάφασιν ἐπ' εὐθείας οὖσαν τῇ ἑαυτῆς ἀποφάσει. τοῦ μέντοι ἀναγκαίου πάλιν ὑπὸ μὲν τὰς εἰρημένας καταφάσεις καὶ τὴν τοῦ ἀδυνάτου ἐκ μεταθέσεως ἀπόφασιν τίθησι τὴν ὁμοίως ἔχουσαν ἀπόφασιν, τοῦτ' ἔστιν ὑπὸ τὸ δυνατὸν μὴ εἶναι καὶ ἐνδεχόμενον μὴ εἶναι καὶ οὐκ ἀδύνατον μὴ εἶναι τὴν οὐκ ἀναγκαῖον μὴ εἶναι, ὑπὸ δὲ ταύταις τὰς ἀντικειμένας, τοῦτ' ἔστιν ὑπὸ τὸ οὐ δυνατὸν μὴ εἶναι καὶ οὐκ ἐνδεχόμενον μὴ εἶναι καὶ ἀδύνατον μὴ εἶναι, οὐκέτι τὴν ἐκ μεταθέσεως κατάφασιν τοῦ ἀναγκαίου (ἤδη γὰρ ἄνω τέτακται ὑπὸ τὴν ἁπλῆν τοῦ δυνατοῦ ἀπόφασιν καὶ τὰς ταύτῃ ἑπομένας), ἀλλὰ τὴν ἁπλῆν κατάφασιν τὴν ἀναγκαῖον εἶναι, ἥτις καὶ μόνη | ὑπολέλειπτο ἀκατάτακτος τῶν τοῦ ἀναγκαίου προτάσεων, τῶν ἄλλων 186v τριῶν ἑκάστης ἤδη κατὰ τὸν εἰρημένον τρόπον ὑπ' αὐτοῦ κατατεταγμένης. ταῦτα οὕτως ἐν τοῖς παροῦσι διατάξας ἀξιοῖ καὶ ἐπὶ διαγράμματος, ὃ ἐκάλεσεν ὑπογραφὴν ὡς ὑποτεταγμένον τῇ περὶ αὐτοῦ διδασκαλίᾳ καὶ ὑπ' αὐτὴν γεγραμμένον, θεωρεῖν ἡμᾶς τὴν εἰρημένην ὑπ' αὐτοῦ τῶν προτάσεων ἀκολουθίαν. καὶ ἀρξάμενος ἀπὸ τῆς ἁπλῆς τοῦ δυνατοῦ καταφάσεως ἐφεξῆς ἀπαριθμεῖται τὰς ἀπὸ τῶν ἄλλων τρόπων ταύτῃ ἑπομένας, εἶτα προάγων τὴν διδασκαλίαν κατὰ τὴν αὐτὴν ὥσπερ σελίδα τοῦ διαγράμματος, παραλαβὼν τὴν ἐκ μεταθέσεως κατάφασιν τοῦ δυνατοῦ, ταύτῃ πάλιν ἐφεξῆς καταλέγει τὰς ἀκολουθούσας κατὰ τοὺς λοιποὺς τῶν τρόπων προτάσεις, εἶτα ἐφεξῆς μέτεισιν ἐπὶ τὸ ἀπαριθμεῖσθαι τὰς κατὰ τὴν ἑτέραν σελίδα τοῦ διαγράμματος προτάσεις. ἐπεὶ δὲ οὐ γέγονεν ἄμεμπτος πᾶσα ἡ εἰρημένη τῶν προτάσεων ἔκθεσις, εἰ καὶ πιθανὴ ἔδοξεν ἂν εἶναι τοῖς ἁπλουστέροις τὴν διάνοιαν διὰ τὰς εἰρημένας αἰτίας, προτίθεται μὲν διὰ τῶν ἐφεξῆς τὸ ἡμαρτημένως ἐν αὐτῇ ἐκτεθὲν ἐπανορθώσασθαι, πρότερον δὲ ἡμᾶς ἐφιστάνειν ἀξιοῖ ἐν τῷ ἐκτεθέντι τῶν προτάσεων διαγράμματι ὅπως μὲν ἔχουσι τάξεως αἱ τοῦ ἀδυνάτου προτάσεις ὅπως δὲ αἱ τοῦ ἀναγκαίου, ἵνα καὶ θεάσασθαι δυνηθῶμεν ὅ τι ποτέ ἐστιν ἐν τούτῳ τὸ ἡμαρτημένως ἔχον. διόπερ ἐπάγει ταυτί·

---

1 εἶναι (post ἐνδεχ.) om. M 2 ἀλλὰ — εἶναι om. M ἔσται] ἔστιν a 5 ἀδυν.] δυνατοῦ Ma 7 μὲν om. AMa 10 οὐκ (ante ἀδύν.) suppl. F² 11 ταύταις τὰς ἀντ. Aa: ταύτας τὰς ἀντ. FG: τὰς ἀντ. ταύταις M τὸ] τοῦ G 14 καὶ τὰς — ἑπομ.] ὡς ταύτῃ ἑπομένη FG 15 τὴν (post κατάφ.) om. M 16 ὑπελέλειπτο Ma 17 τεταγμ. A 18 post ταῦτα add. οὖν M 20 γεγραμμένων G: γεγραμμένως a 21 ἀπὸ] περὶ G¹ 27 διαγράματος A 29 ἂν om. AM 30 διὰ τῶν om. M 31 πρῶτον G 32 αἱ om. G 34 ante ἐπάγει add. καὶ Ma ταυτί] ταύτῃ FG

p. 22a32 Τὸ μὲν οὖν ἀδύνατον καὶ οὐκ ἀδύνατον τῷ ἐνδεχο-
μένῳ καὶ δυνατῷ καὶ οὐκ ἐνδεχομένῳ καὶ μὴ δυνατῷ ἀκολου- 187r
θεῖ μὲν ἀντιφατικῶς, ἀντεστραμμένως δέ· τῷ μὲν γὰρ δυνατῷ
εἶναι ἡ ἀπόφασις τοῦ ἀδυνάτου, τῇ δὲ ἀποφάσει ἡ κατάφασις· τῷ 5
5 γὰρ οὐ δυνατῷ εἶναι τὸ ἀδύνατον εἶναι· κατάφασις γὰρ τὸ ἀδύ-
νατον, τὸ δὲ οὐκ ἀδύνατον ἀπόφασις. τὸ δὲ ἀναγκαῖον πῶς,
ὀπτέον. φανερὸν δὴ ὅτι οὐχ οὕτως, ἀλλ' αἱ ἐναντίαι ἔπονται.
αἱ δὲ ἀντιφάσεις χωρίς· οὐ γάρ ἐστιν ἀπόφασις τοῦ ἀνάγκη μὴ 10
εἶναι τὸ οὐκ ἀνάγκη εἶναι· ἐνδέχεται γὰρ ἀληθεύεσθαι ἐπὶ τοῦ
10 αὐτοῦ ἀμφοτέρας· τὸ γὰρ ἀναγκαῖον μὴ εἶναι οὐκ ἀναγκαῖον
εἶναι.

Δι' ὧν τὰς μὲν τοῦ ἀδυνάτου προτάσεις καταφατικάς τε καὶ ἀπο-
φατικὰς ἀκολούθως ἐκκεῖσθαί φησι καὶ ὑποτετάχθαι ταῖς τοῦ δυνατοῦ καὶ 15
τοῦ ἐνδεχομένου καταφατικαῖς τε καὶ ἀποφατικαῖς προτάσεσι, τῶν ἀπο-
15 φάσεων ἐπ' εὐθείας διαγεγραμμένων ταῖς οἰκείαις καταφάσεσι καὶ ὅλης
μὲν τῆς ἁπλῆς τοῦ ἀδυνάτου ἀντιφάσεως ὑπὸ τὰς ἁπλᾶς ἐκείνων ἀντι-
φάσεις τεταγμένης ὅλης δὲ τῆς ἐκ μεταθέσεως ὑπὸ τὰς ἐκ μεταθέσεως. 20
ἀλλ', ὥσπερ φησίν, ἀντεστραμμένως, τῆς ἀντιστροφῆς περὶ μόνην θεω-
ρουμένης τὴν τῆς ποιότητος τάξιν, διότι ταῖς μὲν ἐκείνων καταφάσεσιν
20 ἕπονται αἱ τοῦ ἀδυνάτου ἀποφάσεις ταῖς δὲ ἀποφάσεσιν αἱ καταφάσεις, ἥ 25
τε ἀδύνατον εἶναι καὶ ἡ ἀδύνατον μὴ εἶναι· κἂν γὰρ στερητικῶς λεγό-
μεναι δοκῶσί τισιν ἀποκλίνειν πρὸς τὸ εἶδος τῶν ἀποφάσεων, ἀλλ' ὁμολο-
γουμένως εἰσὶ τὸ ὅλον | τοῦτο στερητικαὶ καταφάσεις· διὸ καὶ ἠξίωσεν 187v
ἐπ' αὐτῶν μόνον ἐπισημήνασθαι τοῦτο ὁ Ἀριστοτέλης. τὰς μὲν οὖν
25 τοῦ ἀδυνάτου προτάσεις εὐτάκτως, ὅπερ ἐλέγομεν, ἐκτεθεῖσθαί φησιν,
οὐκέτι μέντοι τὰς τοῦ ἀναγκαίου· τὰς μὲν γὰρ τὴν ἀντίφασιν ἐπ' αὐτοῦ ποι- 5
ούσας προτάσεις, οἷον τὴν ἀναγκαῖον εἶναι καὶ οὐκ ἀναγκαῖον εἶναι, κεχωρι-
σμένως, ἀλλ' οὐκ ἐπ' εὐθείας ἀλλήλαις ἐκτεθεῖσθαι, τῆς μὲν ἀναγκαῖον
εἶναι ἁπλῆς καταφάσεως ἐν τῇ δευτέρᾳ σελίδι κάτω τεταγμένης ὑπὸ τὴν 10
30 ἐκ μεταθέσεως τοῦ ἀδυνάτου κατάφασιν, τῆς δὲ ἀποφάσεως αὐτῆς κατὰ
τὸ ἄνω μέρος τῆς πρώτης σελίδος ὑπὸ τὴν ἁπλῆν τοῦ ἀδυνάτου ἀπό-
φασιν, καὶ πάλιν τῆς μὲν ἀναγκαῖον μὴ εἶναι καταφάσεως κατὰ τὸ ἄνω

1. 2 τῷ ἐνδεχ.—ἀναγκ. εἶναι (10. 11) om. M 2 ἐνδεχ.—ἀναγκ. εἶναι (10. 11) om. a 3 δυνατὸν b 4 post ἀδυν. add. ἀκολουθεῖ b 5 δυνατῷ] δυνατὸν Gb 5. 6 τὸ ἀδύν. εἶναι Gb 6 οὐκ ἀδ.] οὐ δυνατὸν εἶναι G: οὐκ ἀδύν. εἶναι b 7 δὴ] δὲ AG οὕτως ἔχει b 9 καὶ ἀληθ. FG ἐπὶ ex κατὰ corr. G 12 τοῦ om. G 21 post ἀδύν. εἶναι add. ἁπλῆ κατάφασις a ἡ om. M post μὴ εἶναι add. κατάφασις ἐκ μεταθέσεως a 22 δοκ.] δηλοῦσι F: δοκοῦσι G 22. 23 ὁμολογοῦμεν ὡς a 24 μόνων AFGa τοῦτο ὁ ἀριστ.] ὁ ἀριστ. τούτω AM 25 ἐλέγομεν] p. 231,20 26 γὰρ om. ed. Ven. Brand. ἀπόφασιν F 27 post ἀναγκ. εἶναι add. ἁπλῆν κατάφασιν et post οὐκ ἀναγκ. εἶναι add. ἁπλῆν ἀπόφασιν a 29 κάτω τεταγμ.] κατατεταγμ. G 30 τῆς δὲ—ἀπόφασιν (31. 32) om. F δὲ om. G

μέρος τῆς δευτέρας σελίδος ἐκτεθειμένης, τῆς δὲ ἀποφάσεως αὐτῆς κατὰ τὸ πέρας τῆς πρώτης σελίδος. τὰς δέ γε ἐπ' εὐθείας ἀλλήλαις κειμένας μηκέτι ποιεῖν ἀντίφασιν, ὅπερ ἔχουσιν αἱ κατὰ πάντας τοὺς ἄλλους τρόπους ἐπ' εὐθείας κείμεναι ἀλλήλαις προτάσεις· συμψεύδονται γὰρ ἀλλήλαις αἱ μὲν ταῖς ἁπλαῖς τοῦ δυνατοῦ προτάσεσιν ἑπόμεναι, ἡ οὐκ ἀναγκαῖον εἶναι καὶ ἡ ἀναγκαῖον μὴ εἶναι, κατὰ τὴν ἀναγκαίαν ὕλην, αἱ δὲ ταῖς ἐκ μεταθέσεως, ἡ οὐκ ἀναγκαῖον μὴ εἶναι καὶ ἡ ἀναγκαῖον εἶναι, κατὰ τὴν ἀδύνατον. διὸ καὶ ἐκάλεσεν αὐτὰς ἐναντίας, δι' ἣν αἰτίαν καὶ τὰς ἄνευ τρόπου τὰς συμψευδομένας ἀλλήλαις ἐναντίας προσηγορεύομεν. συμψεύδονται οὖν ἀλλήλαις κατὰ τὰς εἰρημένας ὕλας αἱ ἐπ' εὐθείας ἐκτεθεῖσαι τοῦ ἀναγκαίου | προτάσεις. καὶ πρὸς τοῦτο καθ' ἑτέρας τινὰς φαίνονται 188r συναληθεύουσαι· πάλιν γὰρ αἱ μὲν ταῖς ἁπλαῖς ἑπόμεναι κατὰ τὴν ἀδύνατον ὕλην συναληθεύουσιν ἀλλήλαις (ὡς γάρ φησιν ὁ Ἀριστοτέλης, ὅπερ ἀναγκαῖόν ἐστι μὴ εἶναι, τοῦτο οὐκ ἔστιν ἀναγκαῖον εἶναι), αἱ δὲ ταῖς ἐκ μεταθέσεως κατὰ τὴν ἀναγκαίαν.

p. 22b3 Αἴτιον δὲ τοῦ μὴ ἀκολουθεῖν τὸ ἀναγκαῖον ὁμοίως τοῖς ἑτέροις, ὅτι ἐναντίως τὸ ἀδύνατον τῷ ἀναγκαίῳ ἀποδίδοται τὸ αὐτὸ δυνάμενον· ὃ γὰρ ἀδύνατον εἶναι, ἀναγκαῖον τοῦτο οὐκ εἶναι, ὃ δὲ ἀδύνατον μὴ εἶναι, τοῦτο ἀνάγκη εἶναι. ὥστε εἰ ἐκεῖνα ὁμοίως ἀκολουθεῖ τῷ δυνατῷ καὶ μή, ταῦτα ἐξ ἐναντίας. ἐπεὶ οὐ σημαίνει γε ταὐτὸν τό τε ἀναγκαῖον καὶ τὸ ἀδύνατον, ἀλλ', ὥσπερ εἴρηται, ἀντεστραμμένως.

Ἦν μὲν ἀκόλουθον παραδοῦναι πρότερον τὴν ἑξῆς ῥηθησομένην τῆς ἐκθέσεως τῶν προτάσεων διόρθωσιν καὶ ἐπιδεῖξαι ὅτι ἡμαρτημένως ἔχουσιν ἐν τῷ πρότερον ἐκτεθέντι διαγράμματι αἱ τοῦ ἀναγκαίου ἀποφάσεις (οὔτε γὰρ τὴν ἁπλῆν ἐχρῆν συντετάχθαι ταῖς ἁπλαῖς τῶν ἄλλων τρόπων προτάσεσιν ἀλλὰ ταῖς ἐκ μεταθέσεως ἐπ' εὐθείας τῇ ἑαυτῆς καταφάσει, οὔτε τὴν ἐκ μεταθέσεως ταῖς ἐκ μεταθέσεως ἀλλὰ ταῖς ἁπλαῖς, ἐπ' εὐθείας καὶ ταύτην ἐσομένην τῇ οἰκείᾳ καταφάσει), καὶ οὕτως προσθεῖναι τὰ διὰ τούτων λεγόμενα, ὅτι εἰκότως ἡ μὲν ἐκ μεταθέσεως τοῦ ἀναγκαίου ἀντίφασις ὑπὸ τὴν ἁπλῆν τέτακται τοῦ τε δυνατοῦ | καὶ τοῦ ἀδυνάτου 188v ἀντίφασιν, ἡ δὲ ἁπλῆ ὑπὸ τὴν ἐκ μεταθέσεως· προσήκει γὰρ τὸ ὅτι

1 ἐκτιθεμένης FGa 5 οὐκ suppl. F² 6 καὶ om. FG 7 ἡ om. AFG¹ κατὰ] καὶ G¹ 9 τὰς om. FG προσαγορεύομεν G²Ma (cf. p. 92,4) 11 φαιν.] φέρονται G¹ 13 ὡς γὰρ F: ὅπερ γὰρ A: ὃ γὰρ G: καὶ γὰρ M: ὅπερ a 16 ὁμοίως — ἀντεστραμμένως (22) om. M 18 ὃ — ἀντεστραμμένως (22) om. a ὃ] εἰ b οὐχὶ FG 19 ὃ] τὸ G: εἰ b τοῦτο om. FG ἀναγκαῖον FG 20 ἀκολουθεῖ om. b τῶν δυνατῶν G 22 ἀντεστραμένως F 26 ταῖς] αὐταῖς Ma 27 τῇ] τῆς A 29 ἐσομένην] ἑπομένην AMa (cf. p. 236,31) 31 τε om. A 32 τὸ] τῷ G

προηγουμένην ἔχειν τάξιν τοῦ διότι. ἀλλ' ἴσως ὁ Ἀριστοτέλης μετὰ τὸ ἐπισημήνασθαι τῇ ἀταξίᾳ τῆς ἐξ ἀρχῆς γενομένης ἐκθέσεως τῶν τοῦ ἀναγκαίου προτάσεων, ὡς τῶν ἐπιστατικωτέρων εὐθὺς συνορώντων τὴν ἀκόλουθον αὐτῶν ἔκθεσιν, τὴν αἰτίαν ἠξίωσεν ἀποδοῦναι διὰ τούτων τῆς τεταγμένης αὐτῶν ἀκολουθίας. ἐπὶ δὲ τούτῳ συνεῖδεν ὅτι χρὴ καὶ ἡμῶν τῶν πολλῶν ποιήσασθαί τινα λόγον ἀποπλῆσαί τε ἡμᾶς, ὅτι ταύτην ἀνάγκη τὴν τάξιν ἔχειν τὰς τοῦ ἀναγκαίου προτάσεις ἐν τῇ ἀκολουθίᾳ τῶν μετὰ τρόπου προτάσεων, καὶ διὰ τοῦτο πρὸ τοῦ ὅτι τὸ διότι παραδίδωσιν. ἀλλὰ τίνα φησὶν εἶναι τὴν αἰτίαν τοῦ ὑποτετάχθαι ταῖς μὲν ἁπλαῖς τοῦ δυνατοῦ καὶ τοῦ ἀδυνάτου προτάσεσι τὰς ἐκ μεταθέσεως τοῦ ἀναγκαίου, ταῖς δὲ ἐκ μεταθέσεως τὰς ἁπλᾶς; ὅτι, φησίν, ἐναντίως τὸ ἀδύνατον τῷ ἀναγκαίῳ ἀποδίδοται τὸ αὐτὸ δυνάμενον, τὸ αὐτὸ μὲν αὐτὰ δύνασθαι λέγων, διότι ἑκάτερον αὐτῶν ἀεὶ ὡσαύτως ἔχει καὶ ἀνεπίδεκτόν ἐστι τοῦ ἐναντίου, τὸ μὲν ἀεὶ ὂν τὸ δὲ ἀεὶ μὴ ὄν, ἐναντίως δὲ ἀποδίδοσθαι, διότι ὅτε πρὸς τῷ ἑτέρῳ τῶν τρόπων τούτων τὸ εἶναι τίθεμεν ἁπλῆν ποιοῦντες τὴν πρότασιν, πρὸς τῷ ἑτέρῳ τὸ μὴ εἶναι τάττομεν καὶ ποιοῦμεν πρότασιν ἐκ μεταθέσεως· ὃ γὰρ ἀναγκαῖον εἶναι, τοῦτο ἀδύνατον μὴ εἶναι, καὶ ὃ ἀδύνατον εἶναι, τοῦτο ἀναγκαῖον μὴ εἶναι. εἰ οὖν ταύτας τὰς τοῦ ἀδυνάτου προτάσεις ἐλέγομεν, φησίν, ἀκολουθεῖν ταῖς τοῦ δυνατοῦ καὶ τοῦ ἐνδεχομένου, τὰς ὁμοίως αὐταῖς | κατὰ τὸ ἁπλοῦν ἢ τὸ ἐκ 189r
μεταθέσεως ἐχούσας, τοῦ ἄρα ἀναγκαίου ἕπεσθαι αὐταῖς συμβήσεται τὰς ἐξ ἐναντίας, ὡς αὐτός φησι, κατὰ ταῦτα ἐχούσας, τοῦτ' ἔστι ταῖς μὲν ἁπλαῖς τὰς ἐκ μεταθέσεως ταῖς δὲ ἐκ μεταθέσεως τὰς ἁπλᾶς. ταῦτα οὕτω διορισάμενος ἀναλαμβάνει πάλιν τὰ εἰρημένα περὶ τῆς κοινωνίας καὶ τῆς διαφορᾶς τοῦ τε ἀναγκαίου καὶ τοῦ ἀδυνάτου, πρόχειρα ἡμᾶς αὐτὰ βουλόμενος ἔχειν ὅτι τὸ αὐτὸ δύνανται ἀλλήλαις ἀντεστραμμένως· τό τε γὰρ ἀναγκαῖον εἶναι εἴποις ἂν ἀδύνατον κατὰ τὸ μὴ εἶναι, καὶ τὸ ἀδύνατον εἶναι ἀναγκαῖον πάλιν κατὰ τὸ μὴ εἶναι.

---

1 τὴν τάξιν a 2 τὴν ἀταξίαν F γινομ. FG 3 ἐπιστατικώτερον M: ἐπιστατικωτέρως a 4 διὰ om. FG 5 ἐπὶ scripsi: ἐπεὶ libri τοῦτο G ὅτι] ὡς M καὶ om. A
6 τε om. a 8 καὶ om. FG¹ τούτων M 12 τῶν ἀναγκαίων F 14 τὸ δὲ ἀεὶ μὴ ὄν om. FG¹ 15 τιθέμεθα FG
18 καὶ ὃ ἀδ. εἶναι om. G¹ ὃ οὐκ ἀδ. (sed οὐκ del.) F μὴ om. F¹G¹ 19 τὰς post ἀδ. colloc. FG 20 ὁμοίας AMa
21 αὐτὰς FM 23 ἐκ μεταθ. δὲ colloc. FG 26 δύναται FG¹ an ἀλλήλοις? 27 εἶναι (prius) om. FG¹ 28 εἶναι (prius) om. FG

p. 22b10 Ἢ ἀδύνατον οὕτω κεῖσθαι τὰς τοῦ ἀναγκαίου ἀντιφάσεις: τὸ μὲν γὰρ ἀναγκαῖον εἶναι δυνατὸν εἶναι· εἰ γὰρ μή, ἡ ἀπόφασις ἀκολουθήσει· ἀνάγκη γὰρ ἢ φάναι ἢ ἀποφάναι· ὥστε εἰ μὴ δυνατὸν εἶναι, ἀδύνατον εἶναι· ἀδύνατον ἄρα εἶναι τὸ ἀναγκαῖον εἶναι, ὅπερ ἄτοπον. ἀλλὰ μὴν τῷ γε δυνατὸν εἶναι τὸ οὐκ ἀδύνατον εἶναι ἀκολουθεῖ, τούτῳ δὲ τὸ μὴ ἀναγκαῖον εἶναι· ὥστε συμβαίνει τὸ ἀναγκαῖον εἶναι μὴ ἀναγκαῖον εἶναι, ὅπερ ἄτοπον. ἀλλὰ μὴν οὐδὲ τὸ ἀναγκαῖον εἶναι ἀκολουθεῖ τῷ δυνατὸν εἶναι, οὐδὲ τὸ ἀναγκαῖον μὴ εἶναι· τῷ μὲν γὰρ ἄμφω ἐνδέχεται συμβαίνειν, τούτων δὲ ὁπότερον ἂν ἀληθὲς ᾖ, οὐκέτι ἔσται ἐκεῖνα ἀληθῆ· ἅμα γὰρ δυνατὸν εἶναι καὶ μὴ εἶναι. εἰ δὲ ἀνάγκη εἶναι ἢ μὴ εἶναι, οὐκ ἔσται δυνατὸν ἄμφω. λείπεται τοίνυν τὸ οὐκ ἀναγκαῖον μὴ εἶναι ἀκολουθεῖν τῷ δυνατὸν εἶναι· τοῦτο γὰρ ἀληθὲς καὶ κατὰ τοῦ ἀναγκαῖον εἶναι· καὶ γὰρ αὕτη γίνεται ἀντίφασις τῇ | ἑπομένῃ τῷ οὐ δυνατὸν εἶναι· 189v ἐκείνῳ γὰρ ἀκολουθεῖ τὸ ἀδύνατον εἶναι καὶ ἀναγκαῖον μὴ εἶναι, οὗ ἀπόφασις τὸ οὐκ ἀναγκαῖον μὴ εἶναι. ἀκολουθοῦσιν ἄρα καὶ αὗται αἱ ἀντιφάσεις κατὰ τὸν εἰρημένον τρόπον, καὶ οὐδὲν ἀδύνατον συμβαίνει τιθεμένων οὕτως.

Ἐλέγχεται μὲν διὰ τούτων ἡ προειρημένη τῶν τοῦ ἀναγκαίου ἀποφάσεων ἔκθεσις καὶ παραδίδοται ἡ ἀκριβὴς αὐτῶν τάξις ἐν τῷ διαγράμματι τῶν μετὰ τρόπου προτάσεων, ὥστε μηδεμίαν ἐν αὐταῖς εἶναι μήτε διαφωνίαν μήτε ἀταξίαν, ἀλλὰ τὸ ὅλον διάγραμμα τεταγμένως ἔχειν. ζητεῖται δὲ πρῶτον τῇ ἁπλῇ τοῦ δυνατοῦ καταφάσει ποίαν τῶν τεττάρων τοῦ ἀναγκαίου προτάσεων, τῶν δύο τῶν ἁπλῶν καὶ τῶν δύο τῶν ἐκ μεταθέσεως, ἕπεσθαι ῥητέον. καὶ δείκνυται ὅτι οὔτε, ὡς πρότερον ἐλέγομεν, τὴν ἁπλῆν ἀπόφασιν χρὴ ὡς ἑπομένην αὐτῇ ὑποτάττειν, τὴν οὐκ ἀναγκαῖον εἶναι, οὔτε τῶν καταφάσεων οὐδετέραν, ἀλλὰ μόνην τὴν ἐκ μεταθέσεως ἀπόφασιν, τὴν οὐκ ἀναγκαῖον μὴ εἶναι, ἐπ' εὐθείας κεισομένην τῇ ἑαυτῆς καταφάσει. καὶ ἐκ τούτων συνάγεται ὅτι τὴν ἁπλῆν ἀπόφασιν ὑπὸ τὴν ἐκ μεταθέσεως τοῦ δυνατοῦ κατάφασιν προσήκει τάττειν, ἐπ' εὐθείας καὶ ταύτην ἐσομένην τῇ οἰκείᾳ καταφάσει, ἅτε τῶν ἄλλων τριῶν τοῦ ἀναγκαίου προτάσεων ἤδη τεταγμένων ἐν ταῖς προσηκούσαις αὐταῖς χώραις τοῦ διαγράμματος· τούτων γὰρ οὕτως ἐχόντων οὐκέτι τὰς ἀντι-

---

2 τὸ — οὕτως (19) om. M 3 ὥστε — οὕτως (19) om. a 4 ἀδύνατον εἶναι om. G 5 τῷ] τὸ F 6. 7 τούτῳ δὲ τὸ μὴ ἀναγκ. εἶναι om. G 8 ἀκολουθεῖ — μὴ εἶναι (9) om. G 10 ἐνδέχεσθαι G 12 εἰ — μὴ εἶναι om. G εἶναι ἢ suppl. F² 13 τῷ] τὸ G 15 δυνατῶ A 16 καὶ τὸ ἀναγκ. FG 17 ἡ ἀπόφ. b ἀνάγκη FG ἀκολουθοῦσί τε b 18 prius καὶ om. G αἱ ἀντ. αὗται colloc. G 22 ὥστε — ἀταξίαν (23) iter. G¹ 26 ἐλέγομεν] p. 231,27 28 οὐδετέρων F 30 καὶ — καταφάσει (32) om. G¹ 33 αὐτῶν FG

φασκούσας ἀλλήλαις χωρὶς ἀλλήλων γεγράφθαι, ὥσπερ πρότερον, συμβαίνει, καὶ τὴν προσήκουσαν ἑαυταῖς ἀπολήψονται τάξιν | αἱ τοῦ ἀναγκαίου ἀντι- 190r φάσεις, συμπαρατεινόμεναι μὲν ταῖς τοῦ ἀδυνάτου ἀντιφάσεσιν, ἐναντίως δὲ αὐταῖς, ὅπερ ἐλέγετο προσεχῶς, ἀποδιδόμεναι. ἀδύνατον μὲν οὖν, φησὶν ὁ Ἀριστοτέλης, οὕτω κεῖσθαι τὰς τοῦ ἀναγκαίου ἀντιφάσεις, ἴσον λέγων τῷ 'ἀδύνατον οὕτω κειμένας ὑγιῆ ἔχειν τὴν πρὸς τὰς ἄλλας ἀκολουθίαν'. ὅτι δὲ τὴν οὐκ ἀναγκαῖον εἶναι οὐ καλῶς ὑπετάξαμεν κατ' ἀρχὰς τῇ δυνατὸν εἶναι ὡς ἀκολουθοῦσαν αὐτῇ, δείκνυσι προλαβὼν ὥσπερ λημμάτιον ὅτι τῇ ἀναγκαῖον εἶναι ἀκολουθεῖν ἀνάγκη τὴν δυνατὸν εἶναι καὶ κατασκευάζει γε αὐτὸ τῇ εἰς ἀδύνατον ἀπαγωγῇ χρώμενος τοῦτον τὸν τρόπον· εἰ γὰρ μὴ ἕπεται, φησί, τῇ ἀναγκαῖον εἶναι ἡ δυνατὸν εἶναι, ἡ ἀπόφασις αὐτῆς ἀκολουθήσει ἡ οὐ δυνατὸν εἶναι· ἐπὶ παντὸς γὰρ ἢ τὴν κατάφασιν ἀληθεύειν ἀνάγκη ἢ τὴν ἀπόφασιν. ἀλλ' εἰ ἕποιτο τῇ ἀναγκαῖον εἶναι ἡ οὐ δυνατὸν εἶναι, ἐπειδὴ ταύτῃ τε καὶ τῇ ἰσοδυναμούσῃ αὐτῇ, τῇ οὐκ ἐνδεχόμενον εἶναι, ἀκολουθεῖν ἐλέγομεν τὴν ἀδύνατον εἶναι, συμβήσεται συναληθεύειν ἀλλήλαις τήν τε ἀναγκαῖον εἶναι καὶ τὴν ἀδύνατον εἶναι, ὅπερ ἐστὶ παντελῶς ἄλογον. ἕπεσθαι ἄρα χρὴ τῇ ἀναγκαῖον εἶναι τὴν δυνατὸν εἶναι. τούτου προληφθέντος δείκνυται ῥᾳδίως ὅτι οὐ καλῶς ἐλέγομεν τὴν οὐκ ἀναγκαῖον εἶναι ἀκολουθεῖν τῇ δυνατὸν εἶναι· εἰ γὰρ τῇ ἀναγκαῖον εἶναι ἀκολουθεῖ ἡ δυνατὸν εἶναι, ὡς τὸ λημμάτιον ἔδειξε, τῇ δὲ δυνατὸν εἶναι λέγοιμεν ἕπεσθαι τὴν οὐκ ἀναγκαῖον εἶναι, ὡς ἐξ ἀρχῆς διεγράφομεν, | ἕψεται ἄρα τῇ ἀναγκαῖον εἶναι ἡ ἀπό- 190v φασις αὐτῆς, ἡ οὐκ ἀναγκαῖον εἶναι, ὅπερ ἀδύνατον. οὐκ ἄρα δεῖ τάττειν ὑπὸ τὸ δυνατὸν εἶναι τὴν ἁπλῆν τοῦ ἀναγκαίου ἀπόφασιν. ἀλλὰ μὴν οὐδὲ τῶν καταφάσεων αὐτοῦ οὐδετέραν, ἢ τὴν ἀναγκαῖον εἶναι ἢ τὴν ἀναγκαῖον μὴ εἶναι· τούτων μὲν γὰρ ἑκατέρα φύσιν τινὰ ὡρισμένην δηλοῖ, ἡ μὲν ἀεὶ οὖσαν, ἡ ἁπλῆ, ἡ δὲ ἀεὶ μὴ οὖσαν, ἡ ἐκ μεταθέσεως, τὸ δέ γε δυνατὸν εἶναι ἐπαμφοτερίζει καὶ εἰς τὸ μὴ εἶναί ποτε μεταπίπτει· ὁ γὰρ δυνατὸν εἶναι, δύναταί ποτε καὶ μὴ εἶναι. ὥστε οὐδὲ τούτων ὁποτεροῦν συνάσεται τῇ δυνατὸν εἶναι. τῶν οὖν τριῶν τοῦ ἀναγκαίου προτάσεων ἐληλεγμένων ὡς οὐ δυναμένων ἕπεσθαι τῇ δυνατὸν εἶναι καταλείπεται μόνη ἡ οὐκ ἀναγκαῖον μὴ εἶναι· ὥστε ταύτην αὐτῇ ἕπεσθαι

---

2 ἐν αὐταῖς FG τάξιν ex τέχνην corr. G 4 ἐλέγετο] p. 235,11 6 τῷ] τὸ AGM 7 οὐκ suppl. F² post ἀναγκ. εἶναι add. ἁπλῆν ἀπόφασιν a 8 post δυν. εἶναι add. ἁπλῆ καταφάσει a προσλαβὼν FG 9 post ἀν. εἶναι add. ἁπλῆ a 10 γε] γὰρ a 14 τε] γε G καὶ om. F 15 αὐτῇ om. AF 16 et 17 εἶναι] ἐστιν (utrobique) A 16 καὶ suppl. G² 17 ὅπερ — δυν. εἶναι (18) om. FG¹ 17. 18 τὴν ἀν. εἶναι τῇ δυν. AMa 18 τούτου οὖν a 19 λέγομεν M 20 εἰ — δυν. εἶναι om. FG¹ ἡ οὐ δυν. a ὡς om. M 21 post ἔδειξε add. εἰ γὰρ ἕπεται τῇ ἀναγκαῖον εἶναι ἡ (ἀκολουθεῖ τῇ F) δυνατὸν εἶναι FG λέγομεν AGM 22 ἕπεται a ἡ ἀπόφ. — εἶναι (23) iter. F 24 ante ὑπὸ add. τὴν M post ἀπόφ. add. τὴν οὐκ ἀναγκαῖον εἶναι a 25 ἀναγκ. αὐτῶν εἶναι A 26 ἑκατέραν G 27 ἡ μὲν ex ἢ μὴ corr. G ἡ (ante ἁπλῆ) om. F 30 ὁποτεροῦν G συνάσεται scripsi: συνέσεται libri τῶν οὖν] καταλείπεται G 32 post μὴ εἶναι add. ἐκ μεταθέσεως ἀπόφασις a

ῥητέον, καθάπερ τῇ οὐ δυνατὸν εἶναι ἀκολουθεῖν ἐλέγομεν τὴν ἀναγκαῖον μὴ εἶναι. καὶ φανερὸν ὅτι τὴν οὐκ ἀναγκαῖον εἶναι μεταθήσομεν ἐπὶ τὴν χώραν, ἣν ἐν τῷ πρότερῳ διαγράμματι κατεῖχεν ἡ οὐκ ἀναγκαῖον μὴ εἶναι, πάσας τὰς προτάσεις πάσαις ὁμολόγους ποιοῦντες. ἵνα δὲ μή τις ὑπολάβῃ ὅτι καθ' ὃν τρόπον ἐδείκνυμεν τὴν οὐκ ἀναγκαῖον εἶναι μὴ δυναμένην ἕπεσθαι τῇ δυνατὸν εἶναι προλαβόντες ὅτι τῇ ἀναγκαῖον εἶναι ἀκολουθεῖ ἡ δυνατὸν εἶναι, κατὰ τὸν αὐτὸν τρόπον δεικνύναι δυνατὸν μηδὲ τὴν οὐκ ἀναγκαῖον μὴ εἶναι δυναμένην αὐ|τῇ ἀκολουθεῖν, 191ʳ προστίθησι τὸ τοῦτο γὰρ ἀληθὲς καὶ κατὰ τοῦ ἀναγκαῖον εἶναι· οὐ γὰρ ἔτι συμβήσεται ἄτοπον, εἰ τῷ μὲν ἀναγκαῖον εἶναι τὸ δυνατὸν εἶναι λέγομεν ἕπεσθαι, τῷ δὲ δυνατὸν εἶναι τὸ οὐκ ἀναγκαῖον μὴ εἶναι· συμβήσεται μὲν γὰρ διὰ ταῦτα ἀκολουθεῖν τῷ ἀναγκαῖον εἶναι τὸ μὴ ἀναγκαῖον μὴ εἶναι. τοῦτο δὲ οὐκέτι ἄτοπον, ἀλλὰ καὶ ἀληθές· ὁ γὰρ ἀναγκαίαν ἔχει τὴν ὕπαρξιν, τοῦτο οὐχ οἷόν τε καὶ ἀνυπαρξίαν ἀναγκαίαν ἔχειν. ἀλλὰ τούτων οὕτως εἰρημένων εἰκότως ἀπορεῖ διὰ τῶν ἑφεξῆς ὁ Ἀριστοτέλης πότερον ἕπεσθαι ῥητέον τῇ ἀναγκαῖον εἶναι τὴν δυνατὸν εἶναι ἢ μὴ ἕπεσθαι, διότι ἄμφω μὲν εἶναι ἀληθῆ ταῦτα ἀμήχανον, ἑκάτερον δὲ αὐτῶν ἔδοξε κρατύνειν, τὸ μὲν διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς τὸ δὲ ἐπ' εὐθείας, καί φησιν·

p. 22ᵇ29 Ἀπορήσειε δ' ἄν τις εἰ τῷ ἀναγκαῖον εἶναι τὸ δυνατὸν εἶναι ἕπεται· εἴ τε γὰρ μὴ ἕπεται, ἡ ἀντίφασις ἀκολουθήσει, τὸ μὴ δυνατὸν εἶναι, καὶ εἴ τις ταύτην μὴ φήσειεν εἶναι ἀντίφασιν, ἀνάγκη λέγειν τὸ δυνατὸν μὴ εἶναι· ἅπερ ἄμφω ψευδῆ κατὰ τοῦ ἀναγκαῖον εἶναι. ἀλλὰ μὴν πάλιν τὸ αὐτὸ εἶναι δοκεῖ δυνατὸν τέμνεσθαι καὶ μὴ τέμνεσθαι καὶ εἶναι καὶ μὴ εἶναι, ὥστε ἔσται τὸ ἀναγκαῖον εἶναι ἐνδεχόμενον μὴ εἶναι. τοῦτο δὲ ψεῦδος. φανερὸν δὴ ὅτι οὐ πᾶν τὸ δυνατὸν ἢ εἶναι ἢ βαδίζειν καὶ τὰ ἀντικείμενα δύναται, ἀλλ' ἔστιν ἐφ' ὧν οὐκ ἀληθές, πρῶτον μὲν ἐπὶ τῶν μὴ κατὰ λόγον δυνατῶν, οἷον τὸ πῦρ θερμαντικὸν καὶ ἔχει δύναμιν ἄλογον. | αἱ μὲν οὖν μετὰ 191ᵛ λόγου δυνάμεις αἱ αὐταὶ πλειόνων καὶ τῶν ἐναντίων, αἱ δὲ ἄλογοι οὐ πᾶσαι, ἀλλ', ὥσπερ εἴρηται, τὸ πῦρ οὐ δυνατὸν θερ-

1 post δυν. εἶναι add. ἁπλῇ ἀποφάσει a ἐλέγομεν] p. 231,33 2 post μὴ εἶναι add. κατάφασιν ἐκ μεταθέσεως a post ἀν. εἶναι add. ἁπλῆν ἀπόφασιν a 3 ἡ om. F 7 εἶναι (post δυν.) om. FG τρόπον] τοῦτον F 8 μηδὲ] μήτε AGMa οὐκ om. F 9 τὸ om. G 10 ἄτ. συμβ. (num. corr.) G ante ἄτοπον add. τι A: post ἄτοπον G² 11 λέγοιμεν FGa 12 τῷ] τὸ FG τὸ μὴ—εἶναι (13) om. FG¹ τὸ] τῶ G μὴ om. M 13 οὐκ ἔστι a 14 τοῦτο om. F 15 ἔχει G 16. 17 δυν. μὴ εἶναι G¹ 17 ἕπ. μή (num. corr.) G 20 τῷ] τῶν F¹ τὸ δυν.—πᾶν (239,16) om. M 21 τε om. G γὰρ ἂν μὴ ἕπηται A 22 καὶ—πᾶν (239,16) om. a μὴ ταύτην colloc. FG 26 ὥστε—πᾶν (239,16) om. G 28 ἀφ' F¹ 29 δυνατόν F¹

μαίνειν καὶ μή, οὐδ' ὅσα ἄλλα ἐνεργεῖ ἀεί. ἔνια μέντοι δύνα-
ται καὶ τῶν κατὰ τὰς ἀλόγους δυνάμεις ἅμα τὰ ἀντικείμενα δέξασθαι. ἀλλὰ τοῦτο μὲν τούτου χάριν εἴρηται, ὅτι οὐ πᾶσα δύναμις τῶν ἀντικειμένων, οὐδὲ ὅσαι λέγονται κατὰ τὸ αὐτὸ εἶδος. ἔνιαι δὲ δυνάμεις ὁμώνυμοί εἰσι· τὸ γὰρ δυνατὸν οὐχ ἁπλῶς λέγεται, ἀλλὰ τὸ μὲν ὅτι ἀληθὲς ὡς ἐνεργείᾳ ὄν, οἷον δυνατὸν βαδίζειν ὅτι βαδίζει, καὶ ὅλως δυνατὸν εἶναι ὅτι ἤδη ἔστι κατ' ἐνέργειαν ὃ λέγεται εἶναι δυνατόν, τὸ δὲ ὅτι ἐνεργήσειεν ἄν, οἷον δυνατὸν εἶναι βαδίζειν, ὅτι βαδίσειεν ἄν. καὶ αὕτη μὲν ἐπὶ τοῖς κινητοῖς ἐστι μόνοις ἡ δύναμις, ἐκείνη δὲ καὶ ἐπὶ τοῖς ἀκινήτοις. ἄμφω δὲ ἀληθὲς εἰπεῖν τὸ δυνατὸν εἶναι βαδίζειν ἢ εἶναι, καὶ τὸ βαδίζον ἤδη καὶ τὸ ἐνεργοῦν καὶ τὸ βαδιστικόν. τὸ μὲν οὕτω δυνατὸν οὐκ ἀληθὲς κατὰ τοῦ ἀναγκαίου ἁπλῶς εἰπεῖν, θάτερον δὲ ἀληθές. ὥστε ἐπεὶ τῷ ἐν μέρει τὸ καθόλου ἕπεται, τῷ ἐξ ἀνάγκης ὄντι ἕψεται τὸ δύνασθαι εἶναι, οὐ μέντοι πᾶν.

Κατασκευάζων γὰρ ὅτι τῶν τεττάρων τοῦ ἀναγκαίου προτάσεων μόνην τὴν οὐκ ἀναγκαῖον μὴ εἶναι δυνατὸν ἀκολουθεῖν τῇ δυνατὸν εἶναι, τῶν δὲ ἄλλων οὐδεμίαν, πρῶτον μὲν ἐδείκνυ τὴν οὐκ ἀναγκαῖον εἶναι μὴ δυναμένην αὐτῇ ἀκολουθεῖν, προλαμβάνων ὅτι ἕπεται τῷ ἀναγκαῖον εἶναι τὸ δυνατὸν εἶναι, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς τοῦτο πιστούμενος, ἧς καὶ νῦν | ἡμᾶς ἀναμιμνήσκειν πειρᾶται μετὰ πλείονος τιθεὶς αὐτὴν ἐπεξεργασίας 192r
τῷ ἐκ περιουσίας προστιθέναι ὅτι κἂν οἴηταί τις μὴ εἶναι τῆς δυνατὸν εἶναι ἀπόφασιν τὴν οὐ δυνατὸν εἶναι, ἀλλὰ τὴν δύνατον μὴ εἶναι, οὐδὲν αὐτῷ ἔσται διὰ τοῦτο πλέον· ἀναγκασθήσεται γὰρ ὁμολογεῖν ὅτι ὃ φαμεν ἀναγκαῖον εἶναι, τοῦτο ἔσται ποτὲ δυνατὸν μὴ εἶναι, ὅπερ ἐναργῶς ἄλογον. εἶτα ἐφεξῆς μεταβαίνων ἐπὶ τὸν ἔλεγχον τῶν τοῦ ἀναγκαίου καταφάσεων, ὡς οὐδὲ τούτων ὁποτερασοῦν δυναμένης αὐτῇ συνᾴδειν, αὐτὸ τοὐναντίον ἔλεγε τοῖς προσεχῶς εἰρημένοις, ὅπερ καὶ αὐτὸ ἀναλαμβάνει διὰ τούτων, ὅτι τὸ μὲν ἀναγκαῖον εἶναι ἀδύνατόν ποτε μὴ εἶναι, ὥσπερ τὸ ἀναγκαῖον μὴ εἶναι ἀδύνατόν ποτε εἶναι, τὸ μέντοι δυνατὸν εἶναι τῶν ποτὲ μὲν ὄντων ἐστὶ ποτὲ δὲ μὴ ὄντων, ὥστε διὰ ταῦτα μηκέτι πάλιν ἀκολουθεῖν τῷ ἀναγκαῖον εἶναι τὸ δυνατὸν εἶναι. λύων οὖν τὴν ἀπορίαν τὴν ὁμωνυμίαν αἰτιᾶται τοῦ δυνατοῦ τῆς δοκούσης τῶν λόγων ἐναντιότητος, καθ' ἣν ἕπεσθαι συμβαίνει τῷ ἀναγκαίῳ τὸ δυνατὸν καὶ πάλιν μὴ ἕπεσθαι κατ'

---

1. 2 δύνανται A 6 ὄν om. A 8 et 9 εἶναι om. F 10 μόνοις ἐστὶν colloc. F 11 μὴ ἀδύνατον Ab (cf. p. 244,5) 12 τὸ (ante ἐνεργ.) om. Fb 15 ἕψ.] ἕπεται b (recte, cf. p. 244,14) 17 γὰρ om. F 18 μὴ suppl. G² δυνατὸν ἀκολ. — ἀναγκ. εἶναι (19) om. M 19 ἄλλων δὲ colloc. G ἐδείκνυε G 20 προσλαμβ. Ma 20. 21 τὸ ἀν. εἶναι τῷ δυν. a 23 τῷ] τὸ AGMa οἴεται G 24 αὐτὸ G¹ 25 ὅ om. M 28 αὐτῇ om. Fa αὐτὸ] αὐτῷ FG ἐν τοῖς F 31 ἐστὶ — μὴ ὄντων (32) om. M 32 ὡς FG

ἄλλην αὐτοῦ καὶ ἄλλην ἔννοιαν· τοῦ γὰρ δυνατοῦ τὸ μὲν εἶναί φησιν ἤδη ὂν κατ' ἐνέργειαν, ὡς ὅταν τὸν βαδίζοντα λέγωμεν δύνασθαι βαδίζειν καὶ τὸν ἥλιον δύνασθαι φωτίζειν ἢ κινεῖσθαι, τὸ δὲ κατὰ δύναμιν καὶ ἐπιτηδειότητα μόνον, ὡς ὅταν λέγωμεν τὸν καθήμενον δύνασθαι βαδίζειν καὶ τὸν βαδίζοντα δύνασθαι μὴ βαδίζειν. ἀλλὰ τοῦ μὲν κατ' ἐνέργειαν τὸ μὲν εἶναι συμφυὲς τῷ πράγματι τῷ δύνασθαι αὐτὸ λεγομένῳ καὶ εἰδοποιὸν αὐτοῦ, τὸ δὲ | ἐπίκτητον καὶ οὐκ ἀεὶ παρὸν τῷ ὑποκειμένῳ. καὶ 192v τοῦ μὲν συμφυοῦς καὶ εἰδοποιοῦ, ὡς εἴρηται, τῶν ὑποκειμένων τὸ μὲν εἶναι ἀίδιον καὶ ἐν ἀιδίοις πράγμασιν ὑφιστάμενον, ὡς τὸ κινεῖσθαι κύκλῳ τὸν οὐρανὸν ἢ τὴν γῆν ἐν τῷ μέσῳ τετάχθαι τοῦ παντὸς ἢ τὸ εἶναι τὸν θεὸν ἀγαθόν, τὸ δὲ οὐκ ἀίδιον μὲν οὐδ' ἐπὶ ἀιδίων θεωρούμενον ὑποκειμένων, ἕως μέντοι ἂν ὦσι τὰ ὑποκείμενα, συνυπάρχον αὐτοῖς, ὡς ὅταν λέγωμεν τόδε τὸ πῦρ δύνασθαι θερμαίνειν καὶ τήνδε τὴν χιόνα ψύχειν. τοῦ λοιποῦ δηλαδὴ σημαινομένου τοῦ κατ' ἐνέργειαν τοῦ μὴ συμφυοῦς τοῖς ὑποκειμένοις θεωρουμένου ἐπὶ τῶν ἐκ δυνάμεως εἰς τὴν ἐνέργειαν μεταβεβληκότων. ὡς ἐλέγομεν ἐπὶ τοῦ τὸν καθήμενον δύνασθαι βαδίζειν. τοῦ δ' αὖ ἐπὶ ἀιδίων πραγμάτων λεγομένου τὸ μὲν θεωρεῖσθαί φησιν ἐν ταῖς παντάπασιν ἐξῃρημέναις τῆς ὕλης οὐσίαις, ὡς τὴν ἀγαθότητα τῶν θεῶν καὶ τὴν νόησιν, τὸ δὲ ἐκείνου προσεχῶς ἐξῃρτημένον καὶ ὑφεστηκὸς ἐν σώμασι μὲν ἀλλὰ ἁπλοῖς καὶ μηδὲν ἔχουσιν ἐναντίον καὶ κατὰ μόνην τὴν κύκλῳ κίνησιν ἀεὶ κινουμένοις πάσης τε θνητῆς δυσχερείας ἐξῃρημένοις. πάλιν δὲ τοῦ κατὰ δύναμιν τὸ μὲν εἶναί φησιν οἷόν τε μεταβάλλειν εἰς τὴν ἐνέργειαν, ὡς ὅταν λέγωμεν τὸν παῖδα δύνασθαι στρατηγεῖν, ἂν μή τι αὐτῷ τῶν ἔξωθεν ἐμποδὼν γένηται, τὸ δὲ εἰς ἐνέργειαν μὲν οὐδέποτε ἀχθησόμενον κατ' αὐτὸ δὲ μόνον τὸ δυνάμει τὸ εἶναι ἔχον, ὡς ἐπὶ τῆς εἰς ἄπειρον τομῆς τῶν μεγεθῶν καὶ πάντων ἁπλῶς τῶν συνεχῶν καὶ τῆς ἐπὶ τὸ πλέον προόδου τῶν ἀριθμῶν.

Τοσαυταχῶς τοίνυν λεγομένου τοῦ δυνατοῦ τὰ μὲν τῶν σημαι|νο- 193r μένων αὐτοῦ ἕπεσθαί φησι τῷ ἀναγκαίῳ, τὰ δὲ μὴ ἕπεσθαι· τοῦ γὰρ ἐπὶ τῶν κατ' ἐνέργειαν ὄντων κατηγορουμένου δυνατοῦ τὰ μὲν ἐπὶ τῶν συμφυῶς ὑπαρχόντων τοῖς ὑποκειμένοις, εἴτε ἀιδίοις οὖσιν εἴτε καὶ φθαρτοῖς, λεγόμενα ταῦτα καὶ ἐπὶ τῶν ἐξ ἀνάγκης ὄντων ἀληθεύειν, διότι καὶ αὐτά ἐστιν ἐξ ἀνάγκης ἅτε οὐκ ἐπαμφοτερίζοντα κατὰ τὸ εἶναι καὶ μὴ εἶναι (οὐ γὰρ οἷόν τε τὸ πῦρ μὴ εἶναι θερμὸν οὐδὲ μὴ κινεῖσθαι κύκλῳ τὸν οὐρανόν), τὸ δέ γε ἀπὸ τῆς δυνάμεως εἰς τὴν ἐνέργειαν μεταβεβληκός, ὥσπερ ἐπὶ τοῦ βαδίζειν ἐλέγομεν, καὶ τὸ

2 ὂν om. FG λέγομεν G 6 τὸ δύνασθαι αὐτῶ G 8 τῶ ὑποκειμένω G
9 εἶναι om. FG 12 συνυπάρχοντα AMa 16 μεταβεβηκότων FGMa ἐλέγομεν] v. 4 19 prius καὶ om. AM δὲ om. A 20 σώματι M καὶ (post ἁπλοῖς) om. AGM 22 τε om. Ga 24 μή πω αὐτὸ G¹ 28 τοσαχῶς a
29 φησι om. M 30. 31 τὰ μὲν ἐπὶ] τὸ μὲν ὑπὸ G 31 τοῦ συμφ. ὑπάρχοντος FG 32 ὄντων — ἀνάγκης (33) om. FG¹ 33 ἀληθεύει A καὶ om. G
34 θερμαῖνον A¹ 36 μεταβεβηκός FG ἐλέγομεν] v. 4

κατ' ἐπιτηδειότητα θεωρούμενον, ἢ πεφυκυῖαν εἰς τὴν ἐνέργειαν μεταβάλλειν ἢ μηδὲ πεφυκυῖαν ἀλλ' ἐν αὐτῷ μόνον τῷ ἀεὶ δύνασθαι τὸ εἶναι ἔχουσαν, οὐκέτι τῷ ἀναγκαίῳ ἐφαρμόζειν, ὥστε καὶ ἕπεσθαι καὶ μὴ ἕπεσθαι τῷ ἀναγκαίῳ τὸ δυνατὸν κατασκευάζοντες ὀρθῶς ἐλέγομεν κατ' ἄλλην, ὡς προείρηται περὶ αὐτοῦ, καὶ ἄλλην ἔννοιαν· καὶ γὰρ εἰ μὴ διωρισμένως ἐλέγομεν τὸ τοιόνδε δυνατὸν ἕπεσθαι τῷ ἀναγκαίῳ, οἷον τὸ μονοειδὲς κατὰ τὴν ἐνέργειαν, ἀλλὰ ἁπλῶς τὸ δυνατόν, οὐδὲν ἐλέγομεν ἄτοπον· ὥσπερ γὰρ τὸν χερσαῖον κύνα καὶ ἁπλῶς λέγομεν κύνα καὶ τὸν Τελαμῶνος Αἴαντα καὶ ἁπλῶς Αἴαντα, οὕτω καὶ τὸ τοιόνδε δυνατὸν καὶ ἁπλῶς δυνατὸν προσαγορεύομεν, ἐπεὶ καὶ ἀνάγκη τὰς ὁμωνύμους φωνὰς ἕπεσθαι ἑκάστῳ τῶν ὑπ' αὐτῶν σημαινομένων, ὥσπερ τὰ γένη τοῖς εἴδεσιν.

Ἀλλὰ ταῦτα μὲν ὕστερον παραδίδωσιν ἡμῖν ὁ Ἀριστοτέλης, τὴν τελεωτάτην λύσιν τῆς ἀπορίας ἀποδιδούς. πρότερον δὲ διαπαντῶν πρὸς τὸν λέγοντα λόγον μὴ ἕπεσθαι τῷ ἀναγκαίῳ τὸ δυνατόν, | διότι τὸ αὐτὸ 193v δοκεῖ δύνασθαι εἶναι καὶ μὴ εἶναι, φανερὸν εἶναί φησιν ὅτι οὐ πᾶν τὸ δυνατὸν εἶναι καὶ βαδίζειν καὶ τὰ ἀντικείμενα δύναται, τοῦτ' ἔστι μὴ εἶναι καὶ μὴ βαδίζειν, οὐκ ἐπ' αὐτῶν τούτων τῶν ἐν παραδειγματος τάξει παρειλημμένων ἀμφοτέρων ἀξιῶν νοεῖσθαι τὸ λεγόμενον (αὐτὸ γὰρ τοὐναντίον τῷ ὄντι φανερόν, ὅτι τοῦ βαδίζειν ἡ δύναμις οὐ τούτου μόνον ἐστὶν ἀλλὰ καὶ τοῦ ἀντικειμένου), ἀλλ' ἐνδείξασθαι ἡμῖν βουλόμενος ὅτι ἐπὶ τινῶν δυνατῶν εἶναι λεγομένων μονοειδής ἐστιν ἡ δύναμις καὶ οὐκ ἐπαμφοτερίζουσα, ἐφ' ὧν οὐκέτι εὐοδεῖ ὁ λέγων μὴ ἕπεσθαι τῷ ἀναγκαῖον εἶναι τὸ δυνατὸν εἶναι.. καὶ ποῖά ἐστι τὰ οὕτως ἔχοντα προστίθησιν, ὅτι τινὰ τῶν μὴ ἐχόντων λογικὴν οὐσίαν, οἷον τὰ ἄψυχα κατὰ τὰς ποιητικὰς ἑαυτῶν ἐνεργοῦντα δυνάμεις· τὸ γοῦν πῦρ θερμαῖνον οὐ δύναται καὶ μὴ θερμαίνειν καὶ ἡ βῶλος ἐπὶ τὰ κάτω φερομένη οὐ δύναται καὶ μὴ φέρεσθαι, εἰ μή τι αὐτὴν βίᾳ κωλύοι τῶν ἔξωθεν· ὅτι γὰρ οὐκ ἐπὶ πάντα τὰ ἄμοιρα λογικῆς δυνάμεως ἐκτείνεσθαι βούλεται τὸ λεγόμενον, ὥστε καὶ ἐπὶ τῶν ἀλόγων ζῴων ἐφαρμόζειν, δηλοῖ ἐφεξῆς ἐπιφέρων ἔνια μέντοι δύναται καὶ τῶν κατὰ τὰς ἀλόγους δυνάμεις ἅμα τὰ ἀντικείμενα δέξασθαι· τῶν τε γὰρ ἀψύχων αἱ παθητικαὶ δυνάμεις ἐναργῶς ἐπαμφοτερίζουσιν, οἷον τὸ ἱμάτιον διατμηθῆναί τε καὶ μὴ διατμηθῆναι ὁμοίως δυνατόν, καὶ τῶν ἀλόγων ζῴων αἱ ποιητικαὶ οὐκ εἰσὶ μονήρεις καὶ κατηναγκασμέναι, ὥσπερ ἐπὶ τοῦ πυρὸς καὶ τῆς χιόνος ἐλέ-

2 ἀλλ' ἐν αὐτὸ G^1 τῷ] τὸ G 3 ἐφαρμόζει G 4 λέγομεν a (cf. p. 239,35. 240,1) 9 καὶ ἁπλῶς αἴαντα om. A^1FG^1 9 τὸ om. Ma τοιοῦτον FG ἁπλ. δυν. καὶ δυν. (num. corr.) G 11 αὐτῷ A: αὐτὸν G 12 ὕστερον om. A 13 ἀποδιδ.] διδούς FG^1 διαπαντῶν A: ἀπαντῶν F: ἀπάντων G: διὰ πάντων Ma 15 δοκεῖν G ante φανερὸν add. καὶ τότε λέγει a 16 ἢ εἶναι ἢ βαδ. b 18 ἄξιον G^1 22 εὐοδῶν F^1: εὐοδοῖ GMa an ὁ λέγων ⟨λόγος⟩? (cf. v. 14) τῷ] τῶν M 24 τῶν μὴ ἐχ. τινὰ (num. corr.) G 27 τις G^2Ma κωλύει GM 30 ἔνοια F 31 δέξασθαι om. FG 32. 33 διατμ. ὁμοίως δυνατὸν καὶ μὴ διατμ. (τε om.) colloc. FG 32 μὴ om. A 34 κατανναγκασμέναι G ὡς M 34. p. 242,1 ἐλέγομεν] p. 240,13

γομεν· βαδίσαι γάρ, φέρε εἰπεῖν, δυνάμενος ὁ κύων δύναται | καὶ μὴ 194r
βαδίσαι ταῖς προσπιπτούσαις αὐτῷ φαντασίαις ἑπόμενος. ἐπεὶ δὲ ὁ λόγος
ὁ κατατασκευάζων μὴ ἕπεσθαι τῷ ἀναγκαίῳ τὸ δυνατὸν ὡρμᾶτο ἀπὸ τῶν
ὑπαρχουσῶν τοῖς ἐν γενέσει καὶ φθορᾷ δυνάμεων, ὡς τοῦ μὲν ἀναγκαίου 5
μὴ πεφυκότος ἐπαμφοτερίζειν τούτων δὲ οὐ μόνον εἶναι ἀλλὰ καὶ μὴ
εἶναι δυναμένων, διὰ τοῦτο τὴν ἀρχὴν τῆς ἀπαντήσεως ἀπ' αὐτῶν τούτων
ποιούμενός φησι πρῶτον μὲν ἐπὶ τῶν μὴ κατὰ λόγον δυνατῶν· κυριώτατα
μὲν γὰρ ἡ δύναμις ἡ τοῖς ἀιδίοις ὑπάρχουσα διαπέφευγε τὸ ἐπαμφοτερί- 10
ζειν καὶ συνᾴδει τῷ ἀναγκαίῳ, περὶ ἧς ἐφεξῆς διαλέξεται μετὰ τῆς
προσηκούσης ἀκριβείας τὴν ἀπορίαν ἐπιλυόμενος, εἰσὶ μέντοι καὶ τῶν
ἐν γενέσει καὶ φθορᾷ δυνάμεις τινὲς οὐκ ἐπαμφοτερίζουσαι σωζομένων τῶν 15
ὑποκειμένων. ἀλλὰ σὺν αὐτοῖς ὑπάρχουσαί τε καὶ μὴ ὑπάρχουσαι· ὥστε
καὶ ἐκ μόνων τούτων ἐλέγχεσθαι τὸν ἀποφαινόμενον ὡς ἅπαν τὸ δυνατὸν
εἶναι δυνατόν ἐστι καὶ μὴ εἶναι, τῶν, ὥς φησιν, ἀεὶ ἐνεργούντων, τὸ
ἀεὶ οὐ πρὸς τὴν ἀπειρίαν τὴν χρονικὴν νῦν λέγων, ἀλλ' ἕως ἂν ᾖ τὸ 20
ὑποκείμενον. ὅτι μὲν οὖν οὐδὲ ἐπὶ μόνων τῶν ἀλόγων δυνάμεων, αἳ
ὁμοειδεῖς λέγονται εἶναι ἀλλήλαις κατ' αὐτὸ τὸ ἄλογοι εἶναι, ἀληθὴς ὁ
λόγος ὁ λέγων ἅπαν τὸ δυνατὸν εἶναι δύνασθαι καὶ μὴ εἶναι, φανερὸν ἐκ
τῶν εἰρημένων. ἐπεὶ δὲ τὰς μετὰ λόγου δυνάμεις ἁπάσας τῶν ἐναντίων 25
εἶναί φησιν, ἐπὶ μὲν ἀνθρώπων τὸ λεγόμενον φανερόν, εἴτε τεχνικὸν λαμ-
βάνοις τὸν λόγον εἴτε καὶ προαιρετικόν· ὁ γὰρ ὑγιάσαι δυνάμενος δύναται
καὶ μὴ ὑγιάσαι. καὶ ἔτι φανερώτερον ἐπὶ τῶν κατὰ προαί|ρεσιν γινο- 194v
μένων, ἐφ' ὧν καὶ αἱ βουλαὶ χώραν ἔχουσιν· ὁ γοῦν λούσασθαι ἢ βαδί-
σαι δυνάμενος καὶ μὴ λούσασθαι δύναται καὶ μὴ βαδίσαι· κύριοι γὰρ
ἐσμεν, ὡς διὰ πλειόνων κατεσκεύασται πρότερον, τῆς ἑαυτῶν προαιρέσεως 5
καὶ ἐφ' ἡμῖν ἐστι τὸ πράττειν ἕκαστον τῶν κατὰ προαίρεσιν γινομένων
καὶ τὸ μὴ πράττειν. ἐπὶ δὲ τῶν θεῶν τί ἐροῦμεν; ὥσπερ ἀπορεῖ καὶ ὁ
Ἀλέξανδρος· ἢ γὰρ οὐκ εἶναι μετὰ λόγου τὰς δυνάμεις αὐτῶν φήσομεν,
εἴπερ εἰσὶν ὡρισμέναι καὶ ἀεὶ ὡσαύτως ἔχουσαι πάσης ἐξῃρημέναι μετα- 10
βολῆς, ἢ εἴπερ εἰσὶ μετὰ λόγου, καὶ αὐτὰς εἶναι τῶν ἀντικειμένων ὁμο-
λογήσομεν. λύει οὖν ὀρθῶς ἐκεῖνος τὴν ἀπορίαν, λόγον ἐνταῦθα παρει-
λῆφθαι λέγων τὸν διανοητικὸν καὶ ἀπὸ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον προϊ-
όντα καὶ ἀπὸ τῶν προτάσεων ἐπὶ τὰ συμπεράσματα, οἷός ἐστιν ὁ ἡμέ- 15
τερος, ἀλλ' οὐ τὸν νοερὸν καὶ κατὰ μίαν ἁπλῆν ἐνέργειαν καὶ ἀεὶ ἑστῶσαν
ἅπαντα ὁρῶντα τὰ ὄντα, οἷον εἶναι αὐτὸς ἀποφαίνεται τὸν τῶν θεῶν νοῦν,

---

2 αὐτῶν Ma 6 τοῦτο] τούτων AM 8 ἡ (post δύναμις) om. M 9 συνᾴδει scripsi: συνάδειν libri διαλέγεται a 12 ὑπάρχουσι (utrobique) F 15 οὐ suppl. F² λέγων νῦν (num. corr.) G ἕως ἂν] ἐὰν G¹ 16 οὐδὲ] οὐκ a μόνον A 17 κατὰ ταυτὸ G ἄλογον AGMa 20 τῶν ἀνθρ. (τῶν del.) G εἴτε] εἰ A 20. 21 λαμβάνειν a 22 ἔτι] ὅτι AG¹M 24 δύναται post βαδίσαι colloc. A μὴ (ante βαδ.) om. M γάρ iter. A 25 κατεσκεύαστο M (cf. p. 130,27 sq.) 26 μετὰ προαιρέσεως a 27 τὸ om. F 28 φησὶν G 30 ante μετὰ add. τῶν M 32 διανοητικὸν καὶ suppl. G² 35 καὶ ἅπαντα F αὐτὸς ἀποφαίνεται] Metaph. Λ 7 p. 1072a19 sq. frg. 49 (p. 55 Rose)

ἐξῃρημένον τε παντελῶς τῆς ὕλης καὶ τῇ οὐσίᾳ σύνδρομον ἔχοντα τὴν ἐνέργειαν. μήποτε δὲ οὐδὲ προσήκει φέρειν ἐπ' ἐκείνων τὸ τοῦ λόγου τούτου ὄνομα· νοῦς γὰρ αὐτοὺς ὁ Ἀριστοτέλης ἀξιοῖ προσαγορεύειν, καί που καὶ τοῦ νοῦ σεμνοτέραν ἔχειν ἐνδείκνυται φύσιν.

Ἀλλὰ ταῦτα μὲν κατὰ τὴν πρώτην, ὅπερ εἴρηται πλεονάκις, ἀπάντησιν πρὸς τοὺς ἀξιοῦντας μὴ ἕπεσθαι τῷ ἀναγκαίῳ τὸ ἐνδεχόμενον, οἷον λέγοντος τοῦ φιλοσόφου ὡς οὐδ' ἐπὶ τῶν συγγενεστάτων πρὸς ἀλλήλας δυνάμεων καὶ καθ' ἕνα λόγον, ὃν ἐκάλεσεν εἶδος, θεωρουμένων, φημὶ δὲ τῶν ἀλόγων, ὀρθῶς ἔχει τὸ λέγειν ὅτι ἅπαν | τὸ δυνατὸν εἶναι 195r δυνατόν ἐστι καὶ μὴ εἶναι. τούτοις δ' ἐφεξῆς ἐπάγει τὴν ἀκριβεστάτην διάρθρωσιν τοῦ θεωρήματος, ἐπιδεικνὺς ὅπως ἄμφω ἀληθῶς ἐλέγετο καὶ τὸ ἕπεσθαι τῷ ἀναγκαίῳ τὸ δυνατὸν καὶ τὸ μὴ ἕπεσθαι κατ' ἄλλο καὶ ἄλλο τῶν ὑπ' αὐτοῦ σημαινομένων, καί φησιν ἔνιαι δὲ δυνάμεις ὁμώνυμοί εἰσιν, ὡς ἂν εἰ ἔλεγε 'μάλιστα μὲν οὐδ' ἂν ὁμοειδεῖς συγχωρήσωμεν ἀλλήλαις εἶναι πάσας τὰς ἀλόγους δυνάμεις, ἡ εἰρημένη ἀπορία δύναται προχωρεῖν· εἰδέναι μέντοι χρὴ ὡς πολλοῦ δέουσι τοῦ ὑφ' ἕν τι ἀνάγεσθαι γένος αἱ ἐν ἅπασι τοῖς οὖσι δυνάμεις· κατὰ μόνον γὰρ τὸ ὄνομα κοινωνοῦσαι κατὰ τὴν φύσιν πλεῖστον ὅσον διεστήκασιν'. εἶτα καὶ ποιεῖται αὐτῶν τὴν διαίρεσιν, ἣν ἡμεῖς φθάσαντες παραδεδώκαμεν, καὶ ἐπιδείκνυσι ποῖον μὲν τῶν σημαινομένων τοῦ δυνατοῦ κατηγορεῖται τοῦ ἀναγκαίου ποῖον δὲ οὔ.

Τούτων οὖν φανερῶν ὄντων ἐκ τῶν πρότερον ἡμῖν εἰρημένων, ἑξῆς ἕκαστα τῶν ἐπιστάσεως ἐν τῇ ῥήσει δεομένων βασανίζοντες πρῶτον μὲν ἐν τῷ καὶ αὕτη μὲν ἐπὶ τοῖς κινητοῖς ἐστι μόνοις ἡ δύναμις, ἐκείνη δὲ καὶ ἐπὶ τοῖς ἀκινήτοις κινητὰ μὲν εἰρῆσθαί φαμεν τὰ πεφυκότα μὲν κινεῖσθαι μὴ μέντοι ἤδη κινούμενα (τοιαῦτα δὲ μόνα τὰ ἐν γενέσει καὶ φθορᾷ), δύναμιν δὲ εἰλῆφθαί φαμεν οὐ τὴν κατ' ἐπιτηδειότητα μόνην ἀλλὰ καὶ τὴν πεφυκυῖαν χωρίζεσθαι τῆς ἐνεργείας, ἵνα καὶ ἐν μόνοις θεωρῆται τοῖς ἐν γενέσει καὶ φθορᾷ. διὸ πρὸς ταύτην ἀντιτιθεὶς ὁ φιλόσοφος τὴν κατὰ τὴν ἐνέργειαν λεγομένην δύναμιν ἐπήγαγεν ἐκείνη δὲ καὶ ἐπὶ τοῖς ἀκινήτοις, διὰ τοῦ συνδέσμου ἐνδεικνύμενος | ὅτι τυχὸν μὲν καὶ ἐν τούτοις θεωρεῖταί ποτε ἡ 195v τοιαύτη δύναμις, ὅταν ἀπολάβωσι τὴν ἑαυτῶν τελειότητα, πρὸς ἣν ἐπειγομένην εἶχον τὴν κατ' ἐπιτηδειότητα δύναμιν, πρὸ τούτων μέντοι ἐν τοῖς ἀεὶ κινουμένοις, ὅπερ ἐστὶ τοῖς οὐρανίοις, καὶ πρὸ ἐκείνων ἐν τοῖς ἀκινήτοις, τοῦτ' ἔστιν ἐν τοῖς νοητοῖς καὶ θείοις αἰτίοις, τῆς κατ' ἐπιτηδειότητα δυνάμεως ἐπὶ μὲν τῶν νοητῶν οὐδεμίαν χώραν ἔχειν δυναμένης, ἐπὶ δὲ

1 τῆς οὐσίας G 3 νόας FG: νοῦν a αὐτὸς a 4 που in lac. om. F 7 οἷον om. FG 8 καὶ om. A 11 διόρθωσιν AMa ὅπως] ὅπερ M 14 ante ὁμοειδ. add. εἰ FG 16 δέον G 17 γὰρ post ἅπασι colloc. FG 18 κατὰ] καὶ G: κατὰ δὲ a 19 παραδεδ.] p. 240,1 sq. 22 οὖν] δὲ FG 26 ἤδη om. FG 27 φαμεν] μὲν AMa 28 καὶ om. Ma 29 θεωρεῖται G 30 ἀντιθεὶς M κατ' ἐνέργ. (τὴν om.) M 32 τυχὸν μὲν om. M 34 ante ἐν add. καὶ FG 35 ἀεὶ — ἐν τοῖς in mrg. suppl. A 35. 36 ἀκινήτοις scripsi: ἀεικινήτοις libri: *immobilibus* Boeth.

τῶν οὐρανίων οὔσης μέν, ὡς δηλοῖ αὐτῶν ἡ κατὰ τόπον μετάβασις, ἀεὶ μέντοι συμπεπλεγμένης πρὸς τὴν ἐνέργειαν· ὅπερ γὰρ καὶ προσφυῶς ἀνεφθέγξατο περὶ αὐτῶν ἐν τοῖς Μετεώροις, 'ἀεὶ ἐν τέλει ἐστὶν αὐτῶν ἡ κίνησις'.

Ἐπὶ δὲ τούτῳ τὸ ἄμφω δὲ ἀληθὲς εἰπεῖν τὸ δυνατὸν εἶναι βαδίζειν ἢ εἶναι διχῶς γράφεσθαί φαμεν· ἢ γὰρ οὕτως ὡς ἐξεθέμεθα, ἢ ἀντὶ τοῦ δυνατὸν τὸ μὴ ἀδύνατον. εἰ μὲν οὖν γράφοιτο τὸ δυνατόν, αὐτόθεν ἔσται ὁ λόγος περὶ τοῦ ἐξ ἀρχῆς προκειμένου, ὅτι τὸ τοῦ δυνατοῦ ὄνομα καθ' ἑκατέρας τῶν δυνάμεων κατηγορεῖται, τῆς τε κατ' ἐνέργειαν καὶ τῆς κατ' ἐπιτηδειότητα. διὸ ὡς μὲν κατηγορούμενον τῆς κατ' ἐνέργειαν ἕποιτο ἂν τῷ ἀναγκαίῳ, ὡς δὲ καὶ ἐπὶ τῆς κατ' ἐπιτηδειότητα λεγομένης καὶ διὰ τοῦτο ἐπαμφοτεριζούσης κατηγορούμενον οὐκέτι ἂν αὐτῷ ἕποιτο· καὶ τούτῳ ἀκόλουθόν ἐστι τὸ ἑξῆς ἐπιφερόμενον τὸ ὥστε ἐπεὶ τῷ ἐν μέρει τὸ καθόλου ἕπεται, καὶ τῷ ἐξ ἀνάγκης ὄντι ἕπεται τὸ δύνασθαι εἶναι, οὐ μέντοι πᾶν. εἰ δὲ ἀντὶ τοῦ δυνατὸν γράφοιτο τὸ μὴ ἀδύνατον, εἴη ἂν ὥσπερ ἀπολογίαν ταύτην τιθεὶς ὑπὲρ τοῦ τὴν μὲν οὐκ ἀδύνα|τον εἶναι τεταγμένην ἐᾶσαι ὑπὸ τὸ δυνατὸν 196r εἶναι κατὰ τὸ ἐξ ἀρχῆς διάγραμμα, τὴν δὲ οὐκ ἀναγκαῖον εἶναι μεταταξαι καὶ ἀντ' αὐτῆς θεῖναι τὴν οὐκ ἀναγκαῖον μὴ εἶναι· λέγοι γὰρ ἂν ὅτι τὸ μὲν οὐκ ἀδύνατον εἶναι ἀμφοτέροις συμφωνεῖ τοῖς τοῦ δυνατοῦ σημαινομένοις, καθάπερ καὶ τὸ οὐκ ἀναγκαῖον μὴ εἶναι (διὸ ἄμφω ταῦτα ὑπετάξαμεν τῷ δυνατὸν εἶναι κατὰ τὸ δεύτερον διάγραμμα), τὸ μέντοι οὐκ ἀναγκαῖον εἶναι τῷ μὲν κατ' ἐπιτηδειότητα δυνατῷ συνᾷδον τοῦ δὲ κατ' ἐνέργειαν καὶ συμφυοῦς τοῖς ὑποκειμένοις ἀπᾷδον εἰκότως ἐχωρίσαμεν τῆς πρὸς τὸ ἁπλῶς δυνατὸν ἀκολουθίας. ἀλλὰ μήποτε τοῦ μὲν συμφωνεῖν πρὸς τὰς τοῦ δυνατοῦ προτάσεις τὰς τοῦ ἀδυνάτου καὶ ἀναγκαίου φαινόμεθα διὰ τούτων πεφροντικότες, μένει μέντοι ἔτι ἡ ἐξ ἀρχῆς ἀπορία κειμένων ἐν τῷ διαγράμματι τῶν τοῦ ἐνδεχομένου προτάσεων· πάλιν γὰρ ἀντὶ τοῦ δυνατοῦ τὸ ἐνδεχόμενον λαβόντες ἐρωτήσομεν πότερον ἕπεται τῷ ἀναγκαῖον εἶναι τὸ ἐνδεχόμενον εἶναι ἢ οὔ· εἰ μὲν γὰρ ἕποιτο, ἐπειδὴ τὸ ἐνδεχόμενον μεταξὺ κείμενον τοῦ τε ἀναγκαίου καὶ τοῦ ἀδυνάτου δύναταί ποτε καὶ μὴ εἶναι, ἔσται τὸ ἀναγκαῖον εἶναι ἐνδεχόμενον μὴ εἶναι· εἰ δὲ μὴ ἕποιτο, μείζονι ἀτόπῳ περιτευξόμεθα ὁμολογεῖν ἀναγκαζόμενοι ὅτι ἔσται τὸ ἀναγκαῖον εἶναι οὐκ ἐνδεχόμενον εἶναι.

---

2 καὶ om. FGa 3 ἐφθέγξ. FG ἐν Μετεώρ.] A 2 p. 339a26 ἐντελής AMa 5 τούτῳ τὸ] τούτων τὸ A: τῷ F: τούτω G alt. δὲ om. G εἶναι om. F 6 post prius ἢ add. μὴ G² 7 μὴ om. F 8 τοῦ δυνατοῦ] τῆς δυνάμεως FG 9 καθ'—δυνάμεων om. FG 10. 11 post ἐνέργειαν add. καὶ τῆς κατ' ἐπιτηδειότητα a 11 τῷ ἀναγκαῖον G 11. 12 τοῖς .. λεγομένοις G 12 αὐτὸ FM 13 τοῦτο F 13. 14 ἐπεὶ τῷ] ἐπὶ τὸ G 14 τὸ] τῷ G . καὶ om. b 15 δυνατοῦ AM 17 ὑπὸ] ἐπὶ Ma 21 καὶ om. FG 22 τῷ] τὸ G 23 τῷ] τὸ M δυνατὸν Ma 24. 25 ἐχωρήσαμεν AG 26 τοῦ ἀναγκ. Ma 27 μένει] μέν, εἰ Aa ἔτι] ὅτι a 29 ἐρωτήσωμεν AMa 30 εἶναι (post ἐνδεχ.) om. FG¹ 33 περιπεσούμεθα G² 34 οὐκ ἐνδεχ. μὴ εἶναι F

Πρὸς ταῦτα οὖν ῥητέον ὅτι πρῶτον μὲν φαίνεται ὁ Ἀριστοτέλης ὀνόματι μόνον διακρίνων τοῦ δυνατοῦ τὸ ἐνδεχόμενον· τὴν γοῦν ἐν τούτοις παραδεδομένην τοῦ δυνατοῦ διαίρεσιν σαφῶς εὑρίσκομεν κατ' ἀρχὰς τῶν | Ἀναλυτικῶν ἐν τῷ περὶ τῶν ἀντιστροφῶν λόγῳ καὶ ἐπὶ τοῦ ἐνδεχομένου 196ᵛ λεγομένην. ἐν οἷς φησιν "ἐπὶ δὲ τοῦ ἐνδεχομένου, ἐπειδὴ πολλαχῶς λέγεται τὸ ἐνδεχεσθαι· καὶ γὰρ τὸ ἀναγκαῖον καὶ τὸ μὴ ἀναγκαῖον καὶ τὸ δυνατὸν ἐνδέχεσθαι λέγομεν", τὸ δυνατὸν ἐν ἐκείνοις κατὰ μόνον τὸ ἐπαμφοτερίζειν καὶ μήπω ἐκβεβηκέναι τιθέμενος, ὥσπερ ἐν τούτοις τὸ ἐνδεχόμενον ἔχειν ἀξιοῦμεν. εἰ δὲ καὶ ἀποδιδοὺς τοῦ ἐνδεχομένου τὸν ὁρισμὸν ἀποφαίνοιτο αὐτὸ μήτε ἀναγκαῖον εἶναι μήτε ἀδύνατον, οὐ τοῦ ἁπλῶς ἐνδεχομένου φήσομεν εἶναι τὸν λόγον, ἀλλὰ τοῦ κυρίως λεγομένου καὶ μεταξὺ τοῦ ἀεὶ ὄντος καὶ τοῦ ἀεὶ μὴ ὄντος κειμένου, τοῦτον δὲ ὁμοίως καὶ τῷ δυνατῷ τῷ κυρίως ἐφαρμόττειν. ἔπειτα εἰ μόνον λαμβάνοιμεν τὸ κυρίως ἐνδεχόμενον, αὐτὸ μὲν δηλονότι οὐχ ἕψεται τῷ ἀναγκαίῳ, ἀκολουθήσει δὲ αὐτῷ τὸ οὐκ ἐνδεχόμενον εἶναι, οὐχ ὡς αὐτὴν τὴν ὑπόστασιν τοῦ πράγματος ἄρδην ἀναιροῦν, ἀλλὰ μόνον τὸν ἐνδεχόμενον τῆς ὑποστάσεως τρόπον, καθάπερ καὶ τὸ ἐνδεχόμενον λέγομεν οὐκ ἀναγκαῖον. καὶ κατὰ ταύτην μέντοι τοῦ ἐνδεχομένου τὴν ἔννοιαν ὀρθῶς ὁ Ἀριστοτέλης ἀκολουθεῖν ἔφη τῷ ἐνδεχόμενον εἶναι τὸ οὐκ ἀναγκαῖον μὴ εἶναι· διότι γὰρ τὸ ἐνδεχόμενον κατὰ πᾶσαν τὴν περὶ αὐτοῦ ἔννοιαν τοῦ ἀδυνάτου διέστηκε, τὸ δὲ ἀδύνατον εἶναι ταὐτὸν σημαίνει τῷ ἀναγκαῖον μὴ εἶναι, συμβήσεται τὸ ἐνδεχόμενον εἶναι διαφωνεῖν μὲν πρὸς τὸ ἀναγκαῖον μὴ εἶναι, συνᾴδειν δὲ τῷ οὐκ ἀναγκαῖον μὴ εἶναι. οὕτω δὲ καὶ τὸ ἀναγκαῖον εἶναι ἀκολουθότερον ἕπεσθαι φήσομεν τῷ οὐκ ἐνδεχόμενον | μὴ 197ᵃ εἶναι. ἀλλ' εἰ ὑποθοίμεθα τό τε δυνατὸν καὶ τὸ ἐνδεχόμενον μόνον σημαίνειν τὸ κυρίως τοῖς ὀνόμασι τούτοις καλούμενον, ὅπερ αὐτὸς ἐν τοῖς Ἀναλυτικοῖς ὡρίσατο εἰπὼν "ἐνδεχόμενον δὲ λέγω, οὗ μὴ ὄντος ἀναγκαίου, τεθέντος δὲ ὑπάρχειν, οὐδὲν ἀδύνατον συμβαίνει", ποίας φήσομεν αὐτοῖς ἀκολουθεῖν τοῦ ἀδυνάτου καὶ τοῦ ἀναγκαίου προτάσεις; φημὶ δὴ ὅτι ὅσον μὲν ἐπὶ τῇ πρὸς τὸ δυνατὸν εἶναι καὶ ἐνδεχόμενόν εἶναι ἀκολουθίᾳ ὀρθῶς ἔχειν δόξει τὸ ἐξ ἀρχῆς τῶν προτάσεων διάγραμμα· τὸ γὰρ κυρίως δυνατὸν καὶ ἐνδεχόμενον οὔτε ἀδύνατον εἶναί ἐστιν οὔτε ἀναγκαῖον εἶναι. ἀλλ' εἰ δέοι φροντίζειν τοῦ πάσας τὰς συντεταγμένας προτάσεις συνᾴδειν ἀλλήλαις, οὐκέτι δυνατὸν ὑποτάττειν τῇ οὐκ ἀδύνατον εἶναι τὴν οὐκ ἀναγκαῖον

---

4 Ἀναλυτ.] Anal. pr. A 3 p. 25ᵃ37 5 τῶν ἐνδεχομένων Arist. 6 γὰρ om. Ma τὸ (ante μὴ) om. FG 9 ἔχειν — ἐνδεχομένου iter. G 10 φαίνοιτο FG post αὐτὸ add. λέγων F 12 ὄντως (pr. l.) A τοῦτο δὲ AFGM: καὶ τοῦτον δὲ a 13 δυν. τὸ κυρ. G εἰ] ἀεὶ A 16 ἄρδην] εἶναι G ἀναιροῦσαν G 18 κατ' αὐτὴν AM ἔνοιαν A 21 ταὐτὸν om. FG τῷ] τὸ G 23 τῷ] τὸ AM 23. 24 τῷ ἀναγκ. F: τῷ οὐκ ἀναγκ. a 24 τῷ] τὸ Fa 25 εἰ om. Ma ὑποθείμ. G 27 Ἀναλ.] Anal. pr. A 13 p. 32ᵃ18 λέγω δ' ἐνδέχεσθαι καὶ τὸ ἐνδ. Arist. 28 οὐδὲν ἔσται διὰ τοῦτ' ἀδύν. Arist. φήσωμεν AMa 29 ἀναγκ. καὶ τοῦ ἀδ. colloc. A¹G 30 τῆς . . ἀκολουθίας G 32 τὸ ἐνδεχ. FG οὔτε (utrobique)] οὕτως F 33 δεῖ a ἐντεταγ. G

εἶναι, διότι τὸ μὲν οὐκ ἀδύνατον ἓν ἀναιροῦν, τὸ ἀδύνατον, ἐπὶ τῶν λοι- 15
πῶν παρ' αὐτὸ δύο ἀληθεύει, τοῦ τε ἐνδεχομένου καὶ τοῦ ἀναγκαίου, τὸ
δὲ οὐκ ἀναγκαῖον ἓν ἀναιροῦν, τὸ ἀναγκαῖον, ἐπὶ τῶν λοιπῶν δύο ἀληθεύει,
τοῦ τε ἐνδεχομένου καὶ τοῦ ἀδυνάτου· ταῦτα οὖν, τὸ οὐκ ἀδύνατον λέγω 20
καὶ οὐκ ἀναγκαῖον, ἔχοντα μέν τι κοινόν, τὸ εἰσάγειν τὸ ἐνδεχόμενον,
ἔχοντα δέ τι καὶ ἐναντίον πρὸς ἄλληλα, καθὸ τὸ μὲν αὐτῶν εἰσάγει τὸ
ἀναγκαῖον τὸ δὲ τὸ ἀδύνατον, οὐχ οἷόν τε συνᾴδειν ἀλλήλοις. τὸ μέντοι
οὐκ ἀναγκαῖον μὴ εἶναι καθ' ὅλον ἑαυτὸ συνᾴδει τῷ οὐκ ἀδύνατον εἶναι, 25
διότι καὶ αἱ καταφάσεις αὐτῶν τὸ αὐτὸ δύνανται ἀλλήλαις, τό τε ἀδύνατον
εἶναι καὶ τὸ ἀναγκαῖον μὴ εἶναι. εἰ δέ τις ἀποροίη διά τίνα οὖν αἰτίαν
μὴ τὴν μὲν οὐκ ἀναγκαῖον εἶναι εἴασε κατὰ τὸ ἐξ ἀρχῆς | διάγραμμα 197v
τετάχθαι ὑπὸ τὴν δυνατὸν εἶναι, τὴν δὲ οὐκ ἀδύνατον εἶναι μετέταξε,
θεὶς ἀντ' αὐτῆς τὴν συνᾴδειν τῇ οὐκ ἀναγκαῖον εἶναι δυναμένην, τὴν
οὐκ ἀδύνατον μὴ εἶναι, πρῶτον μὲν ἐροῦμεν ὅτι προετέτακτο ἐν τῷ δια- 5
γράμματι ἡ οὐκ ἀδύνατον εἶναι τῆς οὐκ ἀναγκαῖον εἶναι, καὶ γελοῖον
ἦν, τοῦ αὐτοῦ μέλλοντος συμβαίνειν, μὴ φροντίζειν τῆς τοῦ ὑστέρου πρὸς
τὰ πρὸ αὐτοῦ συμφωνίας, ἀλλὰ πῶς ἂν τὸ πρότερον τῷ ὑστέρῳ συνᾷδον
δοφθείη, ἔπειτα ὅτι τὸ δυνατὸν εἶναι καὶ τὸ ἐνδεχόμενον εἶναι ὑπάρχειν 10
τε ἀποφαίνονται τὰ πράγματα, περὶ ὧν λέγονται, καὶ κατὰ τόνδε τὸν τρό-
πον ὑπάρχειν. διὰ ταῦτα οὖν διαφωνήσουσι μὲν πρὸς αὐτὰ τό τε ἀδύνατον
εἶναι καὶ τὸ ἀναγκαῖον εἶναι, κατ' ἄλλην μέντοι καὶ ἄλλην ἔννοιαν· τὸ
μὲν γὰρ ἀδύνατον εἶναι ὡς αὐτὴν ἀναιροῦν τὴν τοῦ πράγματος ὕπαρξιν, 15
τὸ δὲ ἀναγκαῖον εἶναι οὐχ οὕτως, ἀλλ' ὡς περὶ μόνον τὸν τρόπον τῆς
ὑποστάσεως πρὸς τὸ δυνατὸν καὶ ἐνδεχόμενον διαφερόμενον. μᾶλλον ἄρα
διεστήξεται αὐτῶν ἡ ἀδύνατον εἶναι τῆς ἀναγκαῖον εἶναι. ὥστε καὶ 20
μᾶλλον αὐταῖς συνᾴσεται ἡ οὐκ ἀδύνατον εἶναι τῆς οὐκ ἀναγκαῖον εἶναι.
εἰκότως ἄρα τὴν οὐκ ἀδύνατον εἶναι καταλιπὼν ὁ Ἀριστοτέλης ὡς ἀκο-
λουθοῦσαν αὐταῖς, μόνην μετέταξε τὴν οὐκ ἀναγκαῖον εἶναι.

1 ἐπὶ δὲ G 2 παρ' αὐτῶ (post δύο colloc.) AM: περὶ αὐτῶν G 3 ἀναιρεῖ G 5 μέν τι] μέντοι FGa 7 τὸ (post δὲ) om. AM 8 καθόλου FGa συνάδειν AF 9 σὺν ἀλλήλ. a 11 κατὰ] διὰ F 12 ante μετέταξε superscr. οὐ F^2 14 ὅτι om. AMa 15 τῆς] τῇ G^1 καὶ om. G^1 17 τὰ] τὰς AMa αὐτὰ G συνάδειν AFG 18 ἀδύνατον F^1G^1 (οὐκ ἀδύν. F^2: δυνατὸν G^2) 19 καὶ suppl. G^2 20 τε om. FG 21 prius καὶ superscr. M μέν (τοι om.) A 23 εἶναι] εἰ A ὡς περὶ] ὥσπερ AGa μόνων τῶν τρόπων G 24 διαφερόμενον om. M 25 διεστίξεται GM: διαστήξεται a ὥστε — ἀναγκ. εἶναι (26) om. G^1F 26 συνᾴσεται scripsi: συνέσεται libri

p. 23ᵃ18 Καὶ ἔστι δὴ ἀρχὴ ἴσως τὸ ἀναγκαῖον καὶ τὸ μὴ ἀναγκαῖον πάντων ἢ εἶναι ἢ μὴ εἶναι, καὶ τὰ ἄλλα ὡς τούτοις ἀκολουθοῦντα ἐπισκοπεῖν δεῖ. φανερὸν δὴ ἐκ τῶν εἰρημένων ὅτι τὸ ἐξ ἀνάγκης ὂν κατ' ἐνέργειάν ἐστιν, ὥστε εἰ πρότερα τὰ ἀίδια, καὶ ἐνέργεια δυνάμεως προτέ|ρα. καὶ τὰ μὲν ἄνευ 198ᵃ δυνάμεως ἐνέργειαί εἰσιν, οἷον αἱ πρῶται οὐσίαι, τὰ δὲ μετὰ δυνάμεως, ἃ τῇ μὲν φύσει πρότερα τῷ χρόνῳ δὲ ὕστερα, τὰ δὲ οὐδέποτε ἐνέργειαί εἰσιν ἀλλὰ δυνάμεις μόνον.

Ἀκολουθότερον ἐν τούτοις καὶ θεωρητικώτερον προηγεῖσθαι ἀξιοῖ τὰς τοῦ ἀναγκαίου προτάσεις ἐν τῷ διαγράμματι τῶν κατὰ τοὺς ἄλλους τρόπους προτάσεων, ἕπεσθαι δὲ ἐκείναις ταύτας, οὐ μόνον ὅτι κοινότερον ἐλέγετο εἶναι τὸ δυνατὸν τοῦ ἀναγκαίου καὶ ἔδει τὸν περὶ τῆς ἀκολουθίας αὐτῶν διαλεγόμενον προϋποτίθεσθαι καὶ ὡς ἡγούμενον ἀναλαμβάνειν τὸ εἰδικώτερον, ἐπισκέπτεσθαι δὲ πῶς τούτῳ δυνατὸν ἕπεσθαι τὸ κοινότερον, οὐ μέντοι ἔμπαλιν, ἀλλὰ καὶ ὅτι τὸ μὲν ἀναγκαῖον τοῖς ἀιδίοις τῶν ὄντων καὶ θείοις προσήκει, τὸ δὲ δυνατὸν τὸ τοῦ ἀναγκαίου διαφέρον καὶ τὸ ἐνδεχόμενον ἀπὸ τῆς ὕλης ἀναβλαστάνουσιν (ἐν ταύτῃ γὰρ καὶ διὰ ταύτην ἡ κατὰ τὴν ἐπιτηδειότητα δύναμις, ἅτε πάντα ἔχουσα δυνάμει κατ' ἐνέργειαν δὲ οὐδέν), τὸ δὲ ἀδύνατον καὶ ἔξω πέπτωκε παντελῶς τῶν ὄντων· οὐ γὰρ ἂν ἐλέγετο εἶναι ἀδύνατον, εἴπερ εἶχε τὴν οἵαν δήποτε εἰς τὰ ὄντα πάροδον ἢ ἐν τῇ ὕλῃ ἢ ἐν τῇ ταύτης ἀμυδροτέρᾳ τῇ στερήσει· ἡ μὲν γὰρ στέρησις ἀναγκαία πρὸς τὴν γένεσιν (ἐξ αὐτῆς γὰρ ἡ εἰς τὸ εἶναι τῶν γινομένων μεταβολή), τὸ δὲ ἀδύνατον οὐδέποτε ἂν εἰς τὸ δυνατὸν μεταβάλλοι. δεήσει οὖν τῇ μὲν ἀναγκαῖον εἶναι ὕπαρξιν ἀίδιον σημαινούσῃ τῶν ἄλλων τρόπων ἀκολουθεῖν, ὡς ὑπογέγραπται, τὰς ἀναιρούσας τὸ μὴ εἶναι, τήν τε οὐ δυνατὸν μὴ εἶναι καὶ τὴν οὐκ ἐνδε|χό- 198ᵃ μενον μὴ εἶναι καὶ τὴν ἀδύνατον μὴ εἶναι, τῇ δὲ ἀναγκαῖον μὴ εἶναι τὴν οὐ δυνατὸν εἶναι καὶ οὐκ ἐνδεχόμενον εἶναι καὶ τὴν ἀδύνατον εἶναι. δήλη δὲ ἐκ τούτων καὶ τῶν ἀντικειμένων αὐταῖς ἡ ἀκολουθία.

Ἑξῆς δὲ τούτοις ἐπιδεῖξαι βουλόμενος ὅτι αὐτῇ ἀκολουθῶν τῇ φυσικῇ διακοσμήσει τῶν ὄντων προηγεῖσθαι ἀξιοῖ τὰς τοῦ ἀναγκαίου προτάσεις τῶν ἄλλων, ὑφηγεῖσθαι μὲν προτίθεται τὰς τῶν ὄντων τάξεις κατὰ τὸν προσήκοντα τρόπον τῇ προκειμένῃ θεωρίᾳ, πρὸ δέ γε τούτων ὥσπερ

1 ἡ ἀρχὴ A 1. 2 καὶ τὸ μὴ ἀναγκαῖον om. M 2 ἢ εἶναι — μόνον (8) om. M ὡς G²a: τὰ A: om. FG¹ 3 φανερὸν — μόνον (8) om. a δὲ A 5 ἴδια G ἡ ἐνέργ. b 7 δὲ χρ. colloc. b 9 ἀκολουθώτ. A¹ θεωρηματικ. M 11 ἐκείνας ταύταις AFMa 13 προυποτίθεται G¹ καὶ om. M λαμβάνειν FG²a: λαμβάνει G¹ 14 εἰδικ. Brand.: ἰδικ. AFGMa τούτῳ] τόν τε M 15 ἰδίοις F¹ 16 τὸ (post δυν.) om. Ma 17. 18 διὰ τούτων G¹ 18 ἔχουσαν AMa 19 prius δὲ om. M 20 οἷόν ποτε A: οἰκείαν ποτὲ M 22 alt. ἡ post γιν. (23) colloc. AM 24 μεταβάλοι FMa 25 προγέγρ. FG 30 αὐτὸς FG 33 τούτου Ma

λημμάτιόν τι προλαμβάνει ὅτι φύσει προτέρα τῆς κατ' ἐπιτηδειότητα δυνάμεως ἡ ἐνέργεια. τοῦτο δὲ κατασκευάζει, πόρισμά τι κατὰ τοὺς γεωμετρικοὺς ἐκ τῶν εἰρημένων πρὸς τὴν κατασκευὴν χρήσιμον συνάγων, ὅτι τὸ ἀναγκαῖον ἐπὶ μόνου τοῦ κατ' ἐνέργειαν ὄντος θεωρεῖται. καὶ τοῦτο εἰκότως· τοῦ γὰρ δυνατοῦ κατ' ἀμφοτέρων, ὡς ἐλέγομεν, κατηγορουμένου, τῆς τε ἐπιτηδειότητος καὶ τῆς ἐνεργείας, τὸ ἕτερον μόνον τῶν σημαινομένων, τὸ ἐπὶ τῆς ἐνεργείας, ὤφθη συνάδειν τῷ ἀναγκαίῳ δυνάμενον· ὥστε καὶ τὸ κυρίως ἀναγκαῖον, οἷόν ἐστι τὸ μὴ ποτὲ μὲν ὂν ποτὲ δὲ μὴ ὄν ἀλλ' ἀεὶ ὡσαύτως ἔχον, ἐπὶ μόνων τῶν ἀεὶ κατ' ἐνέργειαν ὄντων ῥηθήσεται. εἰ τοίνυν τὸ μὲν κυρίως ἀναγκαῖον τοῖς ἀιδίοις προσήκει τῶν ὄντων, τὸ δὲ κυρίως δυνατόν, ὅπερ ἐστὶ τὸ κατ' ἐπιτηδειότητα, μόνοις τοῖς ἐν γενέσει καὶ φθορᾷ, ἔσται ὡς τὰ ἀίδια πρὸς τὰ ἐν γενέσει καὶ φθορᾷ, οὕτως ἡ ἐνέργεια πρὸς τὴν δύναμιν· φύσει δὲ πρότερα τὰ ἀίδια τῶν γεννητῶν· φύσει ἄρα καὶ ἡ ἐνέργεια τῆς δυνάμεως προ|τέρα. ταῦτα 199r οὕτως συλλογισάμενος ἀποφαίνεται λοιπὸν πάνυ φιλοσόφως καὶ θεωρητικῶς περὶ τῆς εὐτάκτου τῶν ὄντων προόδου τε καὶ ὑποβάσεως τὰ ἀκόλουθα τοῖς συλλελογισμένοις, ὅτι τὰ μὲν πρώτιστα καὶ ἀκρότατα τῶν ὄντων, οἷά ἐστι τὰ νοητὰ καὶ θεῖα, αὐτοενέργειαι εἶναι ῥηθήσονται, ἀλλ' οὐχὶ ἐνεργείᾳ τοιάδε εἶναι· τοῦτο μὲν γὰρ τοῖς ἐξ ὕλης τὸ εἶναι ἔχουσι καὶ διὰ τοῦτο συνθέτοις τε οὖσι καὶ τῆς κατ' ἐπιτηδειότητα δυνάμεως μετέχουσιν ἁρμόσει τῶν ὄντων, καθὸ τοῦ εἴδους ἢ ἀεὶ ἢ ποτὲ δύνανται μετέχειν, ἐπεὶ καὶ ἀεί ἐστιν ἐνεργείᾳ μὲν τὸ εἶδος δυνάμει δὲ ἡ ὕλη, ἐνεργείᾳ δὲ τὸ συναμφότερον, ἅτε τοῦ εἴδους, ταὐτὸν δὲ εἰπεῖν, τῆς ἐνεργείας μετέχον· ἐπ' ἐκείνων δὲ ἅτε παντελῶς ἐξῃρημένων τῆς ὕλης τῇ τε οὐσίᾳ καὶ τῇ ὀρθῇ καὶ ἀδιαστρόφῳ περὶ αὐτῶν ἐπινοίᾳ ἡ μὲν ἐπιτηδειότης οὐδεμίαν ἕξει χώραν, διὸ οὐδὲ μεταβολή τις οὐδὲ χρόνος οὐδὲ τὸ εἰδοποιεῖσθαι ἢ ποτὲ ἢ ἀεί, ὥστε οὐδὲ τὸ ἐνεργείᾳ τοιάδε εἶναι καὶ λέγεσθαι, εἴδη δὲ αὐτὰ χωριστὰ ὄντα τῆς ὕλης αὐτοενεργείας προσαγορεύσομεν, οὐ διακρίνοντες τὴν ἐνέργειαν τῆς οὐσίας, καθάπερ ἐπὶ τῶν συνθέτων, ἀλλ' οὐσιῶσθαι αὐτὰ κατὰ ταύτην ἀποφαινόμενοι. διόπερ ἐν τῷ Λ τῆς Μετὰ τὰ φυσικὰ τοὺς ὄντως θεοὺς τῇ οὐσίᾳ φησὶν ἐνεργείας εἶναι· καὶ γὰρ ἐπὶ τῶν μεταβάλλεσθαι πεφυκότων, ἐφ' ὧν καὶ τὸ δυνάμει θεωρεῖται καὶ τὸ καθ' ἕξιν καὶ τὸ κατ' ἐνέργειαν, ἐπειγομένην ὁρῶμεν τὴν μὲν δύναμιν εἰς τὴν ἕξιν, τὴν δὲ ἕξιν εἰς τὴν ἐνέργειαν ὡς ἐπὶ τέλος οἰκεῖον· οὐδὲν

1 προσλαμβ. FG τῇ φύσει FGa 2 ὡς πόρ. a 2. 3 γεωμετρικοὺς G: γεωμέτρας AFMa 5 ante εἰκ. add. ὅτι τὸ ἀναγκαῖον del. G ὡς ἐλέγομεν] p. 240,1 sq. 7 συνᾶδον τῷ ἀν. δυν. τε ταυτόν F 8 post ἀναγκ. add. ἐστι G ποτὲ δὲ μὴ ὄν om. G 9. 10 ἐκθήσεται F 10 κυρίως om. FG¹ 12 ἔσται — φθορᾷ om. M post ὡς add. δὲ ἔχει FG ἀίδια] ἀναγκαῖα a 14 γεννητῶν A 18 νοητά τε καὶ a αὐτοενέργεια a 18. 19 ἐνέργειαι τοιαίδε AFG (cf. v. 27 p. 249,30 20 τῆς] τοῖς AMa 21 τοῦ om. M 25 καὶ superscr. A διαστρ. A 28 προσαγορεύομεν a 29 καθάπερ καὶ Ma 30 Λ] ν Ga 30. 31 τῶν Μετὰ τ. φ. Ma (cf. Λ 7 p. 1072a25) 34 ὡς — οἰκεῖον om. FG¹ οὐδὲν] οὐδὲ M

γὰρ αὐτῆς ἔσται ὄφελος ἀνενεργήτου μενούσης. | διὰ ταῦτα δὲ καὶ ὁ Ἀκρα- 199v
γαντῖνος σοφὸς ἐπιρραπίσας τοὺς περὶ θεῶν ὡς ἀνθρωποειδῶν ὄντων παρὰ
τοῖς ποιηταῖς λεγομένους μύθους, ἐπήγαγε προηγουμένως μὲν περὶ Ἀπόλλω-
νος, περὶ οὗ ἦν αὐτῷ προσεχῶς ὁ λόγος, κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ 5
περὶ τοῦ θείου παντὸς ἁπλῶς ἀποφαινόμενος

οὔτε γὰρ ἀνδρομέῃ κεφαλῇ κατὰ γυῖα κέκασται,
οὐ μὲν ἀπαὶ νώτων γε δύω κλάδοι αἰσσουσιν,
οὐ πόδες, οὐ θοὰ γοῦν', οὐ μήδεα λαχνήεντα,
ἀλλὰ φρὴν ἱερὴ καὶ ἀθέσφατος ἔπλετο μοῦνον, 10
φρονέεσι κόσμον ἅπαντα καταίσσουσα θοῇσι.

διὰ τοῦ "ἱερή" καὶ τὴν ὑπὲρ νοῦν αἰνιττόμενος αἰτίαν, οὐδὲ τῶν συνθέν-
των τοὺς μύθους παραμελησάντων τοῦ παραδοῦναι τοῖς ἀκροωμένοις αὐτῶν
ἀφορμάς, δι' ὧν ἀπιστήσουσι μὲν τοῖς κατὰ τὸ φαινόμενον λεγομένοις,
ζητήσουσι δὲ τὴν ἀληθῆ καὶ ὑπὸ πλάσματος ἑκάστου τῶν μύθων αἰνισσο- 15
μένην διάνοιαν, εἰ μὴ τύχοιεν ἡλιθίως διακείμενοι τὰς ψυχάς· πῶς γὰρ
ἀνθρωποειδῆ τὰ ἐξ οὐρανοῦ καὶ γῆς, εἴτε τῶν ἐμφανῶν εἴτε, ὡς ὁ ἀλη-
θὴς λόγος, τῶν νοητῶν καὶ τῶν ὑπὲρ τούτους κρυφίων αἰτιῶν, λεγόμενα 20
τὴν γένεσιν ἔχειν; τίς δὲ ἀνέξεται κατὰ τὸ φαινόμενον ἀκούειν αἰδοῖα οὐ-
ρανοῦ καὶ τούτων ἐκτομάς, καὶ τῆς Ἀφροδίτης ἐξ αὐτῶν εἰς τὴν θάλασσαν
ῥιφθέντων γένεσιν, παίδων δὲ καταπόσεις καὶ αὖθις ἐμέτους, καὶ ὅσα τοῖς
ἐπιπολαιοτέροις ἐπιβοηθοῦντες οὕτως ἀπεμφαίνοντα πλάττουσιν οἱ μῦθοι; 25
πῶς δὲ τὰς ἐπὶ θεῶν λεγομένας μίξεις οὐ παραπλησίας τῇ τοῦ οὐρανοῦ
πρὸς τὴν γῆν μυθευομένῃ μίξει νοήσομεν; ἀλλ' ἐπανέλθωμεν ὅθεν εἰς
ταῦτα ἐξέ|βημεν, φειδοῖ τῶν παιδαρίων τῶν ἱστορίαν ἡγουμένων τοὺς μύ- 200r
θους καὶ οὐ συνιέντων τὸ ἄνευ δυνάμεως ἐνέργειαί εἰσι.

Τοιαῦτα μὲν οὖν τὰ ἁπλᾶ καὶ νοητὰ εἴδη, τὰ δὲ σύνθετα καὶ ἀπ'
ἐκείνων τὴν πρόοδον εἰληχότα, ὕλης μετέχοντα ἢ ἀεὶ τὸ εἶδος στέγειν 5
πεφυκυίας, ὡς τὰ οὐράνια (εἰ χρὴ καὶ ἐπ' ἐκείνων τὸ τῆς ὕλης ὄνομα
κοινότερον λέγειν), ἢ παρὰ μέρος δέχεσθαί τε αὐτὸ καὶ ἀποβάλλειν, ὡς
τὰ ὑπὸ σελήνην, ἐνεργείᾳ τάδε εἶναι φήσομεν ἀλλ' οὐκ ἐνεργείᾳ. καὶ
ἐφ' ὧν τὸ δυνάμει κατὰ χρόνον διακρίνεται τοῦ κατ' ἐνέργειαν, ἐπὶ τού- 10
των κατὰ μὲν τὸν χρόνον πρότερον ἔσται τὸ δυνάμει κατὰ δὲ τὴν φύσιν
τὸ κατ' ἐνέργειαν· δεῖ μὲν γὰρ πρότερον ἐπιτηδείως πρὸς τόδε τι ἔχειν,

---

1 post γὰρ add. ἂν M ἐστιν A διὰ ταῦτα — ἐνέργειαί εἰσι (25) om. A¹FG¹ καὶ om. AMa 1. 2 Ἀκραγαντῖνος σοφός] Empedocles v. 347—351 Stein 2 ἐπιρραπίζων Ma 4 προσεχὴς A Brand. 7 δύο G 8 γοῦνα libri μήδεα] superscr. στήθεα A 11. 12 συνθέντων Brand.: συνθέτων libri 13 ἀπιστοῦσι A: ἀπιστήσωσι G 14 ζητοῦσι A 15 ἡληθίως AGa 16 ἀνθρωποειδεῖ A 17 νοητῶν in lac. om. a τούτου A καὶ λεγόμ. M 17. 18 λέγομεν αὐτὴν γέν. A 18. 19 ἐξ οὐρ. M 20 ῥιφέντων G 21 ἐπὶ πολλὰ ἑτέροις A ἐπιβοηθούντων A ἀποφαίν. a 22 λέγομεν GMa 25 τὸ — εἰσι in lac. om. a αἱ ἐνέργ. Brand. 26 τὰ νοητὰ Ma ἐπ' a 27 ἢ ὕλ. A: καὶ ὕλ. Ma 28 πεφυκότα F 28. 29 εἰ — λέγειν om. FG 29 κοινότερον scripsi: καινότερον libri ἢ om. M δεχομένης AM ἀποβαλλούσης A: ἀποβαλούσης M

ἵνα καὶ ἄγεσθαι δύνηται ὕστερον εἰς ἐκεῖνο, πρὸς ὃ εἶχεν ἐπιτηδείως. ἀλλ' ἐπειδὴ τὸ μὲν κατ' ἐνέργειαν τέλειον τὸ δὲ κατὰ δύναμιν ἀτελές, τὸ δὲ τέλειον τοῦ ἀτελοῦς τῇ φύσει πρότερον (ἀπὸ γὰρ τῶν ὑπερτέρων ἐπὶ τὰ καταδεέστερα πρόεισιν ἡ κατὰ φύσιν εὔτακτος τῶν πραγμάτων ἀπογέννησις), δῆλον ὅτι προηγήσεται κατὰ φύσιν τὸ ἐνεργείᾳ τοῦ δυνάμει· μὴ γὰρ προϋπάρξαντος τοῦ κατ' ἐνέργειαν ἀνθρώπου πῶς ἂν ὑποσταίη τὸ ἔμβρυον, ὃ λέγομεν εἶναι δυνάμει ἄνθρωπον; πλάτος μέντοι πολὺ μᾶλλον δὲ βάθος ἕξει ἡ τοῦ δυνάμει πρὸς τὸ ἐνεργείᾳ συμπλοκή, ἐφ' ὧν μὲν οὕτως σφόδρα κεκρατημένης τῆς δυνάμεως ὑπὸ τῆς ἐνεργείας, ὡς κατὰ μόνον τὸν λόγον καὶ τὴν ἐπίνοιαν ἀπ' αὐτῆς διακρίνεσθαι, ὥσπερ ἐπὶ τῆς οὐσίας ἔχει τῶν οὐρανίων (οὐ γὰρ ὤν ποτε κατὰ δύναμιν ὁ ἥλιος ὕστερον γέγονε κατ' ἐνέρ|γειαν, εἴπερ ἀδύνατον ἐπὶ τῶν ὅλων προηγεῖ- 200v σθαι τῆς μὲν τάξεως τὴν ἀταξίαν τοῦ δὲ κόσμου τὴν ἀκοσμίαν ὄντος θεοῦ, καὶ τὸν δημιουργὸν τοῦ παντὸς ποτὲ μὲν εἶναι δυνάμει καὶ ἀτελῆ δημιουργὸν ποτὲ δὲ ἐνεργείᾳ καὶ τέλειον, καὶ ὅλως προαιρέσεως καὶ τῆς κατ' αὐτὴν ἐκ τοῦ πρότερον μὴ βούλεσθαι εἰς τὸ ὕστερον βούλεσθαι κοσμοποιεῖν μεταβολῆς καὶ χρόνου μετέχειν τὸν πᾶσαν ἐν τάξει τὴν ἀεί ποτε γινομένην μεταβολὴν καὶ αὐτὴν τὴν οὐσίαν τῶν μεταβάλλειν πεφυκότων καὶ τὸ εἶναι τοῦ χρόνου παραγαγόντα θεόν), ἐφ' ὧν δὲ χωριζομένης μὲν αὐτῆς καὶ κατὰ τὸν χρόνον, οὕτω μέντοι, ὥστε ἐξ ἀνάγκης ἔχειν τὴν ἐνέργειαν ἑπομένην. ὥσπερ ἐπὶ τῆς κατὰ κύκλον αὐτῶν κινήσεως ἔχει· πρότερον μὲν γὰρ ὢν δυνάμει ἐν κριῷ, εἰ τύχοι, ὁ ἥλιος ὕστερον ἐν αὐτῷ γίνεται κατ' ἐνέργειαν, ἀλλ' οὐχ οἷόν τε μὴ γενέσθαι διὰ τὸ συνεχὲς καὶ ἄπαυστον τῆς κατὰ κύκλον κινήσεως. ἐπ' ἐνίων μέντοι καὶ διακρίνεται κατὰ τὸν χρόνον ἡ δύναμις τῆς ἐνεργείας καὶ οὐ πάντως ἔχει αὐτὴν ἑπομένην, ὥσπερ ἐπὶ τῶν ἐν γενέσει· οὐ γὰρ ἐπειδὴ τὸ ἔμβρυον δυνάμει ἄνθρωπος, ἤδη ἀνάγκη αὐτὸ καὶ τελεσφορηθὲν γενέσθαι κατ' ἐνέργειαν ἄνθρωπον· δηλοῦσι δὲ τὰ ἀμβλισκανόμενα τῶν ἐμβρύων. ἐσχάτην δὲ ἔχουσιν ἐν τοῖς οὖσι τάξιν τὰ κατὰ μόνην ὑφεστηκότα τὴν δύναμιν καὶ μηδέποτε ἀχθῆναι εἰς ἐνέργειαν δυνάμενα, ὡς ἡ ἐπ' ἄπειρον τομὴ τῶν συνεχῶν καὶ ἡ τοῦ ἀριθμοῦ αὔξησις· ἐνεργείᾳ μὲν γὰρ οὐδέποτε γένοιτο ἄν τι αὐτῶν ἄπειρον, οὐ μέντοι ἐπιλείψει ἐν αὐτοῖς ἡ πρόοδος ἢ τῆς διαιρέσεως ἢ τῆς αὐξήσεως, καὶ τὴν ἐπιτηδειότητα | πρὸς τοῦτο ἔχουσι 201r μόνον. ὅρα οὖν τῶν ὄντων τὴν εὔτακτον ὑπόβασιν· τὰ μέν εἰσιν

1 εἰς] ὡς A 2 ἐπεὶ a 4 εὐτάκτως Aa: εὔπρακτος M 7 οὐ πολύ A 8 τὸ om. a 9 μὲν οὖν Ma prius τῆς om. a 12 ὕστερον δὲ M εἴπερ — θεόν (19) om. A¹FG¹ 13 ἀξίαν G 14 θείου G 16 πρότερον] πρώτου a 17 ante μεταβ. add. καὶ A 19 παράγοντα AFMa 20 καὶ om. Ma τὸν om. A οὕτω] οὔτε M ὥστε] οὕτως F 20. 21 τὴν κατ' ἐνέρ. A 21 αὐτῆς κιν. FG: κιν. αὐτῆς M 22 prius ἐν om. A ὕστερον δὲ a 24 διακρίνονται AM 25 τῆς om. G 25. 26 ἐπειγομένην FGMa 26 οὐ] οὐδὲ M τὸ om. a 27 ὁ ἄνθρ. Ma κατὰ τὴν FG 28 ἀμβλησκανόμενα A: ἀμβλωσκόμενα F 29 τὰ om. AFG 30 ἡ] εἰ F post ἄπειρον addas ὄν 32 ἐπιλίποι F: ἐπιλείποι Ga 33 τὴν κατ' ἐπιτ. M

αὐτοενέργειαι μεταβολῆς πάσης καὶ τῆς κατὰ ταύτην κινήσεως δεήρημένα. τὰ δὲ ἀεικίνητα ὄντα κατὰ μὲν τὸ εἶναι ἀεὶ συμπεπλεγμένην ἔχουσι τῇ δυνάμει τὴν ἐνέργειαν κατὰ δὲ τὴν μετάβασιν τῷ μὲν χρόνῳ διακρινομένην ἀπ' αὐτῆς ἐξ ἀνάγκης μέντοι αὐτῇ ἑπομένην, τὰ δὲ καὶ τὸ εἶναι καὶ τὸ κινεῖσθαι κατά τινα χρόνον ἔχοντα τὴν πρὸς ἑκάτερον δύναμιν ἔχει τῷ τε χρόνῳ προηγουμένην, ὡς εἴρηται, τῆς ἐνεργείας καὶ οὐ πάντως αὐτῆς τυγχάνουσαν. τὰ δὲ τὸ λειπόμενον κατὰ μόνην ὑφεστηκότα τὴν δύναμιν εἰς ἐνέργειαν ἄγεσθαι οὐ πεφύκασιν.

p. 23a27 Πότερον δὲ ἐναντία ἐστὶν ἡ κατάφασις τῇ ἀποφάσει ἢ ἡ κατάφασις τῇ καταφάσει, καὶ ὁ λόγος τῷ λόγῳ ὁ λέγων ὅτι πᾶς ἄνθρωπος δίκαιος τῷ οὐδεὶς ἄνθρωπος δίκαιος ἢ τὸ πᾶς ἄνθρωπος δίκαιος τῷ πᾶς ἄνθρωπος ἄδικος, οἷον ἔστι Καλλίας δίκαιος — οὐκ ἔστι Καλλίας δίκαιος — Καλλίας ἄδικός ἐστι· ποτέρα δὴ ἐναντία τούτων; εἰ γὰρ τὰ μὲν ἐν τῇ φωνῇ ἀκολουθεῖ τοῖς ἐν τῇ διανοίᾳ, ἐκεῖ δὲ ἐναντία δόξα ἡ τοῦ ἐναντίου, οἷον ὅτι πᾶς ἄνθρωπος δίκαιος τῇ πᾶς ἄνθρωπος ἄδικος, καὶ ἐπὶ τῶν ἐν τῇ φωνῇ καταφάσεων ἀνάγκη ὁμοίως ἔχειν. εἰ δὲ μὴ ἐκεῖ ἡ τοῦ ἐναντίου δόξα ἐναντία ἐστίν, οὐδὲ ἡ κατάφασις τῇ καταφάσει ἔσται ἐναντία, ἀλλ' ἡ εἰρημένη ἀπόφασις. ὥστε σκεπτέον ποία δόξα ἀληθὴς ψευδεῖ δόξῃ ἐναντία, πότερον ἡ τῆς ἀπο- 201v φάσεως ἢ ἡ τὸ ἐναντίον εἶναι δοξάζουσα. λέγω δὲ ὧδε. ἔστι τις δόξα ἀληθὴς τοῦ ἀγαθοῦ ὅτι ἀγαθόν, ἄλλη δὲ ὅτι οὐκ ἀγαθὸν ψευδής, ἑτέρα δὲ ὅτι κακόν· ποτέρα δὴ τούτων ἐναντία τῇ ἀληθεῖ; καὶ εἰ ἔστι μία, καθ' ὁποτέραν ἡ ἐναντία;

Συμπεπλήρωται μὲν ἡ διδασκαλία τῶν ἐξ ἀρχῆς ἡμῖν ἀπηριθμημένων τεττάρων τοῦ βιβλίου κεφαλαίων καὶ τὸ Περὶ ἑρμηνείας, ὡς ἐμοὶ φαίνεται, τὸ προσῆκον ἀπείληφε πέρας· τὰ γὰρ ἐφεξῆς ὑποπτεύω ἤτοι μὴ εἶναι γνήσια τοῦ Ἀριστοτέλους, ἀλλὰ προστεθεῖσθαι ὑπό τινος τῶν μετ' αὐτόν, ἀποβλέπων πρὸς τὸ πανταχοῦ τῶν ἑαυτοῦ συγγραμμάτων φαίνεσθαι τὸν φιλόσοφον τὰ ἐναντία δοξάζοντα τοῖς διὰ τούτων λεγομένοις, ἢ γεγράφθαι μὲν ὑπ' αὐτοῦ, γυμνάσαι δὲ μόνον βουληθέντος τοὺς ἐντυγχάνοντας πρὸς τὴν ἐπίκρισιν τῶν πιθανῶς μὲν οὐ μέντοι ἀληθῶς λεγομένων λόγων,

1 αὐτοενέργεια AGM κατ' αὐτὴν FG 4 καὶ (post δὲ)] κατὰ M 5 ἑκάτερα G 6 ὡς εἴρηται] p. 250,24 9 ante Πότερον add. tit. τέλος τοῦ τετάρτου τμήματος. ἀρχὴ τοῦ πέμπτου καὶ τελευταίου τμήματος A: τμῆμα πέμπτον F: περὶ τοῦ πέμπτου τμήματος M: ἀρχὴ τοῦ πέμπτου τμήματος a: om. G ἐστὶν om. G 10 ἢ — ἐναντία (24) om. M τῷ λόγῳ om. A 11 ἢ ὁ τὸ Ga 12 οἷον — ἐναντία (24) om. a post οἷον add. ὅτι G 12. 13 οἷον K. δίκαιός ἐστι colloc. FG 13 οὐκ ἔστι post δίκαιος (alt.) colloc. FG 14 ποτέρα — ἐναντία (24) om. G ἀκολουθεῖ om. A 17 μὴ] μηδὲ F 25. 26 ἀπηριθμημένων] p. 7,16 29 ἀποβλέποντος F 30. 31 γέγραπται FG

καὶ παραπλήσια ποιοῦντος τῷ παραδιδόντι τοὺς ἀναιρεῖν δοκοῦντας τὴν κίνησιν δυσελέγκτους λόγους, ὅπερ ἴσμεν ὅτι καὶ περὶ τῶν πρός τι διαλεγόμενος ἐν Κατηγορίαις πεποίηκε, δι' ὧν ἐπεχείρει κατατασκευάζειν ὡς οὐ πάντως ἅμα τῇ φύσει τὰ πρός τι, ἀλλὰ προηγεῖται τῆς μὲν αἰσθήσεως τὸ αἰσθητὸν τῆς δὲ ἐπιστήμης τὸ ἐπιστητόν, καὶ ταῦτα διὰ βραχέων ἐν τῷ δευτέρῳ τῆς Φυσικῆς ἀκροάσεως σαφῶς τε ἅμα καὶ ἀκριβῶς τὸ περὶ τοῦ συνυπάρχειν τὰ πρός τι θεώρημα διαρθρώσας καὶ τῆς λύσεως τῶν εἰρημένων ἐν Κατηγορίαις παρασχὼν ἡμῖν τὰς ἀφορμάς. διὸ καὶ τὸν φιλόσοφον Πορφύριον ὁπολαμβάνω παραιτήσασθαι τὴν ἐξήγησιν τοῦδε τοῦ θεωρήματος. εἰ δὲ δεῖ | καὶ ἡμᾶς εἴξαντας τῇ συνηθείᾳ καὶ ταῦτα ὡς 202r ἐσπουδασμένα τῷ Ἀριστοτέλει φροντίδος τινὸς ἀξιῶσαι, ῥητέον ὅτι προτίθεται διὰ τούτων ἐπισκέψασθαί τι θεώρημα προσῆκον τῇ προθέσει τῆς προκειμένης πραγματείας· οὔσης γὰρ καταφάσεώς τινος ἀληθοῦς, οἷον τῆς 'Σωκράτης δίκαιός ἐστι', καὶ ταύτῃ δύο ψευδῶν προτάσεων μαχομένων, τῆς τε ἀποφάσεως αὐτῆς τῆς 'Σωκράτης δίκαιος οὐκ ἔστι' καὶ τῆς κατὰ τοῦ αὐτοῦ ὑποκειμένου τὸ ἐναντίον τῷ ἐξ ἀρχῆς κατηγορηθέντι καταφασκούσης, οἷον τῆς λεγούσης 'Σωκράτης ἄδικός ἐστι', ἐπιζητεῖ ποτέραν τῶν ψευδῶν μᾶλλον μάχεσθαι ῥητέον τῇ ἀληθεῖ, πότερον τὴν ἀπόφασιν ἢ τὴν τοῦ ἐναντίου κατάφασιν, καὶ ἀποφαίνεται σφοδροτέραν εἶναι τὴν μάχην τῆς ἀποφάσεως πρὸς τὴν κατάφασιν ἤπερ τῆς τοῦ ἐναντίου καταφάσεως, καὶ εἰ ψευδὴς μὲν ἡ ἐξ ἀρχῆς κατάφασις εἴη, αἱ δὲ μαχόμεναι πρὸς ταύτην ἀληθεύοιεν. ὡσαύτως. διὸ καὶ αὐτὸς ἀμφότερα ἐν τῷ προβλήματι τέθεικεν ὡς οὐδὲν διαφέροντα. ποτὲ μὲν λέγων ποία δόξα ἀληθὴς ψευδεῖ δόξῃ ἐναντία, ποτὲ δὲ ποτέρα δὴ τῶν ψευδῶν ἐναντία τῇ ἀληθεῖ. τὸ αὐτὸ δὲ ἀποφαίνεται καὶ περὶ τῆς ἀντιθέσεως τῶν καθόλου προτάσεων, ἃς ἐναντίας προσηγορεύομεν. διὸ καὶ δοκεῖ ἀναγκαίως κινεῖν τὸ προκείμενον θεώρημα, διδάσκων ὅτι οὐ μάτην αὐτὰς ἠξιοῦμεν καλεῖν ἐναντίας. καὶ νῦν μὲν τῶν εἰρημένων μόνων ἀντιθέσεων πεποίηται μνείαν, πρὸς δὲ τῷ τέλει μνημονεύσει καὶ τῆς τῶν καθόλου πρὸς τὰς κατὰ μέρος ἀντιθέσεως, ὥστε εἶναι τὸ προκείμενον εἰς τὴν ἀπόδειξιν ὅτι ἡ τῆς ἀποφάσεως πρὸς τὴν κατάφασιν μάχη, τῆς τε ἐναντίας, ἐφ' ὧν | δυνατὸν ἐναντίαν εἶναι τῇ 202v καταφάσει ἀπόφασιν, καὶ ἐπὶ πάντων τῆς ἀντιφασκούσης πρὸς αὐτήν, μείζονα ἔχει διάστασιν τῆς πρὸς ἀλλήλας τῶν ἐναντίων καταφάσεων δια-

---

1 παραδιδ.] παραδείγματι F: παραδόντι Ga 3 ἐν Κατηγορίαις] c. 7 p. 7ᵇ22 ἐπιχειρεῖ FG 5. 6 ἐν τῷ δευτέρῳ τῆς Φυσ. ἀκρ.] B 2 p. 194ᵇ9 7 τὰ] τῶ G θεωρήματα F: θεωρήματι G 9 ὑπολαμβάνων F τοῦδε om. FG¹ 10 δεῖ] δὴ G 11 τινὸς om. G 11. 12 προστίθ. AG¹ 16 τὸ . . κατηγορηθέν G 16. 17 καταφ.] κατηγορουμένης καταφάσεως F: τῆς καταφάσεως G 20 τῆς . . καταφ.] τὴν . . κατάφασιν F 21 εἴη] ἢ G ταύτην a: τὴν αὐτὴν AGM: αὐτὴν F 23 διαφέρον F λέγειν F: λέγοντα G 24 τῶν ψ.] αὐτῶν b 26 προσηγορεύομεν] p. 92,4 27 ἐναντ. καλεῖν colloc. FGa 29 μνημονεύει a τὰς] ταῖς G 31 εἶναι ἐναντ. εἶναι G 33 ἔχειν G τῆς om. Ma καταφάσεως G 33. p. 253,1 διαφορὰς a

φορᾶς. ὅτι δὲ εἰκότως οὔτε τὰς ἀπροσδιορίστους ἐν τούτοις οὔτε τὰς ὑπεναντίας παρέλαβε, διὰ τῶν ἑξῆς κατὰ καιρὸν ἐπιδείξομεν.

Αὐτὸς μὲν οὖν οὕτω ταῦτα διατάττεται περὶ τούτων, ἀποβλέπων ἴσως πρὸς τὸ ἀπόφασιν μὲν ἐπὶ πάντων ἁπλῶς ὄντων τε καὶ μὴ ὄντων δύνασθαι ἡμᾶς λαμβάνειν καὶ ἀντιτιθέναι πρὸς τὴν κατάφασιν, μηκέτι μέντοι ἐπὶ πάντων εἶναι τοῦ ἐναντίου κατάφασιν (ὅταν γὰρ τὸ ἐξ ἀρχῆς κατηγορηθὲν μηδὲν ἔχῃ ἐναντίον ἤτοι οὐσία ὂν ἢ ποσὸν ἢ ἀπὸ τῶν ἄλλων κατηγοριῶν τῶν μὴ ἐπιδεχομένων ἐναντίωσιν, ἢ καὶ μέσον ἢ ἐναντίων τινῶν, τότε δῆλον ὅτι ἀδύνατον τοῦ ἐναντίου κατάφασιν εὑρεῖν), βουλόμενος δὲ καὶ ἄλλως τῇ ἀναγκαίᾳ φανείσῃ πρὸς τὴν θεωρίαν τῶν προτάσεων ἀντιθέσει, τῇ ἀντιφατικῇ λέγω, τὰ πρεσβεῖα παρὰ τὰς ἄλλας πάσας νέμειν. ὁ μέντοι μέγας Συριανὸς ἄριστα καὶ θεωρητικώτατα ταύτῃ τῇ ζητήσει διήτησε, τά τε πράγματα ὅπως ἔχει φύσεως καὶ τῆς πρὸς ἄλληλα διαστάσεως μάλα ἐναργῶς ἐπιδεικνὺς καὶ τὰς κοινὰς ἡμῶν καὶ αὐτοφυεῖς ἐννοίας συμφώνους τοῖς λεγομένοις ἀποφαίνων καὶ τῶν ἐπιχειρημάτων ἕκαστον αὐτὸ καθ' αὑτὸ βασανίζων καὶ διηρθρωμένως διδάσκων τί τε ὀρθῶς καὶ τί πιθανῶς μὲν οὐ μέντοι ἀκριβῶς ἐν αὐτοῖς παραδίδοται, καὶ ἐπὶ πᾶσι τόν τε θειότατον Πλάτωνα μάρτυρα παραφέρων ἐν τῷ Σοφιστῇ ἀποφαινόμενον τὴν ἀπόφασιν ἕτερον μέν τι τῆς καταφάσεως σημαίνειν, οὐ μὴν ἐναντίον πρὸς αὐτήν, διότι ἓν μὲν ἑνὶ ἐναντίον (οὐ γὰρ | ἄδικος 203ᵃ ἡ φύσις, ὥστε πλείονα ἑνὶ ποιῆσαι πολέμια), ἡ δὲ τοῦ μεγάλου ἀπόφασις, ὅπερ ἐν Σοφιστῇ λέγεται, καθ' ἣν τὸ οὐ μέγα λέγομεν, οὐδὲν μᾶλλον τὸ σμικρὸν ἢ τὸ ἴσον δηλοῖ (διὸ καὶ ἐν τῷ ἕκτῳ τῆς Πολιτείας πλείονος ἐπιμελείας δεῖσθαι λέγων τὰς ἐρρωμενεστέρας φύσεις πρὸς τὸ μὴ διαφθαρῆναι τῶν σμικροτέρων καὶ ἀποδιδοὺς τούτου τὴν αἰτίαν "ἀγαθῷ γάρ, φησί, κακὸν ἐναντιώτερον ἢ τῷ μὴ ἀγαθῷ", τοῦτ' ἔστι τῷ λοιπῷ τῶν ὑπὸ τῆς ἀποφάσεως τοῦ κακοῦ σημαινομένων, εἰ καὶ παρεῖται τοῦτο ὡς ἐναργὲς καὶ εἴληπται τὸ μὴ ἀγαθὸν ἀντὶ τοῦ μήτε κακοῦ μήτε ἀγαθοῦ), καὶ αὐτοῦ μέντοι τοῦ Ἀριστοτέλους τῇ τελειοτέρᾳ παραδόσει τῇ ἐν τῷ δεκάτῳ τῆς Θεολογικῆς πραγματείας πείθεσθαι ἡμᾶς ἀξιῶν πλείστην εἶναι διάστασιν τοῦ ἐναντίου πρὸς τὸ ἐναντίον ἀλλ' οὐ τῆς ἀποφάσεως πρὸς τῆς κατάφασιν ἀποφαινομένου, δι' ὧν φησιν "ἐπεὶ δὲ διαφέρειν ἐνδέχεται ἀλλήλων τὰ διαφέροντα πλεῖον καὶ ἔλαττον, ἔστι τις καὶ μεγίστη διαφορά, καὶ ταύτην λέγω ἐναντίωσιν" καὶ ὅσα ἑξῆς τούτοις ἐπιφέρει, κατασκευάζων, οὐ καθά-

---

1 οὐδὲ (priore l.) AM ὑπεναντίους Ma 3 καὶ αὐτὸς A ταῦτα om. F 7 ἔχει A¹: ἔχοι G 8 μέσων AM ᾗ om. A 10 δὲ om. G 11 παρὰ τὰς ἄλλας om. G¹ (περὶ τὰς ἄλλας προτάσεις suppl. G²) 13 ἄλληλα] ἄλλα F 14 ἐναργέστερον F 15 ἐνοίας A 16 τε τί colloc. F 18 ἐν τῷ Σοφιστῇ] p. 257 B 19 μέν τι] μέντοι Ga σημαίνει a 20 πρὸς αὐτήν om. FG διότι om. F ἓν superscr. A μὲν γὰρ F 21 τῷ ἑνὶ F 22 λέγομεν] λεγόμενον AFG 23 ἐν τῷ ἕκτῳ τῆς Πολιτείας] p. 491 D 25. 26 ἀγαθὸν . . κακῷ A 25 γάρ που Plat. 27 παρεῖται ex παραιτεῖται corr. G 28 αὐτὸς F 29 ὁ ἀριστοτέλης FG 29. 30 ἐν τῷ δεκάτῳ τῆς Θεολ. πρ.] Metaph. I 4 p. 1055ᵃ3 30 ἀξιοῖ FG 32 ἀποφαινόμενος FG 34 λέγων AFGMa

περ ἐνταῦθα λογικώτερον ὑπὲρ τοῦ γυμνάσαι τὴν ἡμετέραν, ὡς εἴρηται, διάνοιαν, ἀλλ' ἀπ' αὐτῶν ὄντως τῶν πραγμάτων, ὅτι ἡ τῶν ἐναντίων διαφορὰ μεγίστη τῶν ἄλλων καὶ διὰ τοῦτο τελεία καὶ οὐδὲν ἔχουσα ἐξωτέρω αὐτῆς δυνάμενον πεσεῖν. οὕτω δὲ καὶ ἐν Κατηγορίαις τὸ οὐ δίκαιον καὶ τὸ οὐκ ἄδικον μέσον ἔφατο εἶναι τοῦ δικαίου καὶ τοῦ ἀδίκου, ἐναντίων ὄντων καὶ τὴν πλείστην ἀλλήλων διάστασιν ἀφεστηκότων, ὃ καὶ τοῖς ἄλλοις πᾶσιν ἐναντίοις ὑπάρχειν ἔφη κατὰ τὸν ἀποδεδομένον αὐτῶν ὁρισμὸν ἐν τῷ συγγράμματι τῶν Κατηγοριῶν, καὶ ἐν ταῖς Φυσικαῖς μέντοι πάσαις πραγματείαις γίνεσθαι ἀποφαίνεται τὰ ἐναντία ἐκ τῶν ἐναντίων, ἅτε 203ᵃ πλεῖστον ἀπ' αὐτῶν διεστηκότων καὶ ὄντων ὡρισμένων, καὶ εἴ ποτε γίνοιντο ἐκ τῶν μεταξὺ κειμένων καὶ ἁπλῶς μὲν ὑπὸ τῆς τοῦ γινομένου ἀποφάσεως πῇ δὲ ὑπὸ τῆς τοῦ ἐναντίου πρὸς αὐτὸ καταφάσεως δηλουμένων, οἷον τὸ λευκὸν ἐκ τοῦ φαιοῦ, ἁπλῶς μὲν ὄντος οὐ λευκοῦ πῇ δὲ μέλανος, γίνεσθαί φησιν αὐτὰ ἐξ ἐκείνων, οὐ καθὸ ἐκεῖνα σημαίνεται ἁπλῶς ὑπὸ τῆς ἀποφάσεως τοῦ γινομένου, ἀλλὰ καθὸ πῇ τοῦ ἐναντίου μετέχουσιν, ὡς ἂν τῆς ἀποφάσεως οὐ περιεχούσης καθ' αὑτὴν τὴν παντελῆ πρὸς τὴν κατάφασιν διαφοράν. καὶ αὐτόθεν μέντοι συμφώνως τοῖς ἐν τῷ Σοφιστῇ παρὰ Πλάτωνος εἰρημένοις ἀποφαίνεται μὴ εἶναι τῷ ὄντι τὸ μὴ ὂν ἐναντίον περὶ τῶν ἐναντίων κινήσεων καὶ μεταβολῶν ἐν τῷ πέμπτῳ τῆς Φυ- 20 σικῆς ἀκροάσεως διοριζόμενος. συνᾴδει δὲ τούτοις καὶ τὸ προοίμιον τῆς Τοπικῆς πραγματείας ὑπεναντία προσαγορεῦον τὰ ἀντιφατικῶς ἀλλήλοις ἀντικείμενα, ὡς οὐ τελείαν τὴν πρὸς ἄλληλα ἐναντίωσιν ἔχοντα. ἦν μὲν οὖν αὐτάρκες τοῖς ἐφιστάνειν δυναμένοις πρὸς τὴν ἐπίκρισιν τῆς περὶ τούτων ἀληθείας τὸ ἐντυγχάνειν τοῖς εἰς ταῦτα παρὰ τοῦ θεσπεσίου ἐκείνου ἀνδρὸς γεγραμμένοις, ἀλλ' ἐπεὶ μόνην τὴν περὶ τούτων ἐπίσκεψιν προθέμενος γράφειν οὐ καταγίνεται περὶ τὴν τῆς λέξεως αὐτῆς σαφήνειαν, ὥστε ἀποπλῆσαι καὶ τὸν πολὺν ἀκροατήν, πειρασόμεθα μὲν ἡμεῖς καὶ τούτου τοῦ θεωρήματος κατὰ τὸν αὐτὸν τοῖς προλαβοῦσι τόπον ποιήσασθαι τὴν ἐξήγησιν, ἐν μέντοι ταῖς ἐπιστάσεσιν οὐδὲν ἔχοντες πλέον ἐπινοεῖν τῶν παρ' ἐκείνου τεθεωρημένων οὐ παραιτησόμεθα καὶ ἐπ' αὐτῶν ἐνίοτε 204ᵃ τῶν λέξεων τὰ τοῦ ἀνδρὸς ἐκείνου γράφειν.

Πρῶτον μὲν οὖν αὐτὸ καθ' αὑτὸ τὸ πρόβλημα ἐπισκεπτόμενοι φήσομεν ὅτι εἰ καὶ ὑπάρχει τις ἐν τῷ οὐ λευκῷ πρὸς τὸ λευκὸν ἐναντίωσις,

1 ὡς εἴρηται] p. 251,31 2 ἐπ' a post αὐτῶν add. τῶν M ὄντων a 3 alt. καὶ om. G 4 ἐν Κατηγορίαις] c. 10 p. 12ᵃ17 sq. 6 ἐφεστ. A 7 ἔφη] Cat. c. 6 p. 6ᵃ15 ἔφη (ἔφην m¹) ὑπάρχειν colloc. G ἀποδιδόμ. FG 8 ἐν ταῖς Φυσικαῖς . . πρ.] Phys. Γ 5 p. 205ᵃ6 alias 8. 9 πρ. πάσ. colloc. M 10 πλείστων Ma 11. 12 καταφάσεως FG 12 ὑπὸ] ἀπὸ G πρὸς αὐτὸ om. M 13 ὄντως A 14 αὐτά φησιν colloc. G (cf. Phys. E 1 p. 224ᵇ30 sq. 5 p. 229ᵇ16 sq.) 15 τοῦ γιν.—ἀποφάσεως (16) om. F 16 οὐ om. M κατ' αὐτὴν FG 17 τῷ om. GMa 18 ante prius μὴ add. τῶ AM τὸ om. G 19. 20 ἐν τῷ πέμπτῳ τῆς Φυσ. ἀκρ.] E 5 p. 229ᵃ7sq. 20. 21 τὸ πρ. τῆς Τοπικῆς πραγμ.] A 1 p. 100ᵃ21 21 προσαγορεύων AG 22 ὡς—ἔχοντα om. G 24 παρὰ] περὶ M 25 ἐπεὶ] ἐπὶ FGMa 26 ταύτης AM 28 αὐτὸν iter. A 32 τὸ om. F 33 καὶ εἰ colloc. FGMa

περιέχει ταύτην πάντως τὸ μέλαν, οὐ κατὰ συμβηβηκὸς ὥσπερ τὸ πικρὸν ἢ τὸ θερμόν, ἀλλὰ κατ' αὐτὴν τῆς ἀντιθέσεως τὴν φύσιν· τὸ μὲν γὰρ πικρὸν οὐδὲν μᾶλλον τὸ οὐ λευκὸν ἢ τὸ οὐ θερμὸν ἢ ἄλλου ὁτουοῦν τῶν μὴ συγγενῶν αὐτῷ τὴν ἀναίρεσιν σημαίνει, τὸ δὲ μέλαν καθ' αὑτὸ καὶ 10
5 προηγουμένως μόνῳ τῷ λευκῷ πολεμοῦν ὡρισμένως δηλονότι καὶ καθ' αὑτὸ μόνου τοῦ λευκοῦ τὴν ἀναίρεσιν ἂν σημαίνοι. τὴν μέντοι τοῦ μέλανος πρὸς τὸ λευκὸν ἐναντίωσιν οὐκέτι πάντως περιέχει τὸ οὐ λευκόν· ἀρχὴ γὰρ τῆς πρὸς τὸ λευκὸν διαφορᾶς τὸ οὐ λευκόν, ὡς ἐν τῷ δεκάτῳ τῆς 15
Μετὰ τὰ φυσικὰ λέλεκται, προκόπτουσα δὲ αὕτη καὶ ἐπὶ πᾶν ἐρχομένη
10 καὶ εἰς τὸ πέρας καταντῶσα μέλαν γίνεται. καὶ ἡ μὲν ἀφαιρεῖ μόνον τὸ ὄν, ἡ δὲ πρὸς τούτῳ τίθησι καὶ τὸ ἐναντίον· εἰ γὰρ καὶ ἐπὶ τῶν ἁπλῶν φωνῶν λέγοι τις ἐναντίον εἶναι τῷ λευκῷ τὸ οὐ λευκόν, πρῶτον μὲν εἰς 20
ταὐτὸν ἄξει στέρησιν καὶ ἐναντίωσιν, εἶτα οὐκέτι ἓν ἑνὶ ἐναντίον ἐρεῖ (τὸ γὰρ οὐ λευκὸν καὶ φαιόν ἐστι καὶ ὠχρὸν καὶ ξανθὸν καὶ μέλαν), ἔπειτα
15 ὡρισμένῳ ἀόριστον ἔσται καὶ ἄπειρον ἀντικείμενον· κατὰ παντὸς γὰρ ἢ τὸ λευκὸν ἢ τὸ οὐ λευκόν, ὥστε καὶ οὐσίαι ἐναντίαι ἔσονται τῷ λευκῷ καὶ 25
ποσότητες καὶ τὰ ἄλλα γένη. ἀλλὰ δεῖ τὰ κυρίως ἐναντία λεγόμενα ἢ εἴδη ἄμφω εἶναι καὶ δύναμιν ἔχειν καὶ ἐνέργειαν ἑκάτερον καὶ ἰσοσθενεῖν ἀλλήλοις. ἵνα μάχεσθαί τε ἀλλήλοις δύνωνται καὶ μὴ φθείρηται θάτερον
20 εἶ|δος ὑπὸ θατέρου καὶ παραθραύῃ τὴν τελειότητα τοῦ παντός, ὡς ἐπὶ 204ᵛ
λευκοῦ καὶ μέλανος ἔχει καὶ θερμοῦ καὶ ψυχροῦ καὶ πάντων τῶν παραπλησίων, ἢ τὸ ἕτερον ἐσχάτην ἀπόπτωσιν εἶναι τοῦ ἑτέρου καὶ σημαίνεσθαι ὑπὸ ὡρισμένου ὀνόματος, εἴτε στερητικῶς λεγομένου. καθάπερ ἐπὶ 5
ἀδικίας καὶ ἀνοίας, εἴτε καὶ μή, καθάπερ ἐπὶ δειλίας, καὶ πεφυκέναι εἰς
25 ἐκεῖνο ἀνακάμπτειν, ὡς ἐπὶ σωφροσύνης ἔχει καὶ ἀκολασίας ἀρετῆς τε πάσης καὶ κακίας καὶ ὅλως ἀγαθοῦ καὶ κακοῦ· τὸ γὰρ κακὸν εἶδος μὲν καὶ ὅρος οὐκ ἔστιν, ὥσπερ τὸ ἀγαθόν, λέγεται μέντοι καὶ αὐτὸ ὡς ἐσχάτη 10
ὂν ἀπὸ τοῦ ἀγαθοῦ ἔκπτωσις καὶ σημαινόμενον ὀνόματι ὡρισμένῳ ἐναντίον τότε, ὅταν πεφύκῃ εἰς τὸ εἶδος καὶ τὸ ἀγαθὸν ἀνακάμπτειν. ἐὰν δὲ
30 τοῦ αὐτοῦ εἴδους τήν τε παρουσίαν τὴν ἐν τῷ ὑποκειμένῳ καὶ τὴν ἀπουσίαν ἁπλῶς ἐπισκοπῶμεν, ἄλλην τινὰ ποιοῦμεν ἀντίθεσιν καὶ οὐχὶ τὴν 15
τῶν ἐναντίων· ἐὰν μὲν γὰρ ἡ ἀπουσία καὶ αὐτῆς τῆς πρὸς τὴν εἰς αὖθις παρουσίαν τοῦ εἴδους δυνάμεως στέρησιν ἔχῃ, γίνεται στέρησις ἡ ἐν Κατηγορίαις παραδεδομένη, εἰ δὲ τῆς ἐνεργείας μόνης ἀπουσία εἴη, γίνεται 20
35 στέρησις ἡ πεφυκυῖα εἰς τὸ εἶδος ἀνακάμπτειν, ἣν διὰ τοῦτο καίτοι ὑπὸ

1. 2 θερμὸν ἢ τὸ πικρὸν (superscr. m² ψυχρὸν) G 3 τὸ] τοῦ (utrobique) F
5 ὡρισμένην G 6 μόνον AM σημαίνει (ἂν om.) a 7 ἔχει AMa
8. 9 ἐν τῷ δεκάτῳ τῆς Μετὰ τὰ φυσ.] I 7 p. 1057ᵃ24 10 καὶ (alterum) suppl. G² 11 τοῦτο G 19 δύναται A¹: δύνηται A²Ma φθείρεται F 21 ἔχειν G 24 πέφυκέ γε FG 26 ἀκακίας F 27 ἔσχατον (ὂν om.) G 29 πεφύκοι F ἐὰν] ὅταν a 31 ἀντίφασιν G¹
32 ἐπὰν a 33 γίνεται μὲν a 33. 34 ἐν Κατηγ.] c. 10 p. 12ᵃ26
34 εἴη] ἢ G

ἀορίστου δηλουμένην ὀνόματος ἐναντίαν τῷ εἴδει ἐν τῇ Φυσικῇ ἀκροάσει προσαγορεύειν ἠξίωσε.

Ταῦτα μὲν οὖν παρεξέβημεν, τὰς διαφόρους παρὰ τοῖς παλαιοῖς ἐννοίας τῶν τε ἐναντίων καὶ τῶν κατὰ στέρησιν καὶ ἕξιν ἀντικειμένων καὶ τὰ περὶ τῆς ἀντιθέσεως τοῦ κακοῦ πρὸς τὸ ἀγαθόν, πολλοῖς εἰωθότα πράγματα παρέχειν, διαρθρῶσαι βουληθέντες. εἰ δὲ ἐπὶ τῶν ἁπλῶν φωνῶν οὕτως ἔχει, δῆλον ὅτι καὶ ἐν τοῖς ἀποφαντικοῖς λόγοις ἡ τὸ ἐναντίον καταφάσκουσα τῇ τὸ | ἐναντίον καταφασκούσῃ μάλιστα μάχεται· ἡ γὰρ κοι- 205r
νωνία ταῖς προτάσεσι καὶ ἡ διαφορὰ κατὰ τὴν δύναμιν θεωρεῖται τῶν συμπληρουσῶν αὐτὰς ἁπλῶν φωνῶν. ὅτι δὲ οὐ μόνον δοξάζομεν οὕτως, ἀλλὰ καὶ διασώζομεν τὸν ἀνθρώπινον βίον κατὰ τὰς αὐτοφυεῖς καὶ ἀδιδάκτους ἐννοίας, δῆλον ἐντεῦθεν· τὸ ἀγαθὸν παντὶ ἐφετόν, τὸ δὲ κακὸν παντὶ φευκτόν· τίς ἂν οὖν εἰ μὴ ἐξείη γείτονι χρήσασθαι ἀγαθῷ, δυοῖν εἰς αἵρεσιν αὐτῷ προκειμένων, ἢ οὐκ ἀγαθῷ χρήσασθαι ἢ ὁμολογουμένως πονηρῷ, ἕλοιτο ἂν πρὸ τοῦ μὴ ὠφελοῦντος τὸν βλάπτειν ἐπιχειροῦντα; καὶ γὰρ ὁ αὐτὸς οὐκ ἀγαθὸς ἅμα ἦ καὶ κακός, φευκτὸς ἔσται μᾶλλον, οὐ καθὸ ἀνωφελὴς ἀλλὰ καθὸ πρὸς τούτῳ καὶ βλαβερός. ὁ αὐτὸς δὲ λόγος καὶ ἐπὶ δικαίου καὶ ἀδίκου καὶ πάντων τῶν παραπλησίων.

Τῆς τοίνυν φύσεως τῶν πραγμάτων καὶ τῆς δυνάμεως τῶν ἀποφαντικῶν λόγων, περὶ ὧν ἡ σκέψις, δήλης ἐκ τούτων γενομένης, ἑξῆς ἐπισκεψώμεθα τὰ διὰ τῆς προκειμένης ἐπιχειρήσεως περὶ τούτων λεγόμενα. ποιεῖται μὲν οὖν ὁ τῶν λόγων τούτων πατὴρ ὧν τὴν ζήτησιν ἐπὶ τῶν κατὰ τὸν προφορικὸν λόγον προτάσεων, δύο λαμβάνων καταφάσεις, τὴν μὲν καθόλου ὡς καθόλου τὴν δὲ καθ' ἕκαστα, καὶ τῇ μὲν καθ' ἕκαστα τήν τε ὄντως οὖσαν ἀπόφασιν αὐτῆς ἀντιτιθεὶς καὶ τὴν τοῦ ἐναντίου κατάφασιν, τῇ δὲ καθόλου ὡς μὲν ἀπόφασιν ἀντιτιθεὶς οὐ τὴν ἀντιφάσκουσαν πρὸς αὐτὴν ἀλλὰ τὴν ὡς ἐναντίαν αὐτῇ μαχομένην, ὅπερ ἐστὶ τὴν καθόλου ἀπόφασιν, πρὸς ταύτῃ δέ γε καὶ τὴν καθόλου τοῦ ἐναντίου κατάφασιν. καὶ προτίθεται εὑρεῖν πότερον αἱ ἀποφάσεις εἰσὶν αἱ μᾶλλον μαχόμεναι ταῖς | καταφάσεσιν ἢ αἱ 205v
τῶν ἐναντίων καταφάσεις, πάνυ προσεκτικῶς ἀνάγων τὴν ζήτησιν ἐπὶ τὴν οἰκείαν τῶν προκειμένων ἀρχήν, λέγω δὲ τοὺς ἐνδιαθέτους καλουμένους λόγους καὶ τὰς περὶ τῶν πραγμάτων ἐν τῇ ψυχῇ δόξας, ἀφ' ὧν προφερόμεθα τοὺς ἔξω ῥέοντας λόγους, καὶ ἀξιῶν ὡς ἂν ἐπὶ τῶν δοξῶν ἔχουσαι ὀφθῶσιν αἱ εἰρημέναι τῶν προτάσεων ἀντιθέσεις, οὕτως καὶ ἐπὶ τῶν κατὰ τὴν φωνὴν ἀποφάνσεων ἔχειν. τοῦτο μὲν οὖν καὶ ὀρθῶς ἐπινενόηται παρ'

---

1 ἐν τῇ Φυσικῇ ἀκρ.] E 1 p. 225b3 6 p. 229b26 ἀκρ.] ἀξιώσει M 4 ἐνοίας A: αἰτίας G τε om. FG 5 ante πολλοῖς add. ὡς G² ante διαρθρ. add. οἱ G 7 ἔχοι a 8 τῷ ἐναντίῳ a 10 αὐτῶν G 13 ἐξεῖ] ἕξει FG¹ 14 ἀναίρεσιν a ὁμολογουμένω AMa 16 ἀγαθός τε Ma ἅμα ἦ AG²: ἅμα FG¹: εἴη ἅμα Ma 17 τοῦτο FG 20 γινομ. FGM 21 καὶ περὶ M 22 οὖν om. F τούτων πάντων A: πάντων (τούτων om.) a ὧν om. FG 24 τῇ] τὴν G 26 ὡς] τὴν FG 27 μαχ. αὐτῇ colloc. A 28 καὶ καθόλου τὴν ἐναντίαν καταφ. a 29 αἱ (post ἢ) om. M 31 δὴ Ma 33 ὡς ἂν iter. G ἔχειν FG

αὐτοῦ καὶ σαφῶς λέγεται. εἰ δὲ τὰς καθόλου προτάσεις καὶ ἐναντίας λεγομένας καθ' ὁμοιότητα τῶν κυρίως ἐναντίων τῷ ὀνόματι τούτῳ προσαγορεύομεν, ἅτε ποτὲ συμψευδομένας, δῆλον ὅτι τὴν μάχην αὐτῶν καὶ τὴν πρὸς ἀλλήλας ἐναντίωσιν ἀσθενεστέραν εἶναι ἡγητέον τῆς μάχης τῶν προηγουμένως καὶ κυριώτατα λεγομένων ἐναντίων· αὗται δ' ἂν εἶεν αἱ τολμῶσαι κατὰ τοῦ αὐτοῦ τὰ ἐναντία καταφάσκειν. ἀλλὰ τοῦτο μὲν καὶ τὰς κατὰ μέρος ἐπιχειρήσεις βασανίζοντες ἀκριβέστερον ἐπισκεψόμεθα, καὶ ἔτι ὅπως ἡ τῆς ἀντιφάσεως ἀντίθεσις ἔχει πρὸς τὴν τῶν ἐναντίων καταφάσεων, ἅπερ ἐστὶ τὰ νῦν ἡμῖν εἰς θεωρίαν προκείμενα.

Τῆς δὲ λέξεως τὸ μὲν εἰ γὰρ τὰ μὲν ἐν τῇ φωνῇ ἀντὶ τοῦ 'εἰ δὴ' εἴρηται· οὐ γὰρ προειρημένου τινὸς αἰτίαν ἀποδίδωσιν, ἵνα καὶ χώραν ἔχῃ ὁ αἰτιολογικὸς σύνδεσμος, ἀλλὰ τὴν μέθοδον ὑφηγεῖται τὴν καθ' ἣν κρινοῦμεν τὰς μάλιστα μαχομένας προτάσεις, ἀπὸ τῶν αἰτίων αὐτῶν ὁρμώμενοι. τὸ δὲ ἐπὶ τέλει τῆς ῥήσεως εἰρημένον, τὸ καὶ εἰ ἔστι μία, καθ' ὁποτέραν ἡ ἐναντία, τοιαύτην ἔχει διάνοιαν· ἔστι δόξα περί τινος τῶν ἀγαθῶν, οἷον σωφροσύνης, αὐτὸ | τοῦτο ἀποφαινομένη ὅτι ἐστὶν ἀγαθόν, ἄλλη 206ᵃ δὲ ἡ λέγουσα ὅτι οὐκ ἔστιν ἀγαθόν, τρίτη δὲ ἡ λέγουσα ὅτι ἐστὶ κακόν· συμβαίνει οὖν, φησί, τήν τε ἀπόφασιν τὴν λέγουσαν 'ἡ σωφροσύνη ἀγαθὸν οὐκ ἔστι' καὶ τὴν τοῦ ἐναντίου κατάφασιν τὴν λέγουσαν 'ἡ σωφροσύνη κακόν ἐστι' ποτὲ μὲν διαφωνεῖν ποτὲ δὲ συντρέχειν ἀλλήλαις· ἐπεὶ γὰρ τῶν ἐναντίων τὰ μέν ἐστιν ἔμμεσα τὰ δὲ ἄμεσα, εἰ μὲν τῶν ἐμμέσων ἐναντίων εἴη τὰ κατηγορούμενα, οὐκ ἂν ἀκολουθήσαι τῇ ἀποφάσει ἡ τοῦ ἐναντίου κατάφασις (οὐ γὰρ τὸ οὐ λευκὸν ἤδη ἀνάγκη εἶναι μέλαν), εἰ δὲ τῶν ἀμέσων, ταὐτὸν σημαίνουσιν ἥ τε ἀπόφασις καὶ ἡ τοῦ ἐναντίου κατάφασις, ὅταν ἀποφαίνωνται περί τινος τῶν πεφυκότων δέχεσθαι τὴν ἐναντίωσιν· ὥσπερ γὰρ τὸ περιττὸν εὐθὺς οὐκ ἄρτιον, οὕτω τὸ οὐκ ἄρτιον ἀνάγκη εἶναι περιττόν. ἐφ' ὧν οὖν συντρέχουσιν ἥ τε ἀπόφασις καὶ ἡ τοῦ ἐναντίου κατάφασις, οὐκέτι μὲν δυνατὸν ὡς ἐπὶ διαφόρων ζητεῖν ποτέρα αὐτῶν ἐστιν ἡ μᾶλλον μαχομένη πρὸς τὴν ἐξ ἀρχῆς κατάφασιν· εἰσὶ γὰρ ἄμφω τρόπον τινὰ μία, τὸ αὐτὸ δυνάμεναι. ἀξιοῖ δὲ ζητεῖν αὕτη ἡ μία κατὰ τὴν δύναμιν κατά τί μᾶλλον μάχεται τῇ ἐξ ἀρχῆς καταφάσει, πότερον καθὸ ἀποφάσκει τὸ ὑπάρχον ἢ καθὸ καταφάσκει τὸ μὴ ὑπάρχον· οἷον πρὸς τὴν λέγουσαν πρότασιν 'ὁ τρία ἄρτιός ἐστι' μάχονται ἥ τε

---

1 σοφῶς FGMa λέλεκται a 4 ἀσθενεστέρων G εἶναι om. A: post ἡγητέον colloc. G 7 ἐπισκεψώμεθα AG 8 ἡ om. A 9 ὅπερ A² 10 τὸ μὲν] τῆς a τὰ] τὸ G εἰ δὴ] εἴδη AMa: δὴ FG 13 ὁρμώμενος M 15 post ἔστι add. τις M 17 ἡ (prius) om. FG τρίτη δέ ἐστιν FG 18 συμβαίνειν FGa τήν τε iter. F 18. 19 ἀγαθὸν — σωφροσύνη om. F 19 λέγουσαν ὅτι M 20 ἐπεὶ] ἐπὶ FG¹ ante γὰρ add. μὲν G 21 post alt. μὲν add. οὖν F 22 ἂν ἀκολουθήσαι scripsi: ἀκολουθήσει A: ἂν ἀκολουθήσῃ FGMa 23 ἤδη in mrg. F μέλαν εἶναι colloc. A 24 ἡ (post καὶ) om. A 26 οὕτω — ἄρτιον om. A 27 περ. εἶναι colloc. Ma οὖν om. A 30 τὸ αὐτὸ δυν.] τὸ αὐτὸ δυνάμει M: τῇ δυνάμει a 32 τὸ ὑπάρχον — καταφάσκει om. FG ὑπάρχειν (priore l.) A

λέγουσα 'ὁ τρία ἄρτιος οὐκ ἔστι' καὶ ἡ λέγουσα 'ὁ τρία περιττός ἐστι', τὸ 25
αὐτὸ σημαίνουσαι ἄμφω· ζητεῖ οὖν τὸ οὐκ ἄρτιον τοῦτο καὶ περιττὸν κατὰ
τί μᾶλλον μάχεται πρὸς τὸ ἄρτιον, πότερον καθὸ οὐκ ἄρτιον ἢ καθὸ
περιττόν.

5 p. 23b3 Τὸ μὲν δὴ τούτῳ οἴεσθαι τὰς ἐναντίας δόξας ὡρίσθαι
τῷ τῶν ἐναντίων εἶναι, ψεῦδος· τοῦ γὰρ ἀγαθοῦ ὅτι ἀγαθὸν |
καὶ τοῦ κακοῦ ὅτι κακόν, ἡ αὐτὴ ἴσως καὶ ἀληθής, εἴτε 206v
πλείους εἴτε μία ἐστίν· ἐναντία δὲ ταῦτα. ἀλλ' οὐ τῷ ἐναντίων
εἶναι ἐναντία, ἀλλὰ μᾶλλον τῷ ἐναντίως.

10 Τὴν ἔννοιαν αὐτήν, ἀφ' ἧς ὁρμῶνται οἱ λέγοντες ἐν ταῖς περὶ τῶν 5
ἐναντίων δόξαις τὴν σφοδροτάτην θεωρεῖσθαι τῶν προτάσεων μάχην, βού-
λεται πρῶτον διαβαλεῖν ὁ ἀντιδικεῖν πρὸς τοῦτο πειρώμενος λόγος καί
φησι μὴ εἶναι ὑγιὲς τῶν ἐναντίων δοξῶν κριτήριον τὸ περὶ ἐναντίων ἀπο-
φαίνεσθαι πραγμάτων· τὴν γοῦν δοξάζουσαν ὅτι ἡ σωφροσύνη ἀγαθὸν καὶ 10
15 τὴν ὅτι ἡ ἀκολασία κακὸν ἀποφαίνεσθαι μὲν περὶ ἐναντίων τῶν τε ὑπο-
κειμένων καὶ τῶν κατηγορουμένων, οὐ μέντοι ἀλλήλαις ἐναντίας εἶναι,
διότι αὗται μὲν ἅμα τυγχάνουσιν ἀληθεῖς, αἱ δὲ ἐναντίαι οὐδέποτε συναλη-
θεύουσιν (ὅλως γὰρ τὰ ἐναντία συνυπάρχειν ἀδύνατον), ἀλλὰ μᾶλλον κρίνε- 15
σθαι δεῖν τὰς ἐναντίας δόξας κατὰ τὸ ἐναντίως περὶ τῶν αὐτῶν ἀποφαίνε-
20 σθαι πραγμάτων, ὥσπερ ἔχουσιν ἥ τε κατάφασις καὶ ἡ ἀπόφασις, ὡς διὰ
τῶν ἑξῆς ἐπιχειρημάτων κατασκευάσαι πειράσεται. τὸ δὲ εἴτε πλείους
εἴτε μία ἐστίν εἴρηται περὶ τῶν τὸ ἀγαθὸν ἀγαθὸν καὶ τὸ κακὸν κακὸν 20
εἶναι λεγουσῶν, διότι πλείους μέν εἰσιν ὡς διαφόροις χρώμεναι τοῖς τε
ὑποκειμένοις καὶ τοῖς κατηγορουμένοις, δόξαιεν δ' ἂν καὶ μία εἶναι οὐ
25 μόνον κατὰ τὸ συναληθεύειν ἀλλὰ καὶ ὡς ἀπὸ μιᾶς προαγόμεναι ζωῆς τε 25
καὶ διαθέσεως. ῥητέον δὲ πρὸς ταῦτα ὅτι οἱ ἀξιοῦντες τὴν τῶν ἐναντίων
καταφάσεων μάχην κρατεῖν τῆς ἀντιφατικῆς οὐ φήσουσι ταύτας ἁπλῶς
ἐναντίας εἶναι δόξας, τὰς περὶ ἐναντίων ἁπλῶς πραγμάτων ἀποφαινομένας
(οὐ γὰρ δὴ καὶ τὰς περὶ τῶν ἐναντίων τὰ ἐναν|τία φασκούσας), ἀλλὰ τὰς 207r
30 περὶ τοῦ αὐτοῦ τὰ ἐναντία δοξαζούσας· αὗται γὰρ αἱ τῷ ὄντι ἐναντίως
δοξάζουσαι.

---

1 ὁ τρία (prius) om. A 5 δόξας om. A ὡρ.] αἱρεῖσθαι G 6 τῷ om. G τῶν om. F ψεῦδος — ἐναντίως (9) om. M τοῦ — ἐναντίως (9) om. a 7 ἀληθὴς ἔσται b 8. 9 ἐναντίων εἶναι] ἐναντίον εἶναι F¹G: om. A 9 τῷ] τῶν FG 12 διαβάλλειν M 13. 14 ἀποφ. πραγμάτων om. A 14 γε οὖν FG 22 post καὶ add. τῶν A 23 λεγόντων A 25 προσαγ. Ma 26 πρὸς ταῦτα om. A 27 ἁπλῶς om. FG¹a 28 εἶναι ἐναντ. colloc. FG post ἐναντίων add. τὰ ἐναντία φασκούσας ἁπλῶς ἀλλὰ τὰς τὰ ἐναντία περὶ τῶν αὐτῶν F: τὰ ἐναντία φασκούσας G ἁπλῶς om. F 30 τοῦ om. A τῶν αὐτῶν G

p. 23b 7 Εἰ δὴ ἔστι μὲν τοῦ ἀγαθοῦ ὅτι ἐστὶν ἀγαθὸν δόξα, ἄλλη δὲ ὅτι οὐκ ἀγαθόν, ἔστι δὲ ἄλλο τι ὃ οὐχ ὑπάρχει οὐδὲ οἷόν τε ὑπάρξαι, τῶν μὲν δὴ ἄλλων οὐδεμίαν θετέον, οὔτε ὅσαι ὑπάρχειν τὸ μὴ ὑπάρχον δοξάζουσιν οὔθ' ὅσαι μὴ ὑπάρχειν τὸ ὑπάρχον (ἄπειροι γὰρ ἀμφότεραι, καὶ ὅσαι ὑπάρχειν δοξάζουσι τὸ μὴ ὑπάρχον καὶ ὅσαι μὴ ὑπάρχειν τὸ ὑπάρχον), ἀλλ' ἐν ὅσαις ἐστὶν ἡ ἀπάτη. αὗται δὲ ἐξ ὧν αἱ γενέσεις. ἐκ τῶν ἀντικειμένων δὲ αἱ γενέσεις, ὥστε καὶ αἱ ἀπάται.

Δεύτερον μὲν τοῦτο ἐπιχείρημα παραδίδοται πρὸς τὸ προκείμενον ἡμῖν πρόβλημα, παραβάλλον λοιπὸν τὴν ἀντίφασιν πρὸς τὴν τῶν ἐναντίων καταφάσεων ἀντίθεσιν. πρόεισι δὲ τοῦτον τὸν τρόπον. ἐπειδὴ βουλόμεθα εὑρεῖν ποία τῶν ψευδῶν δοξῶν ἐστιν ἡ μάλιστα ἐναντία τῇ ἀληθεῖ, χρώμενος ἐναργεῖ ἀξιώματι τῷ ἓν ἑνὶ ἐναντίον εἶναι συλλογίζεται ὅτι ἡ ἀπόφασίς ἐστιν ἡ μάλιστα πολεμία πρὸς τὴν κατάφασιν· ἐπεὶ γὰρ ἄπειροι, φησίν, εἰσὶν αἵ τε ψευδεῖς καταφάσεις αἱ μαχόμεναι πρὸς αὐτὴν καὶ αἱ ψευδεῖς ἀποφάσεις, αἱ μὲν λέγουσαι τὰ μὴ ὑπάρχοντα ὑπάρχειν αἱ δὲ τὰ ὑπάρχοντα μὴ ὑπάρχειν (οἷον πρὸς τὴν λέγουσαν 'τὸ ἀγαθὸν ἀγαθόν' μάχονται καταφάσεις μὲν αἱ λέγουσαι 'τὸ ἀγαθὸν φευκτόν' 'τὸ ἀγαθὸν κακόν' 'τὸ ἀγαθὸν βλαβερόν', ἀποφάσεις δὲ αἱ λέγουσαι 'τὸ ἀγαθὸν οὐχ αἱρετόν' 'τὸ ἀγαθὸν οὐκ ὠφέλιμον' 'τὸ ἀγαθὸν οὐ ζηλωτόν', καὶ οὐδὲν μᾶλλον ἄλλην ἄλλης ψεύδεσθαι ἂν εἴποιμεν), τούτων μὲν οὐδεμίαν | ἐναντίαν 207v χρὴ λέγειν τῇ 'τὸ ἀγαθὸν ἀγαθόν' λεγούσῃ· ἀόριστοι γὰρ ἀμφότεραι αὗται καὶ ἄπειροι, ἓν δὲ ἑνὶ ἐναντίον καὶ ὡρισμένον ὡρισμένῳ. τίνι οὖν κανόνι χρώμενοι τὴν μίαν ἐκείνην καὶ ὡρισμένως μαχομένην εὑρήσομεν; τῇ ἀρχῇ, φησί, καὶ οἷον ῥίζῃ τῆς ἀπάτης· μία γὰρ ὁμολογουμένως αὕτη καὶ ὡρισμένη· ἀπατώμεθα μὲν γὰρ τὸ ἀγαθὸν καὶ βλαβερὸν ἢ κακὸν καὶ οὐκ ὠφέλιμον ἢ οὐ ζηλωτὸν ὑπολαμβάνοντες, ἀλλὰ πάντων τούτων ἀρχὴ μία τὸ νομισθῆναι αὐτὸ μὴ ἀγαθόν. ταύτην δὲ τὴν τῆς ἀπάτης ἀρχήν, ἥτις ἐστί, παραστῆσαι ἡμῖν βουλόμενος ἔφατο εἶναι αὐτὴν ἐξ ἧς ἡ γένεσις, τὴν δὲ γένεσιν ἐκ τῶν ἀντικειμένων εἶναι, τοῦτ' ἔστιν ἐκ τῶν οἰκείων τοῖς γινομένοις στερήσεων καὶ ἀποφάσεων· τό τε γὰρ λευκὸν ἐξ οὐ λευκοῦ γίνεται λευκὸν καὶ ὁ ἄνθρωπος ἐξ οὐκ ἀνθρώπου, καὶ ἐπὶ πάντων ἁπλῶς

1 δόξα post ἀγαθοῦ colloc. M ἄλλη — ἀπάται (8) om. M 2 ἔστι — ἀπάται (8) om. a καὶ ἄλλο FG 3 τῶν — ἀπάται (8) om. G 4 οὔθ'] καὶ A 5 ἄπειροι — τὸ ὑπάρχον (6) om. A 7 ὁπόσαις A δέ εἰσιν b 10 παραβάλλων G 13 τῷ] τὸ FG λογίζεται A 14 πολ.] ἐναντία G 14. 15 εἰσι φησίν colloc. Ma 16 ante ὑπάρχειν add. μὴ A 17 μὴ ὑπάρχειν om. A 17. 18 ante μάχ. add. κατάφασιν a 20 ὠφέλημον F 21 ἄλλης] ἄλλως G 23 ante ἐναντ. add. τὸ FG¹ 25 οἱονεὶ Ma 26 ὁρισμ. A μὲν om. A 27 ἢ] καὶ A 28 μία om. A τὸ] τῷ FGa 31 γεγενημένοις G ἐκ τοῦ οὐ λευκοῦ A

τῶν γινομένων ὡσαύτως. ὥστε καὶ ἡ ἀπάτη, φησί, περὶ ταῦτα καὶ ἡ ὡρισμένη ἐναντίωσις, καὶ διὰ ταῦτα ἡ κυριωτάτη μάχη.

Πρὸς ταῦτα οὖν ῥητέον ὅτι ἓν μὲν ἑνὶ χρὴ ὁμολογουμένως εἶναι πολέμιον, οὐ μέντοι προσήκει ὡς μίαν τῶν πολλῶν καὶ τὰ μὴ ὑπάρχοντα τῷ ἀγαθῷ ὑπάρχειν αὐτῷ ἀποφαινομένων τιθέναι τὴν λέγουσαν 'τὸ ἀγαθὸν κακόν'· ὥσπερ γὰρ ἐν ταῖς ἀπείροις ἀποφάσεσι ταῖς τὰ ὑπάρχοντα αὐτῷ μὴ ὑπάρχειν ἀποφαινομέναις μία ἦν ἡ ὡρισμένως αὐτῇ μαχομένη, ἡ λέγουσα 'τὸ ἀγαθὸν μὴ ἀγαθόν', οὕτως ἐν ταῖς ἀπείροις καταφάσεσι ταῖς τὰ μὴ ὑπάρχοντα αὐτῷ λεγούσαις ὑπάρχειν μία ἐστὶν ⟨ἡ⟩ ὡρισμένην ἔχουσα τὴν πρὸς αὐτὴν μάχην, ἡ λέγουσα 'τὸ ἀγαθὸν κακόν'. καὶ ἀόριστα μὲν καὶ ἄπειρα τὰ ὑπὸ τῆς ἀποφάσεως δηλούμενα, διὸ ἐπὶ πάντων ὄντων 208r τε καὶ μὴ ὄντων διαιρεῖ μετὰ τῆς καταφάσεως τὸ ἀληθὲς καὶ τὸ ψεῦδος, ἓν δὲ καὶ τῷ ὄντι ὡρισμένον ἡ κατάφασις σημαίνει. ταῦτά τε οὖν οὕτως ῥητέον καὶ ὅτι ἀρχὴ μὲν ὄντως τῆς ἀπάτης ἡ περὶ τὴν ἀντίφασιν πλάνη. τοῦτο δὲ αὐτὸ τεκμήριόν ἐστι τοῦ μὴ εἶναι τὴν πλείστην διάστασιν ἐν τοῖς κατὰ ἀντίφασιν ἀντικειμένοις· οὐ γὰρ ἂν συνέβαινεν ἀπατᾶσθαι περὶ αὐτά· δῆλον γὰρ ὡς ἀπατώμεθα μᾶλλον περὶ τὰ ὅμοια καὶ σύνεγγυς ἀλλήλων ὄντα κατὰ φύσιν ἤπερ περὶ τὰ πολὺ διεστῶτα, οἷον τὴν φάτταν περιστερὰν μᾶλλον ὑπολάβοι ἄν τις ἢ κόρακα καὶ τὸν λύκον κύνα ἢ λέοντα. διὸ καὶ ὁ ἐν τῷ Φαίδρῳ Σωκράτης τοὺς ῥήτορας φησιν ἐπιχειρεῖν παρακρούεσθαι τοὺς δικαστὰς διὰ τῶν ὁμοίων ποιουμένους τῆς ἀπάτης τὴν ἐπιχείρησιν ἀλλ' οὐ τῶν πολὺ διεστώτων· κατηγοροῦντες μὲν γὰρ ἐπὶ τὰς παρακειμένας κακίας ἄγουσιν οἱ τεχνικώτεροι τῶν κατηγορουμένων τὰς ἀρετάς, τὸν ἀσφαλῆ δειλὸν ἀλλ' οὐ θρασὺν προσαγορεύοντες καὶ τὸν οἰκονομικὸν φιλάργυρον ἀλλ' οὐκ ἄσωτον, ἀπολογούμενοι δὲ τὰς κακίας ἐπὶ τὰς παρακειμένας ἄγουσιν ἀρετάς, τὸν ἄσωτον ἐλευθέριον καὶ τὸν θρασὺν ἀνδρεῖον ἐπονομάζοντες. καὶ ἐπὶ τούτοις ὅτι ὀρθῶς μὲν εἴρηται τὸ ἁπλῶς πάσας τὰς γενέσεις ἐκ τῶν στερήσεων, ἃς αἱ ἀποφάσεις δηλοῦσι, γίνεσθαι· ὅταν μέντοι τὸ γινόμενον ἐναντίον ἔχῃ, τότε, ὡς ἐν ταῖς Φυσικαῖς πραγματείαις ἐδιδάχθημεν. προηγουμένως μὲν ἐκ τοῦ ἐναντίου γίνεται τὸ γινόμενον, ἐκ δὲ τῆς ἀποφάσεως οὐ προηγουμένως ἀλλὰ καθὸ ἡ ἀπόφασις τό τε ἐναντίον καὶ τὰ ἀνὰ μέσον σημαίνει. | τὰ δὲ 208v ἀνὰ μέσον ἐκ τῶν ἐναντίων· τὸ γὰρ λευκὸν ἐξ οὐ λευκοῦ μὲν ἀλλ' οὐ τοῦ

---

1 γενομ. G φασί A ταύτην FG 2 κυριωτ. ἡ colloc. M 4 τὰ] τῶν τὰ A: τῷ G 6 αὐτῶν FG 8 ταῖς (ante τὰ) om. FG 9 μὴ om. A μίαν A ἡ addidi ὡρισμένη Ma ἡ ἔχουσα a 10 τὴν om. F 11 τὰ] ταῦτα a 11. 12 τῶν τε ὄντων Ma 12 τὸ (ante ψεῦδος) om. M 14 καὶ om. F 16 τὴν ἀντίφ. Ma 18 τὴν φύσιν a ἢ F: εἴπερ G περὶ] ποτὲ A: παρὰ G 19 καὶ περιστ. A ὑπολ. μᾶλλον colloc. M ἂν om. FG 20 ὁ ἐν τῷ Φαίδρῳ] p. 261 E 21 καὶ διὰ A 23 τεχνικώτερον (οἱ om.) M 24 post ἀσφαλ. add. δηλονότι F δηλὸν A ἀλλ' om. A θρασὺ G 28 τὸ] ὅτι A post ἁπλῶς add. καθόλου a ἀποφάνσεις G² 29 ἐναντίως Ga 29. 30 ἐν ταῖς Φυσικαῖς πρ.] v. p. 254,8 not. 30 προηγ.—ἀποφάσεως (31) om. FG¹ 30. 31 ἐναντίως A 32 τὰ] τὸ AFG

τυχόντος, ἀλλ' ἢ τοῦ μέλανος ἢ τῶν ἀνὰ μέσον· ἐκ δὲ τῶν ἀνὰ μέσον, διότι ἕκαστον αὐτῶν μετέχει πῃ τοῦ μέλανος.

p. 23b15 Εἰ οὖν τὸ ἀγαθὸν καὶ ἀγαθὸν καὶ οὐ κακόν ἐστι, καὶ τὸ μὲν καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός (συμβέβηκε γὰρ αὐτῷ οὐ κακῷ εἶναι), μᾶλλον δὲ ἑκάστου ἀληθὴς ἡ καθ' αὑτὸ καὶ ψευδής, εἴπερ καὶ ἀληθής, ἡ μὲν οὖν ὅτι οὐκ ἀγαθὸν τὸ ἀγαθὸν τοῦ καθ' αὑτὸ ὑπάρχοντος ψευδής, ἡ δὲ τοῦ ὅτι κακὸν τοῦ κατὰ συμβεβηκός· ὥστε μᾶλλον ἂν εἴη ψευδὴς τοῦ ἀγαθοῦ ἡ τῆς ἀποφάσεως ἢ ἡ τοῦ ἐναντίου δόξα. διέψευσται δὲ μάλιστα περὶ ἕκαστον ὁ τὴν ἐναντίαν ἔχων δόξαν· τὰ γὰρ ἐναντία τῶν πλεῖστον διαφερόντων περὶ τὸ αὐτό· εἰ οὖν ἐναντία μὲν τούτων ἡ ἑτέρα, ἐναντιωτέρα δὲ ἡ τῆς ἀποφάσεως, δῆλον ὅτι αὕτη ἂν εἴη ἐναντία.

Ἐν τούτῳ τῷ τρίτῳ ἐπιχειρήματι τὰ ἐναντία λαβὼν τοῦ αὐτοῦ κατηγορούμενα, οἷον τῶν ἀγαθῶν τινὸς αὐτό τε τοῦτο τὸ ἀγαθὸν καὶ τὸ κακόν, καταφατικῶς τε καὶ ἀποφατικῶς, ὡς διὰ ταῦτα τέτταρας γίνεσθαι προτάσεις, δύο μὲν ἀληθεῖς, τὴν 'τὸ ἀγαθὸν ἀγαθόν' λέγουσαν καὶ τὴν 'τὸ ἀγαθὸν οὐ κακόν', τὰς δὲ λοιπὰς ψευδεῖς, ἃς καὶ πρόκειται παραβαλεῖν πρὸς ἀλλήλας, τὴν 'τὸ ἀγαθὸν οὐκ ἀγαθόν' καὶ τὴν 'τὸ ἀγαθὸν κακόν', ἐκ τοῦ κατὰ τὰς ἀληθεῖς πειρᾶται συλλογίζεσθαι τὸ κατὰ τὰς ψευδεῖς· ἐπεὶ γάρ ἐστι τῶν ἀληθῶν, φησίν, ἡ μὲν καθ' αὑτὸ ἀληθὴς ἡ δὲ κατὰ συμβεβηκός, καθ' αὑτὸ μὲν ἡ λέγουσα 'τὸ ἀγαθὸν ἀγαθόν', κατὰ συμβεβηκὸς δὲ ἡ λέγουσα 'τὸ ἀγαθὸν οὐ κακόν', ὅτι οὐκ αὐτόθεν αὕτη τίθησι | τὸ ἀγαθόν, ἀλλ' ἀναιρεῖ μόνον τὸ ἀντικείμενον (κυριώτερον εἰπὼν 209r ἂν ὅτι ἐστὶ δι' ἄλλο ἀληθὴς ἤπερ ὅτι κατὰ συμβεβηκός, ἐπεὶ μὴ τῷ ἀναιρεῖν τὸ τυχὸν τῶν παρὰ τὸ ἀγαθὸν ἔχει τὸ ἀληθεύειν, ἀλλὰ παρὰ τὸ μάχεσθαι πρὸς τὸ ὡρισμένως αὐτῷ πολέμιον), μάχεται δὲ τῇ μὲν καθ' αὑτὸ ἀληθεῖ ἡ λέγουσα 'τὸ ἀγαθὸν οὐκ ἀγαθόν', τῇ δὲ κατὰ συμβεβηκός, ὡς αὐτός φησιν, ἀληθεῖ ἡ λέγουσα 'τὸ ἀγαθὸν κακόν', ἡ δὲ τὴν καθ' αὑτὸ ἀληθῆ ἀναιροῦσα καθ' αὑτὸ ψεύδεται καὶ ἡ τὴν κατὰ συμβεβηκὸς ἀληθῆ ἀναιροῦσα κατὰ συμβεβηκὸς ψεύδεται (καθ' αὑτὸ μὲν γὰρ ψεύδεται ἡ λέγουσα 'τὸ ἀγαθὸν οὐκ ἀγαθόν', κατὰ συμβεβηκὸς δὲ ἡ λέγουσα 'τὸ

---

1 post τυχ. add. λευκοῦ a ἀλλ' ἢ iter. A ἐκ—μέσον om. M 2 post μέλανος add. εἶναι A 3 εἰ οὖν] ἐν ῷ G καὶ (ante ἀγαθ.) om. F καὶ οὐ—ἐναντία (13) om. M καὶ (ante τὸ) om. A 4 συμβέβηκε—ἐναντία (13) om. a 5 μᾶλλον—ἐναντία (13) om. G 6 οὖν om. A 8 εἴη om. A 12 ἀντιφάσεως A 14 τοῦ αὐτοῦ λαβὼν colloc. A 15 τοῦτο] πάλιν FGa 15. 16 καὶ τὸ κακόν om. G 18. 19 παραβάλλειν FG 23 αὐτὴ AMa 24 εἴποιμ' M 25 ἤπερ] εἴπερ G: εἶπεν a τῷ] τὸ A 26 τὸ τυχὸν om. M alt. παρὰ] περὶ F 27 ὡρισμένον Ma μάχεται] μάχεσθαι F 28 οὐκ ἀγαθόν—ἀγαθὸν (29) om. A 30 ante καθ' add. καὶ M καὶ ἡ τὴν—ψεύδεται (31) om. FG 31 γὰρ ἄρα A

ἀγαθὸν κακόν'), ἡ δὲ καθ' αὑτὸ ψευδομένη μᾶλλον ψεύδεται τῆς κατὰ συμβεβηκός. ὥσπερ καὶ ἡ καθ' αὑτὸ ἀληθεύουσα μᾶλλόν ἐστιν ἀληθὴς τῆς κατὰ συμβεβηκός, ἅτε τὴν οὐσίαν αὐτὴν τοῦ πράγματος ἐκφαίνουσα. ἡ δὲ μᾶλλον ψευδὴς πλέον διέστηκεν ἀπὸ τῆς ἀληθοῦς ἤπερ ἡ ἧττον ψευδὴς καὶ διὰ τοῦτο μᾶλλον μάχεται πρὸς αὐτήν· μᾶλλον ἄρα μάχεται πρὸς τὴν ἀληθῆ κατάφασιν ἡ ἀπόφασις αὐτῆς ἤπερ ἡ τοῦ ἐναντίου κατάφασις, ὅπερ προέκειτο δεῖξαι.

Τούτων οὖν πάνυ δριμέως εἰλημμένων ἐκεῖνό φαμεν ἐπιστάσεως ἄξιον, ὅτι τὴν λέγουσαν 'τὸ ἀγαθὸν κακόν' ἀξιοῖ ψεύδεσθαι διὰ τὸ ἀναιρεῖν τὴν λέγουσαν 'τὸ ἀγαθὸν οὐ κακόν', καὶ διὰ τοῦτο κατὰ συμβεβηκὸς ψεύδεσθαι ὡς διὰ τὴν ἀναίρεσιν τῆς κατὰ συμβεβηκὸς ἀληθευούσης ψευδομένην· μᾶλλον γὰρ ῥητέον ὅτι διὰ τὸ ἀναιρεῖν τὴν λέγουσαν 'τὸ ἀγαθὸν κακόν' ἡ λέγουσα αὐτὸ οὐ κακὸν ἀληθής, οὐ μὴν διὰ τὸ ἀναιρεῖν τὴν λέγουσαν 'τὸ ἀγαθὸν οὐ κακόν' ἡ λέγουσα αὐτὸ κακὸν εἶναι ψευδής, ἀλλὰ καθ' αὑτὴν καὶ προηγουμένως· εἰ μὲν γὰρ περί τινος τῶν μέσων | καὶ 209v ἀδιαφόρων ἀπεφαίνοντο αἱ τοιαῦται προτάσεις, καθ' αὑτὸ μὲν ἦν ἂν ἀληθὴς ἡ λέγουσα αὐτὸ μὴ κακὸν εἶναι ἀπόφασις, ἐψεύδετο δὲ ἡ λέγουσα αὐτὸ κακὸν εἶναι κατάφασις διὰ τὸ ἀναιρεῖν τὴν εἰποῦσαν αὐτὸ μὴ κακόν. νῦν δὲ περὶ ἀγαθοῦ γινομένης τῆς ἀποφάσεως καθ' αὑτὴν δηλονότι καὶ δι' αὑτὴν ἀλλ' οὐ δι' ἄλλην ψεύδεται ἡ κακὸν εἶναι αὐτὸ ἀποφαινομένη, ὡς τὸ ἐναντίον αὐτῷ προφέρουσα. οὔτε ἄρα ἐναντιωτέρα ἐστὶν ἡ τῆς ἀποφάσεως οὔτε μᾶλλον διέψευσται ὁ ταύτην ἔχων τὴν δόξαν, ἀλλ' ὁ τὴν τῆς ἐναντίας καταφάσεως· ἡ μὲν γὰρ ἀπόφασις ἀναιρεῖ μόνον τὸ εἰλικρινῶς ὑπάρχειν τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ, ἡ δὲ κατάφασις πρὸς τῷ τοῦτο ποιεῖν ἔτι καὶ προσνέμει αὐτῷ τὸ ἐναντίον, καὶ διὰ τοῦτο οὔτε καθαρῶς οὔτε ἁμῇ γέ πῃ συγχωρεῖ αὐτὸ τῷ ὑποκειμένῳ ὑπάρχειν. οὕτω δὲ καὶ λέγειν εἰώθαμεν περὶ ἑκάστων, οὓς πλεῖστον ἐθέλομεν χωρίζειν τοῦ ἀγαθοῦ, ὅτι οὐ μόνον ἐστὶν οὐκ ἀγαθὸς ἢ οὐκ ἔστιν ἀγαθός, ἀλλὰ καὶ πάνυ κακός ἐστι. σαφέστατα δὲ καὶ τῆσδε τῆς ἐπιχειρήσεως κατατασκευάζειν πειρώμενης ὅτι μᾶλλον ἐναντίωται πρὸς τὴν ἐξ ἀρχῆς κατάφασιν ἡ ἀπόφασις ἤπερ ἡ τοῦ ἐναντίου κατάφασις καὶ μᾶλλον προσήκει τῇ ἀντιθέσει τῆς ἀντιφάσεως ὁ τῶν ἐναντίων ὁρισμὸς ἤπερ αὐτοῖς τοῖς ἐναντίοις, δῆλον ὅτι παντελῶς εὔηθες τὸ λέγειν ὡς οὐκ ἔστι τὸ προκείμενον ἐν τούτοις δεῖξαι τὴν ἀπόφασιν ἐναντιωτέραν τῆς ἐναντίας καταφάσεως, ἀλλὰ μᾶλλον ἀντικειμένην κατὰ τὴν ἔννοιαν τῶν ἁπλῶς ἀντικειμένων, οὐ τῶν ἐναντίων, καὶ

2 ἀληθεύουσα] ἀληθὴς A: λέγουσα F 3 ἐμφαίν. G 6 ἤπερ] εἴπερ G τοῦ ἐναντίου] ψευδὴς FGa 8 δριμ.] ἱδρυμένως A 9 ψεύδ. ἀξιοῖ colloc. A ἀξιοῖ — κακόν (10) om. F 10 καὶ om. G διὰ τοῦτο iter. G 16 ἀποφαίνοιντο a ἂν om. FGMa 17 ante prius αὐτὸ add. τὸ a ψεύδεται a 20 ψεύσεται G: om. M 21 αὐτῇ AM προσφέρ. Aa 23 εἰλικρινὲς M 25 προσνέμειν a οὔτε] οὐ F 26 ἀμιγὲς πῇ GMa οὐ συγχ. a αὐτῷ G 27 ἑκάστου, εἰ θέλομεν (πλεῖστον om.) a; an ἑκάστου, ὅν? 28 et 29 ἀγαθόν (utrobique) et κακόν FG 29. 30 πειρώμενος FGMa 31 ἢ A: εἴπερ G 32 εἴπερ G 33 τούτω FG 35 ἁπλῶν Ma οὐ τῶν ex ὄντων corr. G²

ὅτι τὸ ἀντικεῖσθαι αὐτὸ προσήκει τῇ ἀποφάσει μᾶλλον, ἅτε ἀναιρεῖν βουλο-
μένῃ τὴν κατάφασιν, ἥπερ τῇ ἐναντίᾳ καταφάσει οὐκ ἀναιρούσῃ ἀλλὰ
τιθείσῃ τι | παραπλησίως τῇ ἐξ ἀρχῆς καταφάσει, οὔτε τῶν ῥητῶν οὐδὲν 210r
τοιούτων ἐμφαινόντων, ἀλλὰ τίς ἡ μᾶλλον ψευδομένη καὶ μᾶλλον διεστῶσα
5 τῆς ἐξ ἀρχῆς καταφάσεως, οὔτε τῆς ζητήσεως οὐδένα λογισμὸν ἐχούσης·
οὔτε γὰρ ζητήσειεν ἄν τις πότερον ἀποφάσκει μᾶλλον ἡ ἀπόφασις ἥπερ ἡ 5
τοῦ ἐναντίου κατάφασις, οὔθ' ὅταν ζητῶμεν τίς ἀντίκειται μᾶλλον, ἄλλο
τι ζητοῦμεν ἢ τίς ἡ μᾶλλον διεστῶσα τῆς ἐξ ἀρχῆς, εἴπερ ἡ ἔννοια τῶν
ἀντικειμένων διάστασίν τινα καὶ μάχην ἐμφαίνει τῶν ἀντικεῖσθαι λεγομένων, 10
10 ἢ μαλακωτέραν ἢ συντονωτέραν. μείζων δὲ ἡ τῶν ἐναντίων εἰδῶν πρὸς
ἄλληλα διάστασις ἥπερ ἡ τοῦ μὴ ὄντος πρὸς τὸ ὂν καθ' ἕκαστον εἶδος·
ἐν πέρασι γὰρ καὶ ὅροις ἡ μεγίστη διάστασις, οὐ μὴν τοῦ μὴ πέρατος
πρὸς τὸ πέρας· καὶ γὰρ ὅλως τὰ μὴ ὁμογενῆ, ὅπερ ἐν τῇ Μετὰ τὰ 15
φυσικὰ λέγεται, οὐδὲ συμβλητά ἐστι πρὸς ἄλληλα, οἷον τὸ λευκὸν πρὸς
15 ἄνθρωπον ἢ τὸ θερμόν, οὐδ' ἔτι μᾶλλον πρὸς τὸ μὴ ὄν. ὥστε τῶν ὑπὸ τοῦ
οὐ λευκοῦ σημαινομένων πρὸς μόνα τὰ ὁμογενῆ συμβλητόν ἐστι τὸ λευκόν.
τῶν δὲ ὁμογενῶν ἐν τοῖς ἐναντίοις προφανῶς ἡ μεγίστη διάστασις. εἰ δὲ 20
λέγοι τις χρῆναι τὸ μὴ ὂν ἀντικεῖσθαι πρὸς τὸ ὂν μᾶλλον ἥπερ ὂν πρὸς
ὄν, ἐφιστανέτω ὅτι τῶν ὄντων, ᾗ ἁπλῶς ὄντα, οὐδὲ ἔστιν ἀντίθεσίς τις
20 πρὸς ἄλληλα, καθάπερ οὐδὲ τῶν χρωμάτων ᾗ χρώματα, ὡς ἐν Φιλήβῳ
λέγεται, καὶ διὰ τοῦτο μόνον μάχεται, εἰ καὶ ἀορίστως, τῷ ὄντι τὸ μὴ 25
ὄν, οὐ τὸ μηδαμῶς ὄν, εἴπερ ἄρρητον ἐκεῖνο καὶ ἀδόξαστον, ἀλλ', ὡς ἐν
τῷ Σοφιστῇ δέδεικται, τὸ κατὰ τὴν ἑτερότητα μὴ ὄν, οὐδὲ τοῦτο κατὰ
ἀλήθειαν αὐτῷ μαχόμενον· πῶς γὰρ τὸ μηδὲ συμπλέκεσθαι πρὸς αὐτὸ
25 παραιτούμενον, μᾶλλον δὲ πάντως περὶ αὐτὸ θεωρούμενον, ὡς ὅταν |
λέγωμεν τὸ ὂν ἁπλῶς μὴ εἶναι ὅπερ τὴν κίνησιν ἢ ὅπερ τὴν στάσιν ἢ 210v
ὅπερ ἄλλο τι τῶν παρ' αὐτὸ εἰδῶν, κἀκείνων ὁμοίως ἕκαστον μὴ εἶναι
μὲν ὅπερ ἐστὶ τὸ ἁπλῶς ὄν, διὰ δὲ τὴν ἐκείνου μετουσίαν ἐγκαταλέγεσθαι
τῷ χορῷ τῶν ὄντων, ἀλλὰ τὴν κεκερματισμένην ἐν πᾶσι τοῖς οὖσι δύνα- 5
30 μιν τῆς ἑτερότητος σημαῖνον; ὅλως δὲ νῦν ἡμῖν ὁ λόγος οὐ περὶ τῆς
ἑτερότητος τοῦ ἁπλῶς μὴ ὄντος πρὸς τὸ ἁπλῶς ὄν, ᾧ μήτε ἐστὶν
ἐναντίον μήτε πέφυκεν ἄλλο τι κατ' αὐτοῦ κατηγορεῖσθαι τῶν ἐναν-
τίωσιν ἐχόντων, ἀλλὰ περὶ τῆς ὑπαρχούσης ἐν τοῖς κατὰ μέρος οὖσιν 10

---

1 αὐτὸ τὸ ἀντικ. colloc. a αὐτῷ M μᾶλλον τῇ ἀποφ. colloc. A_1 2. 6. 11 εἴπερ G
2 οὐκ ἀναιρούσῃ om. A 3 τι om. Aa 4 τοιούτων G 6 πρότερον M
7 ζητήσωμεν A 8 τῆς] τε M 10 συντομωτ. FGMa 11 πρὸς] εἰς F ὂν]
ἑνὶ A 13 ὅλως] ἄλλως AMa 13. 14 ἐν τῇ Μετὰ τὰ φυσ.] I 4 p. 1055a 6 14 λέ-
γεται] φαίνεται A^1 15 an μᾶλλον ⟨τὸ ὂν⟩? 16 οὐ om. AM: del. G^2 17 ἐν
τοῖς om. A: πρὸς τοῖς M προφανὴς A 18 εἴπερ AG 19 ὄν] τὸ
ὂν Ma 20 ἐν Φιλήβῳ] p. 12 E 21 διὰ] οἷα a 22 οὐ τὸ] αὐτὸ A
ante ἄρρ. add. τὸ F 22. 23 ἐν τῷ Σοφιστῇ] p. 257 B 25 ὥστε FG 26 μὴ
om. FG 28 ἐστὶ om. FGa μετουσ.] οὐσ. A 29 κατακεκερ. (κατα add.
m^2) G 30 ὅλος A 31 ὄντως A 32. 33 ante ἐναντίωσιν add. ἐναντίων
FGMa ἐχ. ἐναντ. colloc. Ma

ἀντιθέσεως τῶν τε ἐναντίων καὶ τῶν ἀορίστων ὀνομάτων ἢ ῥημάτων πρὸς τὰ ὡρισμένα· τῶν γὰρ ἁπλῶν φωνῶν τὰς λεγομένας μετὰ τῆς ἀρνήσεως ἀόριστα ὀνόματα καὶ ἀόριστα ῥήματα προσαγορεύομεν διὰ τὸ ἀληθῶς ἐφ' ὁτουοῦν κατηγορεῖσθαι τῶν τε ὄντων καὶ τῶν μὴ ὄντων παρὰ μόνον τὸ ὑπὸ τοῦ ὡρισμένου δηλούμενον. διόπερ ἀνάγκη καὶ ἐπὶ τῶν ἀποφατικῶν λόγων τὰ παραπλήσια συμβαίνειν. ἀλλὰ ταῦτα μὲν οὐδὲ μνήμης ἄξια τὰ ληρημάτια. ἐπὶ δὲ τὰ ἑξῆς ἴωμεν.

p. 23b25 Ἡ δὲ τοῦ ὅτι κακὸν τὸ ἀγαθὸν συμπεπλεγμένη ἐστί· καὶ γὰρ ὅτι οὐκ ἀγαθὸν ἀνάγκη ἴσως ὑπολαμβάνειν τὸν αὐτόν.

Ἡ τετάρτη ἐπιχείρησις διὰ βραχέων εἰρημένη τοιαύτην ἔχει διάνοιαν. ἁπλῆ, φησίν, ἐστὶ δόξα καθ' ἣν οὐκ ἀναγκαζόμεθα ἕτερόν τι προσεπινοεῖν, οὐχ ἁπλῆ δὲ καθ' ἣν ἀνάγκη καὶ ἕτερόν τι δοξάζειν. οὐκοῦν ἔσται ἁπλῆ μὲν δόξα ἡ τὸ ἀγαθὸν ἀγαθὸν εἶναι ἀποφαινομένη, καθάπερ καὶ ἡ δοξάζουσα αὐτὸ μὴ εἶναι ἀγαθόν (οὐ γὰρ ἀνάγκη καθ' ὁποτερανοῦν αὐτῶν ἑτέραν τινὰ εἰσάγεσθαι δόξαν), οὐχ ἁπλῆ δὲ ἡ τὸ ἀγαθὸν κακὸν εἶναι δοξάζουσα· ταύτῃ | γὰρ ἀνάγκη καὶ ἑτέραν συνεισφέρεσθαι δόξαν, τὴν λέγουσαν αὐτὸ 211r μὴ εἶναι ἀγαθόν. εἰ τοίνυν χρὴ τῇ ἁπλῇ δόξῃ τὴν ἁπλῆν ἀντιτιθέναι καὶ μὴ τὴν συμπεπλεγμένην, τὴν ἄρα ἀπόφασιν ἀντικεῖσθαι τῇ καταφάσει φήσομεν, ἀλλ' οὐχὶ τὴν τοῦ ἐναντίου κατάφασιν. λύσομεν δὲ καὶ ταῦτα λέγοντες ὅτι δι' αὐτὸ τοῦτο πλεῖστον διέστηκε τῆς τὸ ἀγαθὸν ἀγαθὸν λεγούσης ἡ λέγουσα αὐτὸ εἶναι κακόν, ὅτι διὰ τοῦ οὐκ ἀγαθὸν ὁδεύσασα κατήντησεν ἐπὶ τὸ ἔσχατον· πρώτη γὰρ ἔξοδος ἀπὸ τοῦ ἀγαθοῦ τὸ οὐκ ἀγαθόν, ἐσχάτη δὲ ἀπόπτωσις τὸ κακόν. ὥστε ἡ τοῦτο καταφάσκουσα μᾶλλον ἠναντίωται, ἅτε καὶ τὴν ἀπόφασιν τοῦ ἀγαθοῦ περιέχουσα. μήποτε δὲ καὶ ἡ ἀπόφασις τοῦ ἀγαθοῦ συμπέπλεκται· πᾶσα γὰρ ἀνάγκη τὸ οὐκ ἀγαθόν, εἰ ἐπὶ τῶν ὄντων τάττοιτο, καὶ ἄλλο τι εἶναι, ἀλλ' ἀόριστον. ὥστε οὐδὲ ταύτῃ ἐναντίον ἂν εἴη· ἓν γὰρ ἑνὶ ἐναντίον καὶ ὡρισμένον ὡρισμένῳ. τὸ δὲ ἴσως ἤτοι ἀντὶ τοῦ ὁμοίως πρόσκειται (τῆς γὰρ αὐτῆς ἐστι διανοίας τὸ ἀγαθὸν κακόν τε καὶ οὐκ ἀγαθὸν λέγειν) ἢ ἔνδειξιν ἔχει τοῦ ταύτην τὴν ἐπιχείρησιν πιθανὴν μὲν εἶναι, οὐ μὴν ἀναγκαίαν· πρῶτον μὲν ὅτι τῶν ἐναντίων ἑκάτερον αὐτὸ καθ' αὑτὸ θεωρούμενον ἁπλοῦν εἶδος εἶναι ἐθέλει, ἔπειτα ὅτι εἰ λέγοιμεν τὴν 'τὸ ἀγαθὸν κακόν' συμπεπλέχθαι διὰ τὸ εἰσάγειν τὸ οὐκ ἀγαθόν, ἔσται καὶ ἡ 'τὸ ἀγαθὸν ἀγαθόν'

---

1 ἀντιθέσεων F τε om. FG 2 ἁπλῶς AFG 3 προσηγορ. FG 4 περὶ M 5. 6 ἀποφαντ. A 6 σημαίνειν A 7 ἴσως ἄξια FGa ληρήματα M 8 post τοῦ add. κειμένου G ἔσται G 9 καὶ—αὐτόν om. M 10 διάνοιαν] τὴν δύναμιν M 12 ἐστιν a 13 alt. ἀγαθὸν om. M εἶναι om. A καὶ om. a 15 ἐσάγ. A 16 γὰρ] δὲ A 20 ἀγαθὸν οὐκ ἀγ. a 21 τοῦ] τὸ a ὁδεύουσα A 25 ἀνάγκη superscr. A 28 πρόκειται G¹a 29 ἐστι om. A 32 εἶναι εἶδος colloc. A ἐθέλοι G τὴν om. AFG 33 τὸ ἀγ. ἀγ.] alt. ἀγαθόν om. Ma

συμπεπλεγμένη ὡς εἰσάγουσα τὸ μὴ κακόν. εἰ δὲ μή ἐστι μία τῶν παραβαλλομένων πρὸς ἀλλήλας προτάσεων ἡ λέγουσα 'τὸ ἀγαθὸν μὴ κακόν', οὐδὲν πρὸς ἔπος· τὸ γὰρ ἁπλοῦν καὶ τὸ σύνθετον οὐ κατὰ τὴν σχέσιν τὴν πρός τινας ὡρισμένας προτάσεις σκοποῦμεν, ἀλλὰ πρὸς τὴν οἰκείαν ἑκάστης δύναμιν.

p. 23b27 Ἔτι δὲ εἰ καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως δεῖ ἔχειν, καὶ ταύτῃ | ἂν δόξειε καλῶς εἰρῆσθαι· ἢ γὰρ πανταχοῦ τὸ τῆς 211v ἀντιφάσεως ἢ οὐδαμοῦ· ὅσοις δὲ μή ἐστιν ἐναντία, περὶ τούτων ἔστι μὲν ψευδὴς ἡ τῇ ἀληθεῖ ἀντικειμένη, οἷον ὁ τὸν ἄνθρωπον μὴ ἄνθρωπον οἰόμενος διέψευσται. εἰ οὖν αὗται ἐναντίαι, καὶ αἱ ἄλλαι αἱ τῆς ἀντιφάσεως.

Σαφὴς μὲν ἡ ταύτης τῆς πέμπτης ἐπιχειρήσεως διάνοιά τε καὶ λέξις, ἀξιοῦσα ἡμᾶς προσέχειν ποτέρα τῶν παραβαλλομένων πρὸς ἀλλήλας προτάσεων χρήσιμος ἂν εἴη πρὸς τὸ δι' ἑνὸς καθόλου κανόνος πάσῃ τῇ προτεθείσῃ καταφάσει πρότασίν τινα μαχομένην εὑρεῖν καὶ φάσκειν ταύτην εἶναι τὴν κυρίως αὐτῇ ἀντιτιθεμένην, καὶ διὰ ταῦτα κρατεῖν ἀποφαινομένη τὴν τῆς ἀντιφάσεως μάχην· ἀπόφασιν μὲν γὰρ πάσης καταφάσεως ῥᾴδιον εὑρεῖν, ὁποῖον ἂν ᾖ τὸ ἐν τῇ καταφάσει κατηγορούμενον, τοῦ δὲ ἐναντίου κατάφασιν ἀδύνατον λαβεῖν, εἰ μὴ τύχοι τὸ κατηγορηθὲν ἐν τῇ καταφάσει ἐναντίον ἔχον· τῇ γὰρ 'Σωκράτης ἄνθρωπός ἐστι' ποία ἂν μάχοιτο ἐναντία κατάφασις, καίτοι ἡ 'Σωκράτης ἄνθρωπος οὐκ ἔστιν' ἀπόφασις ψευδομένη μάχεται πρὸς αὐτὴν ἀληθεύουσαν; ὥσπερ οὖν ἐπὶ τούτων μόνην τὴν ἀπόφασιν τῇ καταφάσει μάχεσθαι ὁμολογοῦμεν, οὕτω καὶ ἐπὶ τῶν ἄλλων, ἐν οἷς δυνατὸν τοῦ ἐναντίου κατάφασιν εὑρεῖν, τὴν ἀπόφασιν εἶναι ἀξιοῖ τὴν μάλιστα μαχομένην. λεκτέον δὲ ὅτι ἐφ' ὧν μὲν ἀποροῦμεν τῆς τοῦ ἐναντίου ἀντιθέσεως, καὶ μόνην ἀγαπῶμεν τὴν τῆς στερήσεώς τε καὶ ἀποφάσεως ἀντίθεσιν, ἐφ' ὧν δὲ καὶ ἐναντίον δυνατὸν εὑρεῖν, ἐπὶ τούτων πλέον ἀπ' ἀλλήλων διεστάναι φαμὲν τὰς ἐναντίας καταφάσεις ἤπερ τὴν ἀπόφασιν τῆς καταφάσεως. εἴρηται δὲ ἡμῖν ἐξ ἀρχῆς ὅτι ἔοικεν ὁ | νῦν λεγόμενος λόγος διὰ τὸ κοινὸν τοῦτο καὶ ἐπὶ πάντα ἐκτεινόμενον 212r οὕτως ἐγκωμιάζειν τὴν ἀντίθεσιν τῆς ἀντιφάσεως, ὡς οὐ κατὰ τὸ ποσὸν μόνον τῶν περιεχομένων ὑπ' αὐτῆς πραγμάτων ἀλλὰ καὶ κατὰ τὸ σφοδρὸν τῆς ἀντιθέσεως τῶν ἄλλων ὑπερέχουσαν.

---

2 πρὸς ἀλλ.] ἀλλήλαις FG τὸ ἀγαθὸν om. AMa 6. 7 καὶ ταύτῃ — ἀντιφάσεως (11) om. M 7 ἢ — ἀντιφάσεως (11) om. a 9 ὁ om. FG 10 μὴ] οὐκ b οἰόμ. ἄνθρ. colloc. FG 12 ἀσαφὴς AF¹M δευτέρας A 14 κανόνος om. G 15 καὶ φάσκ.] καταφάσκειν M 16 ἀποφαινομένην GMa: ἐπιφαινομένη F¹ 17 post πάσης add. τῆς A 18 εἴη FGMa 19 ἐν om. a 20 ἐναντίως a ἔχων A 22 ἀληθεύουσα AG ἐπὶ om. M 24 μὴ δυνατὸν a εἶναι] ἦν G 26 τῆς (ante στερ.) om. M 27 ἐναντίου FMa: compend. G εὑρεῖν] εὐπορεῖν AMa 29 εἴρηται] p. 253,3 32 post μόνον add. καὶ G 33 ὑπερέχουσα AF¹G

p. 23b32 Ἔτι ὁμοίως ἔχει ἡ τοῦ ἀγαθοῦ ὅτι ἀγαθὸν καὶ ἡ τοῦ μὴ ἀγαθοῦ ὅτι οὐκ ἀγαθόν, καὶ πρὸς ταύταις ἡ τοῦ ἀγαθοῦ ὅτι οὐκ ἀγαθὸν καὶ ἡ τοῦ μὴ ἀγαθοῦ ὅτι ἀγαθόν. τῇ οὖν τοῦ μὴ ἀγαθοῦ ὅτι οὐκ ἀγαθὸν ἀληθεῖ οὔσῃ δόξῃ τίς ἂν εἴη ἐναν-
5 τία; οὐ γὰρ δὴ ἡ λέγουσα ὅτι κακόν (ἅμα γὰρ ἄν ποτε εἴη 10
ἀληθής, οὐδέποτε δὲ ἀληθὴς ἀληθεῖ ἐναντία· ἔστι γάρ τι μὴ ἀγαθὸν κακόν, ὥστε ἐνδέχεται ἅμα ἀληθεῖς εἶναι), οὐδ' αὖ ἡ ὅτι οὐ κακόν (ἀληθὴς γὰρ αὕτη· ἅμα γὰρ καὶ ταῦτα ἂν εἴη)· λείπεται οὖν τῇ τοῦ μὴ ἀγαθοῦ ὅτι οὐκ ἀγαθὸν ἐναντία ἡ τοῦ 15
10 μὴ ἀγαθοῦ ὅτι ἀγαθόν· ψευδὴς γὰρ αὕτη. ὥστε καὶ ἡ τοῦ ἀγαθοῦ ὅτι οὐκ ἀγαθὸν τῇ τοῦ ἀγαθοῦ ὅτι ἀγαθόν.

Ἔσχατόν ἐστι τοῦτο καὶ δυσαντιβλεπτότατον τῶν πρὸς τὸ πρόβλημα ἐπιχειρημάτων, ὃ κατὰ τόνδε προάγεται τὸν τρόπον. δύο λαμβάνει τοῦ 20
ἀγαθοῦ ἀντιφάσεις. τὴν μὲν ὡρισμένῳ τὴν δὲ ἀορίστῳ χρωμένην τῷ ὑποκει-
15 μένῳ, 'τὸ ἀγαθὸν ἀγαθόν — τὸ ἀγαθὸν οὐκ ἀγαθόν, τὸ μὴ ἀγαθὸν ἀγαθόν — τὸ μὴ ἀγαθὸν οὐκ ἀγαθόν', καὶ ἀξιοῖ ὡς ἔχει ἡ ἀληθὴς ἀπόφασις πρὸς τὴν ἀντικειμένην αὐτῇ ψευδῆ κατάφασιν, οὕτως ἔχειν τὴν ἀληθῆ κατάφασιν 25
πρὸς τὴν ἀντικειμένην αὐτῇ ψευδῆ ἀπόφασιν, τοῦτ' ἔστιν ὡς ἡ 'τὸ μὴ ἀγαθὸν οὐκ ἀγαθόν' πρὸς τὴν 'τὸ μὴ ἀγαθὸν ἀγαθόν', οὕτως τὴν 'τὸ
20 ἀγαθὸν ἀγαθόν' πρὸς τὴν 'τὸ ἀγαθὸν οὐκ ἀγαθόν'. εἶτα παραβαλὼν τὴν ἀληθῆ | ἀπόφασιν πρὸς ἄμφω τὰς προτάσεις τῆς ἀντιφάσεως τῆς τὸ 212v
κακὸν κατηγορούσης κατὰ τοῦ αὐτοῦ ὑποκειμένου, τοῦτ' ἔστι τοῦ μὴ ἀγαθοῦ, τὴν 'τὸ οὐκ ἀγαθὸν κακόν' καὶ 'τὸ οὐκ ἀγαθὸν οὐ κακόν' δείκνυσιν αὐτὴν πρὸς οὐδετέραν αὐτῶν ἐναντίαν οὖσαν· συνᾴδει γὰρ τῇ μὲν 5
25 λεγούσῃ 'τὸ οὐκ ἀγαθὸν κακόν' ἐπὶ τῆς μοχθηρᾶς ἕξεως, τῇ δὲ λεγούσῃ 'τὸ οὐκ ἀγαθὸν οὐ κακόν' ἐπί τε τῆς μέσης καὶ τῶν μηδετέρου τῶν ἄκρων πεφυκότων μετέχειν, οἷον λίθου ἢ ξύλου· ἐπὶ τούτων γὰρ τό τε μὴ ἀγαθὸν καὶ τὸ μὴ κακὸν ἀληθές. τὰς δὲ συνᾳδούσας ἀδύνατον ἐναν- 10
τίας εἶναι, καθάπερ οὐδὲ τὰς ἐναντίας οἷόν τε συναληθεύειν, ὡς ἔκ τε

1 ἡ τοῦ ἀγ. — ταύταις (2) om. G ἀγαθὸν — ἀγαθόν (11) om. M alt. ἡ om. A
3 τῇ — ἀγαθόν (11) om. a 4 μὴ om. A ἀληθευούσῃ G ἂν εἴη] ἔστιν FG 5 ἅμα — ἀγαθόν (11) om. G 5. 6 εἶεν ἀληθεῖς A¹F 7. 8 οὐδ' αὖ ἡ om. F 8 ante αὕτη add. καὶ Ab (cf. p. 267,26) post alt. γὰρ add. ἀληθῆ F 9 δὴ οὖν A οὐκ om. A ἐναντ. εἶναι A 10 γὰρ evan. A
11 post prius ἀγαθὸν add. εἴη ἂν ἐναντία F 12 οὐ δυσαντιβλεπτότερον Fa; an δυσαντιλεκτότατον? 13 προσάγ. a 14 ὡρισμένην F ἀόριστον F 15 οὐκ ἀγαθόν om. F 16 τὸ μὴ ἀγ. οὐκ ἀγ. om. F ἔχοι G ἀληθὴς] ἄλλη F 17 prius τὴν om. A αὐτῇ om. M 18 πρὸς] καὶ A ἀπόφ.] ἀντίφασιν Fa 20 παραβάλλων GM 22 κακὸν] ἐναντίον κατηγορούμενον G
22. 23 τὸ μὴ ἀγαθοῦ A: τὸ μὴ ἀγαθόν Fa 23 ante τὴν add. καὶ Fa οὐκ (alt.) om. M 24 εἰ συνάδ. γὰρ Fa 25 τὸ κακὸν οὐκ ἀγ. colloc. M ἐπὶ — κακόν (26) om. M 26 οὐ (ante κακόν) om. A οὐδετέρου A 28 μὴ κακ.] οὐ κακὸν a ἀληθές] ἀληθεύσει A 29 εἶναι — ἐναντίας om. G

τῆς ἐναργείας δῆλον καὶ αὐτὸς κατασκευάσει πρὸς αὐτῷ τῷ πέρατι τῆς προκειμένης πραγματείας. εἰ τοίνυν τῇ τὸ μὴ ἀγαθὸν οὐκ εἶναι ἀγαθὸν ἀληθῶς λεγούσῃ δόξῃ οὔτε ἡ λέγουσα 'τὸ οὐκ ἀγαθὸν κακόν' ἐναντία οὔτε ἡ λέγουσα 'τὸ οὐκ ἀγαθὸν οὐ κακόν', ἀλλὰ μόνη ἡ ἀντιφάσκουσα πρὸς αὐτὴν ἡ λέγουσα 'τὸ μὴ ἀγαθὸν ἀγαθόν', καὶ τῇ λεγούσῃ ἄρα ὅτι τὸ ἀγαθὸν ἀγαθὸν καταφάσει οὐ μάχεται μὲν οὔτε ἡ λέγουσα 'τὸ ἀγαθὸν κακόν' οὔτε ἡ λέγουσα 'τὸ ἀγαθὸν οὐ κακόν', μόνη δὲ καὶ ταύτῃ ἐναντία ἔσται ἡ ἀντιφάσκουσα πρὸς αὐτὴν ἡ λέγουσα 'τὸ ἀγαθὸν οὐκ ἀγαθόν'. τοῦτο δὲ ἦν ὅπερ προέκειτο δεῖξαι. ῥητέον μέντοι καὶ πρὸς ταύτην τὴν ἐπιχείρησιν ὅτι τῇ μὲν λεγούσῃ 'τὸ μὴ ἀγαθὸν οὐκ ἀγαθόν' ἀποφάσει οὔσῃ καὶ διὰ τοῦτο τὸν κατηγορούμενον ἀόριστον ἐχούσῃ κατ' ἀντίφασιν μὲν μαχομένην πρότασιν εὑρεῖν εὐπετές, ἐναντίον δέ τι καταφάσκουσαν εὑρεῖν ἀδύνατον· οὐ γάρ ἐστι τῷ ἀορίστῳ ἐναντίον οὐδέν, εἴπερ τὰ ἐναντία εἴδη χρὴ εἶναι τὴν πλείστην ἀλλήλων διάστα|σιν ἀφεστηκότα, στερήσεις 213ʳ δέ τινες καὶ οὐκ εἴδη τὸ οὐκ ἀγαθὸν καὶ οὐ λευκόν. μὴ οὔσης οὖν τῆς τὸ ἐναντίον αὐτῇ καταφῆσαι δυναμένης τὴν ἀντιφατικῶς αὐτῇ μαχομένην ἠγαπήσαμεν ἀντιθεῖναι. τῇ μέντοι 'τὸ ἀγαθὸν ἀγαθόν' φασκούσῃ οὐ μόνον ἡ ἀπόφασις αὐτῆς μάχεται, ἀλλὰ καὶ ἡ τοῦ ἐναντίου κατάφασις, ἐπεὶ καὶ αὐτῷ τῷ ἀγαθῷ καὶ τῷ λευκῷ τὸ μὲν οὐκ ἀγαθὸν καὶ οὐ λευκὸν ὡς στερήσεις ἕξεσι μάχονται, τὸ δὲ κακὸν καὶ τὸ μέλαν ὡς ἐναντία. οὐκ ἄρα κατὰ πάντα ὁμοίως ἔχει ἡ 'τὸ μὴ ἀγαθὸν οὐκ ἀγαθόν' πρὸς τὴν 'τὸ μὴ ἀγαθὸν ἀγαθόν' καὶ ἡ 'τὸ ἀγαθὸν ἀγαθόν' πρὸς τὴν 'τὸ ἀγαθὸν οὐκ ἀγαθόν', εἴπερ τῇ μὲν 'τὸ μὴ ἀγαθὸν οὐκ ἀγαθόν' μόνη μάχεται ἡ κατάφασις αὐτῆς, αἱ δὲ λοιπαὶ δύνανται συναληθεύειν, τῇ δὲ 'τὸ ἀγαθὸν ἀγαθόν' τὴν 'τὸ ἀγαθὸν κακόν' συναληθεύειν ἀμήχανον.

Φανερὰ δὲ ἡ ῥῆσις ἐκ τῶν εἰρημένων, πλὴν ὅτι ἀντὶ τοῦ ἀληθὴς γὰρ αὕτη γράφεσθαί φησιν ὁ Ἀλέξανδρος καὶ 'οὐκ ἀληθὴς γὰρ αὕτη'. καὶ εἰ μὲν τὸ 'ἀληθὴς γὰρ αὕτη' γράφοιτο, λέγοι ἂν περὶ τῆς 'τὸ μὴ ἀγαθὸν οὐκ ἀγαθόν', εἰ δὲ τὸ 'οὐκ ἀληθὴς γὰρ αὕτη', περὶ τῆς 'τὸ οὐκ ἀγαθὸν ἀγαθόν', ἣν καὶ ψευδῆ εἶναι προεῖπε, ταὐτὸν λέγων τῷ 'οὐδέποτε γὰρ ἀληθὴς αὕτη'. δῆλον δὲ ὅτι ἀμείνων ἡ προτέρα γραφή.

1 ἐναργείας scripsi: ἐναργείας libri 2 εἰ om. F (τῇ τοίνυν colloc.) 4 οὐκ (post τὸ)] μὴ A: om. M 6. 7 ἡ λέγουσα τὸ οὐκ (sed οὐκ del.) ἀγαθὸν οὐ κακὸν οὔτε ἡ (λέγουσα om.) τὸ ἀγ. κακόν G 7 ante οὐ κακόν add. οὐκ ἀγαθόν F ταύτῃ] αὕτη G 8 ἡ ἀντιφάσκ.] καταφάσκ. (ἡ om.) G 10 post λεγούσῃ iter. πρὸς αὐτὴν (sic) τὴν ἐπιχείρησιν A καὶ τὸ μὴ a τὸ μὴ—ἀποφάσει om. A 11 τῶν κατηγορουμένων A κατ' ἀντίφ.—καταφάσκουσαν (12) om. G (κατ' ἐναντίωσιν μὲν μαχομένην πρότασιν suppl. G²) 14 διάστ. ἀλλ. colloc. G διάστ.] διεστήκασιν F 15 μὴ—λευκόν (20) om. A 16 τὸ om. M prius αὐτῇ om. G αὐτὴν (alt. l.) F 17 τῆς . . φασκούσης F μέντοι] μὲν G 18 αὐτῇ M καὶ om. F 20 αἱ στερ. G ἐναντίαι A 22 ἡ om. F 27 οὐκ om. A 29 ἀληθὲς A 30 τῷ] τὸ G

p. 24a3 Φανερὸν δὲ καὶ ὅτι οὐδὲν διοίσει, οὐδ' ἂν καθόλου τιθῶμεν τὴν κατάφασιν· ἡ γὰρ καθόλου ἀπόφασις ἐναντία ἔσται, οἷον τῇ δόξῃ τῇ δοξαζούσῃ ὅτι πᾶν ὃ ἂν ᾖ ἀγαθὸν ἀγαθὸν ἢ ὅτι οὐδὲν τῶν ἀγαθῶν ἀγαθόν· ἡ γὰρ τοῦ ἀγαθοῦ ὅτι ἀγαθόν, εἰ καθόλου τὸ ἀγαθόν, ἡ αὐτή ἐστι τῇ ὅτι ⟨ὃ⟩ ἂν ᾖ ἀγαθὸν δοξαζούσῃ ὅτι ἀγαθόν. τοῦτο δὲ οὐδὲν διαφέρει τοῦ ὅτι πᾶν ὃ ἂν ᾖ ἀγαθὸν ἀγαθόν ἐστιν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ μὴ ἀγαθοῦ. |

Ὑποσχόμενος ἐξ ἀρχῆς ποιήσασθαι τὴν ἐπίσκεψιν τοῦ προτε- 213v
θέντος προβλήματος ἐπί τε τῶν καθ' ἕκαστα καὶ τῶν καθόλου προτάσεων, εἶτα ἐν μηδενὶ τῶν ἐπιχειρημάτων παραλαβὼν πρότασιν τῶν καθόλου τινὰ προσδιορισμῶν ἔχουσαν ἀλλὰ τὰ ἄρθρα ἀντὶ τούτων, ὡς διὰ τοῦτο δοκεῖν ἐπὶ μόνων τῶν ἀπροσδιορίστων προτάσεων γεγυμνάσθαι τὸν λόγον, προστίθησι διὰ τούτων ὅτι τὰ ἑνικὰ τῶν ἄρθρων συνταττόμενα τοῖς καθόλου ὑποκειμένοις ἐν ταῖς προτάσεσι τὴν δύναμιν ἔχουσι τοῦ καθόλου προσδιορισμοῦ τοῦ καταφατικοῦ· οὐ γάρ, ὥσπερ ἀξιοῦσί τινες, ἐπὶ ἀπροσδιορίστων προτάσεων ἐγίνετο πρότερον ὁ λόγος, νῦν δὲ δείκνυται ὅτι καὶ ἐπὶ τῶν καθόλου τὰ αὐτὰ λέγειν ἁρμόσει· ὅλως γὰρ οὐδὲ ἔστιν ἀκόλουθον ταῖς περὶ τῶν ἀπροσδιορίστων προτάσεων τοῦ Ἀριστοτέλους ἐννοίαις τὸ λέγειν ὅτι ἐναντία ἐστὶν ἐπ' αὐτῶν τῇ καταφάσει ἡ ἀπόφασις μᾶλλον ἤπερ ἡ τοῦ ἐναντίου κατάφασις, ὥσπερ οὐδὲ ἐπὶ τῶν κατὰ μέρος, εἴπερ καὶ τὰς ἀπροσδιορίστους παραπλησίως ταῖς κατὰ μέρος συναληθεύειν ἀλλήλαις ἀξιοῖ, ἀληθῆ δὲ ἀληθεῖ (τοῦτο δὴ τὸ παρ' αὐτοῦ πρὸς τῷ πέρατι τοῦ βιβλίου ῥηθησόμενον) οὐκ ἐνδέχεται ἐναντίαν εἶναι οὔτε δόξαν οὔτε ἀντίφασιν. διὸ καὶ ἔοικεν ἐξ ἀρχῆς ἐπὶ μόνων τῶν καθ' ἕκαστα καὶ τῶν καθόλου ὡς καθόλου προτάσεων προβάλλεσθαι τὴν περὶ τοῦ θεωρήματος σκέψιν, ὧν αἱ μὲν ἀντιφάσκουσι πρὸς ἀλλήλας αἱ δὲ συμψευδόμεναι δι' αὐτὸ τοῦτο ἐναντίαι προσαγορεύονται. ὀλίγον δὲ ὕστερον μνημονεύσει καὶ τῆς ἀντιφατικῆς τῶν καθόλου πρὸς τὰς κατὰ μέρος ἀντιθέσεως. οὐδαμοῦ μέντοι ποιήσεται μνείαν ἢ τῶν ἀπροσδιορίστων ἢ τῶν κατὰ μέρος ὡς ἐχουσῶν τινα πρὸς ἀλλήλας ἐναντίωσιν.

---

1 καὶ om. Mab 2 ἡ—ἀγαθοῦ (8) om. M ἐναντίον G 3 οἷον—ἀγαθοῦ (8) om. Ga 4 ἀγαθὸν ἡ—ἀγαθόν om. F post prius ἀγαθόν add. ἐστιν b 5 εἰ] ἢ F τῇ om. F ὃ om. AF 7 ὃ] ὅτι A 9. 10 προτεθέντος om. A 11 περιλαβὼν F: περιβαλὼν a 11. 12 τινα τῶν καθ. colloc. A 12 προσδιορισμὸν G 12. 13 διὰ τούτων A 14 προτιθ. GM 15 ἐν ταῖς] τοῖς ἐνταῦθα A: ταῖς ἐνταῦθα M 16 ὅπερ M 17 τῶν ἀπροσδ. M ἐγένετο A 18. 19 γὰρ οὐδείς ἐστιν ἀκολουθῶν G 20 ὅτι om. G 23 ἀξιοῖ, ἀληθῆ δὲ om. M ἀληθεῖ δὲ ἀληθῆ colloc. G ἀληθεῖ in mrg. suppl. F 23. 24 πρὸς τῷ πέρατι] p. 24b6 24 ἐνδέχεται om. A 25 ἀπόφασιν b 29 τῶν καθόλου] καὶ F πρὸς τὰς] καὶ τῶν A 30 ἀδιορ. AFGa

Ὅτι οὖν | τοῦτό ἐστιν ὃ βούλεται λέγειν, τὸ ἰσοδυναμεῖν, ὡς εἴρη- 214r
ται, τὰ ἑνικὰ ἄρθρα τῷ πᾶς, αὐτὸς δηλοῖ τῆς κατασκευῆς ὁ τρόπος, καθ'
ὃν δείκνυσι τὰ αὐτὰ καὶ ἐπὶ τῶν καθόλου προτάσεων ἐφαρμόζοντα τοῖς
εἰρημένοις, ἐπὶ τῶν τὰ ἄρθρα ἐχουσῶν συντεταγμένα τοῖς καθόλου ὑπο- 5
5 κειμένοις· ταὐτὸν γὰρ εἶναί φησι τὸ λέγειν 'τὸ ἀγαθὸν ἀγαθόν ἐστι' καὶ
'ὅ τι ἂν ᾖ ἀγαθὸν ἀγαθόν ἐστιν', ὅπερ οὐδ' ἂν ὑποπτευθείη διαφέρειν
τι τοῦ καθόλου τοῦ 'πᾶν ἀγαθὸν ἀγαθόν'. διὸ καὶ ἐν τῇ συνηθείᾳ ἐφ'
ὧν μὲν τὸ κατηγορούμενον παντὶ ὑπάρχει τῷ ὑποκειμένῳ, μετὰ τοῦ ἄρθρου 10
τὸ ὑποκείμενον προφερόμεθα καὶ ταὐτὸν οἰόμεθα λέγειν τῷ καθόλου, ἐφ'
10 ὧν δὲ μὴ παντί, οὐκέτι· 'ὁ μὲν γὰρ ἄνθρωπος ζῷον' καὶ 'ὁ ἄνθρωπος
οἴκους ἐστί' λέγομεν, οὐ μέντοι ὅτι ὁ ἄνθρωπος λευκός ἐστιν ἢ δίκαιος.
δεῖ μέντοι μεμνῆσθαι τῶν ἔμπροσθεν ἡμῖν περὶ τούτων διωρισμένων, ὅτι 15
τὸ μὲν πᾶς ἐμφαίνει τὸ πλῆθος τῶν ὑπὸ τὸ καθόλου ὑποκείμενον ἀνα-
φερομένων, τὸ δὲ ἑνικὸν ἄρθρον τὴν πρὸ τοῦ πλήθους μίαν αὐτοῦ φύσιν.
15 τῶν δὲ δυϊκῶν ἄρθρων καὶ τῶν πληθυντικῶν, εἴ τι καὶ περὶ ἐκείνων χρὴ
λέγειν, τὰ μὲν δυϊκὰ δήλην ἔχουσι τὴν πρὸς τὸ πᾶς διαφοράν (οὔτε γὰρ 20
τοῦτο ἐπὶ δύο μόνων οὔτε ἐκεῖνα ἐπὶ πλειόνων ἐνδέχεται λέγειν, καὶ
τούτου τὴν αἰτίαν διδάξει τὸ προοίμιον τῆς Περὶ οὐρανοῦ), ἐπεὶ δὲ τὰ
πληθυντικὰ τῶν ἄρθρων δοκοῦσι μηδὲν αὐτοῦ κατὰ τὴν δύναμιν διαφέρειν, 25
20 οἷον 'πᾶς ἄνθρωπος θνητός — οἱ ἄνθρωποι θνητοί', δυνατὸν ἴσως καὶ
ταῦτα διακρίνειν λέγοντας ὅτι ἐφ' ὧν μὲν τὸ πᾶς ἀληθές, ἐπὶ τούτων
καὶ τὸ πληθυντικὸν ἄρθρον πάντως ἀληθεύσει (ταὐτὸν γὰρ δηλονότι
σημαίνει τὸ 'πᾶς θνητός' τῷ 'πάντες θνητοί'· τούτῳ δὲ ἀνάγκη κατὰ |
δύναμιν ἐμπεριέχεσθαι τὸ 'οἱ' ἄρθρον, ὥστε καὶ ἄνευ τοῦ πάντες ἀλη- 214v
25 θεύσει ὁ λέγων 'οἱ ἄνθρωποι θνητοί'), οὐ μὴν ἀντιστρέψει ὁ λόγος, ὥστε
ἀξιοῦν ἡμᾶς ἐφ' ὧν τὰ πληθυντικὰ τῶν ἄρθρων λέγοντες ἀληθεύομεν, ἐπὶ
τούτων καὶ τὸ πᾶς εὐθὺς ἀληθεύειν· τοῦτο μὲν γὰρ οὐδὲν βούλεται παρα- 5
λείπειν τῶν ὑπὸ τὸ καθόλου περιεχομένων, τὸ δὲ πληθυντικὸν ἄρθρον
ἀληθεύειν ὑπολαμβάνομεν, κἂν ἐπὶ τῶν πλείστων μόνον ἀληθεύῃ τὸ κατη-
30 γορούμενον· μᾶλλον γοῦν συγχωροῦμεν ἀληθεύειν τὸν λέγοντα 'οἱ Ἀθηναῖοι 10
ἔμφρονες, οἱ Λάκωνες καρτερικοί, οἱ Μυκόνιοι φαλακροί' ἢ τὸν προστι-
θέντα τὸ πάντες καθ' ἕκαστον τούτων. καὶ ὅλως εἰ πρὸς τῷ ἄρθρῳ
λέγοντες τὸν προσδιορισμὸν ἡγούμεθα κοινοτάτην ποιεῖσθαι τὴν ἀπόφανσιν

1 νῦν βούλ. a 2. 3 εἴρηται] p. 268,14 6 ᾖ] εἴη Ma ὑποπτεύοι F 7 alt. τοῦ] τὸ G 8. 10 ὧν] ὃν G 8 post ἄρθρου add. οἷον τὸ ἀγαθὸν ἀγαθόν ἐστι πᾶν ἀγαθὸν ἀγαθόν ἐστι A et in mrg. G² 9 προφερόμενον G² τῷ] τὸ AFG 11 μέντοι δὲ FMa ὅτι om. A 12 τῶν ἔμπροσθεν] p. 97,12 13 ἀναφαίνει A πλῆθ.] πληθυντικὸν A 14 πρὸς Ma αὐτοῦ μίαν colloc. A 17 μόνον A²F 18 Περὶ οὐρανοῦ] A 1 p. 268a16 21 διακρῖναι G 22 παντελῶς FG: om. A 22. 23 σημ. δηλονότι colloc. A 23 τὸ] τῶ Ma τῷ] τὸ GMa τούτων A: τοῦτο F¹G 25 λέγ.] λόγος A¹ 27 βούλ.] λείπεται G¹ 27. 28 παραλιπεῖν GM 28 τὸ κάθ.] τοῦ καθ. FG 29 μόνων Ma ἀληθεύει AG 30 οὖν A: γὰρ G 31 λακεδαιμόνιοι FG μυκώνιοι FMa: μυκώνειοι G 31. 32 προστεθ. A 32 τὸ] τῶ A εἰ] οἱ G 33 διορ. a ἡγοίμεθα M ἀπόφασιν libri

καὶ μὴ μάτην αὐτὸν προστίθεμεν, μόνον ἄρα τὸ ἄρθρον ῥηθὲν οὐκ εὐθὺς ἅπαντα τὰ ὑπὸ τὸ κοινὸν περιλαμβάνειν ἀξιοῦμεν. διὸ καὶ ὁ παρ' Ὁμήρῳ Ζεὺς οὐχ ἁπλῶς τοὺς Ἀχαιοὺς ἐξάγειν ἐπὶ τὸν πόλεμον τῷ Ἀγαμέμνονι διὰ τοῦ ὀνείρου παρεκελεύετο, ἀλλὰ προσετίθει τὸ "πανσυδίῃ", καὶ τούτῳ μὴ ἐπιστήσας ἐκεῖνος αἴτιος ἑαυτῷ γεγένηται τοῦ ἀποτυχεῖν τῆς ἐλπίδος, καὶ ὁ Δημοσθένης τοῖς θεοῖς εὔχεσθαι εἰπὼν ἐπήγαγε τὸ "πᾶσι καὶ πάσαις", τελειοτέραν διὰ τῆς προσθήκης τὴν ἐπίληψιν παντὸς τοῦ θείου ποιεῖσθαι ὑπολαμβάνων.

Ἀλλ' ἐπανέλθωμεν ἐπὶ τὸ προκείμενον καὶ λέγωμεν ὡς εἴτε ὡρισμένος εἴτε ἀόριστος εἴη ὁ καθόλου ὑποκείμενος, τὸ συνταττόμενον αὐτῷ ἑνικὸν ἄρθρον τὴν δύναμιν ἕξει τοῦ καθόλου προσδιορισμοῦ. διὸ καὶ αὐτὸς προσέθηκε τὸ ὁμοίως δὲ καὶ ἐπὶ τοῦ μὴ ἀγαθοῦ, ἤτοι λέγων ὅτι καὶ ἐπὶ τούτων τῶν ἀόριστον ἐχουσῶν τὸν ὑποκείμενον προτάσεων ἡ κυριωτάτη | μάχη θεωρεῖται ἐν ταῖς ἀντιφασκούσαις προτάσεσι 'τὸ μὴ 215r ἀγαθὸν ἀγαθόν — τὸ μὴ ἀγαθὸν οὐκ ἀγαθόν' (ὡς γὰρ προείρηται, τῇ ἀληθεῖ τούτων οὐχ οἷόν τε μάχεσθαι τὴν τοῦ ἐναντίου κατάφασιν), καὶ τὰ ἄλλα δὲ πάντα ἐπιχειρήματα οὐδὲν μᾶλλον ἁρμόσει ταῖς ὡρισμένον ἐχούσαις τὸν ὑποκείμενον ἢ ταῖς ἀόριστον, εἴτε τοὺς καθόλου προσδιορισμοὺς ἔχοιεν οἱ ὑποκείμενοι εἴτε τὸ ἄρθρον ἀντὶ τούτων (ὁ γὰρ λόγος ἡμῖν οὐ περὶ τῆς διαφορᾶς τῶν ὑποκειμένων ἀλλὰ καὶ περὶ τῆς τῶν κατηγορουμένων), ἢ καὶ προσεχέστερον λέγων ὅτι τὴν ἕκτην ἐπιχείρησιν ἐνδέχεται προχωρεῖν καὶ ἐπὶ τῶν αὐτόθεν ἐχουσῶν τοὺς καθόλου προσδιορισμοὺς προτάσεων, ὥσπερ ἐδείκνυτο πρότερον ἐπὶ τῶν τὰ ἄρθρα ἐχουσῶν ἐν τῇ χώρᾳ τῶν προσδιορισμῶν, προτιθεμένων μὲν ἡμῶν συλλογίσασθαι ὅτι μᾶλλον μάχεται ἡ λέγουσα 'πᾶν ἀγαθὸν ἀγαθόν' πρὸς τὴν λέγουσαν 'οὐδὲν ἀγαθὸν ἀγαθόν' ἤπερ πρὸς τὴν λέγουσαν 'πᾶν ἀγαθὸν κακόν', πρὸς δὲ τὴν τούτου κατασκευὴν λαμβανόντων ὅτι ὡς ἡ λέγουσα 'οὐδὲν οὐκ ἀγαθὸν ἀγαθόν ἐστιν' ἀληθὴς ἀπόφασις ἔχει πρὸς τὴν λέγουσαν 'πᾶν οὐκ ἀγαθὸν ἀγαθόν ἐστι' ψευδῆ κατάφασιν, οὕτως ἡ λέγουσα 'πᾶν ἀγαθὸν ἀγαθόν ἐστιν' ἀληθὴς κατάφασις πρὸς τὴν λέγουσαν 'οὐδὲν ἀγαθὸν ἀγαθόν ἐστι' ψευδῆ ἀπόφασιν, καὶ δεικνύντων ὅτι τῇ 'οὐδὲν οὐκ ἀγαθὸν ἀγαθόν ἐστιν' οὔτε ἡ λέγουσα 'οὐδὲν οὐκ ἀγαθὸν κακόν ἐστιν' ὅλη μάχεται οὔτε ἡ λέγουσα 'οὐδὲν οὐκ ἀγαθὸν οὐ κακόν ἐστιν' (οὐδετέρα γὰρ αὐτῶν ὅλη ψευδής, ἀλλ' ἑκατέρα ἐπί τι). μόνη δὲ ἡ ἐναντία πρὸς αὐτὴν ἡ 'πᾶν οὐκ

2 παρ' Ὁμήρῳ] B 12 4 διὰ τοῦ ὀνείρου om. A πασσυδίῃ Ma τοῦτο AG: τοῦτον F 6 ὁ Δημοσθ.] De corona c. 1. εὔχεσθαι εἰπὼν om. AM 7 ἀντίληψιν A: περίλ. a τοῦ θ. παντὸς colloc. FGa 8 ὑπολαμβ.] προθέμενος M: om. A 9 λέγομεν F 12 δὲ om. G 15 προείρηται] p. 267,12 16 ἀληθεία G¹ τὴν om. AMa 17 ὡρισμένων a 19 ὑμῖν A 20 καὶ del. G² (recte) 22 αὐτόθι FG 23 ἐδείκνυτο πρότερον] p. 23b32 24 προστιθ. G¹ μὲν suppl. G² 26 εἴπερ A λέγουσαν om. FGa 27 λέγουσα om. A 28 ἔχει om. FGMa πᾶν ante λέγ. colloc. A πᾶν] τὸ a 31 δεικνύων A alt. ἀγαθόν om. A 32 οὔτε] οὐδὲ (utrobique) AM λέγουσα ὅτι FGa οὐδὲν om. M ὅλη superscr. A 33 λέγουσα ὅτι M

ἀγαθὸν ἀγαθόν ἐστιν', ἐπεὶ καὶ ἡ μὲν ἁπλῶς ἀληθὴς ἡ δὲ ὅλη ψευδής, καὶ διὰ τοῦτο ἀξιούντων καὶ τῇ 'πᾶν ἀγαθὸν ἀγαθόν ἐστι' μόνην κυρίως ἐναντίαν εἶναι τὴν 'οὐδὲν ἀγαθὸν ἀγαθόν ἐστιν' ἀπόφασιν, ἀλλ' οὐχὶ 215v τὴν 'πᾶν ἀγαθὸν κακόν ἐστι' τοῦ ἐναντίου κατάφασιν. δῆλον δὲ ἃ χρὴ καὶ πρὸς ταῦτα λέγειν· αὐτόθεν γὰρ ἡ 'πᾶν ἀγαθὸν κακόν' ὅλη τέ ἐστι ψευδὴς καὶ καθ' ὅλην ἑαυτὴν κυριώτατα πολεμεῖ πρὸς τὴν 'πᾶν ἀγαθὸν ἀγαθόν'. προτιμητέον μέντοι τὴν προτέραν ἐξήγησιν, ὡς καὶ ταύτην ἐν ἑαυτῇ περιέχουσαν.

p. 24b1 Ὥστε εἴπερ ἐπὶ δόξης οὕτως ἔχει, εἰσὶ δὲ αἱ ἐν τῇ φωνῇ καταφάσεις καὶ ἀποφάσεις σύμβολα τῶν ἐν τῇ ψυχῇ, δῆλον ὅτι καὶ καταφάσει ἐναντία μὲν ἀπόφασις ἡ περὶ τοῦ αὐτοῦ καθόλου, οἷον ὅτι πᾶν ἀγαθὸν ἀγαθὸν ἢ ὅτι πᾶς ἄνθρωπος ἀγαθὸς ἢ ὅτι οὐδὲν ἢ οὐδείς, ἀντιφατικῶς δὲ ἡ οὐ πᾶν ἢ οὐ πᾶς.

Φανερὰ τὰ διὰ τούτων λεγόμενα· προθέμενος γὰρ ἐξ ἀρχῆς τὰς κατὰ τὸν προφορικὸν λόγον ἀποφάνσεις παραβαλεῖν πρὸς ἀλλήλας καθ' ὃν εἴρηται τρόπον ἀνέδραμεν ἐπὶ τὰς δόξας καὶ ἐπὶ τούτων ἠξίωσε γυμνάσαι τὸ θεώρημα ὡς ἂν ἀρχῆς λόγον ἐχουσῶν πρὸς τὰς ἐν τῇ προφορᾷ προτάσεις. ἐπὶ τῶν δοξῶν οὖν συλλογισάμενος ὅπερ ὡς ἀληθὲς ὑπέσχετο δείξειν, ἀξιοῖ τὰ αὐτὰ ἐφαρμόττειν καὶ ἐπὶ τῶν κατὰ τὴν ῥῆσιν προτάσεων καὶ ἐναντίως μὲν ἀντικεῖσθαι τὴν καθόλου ἀπόφασιν τῇ καθόλου καταφάσει, ἀντιφατικῶς δὲ τὴν κατὰ μέρος τῇ καθόλου, ἑκατέραν δὲ τούτων τῶν ἀντιθέσεων σφοδροτέραν εἶναι τῆς τῶν ἐναντίων καταφάσεων πρὸς ἀλλήλας μάχης.

p. 24b6 Φανερὸν δὲ ὅτι καὶ ἀληθῆ ἀληθεῖ οὐκ ἐνδέχεται ἐναντίαν εἶναι οὔτε δόξαν οὔτε ἀντίφασιν· ἐναντίαι μὲν γὰρ αἱ περὶ τὰ ἀντικείμενα· περὶ τὰ αὐτὰ δὲ ἐνδέχεται ἀληθεύειν τὸν αὐτόν, ἅμα δὲ οὐκ ἐνδέχεται τὰ ἐναντία ὑπάρχειν τῷ αὐτῷ. |

Χρησάμενος ἐν τῇ ἕκτῃ ἐπιχειρήσει ὡς ἐναργεῖ τῷ τὰς συναληθευούσας δόξας τε καὶ προτάσεις μὴ εἶναι ἐναντίας, αὐτὸ τοῦτο νῦν καί- 216r

1 ἀληθ.] ψευδὴς M 4 τὴν] τὸ ed. Ven. Brand. ἃ χρὴ] ἄχρι M 8 αὐτῇ FG 9 ὅπερ A αἱ om. G 11 καὶ om. M ἐναντ. μὲν ἀπόφ. F: ἐναντ. μὲν ἡ ἀπόφ. G: μὲν ἐναντ. ἡ ἀπόφ. Ma: evan. A ἡ περὶ] εἴπερ ἡ G 12 οἷον—οὐ πᾶς (14) om. a οἷον τῇ b 13 ἀποφατ. A: ἀντιφαντ. G alt. ἡ] ἢ AFG: ὅτι ἢ b 14 πᾶς ἢ οὐ πᾶν colloc. AG 15 φανερὰ—λεγόμενα om. a post φαν. add. δὲ AM 16 ἀποφάσεις FG[1] παραβάλλειν G 17 ἠξίωσαι F 18 ἂν om. FGa ἐχουσῶν om. M 19 τῶν] τοῦ τῶν M: om. FGa ἀληθῶς A 20 δεῖξαι AG 25 καὶ ὅτι colloc. a καὶ om. M ἀληθεῖ ἀληθῆ colloc. G 26 ἀπόφασιν b 27 τὰ αὐτὰ] ταῦτα AMab (cf. p. 272,18. 20) 27. 28 ἀληθεύειν om. M 31δόξας τε καὶ] expl. A

τοι ὂν ἐναργὲς κατασκευάζει διὰ τοῦ δευτέρου σχήματος, λαβὼν ὅτι αἱ συναληθεύουσαι δόξαι τε καὶ προτάσεις ἅμα ἐπὶ τοῦ αὐτοῦ ἀληθεῖς εἰσι (τοῦτο γὰρ τὸ συαληθεύειν), τὰ δὲ ἐναντία ἅμα ἐπὶ τοῦ αὐτοῦ ἀληθῆ εἶναι ἀδύνατον, καὶ συνάγων ὅτι αἱ συναληθεύουσαι δόξαι τε καὶ προτάσεις οὐκ εἰσὶν ἐναντίαι. τὴν δὲ ἀποφατικὴν πρότασιν κατασκευάζει διὰ προσυλλογισμοῦ πλεκομένου κατὰ τὸ πρῶτον σχῆμα, μέσῳ ὅρῳ χρώμενος τοῖς ἀντικειμένοις· τὰ ἐναντία ἀντικείμενα, τὰ ἀντικείμενα ἐπὶ τοῦ αὐτοῦ ἅμα ἀληθεύειν ἀδύνατον, τὰ ἐναντία ἄρα συναληθεύειν ἀδύνατον. παραλέλοιπε δὲ αὐτὸς διὰ συντομίαν τοῦ τε προσυλλογισμοῦ τὴν μείζονα πρότασιν καὶ τοῦ ἐξ ἀρχῆς προβλήματος τὸ συμπέρασμα. ἡ μὲν οὖν δύναμις τῆς κατασκευῆς τοιαύτη. τῆς δὲ ῥήσεως τὸ μὲν οὔτε ἀντιφασιν εἴρηται ἀντὶ τοῦ 'οὔτε πρότασιν ἐξ ἧς τῇ ἀντιφάσει ἡ γένεσις', τοῦτ' ἔστιν ὅτι τὰς συναληθευούσας ἀντίφασιν ποιεῖν ἀδύνατον ἢ κατὰ τοὺς ἐνδιαθέτους ἢ κατὰ τοὺς προφορικοὺς καλουμένους λόγους. τὸ δὲ ἐναντίαι μὲν γὰρ αἱ περὶ τὰ ἀντικείμενα ἔοικεν ἀκαταλληλότερον εἰρῆσθαι· ἦν γὰρ ἀκόλουθον τῷ ὑποκειμένῳ, τοῦτ' ἔστι τοῖς ἐναντίοις, τὸ ἄρθρον συντάξαντα εἰπεῖν 'αἱ ἐναντίαι μὲν γὰρ περὶ τὰ ἀντικείμενα'. τὸ δὲ ἑξῆς περὶ τὰ αὐτὰ δὲ ἐνδέχεται ἀληθεύειν τὸν αὐτόν ἔστι μὲν ἡ καταφατικὴ τοῦ συλλογισμοῦ πρότασις, σημαίνει δὲ πῶς αἱ τοιαῦται προτάσεις λέγονται συναληθεύειν, ὅτι παρὰ τὸ συντρέχειν περὶ τὰ αὐτά, λέγει δὲ | τὰ κοινὰ ὑποκείμενα τῶν συναληθεύειν λεγομένων 216v προτάσεων. διὰ δὲ τοῦ ἐνδέχεται τὸν τρόπον δηλοῖ τῆς ἐπὶ τούτων ἀληθείας, ὅτι δυνατὸν τὰς τῷ αὐτῷ ὑποκειμένῳ χρωμένας προτάσεις συναληθεύειν τε ἀλλήλαις καὶ μή. τὰς μέντοι μὴ παρὰ τὴν ὕλην ἀλλὰ κατ' αὐτὴν τὴν τῶν προτάσεων δύναμιν συναληθευούσας, οἷον τὰς ἀδιορίστους ἢ τὰς κατὰ μέρος, πᾶσα ἀνάγκη τῷ αὐτῷ τε ὑποκειμένῳ χρῆσθαι καὶ κατὰ τὸν αὐτὸν χρόνον ἀληθεύειν. τὸ δὲ ἅμα δὲ οὐκ ἐνδέχεται τὰ ἐναντία ὑπάρχειν τῷ αὐτῷ βούλεται μὲν εἶναι συμπέρασμα τοῦ προσυλλογισμοῦ, κατὰ ἀλήθειαν μέντοι περιέχει τὴν αἰτίαν τοῦ συμπεράσματος· τὸ μὲν γὰρ ὄντως συμπέρασμά ἐστιν ὅτι τὰ ἐναντία ἅμα ἀληθῆ εἶναι ἀδύνατον, ἔστι δὲ αἴτιον τοῦ μὴ πεφυκέναι συναληθεύειν ἀλλήλοις τὰ ἐναντία τὸ μὴ ἐνδέχεσθαι αὐτὰ τῷ αὐτῷ ἅμα ὑπάρχειν.

---

3 τοῦτό τε M 4 συναγαγὼν F τε om. M 5 διὰ om. FG 7 τὰ ἀντικείμενα om. a 8 συναληθ.] ἀληθ. a 10 πρόστασιν F 12 πρότασις G 16 τοῖς ἐναντ.] scribas τῷ ἐναντίαι 17 ἄρθροις (τὸ om.) a 18 et 20. 21 τὰ αὐτὰ] ταῦτα Ma 18 δὲ om. M 19 ante πῶς add. διὰ μὲν τοῦ περὶ ταῦτα ἀληθεύειν a πῶς ὅτι G 21 δὲ] δὴ F 24 παρὰ] περὶ a 25 αὐτὴν om. G τῶν πρ. τὴν colloc. Ma 26 ἢ] καὶ a τε om. a 27 καὶ om. F alt. δὲ om. a 28 τὰ om. a 29 οὐ μέντοι G αἰτίαν] ἀλήθειαν M 30. 31 ἀληθῆ εἶναι] ἀληθεύειν M 32 τὰ ἐναντία om. a

INDICES

I INDEX VERBORUM

Verba asterisco notata desiderantur in lexicis.

Ἀβασάνιστος. ἀβασανίστως 111,2 122,14
ἀγαθός. τὸ ἀκρότατον ἀγαθόν 11,26 καθ' ἑαυτὸ . . τὸ ἀγαθὸν . . . τὸ εἶδος τῆς ζωῆς σημαίνει 205,9. 12 208,12 sq.
ἀγαθότης 240,18
ἀγαπᾶν τὴν ἀντίθεσιν 265,26 ἀντιθεῖναι 267,17
ἀγέννητος. ἀγεννήτως 136,17
ἀγνοεῖν 132,13 sq.
ἀγράμματος φωνή 31,4 sq. 41,1 ψόφος 31,32 40,32
ἀδέκαστος. ἀδεκάστως 117,4
ἀδιαίρετος 135,25
ἀδιάκοπος. ἀδιακόπως 71,33
ἀδιανόητος 77,5 206,7 ἀδιανόητα λέγειν 205,27
ἀδιάρθρωτος. ἀδιαρθρώτως 30,28
ἀδιάστατος. ἀδιαστάτως 136,15
ἀδιάστροφος ἐπίνοια 248,25 ἀδιάστροφοι τῶν ψυχῶν ἔννοιαι 133,13
ἀδιάτμητος 150,32
ἀδιάφορος. ἀδιάφορόν ἐστι 178,13 τὰ μέσα καὶ ἀδιάφορα 262,15. 16 ἀδιαφορώτερον 159,1
ἀδίδακτος. ἀδίδακτοι ἔννοιαι 256,11. 12
ἀδιερεύνητος 39,13
ἀδιόριστος syn. ἀπροσδιόριστος 115,2. 12. 18 129,32 156,4 sq. dist. ἀόριστος 159,5
ἀδόκιμος 106,8
ἀδολεσχεῖν 205,26 206,2 209,22. 23
ἀδόξαστος 213,12 263,22
ἀδύνατος. τὸ ἀδύνατον (τρόπος) 8,10 ὁ ἀδύνατος 215,2 ἀδύνατος ὕλη 88,19 sq. 153,34 ἡ εἰς ἀδύνατον ἀπαγωγή 237,10 238,18 239,21
ἀεί (διττόν) 153,15 ἀεί ποτε 250,17
ἀεικίνητος 251,2
ἀθετεῖν 6,4
ἀίδιος syn. θεῖος 240,9 sq. φύσις 37,12 οὐσία 136,5 ὕπαρξις 247,24 opp. φθαρτός 153,17. 21 154,6 240,31 ἀίδιον τὸ πᾶν 73,27 τὰ ἀίδια 131,8 134,26 opp. τὰ ἐν γενέσει καὶ φθορᾷ 150,27 151,20 248,31
αἰδοῖος. αἰδοιοτέρα (ἀλήθεια) 110,32 αἰδοῖα Οὐρανοῦ 249,18
αἴνιγμα. δι' αἰνιγμάτων ῥηθέντα 161,2
αἰνίττεσθαι *tecte signare* 69,24 126,4 166,29 249,11 αἰνίσσεσθαι 249,14
αἱρεῖν *intellegere* 1,22
αἵρεσις. διὰ τὴν οἰκείαν αἵρεσιν ἀλλ' οὐ διά τινα τοῦ θεοῦ μῆνιν 133,3
αἱρετός. αἱρετώτερος 113,11. 17 149,8
αἴσθησις 34,25 γνωστικὴ δύναμις 5,4 dist. φαντασία 6,7 sq. 25,14
αἰσθητός 34,26 τὸ αἰσθητὸν καὶ καθ' ἕκαστα (εἶδος) opp. τό τε καθόλου καὶ νοητόν 71,15
αἴτημα 7,20 9,22
αἰτία δημιουργική τε καὶ προνοητική 134,32 τὰς ἐξῃρημένας . . αἰτίας σκοπεῖν 24,24 μερικαὶ καὶ ἄλλοτε ἄλλως ἔχουσαι αἰτίαι 131,9 προσεχὴς αἰτία 142,27 ἡ ὑπὲρ νοῦν 249,11 νοητή 249,17
αἰτιολογικὸς σύνδεσμος 141,2 257,12
αἴτιος. τῶν ὄντων ἁπάντων αἰτίους εἶναι τοὺς θεούς 134,3 136,5 τοῦ εἶναι — τοῦ ἀληθεύειν 149,27. 28 τὸ αἴτιον 207,28 τὰ νοητὰ καὶ θεῖα αἴτια 243,36 αἴτιος ἑαυτῷ γεγένηται τοῦ ἀποτυχεῖν 270,5

αἰώνιος. τὸ νῦν τὸ αἰώνιον 133,26. 27 αἰωνίως 136,17
ἄκαιρος 86,5
ἀκαριαῖος χρόνος 52,21
ἀκατάλληλος. ἀκαταλληλότερον 272,15
ἀκατάτακτος 232,16
ἀκίνητος. τὰ ἀκίνητα syn. τὰ νοητὰ καὶ θεῖα αἴτια 243,35
ἀκλεής 149,14
ἀκοή 114,29
ἀκολουθεῖν opp. ἐναντίον εἶναι 180,7 181,21 al.
ἀκολούθησις 83,20 173,18
ἀκολουθία opp. διάστασις 3,32 67,12 73, 31. 33 74,2 75,14 163,6. 25 sq. τῆς λέξεως 157,1 opp. διαφορά 166,17
ἀκόλουθος 17,20 34,11 138,12 150,18 199,24 al. τὰ ἀκόλουθα τοῖς συλλελογισμένοις 248,16 τὸ ἀκόλουθον 166,8. 21 κατὰ τὸ ἀκόλουθον 164,30 ἀκολούθως 138,15 141,18 233,13 ἀκολουθότερος 162,20 247,9
ἀκοσμία opp. κόσμος 250,13
ἀκούειν τῆς ῥήσεως 207,20 τὸ οὖν ‘ἐνδέχεται δέ ποτε’ οὕτως ἀκουστέον 173,1
ἀκούσιος. τὸ ἀκούσιον 10,21
ἀκουστικός. ἀκουστικὴ δύναμις 62,27
ἀκρίβεια 176,23 242,10
ἀκριβής. οἱ ἀκριβέστεροι τῶν ἐξηγητῶν 167,15 ἀκριβέστερον 211,9
ἀκριβολογεῖσθαι 157,19
ἀκριβολογία 86,4 122,6
ἀκριβοῦν τὴν τέχνην 205,5 τοὺς ἀκριβοῦντας ταῦτα διορισμούς 84,27
ἀκροᾶσθαι *intellegere* 173,23
ἀκροατής 66,1 sq.
ἄκρος. εἰς ἄκρον τῆς ἀνθρωπίνης φύσεως 1,9 ἐπὶ τὸ ἀκρότατον τῆς ἑαυτοῦ τελειότητος 135,28 τὰ ἄκρα 153,36 266,26 τὸ ἀκρότατον ἀγαθόν 11,26 τὰ ἀκρότατα τῶν ὄντων 248,17
ἄκυρος. ἀκυρότερος 87,15
ἀλήθεια. δεκτικὸς ἀληθείας τε καὶ ψεύδους 2,24. 35 5,16 18,10 al. ἐν τίσι τῶν ὁπωσοῦν ὄντων χρὴ ζητεῖν τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος 17,29 sq. ἡ οὖν ἀλήθεια καὶ τὸ ψεῦδος . . περὶ μόνα τὰ σύνθετα καὶ τὰς συνθέτους φωνὰς ὑφίσταται 21,5 26,13 27,14. 21 ἐν σχέσει τινὶ τῶν νοημάτων ἢ τῶν φωνῶν τῇ πρὸς τὰ πράγματα 21,9 κατ’ ἄλλον τρόπον καὶ ἐν τοῖς πράγμασιν αὐτοῖς καθ’ αὑτὰ καὶ ἐν ἡδοναῖς μέντοι φήσομεν εἶναι 21,24. 25 περὶ σύνθεσιν καὶ διαίρεσιν, οὐ μέντοι πᾶσα σύνθεσις ἢ διαίρεσις θατέρου τούτων ἐστὶ δεκτική 27,8 sq. οὐ πᾶσα ἀλήθεια περὶ σύνθεσιν ἔχει ἢ διαίρεσιν 27,27 νοητή 27,29 ἡ κατὰ τὴν νοερὰν αὐτῶν (τῶν ὄντων) ἀντίληψιν ὑφισταμένη πᾶσά τε πρὸς τὸ ψεῦδος ἀντιθέσεως ἐξῃρημένη 27,31 συναδόντως μὲν τοῖς πράγμασιν ἀποφαινόμενοι τῆς ἀληθείας τευξόμεθα, . . διαφωνοῦντες δὲ πρὸς τὴν τῶν πραγμάτων φύσιν ψευσόμεθα 82,16 τῇ μὲν ἀληθείᾳ τῶν λόγων ἕπεσθαι ἀνάγκη τὴν ὕπαρξιν τῶν πραγμάτων τῷ δὲ ψεύδει τὴν ἀνυπαρξίαν 139,29 140,33 sq. 146,18 παραπλησίως τοῖς ἐπὶ τῶν ὄντων εἰρημένοις ἔχειν φησὶ τὸ ἀναγκαῖον τὴν ἐν τοῖς λόγοις ἀλήθειαν 154,3 προσῆκον ἂν εἴη φιλτέραν καὶ αἰδοιοτέραν ἁπάντων τὴν ἀλήθειαν ἡμᾶς ἡγεῖσθαι 110,32
ἀληθεύειν opp. ψεύδεσθαι 18,20 al. οὐχ ὁ λόγος τῷ πράγματι τοῦ εἶναι αἴτιος ἀλλ’ ἡ τοῦ πράγματος ὕπαρξις τοῦ ἀληθεύειν τὸν λόγον αἰτία 149,27
ἀληθής. ποιεῖ γὰρ κατάφασιν ἢ ἀπόφασιν . . ἀληθῆ ἢ ψευδῆ τὸ συμφώνως ἢ μὴ συμφώνως τοῖς πράγμασιν ἀποφαίνεσθαι 82, 12 sq. τὸ ἀληθὲς καὶ τὸ ψεῦδος syn. ἡ ἀλήθεια καὶ τὸ ψεῦδος 18,5 al. ἀληθῶς opp. πιθανῶς 251,32
ἄλλος. τὰ μὲν ἄλλα κατὰ τὰ αὐτά 46,20 47,2 ἄλλος καὶ ἄλλος 19,8 20,14 25,21 38,7. 8 85,6 al. κατ’ ἄλλο καὶ ἄλλο 201,7. 8 ἄλλοτε ἄλλα 134,13 ἄλλως τε 60,13 καὶ ἄλλως 253,10 ἄλλοτε ἄλλως 131,9
ἄλογος 126,32 137,32 148,16 150,23 206,14 ἄλογοι ψυχαί 25,13 δυνάμεις 241,30 sq. ἄλογα ζῷα 25,11 30,22. 29 31,1. 32 41,1. 8 63,21. 23 134,1 241, 29. 33
ἅμα opp. σποράδην (ποιότητες) 11,3 κατηγορεῖν 210,19 sq.
ἁμαρτάνειν. ἡμαρτημένως 232,30. 34 234,24
ἀμβλισκάνειν. τὰ ἀμβλισκανόμενα τῶν ἐμβρύων 250,28
ἀμείβεσθαι 156,11
ἀμέλει 60,10 229,7
ἄμεμπτος 232,28 ἀμέμπτως 116,28 183, 22 206,13

ἀμέριστος. ἀμερίστως 136,15
ἄμεσος ἀρχή 9,21 ἀντίθεσις 10,19 διαίρεσις 88,31 ἄμεσα ἐναντία 92,4 sq. 99,16 257,21. 24 ἀμέσως 14,20 57,29 211,29
ἀμετάβλητος 133,23 135,25 136,3. 23
ἀμῇ γέ πῃ opp. καθαρῶς 262,26
ἀμιγής (νοῦς) 7,6 132,14
ἀμυδρός. ἀμυδρότερος 35,30 111,25 247, 21
ἀμφιβάλλειν πρὸς τὸ γνήσιον εἶναι 5,25
ἀμφίβολος γνῶσις 133,33 134,7 137,19 φύσις 136,28 ἀμφίβολοι χρησμοί 137,21 ἀμφιβόλως 137,15
ἀμφισβητεῖν 202,3 ἀμφισβητουμένη ἀπόφανσις opp. ἐναργής 66,9
ἀμφισβητήσιμος 92,10
ἀμφισβήτησις 115,14 202,11
ἄν in irreali om. 70,20 154,24
ἀναβάλλεσθαι *differe* 71,3 72,31
ἀνάβασις opp. κατάβασις 10,4
ἀναβλαστάνειν ἀπὸ τῆς ὕλης 247,17
ἀνάγειν ἑαυτόν 24,23
ἀναγκάζειν. πάντα ἀναγκάζειν syn. πάντα ἐξ ἀνάγκης γίνεσθαι ἀποδεικνύναι 131,17. 21 137,25. 30 144,23 148,4. 19 οὐκ ἔστιν οὐδεμίαν ἀκολουθίαν ἀναγκάσαι 173, 33
ἀναγκαῖος. τὸ ἀναγκαῖον (τρόπος) 8,10 ὁ ἀναγκαῖος 215,1 sq. διττόν 153,13 ἀναγκαία ὕλη 88,19 sq. 153,34 ἀναγκαιότατος 13,14 ἀναγκαίως 226,11
ἀνάγκη. τὸ πάντα ἐξ ἀνάγκης γίνεσθαι 130, 30 sq. 153,6 πᾶσα ἀνάγκη 134,3 264,25 272,26 al. γεωμετρικαῖς, φασίν, ἀνάγκαις 148,17 τὸ ἐξ ἀνάγκης μὴ ὄν (διττόν) 153,26
ἀναιρεῖν ἀπό τινος 26,34 161,22 opp. εἰσφέρειν 41,29 70,9 87,17. 21 112,2 εἰσάγειν 114,12 189,22 τιθέναι τι 263,2 ἀναιρεῖται τὸ ἐνδεχόμενον 141,34 sq.
ἀναίρεσις 70,9 87,15 192,23 255,4. 6 ἣν ἀναίρεσιν αὐτὸς διαίρεσιν ἐκάλεσεν 27,1 τοῦ ἐνδεχομένου 141,16
ἀναιρετικός 89,16
ἀνακάμπτειν 163,19. 21 255,25 sq.
ἀνάκλασις 36,10
ἀνάκλησις syn. κλῆσις 60,29
ἀναλαμβάνειν 195,28
ἀναλέγειν. ἀναλέγεσθαι 83,21
ἀναλογεῖν 67,18 111,22 227,24 229,22
ἀναλογία 167,1. 2 171,30. 31 174,3. 9 τῶν φωνῶν πρὸς τὰ νοήματα 26,16 τοῦ ἄρρενος καὶ θήλεος 35,23. 30 γεωμετρική 229,13
ἀνάλογος 67,15 94,5 αἰτία 25,26
ἀναλύειν 35,10 55,20. 25 222,19
ἀναμφισβήτητος. ἀναμφισβητήτως 111,30 120,25 121,7 122,18 170,30 223,31 224,11
ἀνανεύειν opp. κατανεύειν 199,22 sq.
ἀναπαλαίειν 9,14
ἀναπόδεικτος. ἀναποδείκτως 3,20
ἄναρθρος φωνή 23,4 25,10 31,5 40,33 τὸ ὑπολαμβάνειν σημαίνεσθαι διὰ γραμμάτων . . γελοῖον ἂν εἴη 25,17 sq.
ἀναρίθμητος 200,12 214,31 230,10
ἀνάρμοστος. ἀναρμόστως 48,27
ἀνάρρηγνύναι. εἰ . . ἀναρραγείη πηγή 142,29
ἀναστέλλειν τὰς ἀκτῖνας 133,4
ἀναστρέφειν τὰς προτάσεις 194,15 al. ἀναστρέφεσθαι περὶ τὴν ζήτησιν 137,12
ἀνάτασις δόρατος 20,13
ἀνατιθέναι. ἀναθέσθαι λέγομεν τὸ ἀναπαλαῖσαι τὴν ὁμολογίαν 9,14
ἀνατροπή 181,6
ἀναφαίνειν. ἀναφαίνεσθαι 133,28
ἀναφορά 15,5 50,25
ἀνδρεῖος coll. θρασύς 260,27
ἀνδριάς opp. ὁ ἀληθῶς ἄνθρωπος 21,19. 21
ἀνείδεος ὕλη 21,29 111,23 185,4 213,5
ἀνέλεγκτος. ἀνελέγκτως 213,19
ἀνελλιπής. ἀνελλιπῶς 29,26
ἀνενδοίαστος. ἀνενδοιάστως 137,10, 148, 28 226,10
ἀνενέργητος 6,11 151,22 249,1
ἀνεννόητος 61,32 112,7
ἀνεπίδεκτος ψεύδους ἢ ἀληθείας 18,18 τοῦ ἐναντίου 235,13
ἀνεπίστατος. ἀνεπιστάτως 85,30
ἀνεπίτατος. ἀνεπιτάτως 11,26
ἀνεπιτηδειότης 132,30
ἀνευφημεῖν 11,27
ἀνέχειν. μὴ ἀνέχεσθαι καλεῖν 74,10
ἀνθρώπινος. ἀνθρωπίνη φύσις 1,9 φωνή 24,32
ἀνθρωποειδής 249,2. 16
ἄνθρωπος def. 127,9 κοινωνικὸν γὰρ ζῷον ὁ ἄνθρωπος 18,33 τὰ ὑπὲρ τὸν ἄνθρωπον — τὰ ὑπὸ τὸν ἄνθρωπον 31,23 καθ' ὃ ἀναθρεῖ ἃ ὄπωπε 38,10 κατὰ τὸ διαρθροῦν τὴν ὄπα ἢ ἄνω ἔχειν τοὺς ὤπας 38,13

ἄνοια. τῆς γὰρ αὐτῆς ἔσται διανοίας, μᾶλλον δὲ ἀνοίας 133,33
[illegible] ἀνωφελὲς ἄνω 15,27
ἀνόμοιος ὁμοιότης 213,9
ἀντίγραφον 8,27 50,8 171,1
ἀντιδιαιρεῖν 9,21 90,19 136,23
ἀντιδιαστέλλειν 97,5 207,25
ἀντιδιαστολή 59,28
ἀντιδιατάττειν. ἀντιδιατάττεσθαι 111,4
ἀντίθεσις 27,32 72,14 81,19 211,10 al. ἄμεσος 10,19 dist. ἀντίφασις 121,18 sq. 259,11 ἀντιφατικὴ ἀντίθεσις 158,25. 26 212,22 253,11 τὸ χαρακτηρίζον τὴν ἀντίθεσιν 180,28 ἀντίθεσις τῆς ἀντιφάσεως 262,31 265,31
ἀντίληψις νοερά 27,31 τῶν καθόλου 134,2
ἀντιπράττειν 150,19
ἀντισηκοῦν 149,9
ἀντιστρέφειν 141,25. 28 149,26 161,33 174,5 183,25 185,9 al. πρότασιν 53,19 τὴν τάξιν 58,13 τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ 107,4 πρὸς ἑαυτὸ τὸ λημμάτιον 141,7 ἀντεστραμμένως 231,19 233,18 235,26
ἀντιστροφή 185,13 233,18
ἀντίφασις (ὄνομα ὑπ' Ἀρ. τεθέν) 37,26 83,5 ὁρισμὸς τῆς ἀντιφάσεως 81,13 sq. 84,5 91,18 περὶ τὸ αὐτὸ ὑποκείμενον δύο γίνονται ἀντιφάσεις, μία μὲν ὡς ὡρισμένῳ αὐτῷ χρωμένη, ἑτέρα δὲ ὡς ἀορίστῳ 88,1 τὸ ὄνομα τῆς ἀντιφάσεως ποτὲ μὲν παραλαμβάνει (Ἀρ.) ἐπὶ μάχης καταφάσεως καὶ ἀποφάσεως διαιρουσῶν ἀεὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος..ποτὲ δὲ κοινότερον πᾶσαν ἁπλῶς ἀντίθεσιν καταφάσεως καὶ ἀποφάσεως τῷ αὐτῷ ὑποκειμένῳ καὶ τῷ αὐτῷ κατηγορουμένῳ χρωμένων 121,29 125,6 ἡ ἀντίθεσις τῆς ἀντιφάσεως 262,31 265,31 ἀντιφάσεις ἀπροδιόριστοι 160,22 161,6 διαγώνιοι 138,18. 23 160,27 171,14 τὸ ἕτερον μόνον τῆς ἀντιφάσεως μόριον 199,25 sq. κατὰ ἀντίφασιν ἀντικεῖσθαι 260,16 267,11 ἀντίφασιν ποιεῖν 130,2
ἀντιφάσκειν syn. ἀντιφατικῶς ἀντικεῖσθαι 91,23 92,3 110,16 120,9 162,18 156, 3 al. dist. ἐναντίον εἶναι 156,9 158,21 187,25
ἀντιφατικός. ἀντιφατικὴ ἀντίθεσις 158,25 212,22 253,11 ἀντιφατικῶς ἀντικεῖσθαι 91,5 109,14. 24 123,31 158,19 180, 18 al. opp. ἐναντίως 109,17 271,22
ἀντιφθέγγεσθαι 110,31 114,3
ἀντιφράττειν 132,27. 30
ἀντωνυμία 11,10 13,20 14,33
ἀνυπαρξία 14,29 17,2 42,7 70,6 139,30 140,34 143,5 238,14
ἄνω. τὰ ἀνωτάτω γένη 169,10
ἀνώνυμος 1,3 ἀνώνυμον ὄνομα syn. ἀόριστον 156,29 ὑποκείμενον 156,31
ἀνωφελής 256,17
ἀνώφορος 39,3
ἀξία. κατ' ἀξίαν 38,32 137,23
ἀξίωμα 2,26 9,21 146,11 τῆς ἀντιφάσεως 222,8 223,3 τὸ ὅμοιον ἀξιώματι (λόγου εἶδος) 2,32 3,2
ἄοικος 163,16
ἀοριστία opp. ὅρος 163,12 185,23
ἀόριστος dist. ἀδιόριστος 159,4 διάνοια 55,5 γνῶσις 132,12 133,15 sq. ἀόριστον ὄνομα 37,25 41,11 sq. 72,7 87,28. 30 264,3 ἕν πως 156,21 ὑποκείμενον 79,5 90,34 155,28 sq. ἀόριστος πρότασις 90, 18 opp. ἁπλῆ 161,8 φύσις 136,12 ἀόριστον ῥῆμα 37,25 51,25 sq. 157,12 264,3 κατηγορούμενον 155,31 161,9 οὐκ ἔστι τῷ ἀορίστῳ ἐναντίον οὐδέν 267, 13 ἀορίστως opp. ὡρισμένως 11,18 29, 13 131,4 138,17 sq.
ἀπαγγελία 5,26 13,14 69,24
ἀπάγειν εἰς ἄτοπον 193,26 ἀπάγεσθαι πρὸς τὴν δόξαν 132,9
ἀπαγόρευσις. τὰ τῆς ἀπαγορεύσεως ἐπιρρήματα 12,11 13,23
ἀπαγωγὴ ἡ εἰς ἀδύνατον 237,10 238,18 239,21
ἀπᾴδειν opp. συνᾴδειν 244,24
ἀπαθής (νοῦς) 7,6 opp. φθαρτός 7,11
ἀπαίδευτος. ἀπαιδεύτως 131,14
ἀπαντᾶν 114,4 135,14 δι' ἀποκρίσεως 201,5 πρὸς ἔπος 202,12
ἀπάντησις 242,6 243,5
ἀπαράλλακτος. ἀπαραλλάκτως 114, 23 185,12 231,14
ἀπαραπόδιστος. ἀπαραποδίστως 132,29
ἀπαρέμφατος ἔγκλισις 51,7 τὰ παρὰ τοῖς γραμματικοῖς ἀπαρέμφατα λεγόμενα 50,26 τὸ εἶναι ἀπαρέμφατον ῥῆμα 223,30 224, 12. 13
ἀπαρίθμησις 17,6. 11 58,15 71,30 78, 13
ἀπαρτᾶν. τοὺς ἀπηρτημένους συνδεῖν λόγους 15,8 ἀπηρτημένη φύσις 207,29

ἀπαρτίζειν 43,27 44,8 62,12 64,32 74,6 78,11
ἀπατᾶν. ἀπατᾶσθαι περί τι 260,16 ἀπατώμεθα μᾶλλον περὶ τὰ ὅμοια καὶ συνεγγυς ἀλλήλων ὄντα κατὰ φύσιν ἤπερ περὶ τὰ πολὺ διεστῶτα 260,17
ἀπάτη. ἀπάτην ἰᾶσθαι 189,1 ἀρχὴ καὶ οἷον ῥίζα ἀπάτης 259,25. 28 260,14
ἄπαυστος. τὸ ἄπαυστον τῆς κινήσεως 250,24
ἀπεικονίζειν. ἀπεικονίζεσθαι 20,2
ἀπειρία 101,5 χρονική 242,15
ἄπειρος 65,16 214,29 χρόνος 144,20 153,15 εἰς ἄπειρον 3,25 240,26 250,30 ἐπὶ τὸ ἄπειρον 65,18
ἀπεμφαίνειν. ἀπεμφαίνοντα 249,21
ἀπερίσκεπτος. ἀπερισκέπτως 71,23 122,13 149,18
ἀπήχησις σάλπιγγος 20,9 θαλάσσης 25,23
ἁπλότης τῆς λέξεως 67,26 68,3. 9 79,2 opp. ποικιλία 196,28 πρότερον κατὰ τὴν ἁπλότητα 108,27
ἁπλοῦς λόγος 2,2 4,10. 18 al. ὅρος 196,8 ἁπλᾶ νοήματα 18,7. 17 20,34 33,18 sq. ἁπλαῖ φωναί 2,4 4,6. 19 10,1 al. ἁπλῆ κατηγορία 205,34 210,22 δόξα opp. συμπεπλεγμένη 264,11 sq. ἁπλῆ πρότασις opp. ἀόριστος 161,7 sq. ἡ μία καὶ ἁπλῆ ἐνέργεια (τῶν θεῶν) 134,9 τὰ ἁπλᾶ καὶ νοητὰ εἴδη 249,26 ἁπλούστεραι καταφάσεις 158,10 ἁπλούσταται 8,14 157,7 158,12 τὰ ἁπλούστερα 9,2 τὰ ἁπλούστατα ὄντα 27,30 οἱ ἁπλούστεροι 93,19 188,30 τὴν διάνοιαν 232,29 οἱ ἁπλούστερον διακείμενοι 205,17 ἡ κατὰ τὸ ἁπλοῦν καὶ σύνθετον διαφορά 72,17. 29 78,1. 27 79,26. 38 τὸ ἁπλοῦν ἔχειν 196,10. 17 ἁπλῶς syn. κυρίως 153,14 saepius opp. κατὰ μέρος 206,16 ὁ ἁπλῶς συλλογισμός 2,2 τὸ ἁπλῶς ὄν 263,31 τὸ ἁπλῶς σημαίνοι ἂν τὸ ἀορίστως 29,13 ἁπλῶς μὲν .. πῇ δὲ 254,11 sq.
ἀπό. ἤτοι οὐσία ὂν ἢ ποσὸν ἢ ἀπὸ τῶν ἄλλων κατηγοριῶν 253,7
ἀποβλέπειν. ἡ πρὸς κάλλος .. ἀποβλέπουσα ἑρμηνεία 13,18
ἀπογέννησις 250,5
ἀπογινώσκειν τινός *reicere* 209,8 al.
ἀποδεικτικός. ἀποδεικτικὴ ἐπιστήμη 65,26 ἡ ἀποδεικτική 202,34
ἀπόδειξις 2,1. 24 9,16 65,28 τελεία καὶ ἀπροσδεής 3,26 δι' ἧς μόνης γινώσκειν δυνατὸν ἀκριβῶς τῶν ὄντων τὴν φύσιν 65,29
ἀποδοκιμάζειν 105,2. 32
ἀποζευγνύναι. τὸ γὰρ ἀπεζευγμένον ἀπεζευγμένου ἀπέζευκται 185,17
ἀποκαθιστάναι τι εἰς τὸ εἶναι 145,11
ἀποκλήρωσις 177,16
ἀποκληρωτικός 115,19 205,18 λόγος 169,29
ἀποκλίνειν 118,16 119,13 121,2 151,30 233,22
ἀποκρίνειν 105,30 ἀποκρίνεσθαι 195,23 sq.
ἀπόκρισις. ἡ συμπλοκὴ τῆς ἐρωτήσεως πρὸς τὴν ἀπόκρισιν 76,26 ἀποκρίνασθαι διὰ μιᾶς ἀποκρίσεως 195,23 sq. αἱ ἀρνητικαὶ ἀποκρίσεις 200,23. 24
ἄπολις 163,16
ἀπολύειν. ἀπολελυμένα καὶ καθ' ἑαυτὰ ὑφεστῶτα 48,15
ἀπομαντεύεσθαι 168,5
ἀπομάττειν. ἀπομάττεσθαι τοὺς τύπους 6,9
ἀπομάχεσθαι 199,29
ἀπομνημονεύειν 1,7
ἀποπεραιοῦν τὴν ἔννοιαν 54,29
ἀποπεράτωσις 133,30
ἀποπιμπλάναι. ἀποπλῆσαι τὸν ἐρωτήσαντα 199,23 ἡμᾶς 235,6 τὸν ἀκροατήν 254,27
ἀποπίπτειν τοῦ κατὰ φύσιν ἑνός 74,12
ἀποπλανᾶν. ἀποπλανᾶσθαι 137,25 τῆς διανοίας 176,22
ἀποπληροῦν τὴν ἀπορίαν 93,31
ἀποπλήρωσις 144,17
ἀπόπτωσις 213,9 ἐσχάτη 255,22 264,23
ἀπορία. παρέχειν ἀπορίαν 131,22 ἐπιλύεσθαι 169,10
ἀπορρίπτειν. ἀπερρίφθαι 133,30
ἀποσείειν. ἀποσείεσθαι opp. οἰκειοῦσθαι 11,30
ἀποστενοῦν syn. μερικώτερον ποιεῖν 210,23
ἀποτείνειν. ἀποτείνεσθαι *spectare* 5,8 212,33
ἀποτελεῖν 2,7
ἀποτέλεσμα 63,6. 8. 10 134,5 142,7
ἀποτρέπειν opp. προτρέπειν 130,34
ἀποτυποῦν. ἀποτυποῦσθαι 35,9
ἀπουσία τοῦ εἴδους 163,14 255,30 sq.
ἀποφάναι opp. καταφάναι 124,9. 12 sq. 187,11 sq.

ἀπ[illegible] [illegible] καταφατικαὶ ἀποφάνσεις 3,31 dist. πρότασις 4,12 8,17 dist. φάσις 76,1 sq. ἐξ ὀνομάτων καὶ ῥημάτων ἔχει τὴν γένεσιν 8,31 ἁπλῆ 11,7 opp. σύνθετος 78,1 sq. δύο τρόποι ἀποφάνσεως 76,7 εἰς τὴν κατάφασιν διαιρεῖται καὶ τὴν ἀπόφασιν 15,18 ὡς γένος εἰς εἴδη 15,24. 29 17,3 66,17 80,20 sq. εἶδος λόγου 16,8 17,4 42,16

ἀποφαντικὸς λόγος 2,22. 25 5,14 11,4 17,5 18,4 27,14. 21 65,25 157,28 ὁρισμὸς τοῦ ἀποφαντικοῦ λόγου 66,15 ἀποφαντικὸν εἶδος λόγου 2,18 65,28 τὸ μὲν κατηγορικὸν τὸ δὲ ὑποθετικόν 3,7 sq. περὶ τῶν ἀρχῶν τοῦ ἀποφαντικοῦ λόγου 7,17 μεταβαίνει ἐπὶ τὴν τοῦ ἀποφαντικοῦ λόγου θεωρίαν 64,29 τρόποι τῆς χρήσεως τῶν ἀποφαντικῶν λόγων 76,13 γράφεται ἀντὶ τοῦ ἀντιφατικῶς καὶ ἀποφαντικῶς (Arist. p. 17 b 17) 109,24

ἀπόφασις 11,30 42,12 εἶδος ἀποφάνσεως 15,19. 24. 31 16,6 80,31 ἐπὶ τῶν μετὰ τρόπου προτάσεων ἀλλοιότερον ἀνάγκη γίνεσθαι τὰς ἀποφάσεις καὶ οὐχ ὥσπερ ἐπὶ τῶν ἄνευ τρόπου προτάσεων 14,11 (cf. 14,5) τελειότερον κατάφασις ἀποφάσεως 17,2 67,22 sq. dist. φάσις 59,18 sq. ἀνάγκη ἐν τῇ ἀποφάσει περιέχεσθαι καὶ τὴν κατάφασιν 60,7 ὁρισμὸς ἀποφάσεως 80,32 ἡ κατάφασις τὸ ἀρνητικὸν προσλαβοῦσα μόριον ἀπόφασις γίνεται 87,8 120,4 sq. ποῦ τῆς καταφάσεως αὐτὸ θετέον 86,9 159,28 ἡ μερικὴ ἀπόφασις 93,19 sq. αἱ ἀποφάσεις στερήσεσιν (ἀνάλογοί εἰσι) 94,5 οἱ μὲν . . τὴν μερικὴν χείρονα εἶναί φασι τῆς καθόλου, . . οἱ δὲ τὴν καθόλου χείρονα εἶναι τῆς μερικῆς ἀποφαίνονται 111,33 sq. ἀπροσδιόριστος 98,2 110,22 sq. 117,6 τῇ μιᾷ καταφάσει μίαν μόνην ἀπόφασιν μάχεσθαι δυνατόν 123,16. 17 γνωριμώτεραι . . τῶν ἀποφάσεων αἱ καταφάσεις 164,17 τίνα τρόπον ἐκ τῶν μετὰ τρόπου καταφάσεων γίνεσθαι χρὴ τὰς ἀποφάσεις 221,10 διχῶς 224,30 ἐπὶ τῶν προσδιωρισμένων μετὰ τρόπου καταφάσεων 225,29 ἀποφαίνεται σφοδροτέραν εἶναι τὴν μάχην τῆς ἀποφάσεως πρὸς τὴν κατάφασιν ἤπερ τῆς τοῦ ἐναντίου καταφάσεως 252,19 sq.

ἀποφάσκειν 61,12 expl. 82,15 157,13

ἀποφατικός. ἀποφατικὴ ἀπόφανσις 15,20 16,6 ποιότης 112,1 πρότασις 156,2 ἀποφατικὸν εἶδος 72,13 167,20. 31 τὸ ἀποφατικὸν 79,24 ἀποφατικὸς προσδιορισμός 89,11 sq. λόγος 264,5 τὸ ἀποφατικὸν μόριον 95,13 187,12 ἀποφατικῶς 2,11 74,1 85,1 100,6 157,21 169,18 196,29

ἀποχρῆσθαι 147,29

ἀπροσδεής 3,26

ἀπροσδιόριστος πρότασις 90,2. 6 98,2 129,4 162,17 al. πῶς δὲ (αἱ ἀπροσδιόριστοι προτάσεις) λέγονται μὴ εἶναι μὲν ἐναντίαι, σημαίνειν δέ ποτε ἐναντία, τοῦτο ἤδη πολλὰ τοῖς ἐξηγηταῖς πράγματα παρέσχε 98,29 ἃς καὶ ἐν τούτοις καθόλου μὴ καθόλου προσηγόρευσεν 110,22 ταῖς μερικαῖς τὴν αὐτὴν ἔχουσι δύναμιν 110,24 162,29 172,22 ἀπροσδιόριστος κατάφασις 110,27 111,31 ἀπόφασις 110,28 111,32 ἀνθ' ἑκατέρας (τῶν προσδιωρισμένων) αὐτὴν παραλαμβάνεσθαι ῥητέον . . . ὡς καθ' ἑαυτὴν οὐδεμίαν ὡρισμένην κατὰ τὸ ποσὸν ἔχουσαν δύναμιν 117,6 sq. ἀπροσδιόριστοι ἀντιφάσεις 160,23 161,6

ἄρα. τὸ 'ἄρά γε' 202,32 203,3

ἀρά 38,24 sq.

ἀραρότως εἰδέναι 55,2

ἀρατικὸς λόγος 2,27

ἀράχνης ὁ 64,10

ἀράχνιον 64,10

ἄρδην ἀνατρέπειν 150,24 ἀναιρεῖν 245,16

ἀρέσκειν. ἀρέσκεσθαι 176,16 199,33 200,25

ἀρετή opp. κακία 150,21 καθαρτική 135,26 θεωρητική 135,29

ἄρθρον. ἄσημον μέρος τοῦ λόγου 12,14. 27 13,5 50,18. 29 expl. 15,4 59,2. 27 ἄρθροις συνταττόμεναι φωναί (ὀνόματα) 10,8 sq. τὸ ἑνικὸν ἄρθρον coll. πᾶς 97,9 106,13 168,22 268,14 τὰ δυϊκὰ ἄρθρα καὶ τὰ πληθυντικά 269,15 ἄρθρα ζῴου 31,5. 9

ἀριθμητός 213,13

ἀριθμός. πεπερασμένοι ἀριθμοί 65,17 ἡ τοῦ ἀριθμοῦ αὔξησις 250,31 ὁ τρία 257,33 258,1

ἀρκεῖν. ἀρκεῖσθαι 230,12

ἁρμόζειν intr. 21,24 173,7 ἁρμόττειν 168,30 183,4 201,30

ἄρνησις 11,30 13,23 41,30 97,17 116,19 117,22 συνταττομεν τὰς ἀρνήσεις αὐτοῖς τοῖς προσδιορισμοῖς 94,31 τῷ κυριωτέρῳ..

μέρει 95,9 218,7 τὰς δύο . . ἀρνήσεις μίαν θέσιν . . . σημαίνειν 161,23 τῶν τρόπων τὰς ἀρνήσεις προτάττειν 223,2. 18
ἀρνητικός. ἀρνητικὸν μόριον 27,2 42,9 sq. 59,1 67,26 117,18 157,21. 23 159,30 τῷ κατηγορουμένῳ προστίθεμεν 70,8 87, 11 sq. ἢ τῷ ἔστιν ἢ τῷ προσδιορισμῷ τοῦτο συνείροντες 116,13. 14 αἱ ἀρνητικαὶ ἀποκρίσεις 200,23 ἀρνητικῶς 79,18 218,20
ἀρρενικός. ἀρρενικῶς 35,25 sq.
ἀρρενόθηλυς. τὸ ἀρρενόθηλυ 36,7
ἄρρην 25,23 sq.
ἄρρητος 213,12 263,22
ἄρρωστος 137,8. 10 140,15
ἀρτηρία τραχεῖα 25,2 30,11 63,4
ἄρτιος opp. περιττός 99,13 257,26 sq. ἀρτίως 187,22
ἀρύθμιστος φωνή 63,17
ἀρχέτυπος 166,31 τὸ ἀρχέτυπον 43,15
ἀρχὴ τῶν αἰσθήσεων (ἡ φαντασία) 6,14 περὶ τῶν ἀρχῶν τοῦ ἀποφαντικοῦ λόγου 7,18 83,10 τὰς ἀμέσους ἀρχὰς τῶν ἀποδείξεων τὰς ἀναδιαρθρωμένας τοῖς ἀξιώμασιν 9,21 ἀρχαὶ γεωμετρίας 7,19 ποιητικῆς καὶ ῥητορικῆς 65,23 τῆς ἀποδεικτικῆς ἐπιστήμης 65,26 τῆς τέχνης 138,1 ταῖς ἀρχαῖς τῶν πράξεων ἐγχειρεῖν 148. 33 151,7 ἄλλην ἀρχὴν ἄρχεσθαι 159,8 ἐξ ἀρχῆς 147,20. 26 al. οὐδὲ τὴν ἀρχήν 89,34
ἀρχικὸς διάκτυος 24,25 ἀρχικὴ φύσις 35,2
ἀρχοειδής 55,19. 23 56,3
ἄσημος. ἄσημα μέρη τοῦ λόγου 12,14 15, 11 59,4. 7 ἄσημος λέξις 17,22 φωνή 17,23 30,20 31,4 sq. 126,27. 29
ἀσκεῖν κρίσιν 1,11
ἄσκεπτος. ἀσκέπτως 35,24
ἄσκοπος. ἀσκόπως 31,18 40,18
ἀστράπτειν. ἀστράπτει 28,16
ἀσυλλόγιστος 227,26
ἀσυμφανής. ἀσυμφανῶς 144,9
ἀσύνδετος ἀπαρίθμησις 71,30 ἀσύνδετοι λόγοι 75,3. 10. 12 78,19 sq. ἀσυνδέτως 78,9. 10. 18
ἀσφαλής coll. δειλός, θρασύς 260,24
ἄσχολος 132,20
ἀσώματος φύσις (τῶν εἰδῶν) 89,35 τῶν θεῶν δύναμις 132,28
ἄσωτος opp. φιλάργυρος, οἰκονομικός coll. ἐλευθέριος 260,25. 26
ἀτελεία 235,2 236,23 250,13
ἀτελής opp. τέλειος 32,27 68,23. 26 113,5 115,30 250,2. 14 τὸ ἀτελές 7,5 17,8
ἄτομος. τὰ ἄτομα opp. εἶδος 71,35 89, 22 sq. καταφατικῶς μὲν τὰ ἄτομα κατὰ [illegible] 171,[illegible]
ἄτοπος 147,25. 27 al. εἰς ἄτοπον ἀπάγειν 193,25
ἄτρεπτος φύσις 89,35 ἐνέργεια 134,9 τὸ ἄτρεπτον 134,29 136,23 ἀτρέπτως 38, 30
αὐλός 30,14
αὖλος δύναμις 132,28
αὔξησις τοῦ ἀριθμοῦ 250,31. 33
αὐτάρκης. αὔταρκες 70,14. 18 71,32 83, 16
*αὐτοενέργεια. αὐτοενέργειαι opp. ἐνεργείᾳ τοιάδε 248,18. 28 251,1
αὐτόθεν 4,17 14,28 29,23 32,6 56,1 65, 21 70,20 114,24 117,9 133,10 141,34 185,11 208,32 al.
αὐτοκίνητος 38,29. 31 63,23 131,18 137. 22 138,3
αὐτόματος 132,17 τὸ αὐτόματον 142,15 sq. ἐκ ταὐτομάτου 131,1 ἀπὸ ταὐτομάτου 142,21. 22
αὐτοπρόσωπος. αὐτοπροσώπως 65,11
αὐτοτελής 3,16 44,14 64,31 νοῦς 7,5 διάνοια 62,11 λόγος 27,20 158,3 189, 31 223,33 ἀπόφανσις 68,14 sq. 224,4 αὐτοτελῆ μέρη (τοῦ λόγου) 58,27
αὐτοφυὴς κατάφασις καὶ ἀπόφασις 167,31 ταῖς τε αὐτοφυέσιν ἐννοίαις τῶν ψυχῶν ἀποχρώμενος 147,28 αἱ κοιναὶ ἡμῶν καὶ αὐτοφυεῖς ἔννοιαι 253,14 αὐτοφυεῖς καὶ ἀδίδακτοι 256,11 αὐτοφυῶς 66,32 αὐτοφυέστερον 106,32
ἀφερέπονος 132,18
ἄφεσις βέλους 20,13
ἀφορίζειν 34,14. 25 ἀφορίζεσθαι 1,21 ἀφωρισμένον ποσόν 99,27 ἀφωρισμένως 131,3 138,17 sq.
ἀφορισμός 89,18 114,9
ἀφορμή 249,13 252,8
ἄχρηστος 101,29
ἄχρις 150,32
ἀχώριστος 6,13 ἀχώριστα εἴδη 213,3
ἄψυχος. τὰ ἄψυχα 25,24 241,24

Βάθος 250,8 παρακολουθεῖν τῷ βάθει τῆς τοῦ Πλάτωνος διανοίας 213,21
βάναυσος τέχνη 208,12
βαρύνειν opp. ὀξυτονεῖν 113,34
βαρυτονεῖν 113,35
βασανίζειν 243,23 253,16
βέλος. βέλους ἄφεσις 29,13
βλίτυρι 17,22 30,19 31,14
βοᾶν. σαφῶς βοῶντος τοῦ Ἀριστοτέλους 167, 35
βοτρυδόν 12,1
βούλεσθαι expl. 33,31 61,34
βουλεύεσθαι 134,12. 13 148,13. 29 150, 17 sq.
βουλευτικός 148,12. 16. 23
βουλή syn. προαίρεσις 142,19 242,23 ἔνδεια γὰρ ἡ βουλὴ φρονήσεως 134,12
βούλησις. ὀρεκτικὴ δύναμις 5,5 διαφορὰ τῆς τε βουλήσεως καὶ τῆς δοκήσεως 201, 19
βραχυλογία 66,5 221,25 229,28
βραχύς. κατὰ βραχύ 12,6 διὰ βραχέων 264,10
βροντᾶν. βροντᾷ 28,16. 22
βροτός. κατὰ τὴν εἰς γένεσιν τῆς ψυχῆς πτῶσιν καὶ τὸν ἐντεῦθεν μολυσμόν (ὁ ἄνθρωπος βροτὸς λέγεται) 38,11 ὡς μορτὸς καὶ μοιρητός 38,14
βῶλος 241,26

*Γαληνιαῖος. μετά τινος γαληνιαίας διαθέσεως 30,30
γάρ. αἰτιολογικὸς σύνδεσμος 141,2
γαργαρεών 30,11
γελαστικός 108,10
γένεσις. ὁδὸς ἐπὶ τὸ εἶναι 120,19 ἔχειν τὴν γένεσιν 2,4 3,21 9,1 59,19 τὰ ἐν γενέσει καὶ φθορᾷ 77,23 150,27 151,16 242,4 al. τὰ ἐν γενέσει 250,26
γενετή. ἐκ γενετῆς 23,3 30,27
γενητός. τὸ γενητόν 213,7 τὰ γενητά opp. ἀΐδια 248,14
γενικός. γενικώτερος 50,2 τὸ γενικώτερον 71,14 τὰ γενικώτατα 174,13
γέννημα 134,5
γεννητικός 36,12
γεννητός. τὰ γεννητά 136,6. 17
γένος. ἐπὶ τοῦ χρυσοῦ (σιδηροῦ) λεγομένου γένους 180,32 181,1 γένους εἰς τὰ εἴδη (διαίρεσις) 15,17. 24 πάντα τὰ γένη τοὺς ὁρισμοὺς συμπληροῦσι τῶν οἰκείων εἰδῶν 16,9. 10 opp. διαφορά 71,7 127,8 206, 17 opp. εἶδος, ἄτομα 89,19 sq. τὰ ἀνωτάτω γένη 169,10 κατὰ γένη 2,4
γεώδης. τὸ γεωδέστερον 39,3
γεωμετρία 7,19
γεωμετρικός. γεωμετρικαῖς, φασίν, ἀνάγκαις 148,17 γεωμετρικὴ ἀναλογία 229,13 κατὰ τοὺς γεωμετρικούς 248,2
γῆ. τὴν γῆν θηλυκῶς λέγουσιν 36,11 ἐν τῷ μέσῳ τετάχθαι τοῦ παντός 240,10 τὰ ἐξ οὐρανοῦ καὶ γῆς 249,16 ἡ τοῦ οὐρανοῦ πρὸς τὴν γῆν μυθευομένη μῖξις 249,23
γῆρας. τὸ εἰς γῆρας ἐλθεῖν 149,15
γινώσκειν. τὸ γινῶσκον καὶ τὸ γινωσκόμενον 135,16 sq.
γλαφυρός. γλαφυρωτέρα θεωρία 94,26
γλυκύτης 66,5
γλῶττα 25,5 30,14 63,4 64,21
γνήσιος 1,16 τὸ γνήσιον εἶναι τοῦ φιλοσόφου τὸ βιβλίον 5,24 sq. τὰ γὰρ ἐφεξῆς ὑποπτεύω ἤτοι μὴ εἶναι γνήσια τοῦ Ἀριστοτέλους 251,27
γνώριμος 16,10 94,6 τῶν γνωρίμων τις κατὰ φιλοσοφίαν 9,11 γνωριμώτερος 164, 17
γνῶσις 2,2 5,15 εἰκαστική 133,29 ἐπιστημονική, τεχνική opp. ζωή 208,19 ἀόριστος 132,12 133,15 ἀμφίβολος 134,7 τὰ διάφορα μέτρα τῶν γνώσεων 135,15 sq. μέση οὖσα τοῦ τε γινώσκοντος καὶ τοῦ γινωσκομένου 135,16 μία καὶ ὡρισμένη καὶ ἀμετάβλητος 136,3
γνωστικός. γνωστικαὶ δυνάμεις 5,2 63,20
γνωστός. τὸ γνωστόν 6,6 135,19
γόμφος 12,25. 28
γράμμα dist. στοιχεῖον 23,17 γράμματα dist. νοήματα, πράγματα, φωναί 18,26 θέσει 19,3 μᾶλλον τῶν φωνῶν 19,18 σύμβολα τῶν φωνῶν 19,33 20,14 31,26. 30
γραμματεύς 46,30
γραμματικός (Ἀρίσταρχος) 210,30. 31 οἱ γραμματικοί 11,1 13,21 28,23 65,7 98, 15 223,34 τῶν προσποιουμένων εἶναι γραμματικῶν τινες 25,18 οἱ τὴν γραμματικὴν μετιόντες τέχνην 43,4
γράφειν. γράφεσθαι coll. νοεῖσθαι, ἐκφωνεῖσθαι 22,15. 23,13 τὸ γραφόμενον syn.

ὁ γραφόμενος τύπος dist. γράμμα, στοιχεῖον 23, 11. 18 ὁ γεγραφώς (ψήφισμα) 46, 32
γραφεῖον 43, 12
γραφή 50, 7. 9 56, 18 al.
γρῦ. παράπαν οὐδὲ γρῦ 96, 13
γυμνάζειν τὴν διάνοιαν 137, 21
γυμνασία. γυμνασίας ἕνεκα 202, 26
γωνία 153, 17

Δαιμόνιος. δαιμονία πρόνοια 131, 13
δέ. οὕτω δέ in apodosi 199, 1 215, 26 μὴν δὲ 214, 29
δεικτικός 29, 2
δεῖν. πολλοῦ δέουσι τοῦ ἀνάγεσθαι 243, 16 δέον 179, 7 183, 22 201, 29 δέον ὄν 194, 26
δεῖν. τὰ δεδεμένα 13, 4. 5
δεῖξις 227, 6
δεκτικὸς ἀληθείας καὶ ψεύδους 2, 23. 35 5, 16 al. ἐπιστήμης 107, 8 sq. δικαιοσύνης 161, 24
δεξιός. δεξιὰ τύχη 35, 4
δεσμός 13, 3 160, 13
δεύτερος. τὸ πρῶτον καὶ δεύτερον 68, 5. 8 72, 11 193, 36 δευτέρως 73, 17. 34
δή. γὰρ δή 195, 24 258, 29 λέγω δή 195, 25 ὡς δὴ 198, 10 τότε δὴ 212, 12
δηλαδή 196, 18 240, 14
δηλητήριον 138, 3
δηλοῦν. δηλοῖ absol. trans. 168, 22 169, 22 178, 15. 31 194, 9 195, 29 231, 14
δηλωτικός 27, 13 29, 23 67, 11 170, 11. 30 216, 21
δημεύειν. τὰ δεδημευμένα (ὀνόματα) 66, 3
δημιούργημα 19, 9 34, 23
δημιουργικός. δημιουργικὴ αἰτία 134, 32
δημιουργός 35, 26 250, 14. 15
διαβεβαιοῦν. διαβεβαιοῦσθαι 142, 11 154, 27 211, 26 opp. εἰκάζειν 11, 21
διάγνωσις 8, 28
διάγραμμα 7, 21 163, 7 ἐκτιθέναι 109, 12 161, 25 166, 16
διαγράφειν 102, 4. 26
διαγώνιος θέσις 92, 32 109, 11 διαγώνιοι προτάσεις 109, 13 sq. 129, 3. 22 138, 32 sq. 148, 8 ἀντιφάσεις 138, 18. 23 160, 27 171, 14
διάδοχος 1, 8
διαζευγνύναι. τὸ διεζευγμένον 3, 21 73, 26
διαζευκτικὸς σύνδεσμος 4, 2 73, 30 διαζευκτικῶς 207, 9. 20
διάζευξις. κατὰ διάζευξιν λεγόμενοι λόγοι 67, 14 syn. διάστασις 75, 15
διάθεσις 49, 21 51, 13 71, 13. 19 sq. τῆς ψυχῆς 11, 27 31, 2 λεκτική 22, 2 γαληνιαία 30, 30 ζωὴ καὶ διάθεσις 258, 25
διαιρεῖν opp. συντιθέναι 26, 20 66, 18 sq. τὸ ἀληθὲς καὶ τὸ ψεῦδος 129, 3 sq. 188, 10 διελόμενος 154, 3 διῃρημένως 180, 20
μον, ὅτι συντελεῖ ἡμῖν εἰς γνῶσιν παντὸς συλλογισμοῦ δι' ὧν τὰ πράγματα γνῶναι δυνησόμεθα, ὅτι γνήσια τὰ βιβλία, εἴ γε αὐτὸς αὐτῶν πολλαχοῦ μέμνηται καὶ ἀτελὴς ἦν ἡ λογικὴ τούτων ἐστερημένη, καὶ τὰ ἑξῆς. ὑπὸ ποῖον μέρος ἢ ὄργανον ἀνάγεται, ὅτι ὑπὸ τὴν λογικήν, ἥτις ἐστὶν ὄργανον τῆς φιλοσοφίας. ὑπόλοιπον περὶ τῆς ἐπιγραφῆς εἰπεῖν, διὰ τί Ἀναλυτικὰ ἐπιγέγραπται ἀλλ' οὐχὶ Περὶ συλλογισμοῦ, περὶ οὗ καὶ πρόκειται αὐτῷ λέγειν, ὡς εἴρηται, καὶ διὰ τί ταῦτα μὲν τὰ δύο βιβλία, περὶ ὧν νῦν πρόκειται αὐτῷ λέγειν, Πρότερα ἀναλυτικὰ ἐπιγέγραπται, τὰ δὲ μετὰ ταῦτα, ἐν οἷς περὶ ἀποδεικτικοῦ συλλογισμοῦ διαλαμβάνει, Ὕστερα ἀναλυτικὰ ἐπιγέγραπται. καὶ λέγομεν ὅτι ἔστιν ἐν τοῖς συλλογισμοῖς σύνθεσις, ἔστιν δὲ καὶ ἀνάλυσις. ὥσπερ καὶ παρὰ τοῖς γραμματικοῖς ἔστιν σύνθεσις καὶ ἀνάλυσις. σύνθεσις μὲν καθ' ἣν ἀπὸ τῶν στοιχείων ἢ τῶν συλλαβῶν συντιθέασιν ὀνόματα ἢ ῥήματα, ἀνάλυσις δὲ καθ' ἣν τὰ συντεθέντα | ἀναλύουσιν 1. 91r ἐπὶ τὰ ἁπλᾶ ἐξ ὧν συνετέθη, εἰς τὰς συλλαβὰς καὶ τὰ στοιχεῖα. ἔστιν δὲ καὶ παρὰ τοῖς φυσιολόγοις σύνθεσις καὶ ἀνάλυσις. σύνθεσις μὲν ἡ γένεσις καθ' ἣν ἀπὸ τῶν ἁπλῶν ἐπὶ τὰ σύνθετα ἔρχονται. δεικνύντες ὅτι ἀπὸ τῶν $\bar{\delta}$ στοιχείων οἱ $\bar{\delta}$ χυμοὶ ἀφ' ὧν ἄνθρωποι. ἀνάλυσις δὲ καθ' ἣν ἀπὸ τῶν συνθέτων ἐπὶ τὰ ἁπλᾶ ἔρχονται, οἷον ὁ ἄνθρωπος ἐκ τῶν $\bar{\delta}$ χυμῶν, οἱ $\bar{\delta}$ χυμοὶ ἐκ τῶν $\bar{\delta}$ στοιχείων. καὶ παρὰ τοῖς φιλοσόφοις δὲ ἔστιν σύνθεσις καὶ ἀνάλυσις, σύνθεσις μέν, ὅταν ἀπὸ τῶν ἁπλῶν εἰδῶν ἔλθωσιν ἐπὶ τὰ σύνθετα, οἷον ἀπὸ τοῦ καθ' αὑτὸ καλοῦ ἐπὶ τὸ ἐν τῷ νῷ καλόν, ἐπὶ τὸ ἐν τῇ ψυχῇ, ἐπὶ τὸ ἐν τοῖς σώμασιν· ἀνάλυσις δέ ἐστιν, ὅταν ἀπὸ τῶν ἐν τοῖς αἰσθητοῖς εἰδῶν ἀναδράμωσιν ἐπὶ τὰ ἐν τοῖς νοητοῖς. ἔστιν δὲ καὶ ἐρωτικὴ ἀνάλυσις, ἣ κέχρηται ἐν τῷ Συμποσίῳ ἀπὸ τοῦ ἐν τοῖς αἰσθητοῖς κάλλους ἀναπτέχων ἐπὶ τὸ νοητὸν κάλλος· ἔστιν δὲ καὶ γεωμετρικὴ ἀνάλυσις ἡ ἡ πῶς τὸ δεύτερον τῶν Εὐκλείδου ἀναλύεται ὅλον. καὶ τὴν τοιαύτην ἀνάλυσιν ὁ Γεμῖνος ὁριζόμενος φησιν "ἀνάλυσίς ἐστιν ἀποδείξεως εὕρεσις"· ἀπὸ γὰρ τοῦ συμπεράσματος ἔρχονται οἱ ἀναλύοντες· καὶ ἐὰν εὕρωσιν ἀλῦσαι, εὐχερῶς ἃ ἀναλύοντες εὑρήκασιν συνθέντες ποιοῦνται τὴν ἀπόδειξιν· ὥστε καλῶς ὡρίσατο τὴν ἀνάλυσιν ἀποδείξεως εὕρεσιν εἶναι. ἔστιν δὲ καὶ παρὰ τοῖς ἀστρονόμοις σύνθεσις καὶ ἀνάλυσις. ἔστιν οὖν καὶ ἐν τοῖς συλλογισμοῖς. καὶ σύνθεσις μέν ἐστιν ἡ συναγωγὴ τῶν λημμάτων καὶ ἡ γένεσις αὐτοῦ τοῦ συλλογισμοῦ· οἷον θέλω ἀποδεῖξαι ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστιν, καὶ συνάγω λήμματά τινα, ἐξ ὧν πλέκω συλλογισμὸν οὕτως· ἡ ψυχὴ αὐτοκίνητον·

---

ad 1—3 in sinistro margine ascripsit ἐν μὲν τοῖς πρακτικοῖς τὴν τοῦ ἀγαθοῦ καὶ κακοῦ διάκρισιν· ἐν δὲ τοῖς θεωρητικοῖς τὴν τοῦ ἀληθοῦς καὶ ψευδοῦς ἐπιδρομήν P 2 εἴ γε scripsi: εἰ δε (sic) P ad 3—7 in dextro margine ascripsit διαρεῖται (sic) δὲ τὸ α βιβλίον εἰς ῡ. καὶ ἐν μὲν τῷ πρώτῳ τμήματι περὶ συνθέσεως συλλογισμῶν, ἐν δὲ τῷ $\bar{\beta}$ περὶ εὑρέσεως λημμάτων, ἐν δὲ τῷ $\bar{\gamma}$ περὶ ἀνάλυσεως P 6 περὶ prius superscr. P 14 immo εἰς τὰ ἁ. 24 ἐρωτηματικὴ prave Waitz Org. I 44 ἐν τῷ Συμποσίῳ] c. 24 p. 204 D sqq. 25 κάλους — κάλος P 26 ἣ που Waitz l. c. ἡπῶ in P scriptum esse arbitratus : ἥπερ Diels 30 ὁρίσατο P

πᾶν αὐτοκίνητον ἀεικίνητον· πᾶν ἀεικίνητον ἀθάνατον· ἡ ψυχὴ ἄρα ἀθάνατος. αὕτη σύνθεσίς ἐστιν. ἀνάλυσις δέ, ὅταν τὸν συλλογισμὸν εὑρόντες κείμενον παρά τινι τῶν παλαιῶν ζητῶμεν ὑπὸ ποῖον σχῆμα ἀνάγεται, καὶ οὕτως αὐτὸν ἀναλύωμεν εἰς τὰ λήμματα τὰ ἐξ ὧν συνετέθη· οἷον τοῦτον αὐτὸν τὸν εἰρημένον συλλογισμὸν ἐὰν βουληθῶ ἀναλῦσαι εὑρὼν παρὰ Πλάτωνι | κείμενον, ἄρχομαι ἀπὸ τοῦ συμπεράσματος καὶ λέγω· ἡ ψυχὴ f. 91v ἀθάνατός ἐστιν· πόθεν δὲ τοῦτο κατεσκευάσθη; ἐκ τοῦ 'πᾶν ἀεικίνητον ἀθάνατόν ἐστιν' καὶ 'πᾶν αὐτοκίνητον ἀεικίνητον'. καὶ οὕτως ἀναλύω τὸν συλλογισμὸν εἰς τὰ λήμματα ἐξ ὧν συνετέθη. καὶ αὐτὰ δὲ τὰ λήμματα ἐὰν βουληθῶ ἀναλῦσαι, ἀναλύω αὐτὰ εἰς τοὺς ὅρους· πᾶν γὰρ λῆμμα ἔχει πάντως τὸν μὲν ὑποκείμενον τὸν δὲ κατηγορούμενον ὅρον. λέγει δὲ ἐν τοῖς βιβλίοις τούτοις καὶ περὶ ἀναλύσεως· οὐ γὰρ ὁ εἰδὼς μὲν συνθεῖναι μὴ εἰδὼς δὲ ἀναλῦσαι οὗτος ἐπιστήμων ἐστὶν τῆς συλλογιστικῆς μεθόδου. αὐτὸς γοῦν εἰπὼν περὶ γενέσεως συλλογισμοῦ πρότερον, τουτέστιν περὶ συνθέσεως, εἶτα περὶ εὑρέσεως τῶν λημμάτων, ποίᾳ μεθόδῳ κεχρημένον δυνατὸν εὑρίσκειν λήμματα ἐξ ὧν ἡ τῶν συλλογισμῶν γένεσις, ἐπάγει καὶ περὶ ἀναλύσεως καὶ λέγει πῶς δεῖ ἀναλύειν. ἀρχόμενος δὲ τοῦ περὶ ἀναλύσεως τμήματος λέγει ὅτι ἀναγκαῖόν ἐστιν καὶ περὶ ἀναλύσεως εἰπεῖν· ὁ γὰρ εἰδὼς τὴν σύνθεσιν τῶν συλλογισμῶν καὶ δύναμιν ἔχων εὑρετικὴν τῶν λημμάτων καὶ ἀναλύειν ἐπιστάμενος κατωρθωκὼς ἂν εἴη τὸ προκείμενον, τουτέστιν ἐπιστήμων ἔσται τῆς συλλογιστικῆς μεθόδου, ὡς ἂν μὴ ἀκοῦντος τοῦ μόνον εἰδέναι τὴν σύνθεσιν ἀλλὰ καὶ ἀνάλυσιν, ἥτις τῇ συνθέσει ἀντίκειται· ἡ μὲν γὰρ ἀπὸ τῶν ἁπλῶν ἐπὶ τὰ σύνθετα ἔρχεται, ἡ δὲ τὸ ἀνάπαλιν ἀπὸ τῶν συνθέτων ἐπὶ τὰ ἁπλᾶ. λέγει δὲ αὐτὸς ἀρχόμενος τοῦ περὶ ἀναλύσεως λόγου 'εἰ γὰρ συντιθέναι γιγνώσκοιμεν καὶ δύναμιν τοῦ εὑρίσκειν ἔχοιμεν, ἔτι μέντοι καὶ ἀναλύοιμεν, πέρας ἂν ἔχοι ἡ ἐξ ἀρχῆς πρόθεσις'. ὡς ἂν (οὖν) οὐ περὶ συνθέσεως μόνης προτεθὲν αὐτῷ εἰπεῖν ἀλλὰ καὶ περὶ ἀναλύσεως συλλογισμοῦ διδάσκειν ἐν τοῖς προκειμένοις δύο βιβλίοις καὶ ἐν τοῖς ἄλλοις δύο τοῖς μετὰ ταῦτα Ἀναλυτικὰ αὐτὰ ἐπέγραψεν. ἀλλ' εἴποι τις, οὗ καὶ περὶ συνθέσεως διδάσκει καὶ περὶ εὑρέσεως, τί δήποτε οὐ Συνθετικὰ ἐπέγραψεν οὐδὲ Εὑρετικὰ ἀλλὰ Ἀναλυτικά; τίς ἡ ἀποκλήρωσις; καὶ λέγομεν ὅτι ἀπὸ τοῦ ἐπιστημονικωτέρου καὶ | τοῦ f. 92r τιμιωτέρου· ὁ γὰρ εἰδὼς ἐπιστημονικῶς ἀναλῦσαι καὶ συνθεῖναι οἶδεν, οὐ πάντως δὲ ὁ εἰδὼς συνθεῖναι καὶ ἀναλῦσαι· οἷον ὁ οἰκοδόμος ὁ ἀναλῦσαι εἰδὼς ὥστε τὰς ὕλας ἀπαθεῖς φυλάξαι πάντως καὶ συνθεῖναι οἶδεν·

---

4 τὰ alt. deleverim cf. vs. 9 et p. 8,25 5. 6 παρὰ Πλάτωνι] Phaedr. c. 24 p. 245 C 8 αὐτοκίνητον ἀεικίνητον scripsi cf. vs. 1: inv. ord. P ad αὐτοκίνητον in mrg. add. τὴν ψυχὴν αὐτοκίνητον P; fort. καὶ ἡ ψυχὴ αὐτοκίνητον addendum 14 γοῦν scripsi: γε ὅτι P cf. p. 9.1. 20 15 κεχρημένον scripsi: κεχρημένος P 20 κατορθωκὼς P 21 ἐπιστήμων scripsi: ἐπιστήμη P 22 ἀλλὰ] fortasse ἀλλ' οὐ 25 εἰ γὰρ — πρόθεσις (27)] memoriter citat Anal. Pr. I 32 p. 47a2—5 26 ἀναλύοιμεν ex Arist. scripsi: ἀναλύομεν P 27 οὖν addidi αὐτῷ scripsi: τῶν (sic) P 28 διδάσκειν scripsi: διδάσκει P 34 δε ὁ εἰδὼς in ras P² post συνθεῖναι induxit ου πάντως P², ut videtur

⟨οἶδε⟩ γὰρ τί πρῶτον, τί μέσον, τί τελευταῖον συνετέθη, καὶ οὕτως ἀναλύει. ἐπειδὴ οὖν ἡ ἀνάλυσις τιμιωτέρα ἐστὶν καὶ ἐπιστημονικωτέρα καὶ περιληπτικωτέρα καὶ τελειοτέρα (ὁ γὰρ ἀναλῦσαι εἰδώς, ὡς εἴρηται, πάντως καὶ συνθεῖναι οἶδεν), ἀπὸ τῆς ἀναλύσεως Ἀναλυτικὰ αὐτὰ ἐπέγραψεν ὁ φιλόσοφος. συντόμως δὲ ἠρκέσθη ἀπὸ τοῦ τελειοτέρου αὐτὰ ἐπιγράψαι, καὶ οὐκ ἀπὸ τῶν δύο αὐτὰ ἐπέγραψεν. λέγω δὲ καὶ ἄλλως, ὅτι συλλογισμοῖς μὲν καὶ ἄλλοι πρὸ τοῦ Ἀριστοτέλους ἐχρήσαντο, ὥσπερ οὖν καὶ ὁ Πλάτων καὶ πάντες † οἷς καὶ ἄλλοι πλεῖστοι, καὶ οἱ ἰδιῶται δὲ ἐν τῷ διαλέγεσθαι καὶ ἐν τῷ πράττειν τι συλλογισμοῖς κέχρηνται· οὐδεὶς μέντοι πρὸ τοῦ Ἀριστοτέλους παραδέδωκεν τὴν συλλογιστικὴν μέθοδον οὐδὲ εὗρεν τὰ τρία σχήματα ὑφ' ἃ πάντες οἱ συλλογισμοὶ ἀνάγονται. καὶ μεγάλα φρονεῖ, καὶ εἰκότως μεγάλα φρονεῖ ἐπὶ τῇ εὑρέσει τῶν τριῶν σχημάτων καὶ τῷ κατανοῆσαι ὅτι τρία σχήματά ἐστιν καὶ οὔτε πλέον οὔτε ἧττον, ὑφ' ἃ πάντες οἱ συλλογισμοὶ ἀνάγονται, καὶ πᾶσα πίστις, εἴτε ἐπαγωγικὴ εἴη εἴτε οἱαδήποτε, ὑπὸ ἓν τῶν σχημάτων τούτων ἀνάγεται· δείκνυσιν γὰρ ὅτι πᾶσα πίστις, καὶ ᾗ ὁ φυσιολόγος κέχρηται καὶ ᾗ ὁ φυσιογνώμων καὶ ᾗ ὁ θεολόγος καὶ πᾶσα ἁπλῶς, ὑπὸ ἓν τῶν σχημάτων τούτων ἀνάγεται. ἐπειδὴ οὖν τῇ ἀναλύσει κέχρηται πάντα συλλογισμὸν καὶ πᾶσαν πίστιν ὑπὸ ἓν τῶν τριῶν τούτων σχημάτων ἀνάγων, Ἀναλυτικὰ ἐπιγέγραπται. ἐπειδὴ δέ, ὡς εἴρηται, εὔτακτόν ἐστιν καὶ ἀκόλουθον πρότερον διδάξαι τὰ κοινῶς ὑπάρχοντα παντὶ συλλογισμῷ, εἶτα τὰ ἰδίως τῷδε καὶ τῷδε, διὰ τοῦτο ταῦτα μὲν τὰ δύο βιβλία, ἐν οἷς διδάσκει περὶ τοῦ κοινοῦ συλλογισμοῦ, Πρότερα ἀναλυτικὰ ἐπιγέγραπται, ⟨τὰ⟩ δὲ ἄλλα δύο, ἐν οἷς οὐκέτι ἁπλῶς περὶ καθόλου συλλογισμοῦ διαλαμβάνει, ἀλλὰ | περὶ ἀποδεικτικοῦ συλλο- f. 92v
γισμοῦ διαλαμβάνει, Ἀναλυτικὰ ὕστερα ἐπιγέγραπται.

Τοσαῦτα μὲν περὶ τῆς ἐπιγραφῆς. ἆρα δὲ ἡ ἀνάλυσις μόνῃ τῇ συνθέσει ἀντίκειται ἢ καὶ ἄλλοις τισίν; λέγομεν ὅτι καὶ ἄλλοις τισίν· τῆς γὰρ διαλεκτικῆς ὃ εἰσὶν μέθοδοι δυνάμεις οὖσαι καὶ οἱονεὶ βλαστήματα αὐτῆς, διαιρετική, ὁριστική, ἀποδεικτική, ἀναλυτική· ταύταις ταῖς τρισὶ μεθόδοις ἀντίκειται ἡ ἀναλυτική. ἴδωμεν δὲ ἑκάστης τὴν δύναμιν, ἵνα μάθωμεν πῶς ἀντίκειται αὐταῖς. ἡ διαιρετικὴ τὸ ἓν εἰς πολλὰ διαιρεῖ· ἡ ὁριστικὴ τὰ πολλὰ τὰ ὑπάρχοντά τινι συναγαγοῦσα ἀποκλείει αὐτὸ ἀπὸ τῶν ἄλλων πάντων· ἡ ἀποδεικτικὴ ἄλλῳ ἄλλο ὑπάρχον ἀποδείκνυσιν· ἡ δὲ ἀναλυτικὴ ἀπὸ τῶν συνθέτων ἐπὶ τὰ ἁπλᾶ ἀνατρέχει. καὶ ὅτι μὲν τέως τῇ διαιρετικῇ ἀντίκειται, πρόδηλον· ἡ μὲν γὰρ τὸ ἓν εἰς πολλὰ διαιρεῖ, ἡ δὲ τὰ πολλὰ εἰς ἓν συνάγει. ἀντίκειται δὲ καὶ τῇ ὁριστικῇ· ἡ μὲν γὰρ ἐκ πολλῶν ὑπαρχόντων, οἷον γένους καὶ διαφορῶν, σύνθετον ὅρον ἀποτελεῖ ἀποκλείουσα αὐτὰ τῶν ἄλλων, οἷον σύνθεσίς τις οὖσα· ἡ δὲ τὸ σύνθετον εἰς τὰ ἁπλᾶ ἀναλύει· ἐπισκο-

---

1 οἶδε addidi 4 συνθῆναι P 8 fortasse οἱ σ⟨οφισταὶ⟩ 9 κέχρηται P 10 συλλογιτικὴν P 16. 17 θελόγος P 18 οὖν scripsi: ὁ P 23 τὰ addidi 30 εἴδωμεν P 32 ἀποκλείη P

πεῖ γὰρ τὸ γένος καὶ τὰς διαφορὰς ἐξ ὧν συνετέθη. ἀντίκειται δὲ καὶ τῇ ἀποδεικτικῇ· ἡ μὲν γὰρ ἄλλο ἄλλῳ συνάπτει, οἷον τῇ ψυχῇ τὸ ἀθάνατον δείκνυσιν ὑπάρχον συλλογιστικῶς συντιθεῖσα συλλογισμόν· ἡ δὲ τὰ συναφθέντα διίστησιν. συντόμως δὲ εἰπεῖν ἡ μὲν διαιρετικὴ τὰ γένη εἰς τὰ εἴδη τέμνει, ἡ δὲ ἀναλυτικὴ τὰ εἴδη συνάγει εἰς τὰ γένη. πάλιν ἡ μὲν ὁριστικὴ ἐκ μερῶν ὅλον τι ποιεῖ, ἡ δὲ ἀναλυτικὴ ἀπὸ τῶν ὅλων εἰς τὰ μέρη μεταβαίνει ἐξ ὧν τὸ ὅλον γέγονεν. πάλιν ἡ μὲν ἀποδεικτικὴ ἀπὸ τῶν αἰτιῶν τὰ αἰτιατὰ δείκνυσιν, ἡ δὲ ἀναλυτικὴ ἀπὸ τῶν αἰτιατῶν ἐπὶ τὰ αἴτια μεταβαίνει. πάσαις ἄρα ἀντίκειται. ταύταις δὲ πάσαις κέχρηται ταῖς μεθόδοις ὁ θεῖος Πλάτων πολλαχοῦ, καὶ ἀνυμνεῖ αὐτὰς ἐν διαφόροις, ὡς ἐν τῷ Φαίδρῳ τὴν διαιρετικὴν | καὶ τὴν ὁριστικήν, f. 93r ὡς ἐν τῷ Φιλήβῳ τὴν ἀναλυτικὴν καὶ ἄλλοθί που τὴν ἀποδεικτικήν. ταῦτα καὶ περὶ τῆς ἀναλυτικῆς, ὅτι ἀντίκειται καὶ ταῖς ἄλλαις τρισὶ μεθόδοις τῆς διαλεκτικῆς.

Ἐπειδὴ δέ, ὡς εἴρηται, ὑπὸ τὴν λογικὴν ἀνάγεται ἡ προκειμένη πραγματεία, ἥτις κατὰ τοὺς Περιπατητικοὺς ὄργανόν ἐστιν φιλοσοφίας, οὐ πάντες δὲ οὕτως ἐδόξασαν περὶ τῆς λογικῆς, ὅτι ὄργανόν ἐστιν φιλοσοφίας, ἀλλὰ ἄλλοι ἄλλως, φέρε τούς τε διαφόρως δοξάσαντας περὶ τούτου εἴπωμεν τά τε δόγματα αὐτῶν καὶ τοὺς λόγους οἷς κεχρημένοι τὰ ἑαυτῶν, ὡς οἴονται, δόγματα κρατύνουσιν. οἱ μὲν Στωικοὶ τὴν λογικὴν οὐ μόνον ὄργανον οὐκ ἀξιοῦσι καλεῖσθαι φιλοσοφίας, ἀλλ' οὐδὲ μόριον τὸ τυχὸν ἀλλὰ μέρος. καὶ τινὲς δὲ τῶν Πλατωνικῶν ταύτης ἐγένοντο τῆς δόξης, ὅτι κατὰ Πλάτωνα οὐκ ὄργανον ἡ λογικὴ ἀλλὰ μέρος καὶ τιμιώτατον μέρος ἐστὶν φιλοσοφίας. οἱ δὲ Περιπατητικοὶ ὄργανον αὐτὴν λέγουσιν ἀλλ' οὐ μέρος. λεκτέον δὲ τὰ ἐπιχειρήματα τὰ οἷς κεχρημένοι κατασκευάζουσιν οἱ μὲν ὅτι ὄργανον, οἱ δὲ ὅτι μέρος ἐστὶν φιλοσοφίας. πρὸ δὲ τούτου λεκτέον τί διαφέρει ὄργανον μέρους. ὄργανον μὲν οὖν ἐστιν ὃ μὴ συντελεῖ τινι πρὸς τὸ εἶναι καὶ οὗ ἀναιρεθέντος τὸ ὅλον μένει· μέρος δὲ ὃ συντελεῖ τινι πρὸς τὸ εἶναι καὶ οὗ ἀναιρεθέντος συναναιρεῖται τὸ ὅλον. οἷον τὸ σκυτέως ὄργανόν ἐστιν σμίλη· οὐ γὰρ ἡ σμίλη συμπληρωτική ἐστιν τῆς οὐσίας αὐτοῦ, οὐδὲ ταύτης ἀφανισθείσης συναπόλλυται ὁ σκυτεύς· ἡ χεὶρ δὲ μέρος ἐστὶν τοῦ ἀνθρώπου, καὶ τῆς χειρὸς ἀναιρεθείσης συναπόλλυται καὶ ὅλος ὁ ἄνθρωπος· οὐκέτι γὰρ ὅλος ἐστίν, ἀλλὰ κολοβὸς καὶ ἀτελής ἐστιν. μέρος δὲ μορίου διαφέρει, ὅτι τὸ μέρος μέγα μέρος ἐστίν, τὸ δὲ μόριον μικρὸν μέρος ἐστὶν καὶ τοῦ μέρους μέρος· οἷον μέρος μέν ἐστιν φιλοσοφίας τὸ θεωρητικόν, μόριον δὲ τὸ θεολογικόν. τούτων προδιωρισμένων λεκτέον οἷς κρατύνουσιν τὰ ἑαυτῶν δόγματα οἵ τε Στωικοὶ καὶ οἱ Περιπατητικοί.

---

5 τέμνη P 11 ἐν τῷ Φαίδρῳ] c. 42 p. 259 E sqq. (imprimis p. 277 B) διαιρετικὴν, quod coniecit Waitz l. c., non διαλεκτικὴν exhibet P 12 ἐν τῷ Φιλήβῳ] c. 6 p. 15 D sqq. 13 καὶ ταῦτα conicias, at cf. p. 10,7. 20. 34 11,20 20 στοϊκοι P 25 τὰ alterum fortasse delendum cf. p. 6,4 30 σμίλη οὐ γὰρ P²: σμηλίου γαρ γὰρ P¹ ἡ σμήλη P 31 οὐδε P²: οὐσία δε P¹ 36 προδιωρισμένων pr., ς erasum P 37 στοϊκοί ut solet P, σ superscr. P²

οἱ μὲν οὖν Στωικοί φασιν ὅτι αὐτὴ ἡ φιλοσοφία τὴν λογικὴν ἀπογεννᾷ | καὶ ταύτῃ μέρος ἂν εἴη αὐτῆς. καὶ ἄλλους δὲ πολλοὺς τοιούτους f. 93v λέγουσι λόγους σαθρούς, δι' ὧν, ὡς οἴονται, κατασκευάζουσιν ὅτι μέρος ἐστὶν ἡ λογικὴ τῆς φιλοσοφίας. διὸ τοὺς μὲν πολλοὺς ἐατέον, ἐκεῖνον δὲ λεκτέον ὃν οἴονται κατασκευαστικώτατον καὶ δριμύτατον εἶναι. συλλογίζονται γὰρ οὕτως· ἐάν τις τέχνη κέχρηταί τινι ὃ μηδεμιᾶς ἄλλης τέχνης μέρος ἐστὶν ἢ μόριον, τοῦτο πάντως ταύτης τῆς τέχνης ἢ μέρος ἐστὶν ἢ μόριον· οἷον τῇ χειρουργικῇ, φασίν, κέχρηται ἡ ἰατρική, καὶ ἐπειδὴ οὐδεμία ἄλλη τέχνη κέχρηται τῇ χειρουργικῇ ὡς μέρει ἢ μορίῳ, ἡ χειρουργικὴ τῆς ἰατρικῆς οὐκ ἔστιν ὄργανον. ἡ δὲ φιλοσοφία, φασίν, κέχρηται τῇ λογικῇ, ἥτις οὐδεμιᾶς ἄλλης τέχνης * * * τῆς φιλοσοφίας ἀλλ' ἢ μέρος ἢ μόριον. εἰ δέ τις λέγει ὅτι καὶ ἄλλαι τέχναι κέχρηνται τῇ λογικῇ, ὡς ἡ ἰατρικὴ κέχρηται συλλογισμοῖς καὶ ἄλλαι πᾶσαι τέχναι κέχρηνται συλλογισμοῖς, ἐροῦμεν ὅτι κέχρηνται μὲν κἀκεῖναι, ἀλλ' οὐκ εἰσὶν τῶν μεθόδων ἐπιστήμονες καὶ οὐ προηγουμένως περὶ τοῦτο σπουδάζουσιν· οἷον ὁ ἰατρὸς οὐ προηγουμένως περὶ τὴν συλλογιστικὴν μέθοδον σπουδάζει, οὐδὲ εἴποις μέρος ἢ μόριον ἰατρικῆς εἶναι αὐτήν, ἀλλ' ὅσον ἐστὶν αὐτῷ χρήσιμον πρὸς ἀπόδειξιν τῶν ἰατρικῶν θεωρημάτων, τοσοῦτον παραλαμβάνει παρὰ τοῦ διαλεκτικοῦ ὡς ὄργανον· ὁ δὲ φιλόσοφος ἐπιστήμων ἐστὶν ὡς ἔνι μάλιστα τῆς τοιαύτης μεθόδου. ταύτῃ μὲν οὖν οἱ Στωικοί, ὡς οἴονται, κατασκευάζουσιν ὅτι οὐκ ὄργανόν ἐστιν ἡ λογική. λοιπὸν δὲ ὅτι μόριον, λέγουσιν ὅτι τῶν τριῶν μορίων τοῦ πρακτικοῦ ὕλη μέν ἐστιν τὰ ἀνθρώπινα, τέλος δὲ ἡ τοῦ ἀνθρωπίνου βίου εὐδαιμονία, ἣν ὁ πολιτικὸς σπουδάζει περιποιεῖν· πάλιν δὲ τῶν τοῦ θεωρητικοῦ μορίων ὕλη μέν ἐστι τὰ θεῖα πράγματα, τέλος δὲ ἡ θεωρητικὴ εὐδαιμονία· ἡ δὲ λογικὴ πραγματεία οὔτε ὕλην τὴν αὐτὴν ἔχει οὔτε τέλος· ὕλη μὲν γὰρ αὐτῆς ἐστιν οἱ λόγοι, τέλος δὲ ἡ γνῶσις τῶν ἀπο|δεικτικῶν μεθόδων· f. 94r καὶ τὰ ἄλλα γὰρ πάντα εἰς τοῦτο συντελεῖ, εἰς τὸ ἐπιστημονικῶς ἀποδεικνύναι. ὥστε ὑπ' οὐδέτερον μέρος φιλοσοφίας δύναται τετάχθαι· εἰ γὰρ καὶ περὶ ἀνθρωπίνων καὶ θείων πραγμάτων ἡ λογικὴ πραγματεύεται (κεχρήμεθα γὰρ αὐτῇ ἢ περὶ ἀνθρωπίνων ἢ θείων πραγμάτων διαλεγόμενοι), ἀλλ' οὐ περὶ ἀνθρώπινα μόνα ἔχει ὡς τὰ τοῦ πρακτικοῦ μόρια, οὐδὲ περὶ θεῖα μόνα ὡς τὰ τοῦ θεωρητικοῦ· ὥστε οὐ μόριον ἀλλὰ τρίτον μέρος ἐστὶν φιλοσοφίας. οὕτως οἴονται κατασκευάζειν οἱ Στωικοὶ ὅτι μέρος ἐστὶν φιλοσοφίας. ἔστιν δὲ τὰ ἐπιχειρήματα αὐτῶν εὐδιάσειστα. πρὸς μὲν γὰρ τὸ πρῶτον ἐροῦμεν ὅτι, εἰ καὶ φιλοσοφία ἀποτελεῖ τὴν λογικήν, οὐκ ἀνάγκη αὐτὴν μέρος εἶναι· οὐ γάρ, ἐπειδὴ ὁ χαλκεὺς ἀπο-

1 οὖν scripsi cf. vs. 20: ὅτι P¹: induxit P² στοϊκοί P¹: corr. P² 2 μέρος] μ e corr. P 6 οὕτως] ς supra lineam P κέχρηται] cf. p. 3,34 10,3 10 φασίν scripsi cf. vs. 8: φησὶν P 11 lac. signavi; supple μέρος ἐστὶν ἢ μόριον· ἡ λογικὴ ἄρα οὐκ ἔστιν ὄργανον 15. 16 σποδάζουσιν P 20 οὖν scripsi cf. vs. 1: ὅτι P 21 στοϊκοὶ P 22 immo μέρος sive ⟨μέρος, οὐ⟩ μόριον cf. vs. 33. 34 24 τῶν τοῦ θ. μορίων scripsi: τοῦ τῶν θεωρητικοῦ μορίου P 31 αὐτῇ scripsi: αὐτὴν P 34 στοϊκοὶ P 35 εὐδιάσαστα P

τελεῖ τὸν ἄκμονα, ὁ ἄκμων μέρος ἐστὶν τῆς χαλκευτικῆς ἀλλ' ὄργανον. πρὸς δὲ τὸ δεύτερον ἐροῦμεν ὅτι παρελογίσαντο· οὐ γὰρ ἔδει εἰπεῖν ὅτι, ἐὰν τέχνη κέχρηταί τινι ὃ μή ἐστιν ἄλλης τέχνης μέρος ἢ μόριον, τοῦτο ἐκείνης τῆς χρωμένης ἢ μέρος ἐστὶν ἢ μόριον, ἀλλ' ἔδει προσθεῖναι καὶ τὸ ὄργανον καὶ εἰπεῖν 'ὃ ἐὰν μὴ ᾖ ἄλλης τέχνης ἢ μέρος ἢ μόριον ἢ ὄργανον'. οἱ δὲ τοῦ ὀργάνου μνήμην οὐκ ἐποιήσαντο ὡς μὴ δυναμένου τινὸς ὀργάνου μόνως εἶναι. ταῦτα καὶ πρὸς τὸ ἀνατρέψαι τοὺς λόγους δι' ὧν, ὡς οἴονται, οἱ Στωικοὶ κατασκευάζουσιν ὅτι μέρος ἐστὶν ἡ λογικὴ τῆς φιλοσοφίας.

Οἱ δὲ Περιπατητικοὶ ὄργανον αὐτὴν λέγουσιν· φασὶν γὰρ ὅτι ⟨οὐ⟩ συντελεῖ τῇ φιλοσοφίᾳ πρὸς τὸ εἶναι· καὶ τῆς λογικῆς οὖν πραγματείας ἀνῃρημένης μένει τελεία ἡ φιλοσοφία. πρὸς δὲ τούτοις φασὶν ὅτι, ἐάν τι ᾖ πρᾶγμα ἄλλης μὲν τέχνης ἀποτέλεσμα ἄλλης δὲ ὄργανον, ἡ χρωμένη αὐτῷ ὡς ὀργάνῳ κρείττων ἐστὶν τῆς ἀποτελούσης αὐτό· οἷον ἡ χαλινοποιικὴ καταδεεστέρα ἐστὶν τῆς ἱππικῆς· τῆς μὲν γὰρ ἀποτέλεσμά ἐστιν ὁ χαλινός, τῆς δὲ ὄργανον. εἰ οὖν ἡ λογικὴ μέρος ἐστὶν καὶ ἀποτέλεσμα φιλοσοφίας, κέχρηται δὲ | αὐτῇ καὶ ἰατρικὴ καὶ ἄλλαι τέχναι, ὡς εἴρηται, κέχρηνται τῇ συλλογιστικῇ ὡς ὀργάνῳ, συμβαίνει αὐτὰς κρείττονας καὶ ὑπερτέρας εἶναι φιλοσοφίας, ὅπερ ἄτοπον· τέχνη γὰρ τεχνῶν ἐστιν καὶ ἐπιστήμη ἐπιστημῶν ἡ φιλοσοφία. οὐκ ἄρα μέρος ἐστὶν ἀλλ' ὄργανον φιλοσοφίας ἡ λογική. ταῦτα καὶ οἱ ἐκ τοῦ Περιπάτου. τινὲς δὲ τῶν Πλατωνικῶν εἰρήκασιν ὅτι κατὰ Πλάτωνα μέρος ἐστὶν ἡ λογικὴ τιμιώτατον τῆς φιλοσοφίας. καὶ παραφέρουσιν τὰ ἐν Φαίδρῳ ῥηθέντα περὶ τῆς διαλεκτικῆς, ἐν οἷς ἀνυμνεῖ αὐτήν, καὶ τὰ ἐν Φιλήβῳ καὶ τὰ ἐν ἄλλοις ὡς ἀνάγουσαν τὰς ψυχὰς ἄχρι τοῦ ἀγαθοῦ καὶ τῆς γνώσεως τῶν πραγμάτων αἰτίαν. ἡμεῖς δέ φαμεν πρὸς τούτους, ὅτι ἔστω μέρος αὐτὴν εἶναι, οὐ μέντοι δύναται εἶναι τὸ τιμιώτατον· ὁρῶμεν γὰρ ὅτι αὐτῇ κεχρήμεθα πρὸς κατασκευὴν καὶ ἀπόδειξιν τῶν τῆς φιλοσοφίας μερῶν, τοῦ θεωρητικοῦ καὶ τοῦ πρακτικοῦ. ὥστε κἂν ᾖ μέρος, οὐ τὸ τιμιώτατον ἔσται ἀλλὰ τῶν ἄλλων ἕνεκα μερῶν εὑρημένον, ὡς καὶ ὑπὸ τῆς φύσεως ὁρῶμεν μέρη ἕνεκα μερῶν εὑρημένα· οἷον ὁ πνεύμων λέγεται διὰ τὴν καρδίαν ὑπὸ τῆς φύσεως εὑρῆσθαι, ἵνα παρακείμενος αὐτῇ τὴν ὑπερβάλλουσαν αὐτῆς θερμότητα καταψύχῃ καὶ εὐκρασίαν ἀπεργάζηται, καὶ ὁ σπλὴν διὰ τὸ ἧπαρ, ἵνα τὸ ὅσον παχύτερον καὶ οὐ πάνυ καθαρὸν τῆς τροφῆς ὑποδέχηται· ὅθεν καὶ σπλὴν καλεῖται παρὰ τὸ σπᾶν εἰς ἑαυτόν. ταῦτα καὶ πρὸς τούτους. καὶ τῷ ἀληθεῖ λέγουσιν μέν τι οὗτοι, οὐ μέντοι τελείως καταδράττονται τῆς ἀληθείας. κατὰ γὰρ Πλάτωνα καὶ τὸν ἀληθῆ λόγον οὔτε μέρος ἐστίν, ὡς οἱ Στωικοί φασιν καὶ τινὲς τῶν Πλατωνικῶν, οὔτε μόνως ὄργανον, ὡς οἱ ἐκ τοῦ Περιπάτου φασίν, ἀλλὰ καὶ μέρος ἐστὶν καὶ ὄργανον φιλοσοφίας· ἐὰν μὲν γὰρ

---

4 προσθῆναι P 7 μένως P 9 οὐ addidi 13 κρίττων P χαλινοποιηκη pr. P, corr. P¹ 15 οὖν scripsi cf. p. 9,1. 20: ὅτι P 16 τέχναι, ⟨αἱ⟩ conicio 22 ἐν Φαίδρῳ] cf. p. 8,11 23 ἐν Φιλήβῳ] cf. p. 8,12 26 κατασκευὴν] η in ras. P 33 τροφῆς scripsi: τρυφῆς P ὅθεν κτλ.] cf. Ind. Arist. sub v. σπλήν p. 695ᵇ33

μετὰ τῶν πραγμάτων λάβῃς τοὺς λόγους, οἷον αὐτοὺς τοὺς συλλογισμοὺς μετὰ τῶν πραγμάτων τῶν ὑποκειμένων | αὐτοῖς, μέρος ἐστίν, ἐὰν δὲ f. 95r ψιλοὺς τοὺς κανόνας ἄνευ τῶν πραγμάτων, ὄργανον. ὥστε καλῶς οἱ ἐκ τοῦ Περιπάτου τὰ παρὰ Ἀριστοτέλει ἀφορῶντες ὄργανον αὐτήν φασιν· ψιλοὺς γὰρ κανόνας παραδίδωσιν, οὐ πράγματα λαμβάνων ὑποκείμενα ἀλλὰ τοῖς στοιχείοις τοὺς κανόνας ἐφαρμόζων· οἷον τὸ Α κατὰ παντὸς τοῦ Β, τὸ Β κατὰ παντὸς τοῦ Γ, τὸ Α ἄρα κατὰ παντὸς τοῦ Γ. ὁ δὲ Πλάτων κέχρηται αὐτῇ καὶ ὡς μέρει καὶ ὡς ὀργάνῳ· ὅτε μὲν γὰρ τοὺς κανόνας τούτους τοῖς πράγμασιν ἐφαρμόζει καὶ κέχρηται συλλογισμοῖς ἐπὶ τῶν πραγμάτων, οἷον ὅτε λέγει 'ἡ ψυχὴ αὐτοκίνητον, τοῦτο δὲ ἀεικίνητον, τοῦτο δὲ ἀθάνατον, ἡ ψυχὴ ἄρα ἀθάνατον', τότε κεχρημένος τῇ λογικῇ μετὰ τῶν ὑποκειμένων αὐτῇ πραγμάτων ὡς μέρει αὐτῇ κέχρηται· ὅτε δὲ καὶ αὐτὸς μεθόδους μόνας καὶ κανόνας ψιλοὺς ἄνευ τῶν πραγμάτων παραδίδωσιν, ὡς ὀργάνῳ αὐτῇ κέχρηται. οὐδὲν δὲ θαυμαστὸν εἰ καὶ τὸ ὡς ὄργανον καὶ τὸ ὡς μέρος ὁμωνύμως καλεῖται· πολλὰ γάρ ἐστιν τοιαῦτα· οἷον πῆχυς καλεῖται καὶ τὸ μέτρον καὶ τὸ μετρηθὲν τὸ πηχυαῖον ἢ ξύλον ἢ ἄλλο ὁτιοῦν [πῆχυν καλοῦμεν καὶ τὸ μέτρον καὶ τὸ μετρηθέν], εἴτε ὑγρόν τι εἴη εἴτε ξηρόν. οὕτω καὶ τὴν λογικὴν πραγματείαν μετὰ μὲν πραγμάτων ὑποκειμένων σκοπῶν λέγε μέρος φιλοσοφίας, ἄνευ δὲ πραγμάτων ψιλοὺς τοὺς κανόνας λέγε ὄργανον. ταῦτα καὶ περὶ τούτου.

Ἐπειδὴ δὲ εἴρηται ὅτι τρία ἐστὶν εἴδη συλλογισμοῦ, ἀποδεικτικόν, διαλεκτικόν, σοφιστικόν, καὶ περὶ μὲν τοῦ ἀποδεικτικοῦ διδάσκει ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς, περὶ δὲ διαλεκτικοῦ ἐν τοῖς Τόποις, περὶ δὲ τοῦ σοφιστικοῦ ἐν τοῖς Σοφιστικοῖς ἐλέγχοις, τὰς Ῥητορικὰς τέχνας καὶ τὰ Περὶ τῆς ποιητικῆς ποῦ χρόνου τάξομεν; βούλεται γὰρ αὐτὰ τῆς λογικῆς εἶναι πραγματείας. ἢ λεκτέον τοῦτο, ὅπερ καὶ ἀληθέστατόν ἐστιν, ὅτι ἄλλο ἐστὶν ἡ συλλογιστικὴ πραγματεία καὶ ἄλλο λογική. εἰ μὲν οὖν τῆς συλλογιστικῆς | τὴν διαίρεσιν ποιοῖμεν, διαιροῦμεν, ὡς εἴρηται, εἰς τρία εἴδη τοῦ συλλο- f. 95v γισμοῦ· ὁ γὰρ πειραστικὸς ὁ αὐτός πώς ἐστιν τῷ σοφιστικῷ· ἀμφότεροι γὰρ ψευδῆ συλλογίζονται, ἀλλ' ὁ μὲν μοχθηρᾷ συμποδίζων προαιρέσει, ὁ δὲ βελτίστῃ ὠφελῶν, ὡς ὁ Εὐκλείδης διὰ τῶν ψευδαρίων πειρᾶται καὶ γυμνάζει· καὶ οὐ παραληψόμεθα τὰς Ῥητορικὰς τέχνας οὐδὲ τὸ Περὶ ποιητικῆς· ἀσυλλόγιστα γὰρ ἐκεῖνα. εἰ δὲ τῆς λογικῆς τὴν διαίρεσιν ποιοῦμεν, διαιροῦμεν οὕτως· τῆς λογικῆς τὸ μέν ἐστιν συλλογιστικόν, τὸ δὲ ἀσυλλόγιστον· τοῦ συλλογιστικοῦ τὸ μὲν ἀποδεικτικόν, τὸ δὲ διαλεκτικόν, τὸ δὲ σοφιστικόν· τοῦ ἀσυλλογίστου τὸ μὲν ἔμμετρον, τὸ δὲ ἄμετρον, ἔμμετρον μὲν τὸ Περὶ ποιητικῆς, ἄμετρον δὲ τὸ Περὶ τῶν ῥητορικῶν τεχνῶν.

---

1 αὐτοὺς scripsi: αὐτὸς P 10 λέγει] cf. p. 6,5 sq. 14 αὐτῇ scripsi: αὐτὴν P cf. p. 9,31 17 ἄλλο ὁτιοῦν scripsi: ἄλλο τι et in mrg. ὅτι P cf. p. 9,1. 20 πῆχυν — μετρηθέν delevi 19 post ὑποκειμένων 2 litt. eras. P 24 fortasse ⟨τοῦ⟩ ὁ. 26 πραγματείας εἶναι P pr. 29 an ποιοῦμεν? ut vs. 34. 35

p. 24ª10 Πρῶτον εἰπεῖν περὶ τί καὶ τίνος ἐστὶν ἡ σκέψις ἕως τοῦ ἢ μηθενὸς κατηγορεῖσθαι.

Τὸν σκοπὸν ἐνταῦθα προαναφωνεῖ. εἴωθεν δὲ πολλάκις τοῦτο ποιεῖν. τοῦτο ἐποίησεν καὶ ἐν τοῖς Τόποις· ἀρχόμενος εὐθὺς τὸν σκοπὸν ἀνεφώνησεν σαφῶς. ὅτι ἡ πρόθεσις τῆς πραγματείας τοιάδε ἐστίν. τοῦτο δὲ καὶ ἐν- 15
ταῦθα ποιεῖ. λείπει δὲ τὸ 'χρή'· Ἀττικὸν δὲ τὸ ἔθος· πρῶτον εἰπεῖν χρὴ περὶ τί ἐστιν ἡ σκέψις (κατὰ κοινοῦ γάρ ἐστιν ἡ σκέψις) καὶ τίνος ἡ σκέψις ἀντὶ τοῦ 'περὶ τίνος'. εἶτα πρὸς μὲν τὸ περὶ τί ἀποδέδωκεν τὴν αἰτιατικήν, ὅτι περὶ ἀπόδειξιν· πρὸς δὲ τὸ περὶ τίνος ἀποδέδωκεν τὴν γενικήν, καὶ περὶ ἐπιστήμης ἀποδεικτικῆς. πῶς δὲ λέγει τὸν σκοπὸν εἶναι περὶ ἀπόδειξιν καὶ ἐπιστήμης ἀποδεικτικῆς: καί- 20
τοι, ὡς εἴρηται, οὐκ ἐν τούτοις λέγει περὶ ἀποδείξεως ἀλλ' ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς· ἐν γὰρ τούτοις περὶ συλλογισμοῦ ἁπλῶς λέγει τὰ κοινῶς ὑπάρχοντα πᾶσι συλλογισμοῖς. καὶ λέγομεν ὅτι ἄλλο ἐστὶν τὸ προσεχὲς τέλος, ἄλλο τὸ ἀπωτέρω· οἷον προσεχὲς τέλος ἐστὶν τοῦ σπουδαίου ἡ ἀρετή, ἀπωτέρω δὲ ἡ εὐδαιμονία· ἵνα γὰρ εὐδαιμονίας τύχῃ, σπουδάζει 25
ἀρετὴν κτήσασθαι. καὶ τούτων τοίνυν τῶν βιβλίων ὁ μὲν προσεχὴς σκοπός ἐστιν περὶ συλλογισμοῦ εἰπεῖν, ὁ δὲ ἀπωτέρω περὶ ἀποδεικτικοῦ· καὶ γὰρ εἰς τοῦτον τὸν σκοπὸν εἴη πᾶσα πραγματεία περὶ συλλογισμῶν· | καὶ γὰρ οἱ διαλεκτικοὶ γυμνασίας ἕνεκεν παραλαμβάνονται, ἵνα γεγυμνα- f. 96r
σμένοι τοῖς ἀποδεικτικοῖς συλλογισμοῖς προσβάλλωσιν, καὶ οἱ σοφιστικοὶ παραλαμβάνονται, ἵνα τὰς ἐνοχλήσεις καὶ τὰς ἀπάτας τῶν σοφιστῶν ἐκφυγόντες ἀνεμποδίστως τοῖς ἀποδεικτικοῖς χρώμεθα. οὐ τὸ προσεχὲς οὖν 5
τέλος ἐνταῦθα ἀναφωνεῖ τοῦ βιβλίου ἀλλὰ τὸ ἀπωτέρω, τῶν ὁ βιβλίων ἅμα τὸν σκοπὸν λέγων. πληρώσας γοῦν τὰ ̄ὁ βιβλία ἐν ἀνακεφαλαιώσει τοὺς δύο σκοποὺς λέγει, τόν τε προσεχῆ τῶν πρώτων δύο, ὅτι περὶ συλλογισμοῦ, καὶ τὸν ἀπωτέρω τῶν ὑστέρων δύο, ὅτι περὶ ἀποδείξεως· λέγει γὰρ οὕτως· "περὶ μὲν οὖν συλλογισμοῦ καὶ ἀποδείξεως, τί τε ἑκάτερόν 10
ἐστιν καὶ πῶς γίνεται, φανερόν ἐστιν, ἅμα δὲ καὶ περὶ ἐπιστήμης ἀποδεικτικῆς· ταὐτὸν γάρ ἐστιν". οὐ λέγει δὲ ὅτι ταὐτόν ἐστιν ἀπόδειξις καὶ ἐπιστήμη ἀποδεικτική, ἀλλ' ὅτι ταὐτόν ἐστιν εἰπεῖν περὶ ἀποδείξεως καὶ ἐπιστήμης ἀποδεικτικῆς· ὁ γὰρ λέγων περὶ ἀποδείξεως δῆλον ὅτι λέγει τὰς μεθόδους ἃς δεῖ εἰδέναι τὸν ἕξιν ἔχοντα ἐπιστημονικὴν τῆς ἀποδεικτι- 15
κῆς· διαφέρει γὰρ ἀπόδειξις ἐπιστήμης ἀποδεικτικῆς, ᾗ ἡ μὲν ἀπόδειξις συλλογισμός ἐστιν ἀποδεικτικός, ἡ δὲ ἐπιστήμη ἡ ἀποδεικτικὴ ἕξις ἐστὶν

---

2 κατηγορῆσθαι P 3 προαναφωνεῖ scripsi: πρὸς ἀναφωνεῖ P 4 aut ἐν οἷς ante ἀρχ. aut γὰρ post ἀρχ. addendum videtur 5 an δὴ? 16 τύχῃ P²: τύχει P¹ σπουδάζῃ P 21 an προσβάλλωμεν? cf. vs. 23 22 ἐνοχλήσης P pr., corr. P¹ 26 τῶν τε P 27 τῶν ἀπωτέρων P λέγει] Anal. Post. II 19 p. 99ᵇ15—17 29 ἐστιν alterum om. Arist. (non om. D) 31 ταὐτόν scripsi: ταυτὸ ὧν (sic) P

ἀφ' ἧς οἷόν τέ ἐστιν συλλογισμοὺς ἀποδεικνύναι. περὶ ἀποδείξεως οὖν λέγει εἶναι τὸν σκοπὸν καὶ ἐπιστήμης ἀποδεικτικῆς, ὅτι παραδιδοὺς τὰς ἀποδεικτικὰς μεθόδους δῆλον καθίστησιν οἵαν δεῖ ἕξιν ἔχειν τὸν ἐπιστήμονα τῆς ἀποδεικτικῆς. εἶτα, φησίν, χρὴ διορίσαι τί ἐστιν πρότασις καὶ τί ὅρος καὶ τί συλλογισμός· κατὰ κοινοῦ δὲ χρὴ λαμβάνειν λεῖπον τὸ 'χρή'. ὥσπερ δὲ οἱ γεωμέτραι προλαμβάνουσιν λήμματα ὧν δέονται, οὕτως καὶ οὗτος εἴωθεν προλαμβάνειν λήμματα ὧν δέεται εἰς κατασκευὴν τοῦ προκειμένου. ὥσπερ οὖν ἐν ταῖς Κατηγορίαις σκοπὸν ἔχων διαλαβεῖν περὶ τῶν δέκα κατηγοριῶν προέλαβέν τινα καὶ εἶπεν περὶ ὁμωνύμων, περὶ συνωνύμων καὶ ἄλλων τινῶν, καὶ ἐν τῷ Περὶ ἑρμηνείας σκοπὸν ἔχων περὶ λόγου εἰπεῖν, ὡς καὶ αὐτὸς λέγει "ὁ δὲ ἀποφαν|τικὸς λόγος τῆς νῦν θεωρίας ἐστίν", προέλαβέν τινα, πρὶν ἄρξηται f. 96ᵛ λέγειν περὶ τοῦ προκειμένου (οὕτως γοῦν ἄρχεται· "πρῶτον δεῖ θέσθαι τί ὄνομα καὶ τί ῥῆμα"), οὕτως καὶ ἐνταῦθα προλαμβάνει τινὰ ὥσπερ λήμματα. ἐπειδὴ γὰρ σκοπὸς αὐτῷ περὶ ἀποδείξεως εἰπεῖν, ἡ δὲ ἀπόδειξις συλλογισμός ἐστιν, ὁ δὲ συλλογισμὸς ἐκ προτάσεων, ⟨ἡ δὲ πρότασις⟩ ἐξ ὅρων, εἰκότως ταῦτα θέλει προλαβεῖν καὶ διορίσαι. ζητεῖ δὲ πῶς τὸ Περὶ ἑρμηνείας ὅλον περὶ προτάσεων εἰπών (πάντα γὰρ τὰ ἐκεῖ λεγόμενα περὶ προτάσεών ἐστιν) ὅλον τὸ Περὶ ἑρμηνείας *ἀλλ' οὐ προτάσεις ὀνομάζει, ἀλλὰ* τὰς προτάσεις λόγους ἀποφαντικοὺς ὀνομάζει, καὶ ἅπαξ, μᾶλλον δὲ δὶς μόνον ἔστιν εὑρεῖν τὸ ὄνομα τῆς προτάσεως ἐν ὅλῳ ἐκείνῳ τῷ βιβλίῳ· φησὶν γὰρ "εἰ οὖν ἡ ἐρώτησις ἡ διαλεκτικὴ ἀποκρίσεώς ἐστιν αἴτησις, ἢ τῆς προτάσεως ἢ θατέρου μορίου τῆς ἀντιφάσεως, ἡ δὲ πρότασις ἀντιφάσεως μιᾶς μόριον". ὡς μὴ πάνυ οὖν ἐγνωσμένον τὸ ὄνομα διορίζει ἐνταῦθα. εἰ δὲ βούλει τὸ ἀληθέστερον λέγειν, ὅτι οὐδαμοῦ ἐν τῷ Περὶ ἑρμηνείας περὶ προτάσεων εἶπεν, ἀλλ' ὅλον τὸ βιβλίον περὶ ἀποφαντικοῦ ἐστιν λόγου, ὡς καὶ αὐτὸς εἶπεν "ὁ δὲ ἀποφαντικὸς λόγος τῆς νῦν θεωρίας ἐστίν"· οὐ μέντοι εἶπεν ὅτι περὶ προτάσεως αὐτῷ πρόκειται λέγειν. διαφέρει γὰρ πρότασις ἀποφαντικοῦ λόγου· πᾶσα μὲν γὰρ πρότασις πάντως καὶ ἀποφαντικὸς λόγος, οὐ πᾶς δὲ ἀποφαντικὸς λόγος πρότασίς ἐστιν. καθ' ἑαυτὸν μὲν γὰρ ὁ ἀποφαντικὸς λόγος οὐκ ἔστιν πρότασις· τότε δὲ γίνεται πρότασις, ὅταν μέρος συλλογισμοῦ γένηται· οἷον ἐὰν εἴπω κατ' αὐτὸ τοῦτο 'ἡ ψυχὴ αὐτοκίνητός ἐστιν', λόγον μὲν ἀποφαντικὸν εἶπον, οὐ μὴν πρότασιν. πότε δὲ γίνεται πρότασις; ὅταν ὡς μέρος συλλογισμοῦ εἴπω τὸ 'ἡ ψυχὴ αὐτοκίνητός ἐστιν' καὶ ἐπαγάγω τὰς ἄλλας προτάσεις καὶ τὸ συμπέρασμα. ἐπειδὴ οὖν ἐν μὲν τῷ Περὶ ἑρμηνείας λόγους ἀποφαντικοὺς ἔλεγεν καθ' αὑτούς, ἐνταῦθα δὲ

1 οἷόν τέ scripsi: οἱόνται (sic) P 8 ἐν ταῖς Κατηγ.] c. 1 p. 1ᵃ1 sq. 9 διαλαβεῖν scripsi: προλαβεῖν P 10 καὶ alt. scripsi: ὡ P 11 λέγει] De interpr. c. 4 p. 17ᵃ6 13 ἄρχαιται P pr., corr. P² πρῶτον κτλ.] De interpr. c. 1 p. 16ᵃ1 16 ἡ δὲ πρ. addidi 17 ζητεῖ] cf. p. 3,30 4,27 20 ἀποφαντικος P 22 φησὶν] De interpr. c. 11 p. 20ᵇ22—24 27 εἶπεν] cf. vs. 11 33 immo καθ' αὑτὸ cf. vs. 37 et p. 15,32 34 an τότε? ut vs. 32

τοὺς λόγους ὡς μέρη συλλογισμῶν παραλαμβάνει, εἰκότως ἐκεῖ μὲν οὐδε-
μίαν μνήμην προτάσεων ἐποι|ήσατο, ἐνταῦθα δὲ ὁρίζει τί ποτέ ἐστιν f. 97r
πρότασις· ἐνταῦθα γὰρ κέχρηται προτάσεσιν, ὅπου καὶ περὶ συλλογισμοῦ
λέγει· ἐκεῖ δὲ οὐ περὶ προτάσεων ἔλεγεν ἀλλὰ περὶ ἀποφαντικοῦ λόγου.
5 ζητεῖται δὲ καὶ ἡ τάξις, διὰ τί πρώτην εἶπεν τὴν πρότασιν, εἶτα τὸν ὅρον,
εἶτα τὸν συλλογισμόν· τῇ γὰρ αὐτῇ τάξει κέχρηται καὶ ἐν τῷ διορίζειν 5
αὐτὰ καὶ λέγειν τί ἐστιν ἕκαστον τούτων. εἰ μὲν γὰρ ἀπὸ τῶν ἁπλουστέ-
ρων ἐζήτει ἄρξασθαι, ἔδει ἀπὸ τοῦ ὅρου ἀρξάμενον διὰ μέσης τῆς προ-
τάσεως ἐλθεῖν ἐπὶ τὸν συλλογισμόν· εἰ δὲ ἀπὸ τῶν συνθετωτέρων, ἔδει
10 ἀπὸ τοῦ συλλογισμοῦ ἀρξάμενον ἐλθεῖν ἐπὶ τὴν πρότασιν καὶ ἀπ' ἐκείνης
ἐπὶ τὸν ὅρον. καὶ οἱ μὲν λέγουσιν ὅτι ὡς ἤδη εἰπὼν ἐν τῷ Περὶ ἑρμη- 10
νείας περὶ προτάσεων ἀπ' αὐτῆς ἤρξατο ὡς γνωριμωτέρας ἐκ τῶν περὶ
αὐτῆς λεχθέντων. οἱ δὲ ὅτι τὸ τῆς προτάσεως ὄνομα οὐκ αὐτὸς ἔθετο,
ἀλλὰ πρὸ αὐτοῦ καὶ ὁ Πλάτων καὶ ἄλλοι αὐτῷ ἐχρήσαντο, τὸ δὲ τοῦ ὅρου
15 ὄνομα αὐτὸς ἔθετο· προϊὼν γοῦν περὶ μὲν τοῦ ὅρου λέγει "ὅρον δὲ καλῶ"
ὡς ἂν αὐτὸς θέμενος τὸ ὄνομα, περὶ δὲ τῆς προτάσεως οὐ λέγει 'καλῶ' 15
ἀλλὰ 'πρότασις δέ ἐστιν' ὡς καὶ πρὸ αὐτοῦ λεγομένου τοῦ ὀνόματος τού-
του. λέγουσιν ὅτι ἀπὸ τούτου ἤρξατο ὡς γνωριμωτέρου. ἔστιν δὲ ἄλλη
αἰτία πιθανωτέρα καὶ μᾶλλον ἀληθής, ἣ καὶ τῷ φιλοσόφῳ δοκεῖ * * ἀπὸ
20 τῆς προτάσεως σαφηνίζειν τὸν ὅρον τῷ κατὰ ἀνάλυσιν τρόπῳ διδασκαλίας
κεχρημένος οἰκείως τοῖς προκειμένοις· λέγει γὰρ "ὅρον δὲ καλῶ εἰς ὃν 20
διαλύεται ἡ πρότασις". ἀνάγκη οὖν ἡμᾶς προγνῶναι τί ποτέ ἐστιν πρό-
τασις, εἰ μέλλοιμεν ἀπ' αὐτῆς τὸν ὅρον γνώσεσθαι· διὸ ἀπὸ τῆς προ-
τάσεως ἤρξατο. ἔστιν δὲ πρότασις μὲν ὡς τύπῳ εἰπεῖν τὸ 'ἄνθρωπος
25 περιπατεῖ', ὅρος δὲ τὸ 'ἄνθρωπος' ἢ τὸ 'περιπατεῖ', συλλογισμὸς δὲ τὸ
ἡ ψυχὴ αὐτοκίνητος, πᾶν αὐτοκίνητον ἀεικίνητον, πᾶν ἀεικίνητον ἀθάνα- 25
τον, ἡ ψυχὴ ἄρα ἀθάνατος'. χρὴ δέ, φησίν, διορίσαι ποῖος μέν ἐστιν
συλλογισμὸς τέλειος, ποῖος δὲ ἀτελής. τέλειον λέγει τὸν αὐτάρκη
τὸν μὴ δεόμενόν τινος πρὸς τὸ εἶναι, ἀτελῆ δὲ τὸν δεόμενον· καὶ γὰρ ἐν
30 τοῖς ἀνθρωπίνοις τέλειον καλοῦμεν τὸν αὐτάρκη καὶ μὴ δεόμενόν τινος. f. 97v
ὀψόμεθα δὲ ἐκεῖ ἐλθόντες ἔνθα λέγει περὶ τοῦ τελείου καὶ τοῦ ἀτελοῦς,
μήποτε οὐδείς ἐστιν ἀτελής, ἀλλ' οἴεται μὲν αὐτὸς εἶναί τινας ἀτελεῖς, τῇ
δὲ ἀληθείᾳ πάντες τέλειοί εἰσιν.

Μετὰ δὲ ταῦτα, φησίν, χρὴ διορίσαι τί λέγομεν τὸ ἐν ὅλῳ εἶναι
35 ἢ μὴ εἶναι, καὶ τί λέγομεν τὸ κατὰ παντὸς ἢ μηθενὸς κατη- 5
γορεῖσθαι. μεμαθήκαμεν ἐν τῷ Περὶ ἑρμηνείας ὅτι τῶν προτάσεων αἱ
μὲν προσδιωρισμέναι εἰσὶν αἱ δὲ ἀπροσδιόριστοι, καὶ τῶν προσδιωρισμένων
αἱ μὲν καθολικαί εἰσιν αἱ ἔχουσαι τὸ 'πᾶς' καὶ τὸ 'οὐδείς', αἱ δὲ μερικαὶ

---

4 an προτάσεως? cf. p. 16,5 5 ζητεῖται] εἶ in ras. P 9 εἰ in ras. P τοτέρ συνθέτων P (superscr. P1) 11 τὸν] ν in ras P. 15 προϊὼν] p. 24b16 17 λεγομένου] λε in ras. P τοῦ scripsi: τὸ in ras. P 18 fortasse ⟨οὖν⟩ ὅτι τουτούτου (sic) P 19 lac. signavi; supple velut λέγομεν οὖν ὅτι δοκεῖ 20 τῷ ex τὸ corr. P1 30 τοῖς] ς add. P2 31 ἐκεῖ] p. 30,34 sq. 36 ἐν τῷ Περὶ ἑρμ.] c. 7 p. 17a38 sq.

αἱ ἔχουσαι τὸ 'τὶς' καὶ τὸ 'οὐ πᾶς'. περὶ τῶν προτάσεων οὖν λέγει ἐνταῦθα τῶν ἐχουσῶν τοὺς καθόλου διορισμοὺς ἑκατέρωθεν ἐπιχειρῶν, ποτὲ μὲν ἀπὸ τοῦ ὑποκειμένου ποτὲ δὲ ἀπὸ τοῦ κατηγορουμένου, ἐν ἑκατέρῳ καθ' ἑκάτερον, κατά τε τὸ καταφατικὸν καὶ κατὰ τὸ ἀποφατικόν. οἷον πᾶς ἄνθρωπος ζῷον, οὐδεὶς ἄνθρωπος τετράπουν· ἐν ὅλῳ τῷ ζῴῳ ἐστὶν ὁ ἄνθρωπος καὶ ἐν οὐδενὶ τετράποδί ἐστιν· ἐνταῦθα ἀπὸ τοῦ ὑποκειμένου ἐπεχείρησεν· πᾶς γὰρ ἄνθρωπος ἐν τῷ ζῴῳ ἐστὶν ὅλῳ ὄντι, καὶ οὐδεὶς ἄνθρωπός ἐστιν ἐν τῷ τετράποδι ὅλῳ ὄντι. διὰ οὖν τοῦ τὸ ἐν ὅλῳ εἶναι ἐσήμανεν τὴν κατάφασιν, διὰ δὲ τοῦ μὴ εἶναι τὴν ἀπόφασιν. εἶτα ἀπὸ τοῦ κατηγορουμένου ἐπιχειρεῖ· κατὰ παντὸς γὰρ τοῦ ἀνθρώπου κατηγορεῖται τὸ ζῷον ἐν τῇ καταφάσει τῇ 'πᾶς ἄνθρωπος ζῷον' καὶ κατ' οὐδενὸς ἀνθρώπου κατηγορεῖται τὸ τετράπουν ἐν τῇ 'οὐδεὶς ἄνθρωπος τετράπουν' ἀποφάσει.

Περὶ προτάσεως.

p. 24ª16 Πρότασις μὲν οὖν ἐστιν λόγος καταφατικὸς ἕως τοῦ ἢ τὸ τὴν ἡδονὴν μὴ εἶναι ἀγαθόν.

Τρία ἐστὶν ταῦτα, λόγος, ἀπόφανσις, πρότασις. καὶ δοκεῖ τὰ τρία κατὰ τοῦ αὐτοῦ λέγεσθαι· οὐκ ἔστιν δὲ τὰ τρία κατὰ τοῦ αὐτοῦ, ἀλλ' ἔστιν τις αὐτῶν διαφορά. ὁμοίως δέ ἐστιν τούτοις ἄλλα τρία ἀνάλογον, ὄνομα ἢ ῥῆμα (οὐδὲν γάρ μοι διαφέρει), φάσις, ὅρος. καὶ πάλιν δὲ τὰ τρία δοκεῖ κατὰ τοῦ αὐτοῦ λέγεσθαι· οὐκ ἔστιν δὲ τὰ τρία κατὰ τοῦ αὐτοῦ, ἀλλ' ἔχει τινὰ διαφοράν. πᾶσα μὲν γὰρ πρότασις καὶ ἀπόφανσίς ἐστιν, καὶ πᾶσα ἀπόφανσις καὶ λόγος ἐστίν· οὐκέτι δὲ τὸ ἀνάπαλιν· οὐ γὰρ πᾶς λόγος ἀπόφανσίς ἐστιν. τί δέ ἐστιν | ἀπόφανσις; λόγος "ἐν ᾧ τὸ ἀλη- f. 98r θεύειν ἢ ψεύδεσθαι ὑπάρχει", ὡς εἶπεν ἐν τῷ Περὶ ἑρμηνείας. ἔστιν δὲ λόγος ἐν ᾧ οὐκ ἔστιν τὸ ἀληθεύειν ἢ ψεύδεσθαι, οἷον ὁ εὐκτικός, ὁ προστακτικός· ὥστε ἔστιν λόγος μὴ ὢν ἀπόφανσις. πᾶσα ἄρα ἀπόφανσις καὶ λόγος, οὐ πᾶς δὲ λόγος καὶ ἀπόφανσις· περιληπτικώτερος γάρ ἐστιν καὶ ἐπὶ πλέον ὁ λόγος τῆς ἀποφάνσεως. πάλιν ἀπόφανσις μέν ἐστιν πᾶς λόγος ἐν ᾧ ἐστιν τὸ ἀληθεύειν ἢ ψεύδεσθαι· πρότασις δέ ἐστιν, ὅταν μὴ καθ' ἑαυτὸν ᾖ ὁ λόγος ἀποφαντικός, ἀλλὰ μέρος τοῦ συλλογισμοῦ νοῆται. οἷον ἐὰν εἴπω ὡς δογματίζων λόγον τινὰ καθ' αὑτόν, 'ἡ ψυχὴ αὐτοκίνητός ἐστιν', ἀπόφανσιν μὲν λέγω, πρότασιν δὲ οὔ· ἐὰν δὲ συλλογιζόμενος ὡς μέρος τοῦ συλλογισμοῦ εἴπω 'ἡ ψυχὴ αὐτοκίνητός ἐστιν' ὡς ἐπάξων τὰ ἄλλα λήμματα καὶ τὸ συμπέρασμα, ἵνα τὸν συλλογισμὸν πληρώσω, τότε

4 καταφατικὸν — ἀποφατικόν scripsi: inv. ord. P 8 οὖν τοῦ scripsi: τοῦ ὅτι P
9 εἶναι prius ex Arist. scripsi: εστιν P 18 οὐκέτιν P 25 ἐν τῷ Περὶ ἑρμ.] c. 4 p. 17ª3

τὴν ἀπόφανσιν καὶ πρότασιν ἐποίησα, μέρος αὐτὴν τοῦ συλλογισμοῦ ποιήσας. ὥστε ἡ ἀπόφανσις περιληπτικωτέρα ἐστὶν καὶ ἐπὶ πλέον τῆς προτάσεως· πᾶσα ἄρα πρότασις καὶ ἀπόφανσις, οὐ πᾶσα δὲ ἀπόφανσις πρότασις. διὸ καί, ὡς εἴρηται, ἐνταῦθα ὁρίζει τί ποτέ ἐστιν πρότασις. ἐν γὰρ τῷ 15
5 Περὶ ἑρμηνείας οὐ περὶ προτάσεως ἐδίδαξεν ἀλλὰ περὶ ἀποφαντικοῦ λόγου· καθ' ἑαυτοὺς γὰρ τοὺς λόγους ἐλάμβανεν, οὐχ ὡς μέρη συλλογισμῶν. ἐνταῦθα δὲ τοὺς ἀποφαντικοὺς λόγους λαμβάνων μέρη τῶν συλλογισμῶν δῆλον ὅτι προτάσεις αὐτοὺς ποιεῖ, καὶ εἰκότως ὁρίζεται τί ποτέ ἐστιν πρότασις. πάλιν δὲ ἐπὶ τῶν ἄλλων· πᾶς μὲν γὰρ ὅρος φάσις ἐστίν, καὶ 20
10 πᾶσα φάσις ὄνομα ἢ ῥῆμα· οὐκέτι δὲ ἀνάπαλιν· οὐ γὰρ πᾶν ὄνομα ἢ ῥῆμα φάσις ἐστίν. τί γάρ ἐστιν φάσις; τὰ μόρια τοῦ ἀποφαντικοῦ λόγου φάσεις εἰσίν, ὡς καὶ ἐν τῷ Περὶ ἑρμηνείας λέγων περὶ ἀποφαντικοῦ λόγου σαφῶς εἶπεν "τὸ μὲν οὖν ὄνομα ἢ ῥῆμα φάσις ἔστω μόνον". ἔστιν δὲ ὄνομα ἢ ῥῆμα τὰ μόρια τοῦ εὐκτικοῦ ἢ τοῦ προστακτικοῦ λόγου, ἃ οὐκ 25
15 εἰσὶν φάσεις· περιληπτικώτερον ἄρα ἐστὶν τὸ ὄνομα καὶ τὸ ῥῆμα καὶ ἐπὶ πλέον τῆς φάσεως, ὥστε πᾶσα μὲν φάσις καὶ ὄνομα ἢ ῥῆμα, οὐ πᾶν δὲ ὄνομα ἢ ῥῆμα καὶ φάσις. πάλιν φάσεις μέν εἰσιν τὰ μόρια τῆς ἀποφάνσεως, | ὅροι δὲ τὰ μόρια τῆς προτάσεως, τὸ ὑποκείμενον καὶ κατηγορού- f. 98v
μενον. ὥστε ταύτῃ διαφέρει φάσις ὅρου, ᾗ διαφέρει ἀπόφανσις προτάσεως·
20 τότε γὰρ ἡ φάσις ὅρος γίνεται, ὅταν ἡ ἀπόφανσις πρότασις γένηται. ἐπὶ πλέον ἄρα ἐστὶν καὶ περιληπτικωτέρα ἡ φάσις τοῦ ὅρου· ἡ μὲν γὰρ μόριόν ἐστιν παντὸς ἀποφαντικοῦ λόγου, ὁ δὲ μόριον προτάσεώς ἐστιν. τούτων 5
διωρισμένων ἔλθωμεν ἐπὶ τὸ ῥητόν. πρόκειται αὐτῷ τὴν πρότασιν ὁρίσαι· τοῦτο γὰρ προέθετο πρότερον, ὁρίσαι τί ἐστιν πρότασις, τί ὅρος, τί
25 συλλογισμός. ἐπεὶ οὖν πᾶς ὅρος ἐκ γένους ἐστὶν καὶ διαφορῶν, ὡς γένος μὲν τῆς προτάσεως λαμβάνει τὸν λόγον· ὡς εἴρηται γάρ, περιληπτικός 10
ἐστιν τῆς ἀποφάνσεως, ἥτις περιληπτική ἐστιν τῆς προτάσεως· ἀνάλογον δὲ διαφοραῖς λαμβάνει τὸ καταφατικὸν καὶ τὸ ἀποφατικὸν καὶ τὰ ἑξῆς. ὥσπερ δὲ ἐν τῷ Περὶ ἑρμηνείας μεμαθήκαμεν, τὸ μέν τί ἐστιν ποσὸν
30 τῶν προτάσεων, τὸ δὲ ποιόν· ἀφ' ἑκατέρου οὖν ὁρίζεται τὴν πρότασιν, καὶ ἀπὸ τοῦ ποσοῦ καὶ ἀπὸ τοῦ ποιοῦ· ἀπὸ μὲν τοῦ ποιοῦ εἰπὼν λόγος κατα- 15
φατικὸς ἢ ἀποφατικός τινος κατά τινος ἢ τινὸς ἀπό τινος. ὀλίγον δὲ μεθυπερβατῶς αὐτοῦ ἀκουστέον, ἵν' ᾗ † τί λόγος καταφατικός τινος κατά

---

3 ἀπόφασις (post καὶ) P 9 γὰρ deleverim 12 ἐν τῷ Περὶ ἑρμ.] c. 5 p. 17a 17 14 post ῥῆμα addendum videtur καὶ 17 φάσις scripsi cf. vs. 11: φάσεις P 23 ἔλθομεν P ad 25 sq. in mrg. καλῶς ὁ ἀλέξανδρος ἐπεσημήνατο μήτε (l. μηδὲ) ὅρον εἶναι τὸν ἀποδοθέντα· αἱ γὰρ διαφοραὶ ἐπὶ πλέον βούλονται τοῦ ὁριστοῦ ὑπάρχειν καὶ κατὰ πλειόνων βούλονται κατηγορεῖσθαι, ὅπερ ἐπὶ τοῦ παρόντος οὐκ (l. οὐχ) ὑπάρχει· οὐ γὰρ κατὰ προσθέσεως (l. προτάσεως) καὶ ἑτέρου τινὸς ἥ τε κατάφασις καὶ ἀπόφασις κατηγοροῦται (l. κατηγοροῦνται). ἀλλὰ μᾶλλον

λ γ

ὑπογραφὴν δεῖ καλεῖν αὐτήν P1 26 ὅρον P, superscr. P2 29 ἐν τῷ Περὶ ἑρμ.] c. 7 μεμαθήκαμεν ἐν τῷ περὶ ἑρμηνείας P pr. 33 ἵν ᾗ, ι in ras. P fortasse τὸ λόγος καταφατικὸς ⟨ἢ ἀποφατικός⟩ τινος κατά τινος ἢ τινὸς ἀπό τινος ⟨ἀντὶ τοῦ λόγος

τινος ἢ τινὸς ἀπό τινος· ἐν μὲν γὰρ τῇ καταφάσει καταφάσκομέν τι κατά τινος· οἷον Σωκράτης δίκαιός ἐστιν, καὶ τοῦ Σωκράτους καταφάσκομέν τι, τὸ δίκαιος· ἐν δὲ τῇ ἀποφάσει ἀποφάσκομέν τι ἀπό τινος· οἷον 'ὁ Σωκράτης ἄδικος οὐκ ἔστιν' ἀποφάσκομεν καὶ ἀπαγορεύομεν καὶ ἀποχωρί-
5 ζομεν τοῦ Σωκράτους τὸ ἄδικον· πᾶσα γὰρ πρότασις ἢ καταφατική ἐστιν ἢ ἀποφατική. καὶ ταύτῃ διαφέρουσιν κατὰ τὸ ποιόν. ἀπὸ δὲ τοῦ ποσοῦ ὁρίζεται αὐτὴν λέγων ὅτι οὗτος ὁ λόγος ἢ καθόλου ἐστὶν ἢ ἐν μέρει ἢ ἀδιόριστος· πᾶσα γὰρ πρότασις ἢ καθόλου ἐστὶν ἢ μερικὴ ἢ ἀδιόριστος· ἢ γάρ τινα τῶν καθόλου προσδιορισμῶν ἔχει ἤ τινα τῶν μερικῶν ἢ
10 ἀπροσδιόριστός ἐστιν. οὗτός ἐστιν ὃν ἀποδίδωσιν ὅρον τῆς προτάσεως. ἰστέον δὲ ὅτι τὰ μὲν νεώτερα βιβλία | ἔχει τὸ τινὸς κατά τινος ἢ τινὸς f. 99r ἀπό τινος· καὶ σαφῆ ποιεῖ τὸν ὅρον ἡ τοιαύτη γραφή· τὸ μὲν γὰρ τινὸς κατά τινος περὶ τῆς καταφάσεως ἂν εἴη κείμενον, τὸ δὲ τινὸς ἀπό τινος περὶ ἀποφάσεως. τὰ δὲ ἀρχαῖα βιβλία καὶ ἡ ἀρχαία γραφὴ
15 οὐκ ἔχει τὸ ἢ τινὸς ἀπό τινος· ὕστερον γὰρ προσετέθη σαφηνείας χάριν· ἀλλὰ μόνον τὸ τινὸς κατά τινος ἔχουσιν. καὶ εἴη ἂν τὸ τινὸς κατά τινος λεγόμενον καὶ ἐπὶ τῆς καταφάσεως καὶ ἐπὶ τῆς ἀποφάσεως. ἢ ἐπειδὴ περὶ μόνων κατηγορικῶν συλλογισμῶν ἐνταῦθα διαλαμβάνει καὶ προτάσεων δῆλον ὅτι ὁμοίως (τῶν γὰρ προτάσεων αἱ μέν εἰσιν κατηγορι-
20 καί, αἱ τελείως καὶ ἀδιστάκτως ἀποφαινόμεναι, οἷον ἡ ψυχὴ αὐτοκίνητός ἐστιν, αἱ δὲ ὑποθετικαί, αἱ μὴ τελείως ἀποφαινόμεναι ἀλλ' ἐν ὑποθέσει, οἷον εἰ ἡμέρα ἐστίν, φῶς ἐστιν· ὁ γὰρ οὕτως λέγων οὐ τελείως ἀποφαίνεται ὅτι φῶς ἐστιν, ἀλλ' ὑπόθεσιν λαβὼν τὸ 'εἰ ἡμέρα ἐστίν' λέγει ὅτι εἰ ἡμέρα ἐστίν, φῶς ἐστιν), ἐπειδὴ οὖν πᾶσαι αἱ προτάσεις, ἃς παραλαμ-
25 βάνει ἐνταῦθα, κατηγορικαί εἰσιν καὶ οἱ συλλογισμοὶ πάντες, περὶ ὧν ἐνταῦθα διαλαμβάνει, κατηγορικοί εἰσιν, τὸ τινὸς κατά τινος εἶπεν καὶ ἐπὶ τῆς καταφάσεως καὶ ἐπὶ τῆς ἀποφάσεως, ὡς ἂν εἰ εἶπεν 'πρότασίς ἐστιν, ἣν νῦν ὁρίζομαι, λόγος καταφατικὸς ἢ ἀποφατικός', ἵν' ᾖ τὸ τινὸς κατά τινος ἀντὶ τοῦ 'κατηγορικός'. ἢ τὸ τινὸς κατά τινος ἀκουστέον
30 ἀντὶ τοῦ 'περί τινος'· κοινότερον γάρ ἐστιν τὸ περί τινος καὶ καταφάσεως καὶ ἀποφάσεως· καὶ γὰρ καὶ ὁ τὴν κατάφασιν λέγων περί τινος λέγει καὶ ὁ τὴν ἀπόφασιν.

Εἶτα ἐξηγεῖται τί ἐστιν τὸ ἐν τῷ ὅρῳ εἰρημένον καθόλου καὶ τί τὸ ἐν μέρει καὶ τί τὸ ἀδιόριστον. καὶ λέγει καθόλου λέγειν τὸ παντὶ ἢ
35 μηθενὶ ὑπάρχειν. τοῦτο δὲ περὶ τῆς καθόλου καταφατικῆς εἶπεν καὶ τῆς καθόλου ἀποφατικῆς· ἐὰν μὲν γὰρ εἴπω 'πᾶς ἄνθρωπος δίπους ἐστίν', παντὶ τῷ ἀνθρώπῳ λέγω ὑπάρχειν τὸ δίπουν· ἐὰν δὲ εἴπω 'οὐδεὶς ἄνθρωπος τετράπουν ἐστίν', οὐθενὶ ἀνθρώπῳ λέγω ὑπάρχειν τὸ τετράπουν. |

καταφατικός τινος κατά τινος ἢ ἀποφατικός τινος ἀπό τινος⟩ cf. p. 17,28. 29; an τί delendum et ἀποφατικός a librario ad vs. 32 aberrante omissum post ἢ addendum est?
4. 5 ἀποχωρίζωμεν P 9 προσδιορισμῶν scripsi cf. p. 18, 22: προσδιορισμὸν P
11. 12 ἢ τινὸς ἀπό τινος in nostris codd. deest 15 σαφεινείας P 22 ὁ ex οὐ corr. P 38 τῶι P

ἐν μέρει δέ, φησίν, λέγω τὸ τινὶ καὶ μὴ τινὶ ἢ μὴ παντὶ ὑπάρ- f. 99v
χειν. καὶ ἐπὶ μὲν τῶν καθόλου μίαν ηὗρεν ἀποφατικήν· ἐπὶ δὲ τῶν
μερικῶν δύο εὑρίσκει ἀποφατικάς· ἥ τε γὰρ καθόλου καταφατικὴ προσ-
λαβοῦσα ⟨τὸ⟩ 'οὐ' γίνεται μερικὴ ἀποφατική, οἷον οὐ πᾶς ἄνθρωπος
5 δίκαιός ἐστιν, ἥ τε μερικὴ καταφατικὴ προσλαβοῦσα τὸ 'οὐ' γίνεται μερικὴ 5
ἀποφατική, οἷον τὶς ἄνθρωπος δίκαιος οὐκ ἔστιν. ὁ γὰρ λέγων 'τὶς ἄν-
θρωπος δίκαιός ἐστιν' τινὶ ἀνθρώπῳ λέγει ὑπάρχειν τὸ δίκαιον· ὁ δὲ
λέγων 'οὐ πᾶς ἄνθρωπος δίκαιος' οὐ παντὶ ἀνθρώπῳ λέγει ὑπάρχειν τὸ
δίκαιον· πάλιν ὁ λέγων 'τὶς ἄνθρωπος δίκαιος οὐκ ἔστιν' τινὶ ἀνθρώπῳ
10 λέγει μὴ ὑπάρχειν τὸ δίκαιον· ὥστε καὶ αὕτη μερική ἐστιν ἀποφατική· 10
μέρους γάρ τινος τῶν ἀνθρώπων ἀποφάσκει τὸ δίκαιον. τοῦτο οὖν σημαί-
νει, διὰ μὲν τοῦ τινὶ ὑπάρχειν τὴν κατάφασιν, διὰ δὲ τοῦ μὴ τινὶ ἢ μὴ
παντὶ ὑπάρχειν τὰς δύο ἀποφάσεις. ἀμφότεραι δὲ ὑπεναντίως ἀντίκειν-
ται τῇ μερικῇ καταφατικῇ· ἑκατέρα γοῦν αὐτῶν συναληθεύει μετ' αὐτῆς 15
15 ἐπὶ τῆς ἐνδεχομένης ὕλης. ἀδιόριστον δέ, φησίν, λέγω τὸ ὑπάρχειν
ἢ μὴ ὑπάρχειν ἄνευ τοῦ καθόλου ἢ κατὰ μέρος ἀντὶ τοῦ 'τὸ καταφάσκειν τι κατά τινος ἢ ἀποφάσκειν τι ἀπό τινος ἄνευ τοῦ ποιεῖν ἢ καθόλου ἢ μερικὴν τὴν πρότασιν'. οἷον ἐὰν εἴπω 'ἄνθρωπος δίκαιός ἐστιν', τῷ ἀνθρώπῳ λέγω ὑπάρχειν τὸ δίκαιον· ἐὰν δὲ εἴπω 'ἄνθρωπος 20
20 δίκαιος οὐκ ἔστιν', τῷ ἀνθρώπῳ λέγω μὴ ὑπάρχειν τὸ δίκαιον. καὶ ἀδιορί-
στως προάγω τὰς προτάσεις· οὔτε γὰρ τοῖς καθόλου οὔτε τοῖς μερικοῖς
προσδιορισμοῖς κέχρημαι. αὐτὸς δὲ καὶ παραδείγμασιν κέχρηται ⟨ἃ⟩ ἀνάγκη
ἀδιορίστως προενέγκασθαι· οἷόν ἐστιν πρότασις τοιαύτη 'τῶν ἐναντίων ἡ
αὐτὴ ἐπιστήμη', καὶ ἔστιν ἀληθής· ὁ γὰρ ἰατρὸς οὐ μόνον τὰ ὑγιεινὰ 25
25 οἶδεν ἀλλὰ καὶ τὰ νοσώδη, τοῖς μὲν ἵνα χρήσηται, τὰ δὲ ἵνα φύγῃ.
ὁμοίως ὁ μουσικὸς καὶ τὰ εὐάρμοστα καὶ τὰ ἀνάρμοστα οἶδεν· καὶ ἐπὶ
τῶν ἄλλων ὁμοίως ἀληθές ἐστιν εἰπεῖν ὅτι τῶν ἐναντίων ἡ αὐτή ἐστιν |
ἐπιστήμη. ἐὰν μέντοι εἴπω μετὰ προσδιορισμοῦ 'πάντων τῶν ἐναντίων f. 100r
ἡ αὐτή ἐστιν ἐπιστήμη', ψεύδομαι· οὐ γὰρ πάντων τῶν ἐναντίων ἡ αὐτή
30 ἐστιν ἐπιστήμη, ἀλλ' ἑκάστης μὲν ἀντιθέσεως τῶν ἐναντίων ἡ αὐτή ἐστιν
ἐπιστήμη, οὐ πάντων δὲ ἅμα τῶν ἐναντίων· οὐ γὰρ ἡ αὐτή ἐστιν ἐπιστήμη 5
εὐαρμόστου καὶ ἀναρμόστου καὶ ὑγιεινοῦ ἅμα καὶ νοσώδους. ὥστε ἀνάγκη
ταύτην τὴν πρότασιν ἀδιορίστως προφέρεσθαι, εἰ μέλλοιμεν ἀληθεύειν.
πάλιν ἐὰν εἴπω 'πᾶσα ἡδονὴ ἀγαθὸν οὐκ ἔστιν', ψεύδομαι· οὐ γὰρ πᾶσα
35 ἡδονὴ οὐκ ἀγαθόν ἐστιν, ἀλλ' αἱ μὲν ἀκόλαστοι καὶ ἀκάθαρτοι οὐκ ἀγα-
θαί, αἱ δὲ ἐπὶ ταῖς ἀρεταῖς ⟨καὶ⟩ καθαραὶ ἀγαθαί. ὥστε ἀδιορίστως λεκτέον 10
καὶ ταύτην τὴν πρότασιν, εἰ μέλλοιμεν ἀληθεύειν, οἷον ἡδονὴ ἀγαθὸν οὐκ
ἔστιν· αἱ γὰρ μὴ αἱρεταὶ μηδὲ ἀναγκαῖαι οὐκ ἀγαθαί.

3 τὸ addidi 6 τί (post οἷον) P 11 ad οὖν in mrg. τί P cf. p. 23,21
12 ad μὴ τινὶ in mrg. add. τὸ μὴ τί ἀντὶ τῆς καθόλου ἀποφατικοῦ (l. ἀποφατικῆς) λάμβανε τῇ (l. τῆς) οὐδενί· κυρίως γὰρ κατὰ πάσας τὰς ὕλας ἀντιφατικῶς αὕτη ἀντίκειται P
22 ἃ addidi 24 ὁ ex οἱ sive ου corr. P1 36 καὶ addidi

p. 24a22 Διαφέρει δὲ ἡ ἀποδεικτικὴ ἕως τοῦ καθάπερ καὶ ἐν τοῖς Τοπικοῖς εἴρηται.

Ἔοικεν ἐνταῦθα παρεκβάσει κεχρῆσθαι καὶ ἀφίστασθαι τοῦ προκειμένου. ἐπειδὴ γὰρ σκοποὶ αὐτῷ νῦν περὶ τοῦ κοινοῦ συλλογισμοῦ ἁπλῶς διαλαβεῖν μόνου δῆλον ὅτι καὶ περὶ μόνης τῆς κοινῆς προτάσεως, οὐ περὶ ἀποδεικτικῆς (περὶ γὰρ ταύτης ἐρεῖ ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς) οὐδὲ περὶ διαλεκτικῆς (περὶ γὰρ ταύτης ἐρεῖ ἐν τοῖς Τόποις), καὶ ⟨οὐκ⟩ οἰκείως ὅδε μετὰ τὸ ὁρίσασθαι τὴν κοινὴν πρότασιν λέγει πῇ διαφέρει ἡ ἀποδεικτικὴ πρότασις τῆς διαλεκτικῆς. καὶ λέγομεν ὅτι οὐδὲν ἔξω τοῦ προκειμένου λέγει· ταύτας γὰρ παρήγαγεν, τήν τε ἀποδεικτικὴν καὶ τὴν διαλεκτικήν, ἵνα δείξῃ ὅτι καὶ κατὰ τούτων ἁρμόζει ὁ ἀποδεδομένος ⟨ὅρος⟩ τῆς προτάσεως, καὶ ὅτι αἱ προτάσεις οὐδὲν ἀλλήλων διαφέρουσιν, ἀλλὰ κατὰ πάσης προτάσεως ἀποδέδοται ὁ ἀποδεδομένος ὅρος. διχῇ δὲ λαμβάνει τὴν διαφορὰν τῆς τε ἀποδεικτικῆς προτάσεως καὶ τῆς διαλεκτικῆς, ἀπό τε τῆς ὕλης καὶ ἀπὸ τῆς χρήσεως· ἀπὸ μὲν τῆς ὕλης, ὅτι ἡ μὲν ἀποδεικτικὴ περὶ τὰ ἀναγκαῖα πράγματα ἔχει τὰ ἀεὶ ὡσαύτως | ἔχοντα, f. 100v ἡ δὲ διαλεκτικὴ περὶ τὰ φαινόμενα, περὶ τὰ ἔνδοξα· ἀπὸ δὲ τῆς χρήσεως, ὅτι ἡ μὲν ἀποδεικτικὴ πρότασις λῆψίς ἐστιν τοῦ ἑτέρου μορίου τῆς ἀντιφάσεως (ὁ γὰρ ἀποδεικνύων οὐκ ἐρωτᾷ τὸν προσδιαλεγόμενον, ἀλλὰ τὴν πρότασιν τὴν συμβαλλομένην αὐτῷ πρὸς ἀπόδειξιν λαμβάνει, κἂν τε ἀρέσκῃ πάντας κἂν τε μηδένα ἀρέσκῃ· πᾶσα γὰρ πρότασις τὸ ἕτερον μόριόν ἐστιν τῆς ἀντιφάσεως· ἀντίφασις γάρ ἐστιν, ὡς καὶ ἐν τῷ Περὶ ἑρμηνείας εἶπεν, "κατάφασις καὶ ἀπόφασις αἱ ἀντικείμεναι"· ὥστε κἂν κατάφασιν λάβῃς κἂν ἀπόφασιν, τὸ ἕτερόν ἐστιν τῆς ἀντιφάσεως μόριον), ἡ δὲ διαλεκτικὴ πρότασις ἐρωτῶντι μὲν ἐρώτησίς ἐστιν, συλλογιζομένῳ δὲ λῆψις τοῦ ἑτέρου μορίου τῆς ἀντιφάσεως· ὁ γὰρ διαλεκτικὸς ἐπειδὴ οὐκ αὐτὸς λαμβάνει ἑαυτῷ τὰς προτάσεις ὡς ὁ ἀποδεικτικός, ἀλλ' ἐκείνας λαμβάνει ἃς δίδωσιν αὐτῷ καὶ αἷς τίθεται ὁ διαλεγόμενος, πᾶσαν τὴν ἀντίφασιν λέγων ἐρωτᾷ, ἵνα ἔχῃ ὁ προσδιαλεγόμενος θέσθαι ᾧ βούλεται μορίῳ τῆς ἀντιφάσεως. οἷον ἐρωτᾷ ὁ διαλεκτικὸς 'δοκεῖ σοι ἡ ἡδονὴ κατὰ φύσιν εἶναι ἢ μὴ εἶναι;'· εἶτα τοῦ προσδιαλεγομένου θεμένου τῷ ἑτέρῳ μορίῳ, οἷον ὅτι κατὰ φύσιν ἐστὶν ἡ ἡδονή, ἐπάγει 'τί δέ, δοκεῖ σοι τὸ κατὰ φύσιν ἀγαθὸν εἶναι ἢ μὴ εἶναι;'· τοῦ δὲ θεμένου τὸ κατὰ φύσιν ἀγαθὸν εἶναι συλλογίζεται καὶ οὐκέτι πᾶσαν τὴν ἀντίφασιν ἀλλὰ τὸ ἕτερον μόριον τὸ δοθὲν αὐτῷ τῆς ἀντιφάσεως λαμβάνει καὶ λέγει 'ἡ ἡδονὴ κατὰ φύσιν, τὸ κατὰ φύσιν ἀγαθόν, ἡ ἡδονὴ ἄρα ἀγαθόν'. ὥστε ἡ διαλεκτικὴ πρότασις ἐρωτῶντι μὲν τῷ διαλεκτικῷ ἐρώτησίς ἐστιν τῆς ἀντιφάσεως·

7 οὐκ addidi 11 ὅρος addidi cf. vs. 13 19 ὁ ex ου corr. P1
22. 23 ἐν τῷ Περὶ ἑρμ.] c. 6 p. 17a33 28 αἷς (sic) P διαλεγόμενος ex διαλεκτικος corr. P1 29 ἔχει P cf. p. 20,11

ἐρωτᾷ γὰρ πᾶσαν λέγων τὴν ἀντίφασιν· συλλογιζομένῳ δὲ λῆψίς ἐστιν τοῦ ἑτέρου μορίου τῆς ἀντιφάσεως· τὴν γὰρ δοθεῖσαν αὐτῷ λαμβάνει. διχῇ οὖν τὴν διαφορὰν δείκνυσιν, καὶ ἀπὸ τῆς ὕλης καὶ ἀπὸ τῆς χρήσεως· καὶ πρῶτον μὲν | ἀπὸ τῆς χρήσεως, ὕστερον δὲ ὑποκατιὼν f. 101ʳ
5 καὶ ἀπὸ τῆς ὕλης καὶ ἀπὸ τῆς χρήσεως. ἀπὸ τῆς χρήσεως, ὅτι ἡ μὲν ἀποδεικτικὴ πρότασις λῆψίς ἐστιν θατέρου μορίου τῆς ἀντιφάσεως (οὐ γὰρ ἐρωτᾷ ὁ ἀποδεικνύων ἀλλὰ λαμβάνει, οἷον ὅτι ἡ ψυχὴ αὐτοκίνητός ἐστιν, κἂν τε θῆται ὁ προσδιαλεγόμενος κἂν τε μή), ἡ δὲ διαλεκτικὴ πρότασις ἐρώτησίς ἐστιν ἀντιφάσεως. καὶ εἴρηται διὰ τί, ὅτι.
10 ἐπειδὴ ἐξ ἐνδόξων συλλογίζεται, ἐξ ὧν τίθεται ὁ προσδιαλεγόμενος, πᾶσαν τὴν ἀντίφασιν ἐρωτᾷ, ἵνα ἔχῃ ὁ προσδιαλεγόμενος ᾧ βούλεται μορίῳ τῆς ἀντιφάσεως θέσθαι. οὐδὲν δὲ διοίσουσιν αὗται ἀλλήλων ἢ προτάσεις, οὐδὲ διοίσουσίν τι πρὸς τὸ γενέσθαι τὸν ἑκατέρου συλλογισμόν, ἢ συλλογισμὸς ἁπλῶς, οὐχ ἢ τοιόσδε· καὶ γὰρ καὶ ὁ ἀπο-
15 δεικνύων, ἀντὶ τοῦ 'ἀποδεικτικός', καὶ ὁ ἐρωτῶν, ἀντὶ τοῦ 'ὁ διαλεκτικός', συλλογίζεται λαβών τι κατά τινος ὑπάρχειν ἢ μὴ ὑπάρχειν. ὥστε καλῶς ὡρίσατο ἄνω τὴν κοινὴν πρότασιν, καὶ ἐφαρμόζει ὁ λόγος αὐτῆς πάσῃ προτάσει. καὶ ἵνα τοῦτο δείξῃ, παρήγαγεν τὴν διαφορὰν τῆς διαλεκτικῆς καὶ ἀποδεικτικῆς προτάσεως. τῆς δὲ σοφιστικῆς οὐκ ἐμνήσθη
20 ὡς καὶ αὐτοῦ ὅλου τοῦ συλλογισμοῦ ψευκτοῦ ὄντος καὶ βλαβεροῦ· ἀναγινώσκομεν οὖν τὴν περὶ αὐτοῦ πραγματείαν, οὐχ ἵνα χρησώμεθα αὐτῷ, ἀλλ' ἵνα φύγωμεν αὐτὸν καὶ μὴ ὑπὸ τῶν σοφιστῶν ὀχλώμεθα. ὥστε, φησίν, καλῶς ὡρισάμεθα τὴν κοινὴν πρότασιν, καὶ ἔστιν μὲν ἡ συλλογιστικὴ πρότασις ἁπλῶς πᾶσα ἡ κοινὴ κατάφασις ἢ ἀπόφασίς τινος κατά
25 τινος ἢ τινὸς ἀπό τινος, ὡς εἴρηται. πάλιν δὲ ἐνταῦθα τὰ ἀρχαίως γεγραμμένα βιβλία οὐκ ἔχει τὸ τινὸς ἀπό τινος, ἀλλὰ μόνον τὸ τινὸς κατά τινος, καὶ ἐξηγητέον αὐτὸ ὡς εἴρηται ἄνω. ἀποδεικτικὴ δὲ γίνεται, ⟨ἐὰν⟩ ἀληθὴς ἢ καὶ διὰ τῶν ἐξ ἀρχῆς ὑποθέσεων εἰλημμένη. ἐνταῦθα ἀπὸ τῆς ὕλης λαμβάνει τὴν διαφορὰν τῆς ἀποδεικτικῆς
30 προτάσεως πρὸς τὴν διαλεκτικήν. ἄνω μὲν ἀπὸ τῆς χρήσεως | εἶπεν f. 101ᵛ τὴν διαφοράν. ἐνταῦθα δὲ καὶ ἀπὸ τῆς ὕλης· ἀεὶ γὰρ ἡ ἀποδεικτικὴ πρότασις ἀληθής ἐστιν καὶ διὰ τῶν ἐξ ἀρχῆς ὑποθέσεων εἰλημμένη, ἐπειδή, ὡς εἴρηται, ἡ ὕλη αὐτῆς ἐστιν τὰ ἀναγκαῖα πράγματα καὶ ἀεὶ ὡσαύτως ἔχοντα. προσέθηκεν δὲ τὸ [δε] διὰ τῶν ἐξ ἀρχῆς ὑποθέ-
35 σεων εἰλημμένη, ἐπειδὴ ὥσπερ οἱ γεωμέτραι ἀρχάς τινας καὶ ὑποθέσεις λαμβάνοντες ἀποδεικνύουσιν τὰ θεωρήματα, οὕτως καὶ ὁ ἀποδεικτικὸς συλλογιζόμενος λαμβάνει ὑποθέσεις τινὰς ἐναργεῖς καὶ αὐτόθεν γνωρίμους, αἳ διὰ τὸ σαφὲς καὶ ἐναργὲς αὐτόθεν ἀναπόδεικτοί εἰσιν καὶ οἷον ἀρχαὶ

---

11 ἔχει P cf. p. 19,29 13 διοίσουσίν] ὁ ex ν corr. P 15 ⟨ὁ⟩ ἀποδ. conicio 23 ὁρισάμεθα P 25 ἢ τινὸς ἀπό τινος om. nostri codd. (praeter f n) 26 γεγραμένα P τὸν (post ἔχει) P 27 ἐξηγετέον P 28 ἐὰν ex Arist. addidi 30. 31 ἄνω — ὕλης deleverim 30 χρήσεως] χρή in fine paginae P 34 τόδε P: δε delevi 36 ἀποδείκνυσιν pr. P

τοῦ ἀποδεικτικοῦ· ἀεὶ γὰρ ἑκάστης τέχνης καὶ ἑκάστης ἐπιστήμης ἀρχαὶ ἀναπόδεικτοί εἰσιν. ἢ ὅτι ἀποδεικτικὴ πρότασις ἔχει πάντως τὸ ἀληθὲς κατὰ τὴν ὕλην καὶ εἴληπται ἐκ τῶν ὑποθέσεων τῶν ἐξ ἀρχῆς, ἃς ὡς οἰκείας ἀρχὰς ὁ ἀποδεικτικὸς λαμβάνει σαφεῖς οὔσας καὶ ἐναργεῖς καὶ οὐ δεομένας ἀποδείξεως. ἢ τῶν ἐξ ἀρχῆς ἀντὶ τοῦ 'τῶν ἄνωθέν ποθεν ἀπὸ κοινῶν ἐννοιῶν λαμβανομένων'· μάλιστα γὰρ ἐπὶ πάντων ἀρχαῖς κεχρήμεθα ταῖς κοιναῖς ἐννοίαις. ὥστε τὰ δύο ἐνταῦθα λέγει, καὶ τὴν ὕλην, ὅτι, ἐπειδὴ ἀναγκαία ἐστὶν ἡ ὕλη καὶ ἀεὶ ὡσαύτως ἔχουσα, πάντως ἀληθής ἐστιν ἡ πρότασις, καὶ τὴν χρῆσιν, ὅτι λαμβάνει αὐτὴν ἐξ ὑποθέσεων τῶν ἐξ ἀρχῆς, ἀντὶ τοῦ 'ἀπὸ τῶν οἰκείων ἀρχῶν καὶ οἷον ἀπὸ κοινῶν ἐννοιῶν', ὡς καὶ ἄνω σαφέστερον εἶπεν περὶ τῆς χρήσεως ὅτι οὐκ ἐρωτᾷ ὁ ἀποδεικνύων, ἀλλὰ λαμβάνει τὸ ἕτερον μόριον τῆς ἀντιφάσεως πάντως ⟨ὡς⟩ βούλεται. ὁμοίως δὲ καὶ ἐπὶ τῆς διαλεκτικῆς λέγει καὶ τὴν ὕλην καὶ τὴν χρῆσιν· λέγει γὰρ ὅτι διαλεκτικὴ δέ ἐστιν πυνθανομένῳ μὲν ἐρώτησις ἀντιφάσεως (εἴρηται γὰρ ὅτι πᾶσαν τὴν ἀντίφασιν ἐρωτᾷ ὁ διαλεκτικός, καὶ διὰ τί εἴρηται), συλλογιζομένῳ δὲ λῆψις τοῦ φαινομένου καὶ ἐνδόξου· οὐ γὰρ ἐν τῷ συλλογίζεσθαι ὡς ἐν τῷ ἐρωτᾶν πᾶσαν τὴν ἀντίφασιν λαμβάνει (οὐδὲ γὰρ ἐνδέχεται), ἀλλὰ τὸ ἕτερον μέρος ᾧ τίθεται ὁ προσδιαλεγόμενος. ὥστε τῇ χρήσει διαφέρει τῆς ἀποδεικτικῆς, | ὅτι f. 102r ἐκεῖνος οὐδὲ ἐρωτᾷ. ἀλλὰ καὶ τῇ ὕλῃ διαφέρει· ὁ μὲν γὰρ τὸ ἀληθὲς λαμβάνει ὡς περὶ τὰ ἀναγκαῖα καὶ ἀίδια ἔχων, ὁ δὲ τὸ φαινόμενον καὶ τὸ δοκοῦν τοῖς πολλοῖς καὶ τῷ προσδιαλεγομένῳ· περὶ γὰρ τὰ φαινόμενα καὶ ἔνδοξα ἔχει· οἷον ὅταν λέγῃ, ὡς εἴρηται, 'ἡ ἡδονὴ κατὰ φύσιν, πᾶν τὸ κατὰ φύσιν ἀγαθόν, ἡ ἡδονὴ ἄρα ἀγαθόν'· τὸ γὰρ τὴν ἡδονὴν κατὰ φύσιν εἶναι φαινόμενον μέν ἐστιν καὶ δοκοῦν τοῖς πολλοῖς, οὐ πάντως δὲ ἀληθές. καθάπερ, φησίν, καὶ ἐν τοῖς Τόποις εἴρηται ὅτι ὁ διαλεκτικὸς τὰ φαινόμενα καὶ ἔνδοξα λαμβάνει. λέγει δὲ ἐκεῖ ὅτι τὸ ἔνδοξον πολλαχῶς λέγεται, ἢ τὸ πᾶσι δοκοῦν, καὶ σοφοῖς καὶ οὐ σοφοῖς, ἢ τὸ τοῖς πολλοῖς μὲν δοκοῦν τοῖς σοφοῖς δὲ οὐ δοκοῦν, ἢ τὸ τοῖς σοφοῖς μόνοις δοκοῦν, ἢ τὸ τοῖς ἐπιφανεστέροις τῶν σοφῶν.

p. 24b12 Τί μὲν οὖν ἐστιν πρότασις ἕως τοῦ διαιρουμένου τοῦ εἶναι καὶ μὴ εἶναι.

Ἀνακεφαλαιοῦται τὰ εἰρημένα καὶ λέγει τί μὲν οὖν ἐστιν πρότασις ἁπλῶς ἡ κοινή, καὶ τίνι διαφέρει ἡ συλλογιστικὴ πρότασις ἁπλῶς ἡ κοινὴ τῶν μερικῶν, τῆς ἀποδεικτικῆς καὶ τῆς διαλεκτικῆς, καὶ αὗται τίνι διαφέρουσιν ἀλλήλων, ἡ ἀποδεικτικὴ τῆς διαλεκτικῆς, δι' ἀκριβείας ἐν τοῖς ἑπομένοις ῥηθήσεται. τί ᾗ γὰρ ἄρα νῦν οὐκ ἀκριβῶς

---

8 ἔχουσα] ο in ras. P 10 ἐννωῶν P pr. 11 σαφέστερων (sic) P 12 ὡς addidi 21 ἀείδια P 27 ἐκεῖ] Top. I 1 p. 100b21—23 31 τοῦ alt. Arist.: τὸ P cf. p. 22, 33. 37 33 εἰρημένα] ει in ras. P 37 fort. γ' ἄρα aut γ' οὖν

εἶπεν, ἀλλ' ἀλλαχοῦ ἐρεῖ καὶ περὶ τῆς συλλογιστικῆς ἁπλῶς προτάσεως τῆς κοινῆς ἀκριβῶς δέον ἐνταῦθα εἰπεῖν, ὅπου πρόκειται αὐτῷ περὶ τοῦ ἁπλῶς συλλογισμοῦ εἰπεῖν; τί οὖν ἐροῦμεν πρὸς τοῦτο; λέγομεν ὅτι τὸ δι' ἀκριβείας ἐν τοῖς ἑπομένοις ῥηθήσεται οὐ περὶ τῆς συλλογιστικῆς τῆς κοινῆς ἁπλῶς εἶπεν (ἀκριβῶς γὰρ περὶ αὐτῆς εἶπεν), ἀλλὰ περὶ τῆς διαλεκτικῆς καὶ τῆς ἀποδεικτικῆς, περὶ ὧν ἐν τοῖς ἑπομένοις ἐρεῖ ἀκριβέστερον, περὶ μὲν τῆς ἀποδεικτικῆς ἐν τοῖς Ὑστέροις ἀναλυτικοῖς, περὶ δὲ τῆς διαλεκτικῆς ἐν τοῖς Τόποις. πρὸς δὲ τὴν παροῦσαν χρείαν, φησίν, πρὸς τὸ δεῖξαι ὅτι ἱκανῶς ὡρισάμεθα τὴν ἁπλῶς συλλογιστικὴν τὴν κοινὴν καὶ πάσῃ προτάσει ἐφαρμόζει ὁ εἰρημένος ὅρος, ἱκανῶς ἡμῖν διωρίσθω τὰ νῦν.

Λοιπὸν δὲ ἀκολούθως τοῖς προ|ειρημένοις μετὰ τὸ εἰπεῖν τί f. 102v ἐστιν πρότασις ἔρχεται ἐπὶ τὸ εἰπεῖν τί ἐστιν ὅρος· οὕτως γὰρ καὶ ἄνω εἶπεν, ὅτι χρὴ εἰπεῖν "τί ἐστιν πρότασις καὶ τί ὅρος". οὐκέτι δὲ λέγει 'ὅρος δέ ἐστιν', ὡς εἶπεν περὶ τῆς προτάσεως "πρότασις δέ ἐστιν", ἀλλ' ὅρον δὲ καλῶ ὡς μὴ κειμένου τοῦ ὀνόματος τούτου παρὰ τοῖς πρὸ αὐτοῦ ἀλλ' ὡς αὐτὸς ὀνοματοθέτης ὢν τούτου τοῦ ὀνόματος. ὅρον δέ, φησίν, καλῶ εἰς ὃν διαλύεται ἡ πρότασις. εἰς τί δὲ διαλύεται; δῆλον ὅτι εἰς τὸ κατηγορούμενον καὶ τὸ ὑποκείμενον, ὃ ἐσήμανεν εἰπὼν καθ' οὗ κατηγορεῖται· τὸ γὰρ ὑποκείμενον ἐκεῖνό ἐστιν καθ' οὗ κατηγορεῖται τὸ κατηγορούμενον. ὅρους δ' ἐκάλεσεν τὰ μόρια τῆς προτάσεως ἀπὸ μεταφορᾶς τῶν ὅρων τῶν ὁριζόντων τὰ χωρία· καὶ τὴν πρότασιν γὰρ τὰ ὁρίζοντα καὶ οἱονεὶ περιέχοντα καὶ ἀποκλείοντα ὅ τε ὑποκείμενός ἐστιν ὅρος καὶ ὁ κατηγορούμενος. εἰκότως ἄρα πρώτην ὡρίσατο τὴν πρότασιν ὡς μέλλων ἀπ' αὐτῆς τὸν ὅρον σαφηνίζειν. καὶ αὕτη ἐστὶν ἀληθὴς αἰτία, ᾗ καὶ ὁ φιλόσοφος ἀρέσκεται, τοῦ ὁρίσασθαι αὐτὸν τὴν πρότασιν πρὸ τοῦ ὅρου, οὐχ ὥς τινες λέγουσιν διὰ τὸ γνωριμώτερον αὐτὴν εἶναι καὶ ἔννοιάν πως ἡμᾶς αὐτῆς εἰληφέναι ἐκ τῶν εἰρημένων ἐν τῷ Περὶ ἑρμηνείας, οὐδὲ διὰ τὸ τὸ μὲν τῆς προτάσεως ὄνομα καὶ παρὰ τοῖς πρὸ αὐτοῦ κεῖσθαι, τὸ δὲ τοῦ ὅρου αὐτὸν τεθεικέναι. ὅρον οὖν, φησίν, καλῶ εἰς ὃν διαλύεται ἡ πρότασις, οἷον τὸν κατηγορούμενον καὶ καθ' [ὧν] οὗ κατηγορεῖται ὁ κατηγορούμενος, τοῦτ' ἔστιν τὸν ὑποκείμενον, ἢ προστιθεμένου ἢ διαιρουμένου τοῦ εἶναι ἢ μὴ εἶναι. τοῦτο δὲ τὸ ἢ προστιθεμένου ἢ διαιρουμένου τοῦ εἶναι ἢ μὴ εἶναι ὁ μὲν Ἀλέξανδρος ἁπλούστερον ἐξηγεῖται, καὶ λέγει τὸ μὲν προστιθεμένου τοῦ εἶναι περὶ τῆς καταφάσεως λέγεσθαι, τὸ δὲ διαιρουμένου τοῦ μὴ εἶναι περὶ τῆς ἀποφάσεως. καὶ ἐκδέχεται τὸ προστιθεμένου ἀντὶ τοῦ 'προστιθέντος', τὸ δὲ διαιρουμένου ἀντὶ τοῦ 'διαιροῦντος'· ἐπὶ μὲν γὰρ τῆς καταφάσεως τὸ εἶναι προστίθησιν καὶ οἱονεὶ συντίθησιν καὶ συνάπτει τὸν κατηγορούμενον τῷ | ὑποκειμένῳ, f. 103r

13 τὸ scripsi: τοῦ P 17 ὀνοματοθέτης scripsi cf. p. 32,28: ὀνομοθετης P 26 φιλόσοφος] λο ex λω corr. P 28 αὐτῆι (post ἡμᾶς) P 32 ὧν delevi 33 et 37 τοῦ scripsi: τὸ P cf. p. 21,31 35 Ἀλέξανδρος] p. 15,4sq. 38 προστιθέντος scripsi: προστεθέντος P

ἐπὶ δὲ τῆς ἀποφάσεως τὸ μὴ εἶναι διαιρεῖ τὸν κατηγορούμενον ἀπὸ τοῦ ὑποκειμένου. οὕτως δὴ καὶ ἐν τῷ Περὶ ἑρμηνείας σύνθεσιν ἐκάλεσεν τὴν κατάφασιν, διαίρεσιν δὲ τὴν ἀπόφασιν λέγων "περὶ γὰρ σύνθεσιν καὶ διαίρεσίν ἐστιν τὸ ψεῦδός τε καὶ τὸ ἀληθές". προστιθεμένου οὖν ἀντὶ τοῦ 'καταφάσκοντος', διαιρουμένου δὲ ἀντὶ τοῦ 'διαιροῦντος, ἀποφάσκοντος, ἀποφατικῶς κειμένου', ἵν' ᾖ τὸ ὅλον οὕτως· ὅρον καλῶ εἰς ὃν διαλύεται ἡ πρότασις καταφατικὴ ἢ ἀποφατικὴ οὖσα· πᾶσα γὰρ πρότασις ἢ καταφατική ἐστιν ἢ ἀποφατική. οὕτως ὁ Ἀλέξανδρος. ὁ δὲ μέγας φιλόσοφος βαθύτερον καὶ ἀκριβέστερον ἐξηγούμενος λέγει ὅτι τὸ ἢ προστιθεμένου ἢ διαιρουμένου τοῦ εἶναι ἢ μὴ εἶναι τὰ διάφορα εἴδη τῶν προτάσεων σημαίνει· τῶν γὰρ προτάσεων αἱ μὲν αὐτόθεν ἔχουσιν τὸν κατηγορούμενον ὅρον τῷ ὑποκειμένῳ συναπτόμενον, αἱ δὲ τὸ 'ἔστιν' τρίτον προσκατηγορούμενον, αἱ δὲ μετὰ τρόπου· πάλιν αἱ μὲν ἁπλαῖ εἰσιν, αἱ δὲ ἐκ μεταθέσεως. τοῦτο σημαίνει ἐνταῦθα, ὅτι πᾶσα πρότασις εἰς ὅρους διαλύεται, κἂν αὐτόθεν ἔχῃ τὸν κατηγορούμενον τῷ ὑποκειμένῳ συναπτόμενον, κἂν τὸ 'ἔστιν' τρίτον προσκατηγορῆται, κἂν μετὰ τρόπου ᾖ, κἄν τε ἁπλῆ κἄν τε ἐκ μεταθέσεως. πῶς οὖν ταῦτα σημαίνει, λεκτέον. λέγει, καὶ καλῶς λέγει, ὅτι δύο ταῦτα εἶπεν προστιθεμένου καὶ διαιρουμένου· ταῦτα δὲ οὐκ ἀντίκειται ἀλλήλοις ἀλλὰ ἔστιν τὰ ἑκατέρῳ τούτων ἀντικείμενα· τῇ προσθέσει ἡ ἀφαίρεσις ἀντίκειται, τῇ δὲ διαιρέσει ἡ σύνθεσις. ἔοικεν οὖν [τί] ἀπὸ ἑκατέρας ἀντιθέσεως ἓν εἰπὼν καταλιπεῖν ἡμῖν τὰ ἕτερα ἐννοήσασιν εἰσαγαγεῖν. λάβωμεν οὖν τὰς δύο ἀντιθέσεις, πρόσθεσιν ἀφαίρεσιν, σύνθεσιν διαίρεσιν, καὶ λάβωμεν ἀντὶ τοῦ εἶναι τὸ 'ἔστιν', δῆλον ὅτι καὶ ἀντὶ τοῦ μὴ εἶναι τὸ 'οὐκ ἔστιν', καὶ λοιπὸν ἴδωμεν τί βούλεται σημᾶναι. μεμαθήκαμεν καὶ ἐν τῷ | Περὶ ἑρμηνείας ὅτι τὸ f. 103v
'ἔστιν' οὐκ ἔστιν τρίτος ὅρος· "οὐδὲ γὰρ τὸ εἶναι ἢ μὴ εἶναι σημεῖόν ἐστιν τοῦ πράγματος" ἐκεῖ εἶπεν, ἀλλὰ πρόσθεσίς ἐστιν καὶ προστίθεται τῷ κατηγορουμένῳ ὅρῳ· διὸ καὶ ἕν, καὶ εἶπεν προσκατηγορῆσαι. ἡ οὖν πρόσθεσις τοῦ 'ἔστιν' σημαίνει τὰς προτάσεις τὰς ἐχούσας τὸ 'ἔστιν' προσκατηγορούμενον· οἷον Σωκράτης δίκαιός ἐστιν· ὁ ὑποκείμενός ἐστιν τὸ Σωκράτης, κατηγορούμενος δὲ τὸ 'δίκαιός ἐστιν'· ⟨τὸ δὲ 'ἔστιν'⟩ οὐκ ἔστιν ὅρος ἀλλὰ προσθήκη. ἐὰν δὲ ἀντὶ τοῦ 'δίκαιός ἐστιν' ἄλλον εἴπω κατηγορούμενον, οἷον τὸ 'ὑγιαίνει', οὐκέτι χώραν ἔχει τὸ 'ἔστιν'· οὐ γὰρ δύναμαι εἰπεῖν 'Σωκράτης ὑγιαίνει ἐστίν'· σαφῶς γὰρ πάλιν ἐκεῖ εἶπεν ὅτι "ἐφ' ὅσων τὸ 'ἔστιν' μὴ ἁρμόττει, οἷον ἐπὶ τοῦ ὑγιαίνειν καὶ τῶν τοιού-

---

2 οὕτωι P 3 λέγων] De interpr. c. 1 p. 16a12 5 καταφάσκοντος scripsi: καταφασκομένου P 6 ἀπαφατικῶς (sic) P 10 τὸ P cf. p. 22,33 15. 16 ἔχει — προσκατηγορεῖται P 19 τὰ deleverim 20 προθέσει P1, σ superscr. P2 21 τί delevi cf. p. 27,31 καταλιπεῖν] λιπεῖν in ras. P2 24 εἴδωμεν P 25 ἐν τῷ Περὶ ἑρμ.] c. 3 p. 16b22 26 ἢ μὴ εἶναι post 27 πράγματος collocat P 27 et 29 πρόθεσις P 28 an προσκατηγορεῖσθαι? 31 ante τὸ primum eras. 1 litt. P τὸ δὲ ἔστιν addidi 33 ὑγιαίνει] αι in ras. P 34 ἐ///κεῖπεν P, εῖ superscr. P1 35 ἐφ' ὅσων κτλ.] De interpr. c. 10 p. 20a3—5 memoriter citat

τῶν, ταὐτὸν ποιεῖ τὸ 'ὑγιαίνει' καὶ τὸ 'βαδίζει', ὡς ἂν εἰ τὸ εἶναι προσήπτετο". δῆλον οὖν ὅτι ἐπὶ τῶν τοιούτων προτάσεων ἀφαιρῶ τὸ 'ἔστιν' καὶ λέγω μόνον τὸ 'Σωκράτης ὑγιαίνει'. ὥσπερ οὖν ἡ πρόσθεσις τοῦ 'ἔστιν' ἐσήμανεν τὰς προτάσεις τὰς ἐχούσας τὸ 'ἔστιν' τρίτον προσκατη-
5 γορούμενον * * * ἀλλ' αὐτόθεν τὸν κατηγορούμενον συνημμένον τῷ 15
ὑποκειμένῳ. πάλιν τῶν μετὰ τρόπου προτάσεων εἴρηται ἐν τῷ Περὶ ἑρμηνείας ὅτι ὁ τρόπος οὐκ ἔστιν μέρος τῆς προτάσεως ἀλλὰ σύνδεσμος καὶ οἱονεὶ γόμφου χώραν ἐπέχει· συνδεῖ γὰρ τὸν κατηγορούμενον τῷ ὑποκειμένῳ. οἷον ἐὰν εἴπω 'ἄνθρωπος ἐξ ἀνάγκης ἐστίν', ὁ τρόπος ὁ μεταξὺ
10 καταφάσκει· συνδεῖ γὰρ καὶ συντίθησιν τὸ 'ἔστιν' τῷ 'ἄνθρωπος'. ἡ σύν- 20
θεσις οὖν τοῦ 'ἔστιν' σημαίνει τὰς μετὰ τρόπου προτάσεις. ἡ δὲ διαίρεσις τοῦ μὴ εἶναι σημαίνει τὰς μετὰ τρόπου ἐκ μεταθέσεως· ἐὰν γὰρ εἴπω 'τραγέλαφος ἐξ ἀνάγκης οὐκ ἔστιν', ⟨ὁ⟩ τρόπος μεταξὺ ὢν διαιρεῖ τὸ μὴ εἶναι ἀπὸ τοῦ τραγελάφου· ὥσπερ γὰρ ἐπὶ τοῦ 'ἄνθρωπος ἐξ ἀνάγκης 25
15 ἐστίν' ὁ τρόπος ἐπεβεβαίου τὴν σύνθεσιν τοῦ 'ἔστιν' πρὸς τὸ ἄνθρωπος καὶ τὴν ὕπαρξιν τὴν σημαινομένην διὰ τοῦ 'ἔστιν' ἐπέτεινεν, οὕτως ἐπὶ τοῦ 'τραγέλαφος ἐξ ἀνάγκης οὐκ ἔστιν' τὴν διαίρεσιν τῆς ὑπάρξεως ἐπιβεβαιοῖ καὶ ἐπιτείνει τὸ 'οὐκ ἔστιν'. κατάφασις | δέ ἐστιν καὶ ἡ 'τρα- f. 104r
γέλαφος ἐξ ἀνάγκης οὐκ ἔστιν'. ὥστε οὐ περὶ ἀποφάσεως ἐνταῦθα εἶπεν,
20 ἀλλὰ ὃ καταφατικὰς ἔλαβεν, τρεῖς μὲν ἐπὶ τῶν τριῶν εἰδῶν τῶν προτάσεων, μίαν δὲ ἐπὶ τῶν ἐκ μεταθέσεως, μόνον οὐχὶ λέγων ὅτι πᾶσα πρότασις, κἂν τε ἁπλῆ ᾖ οἱουδήποτε εἴδους οὖσα τῶν τριῶν εἰδῶν τῶν προ- 5
τάσεων, κἂν τε ἐκ μεταθέσεως ᾖ, διαλύεται εἴς τε τὸν κατηγορούμενον ὅρον καὶ τὸν ὑποκείμενον.

25 p. 24b18 Συλλογισμὸς δέ ἐστιν λόγος ἕως τοῦ πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον.

Ἀκολούθως μετὰ τὸ εἰπεῖν τί ἐστιν πρότασις καὶ τί ὅρος ὁρίζεται τί ἐστιν συλλογισμός· οὕτω γὰρ καὶ ἄνω προέθετο· "εἶτα, φησίν, διορίσαι τί ἐστιν πρότασις καὶ τί ὅρος καὶ τί συλλογισμός". πρὸ δὲ τῆς ἐξηγή- 10
30 σεως τοῦ ὅρου τοῦ συλλογισμοῦ ζητεῖται ἐνταῦθα τί ἐστιν τὸ ἐν ἡμῖν συλλογιζόμενον καὶ περὶ τίνων οἱ συλλογισμοί. καὶ λέγομεν ὅτι τριῶν οὐσῶν τῆς ψυχῆς γνωστικῶν δυνάμεων, τῆς νοερᾶς, τῆς διανοητικῆς, τῆς δοξαστικῆς, οὐ δύναται οὔτε ἡ πρώτη οὔτε ἡ τρίτη συλλογίζεσθαι, ἀλλ' ἡ μέση μόνη. ἡ μὲν γὰρ πρώτη διὰ τὴν ἀπὸ τοῦ νοῦ ἔλλαμψιν εἰς αὐ- 15
35 τὴν ἐφήκουσαν ἁπλαῖς ἐπιβολαῖς γιγνώσκει ἃ γιγνώσκει· ἡ δὲ τρίτη τὰ

---

3 πρόθεσις P 5 lac. signavi; supple οὕτως ἡ ἀφαίρεσις τοῦ 'ἔστι' σημαίνει τὰς προτάσεις τὰς οὐκ ἐχούσας τὸ 'ἔστι' τρίτον προσκατηγορούμενον 5. 6 τῷ ὑποκειμένῳ scripsi: τὸ ὑποκείμενον P 6. 7 ἐν τῷ Περὶ ἑρμ.] c. 12 p. 21b 26 sq. 8 γόμφου] γ corr. P²; in marg. γόμφου P² 10 ἄνθρωπος] ο ex ω corr. P 13 ὁ addidi διαιρεῖ scripsi: διαιρεῖται P 14 ἀνθρώπου P 15 ἐπεβεβαίου] inter πε et β 1 litt. eras. P τοῦ ἔστιν scripsi: τοῦτέστιν P 28 ἄνω] p. 24a11 34 διὰ scripsi: καὶ P ἔνλαμψιν P 35 ἐφήκουσαν] ἐ in ras. P

συμπεράσματα μόνα παραδέχεται παρὰ τῆς μέσης· διὸ καὶ δόξα καλεῖται παρὰ τὸ δέχεσθαι. ἡ δὲ μέση ἐστὶν ἡ διεξοδικῶς ἀπὸ ἄλλου ἄλλο γιγνώσκουσα· διὸ καὶ διάνοια καλεῖται παρὰ τὸ διανοεῖν καὶ διεξιέναι. αὕτη ἐστὶν ἡ δύναμις ἡ συλλογιζομένη [ἡ] ἐν ἡμῖν καὶ διὰ συλλογισμῶν γιγνώσκουσα καὶ ἀποδεικνύουσα τὰ πράγματα. ἀπὸ ταύτης τὰ συμπεράσματα τῶν ἀποδείξεων δεχομένη ἡ δόξα κατέχει· οἷον ἡ διάνοια συλλογιστικῶς καὶ ἀποδεικτικῶς εὑρίσκει καὶ γιγνώσκει ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστιν· τοῦτο ⟨τὸ⟩ συμπέρασμα μόνον τὸ 'ἡ ψυχὴ ἀθάνατός ἐστιν' ἐκτὸς τῶν ἄλλων προτάσεων δι' ὧν ἀποδείκνυται δέχεται ἡ δόξα καὶ δοξάζει ἄνευ ἀποδείξεων. ἡ οὖν διάνοια συλλογιστικῶς καὶ ἀποδεικτικῶς ἐπίσταται· ὥστε τὸ συλλογιζόμενον ⟨ἐν⟩ ἡμῖν ἡ διάνοιά ἐστιν. πάλιν τῶν πραγμάτων τὰ μὲν νοητά, τὰ δὲ αἰσθητά, τὰ δὲ μέσα τούτων· λέγω δὴ ὅτι | f. 104ᵛ
οὔτε ἐπὶ τῶν νοητῶν συλλογιζόμεθα οὐδ' ἐπὶ τῶν αἰσθητῶν ἀλλὰ μόνον τῶν μέσων. οὔτε γὰρ ⟨ἐπὶ⟩ τῶν νοητῶν συλλογιζόμεθα· οὐ γὰρ ὁ θεολόγος δύναται διὰ τῶν συλλογισμῶν τὰ νοητὰ δεικνύναι, ἀλλ' ἀναλογίᾳ κέχρηται, καὶ εἰκότως· οἱ μὲν γὰρ συλλογισμοὶ ἀπὸ τῶν αἰτιῶν τὰ αἰτιατὰ δεικνύουσιν καὶ ἀπὸ τῶν καθολικωτέρων τὰ μερικώτερα· τὰ δὲ νοητὰ πρῶτά ἐστιν καὶ καθολικώτερα τῶν ἄλλων πάντως· ὥστε εἰκότως περὶ τῶν πρώτων οὐ συλλογιζόμεθα· οὐδὲ γὰρ ὁριζόμεθα αὐτὰ διὰ τὴν αὐτὴν αἰτίαν· οἱ μὲν γὰρ ὅροι ἐκ γένους εἰσὶν καὶ διαφορῶν· ὑπὲρ δὲ τὰ πρῶτα οὐδέν. οὔτε μὴν ἐπὶ τῶν αἰσθητῶν συλλογιζόμεθα· οὐ γὰρ συλλογιστικῶς γιγνώσκω ὅτι τὸ γάλα λευκόν ἐστιν, ἀλλ' αὐτόθεν ἡ αἴσθησις τοῦτο γιγνώσκει. οὔτε περὶ τῶν πρώτων οὔτε ἐπὶ τῶν ἐσχάτων συλλογιζόμεθα, ἀλλὰ περὶ τῶν μέσων, ἃ καλεῖται διανοητά, ἐπειδὴ διανοστικῶς καὶ διεξοδικῶς αὐτὰ γιγνώσκομεν διὰ τῶν συλλογισμῶν, οἷον τὰ μαθήματα· συλλογιστικῶς γὰρ αὐτὰ γιγνώσκομεν· οὐ γὰρ δήπου δι' αἰσθήσεως αὐτὰ ἐπιστάμεθα· τὴν γνῶσιν γὰρ τῶν θεωρημάτων ἐξ ἀφαιρέσεως καλοῦσιν οἱ γεωμέτραι· τὸ γὰρ ξύλινον ἢ χαλκοῦν καὶ ἁπλῶς τὴν ὕλην καὶ τὸ ὅσον τῇ αἰσθήσει ὑποπίπτει ἀφελὼν ὁ γεωμέτρης αὐτὸ καθ' αὑτὸ τὸ καθόλου εἶδος τοῦ τριγώνου ἢ [ὁ] τετραγώνου διανοεῖται. ἔχομεν οὖν τί τε τὸ ἐν ἡμῖν συλλογιζόμενον, ὅτι οὐ τὸ νοερόν, οὐ τὸ δοξαστικόν, ἀλλὰ τὸ διανοητικόν, καὶ περὶ τίνων οἱ συλλογισμοί, ὅτι οὐ περὶ τῶν νοητῶν, οὐ περὶ τῶν αἰσθητῶν, ἀλλὰ περὶ τῶν μέσων τῶν διανοητῶν. λοιπὸν δὲ ἐπὶ τὴν τοῦ ὅρου ἐξήγησιν ἡμῖν ἰτέον. καὶ πρῶτον αὐτὸν ἐκθώμεθα, εἶτα δείξομεν ὅτι οὐδὲν οὔτε περισσὸν ἔχει οὔτε ἐλλεῖπον.

Συλλογισμός ἐστιν, φησίν, λόγος ἐν ᾧ τεθέντων τινῶν

---

1 συνπεράσματα P 2 post ἄλλο 1 litt. eras. P 4 ἡ tert. delevi 8 τὸ addidi 11 ἐν addidi 13 ἐπὶ prius scripsi: τὴν P 14 ἐπὶ addidi 14. 15 θεοσλόγος P 21. 22 τί γνώσκω P 22 ἐσθησις P 23 ⟨ὥστε⟩ οὔτε περὶ sive πρώτων ⟨οὖν⟩ conicio 24 ἐπειδὴ scripsi: ἐπι δε, ε alterum in ras., P δι ἀνυστικῶς, ι prius in ras., P 26 αὐτὰ γιγνώσκομεν scripsi: τὰ γιγνωσκόμενα P 27. 28 τὸ — ξύλινον scripsi: τοῦ — ξυλίνου P 27 αιφαιρέσεως (sic) P 30 τετραγώνου scripsi: ὁ τετράγωνος P διανοῆται P 31 an ἀλλὰ τὸ ⟨μέσον τὸ⟩? cf. vs. 33 34 fortasse δείξωμεν cf. p. 26,7

ἕτερόν τι τῶν κειμένων ἀνάγκη συμβαίνειν τῷ ταῦτα εἶναι. οὗτός ἐστιν ὁ τοῦ συλλογισμοῦ ὅρος. καὶ ὅτι μὲν τέως τὸ ὄνομα τοῦτο τὸ συλλογισμὸς συλλογὴν λόγων | δηλοῖ, πρόδηλον· ἀεὶ γὰρ ἡ συν πρό- f. 105r θεσις οὐχ ἕν τι σημαίνει ἀλλ' ἄθροισμά τι, οἷον ὅταν εἴπω συνέδριον, σύγκλη-
5 τος, συμπότης, σύμψηφος. συλλογισμὸς οὖν ἀντὶ τοῦ 'συλλογὴ λόγων καὶ οἱονεὶ ἄθροισμα λόγων'. ἵνα δὲ πρότερον ὡς τύπῳ νοήσωμεν τὰ εἰρημένα ἐν τῷ ὅρῳ τοῦ συλλογισμοῦ, συλλογισμόν τινα ἐκθέμενοι νοήσομεν ἐπ' αὐτοῦ πῶς τὰ εἰρημένα ἐν τῷ ὅρῳ πάντα ἐφαρμόζει αὐτῷ. οἷον ἔστω συλλογισμὸς οὗτος· ἡ γραμμὴ συνεχές, τὸ συνεχὲς ποσόν, ἡ γραμμὴ ἄρα
10 ποσόν. ὅτι μὲν οὖν τὸ ὅλον τοῦτο λόγος ἐστίν, πρόδηλον· καὶ γὰρ καὶ ἐκ λόγων σύγκειται· εἰσὶν γὰρ ἐν αὐτῷ δύο προτάσεις καὶ τὸ συμπέρασμα· ὥστε λόγος ἐκ λόγων ἐστίν. ὥστε τέως ὁ λόγος ἐφαρμόζει αὐτῷ. ἀλλὰ καὶ τέθειταί τινα ἐν αὐτῷ· τέθειται δὲ ἀντὶ τοῦ 'ὡμολόγηται'. τί δὲ ὡμολογήθη; ὅτι ἡ γραμμὴ συνεχές ἐστιν, καὶ ὅτι τὸ συνεχὲς καὶ ποσόν
15 ἐστιν. ὥστε ἁρμόζει αὐτῷ καὶ τὸ ἐν ᾧ τεθέντων τινῶν. ἀλλὰ καὶ τὸ συμπέρασμα ἄλλο τι ἀνεφάνη παρὰ τὰ κείμενα, παρὰ τὰ τεθέντα· τὰ μὲν γὰρ κείμενα ἦν τὰ ὁμολογηθέντα, ὅτι ἡ γραμμὴ συνεχές ἐστιν καὶ ὅτι τὸ συνεχὲς ποσόν· ἕτερον δέ τι παρὰ ταῦτα τὸ συμπέρασμα ἀνεφάνη, ὥστε ἡ γραμμὴ ἄρα ποσόν ἐστιν. ὥστε καὶ τὸ ἕτερόν τι τῶν κειμένων ἀνάγκη
20 συμβαίνειν ἁρμόζει αὐτῷ. πόθεν δὲ ἀνεφάνη τὸ συμπέρασμα; τῷ ταῦτα εἶναι τὰ ὁμολογηθέντα· οὐκ ἀλλαχόθεν γὰρ συνέβη καὶ ἀνεφάνη τὸ συμπέρασμα ἢ ἀπὸ τῶν τεθειμένων προτάσεων, ὅτι ἡ γραμμὴ συνεχές ἐστιν καὶ ὅτι τὸ συνεχὲς ποσόν ἐστιν. ὥστε καὶ τὸ τῷ ταῦτα εἶναι ἁρμόζει αὐτῷ.

Οὕτως μὲν ὡς τύπῳ εἰπεῖν ἐπὶ παραδείγματος ἐξηγήσθω ἡμῖν
25 ὁ ὅρος τοῦ συλλογισμοῦ. καὶ ἀκριβέστερον δὲ αὐτὸν ἐπισκεψώμεθα, ἵνα λέξωμεν ὅτι οὐδὲν περιττὸν οὐδὲ ἐλλεῖπον ἔχει ἡ ῥηθεῖσα ὑπογραφὴ τῆς ἐννοίας. πρόκειται αὐτῷ τὸν συλλογισμὸν ὁρίσασθαι· πᾶς δὲ ὅρος ἐκ γένους ἐστὶν καὶ διαφορῶν. ἐνταῦθα οὖν | τὸ f. 105v μὲν λόγος ὡς γένος παρείληπται· εἶδος γάρ ἐστιν τούτου συλλο-
30 γισμὸς ὡς τοῦ ζῴου ἄνθρωπος. τὰ δὲ ἑξῆς ὡς διαφοραί, τὸ μὲν ἐν ᾧ τεθέντων, ἵνα χωρίσῃ αὐτὸν ἀπὸ τῶν ἄλλων λόγων, οἷον τοῦ κλητικοῦ ἢ τοῦ εὐκτικοῦ καὶ τῶν ἄλλων ἁπλῶς, εἴτε πέντε αὐτοὺς βούλει λέγειν εἴτε δέκα· τί γὰρ τίθεταί τις ἐν εὐχῇ ἢ ἐν κλήσει; τεθέντων δὲ ἀντὶ τοῦ 'ὁμολογηθέντων'· καὶ γὰρ αὐτὰς τὰς προτάσεις ὁ Πλάτων ὁμολογή-
35 ματα καλεῖ, καὶ πολλαχοῦ λέγει 'ἀπὸ τῶν ὡμολογημένων' ἀντὶ τοῦ 'ἀπὸ τῶν ῥηθεισῶν προτάσεων'. οἱ δὲ Στωικοὶ ἀξιώματα αὐτὰς ἐκάλουν καὶ

5 σύνπότης P 7 an νοήσωμεν? cf. p. 25,34 10 ποσόν ex ποιόν corr. P[1]
12 an τέως τὸ? cf. vs. 28 14 καὶ alterum delendum videtur cf. vs. 18. 23
16 ἀνεφάνη] η in ras. corr. ex ει P 17 et 21 ὡμολογηθέντα P 18 ὥστε] τὸ conicio 21 ἦναι P 23 τῶι superscr. P 25 ὁ ὅρος scripsi: ὅτι ὅροι P
25 αὐτὸν ex αὐτῶν corr. P 26 δείξωμεν conicio οὐδὲ] οὐδὲν pr. P 29 λόγος] λόγ in ras. P τούτου scripsi: τοῦ P 31 ἄλλων λόγων] ων λόγ in ras. P
32 τ' ἀλλ' (sic) P 34 ὡμολογηθέντων P 36 στοϊκοὶ P αὐτὰς scripsi: αὐτὰ P

λήμματα παρὰ τὸ λαμβάνειν καὶ ἀξιοῦν αὐτὰς ἀληθεῖς εἶναι, ὡς τὰ παρὰ τοῖς γεωμέτραις ἀξιώματα. ὁ δὲ Ἀριστοτέλης προτάσεις αὐτὰς καλεῖ· τῶν δὲ προτάσεων τὰς σαφεῖς καὶ ἐναργεῖς καὶ μὴ δεομένας ἀποδείξεως διὰ τὸ σαφὲς ἀξιώματα καλεῖ μόνως [προτάσεις]. ὥστε τὸ ἐν ᾧ τεθέν-
5 των διορίζει τὸν συλλογισμὸν ἀπὸ τῶν ἄλλων λόγων τῶν ἀσυλλογίστων. τινὲς δὲ τὸ τεθέντων λέγουσιν αὐτὸν εἰρηκέναι, † καὶ ἐπειδὴ κατηγορικῶν συλλογισμῶν λέγει, ἀντὶ τοῦ 'κατηγορηθέντων'· ἐπὶ γὰρ τῶν τοιούτων συλλογισμῶν διαρρήδην τιθέμεθα καὶ ὁμολογοῦμεν καὶ ἀποφαινόμεθα ὡς ἀληθεῖς τὰς προτάσεις· ἐπὶ δὲ τῶν ὑποθετικῶν οὐκ ἀποφαινόμεθα ἀλλ'
10 ὑποτιθέμεθα 'εἰ τόδε ἐστίν, τόδε ἐστίν'. ἡμεῖς δὲ λέγομεν ὅτι καὶ ἐκεῖ, εἰ καὶ μὴ διαρρήδην τιθέμεθα, ἀλλ' οὖν καὶ ἐκεῖ τιθέμεθά πως, καὶ ἁρμόζει καὶ τοῖς ὑποθετικοῖς συλλογισμοῖς ὁ ὅρος οὗτος· ὥστε τὸ τεθέντων οὐ πρὸς διαστολὴν τῶν ὑποθετικῶν συλλογισμῶν εἴρηται ἀλλὰ τῶν ἄλλων λόγων ἐν οἷς οὐδὲν τίθεται. τὸ δὲ τινῶν εἶπεν διορίζων αὐτὸν
15 ἀπὸ τῶν μονολημμάτων συλλογισμῶν· ἐκεῖνοι γὰρ οὐ τέλειοι· νῦν δὲ τὸν τέλειον ὁρίζεται συλλογισμόν· δεῖ δὲ τὸν τέλειον συλλογισμὸν τὸ ἐλάχιστον ἐκ δύο λημμάτων εἶναι. εἰσὶν δέ τινες ἀτελεῖς συλλογισμοὶ μονολήμματοι, οἷς κέχρηνται οἱ ῥήτορες παραλιμπάνοντες τῷ δικαστῇ τὴν ἑτέραν πρότασιν ἐννοῆσαι, τὴν μείζονα ἢ τὴν | ἐλάσσονα. f. 106ᵃ
20 καὶ συμβάλλεται αὐτοῖς τοῦτο· ὁ γὰρ δικαστὴς ὑπάγεται εἰς τὸ θέσθαι τῇ ἀποδείξει, ἵνα μὴ δόξαν δῷ ἑαυτοῦ ὡς μὴ ἐννοήσας τὴν ἑτέραν πρότασιν. οἷον ὁ δεῖνα καλλωπιστής· ὁ δεῖνα ἄρα μοιχός· ὁ Σωκράτης σπουδαῖος· ὁ Σωκράτης ἄρα εὐδαίμων· ἑκατέρᾳ γὰρ αὐτῶν ἐνδεῖ τῆς μείζονος προτάσεως τῆς 'πᾶς δὲ καλλωπιστὴς μοιχός' καὶ τῆς
25 'πᾶς δὲ σπουδαῖος εὐδαίμων'. τῆς δὲ ἐλάττονος ἐνδεῖ, ἐὰν εἴπω 'πᾶς σπουδαῖος εὐδαίμων· ὁ Σωκράτης ἄρα εὐδαίμων'· ἐνδεῖ γὰρ τῆς ἐλάσσονος τῆς 'ὁ Σωκράτης σπουδαῖος'. καὶ ἐν μὲν τοῖς ἑπομένοις ἀκριβῶς μαθησόμεθα τίς ἡ ἐλάσσων καὶ τίς ἡ μείζων πρότασις· νῦν δὲ ὡς τύπῳ εἰπεῖν, ἐὰν ᾖ τοιοῦτος συλλογισμὸς 'πᾶσα γραμμὴ συνεχές, πᾶν τὸ συνεχὲς ποσόν,
30 πᾶσα γραμμὴ ποσόν', ἐλάσσων μέν ἐστιν πρότασις ἡ 'πᾶσα γραμμὴ [ἡ] συνεχές', μείζων δὲ ἡ 'πᾶν τὸ συνεχὲς ποσόν'. τὸ οὖν [τί] τινῶν διορίζει αὐτὸν ἀπὸ τῶν παρὰ τοῖς ῥήτορσιν μονολημμάτων συλλογισμῶν· ἐν ἐκείνοις γὰρ οὐ τινὰ τίθεσθαι ἀλλὰ τί, καὶ οὐ τέλειοι οἱ τοιοῦτοι.

Λοιπὸν δὲ λεκτέον τί εἶπεν ἕτερόν τι τῶν κειμένων, καὶ διὰ τί ἀνά-
35 γκη, καὶ διὰ τί συμβαίνειν. τὸ μὲν ἕτερόν τι τῶν κειμένων εἶπεν διὰ τοὺς παρὰ τοῖς Στωικοῖς διφορουμένους συλλογισμοὺς ἢ ἀδιαφόρως περαίνοντας.

---

2 γεωμέτροις P 4 immo μόνας προτάσεις delevi 6 fortasse ἐπειδὴ καὶ ⟨περὶ⟩ 7 ἐπεὶ P 8 ὁμολουγοῦμεν P ἀποφαινόμεθαι P
12. 13 θέντων P 19 τετέραν P 20 συμβάλεται P 21 δῶ τε αὐτοῦ P
23 σπουδαίως P εὐδαιμονων P 24. 25 ἐνδεῖ τῆς μείζονος προτάσεως τῆς — καὶ τῆς — τῆς δὲ ἐλάττονος scripsi: ἐν δὲ τῆι μείζονι προτάσει τῆι — καὶ τῆι — τῆι δὲ ἐλάττονι P 26. 27 τῆι ἐλάσσονι τῆι P 28 προτάσεις P 30 ἡ alt. delevi
31 τί delevi cf. p. 29,18. 31 32 ῥήτορσιν] ν ex σ corr. P¹ 33 immo τίθεται
36 τοῖς τοϊκοῖς διφορομένου συλλογισμοῦ P ἀδιαφόρως scripsi: διαφόρως P

εἰσὶν δὲ διφορούμενοι οἱ δὶς τὰ αὐτὰ λέγοντες· οἷον 'εἰ ἡμέρα ἐστίν, ἡμέρα ἐστίν· ἀλλὰ μὴν ἡμέρα ἐστίν· ἡμέρα ἄρα ἐστίν'. δοκεῖ οὗτος συλλογισμὸς εἶναι, οὐκ ἔστι δέ· διὰ γὰρ τῶν αὐτῶν τὰ αὐτὰ δείκνυσιν. πῶς δὲ ὤφειλεν λέγεσθαι; 'εἰ ἡμέρα ἐστίν, φῶς ἐστιν· ἀλλὰ μὴν φῶς ἐστιν· ἡμέρα ἄρα ἐστίν'. ἀδιαφόρως δὲ περαίνοντας λέγουσιν τοὺς τοιούτους, οἷον 'εἰ ἡμέρα ἐστίν, οὐκ ἔστιν νύξ· ἀλλὰ μὴν ἡμέρα ἐστίν· ἡμέρα ἄρα ἐστίν'. καὶ οὗτος δοκεῖ εἶναι συλλογισμός, οὐκ ἔστι δέ· οὐ γὰρ ὡς ὤφειλεν διεξῆλθεν ἀλλ' ἀδιαφόρως. πῶς δὲ ὤφειλεν λέγεσθαι; 'εἰ ἡμέρα ἐστίν, οὐκ ἔστιν νύξ· ἀλλὰ μὴν οὐκ ἔστιν νύξ· ἡμέρα ἄρα ἐστίν'. διορίσας οὖν αὐτὸν ἀπὸ τῶν τοιούτων, ἀπὸ τῶν δοκούντων μὲν εἶναι συλλογισμῶν οὐκ ὄντων δέ, τέθεικεν τὸ ἕτερόν τι τῶν κειμένων· ἐν γὰρ τούτοις, | τοῖς διφο- f. 106v
ρουμένοις καὶ τοῖς ἀδιαφόρως περαίνουσιν, οὐχ ἕτερόν τι τῶν κειμένων ἐστὶν τὸ συμπέρασμα ἀλλὰ ταὐτόν. ὥστε καὶ ταύτῃ δείκνυται ὅτι τὸ τεθέντων οὐχ ὡς τισὶν ἔδοξεν κεῖται πρὸς διαστολὴν τῶν ὑποθετικῶν συλλογισμῶν· εἰ γὰρ ἦν τὸ τεθέντων κείμενον καὶ πρὸς διαστολὴν τῶν ὑποθετικῶν, οὐκ ἂν προσετέθη τὸ ἕτερόν τι τῶν κειμένων πρὸς διαστολήν τινων ὑποθετικῶν, τῶν διφορουμένων, ὡς εἴρηται, καὶ ἀδιαφόρως περαινόντων (ὑποθετικοὶ γὰρ καὶ οὗτοι), εἴ γε πάντων τῶν ὑποθετικῶν ἦν χωρίσας τὸν ὅρον διὰ τοῦ τεθέντων. ὥστε καὶ ταύτην ἐκβλητέον τὴν δόξαν ἐκείνων, ἐξηγητέον δὲ αὐτὸ ὡς εἴρηται.

Τὸ δὲ ἀνάγκη εἶπεν, ἐπειδὴ ὁ συλλογισμὸς πίστις τίς ἐστιν· πᾶς γὰρ ὁ συλλογιζόμενος ἀποδεῖξαί τι ἐθέλει καὶ πεῖσαι πάντως, δῆλον ὅτι τὸν προσδιαλεγόμενον. ἵνα οὖν χωρίσῃ αὐτὸν τῶν ἄλλων πίστεων, εἶπεν τὸ ἀνάγκη· τριῶν γὰρ οὐσῶν πίστεων, τῆς μὲν ἀπὸ τῶν ἴσων τῆς δὲ ἐπαγωγικῆς τῆς δὲ συλλογιστικῆς, μόνη ἡ συλλογιστικὴ ἔχει τὸ ἀναγκαῖον. ἀπὸ μὲν γὰρ ἴσων ἐστὶν ⟨ᾗ⟩ κέχρηνται οἱ ῥήτορες ἀπὸ ἑνὸς ἓν πιστούμενοι, ἀπὸ μερικοῦ μερικόν· οἷον Διονυσίου αἰτοῦντος Συρακουσίους φρουρὰν τοῦ σώματος ἑαυτοῦ λαβεῖν ἀντιλέγει τις καὶ ἀξιοῖ πεῖσαι μὴ δοθῆναι αὐτοῖς λέγων ὅτι καὶ Πεισίστρατος αἰτήσας καὶ λαβὼν ἐτυράννησεν. αὕτη δὲ ἡ πίστις οὐκ ἔχει τὸ ἀναγκαῖον· οὐ γάρ, ἐπειδὴ ἐκεῖνος ἐτυράννησεν, πάντως καὶ οὗτος τυραννήσει. ἐπαγωγικὴ δέ ἐστιν ἡ πίστις ἡ ἐκπεριτρέχουσα τὰ κατὰ μέρος καὶ ἐκ τῶν κατὰ μέρος τὸ καθόλου πιστουμένη· οἷον λέγω ὅτι πᾶν ζῷον τὴν κάτω γένυν κινεῖ· καὶ ἀποδεῖξαι μὲν τοῦτο συλλογιστικῶς οὐ δύναμαι [οὖ], ἐπαγωγῇ δὲ χρῶμαι καὶ δείκνυμι τοῦτο ἐπὶ πολλῶν διεξιὼν τὰ καθέκαστα καὶ ἀξιῶν ἐκ τῶν κατὰ μέρος τὸ καθόλου πιστοῦσθαι. οὔτε δὲ αὕτη ἡ πίστις ἔχει τὸ ἀναγκαῖον· εὑρίσκεται γοῦν | τινα ζῷα τὴν ἄνω γένυν κινοῦντα· f. 107r

---

3 et 7 ἔστι δέ P²: ἔστιν P¹ 8 ἀλλὰ διαφόρως P 9 διορίσας οὖν scripsi: οὖν διορίσαι P 10 εἶναι scripsi: εστιν P 11 τέθηκεν P 12 οὐκέτερόν P 14 τισὶν scripsi: τινες P 15 τὸ τεθέντων scripsi: τότε P 15. 16 ὑπερθετικῶν P 17 ὡς scripsi: πῶς P 22 δῆλον ὅτι mrg. P 26 ᾗ addidi 28 fortasse αὐτῷ 32 τῷ καθόλου, κ ex ν, ut videtur, corr. P¹ 33 κινεῖ scripsi: κινεῖν P οὖ delevi 34 διεξιὼν scripsi: ἑξιὼν P 35 ἀξιῶν P²: ἀξίως, ut videtur, P¹ τοῦ καθόλου P

ὥστε [φασὶν ὁ κροκόδειλος καὶ ὁ φοινικόπτερος] οὐκ ἔχει τὸ ἀναγκαῖον ἡ ἐπαγωγικὴ αὕτη πίστις. ἐὰν γάρ τι βουλόμενος δεῖξαι τῇ ἐπαγωγῇ χρήσωμαι, μάλιστα μὲν οὐ δύναμαι πᾶσιν τοῖς κατὰ μέρος ἐπεξελθεῖν· ἐὰν δὲ καὶ ὑποθῶμαι ὅτι πᾶσιν ἐπεξέρχομαι, ἢ κἀκεῖνο τὸ ζητούμενον μετὰ πάντων λαμβάνω, καὶ εὑρίσκομαι τὸ ζητούμενον λαμβάνων, ἢ ἐκεῖνο οὐ λαμβάνω ἐν τῇ ἐπαγωγῇ, καὶ οὐδὲν κωλύει ἐκεῖνο παρὰ τὰ ἄλλα πάντα εἶναι. ὥστε οὐδὲ ἡ ἐπαγωγικὴ ἔχει τὸ ἀναγκαῖον. μόνη δὲ ἡ συλλογιστικὴ ἔχει τὸ ἀναγκαῖον· οἷον πρόκειταί μοι δεῖξαι ὅτι ἡ ψυχὴ ἀθάνατός ἐστιν· κέχρημαι συλλογισμῷ τοιούτῳ· ἡ ψυχὴ αὐτοκίνητος· τὸ αὐτοκίνητον ἀεικίνητον· τὸ ἀεικίνητον ἀθάνατον· ἡ ψυχὴ ἄρα ἀθάνατος. αὕτη ἡ πίστις ἔχει τὸ ἀναγκαῖον. ἔστιν δὲ ἡ πᾶσα διαίρεσις αὕτη· πᾶσα πίστις ἢ ἐξ ἴσων ἐστὶν ἢ ἐξ ἀνίσων [ἢ ἀπὸ τῶν μερικῶν τὸ καθόλου πιστοῦται ἢ ἀπὸ τοῦ καθόλου τὸ μερικόν], ἐξ ἴσου μὲν ἡ ἀπὸ τοῦ μερικοῦ τὸ μερικὸν πιστουμένη, ἐξ ἀνίσων δὲ ἡ ἀπὸ τῶν μερικῶν τὸ καθόλου, ὡς ἡ ἐπαγωγική, ἢ ἀπὸ τοῦ καθόλου τὸ μερικόν, ὡς ἡ συλλογιστική. μόνη αὕτη ἔχει τὸ ἀναγκαῖον, καὶ εἰκότως· οὔτε γὰρ τὸ μερικὸν τῷ μερικῷ ὑπάγεται οὔτε τὸ καθόλου τῷ μερικῷ, ἀλλὰ τὸ μερικὸν τῷ καθόλου. τὸ οὖν [τί] ἀνάγκη διορίζει αὐτὸν ἀπὸ τῶν ἄλλων πίστεων αἵτινες οὐκ ἔχουσιν τὸ ἀναγκαῖον.

Τὸ δὲ συμβαίνειν εἶπεν, ἐπειδὴ οἶδεν διττὸν τὸ ἀναγκαῖον ἐν τοῖς συλλογισμοῖς, τὸ μὲν κατὰ τὴν ὕπαρξιν τῶν πραγμάτων τὸ δὲ κατὰ τὴν ἀκολουθίαν τῆς λέξεως. καὶ τὸ μὲν ἀναγκαῖον τὸ κατὰ τὴν ὕπαρξιν οὐ παντὶ συλλογισμῷ ὑπάρχει· τὸ δὲ κατὰ τὴν ἀκολουθίαν παντί. οἷον ἐὰν εἴπω 'ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, τὸ ἀεικίνητον ἀθάνατον'· καὶ τί συμβαίνει; ἐξ ἀνάγκης ἄρα ἀκολουθεῖ τὸ τὴν ψυχὴν | ἀθάνατον εἶναι. ἀλλ' οὐ μόνον κατὰ τὴν ἀκολουθίαν ἐστὶν τοῦτο ἀναγ- f. 107v
καῖον ἀλλὰ καὶ κατὰ τὴν ὕπαρξιν. ἐὰν δὲ εἴπω 'Σωκράτης περιπατεῖ, πᾶς ὁ περιπατῶν κινεῖται', τί συμβαίνει ἐξ ἀνάγκης; τὸ 'Σωκράτης ἄρα κινεῖται'. τοῦτο δὲ κατὰ μὲν τὴν ἀκολουθίαν ἀναγκαῖόν ἐστιν, κατὰ δὲ τὴν ὕπαρξιν οὐκ ἀναγκαῖον· οὐ γὰρ ἐξ ἀνάγκης κινεῖται ὁ Σωκράτης· ἐνδέχεται γὰρ αὐτὸν καὶ ἠρεμεῖν. ἐπειδὴ οὖν [τί] τὸ κατὰ τὴν ὕπαρξιν μὲν ἀναγκαῖον οὐ παντὶ συλλογισμῷ ὑπάρχει, τὸ δὲ κατὰ τὴν ἀκολουθίαν παντί, διὰ τοῦτο εἶπεν τὸ συμβαίνει ἀντὶ τοῦ 'ἀκολουθεῖ', ἵνα τὸ πᾶσι τοῖς συλλογισμοῖς ὑπάρχον εἴπῃ.

Τὸ δὲ τῷ ταῦτα εἶναι εἶπεν, ἐπειδὴ δεῖ ἐκ τοῦ σαφοῦς τὸ ἀσαφὲς πιστοῦσθαι· οὔτε γὰρ τὸ σαφὲς ἐκ τοῦ σαφοῦς δεῖ πιστοῦσθαι· οὐδὲ γὰρ δέεται ἀποδείξεως τὸ σαφὲς σαφὲς ὄν· οὔτε τὸ ἀσαφὲς ἐκ τοῦ ἀσαφοῦς

---

1 φασὶν — φοινικόπτερος delevi 4 ὑποθῶμαι scripsi: ὑπώμαι P 6 λαμβάνω scripsi: λαμβάνων P 11 ἔστιν scripsi: ἔχε τίν (sic) P ἡ alt. superscr. P¹ 12. 13 ἢ ἀπὸ — μερικόν delevi 13 immo ἐξ ἴσων 17 τὸ καθόλου (post μερικόν) P, ου ex ω corr. P¹ 18 τί delevi cf. vs. 31 30 κινηται (sic) P 31 τί delevi cf. vs. 18

δεῖ πιστοῦσθαι· γέλοιον γάρ, καὶ εὑρίσκεται ἡ δι' ἀλλήλων δεῖξις· ἀλλὰ δεῖ ἐκ τοῦ σαφοῦς τὸ ἀσαφὲς πιστοῦσθαι. εἰκότως οὖν καὶ καλῶς εἶπεν τῷ ταῦτα εἶναι καὶ τεθεῖσθαι τὰ ὁμολογήματα συμβαίνειν τὸ συμπέρασμα, ὅτι δεῖ ἐκ τῶν σαφεστέρων τὰ ἀσαφῆ πιστοῦσθαι· ἐκ γὰρ τῶν προτάσεων σαφῶν οὐσῶν καὶ ὁμολογουμένων τὸ ζητούμενον ἀσαφὲς ὂν δείκνυται. καὶ αὐτὸς δὲ ἐξηγεῖται ⟨τὸ⟩ τῷ ταῦτα εἶναι. καὶ διχῶς αὐτὸ ἐξηγεῖται. λέγω δέ, φησίν, τῷ ταῦτα εἶναι ἀντὶ τοῦ τὸ διὰ ταῦτα συμβαίνειν· διὰ γὰρ τὸ εἶναι ταῦτα τὰ ὁμολογηθέντα συμβαίνει τὸ συμπέρασμα· δεῖ γάρ, ὡς εἴρηται, ἐκ τοῦ σαφοῦς τὸ ἀσαφὲς πιστοῦσθαι. σημαίνει οὖν τὸ τῷ ταῦτα εἶναι τὸ διὰ ⟨τὸ⟩ ταῦτα εἶναι τὰ τεθέντα συμβαίνειν τὸ συμπέρασμα καὶ ρηθὲνὸς ἔξωθεν ὅρου δεῖν πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον. τοῦτο δὲ διὰ τοὺς ἐλλειπεῖς συλλογισμούς. οἷον ἐὰν εἴπω 'ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον [τὸ] ἀεικίνητον, ἡ ψυχὴ ἄρα ἀθάνατος', ὁ τοιοῦτος συλλογισμὸς καὶ λόγος ἐστὶν καὶ | ἐν αὐτῷ τεθέντων τινῶν ἕτερόν τι f. 108r τῶν κειμένων ἐξ ἀνάγκης συνέβη, ἀλλ' οὐ ⟨τῷ⟩ ταῦτα εἶναι· οὐ γὰρ ἐκ τῶν εἰλημμένων συνέβη τὸ συμπέρασμα, ἀλλ' ἔξωθεν ἄλλου ὅρου προσεδέησεν. τοῦ ἀθανάτου, ἵνα γένηται ἄλλη πρότασις ἡ λέγουσα 'τὸ δὲ ἀεικίνητον ἀθάνατον'. ὁμοίως δὲ τὸ αὐτὸ λέγει καὶ ἐπὶ τῶν πλεοναζόντων συλλογισμῶν· ἐὰν γὰρ εἴπω 'ἡ ψυχὴ αὐτοκίνητος, τὸ αὐτοκίνητον ἀεικίνητον, τὸ ἀεικίνητον ἀθάνατον, ὁ δὲ κόσμος ἀίδιος, ἡ ψυχὴ ἄρα ἀθάνατος', οὐ τῷ ταῦτα εἶναι τὰ ὁμολογηθέντα συνέβη τὸ συμπέρασμα· οὐ γὰρ διὰ πάντα τὰ ὁμολογήματα συνέβη, ἀλλὰ πλεονάζει ἐνταῦθα μία πρότασις, ἡ λέγουσα 'ὁ δὲ κόσμος ἀίδιος'. καὶ αὐτὸς μὲν οὐκ ἐμνήσθη πλεονασμοῦ ἀλλὰ μόνης ἐνδείας· λέγει δὲ αὐτὸς ὅτι τὸ τῷ ταῦτα εἶναι διαστέλλει αὐτὸν ἀπὸ τῶν ἐλλειπῶν καὶ τῶν πλεοναζόντων. πάλιν δὲ οὐκ εἶπεν πρὸς τὸ εἶναι τὸ ἀναγκαῖον', ἀλλὰ πρὸς τὸ γενέσθαι, διὰ τὴν αὐτὴν αἰτίαν δι' ἣν καὶ τὸ συμβαίνειν εἶπεν, ἐπειδὴ οἶδεν, ὡς εἴρηται, τὸ ἐν τοῖς συλλογισμοῖς ἀναγκαῖον διττόν, τὸ μὲν κατὰ τὴν ὕπαρξιν τὸ δὲ κατὰ τὴν ἀκολουθίαν· καὶ τὸ μὲν κατὰ τὴν ὕπαρξιν οὐκ ἔστιν ἐν πᾶσιν τοῖς συλλογισμοῖς, τὸ δὲ κατὰ τὴν ἀκολουθίαν ἐν πᾶσιν. πρὸς τὸ γενέσθαι οὖν [τί] ἀντὶ τοῦ 'πρὸς τὸ ἀκολουθῆσαι, πρὸς τὸ συμβῆναι', ἵνα λάβῃ τὸ ἀναγκαῖον τὸ ἐν πᾶσιν τοῖς συλλογισμοῖς. τινὲς δὲ ἐνόμισαν ὅτι τὸ τῷ ταῦτα εἶναι εἶπεν διὰ τοὺς λεγομένους παρ' αὐτῷ ἀτελεῖς συλλογισμούς· ἐρεῖ γὰρ ἐν τοῖς ἑξῆς ὅτι οἱ ἐν τῷ πρώτῳ σχήματι πάντες τέλειοί εἰσιν, οἱ δὲ ἐν τῷ δευτέρῳ καὶ τρίτῳ ἀτελεῖς. ἐν πρώτῳ δὲ σχήματί εἰσιν ὡς τύπῳ εἰπεῖν οἱ τοιοῦτοι· οἷον πᾶς ἄνθρωπος λογικόν, οὐδὲν λογικὸν ἵππος, οὐδεὶς ἄρα ἄνθρωπος ⟨ἵππος⟩· ἐν δευτέρῳ δὲ σχήματι οἷον πᾶς ἄνθρωπος

5 ὁμολογουμένων scripsi: ὁμολογουσῶν P 6 τὸ addidi cf. p. 31,36 32,18 8 σημαίνει scripsi: συμβαίνει P 10 τὸ alt. addidi cf. p. 31,37 13 αὐτοκίνητος — ἀεικίνητος P τὸ alt. delevi post ἀεικίνητος induxit ἀθάνατος, ut videtur, P² 15 τῷ addidi 19 ἐὰν] ε ex ει corr. P¹ 20 et 23 ἀείδιος P 25 ἐλλείπων P: fort. ἐλλειπόντων cf. p. 32,6. 17 31 τί delevi cf. p. 29,18. 31 33 θελομένους (*leg.* καλουμένους) Waitz Org. I 45 34 ἐρεῖ] c. 4 p. 26b29, c. 5 p. 28a4, c. 6 p. 29a14 37 ἵππος addidi

λογικόν, οὐδεὶς ἵππος λογικόν, οὐδεὶς ἄρα ἄνθρωπος ἵππος. πάντας τούτους τοὺς ἐν δευτέρῳ σχήματι. ἔτι μέντοι καὶ τοὺς ἐν τρίτῳ ἀτελεῖς λέγει, | ἐπειδὴ δέονταί τινος ἔξωθεν βοηθείας πρὸς τὸ ἀναχθῆναι εἰς f. 108v
τὸ πρῶτον σχῆμα· πάντα γὰρ συλλογισμὸν ἀνάγει εἰς τὸ πρῶτον σχῆμα.
5 τρεῖς δὲ λέγει βοηθείας ὧν δέονται οἱ ἐν δευτέρῳ καὶ τρίτῳ συλλογισμοὶ πρὸς τὸ ἀναχθῆναι εἰς τὸ πρῶτον σχῆμα, ἀντιστροφήν, ἔκθεσιν καὶ ἔτι τὴν εἰς ἀδύνατον ἀπαγωγήν· οἷον ὁ εἰρημένος ἐν δευτέρῳ σχήματι συλλο- 5
γισμὸς ἀντιστροφῆς δέεται πρὸς τὸ ἀναχθῆναι εἰς τὸ πρῶτον σχῆμα· ἐὰν γὰρ τὴν δευτέραν πρότασιν τὴν λέγουσαν 'οὐδεὶς ἵππος λογικόν' ἀντιστρέ-
10 ψῃς καὶ εἴπῃς 'οὐδὲν λογικὸν ἵππος', ἀναχθήσεται εἰς τὸ πρῶτον σχῆμα. ἰστέον δὲ ὅτι ὁ μὲν Ἀριστοτέλης ταύτης ἐγένετο τῆς δόξης, ὅτι οἱ ἐν 10
δευτέρῳ καὶ τρίτῳ σχήματι συλλογισμοὶ πάντες ἀτελεῖς εἰσιν, ὁ δὲ Βοηθὸς ἑνδέκατος ἀπὸ Ἀριστοτέλους γενόμενος ἐναντίως τῷ Ἀριστοτέλει περὶ τούτου ἐδόξασεν, καὶ καλῶς ἐδόξασεν καὶ ἀπέδειξεν ὅτι πάντες οἱ ἐν δευτέρῳ
15 καὶ τρίτῳ σχήματι τέλειοί εἰσιν. τούτῳ ἠκολούθησεν Πορφύριος καὶ Ἰάμβλιχος, ἔτι μέντοι καὶ ὁ Μάξιμος, ⟨ὃς⟩ ἀκροατὴς ἦν Ἱερίου τοῦ Ἰαμ- 15
βλίχου ἀκροατοῦ. καὶ Θεμίστιος δὲ ὁ παραφραστὴς τῆς ἐναντίας ἐγένετο δόξης τῆς καὶ τῷ Ἀριστοτέλει δοκούσης. τούτοις οὖν τοῖς δύο, τῷ τε Μαξίμῳ καὶ τῷ Θεμιστίῳ, ἐναντία περὶ τούτου δοξάζουσιν καὶ κατασκευά-
20 ζουσιν, ὡς ᾤοντο, τὸ δοκοῦν αὐτοῖς [καὶ] διήτησεν αὐτὰ ὁ βασιλεὺς Ἰουλια- 20
νός, καὶ δέδωκεν τὴν ψῆφον Μαξίμῳ καὶ Ἰαμβλίχῳ καὶ Πορφυρίῳ καὶ Βοηθῷ. φαίνεται δὲ καὶ Θεόφραστος ὁ Ἀριστοτέλους αὐτοῦ ἀκροατὴς τὴν ἐναντίαν αὐτῷ περὶ τούτου δόξαν ἔχων. τούτοις δὲ τοῖς ἀπὸ Βοηθοῦ ἠκολούθησεν καὶ ὁ μέγας Πρόκλος καὶ ὁ τούτου διδάσκαλος καὶ ὁ ἡμέτε- 25
25 ρος πατήρ, ὅτι καὶ οἱ ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι πάντες τέλειοί εἰσιν. τινὲς δέ, ὡς εἴρηται, ἀποβλέποντες εἰς τὸ παρ' αὐτοῦ τοῦ Ἀριστοτέλους λεγόμενον, ὅτι ἀτελεῖς οἴεται εἶναι τοὺς ἐν δευτέρῳ | καὶ τρίτῳ σχή- f. 109r
ματι, εἰρήκασιν ὅτι τὸ τῷ ταῦτα εἶναι εἶπεν διὰ τοὺς ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι ἐκβάλλων αὐτοὺς τῆς τῶν συλλογισμῶν ἑστίας· οὐ γὰρ διὰ
30 τὸ εἶναι καὶ ὁμολογηθῆναι ταῦτα τὰ ἐν αὐτοῖς ὁμολογήματα συμβαίνει τὸ συμπέρασμα, ἀλλὰ δέονται ἔξωθεν βοηθείας πρὸς τὸ γενέσθαι τὸ 5
ἀναγκαῖον, οἷον τῆς ἀντιστροφῆς ἤ τινος ἄλλης τῶν τριῶν τῶν εἰρημένων. ἡμεῖς δέ φαμεν ὅτι οὐ διὰ τοῦτο εἶπεν τὸ τῷ ταῦτα εἶναι. πρῶτον μὲν γὰρ ἄτοπόν ἐστιν πάντας τοὺς ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι
35 λέγειν μὴ εἶναι συλλογισμούς, περὶ ὧν τοσαῦτα ἐρεῖ. ἔπειτα αὐτὸς ἐξη- 10
γούμενος τὸ τῷ ταῦτα εἶναι εἶπεν, ὅτι διὰ τοῦτο εἶπον τὸ τῷ ταῦτα εἶναι, ἐπειδὴ διὰ τὸ ταῦτα εἶναι τὰ τεθέντα συμβαίνει τὸ συμπέρασμα καὶ οὐδενὸς ἔξωθεν ὅρου προσδεῖ πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον· τοὺς δὲ ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι ἀτελεῖς λέγει, οὐχ ὡς ἔξωθεν ὅρου

---

5 ὧν scripsi: οὐ P 16 ὃς addidi 18 B̄ P: δυσί Waitz l. c. p. 46, at cf. p. 35,33 20 καὶ delevi αὐτὸς ὁ conicio 30 εἶναι] εἶ ex θ corr. P1 33 τῷ] ω ex αυ corr. P1 36 διὰ τοῦ in fine versus P

προσδεομένους· οὐδὲ γὰρ ἡ βοήθεια ἡ προσγινομένη αὐτοῖς ὅρον αὐτοῖς προστίθησιν, οἷον ἡ ἀντιστροφὴ ὅρον οὐ προστίθησιν, ἀλλὰ τοὺς κειμένους ἀντιστρέφει· τὴν γὰρ πρότασιν τὴν λέγουσαν 'οὐδεὶς ἵππος λογικός' ἀντιστρέφει ἡ ἀντιστροφὴ καὶ λέγει 'οὐδὲν λογικὸν ἵππος', οὐκ ἄλλον ὅρον προστιθεῖσα ἀλλὰ τοῖς οὖσιν χρωμένη. οὐκ ἄρα τὸ τῷ ταῦτα εἶναι εἶπεν διὰ τοὺς ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι ἀλλὰ διὰ τοὺς ἐλλείποντας καὶ πλεονάζοντας, ὡς εἴρηται.

Τελείως ἄρα ἔχει ὁ ὅρος. ἵνα δὲ συντόμως ἐπαναλάβωμεν τὰ ῥηθέντα, τὸ μὲν λόγος κεῖται ὡς γένος τοῦ συλλογισμοῦ· τὸ δὲ ἐν ᾧ τεθέντων πρὸς ἀντιδιαστολὴν τῶν ἄλλων λόγων τῶν ἀσυλλογίστων· τὸ δὲ τινῶν πρὸς ἀντιδιαστολὴν τῶν παρὰ τοῖς ῥήτορσιν μονολημμάτων συλλογισμῶν· τὸ δὲ ἕτερόν τι τῶν κειμένων πρὸς διαστολὴν τῶν παρὰ τοῖς Στωικοῖς λεγομένων | διφορουμένων ἢ ἀδιαφόρως περαινόντων· τὸ δὲ ἀνάγκη πρὸς διαστολὴν τῶν ἄλλων πίστεων αἳ τὸ ἀναγκαῖον οὐκ ἔχουσιν· τὸ δὲ συμβαίνειν ὡς ἀεὶ ὑπάρχον τὸ κατὰ τὴν ἀκολουθίαν ἀναγκαῖον παντὶ συλλογισμῷ· τὸ δὲ τῷ ταῦτα εἶναι πρὸς διαστολὴν τῶν ἐλλειπόντων συλλογισμῶν ἢ πλεοναζόντων. αὐτὸς δὲ ἐξηγούμενος τὸ τῷ ταῦτα εἶναι τῶν ἐλλειπόντων ⟨μόνων⟩ ἐμνήσθη· ἐπὶ ἐκείνων γὰρ μάλιστα οὐ τῷ ταῦτα εἶναι τὰ τεθέντα ἐν αὐτοῖς συμβαίνει τὸ συμπέρασμα ἀλλὰ τῷ ἔξωθέν τι προσειλῆφθαι. οὐδὲν ἄρα οὔτε περιττὸν οὔτε ἐλλεῖπον ἔχει ὁ ὅρος· αὕτη δέ ἐστιν ὅρου ἀρετή, τὸ ἀπέριττον καὶ ἀνελλειπές. f. 109v

p. 24b22 Τέλειον μὲν οὖν καλῶ συλλογισμὸν ἕως τοῦ καὶ τὸ κατὰ μηδενὸς ὡσαύτως.

Ἀκολούθως τοῖς προειρημένοις μετὰ τὸ ὁρίσαι τί ἐστιν συλλογισμὸς ὁρίζει τίς ἐστιν ὁ τέλειος καὶ τίς ὁ ἀτελής· οὕτως γὰρ προέθετο. καὶ πάλιν οὐ λέγει 'τέλειος δέ ἐστιν', ἀλλὰ τέλειον δὲ καλῶ καὶ ἀτελῆ ὡς αὐτὸς ὧν φησιν τούτων ὀνοματοθέτης. τέλειον δέ, φησίν, καλῶ τὸν μηδενὸς ἄλλου προσδεόμενον ἔξωθεν πρὸς τὸ φανῆναι τὸ ἀναγκαῖον, τουτέστιν τὸ συμπέρασμα. ὅρα δὲ πῶς εἶπεν τὸν μὴ δεόμενον πρὸς τὸ φανῆναι τὸ ἀναγκαῖον ἀντὶ τοῦ 'τὸν σαφῆ καὶ διηρθρωμένα ἔχοντα τὰ λήμματα', ὥστε ἀτελῆ λέγει τὸν προσδεόμενον ἔξωθέν τινος πρὸς τὸ φανῆναι τὸ ἀναγκαῖον, οὐ πρὸς τὸ γενέσθαι. οὐκ ἄρα λείπει τις αὐτῷ ὅρος, ὡς καὶ ἄνω εἴρηται, ἀλλ' εἰσὶν ἐν αὐτῷ οἱ ἀρκοῦντες ὅροι "πρὸς τὸ γενέσθαι τὸ ἀναγκαῖον"· οὐ φαίνεται δὲ διὰ τὸ συγκεχύσθαι τοὺς ὅρους, καὶ χρείαν ἔχει οὐ προσθήκης ἀλλὰ τάξεως πρὸς τὸ φανῆναι τὸ ἀναγκαῖον τὸ ὂν μὲν ἐν αὐτῷ κεκρυμμένον δὲ διὰ τὴν σύγχυσιν.

---

3 οὐδὲν P 5 προστεθεῖσα P 13 τοῖς τοῖκοις P διαφορουμένων P
18 μόνων addidi cf. p. 30,24 20 περιττὸν] ο in ras. P¹ 22 ἀνελλειπές] λ alterum in ras. P 23 ante τέλειον 1—2 litt. eras. P 25 μετὰ τὸ ὁρίσαι τοῖς προειρημένοις P pr. 28 φησιν prius deleverim

καὶ αὐτὸς δέ φησιν τοῦτο σαφῶς. κατὰ κοινοῦ δὲ ἀκουστέον τὸ πρὸς τὸ φανῆναι. ἀτελῆ δέ, φησίν, λέγω | συλλογισμὸν ἐκεῖνον τὸν προσδεό- f.110r μενον ἢ ἑνὸς ἢ πλειόνων. τουτέστιν τὸν δεόμενον ἢ μιᾶς βοηθείας ἢ πλειόνων· εἰσὶν γὰρ οἱ καὶ δευτέρας βοηθείας δεόμενοι πρὸς τὸ ἀναχθῆναι εἰς τὸ πρῶτον σχῆμα· οἷον εἰσὶν μὲν οἱ μόνης τῆς ἀντιστροφῆς δεόμενοι, εἰσὶν δὲ οἱ καὶ τῆς ἀντιστροφῆς δεόμενοι καὶ ἄλλης πρὸς ταύτῃ, οἷον τῆς ἐκθέσεως. πρὸς τὸ φανῆναι ἐκεῖνα ἅ ἐστιν μὲν ἀναγκαῖα διὰ τῶν ὑποκειμένων ὅρων, τουτέστιν ἃ οὐκ ἔξωθεν ὅρου προσδέεται πρὸς τὸ συμβῆναι, ἀλλὰ διὰ τῶν ὑποκειμένων μὲν ὅρων συμβαίνει, οὐ μὴν σαφῶς εἴληπται διὰ προτάσεων. διὰ γὰρ τοῦ ἀνθρώπου καὶ τοῦ λογικοῦ καὶ τοῦ ἵππου συμβαίνει τὸ μηδένα ἵππον ἄνθρωπον εἶναι· οὐ μὴν σαφῶς εἴληπται διὰ τῶν προτάσεων, ὅταν ᾖ ὁ συλλογισμὸς ἐν δευτέρῳ σχήματι. δῆλον μὲν γὰρ ὅτι, ⟨εἰ⟩ οὐδεὶς ἵππος λογικός, καὶ τὸ ἀνάπαλιν οὐδὲν λογικὸν ἵππος, καὶ οἱ αὐτοὶ ὅροι εἰσίν, οὐκ ἔστιν δὲ ἐλεῖν τὸ συμβαῖνον διὰ τῆς προτάσεως· διὸ ἡ ἀντιστροφὴ ἀντιστρέψασα τοὺς ὅρους ποιεῖ αὐτὴν 'οὐδὲν λογικὸν ἵππος'. ὥστε οὐχ ὅρου ἔξωθεν προσδεῖ, οὐδὲ πρὸς διαστολὴν τῶν τοιούτων συλλογισμῶν εἶπεν ἐν τῷ ὅρῳ ἄνω τὸ "⟨τῷ⟩ ταῦτα εἶναι", ὡς τινὲς ὑπέλαβον· οὐ γὰρ ὅρου αὐτοῖς προσδεῖ, ἀλλὰ σύγχυσις τῶν ὅρων ἐστὶν ἐν αὐτοῖς. ὥστε καὶ παρὰ τῶν λεγομένων παρ' αὐτῷ τῷ Ἀριστοτέλει λάβοις ἂν ὅτι οὐκ εἰσὶν οὗτοι οἱ συλλογισμοὶ ἀτελεῖς, ὡς αὐτῷ δοκεῖ (τοὺς γὰρ ὅρους τελείους ἔχουσιν), ἀλλὰ μόνον συγκεχυμένοι εἰσὶν ἐν αὐτοῖς οἱ ὅροι.

Μετὰ δὲ τὸ εἰπεῖν, τίνα λέγει τέλειον συλλογισμὸν καὶ τίνα ἀτελῆ, ἀκολούθως τοῖς προκειμένοις λέγει, τί λέγει τὸ ἐν ὅλῳ εἶναι ἢ μὴ εἶναι καὶ τί τὸ κατὰ παντὸς ἢ μήθενὸς κατηγορεῖσθαι· οὕτως γὰρ προέθετο. ὅπερ δὲ καὶ ἄνω εἴρηται, δοκεῖ ταῦτα τέτταρα εἶναι περὶ ὧν λέγει. τὸ ἐν ὅλῳ εἶναι, τὸ ἐν μηδενὶ εἶναι, τὸ κατὰ παντὸς κατηγορεῖσθαι, τὸ κατὰ μηθενὸς κατηγορεῖσθαι. τῇ δὲ ἀληθείᾳ δύο ἐστὶν | περὶ ὧν λέγει· f. 110v περὶ γὰρ τῆς καθόλου καταφατικῆς λέγει καὶ τῆς καθόλου ἀποφατικῆς διχόθεν ἐπιχειρῶν ἐπὶ ἑκατέρας ἀπό τε τοῦ κατηγορουμένου ὅρου καὶ τοῦ ὑποκειμένου. καὶ αὐτὸς δὲ τοῦτο αὐτὸ σαφῶς λέγει· τὸ ἐν ὅλῳ τῷ ἑτέρῳ, φησίν, τὸ ἕτερον εἶναι καὶ κατὰ παντὸς τοῦ ἑτέρου τὸ ἕτερον κατηγορεῖσθαι ταὐτόν ἐστιν· ἑκάτερον γὰρ περὶ τῆς καθόλου καταφατικῆς εἴρηται· οἷον πᾶς ἄνθρωπος δίπους. τὸ μὲν γὰρ ἐν ὅλῳ τῷ ἑτέρῳ τὸ ἕτερον εἶναι εἶπεν ἀπὸ τοῦ ὑποκειμένου ἐπιχειρῶν· ἐν γὰρ τῷ ἑτέρῳ, τῷ δίποδι, ὅλῳ ὄντι τὸ ἕτερόν ἐστιν, ὁ ἄνθρωπος· ὁλικώτερον γὰρ ἐστιν τοῦ ἀνθρώπου τὸ δίπουν καὶ περιλαμβάνει αὐτόν. τὸ δὲ τὸ ἕτερον κατὰ παντὸς τοῦ ἑτέρου κατηγορεῖσθαι εἶπεν ἐπιχειρῶν ἀπὸ τοῦ κατηγορουμένου· κατὰ παντὸς γὰρ τοῦ ἑτέρου, τοῦ

---

10 λογικὸν — ἵππος P 11 τὸν P 13 εἰ addidi 15 ἀντιστρέψα (sic) P 16 οὐκ P 17 τῷ alt. addidi 18 τῶν ὅρων scripsi: τοῦ ὅρου P 23 immo τοῖς προειρημένοις cf. p. 22,13 32,25 25 ἄνω] p. 15,1 sq. 26 ἐν alt. superscr. P[1] 35 ἐν scripsi: ἐὰν P 37 τὸ alt. superscr. P 38 κατηγορουμένου scripsi: εἰρημένου P

ἀνθρώπου, τὸ ἕτερον κατηγορεῖται, τὸ δίπουν. εἶτα ἐπειδὴ ταὐτὸν εἶπεν τό τε ἀπὸ τοῦ ὑποκειμένου καὶ τὸ ἀπὸ τοῦ κατηγορουμένου ἐπιχείρημα (ἑκάτερον γὰρ περὶ τῆς καθόλου καταφατικῆς εἴρηται), τὸ ἓν μόνον ἐξη- 15 γεῖται, τὸ ἀπὸ τοῦ κατηγορουμένου ἐπιχείρημα, καὶ ἀρκεῖται τούτῳ ἐάσας ἡμῖν τὰ ἄλλα ἐννοῆσαι. καὶ λέγει ἐκεῖνο κατὰ παντὸς κατηγορεῖσθαι λέγομεν, ὅταν μηδὲν ᾖ λαβεῖν τοῦ ὑποκειμένου καθ' οὗ τὸ κατηγορούμενον οὐ λεχθήσεται. ἐπάγει καὶ τὸ κατὰ μηδενὸς 20 ὡσαύτως ἀντὶ τοῦ 'καὶ ἐπὶ τῆς ἀποφάσεως τὰ αὐτὰ νοείσθω'. δῆλον δὲ ὅτι οὐ λέγει τὰ αὐτὰ τῇ καταφάσει· οὐ γὰρ ταὐτόν ἐστιν κατάφασις 10 καὶ ἀπόφασις, ἀλλὰ καὶ ἀντίκειται ἀλλήλοις· ἀλλὰ τὰ αὐτὰ ἀντὶ τοῦ 'κατὰ τὴν αὐτὴν ἀναλογίαν'. πάλιν γὰρ τὸ ἐν μηδενὶ τῷ ἑτέρῳ τὸ ἕτερον εἶναι καὶ τὸ κατὰ μηδενὸς κατηγορεῖσθαι θατέρου θάτερον ταὐτόν ἐστιν· ἑκάτε- 25 ρον γὰρ περὶ τῆς καθόλου ἀποφατικῆς εἴρηται. κατὰ μηδενὸς τοῦ ἑτέρου τὸ ἕτερον κατηγορεῖσθαι λέγομεν, ὅταν μηδὲν ᾖ λαβεῖν τοῦ ὑποκειμένου 15 καθ' οὗ θάτερον | λεχθήσεται· οἷον οὐδεὶς ἄνθρωπος τετράπους, κατ' f. 111 οὐδενὸς ἀνθρώπου τὸ τετράπουν κατηγορεῖται, καὶ ἐν οὐδενὶ τετράποδί ἐστιν ὁ ἄνθρωπος.

p. 25a1 Ἐπειδὴ πᾶσα πρότασίς ἐστιν ἢ τοῦ ὑπάρχειν ἕως τοῦ καὶ τὸ ζῷον οὐχ ὑπάρχει τινὶ ἀνθρώπῳ.

20 Περὶ πάντων ὧν προέθετο ἄνω εἰπεῖν εἶπεν, περὶ προτάσεως, περὶ 5 ὅρου, περὶ συλλογισμοῦ, ἔτι τε πρὸς τούτοις τίς ὁ τέλειος ὅρος καὶ τίς ὁ ἀτελής, καὶ τί τὸ ἐν ὅλῳ εἶναι ἢ μὴ εἶναι, καὶ τί τὸ κατὰ παντὸς ἢ μηθενὸς κατηγορεῖσθαι. εἶτα ἐπειδὴ εἶπεν ἄνω ὅτι "τέλειον καλῶ συλλογισμὸν τὸν μηδενὸς προσδεόμενον πρὸς τὸ φανῆναι τὸ ἀναγκαῖον, ἀτελῆ 10 25 δὲ τὸν δεόμενον ἑνὸς ἢ καὶ πλειόνων" (εἰρήκαμεν δὲ ὅτι ἐν ᾧ πλείονα λέγει, τὰς βοηθείας λέγει δι' ὧν ἀνάγονται εἰς τὸ πρῶτον σχῆμα οἱ ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι· εἰσὶν δὲ τρεῖς, ἀντιστροφή, ἔκθεσις, ἡ εἰς ἀδύνατον ἀπαγωγή), δῆλον ὅτι ἀναγκαίως καὶ περὶ τῶν βοηθειῶν τούτων διαλήψεται πρὸ τοῦ περὶ τῶν συλλογισμῶν διαλεχθῆναι. οὐ λέγει δὲ ἐν- 15 30 ταῦθα περὶ τῶν τριῶν βοηθειῶν ἀλλὰ περὶ μόνης τῆς ἀντιστροφῆς. ἐπειδὴ καὶ ἀσαφεστέρα ἐστὶν καὶ οἱ πλείους συλλογισμοὶ διὰ ταύτης βοηθοῦνται· διὸ καὶ ὡς ἀσαφεστέραν καὶ ὡς μάλιστα χρείαν ἔχων ταύτης προλαμβάνει καὶ λέγει περὶ αὐτῆς. περὶ δὲ τῆς ἐκθέσεως ἐρεῖ τούτου τοῦ βιβλίου 20 πρὸς τῷ τέλει· ἐν δὲ τοῖς μέσοις περὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· σα- 35 φέστεραι γάρ εἰσιν αὗται αἱ δύο βοήθειαι. ἡ μὲν γὰρ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς καὶ διὰ τοῦ ὀνόματος δείκνυται τί σημαίνει, ὅτι αὐτόθεν μὲν τὸ

4 ἐάσας scripsi: ἐᾶσαι P 13 ⟨καὶ⟩ κατὰ conicio 15. 16 καθουδενὸς P 16 τετράπονν — τετράπον (sic) P 18 ἐπεὶ δὲ Arist. 23 ἄνω] p. 24b22—25 25 εἰρήκαμεν] p. 33,4 sq. 26 οἱ scripsi: οἷον P 27 ἀντιτροφη P 29 τῶν συλλογισμὸν P 33 ἐρεῖ] c. 41 p. 49b33—50a4 34 πρὸς τὸ P ἐν δὲ τοῖς μέσοις] c. 29 p. 45a23 sq.

προκειμενον οὐκ ἀποδείκνυσιν, ὑποθεμένη δὲ τὸ ἀντικείμενον εἰς ἄτοπόν τι καὶ ἀδύνατον καταντᾷ, ὡς ἔχομεν καὶ ἐπὶ τῶν γραμμικῶν θεωρημάτων. ἔκθεσις δέ ἐστιν ἡ λῆψις καὶ προβολὴ μερικοῦ τινος καὶ ἀπ' αὐτοῦ τὸ ὅλον πιστουμένη· οἷον λέγω 'οὐδεὶς ἄνθρωπος τετράπους', | καὶ ἐκτί- f. 111v
θεμαι μερικόν τι, τὸν Σωκράτην, καὶ λέγω 'εἰ γὰρ ὑπῆρχεν τῷ ἀνθρώπῳ ⟨τὸ⟩ τετράπουν, καὶ Σωκράτει ὑπῆρχεν'· ὥστε συντόμως εἰπεῖν ἡ ἔκθεσις παράδειγμά ἐστιν. οὐκ ἐσπούδασεν οὖν καὶ περὶ τούτων τῶν δύο βοηθειῶν ἐνταῦθα εἰπεῖν διά τε τὸ σαφέστερα εἶναι αὐτάς, ὡς εἴρηται, καὶ μὴ ἐπὶ τοσούτων δεῖσθαι αὐτῶν ἐφ' ὅσων τῆς ἀντιστροφῆς δεῖται. ἐπειδὴ δὲ ἔστιν καὶ ὅρων ἀντιστροφὴ καὶ προτάσεων καὶ συλλογισμῶν, περὶ ποίας ἐνταῦθα διαλαμβάνει; λέγομεν ὅτι οὔτε περὶ τῆς τοῦ ὅρου οὔτε περὶ τῆς τοῦ συλλογισμοῦ· περὶ μὲν γὰρ τῆς τοῦ ὅρου εἰπέν πως ἐν ταῖς Κατηγορίαις, οὐκ αὐτόθεν μὲν εἰπὼν ὅτι ὅρων ἐστὶν ἀντιστροφή· ἐπὶ γὰρ τῶν πρός τι εἶπεν αὐτήν, ἔνθα λέγει 'πάντα δὲ τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται· ὁ γὰρ δοῦλος πρὸς τὸν δεσπότην ἀντιστρέφει, καὶ ὁ δεσπότης πρὸς τὸν δοῦλον· δοῦλος δεσπότου δοῦλος καὶ δεσπότης δούλου δεσπότης, καὶ ἐπιστητὸν ἐπιστήμῃ ἐπιστητόν'· περὶ δὲ τῆς τοῦ συλλογισμοῦ ἀντιστροφῆς ἐρεῖ πρὸς τῷ τέλει τοῦ δευτέρου βιβλίου τῶν Προτέρων ἀναλυτικῶν. ἐνταῦθα δὲ περὶ τῆς τῶν προτάσεων λέγει ἀντιστροφῆς. ἐπειδὴ δὲ οὐ πᾶσαι αἱ προτάσεις ἀντιστρέφουσιν, λεκτέον ποῖαί εἰσιν αἱ ἀντιστρεφόμεναι, καὶ πρότερον τί σημαίνει αὐτὸ τοῦτο τὸ ὄνομα ἡ ἀντιστροφή. οὐ γάρ, ὡς νῦν οἱ πολλοὶ λέγουσιν, ἀντιστροφή ἐστιν ἡ καταστροφή, ἀλλ' ἀντιστροφή ἐστιν ἡ ἰσοστροφή· πολλάκις γὰρ τὸ 'ἀντί' ἀντὶ τοῦ ἴσου τίθεται, οἷον ἀντίθεος ἰσόθεος. ἔχομεν δὲ τοῦτο πιστώσασθαι καὶ ἀπὸ τῶν παρ' αὐτῷ κειμένων· ἀρχόμενος γὰρ τῶν Ῥητορικῶν τεχνῶν φησιν "ἡ ῥητορικὴ τῇ διαλεκτικῇ ἀντίστροφός ἐστιν" ἀντὶ τοῦ 'ἰσόστροφος'· ἑκατέρα γὰρ αὐτῶν ὁμοίως ἐξ ἐνδόξων ἐπιχειρεῖ καὶ ἐφ' ἑκάτερα κατασκευάζει· περὶ γὰρ τὸ φαινόμενον ἑκατέρα ἔχει. ἀντιστροφὴ οὖν ἐστιν ἡ ἰσοστροφή. τὸ δὲ ἴσον | οὐ δύναται εἶναι ἕν τι· σχέσιν γὰρ σημαίνει f. 112r
καὶ τῶν πρός τί ἐστιν τὸ ἴσον· ⟨τὸ γὰρ ἴσον⟩ ἴσῳ ἴσον ἐστίν. ὥστε ἡ ἀντιστροφὴ οὐ δύναται μιᾶς προτάσεως εἶναι, εἴ γε τὴν στροφὴν σημαίνει ἴσων τινῶν καὶ κοινωνίαν ἐχόντων· τὰ γὰρ ἴσα κοινωνεῖ ἀλλήλοις κατὰ τὴν ἰσότητα καὶ ἐν δύο τισὶν τὸ ἐλάχιστον θεωρεῖται. ὥστε πάντως δύο προτάσεών ἐστιν ἡ ἀντιστροφή. λοιπὸν δὲ λεκτέον ποίων προτάσεών ἐστιν ἡ ἀντιστροφή. τοῦτο δὲ εὑρήσομεν, εἰ διαίρεσίν τινα τῶν προτάσεων τελείαν ποιησαίμεθα ἐκ τῶν ὅρων οὕτως· ἐπειδὴ πᾶσα πρότασις ἔχει ὑποκείμενον ὅρον, ἔχει καὶ κατηγορούμενον, ἢ κατὰ ἀμφοτέρους τοὺς ὅρους αἱ προτάσεις κοινωνοῦσιν ἢ κατ' οὐδέτερον, ἢ κατὰ μὲν τὸν ἕτερον κοι-

---

1 ἄτοπόν] π in ras. P² 6 τὸ addidi 14 λέγει] memoriter citat Categ. c. 7 p. 6b27 sq. 16 aut ⟨οἷον⟩ δοῦλος aut δοῦλος ⟨γὰρ⟩ scribendum videtur 17 καὶ ⟨ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη καὶ⟩ conicio 18 ἐρεῖ] Anal. Pr. II 22 p. 67b27 sq. 23 τὸ scripsi: ἡ P 25 φησιν] Rhetor. I 1 p. 1354a1 30 τὸ γὰρ ἴσον addidi 31 εἴ γε τὴν scripsi: εἴτε τ (sic) P

νωνοῦσιν, κατὰ δὲ τὸν ἕτερον διαφέρουσιν, καὶ τοῦτο διχῶς· ἢ γὰρ κατὰ μὲν τὸν ὑποκείμενον κοινωνοῦσιν, κατὰ δὲ τὸν κατηγορούμενον διαφέρουσιν, ἢ τὸ ἀνάπαλιν. λέγω ὅτι οὐ δύναται ἡ ἀντιστροφὴ εἶναι οὔτε τῶν προτάσεων τῶν κατὰ μηδέτερον κοινωνουσῶν (ποία γὰρ ἰσότης δύναται εἶναι ἐν τοῖς κατὰ πάντα διαφέρουσιν:) οὔτε τῶν κατὰ τὸν ἕτερον μὲν κοινωνουσῶν κατὰ δὲ τὸν ἕτερον διαφερουσῶν· οὐδὲ γὰρ ἐν ταύταις δύναται εἶναι ἰσότης διὰ τὸ διαφέρειν τὸν ἕτερον· λείπεται τὴν ἀντιστροφὴν εἶναι τῶν προτάτεων τῶν κατ' ἀμφότερα κοινωνουσῶν. λέγει δὲ πάλιν ἄλλην διαίρεσιν· ἐπειδὴ πᾶσα πρότασις ἔχει † ὅρον (ἢ γὰρ καταφατική ἐστιν ἢ ἀποφατική), ἔχει δὲ καὶ τάξιν καθ' ἣν τεταγμένοι εἰσὶν οἱ ὅροι, ὅδε μὲν πρῶτος, ὅδε ⟨δὲ⟩ δεύτερος, λέγει οὖν ὅτι οὕτως αἱ προτάσεις αἱ κοινωνοῦσαι ἢ οὕτως κοινωνοῦσιν ὥστε καὶ τὴν αὐτὴν ποιότητα φυλάττειν καὶ τὴν αὐτὴν τάξιν, ἢ οὐδέτερον τούτων φυλάττουσιν, ἢ τὸ μὲν ἕτερον φυλάττουσιν, τὸ δὲ ἕτερον ἐναλλάττουσιν, καὶ τοῦτο διχῶς· ἢ γὰρ τὴν τάξιν ἐναλλάττουσι τὴν ποιότητα φυλάξασαι, ἢ τὸ ἀνάπαλιν | f. 112v

3 τὸ superscr. P[1] 9 immo ποιότητα 11 δὲ addidi ὅτι] ὅ superscr. P[1]
14 ἐναλάττουσιν P 15 ἐναλλάττουσι scripsi: ἐναλάττουσαι P f. 112v vacuum reliquit notans ζήτει τὴν ἀκολουθίαν τέσσαρα φύλλα στρέψας ὅπου καὶ τὸ σημεῖον ἴδοις ἄν P cf. Praef.

ΕΙΣ ΤΟΥΣ ΑΝΑΓΚΑΙΟΥΣ ΣΥΛΛΟΓΙΣΜΟΥΣ.

Τὸν αὐτὸν δὲ τρόπον ἕως τέλους τῶν τριῶν σχημάτων. Μετὰ τοὺς ὑπάρχοντας f. 226r
συλλογισμοὺς τοὺς ἀναγκαίους παραδίδωσιν, ἐπειδὴ πολλὴ συγγένεια τῷ ὑπάρχοντι πρὸς τὸ ἀναγκαῖον· καὶ γὰρ τὸ ὑπάρχον, ἔστ᾽ ἂν ὑπάρχῃ, ἀναγκαῖόν ἐστιν· καὶ αἱ ἀντιστροφαὶ
5 ἐπὶ τοῦ ὑπάρχοντος καὶ ἀναγκαίου ὁμοίως ἔχουσι. καὶ διὰ τοῦτο καὶ οἱ συλλογισμοὶ σχεδὸν ὁμοίως ἔχουσιν ἐπὶ ὑπάρχοντος καὶ ἀναγκαίου. τὸ δὲ σχεδὸν διὰ τὸν τέταρτον τρόπον τοῦ δευτέρου σχήματος καὶ τὸν πέμπτον τοῦ τρίτου· οὗτοι γὰρ ἐπὶ ὑπάρχοντος δι᾽ ἀντιστροφῆς μὲν οὐκ ἐδείκνυντο, δι᾽ ἀδυνάτου δὲ καὶ δι᾽ ἐκθέσεως, καὶ ἡ δι᾽ ἀδυνάτου καὶ δι᾽ ἐκθέσεως πίστις ἐπὶ τῶν ἄλλων περιουσιαστικὴ οὖσα ἐπὶ τούτων ἀναγ-
10 καία ἐγίνετο· ἐπὶ δὲ τοῦ ἀναγκαίου δι᾽ ἀδυνάτου οὐ δείκνυνται, ἐπειδὴ ἐν τῷ ἀναγκαίῳ καὶ ἐνδεχομένῳ αἱ ἀντιφάσεις λαμβάνονται ἀντιτιθέντων ἡμῶν τρόπον τρόπῳ, ποσὸν ποσῷ, ποιὸν ποιῷ· καὶ διὰ τοῦτο εἰς μῖξιν ἐμπίπτομεν ἐνδεχομένου καὶ ἀναγκαίου, ἣν οὔπω ἴσμεν τί συνάγει. δι᾽ ἐκθέσεως δὲ μόνης δείκνυνται, καὶ ἡ δι᾽ ἐκθέσεως πίστις ἐπὶ τοῦ ὑπάρχοντος κατὰ τοὺς εἰρημένους τρόπους περιουσιαστικὴ οὖσα ἐπὶ τοῦ ἀναγ-
15 καίου ἀναγκαία γίνεται. δείκνυνται δὲ δι᾽ ἐκθέσεως τὸν τρόπον τοῦτον. ἔστω γὰρ ὁ τέταρτος τρόπος τοῦ δευτέρου σχήματος· τὸ Α τῷ μὲν Β ἐξ ἀνάγκης παντί, τῷ δὲ Γ ἐξ ἀνάγκης οὐ παντί· λέγω ὅτι τὸ Β τῷ Γ ἐξ ἀνάγκης οὐ παντί. ἐπεὶ γὰρ τὸ Α τῷ Γ ἐξ ἀνάγκης οὐ παντί, ἔστω τὸ Δ ὑπὸ τὸ Γ, ᾧ οὐδενὶ τὸ Α ὑπάρχει· | ἐπεὶ οὖν f. 226v
τὸ Α τῷ μὲν Β παντὶ ἐξ ἀνάγκης, τῷ δὲ Δ ἐξ ἀνάγκης οὐδενί, διὰ τὸν δεύτερον ἄρα
20 τρόπον τοῦ δευτέρου σχήματος τὸ Β τῷ Δ ἐξ ἀνάγκης οὐδενί· τὸ δὲ Δ τι Γ ἐστίν· τὸ Β ἄρα ἐξ ἀνάγκης οὐ παντὶ τῷ Γ· ὅπερ ἔδει δεῖξαι. ἀλλὰ δὴ ἔστω ὁ πέμπτος τρόπος τοῦ τρίτου σχήματος, καὶ τὸ μὲν Α ἐξ ἀνάγκης τῷ Γ οὐ παντί, τὸ δὲ Β τῷ Γ ἐξ ἀνάγκης παντί· λέγω ὅτι τὸ Α τῷ Β ἐξ ἀνάγκης οὐ παντί. ἐπεὶ γὰρ τὸ Α τῷ Γ ἐξ ἀνάγκης οὐ παντί, τὸ Α τινὶ τῶν ὑπὸ τὸ Γ, οἷον τὸ Δ, οὐδενὶ ὑπάρξει ἐξ ἀνάγκης·
25 ἐπεὶ οὖν τὸ μὲν Α τῷ Δ ἐξ ἀνάγκης οὐδενί, τὸ δὲ Β τῷ Δ ἐξ ἀνάγκης παντί, διὰ τὸν δεύτερον ἄρα τρόπον τοῦ τρίτου σχήματος τὸ Α τῷ Β ἐξ ἀνάγκης οὐ παντί.

p. 29ᵇ29 Ὅτι ἕτερον τὸ ὑπάρχον καὶ τὸ ἀναγκαῖον καὶ τὸ ἐνδεχόμενον. τὸ γὰρ ἐνδεχόμενον οὔτε ὑπάρχει οὔτε ἀναγκαῖόν ἐστιν, μέλλει δὲ ὑπάρχειν· καὶ τὸ ὑπάρχον ἐκβὰν ἐνδεχομένον ἐστιν καὶ ταύτῃ διαφέρει τοῦ ἐνδεχομένου καὶ τοῦ ἀναγκαίου.

30 p. 29ᵇ32 Ὅτι ἕτεροι καὶ οἱ συλλογισμοὶ τῶν τριῶν τῷ τὰς προτάσεις καὶ τὰ συμπεράσματα ποτὲ μὲν τοῦ ὑπάρχοντος εἶναι ποτὲ δὲ τοῦ ἀναγκαίου ποτὲ δὲ τοῦ ἐνδεχομένου.

p. 30ᵃ2 Τό τε γὰρ στερητικὸν ὡσαύτως ἀντιστρέφει. ἀλλὰ καὶ τὸ κατηγορικόν· καὶ πλέον τὸ κατηγορικόν· τοῦτο γὰρ ὁμοίως ἐπὶ τῶν τριῶν ἀντιστρέφει· τὸ δὲ στερητικὸν ἐπὶ ὑπάρχοντος καὶ ἀναγκαίου μόνον ὁμοίως ἀντιστρέφει, ἄλλως δ᾽ ἐπὶ
35 ἐνδεχομένου. καὶ διὰ τοῦτο μόνου τοῦ κατεπείγοντος ἐμνημόνευσεν.

p. 30ᵃ13 Ἐν τῷ οἰκείῳ σχήματι, εἰ καὶ μὴ ἐν τῷ οἰκείῳ τρόπῳ.

Ὅτι ἐπὶ ὑπάρχοντος καὶ ἀναγκαίου ἡ δι᾽ ἀδυνάτου δεῖξις περιουσιαστικὴ οὖσα ἐν δευτέρῳ σχήματι πλὴν τοῦ τετάρτου τρόπου καὶ ἐν τρίτῳ πλὴν τοῦ πέμπτου τρόπου ἀναγκαία γέγονεν ἐν τῷ τετάρτῳ τοῦ δευτέρου καὶ τῷ πέμπτῳ τοῦ τρίτου. ὅτι ἡ δι᾽ ἐκθέ-
40 σεως ἀπόδειξις ἐπὶ ὑπάρχοντος περιουσιαστικὴ οὖσα ἐν τῷ τετάρτῳ τοῦ δευτέρου καὶ τῷ πέμπτῳ τοῦ τρίτου ἐπὶ τοῦ ἀναγκαίου ἀναγκαία γέγονεν ἐν τῷ τετάρτῳ τοῦ δευτέρου καὶ τῷ πέμπτῳ τοῦ τρίτου.

---

4 τῶ ἀναγκαίω P pr., corr. P¹ 7 τὸν πέμπτον scripsi: τοῦ E P 10 δείκνυται P pr., ν superscr. P¹ 13 et 15 δείκνυνται scripsi cf. vs. 8. 10: δείκνυται P 24 an τῷ Δ?

Πῶς ἐπὶ τοῦ ὑπάρχοντος ἔδειξεν τὸν τέταρτον τρόπον τοῦ δευτέρου καὶ τὸν πέμπτον τοῦ τρίτου δι᾽ ἀδυνάτου μὴ ἀντιθεὶς τρόπον τρόπῳ, ποσὸν ποσῷ, ποιὸν ποιῷ, εἰ καὶ τὸ ὑπάρχον τρόπος ἐστίν; δηλοῖ γὰρ τὸ ἐκβὰν ἐνδεχόμενον· οὐ γάρ, εἰ f. 227r ψεῦδος τὸ ὑπάρχειν μὴ παντί, ἀληθὲς τὸ ὑπάρχειν παντί, ἐπειδὴ ἐπὶ τῶν μετὰ τρόπου κατὰ τοὺς τρόπους αἱ ἀποφάσεις γίνονται. ἢ ἐχρήσατο τότε τῷ ὑπάρχειν ἀντὶ τοῦ ἔστιν· πρὸ μὲν γὰρ τῶν μίξεων τὸ ὑπάρχον ἰσοδυναμεῖ τῷ ἔστιν· ἐν δὲ ταῖς μίξεσιν τρόπος ἐστὶν τὴν ἔκβασιν τοῦ ἐνδεχομένου δηλῶν. καὶ τὸ μὲν πρῶτον δείξεις ἐκ τοῦ λέγεσθαι πᾶσαν πρότασιν ἢ τοῦ ὑπάρχειν εἶναι ἢ τοῦ ἐξ ἀνάγκης ὑπάρχειν ἢ τοῦ ἐνδέχεσθαι ὑπάρχειν· εἰ γὰρ καὶ τὸ ὑπάρχειν τρόπος, ποῦ αἱ ἄνευ τρόπου προτάσεις; τὸ δὲ δεύτερον ἐκ τοῦ τρόπων εἶναι τὰς μίξεις· τὸ γὰρ ἔστιν παντὶ τρόπῳ ἀεὶ συνέζευκται καὶ οὐ ποιεῖ μίξιν ἀεί. τὸ ὑπάρχον οὐ τρόπος, εἰ πᾶσα πρότασις ἢ τοῦ ὑπάρχειν ἢ τοῦ ἐξ ἀνάγκης ὑπάρχειν ἢ τοῦ ἐνδέχεσθαι ὑπάρχειν· ποῦ γὰρ αἱ ἄνευ τρόπου, εἰ καὶ τὸ ὑπάρχον τρόπος; ἢ ἐπὶ τοῦ ὑπάρχοντος τὸν τέταρτον τοῦ δευτέρου καὶ τὸν πέμπτον τοῦ τρίτου δι᾽ ἀδυνάτου δεικνὺς ἀντίφασιν ἔλαβεν τοῦ ὑπάρχειν παντὶ τὸ ὑπάρχειν οὐ παντί, οὐ τὸ μὴ ὑπάρχειν παντί· κατὰ γὰρ τοὺς τρόπους αἱ ἀποφάσεις γίνονται τῶν μετὰ τρόπου καταφάσεων. ὅτι τὸ ὑπάρχον τρόπος, εἰ μίγνυσιν αὐτὸ ἀναγκαίῳ καὶ ἐνδεχομένῳ· τρόπων γὰρ αἱ μίξεις· οὐ γὰρ λέγεται μῖξις τοῦ κατὰ τὸ ἔστιν ὑπάρχοντος πρὸς τὸ ἀναγκαῖον καὶ τὸ ἐνδεχόμενον ἀεὶ συνόντος αὐτοῖς.

ΕΙΣ ΤΑΣ ΜΙΞΕΙΣ.

p. 30a15 Συμβαίνει δέ ποτε. Μετὰ τοὺς συλλογισμοὺς τοῦ ὑπάρχοντος καὶ τοῦ ἀναγκαίου παραδίδωσιν ὁ Ἀριστοτέλης τοὺς συλλογισμοὺς τοῦ ἐνδεχομένου. ἀλλὰ μίγνυσι πρότερον τὸ ὑπάρχον τῷ ἀναγκαίῳ διὰ δύο αἰτίας· ἢ γὰρ ὅτι ποικίλος ὁ περὶ τῶν ἐνδεχομένων συλλογισμῶν λόγος, ἢ ἵνα συμπληρώσῃ τὸν περὶ τοῦ ὑπάρχοντος καὶ ἀναγκαίου λόγον καὶ τῶν ἁπλῶν ἐγνωσμένων καὶ τοῦ συνθέτου. ὑπάρχον δὲ λαμβάνει νῦν οὐχ ὡς ἐν τοῖς τρισὶ σχήμασι τὸ κατὰ τὸ ἔστιν ἀλλὰ κατὰ τὸ ἐκβὰν ἐνδεχόμενον· εἴτε γὰρ τὸ ἐν τοῖς τρισὶ σχήμασιν ὑπάρχον τρόπος εἴη, παραλελειμμέναι ἔσονται αἱ ἄνευ τρόπου προτάσεις | (ἔφη γὰρ ἐκεῖσε "ἐπεὶ δὲ πᾶσα πρότασις ἢ τοῦ ὑπάρχειν ἢ f. 227v τοῦ ἐξ ἀνάγκης ὑπάρχειν ἢ τοῦ ἐνδέχεσθαι ὑπάρχειν"), εἴτε τὸ νῦν ὑπάρχον μὴ εἴη τρόπος, οὐκ ἔστιν μῖξις· τῷ γὰρ ψιλῷ ‹ἔστιν› πᾶς τρόπος συνέζευκται. ζητοῦμεν δὲ ἐν ταῖς μίξεσιν οὐχὶ ⟨εἰ⟩ καθόλου ἢ μερικὸν συνάγεται, οὐδ᾽ εἰ καταφατικὸν ἢ ἀποφατικόν (οὐδεμία γὰρ περὶ ταῦτα γίνεται ἐξαλλαγὴ παρὰ τὰ εἰρημένα, ἐπειδὴ καὶ τὸ καθόλου ὑπάρχον τότε ἐλαμβάνετο φερόμενον καὶ κατὰ τῶν τρόπων), ἀλλ᾽ εἰ ὑπάρχον ἢ ἀναγκαῖον ἢ ἐνδεχόμενον τὸ συμπέρασμα. μίξεως τοίνυν γινομένης ὑπάρχοντος καὶ ἀναγκαίου ἐν πρώτῳ σχήματι ὁ μὲν Ἀριστοτέλης τῇ μείζονι ἕπεσθαι βούλεται τὸ συμπέρασμα, εἰ δὲ ἐν δευτέρῳ, τῇ ἀντιστρεφομένῃ, εἰ δὲ ἐν τρίτῳ, τῇ μὴ ἀντιστρεφομένῃ· αὗται γὰρ μείζονες γίνονται ἐν τῇ εἰς τὸ πρῶτον σχῆμα ἀναγωγῇ· ἐπὶ δὲ τοῦ τετάρτου τρόπου τοῦ δευτέρου σχήματος καὶ τοῦ πέμπτου τοῦ τρίτου τῶν μὴ ἀναγομένων δι᾽ ἀντιστροφῆς εἰς τὸ πρῶτον σχῆμα τῇ χείρονι ἕπεσθαι τὸ συμπέρασμα. οἱ δ᾽ ἑταῖροι αὐτοῦ, Θεόφραστος καὶ Εὔδημος, καὶ οἱ ἀπὸ Πλάτωνος καθόλου καὶ νῦν τῇ χείρονι ἕπεσθαι τὸ συμπέρασμά φασιν ὥσπερ καὶ ἐν ποσῷ καὶ ἐν ποιῷ. τῶν δὲ νεωτέρων ἠκολούθησαν

---

4 ὑπάρχειν prius scripsi: ὑπάρχον P 7 δείξεις scripsi: δείξις P cf. vs. 26 13 ἢ scripsi: εἰ P 16 αὐτὸ scripsi: αὐτῶι P 17 τρόπων scripsi: τρόπωι P 23 συμπληρώσῃ] συμ superscr. P1 26 παραλελειμμέναι P 27 ἐκεῖσε] c. 2 p. 25a1 28 εἴη scripsi: ἢ P 30 ἐν ταῖς μίξεσιν in ras. P1 εἰ prius addidi 32 ἐλαμβάνετο] ο in ras. P τῶν ex τὸν corr. P1 39 τῇ χείρονι] χεῖρον δὲ τὸ ὑπάρχον τοῦ ἀναγκαίου mrg. P

Ἀριστοτέλει μὲν Ἀλέξανδρος καὶ Ἰάμβλιχος, Θεοφράστῳ δὲ καὶ Εὐδήμῳ καὶ τοῖς ἀπὸ Πλάτωνος Θεμίστιος, Συριανός, Πρόκλος. ὅτι τοίνυν ἐξ ἀναγκαίας τῆς μείζονος καὶ ὑπαρχούσης τῆς ἐλάττονος ἀναγκαῖον συνάγεται, δείκνυσιν ὁ Ἀριστοτέλης οὕτως· εἰ τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης, τὸ δὲ Β παντὶ τῷ Γ ὑπαρχόντως, τὸ Α παντὶ τῷ Γ ἐξ ἀνάγκης διὰ τὸν ὅρον τοῦ κατὰ παντός. ἀλλ᾽ οὐ παντὶ μέρει, φασί, τοῦ Β τὸ Α ἐξ ἀνάγκης ὑπάρχει, ἀλλὰ μόνοις τοῖς ἀναγκαίοις αὐτοῦ μέρεσιν· ὧν οὐκ ἔστιν τὸ Γ διὰ τὸ ὑπάρχουσαν εἶναι τὴν ΒΓ πρότασιν· διὰ γὰρ τοῦτο δύναται τὸ Γ τοῦ Β μηδὲν ὑπάρχον μέρος εἶναι, ὅτε χωρίζεται αὐτοῦ. καὶ ἐπεὶ τὸ Α τοῦ Β ἀχώριστόν ἐστιν, τὸ δὲ Β τοῦ Γ χωριστόν, καὶ τὸ Α τοῦ Γ χωρίζεται, καὶ διὰ τοῦτο οὐκ ἐξ ἀνάγκης αὐτῷ ὑπάρχει. Ἀλέξανδρος δὲ | συνηγορῶν τῷ Ἀριστοτέλει καὶ δι᾽ ἀδυνάτου δείκνυσιν f. 228r ἀναγκαῖον τὸ συμπέρασμα τὸν τρόπον τοῦτον· εἰ γὰρ μὴ τὸ Α τῷ Γ ἐξ ἀνάγκης παντί, ἐνδέχεται μὴ παντί· ἀλλὰ μὴν καὶ τὸ Β τῷ Γ ὑπαρχόντως παντί· διὰ τὸν πέμπτον ἄρα τρόπον τοῦ τρίτου σχήματος, ἐφ᾽ οὗ καὶ κατὰ Ἀριστοτέλη τῇ χείρονι ἕπεται τὸ συμπέρασμα, τὸ Α τῷ Β ἐνδέχεται μὴ παντί· ἀλλὰ καὶ ἐξ ἀνάγκης παντί· ὅπερ ἀδύνατον· ἀντίφασις γὰρ ταῦτα. ἀλλὰ πρῶτον μὲν διάλληλός ἐστιν ἡ δεῖξις· καὶ γὰρ τὴν μνημονευθεῖσαν δεῖξιν τοῦ τρίτου σχήματος διὰ τῆς νῦν μίξεως ἑξῆς ὁ Ἀριστοτέλης δείξει. δεύτερον δὲ διὰ τῶν αὐτῶν λόγων καὶ ὑπάρχον συνάγεται καὶ ἐνδεχόμενον καὶ ἀδύνατον· εἰ γὰρ τὸ Α τῷ Γ μὴ παντὶ ὡς ἂν ἐθέλῃς, ἐπειδὴ τὸ Β τῷ Γ παντί, τὸ Α τῷ Β οὐ παντί, καὶ οὐ λέγω ἁπλῶς· ὅπερ ἀδύνατον· ὑπόκειται γὰρ τὸ Α τῷ Β ἐξ ἀνάγκης παντί· ὥστε ἢ τὰ τρία οὐ συνάγεται ἢ οὐδὲ τὸ ἀναγκαῖον. αἴτιον δὲ τοῦ ἄτοπον ἐπακολουθεῖν καὶ ἀναγκαίου ὑποτεθέντος τοῦ συμπεράσματος καὶ ἐνδεχομένου καὶ ὑπάρχοντος οὐχ ὁ τρόπος τοῦ συμπεράσματος, ἀλλὰ τὸ συνάγεσθαι μὲν κατ᾽ ἀλήθειαν παντί (ἀεὶ γὰρ ἐκ δύο καθόλου καταφατικῶν καθόλου καταφατικὸν συνάγεται ἐν πρώτῳ), ὑποκεῖσθαι δὲ οὐ παντί. Σωσιγένης δὲ ὁ τοῦ Ἀλεξάνδρου διδάσκαλος ἀναγκαῖον ἔφη συνάγεσθαι τὸ κατὰ τὸν διορισμόν· ἔστ᾽ ἂν γὰρ ὁ μέσος τῷ ἐσχάτῳ ὑπάρχῃ, ἀνάγκη καὶ τὸν μείζονα τῷ ἐλάττονι ὑπάρχειν. ἀλλ᾽ ὅσον ἐπὶ τούτῳ καὶ τῆς μείζονος ὑπαρχούσης ⟨οὔσης⟩ ἀναγκαῖόν ἐστιν τὸ συμπέρασμα· ἀνάγκη γὰρ πάλιν τὸν μείζονα τῷ ἐσχάτῳ ὑπάρχειν, ἔστ᾽ ἂν ὁ μείζων τῷ μέσῳ ὑπάρχῃ· καὶ πᾶς συλλογισμὸς τὸ ἐξ ὑποθέσεως ἀναγκαῖον συνάγει διὰ τὸν ὅρον τοῦ συλλογισμοῦ· καὶ ἐν τῷ δευτέρῳ σχήματι δείκνυσιν ὁ Ἀριστοτέλης συζυγίαν μὴ συνάγουσαν τὸ ἀναγκαῖον διὰ τὸ τὸ μετὰ διορισμοῦ ἀναγκαῖον συνάγειν. Ἑρμῖνος δ᾽ ἔλεγεν ἀναγκαῖον γίνεσθαι τὸ συμπέρασμα οὐκ ἀεί ποτε, ἀλλ᾽ ἐπί τινος ὕλης· εἰ μὲν γὰρ λάβωμεν | ζῷον, ἄν- f. 228v θρωπον, περιπατοῦν, ἀναγκαῖον συνάγεται· εἰ δὲ ζῷον, ἄνθρωπον, κινούμενον, [ψεύδεται ἡ] ἐνδεχόμενον. δι᾽ ὃ καὶ ὁ Ἀριστοτέλης ἔφη συμβαίνει δέ ποτε. ἀλλὰ διώρισεν τοῦτο ὁ Ἀριστοτέλης ἐπαγαγὼν πλὴν οὐχ ὁποτέρας ἔτυχεν, ἀλλὰ τῆς

---

3 δείκνυσιν] ν alterum ex ὁ corr. P¹ 7 ὑπάρχουσαν] ου ex ον, ut videtur, corr. P¹ ad 9. 10 signum appictum est, cui respondent in mrg. inf. f. 228r haec: ὅτι γὰρ τοῦτο οὕτως ἔχει, πρόδηλον καὶ ἐκ τῆς τῶν ὅρων παραθέσεως



καὶ καθόλου δεῖ λαμβάνειν καθολικώτερόν τι καὶ μερικώτερον καί τι τούτων ὑπαρχόντως μετέχον καὶ τὸ μὲν καθολικώτερον τιθέναι μείζονα ὅρον, τὸ δὲ μετέχον ἐλάττονα

10 Ἀλέξανδρος] p. 127,3 sq. 13 Ἀριστοτέλη scripsi: ἀριστοτέλει P 24 ὑποκεῖσθαι] αι in ras. P¹ 25 ἔστ᾽ ἂν scripsi: ἔστω P 26 τούτῳ scripsi cf. p. 43,30: τούτων P 27 οὔσης addidi 34 ψεύδεται ἡ ut e mrg., ubi notatum est ἐλάττων πρότασις δια τα ουράνια, illatum delevi

μείζονος ἀναγκαίας οὔσης. καὶ ἐπὶ στοιχείων τὴν δεῖξιν ἐποιήσατο ὅτε καθόλου τα-
ύτην ποιούμενος. οἱ δὲ περὶ Θεόφραστον δικαιολογοῦνται οὕτως· τίς ἡ ἀποκλήρωσις
ἢ καὶ ἐπὶ τῶν τρόπων τῇ χείρονι ἕπεσθαι τὸ συμπέρασμα; ἢ τίς ἡ ἀποκλήρωσις ἐν
μόνῳ τῷ τετάρτῳ τοῦ δευτέρου καὶ τῷ πέμπτῳ τοῦ τρίτου τῇ χείρονι κατ' Ἀριστο-
5 τέλη ἕπεσθαι τὸ συμπέρασμα; διὰ τί δὲ ὁ Ἀριστοτέλης τὰς μὲν ἀναγκαῖον συναγούσας
οὐ δείκνυσι διὰ τῶν ὅρων ἀλλὰ διὰ μόνου τοῦ καθόλου λόγου, τὰς δ' ὑπάρχον καὶ
διὰ τοῦ καθόλου λόγου καὶ δι' ὅρων; δῆλον γάρ ὅτι διὰ τὸ ἀεὶ ὑπάρχον συνάγεσθαι
καὶ μὴ εὐπορεῖν ὅρων τὸ ἀναγκαῖον συναγόντων, ἀλλ' ἐν τοῖς καθόλου λόγοις παρα-
κρούεσθαι ἡμᾶς· ἅπας δὲ λόγος, ἂν ἀπῇ τὰ ἔργα, μάταιόν τι φαίνεται καὶ κενόν. καὶ
10 εἰ ἐν δευτέρῳ σχήματι τῇ γινομένῃ μείζονι ἐν τῇ εἰς τὸ πρῶτον σχῆμα ἀναγωγῇ
ἕπεται τὸ συμπέρασμα, ἐν τῷ πρώτῳ τρόπῳ τοῦ τρίτου σχήματος ἐξ ὑπαρχούσης καὶ
ἀναγκαίας καὶ ὑπάρχον καὶ ἀναγκαῖον συνάγεται τῷ δύνασθαι ἑκατέραν μείζονα γενέ-
σθαι ἐν πρώτῳ σχήματι, εἰ καὶ ὅπου μὲν μιᾶς ἀντιστροφῆς δεόμεθα, ὅπου δὲ δύο. ἢ
οὐκ ἄτοπον τοῦτο· ἐν γὰρ τῷ τρίτῳ σχήματι μερικὰ πάντα συνάγεται· δύναται δὲ τὸ
15 μερικὸν καὶ ὑπάρχον εἶναι καὶ ἀναγκαῖον· οἷον λευκὸν τινὶ ζῴῳ ὑπαρχόντως δι' ἀν-
θρωπον καὶ ἀναγκαίως διὰ κύκνον. ἡ δ' ἐπίκρισις, ὡς ἔλεγεν ὁ ταῦτά μοι ἐξηγησά-
μενος τῷ Ἰαμβλίχου ὑπομνήματι κατακολουθῶν, τοῦτον ἔχει τὸν τρόπον· ἐξ ἀναγ-
καίας τῆς μείζονος καὶ ὑπαρχούσης τῆς ἐλάττονος ἐν πρώτῳ σχήματι καὶ ἀναγκαῖον
συνάγεται ἐπὶ ὅρων ζῴου, ἀνθρώπου, περιπατοῦντος καὶ ὑπάρχον ζῴου, ἀνθρώπου,
20 κινουμένου· τὸ γὰρ ὑπάρχον μέσον ἐστὶν ἀναγκαίου καὶ ἐνδεχομένου, τοῦ μὲν | ἀναγ- f. 229r
καίου ἔχον τὸ παρεῖναι, τοῦ δ' ἐνδεχομένου τὸ δύνασθαι μεταβάλλειν εἰς τὸ μὴ εἶναι.
καὶ διὰ τοῦτο πλάτος ἐστὶν τοῦ ὑπάρχοντος, καὶ δύναται ἡ ὑπάρχουσα πρότασις καὶ
πρὸς τῷ ἀναγκαίῳ εἶναι μᾶλλον καὶ πρὸς τῷ ἐνδεχόμενῳ. καὶ ὅτε πρὸς τῷ ἀναγκαίῳ
ἐστίν, ἀναγκαῖον συνάγεται· οἷον γὰρ ἐκ δύο ἀναγκαίων ἀναγκαῖον συνάγεται· ὅτε δὲ
25 πρὸς τῷ ἐνδεχομένῳ, ὑπάρχον συνάγεται, ὡς ἐπὶ τῶν εἰρημένων ὅρων. † ὅτε καὶ ὁ Ἀρι-
στοτέλης ἐκ τῆς μείζονος ἀναγκαίας τῆς δ' ἐλάττονος ὑπαρχούσης ἀναγκαῖόν φησιν
συνάγεσθαι τὴν ἐλάττονα πρὸς τῷ ἀναγκαίῳ λαμβάνων· ὅτε δ' ἐκ τῆς μείζονος ὑπαρ-
χούσης τῆς δ' ἐλάττονος ἀναγκαίας ὑπάρχον, τὴν ἐλάττονα λαμβάνει πρὸς τῷ ὑπάρ-
χοντι· διὰ γὰρ τοῦτο, ὅτε ἡ μείζων ὑπάρχουσά ἐστιν ἡ δ' ἐλάττων ἀναγκαία, τὴν
30 μείζονα οὐκ ἀναγκαίαν καλεῖ ἐξορίζων αὐτὴν ἀπὸ τοῦ ἀναγκαίου καὶ ἐπιρρεπῆ ὁρῶν
πρὸς τὸ ἐνδεχόμενον· ὅτε δὲ ἡ μείζων ἀναγκαία ἡ δ' ἐλάττων ὑπάρχουσα, τὴν ἐλάττονα
ὑπάρχουσαν καλεῖ, οὐχὶ δὲ ⟨οὐκ⟩ ἀναγκαίαν ὡς ἐπιρρεπῶς ἔχουσαν πρὸς τὸ ἀναγ-
καῖον. ἀλλὰ κἂν εἴπωμεν, φασί, λογικὸν παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης, ἄνθρωπος παντὶ
περιπατοῦντι ὑπαρχόντως, καίπερ τῆς ἐλάττονος πρὸς τῷ ἀναγκαίῳ οὔσης ὑπάρχον
35 συνάγεται· κἂν κίνησις πάσῃ βαδίσει ἀναγκαίως, βάδισις παντὶ ἀνθρώπῳ ὑπαρχόντως,
καίπερ τῆς ἐλάττονος ὑπαρχούσης οὔσης πρὸς τῷ ἀναγκαίῳ ὑπάρχον συνάγεται.

Ὅτι ἄπορος ἡ μῖξις ὑπάρχοντος καὶ ἀναγκαίου· οὔτε γὰρ ἀεὶ ὑπάρχον συνάγεται,
ὡς οἱ Πλατωνικοὶ καὶ Θεόφραστος, διὰ τοὺς ὅρους τούτους·



40 οὔτε τῆς μείζονος ἀναγκαίας οὔσης ἀναγκαῖον, ὡς ὁ Ἀριστοτέλης, διὰ τοὺς ὅρους
τούτους· ζῷον παντὶ ἀνθρώπῳ ἀναγκαίως, ἄνθρωπος παντὶ κινουμένῳ ὑπαρχόντως,

4. 5 ἀριστοτέλει P cf. p. 39,13 ad 17. 18 in mrg. ascr. ἰστέον ὅτι ἡ ἐλάττων προτασις ἡ λέγουσα πᾶν τὸ κινούμενον ἄνθρωπον εἶναι ὑπαρχόντως ψεύδεται· οὐ γὰρ ἐνδέχεται οὐδὲ κατὰ ἐπίνοιαν μὴ κινεῖσθαι τὸν αἰθέρα καὶ τοὺς ἀστέρας P 25 fort. καὶ ὁ Ἀρ. ὅτε—λαμβάνει (27) 29 οὔτε P 30 ἐπιρρεπῆι P 32 οὐκ addidi cf. p. 41,7 34 fort. οὔσης ⟨ὑπαρχούσης⟩ cf. vs. 36 et p. 41,2

καὶ ζῷον παντὶ κινουμένῳ ὑπαρχόντως ἀλλ᾽ οὐκ ἀναγκαίως· οὔτε, ὡς ὁ Ἰάμβλιχος, τῆς ἐλάττονος ὑπαρχούσης πρὸς τῷ ἀναγκαίῳ οὔσης ἀναγκαῖον συνάγεται διὰ τοὺς ὅρους τούτους·



ἀλλ᾽ οὐδ᾽ ἀντίφασις | γίνεται ἀντιτιθέντων ἡμῶν τρόπον τρόπῳ, ποσὸν ποσῷ, ποιὸν f. 229v
ποιῷ· ψεῦδος γὰρ καὶ τὸ ἐνδέχεται τινὰ ἄνθρωπον ζῷον καὶ τὸ ἀνάγκη μηδένα ἄνθρωπον ζῷον.

p. 30a19 Τὸ δὲ Β τῷ Γ ὑπαρχέτω μόνον. ἰδοὺ τῆς μείζονος ἀναγκαίας οὔσης τὴν ἐλάττονα οὐ καλεῖ μὴ ἀναγκαίαν ἀλλ᾽ ὑπάρχουσαν ὡς πρὸς τῷ ἀναγκαίῳ οὖσαν, καίτοι, ὅτε ἡ ἐλάττων ἀναγκαία ἐστίν, τὴν μείζονα μὴ ἀναγκαίαν καλῶν.

p. 30a23 Εἰ δὲ τὸ μὲν ΑΒ μή ἐστιν ἀναγκαῖον. τὸ Α τῷ Β ὑπάρχει παντί, τὸ Β τῷ Γ ἐξ ἀνάγκης παντί· ὅτι οὐ συνάγεται τὸ Α τῷ Γ ἐξ ἀνάγκης παντί· εἰ γὰρ τὸ Α τῷ Γ ἐξ ἀνάγκης παντί, ἐπειδὴ καὶ τὸ Γ τῷ Β ἐξ ἀνάγκης τινὶ διὰ τὴν ἀντιστροφήν, τὸ Α τῷ Β ἐξ ἀνάγκης τινί· ἀλλὰ καὶ ὑπάρχει παντί· ὅπερ ἀδύνατον· ἐνδέχεται γὰρ τὸ ὑπάρχον παντὶ καὶ μηδενὶ ὑπάρχειν. ἢ καὶ οὕτως ἐν τρίτῳ σχήματι· εἰ τὸ Α τῷ Γ ἐξ ἀνάγκης παντί, ἐπειδὴ καὶ τὸ Β τῷ Γ ἐξ ἀνάγκης παντί, τὸ Α τῷ Β ἐξ ἀνάγκης τινί· ὑπόκειται δὲ καὶ παντὶ ὑπάρχειν· ὅπερ ἀδύνατον.

p. 30a28 Ἔτι δὲ καὶ ἐκ τῶν ὅρων φανερόν. νῦν μόνον ἔχεις ὅρους, φασίν, Ἀριστοτέλες· διὰ τί γὰρ μὴ καὶ πρότερον, ὅτε ἀναγκαῖον συνῆγες παραλογιζόμενος;

p. 30a31 Κινεῖται δὲ τὸ ζῷον οὐκ ἐξ ἀνάγκης, οὐδ᾽ ὁ ἄνθρωπος. καὶ ἐπὶ τῶν παραδειγμάτων τὴν ὑπάρχουσαν τὴν πρὸς τῷ ἐνδεχομένῳ οὐκ ἀναγκαίαν καλεῖ. ἡ γὰρ αὐτὴ ἀπόδειξις, δι᾽ ἀδυνάτου καὶ δι᾽ ὅρων.

p. 30a33 Ἐπὶ δὲ τῶν ἐν μέρει συλλογισμῶν. ὅτι καὶ ἐπὶ τῶν μερικῶν συλλογισμῶν τῆς μείζονος ἀναγκαίας οὔσης καὶ τὸ συμπέρασμα ἀναγκαῖον γίνεται· εἰ γὰρ τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης, παντὶ μέρει αὐτοῦ ἐξ ἀνάγκης ὑπάρχει· τὶ δὲ τῶν Γ μέρος ἐστὶν τοῦ Β· ἐκείνῳ ἄρα τῷ μέρει ἀναγκαίως τὸ Α ὑπάρχει, ἀλλ᾽ οὐ παντὶ μέρει τοῦ Β ἀναγκαίως τὸ Α ὑπάρχει, ἀλλὰ μόνοις τοῖς ἀναγκαίοις μέρεσι τοῦ Β. τὰ δ᾽ αὐτὰ καὶ ἐπὶ τοῦ στερητικοῦ. εἰ δὲ ἡ μείζων ὑπάρχουσα ᾖ, καὶ τὸ συμπέρασμά ἐστιν ὑπάρχον καὶ οὐκ ἀναγκαῖον· ὅτι μὲν γὰρ ὑπάρχον συνάγεται, ἔστιν δεῖξαι δι᾽ ἀδυνάτου· ὅτι δὲ ἀναγκαῖον συνάγεται, οὐκ ἔστιν δεῖξαι δι᾽ ἀδυνάτου. τὸ γὰρ Α παντὶ τῷ Β ὑπαρχόντως, | τὸ δὲ Β τινὶ τῷ Γ ἀναγκαίως· λέγω ὅτι τὸ Α τινὶ τῷ Γ ὑπαρ- f. 230r
χόντως. εἰ δὲ ψεῦδος τὸ ὑπάρχειν τινί, ἀληθὲς τὸ ἀνάγκη μηδενί, οὐχὶ δὲ τὸ ἐνδέχεται μηδενί· τῷ γὰρ ὑπάρχοντι οὐκ ἀντίκειται τὸ ἐνδεχόμενον, ἐπειδὴ τὸ νῦν ὑπάρχον ἐνδέχεται εἰς ὕστερον μὴ ὑπάρχειν καὶ τὸ νῦν ὑπάρχον ἐνδεχόμενόν ἐστιν, οὗ μὴ ὄντος μὲν τεθέντος δὲ ὑπάρχειν οὐδὲν ἀδύνατον συμβαίνει. καὶ διὰ τοῦτο ἐν ταῖς εἰς ἀδύνατον ἀπαγωγαῖς οὐ ληπτέον ἀντικείμενον τῷ ὑπάρχειν τὸ ἐνδεχόμενον· οὐ γὰρ ἀντίκειται κατὰ τὸ ἀναγκαῖον καὶ ἀδύνατον ἀλλὰ κατὰ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος. εἰ οὖν ψεῦδος τὸ Α τῷ Γ ὑπάρχειν τινί, ἀληθὲς τὸ Α τῷ Γ ἀνάγκη μηδενί· τὸ δὲ Γ τῷ Β ἀνάγκη τινί· τὸ Α ἄρα τῷ Β ἀνάγκη οὐ παντί· ὅπερ ἀδύνατον· ὑπάρχει γὰρ παντί· ἀντίφασις δὲ ἀνάγκη οὐ παντί, ὑπάρχει παντί. οὐ μὴν ἔστιν δεῖξαι δι᾽ ἀδυνάτου καὶ ἀναγκαῖον συναγόμενον. οἷον λέγω ὅτι τὸ Α τῷ Γ ἐξ ἀνάγκης τινί· εἰ γὰρ

---

18 καὶ in ras. P¹ 19 ἀριστοτέλες P, ε alt. ex η, ut videtur, corr. P¹ 22 αὐτὴ scripsi: αὐτῆς P ad 32 in mrg. aser. ψευδῶς ἔλαβεν ἐνταῦθα τῆς ὑπάρχει τινὶ ἀντίφασιν τὴν ἀνάγκη μηδενί· τῇ γὰρ ἀνάγκῃ μηδενὶ ἀντιφάσκει ἡ ἐνδέχεται τινί, ἀλλὰ καὶ ὑπάρχει τινί· ὥστε ἔσονται δύο μιᾶς P

τοῦτο ψεῦδος, ἐνδέχεται μηδενί· τὸ δὲ Γ τῷ Β ἐξ ἀνάγκης τινί· τὸ Α ἄρα τῷ Β ἐνδέχεται μὴ παντί· ἐνδεχόμενον γὰρ συνάγεται κατὰ πάντας νῦν, ἐπειδὴ συμβέβηκε τῇ αὐτῇ προτάσει καὶ μείζονι εἶναι τοῦ πρώτου σχήματος καὶ χείρονι· ὑπάρχει δὲ καὶ παντί· καὶ οὐκ ἀδύνατον τὸ αὐτὸ τῷ αὐτῷ καὶ ὑπάρχειν παντὶ καὶ ἐνδέχεσθαι μὴ παντί· ἐν μὲν γὰρ τῷ αὐτῷ χρόνῳ ἐστὶ ψευδόμενον, οὐκ ἀδύνατον δέ, ἐς ὕστερον δὲ δυνατόν· οὐδαμῶς ἄρα ἀδύνατον. εἴποι δ᾽ ἄν τις ὅτι, εἰ καὶ οὕτως μὴ συνάγεται ἀδύνατον, ἀλλ᾽ ἑτέρως συνάγεται· εἰ γὰρ τὸ Α οὐδενὶ τῷ Γ ἐνδεχομένως, ἐπειδὴ τὸ Α παντὶ τῷ Β ὑπαρχόντως, ἐν δευτέρῳ ἄρα σχήματι τὸ Β οὐδενὶ τῷ Γ ἐνδεχομένως ἢ ὑπαρχόντως· ἀλλὰ ὑπόκειται ἀναγκαίως τινί· ὅπερ ἀδύνατον. εἰ δ᾽ ὑπάρχον τὸ συμπέρασμα ἀλλ᾽ οὐκ ἀναγκαῖον, δείκνυσιν αὐτὸ ὑπάρχον καὶ ἀπὸ τῶν πραγμάτων.

Ποῦ λέγει ὁ Πλάτων ἐν τῇ μίξει ἀναγκαίου καὶ ἐνδεχομένου τῇ χείρονι ἕπεσθαι τὸ συμπέρασμα; ἢ ἐν τῷ πρώτῳ τῆς Πολιτείας ἐν τῷ συμπεράσματι | τῶν πρὸς Πολέ- f. 230ᵛ μαρχον λόγων ἐπὶ παραδειγμάτων τοιούτων·

δίκαιον κακοὺς κακῶς ποιεῖν, ἀγαθοὺς εὖ φίλους κακῶς ποιεῖν καὶ ἐχθροὺς εὖ

ὁ δίκαιος φίλους εὖ ποιεῖ καὶ ἐχθροὺς κακῶς εἰ τύχοιεν φίλοι ὄντες, ἀγαθοὺς εὖ





Ἐπὶ μὲν τῶν καθόλου συζυγιῶν τοῦ πρώτου σχήματος τῆς ἐλάττονος προτάσεως ἀναγκαίας οὔσης, ἐὰν τὸ συμπέρασμα ἀναγκαῖον ὑποτεθῇ, ψεῦδος ἕπεται διὰ τῆς εἰς ἀδύνατον, ἤτοι εἰς ψεῦδος, ἀπαγωγῆς. ἐπὶ δὲ τοῦ ἐν μέρει οὐ δυνάμεθα διὰ τῆς εἰς ἀνύνατον ἀπαγωγῆς ἀναγκαίου τεθέντος τοῦ συμπεράσματος ψεῦδος συναγαγεῖν· ἀσυλλόγιστος γὰρ ἡ συμπλοκὴ γίνεται, οἷαν [δ᾽] ἂν πρότασιν προσλάβωμεν τῷ συμπεράσματι μερικῷ ὄντι· εἴτε γὰρ τὴν μερικὴν προσλάβωμεν, ἐκ δύο μερικῶν ἐστι καὶ ἀσυλλόγιστον, εἴτε τὴν καθόλου, γίνεται δεύτερον σχῆμα ἐκ δύο ὁμοιοσχημόνων προτάσεων καὶ οὕτως ἀσυλλόγιστον· ἀλλὰ δείκνυται ὑπάρχον τὸ συμπέρασμα διὰ τῶν ὅρων· κίνησις, ζῷον, λευκόν.

ΜΙΞΙΣ ΕΝ Β ΣΧΗΜΑΤΙ ΥΠΑΡΧΟΝΤΟΣ ΚΑΙ ΑΝΑΓΚΑΙΟΥ.

p. 30ᵇ7 Ἐπὶ δὲ τοῦ δευτέρου σχήματος. Ὅτι ἐν δευτέρῳ σχήματι μίξεως γινομένης, εἰ μὲν ἡ καθόλου ἀποφατικὴ πρότασις, ὡς ἐπὶ τῶν πρώτων τριῶν τρόπων, τῇ καθόλου ἀποφάσει ἕπεται τὸ συμπέρασμα· αὕτη γὰρ | μείζων γίνεται τοῦ πρώτου f. 231ᶠ σχήματος ἐν τῇ εἰς ἄτοπον ἀπαγωγῇ· τῇ δὲ μείζονι τοῦ πρώτου σχήματος δέδεικται τὸ συμπέρασμα ἑπόμενον· εἰ δὲ μὴ ἡ καθόλου ἀποφατικὴ πρότασις, ὡς ἐν τῷ τετάρτῳ τρόπῳ, τῇ χείρονι ἕπεται τὸ συμπέρασμα. καὶ τὰς μὲν συναγούσας ἀναγκαῖον διὰ μόνου τοῦ κατὰ παντὸς καὶ κατὰ μηδενὸς δείκνυσιν, τὰς δ᾽ ὑπάρχον καὶ ἐπ᾽ εὐθείας καὶ δι᾽ ἀδυνάτου καὶ δι᾽ ὅρων.

p. 30ᵇ18 Εἰ δ᾽ ἡ κατηγορικὴ πρότασίς ἐστιν ἀναγκαία, οὐκ ἔστι τὸ συμπέρασμα ἀναγκαῖον. ὅτι ἐπὶ τῶν ἐξ ἀμφοτέρων καθόλου, ἐὰν ἡ καθόλου ἀπόφασις ὑπάρχουσα ᾖ, καὶ τὸ συμπέρασμα ὑπάρχον ἐστί, τριχῶς ἀποδείκνυσι. καὶ

4 τὸ αὐτὸν P 5 μὲν superscr. P¹ 7 ἐνδεχομένως scripsi: ἐνδεχομένωι P 12 ἐν τῷ πρώτῳ τῆς Πολιτείας] c. 6 p. 332 A sq. 15 ποιεῖ utrobique P 18 ἀναγωγῆς P ἐπὶ scripsi: ἐπεὶ P 19 ἀναγκαίου scripsi: ἀναγκαίως P 20 δ᾽ delevi 22 δεύτερον scripsi: A P 29 ἀναγωγῇ P 34 οὐκ ἔσται Arist.

ἄρχεται ἀπὸ τοῦ δευτέρου τρόπου τοῦ δευτέρου σχήματος· τὸ γὰρ πρῶτον παραλιμπάνει ὡς ἁπλούστερον διὰ τὸ μιᾶς ἀντιστροφῆς δεῖσθαι. πρώτη δεῖξις· τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης· τὸ Α οὐδενὶ τῷ Γ ὑπαρχόντως· λέγω ὅτι | τὸ Β οὐδενὶ τῷ Γ ὑπαρχόντως. f. 231v ἐπεὶ γὰρ τὸ Γ οὐδενὶ τῷ Α ὑπάρχει διὰ τὴν ἀντιστροφήν, τὸ δὲ Α παντὶ τῷ Β ἐξ ἀνάγκης, γέγονε τὸ πρῶτον σχῆμα τὴν μείζονα ὑπάρχουσαν ἔχον, καὶ διὰ τοῦτο ὑπάρχον συνάγεται· τὸ Γ ἄρα οὐδενὶ τῷ Β ὑπάρχει· ὥστε καὶ τὸ Β οὐδενὶ τῷ Γ ὑπάρχει. δευτέρα δεῖξις· εἰ τὸ Β τῷ Γ οὐδενὶ ἐξ ἀνάγκης, καὶ τὸ Γ τῷ Β οὐδενὶ ἐξ ἀνάγκης· τὸ δὲ Β τῷ Α ἐξ ἀνάγκης τινὶ διὰ τὴν ἀντιστροφήν· τὸ Γ ἄρα τῷ Α οὐ παντὶ ἐξ ἀνάγκης· ἀλλὰ καὶ οὐδενὶ ὑπάρχει διὰ τὴν ἀντιστροφήν· ὅπερ ἀδύνατον. ἢ ὡς ἡ λέξις, τὸ Γ τῷ Α οὐ παντὶ ἐξ ἀνάγκης· ἀλλὰ καὶ παντὶ ὑπάρχει· εἰ γὰρ τὸ Α τῷ Γ οὐδενὶ ὑπάρχει, καὶ τὸ Γ τῷ Α οὐδενὶ ὑπάρχει· καὶ διὰ τοῦτο δύναται καὶ παντὶ ὑπάρχειν τὸ Γ τῷ Α. τρίτη δεῖξις τοῦ αὐτοῦ διὰ τῶν ὅρων· ζῷον παντὶ ἀνθρώπῳ ἐξ ἀνάγκης· ζῷον οὐδενὶ λευκῷ ὑπαρχόντως· καὶ ἄνθρωπος οὐδενὶ λευκῷ ὑπάρχει, εἰ μὴ ἄρα λέγοι τις, φησίν, ἄνθρωπος οὐδενὶ λευκῷ ἐξ ἀνάγκης, ἔστ' ἄν, ὡς ἡ πρότασίς φησιν, ζῷον οὐδενὶ λευκῷ ὑπάρχῃ. ἀλλ' οὕτω πᾶς συλλογισμὸς ἀναγκαῖον συνάγει διὰ τὸν ὅρον τοῦ συλλογισμοῦ. οὐκ ἄρα ληπτέον ἐν τοῖς συμπεράσμασι τὸ κατὰ τὸν ὁρισμὸν ἀναγκαῖον.

p. 31a3 Ὅταν δ' ἡ κατηγορικὴ καθόλου τε καὶ ἀναγκαία ᾖ. κατὰ μέρος διχῶς, φησίν, τὸ ὑπάρχον συνάγεται· καὶ γὰρ ἐν τῷ τετάρτῳ τρόπῳ, ὅτε καὶ ἔστιν καθόλου κατηγορική, καὶ ἐν τῷ τρίτῳ τρόπῳ, ὅταν ἡ μερικὴ κατηγορικὴ ἀναγκαία ᾖ· τηνικαῦτα γὰρ ἡ λοιπὴ καθόλου ἀποφατικὴ ὑπάρχουσα γίνεται, καὶ διὰ τοῦτο τὸ συμπέρασμα ὑπάρχον. ὥστε διὰ τὸ δεύτερον πρόσκειται τὸ καὶ ἀναγκαία, οὐ διὰ τὸ πρῶτον· ὡς ἂν γὰρ ἔχῃ ἡ καθόλου κατηγορικὴ κατὰ τὸ ὑπάρχον καὶ ἀναγκαῖον, ὑπάρχον συνάγεται.

ΜΙΞΙΣ ΥΠΑΡΧΟΝΤΟΣ ΚΑΙ ΑΝΑΓΚΑΙΟΥ ΕΝ Γ ΣΧΗΜΑΤΙ.

p. 31a18 Ἐν δὲ τῷ τελευταίῳ σχήματι. Μίξεως γινομένης ὑπάρχοντος καὶ ἀναγκαίου ἐν τρίτῳ σχήματι ἐν τῷ πρώτῳ τρόπῳ πάντως ἀναγκαῖόν φησιν συνάγεσθαι ὁ Ἀριστοτέλης, διότι ἐν τούτῳ τῷ σχήματι τῇ μὴ | ἀντιστρεφούσῃ ἕπεται f. 232r τὸ συμπέρασμα· αὕτη γὰρ γίνεται μείζων ἐν τῇ εἰς τὸ πρῶτον σχῆμα ἀναγωγῇ· δύναται δὲ ἡ μὴ ἀντιστρεφομένη ἀναγκαία εἶναι. ἀλλ' ὅσον ἐπὶ τούτῳ, φησὶν ὁ φιλόσοφος Πρόκλος ἐν τῷ σχολικῷ ὑπομνήματι τοῦ πρώτου τῶν Προτέρων ἀναλυτικῶν, δύναται ὁ προκείμενος τρόπος καὶ ὑπάρχον ἀεὶ συνάγειν τῷ δύνασθαι τὴν μὴ ἀντιστρεφομένην ὑπάρχουσαν εἶναι. πῶς οὖν ὁ αὐτὸς τρόπος δύο συμπεράσματα συνάγει, ποτὲ μὲν ἀεὶ ἀναγκαῖον, ποτὲ δὲ ἀεὶ ὑπάρχον; ἢ ἄλυτος ἦν ὁ λόγος, εἰ καθόλου ἦν τὸ συναγόμενον· νῦν δὲ δύναται τὸ μερικὸν καὶ ἀναγκαῖον εἶναι καὶ ὑπάρχον· ζῷον γὰρ τινὶ λευκῷ καὶ ἐξ ἀνάγκης διὰ τὸν κύκνον καὶ ὑπαρχόντως διά τινα ἄνθρωπον. ἐν δὲ τῷ δευτέρῳ τρόπῳ τῇ καθόλου ἀποφατικῇ βούλεται ἕπεσθαι τὸ συμπέρασμα· αὕτη γὰρ πάντως ἐστὶν ἡ μὴ ἀντιστρέφουσα ἐν τῇ εἰς τὸ πρῶτον σχῆμα ἀναγωγῇ· καὶ εἰ μὲν ἀναγκαία ᾖ ἡ καθόλου ἀποφατική, καὶ τὸ συμπέρασμα ἀναγκαῖον εἶναι, εἰ δ' ὑπάρχουσα, ὑπάρχον. καὶ δείκνυσιν ἑκάτερον μὲν διὰ τοῦ πρώτου σχήματος, μόνον δὲ τὸ ὑπάρχον καὶ δι' ὅρων· κενεμβατεῖ γὰρ πανταχοῦ τὸ ψεῦδος μὴ ἐποχούμενον πράγμασιν. καὶ εἰσὶν οἱ ὅροι· ἀγαθὸν οὐδενὶ ἵππῳ ὑπαρχόντως· ζῷον παντὶ ἵππῳ ἀναγκαίως· καὶ ἀγαθὸν οὐ

2 ἀντιστροφῆς] ῆ in ras. ex εῖ corr. P1 8 Α prius ex Γ corr. P1 15 ὑπάρχει P οὕτω scripsi: οὔτο P 22 διὰ τοῦ Β P 42 ἀναγκαίως scripsi: ἀναγκαίωι P

παντὶ ζῴῳ ὑπαρχόντως. καὶ ἐπιλαμβάνεται τῶν ὅρων διὰ τὴν μείζονα πρότασιν· ἐὰν γὰρ ὁ μέσος ὅρος μὴ τύχῃ ἵππος ἀλλ᾽ ἰοβόλον θηρίον, ψεύδεται ἡ λέγουσα ἀγαθὸν οὐδενὶ ἰοβόλῳ ὑπαρχόντως· τοῦ γὰρ ἰοβόλου τὸ ἀγαθὸν οὐκ ἐνδεχομένως κεχώρισται ἀλλ᾽ ἀναγκαίως. καὶ διορθοῦται τοὺς ὅρους τὸν μείζονα κινῶν· τὸ καθεύδειν γὰρ καὶ τὸ ἐγρηγορέναι οὐδενὶ ἵππῳ ὑπαρχόντως· ζῷον δὲ παντὶ ἵππῳ ἀναγκαίως· καὶ τὸ καθεύδειν οὐ παντὶ ζῴῳ ὑπαρχόντως. ἐν δὲ τῷ τρίτῳ καὶ τετάρτῳ καὶ ἕκτῳ τρόπῳ τῇ καθόλου βούλεται ἕπεσθαι τὸ συμπέρασμα, εἴτε καταφατικὴ ᾖ, ὡς ἐν τῷ τρίτῳ καὶ τετάρτῳ, εἴτε ἀποφατική, ὡς ἐν τῷ ἕκτῳ· | ἐν γὰρ τούτοις τοῖς τρόποις ἡ f. 232v καθόλου ἐστὶν ἡ μὴ ἀντιστρέφουσα. ἐν δὲ τῷ πέμπτῳ τρόπῳ τῇ χείρονι ἀξιοῖ ἕπεσθαι τὸ συμπέρασμα. τέσσαρες οὖν παρ᾽ αὐτῷ διορισμοὶ τοῦ συμπεράσματος ἐπὶ τῆς παρούσης μίξεως καὶ τοῦ παρόντος σχήματος· ἄλλος ἐν τῷ πρώτῳ τρόπῳ· ἀεὶ γὰρ ἀναγκαῖον τὸ συμπέρασμα· ἄλλος ἐν τῷ δευτέρῳ τρόπῳ· τῇ γὰρ καθόλου ἀποφάσει ἕπεται τὸ συμπέρασμα· ἄλλος ἐν τῷ τρίτῳ καὶ τετάρτῳ καὶ ἕκτῳ τρόπῳ· τῇ γὰρ καθόλου προτάσει ἕπεται τὸ συμπέρασμα· ἄλλος ἐν τῷ πέμπτῳ· τῇ γὰρ χείρονι. ἢ εἷς διορισμὸς πάντα ταῦτα τοιοῦτος· τῆς γὰρ δείξεως δι᾽ ἀντιστροφῆς μὲν γινομένης τῇ μὴ ἀντιστρεφομένῃ ἕπεται τὸ συμπέρασμα· συμβέβηκε δὲ τῇ μὴ ἀντιστρεφομένῃ ἐν μὲν τῷ πρώτῳ τρόπῳ δύνασθαι ἀεὶ ἀναγκαίαν εἶναι, ἐν δὲ τῷ δευτέρῳ τρόπῳ πάντως καθόλου ἀποφάσει εἶναι, ἐν δὲ τῷ τρίτῳ καὶ τετάρτῳ καὶ ἕκτῳ καθολικῇ προτάσει εἶναι πάντως· μὴ γινομένης δὲ τῆς ἀποδείξεως δι᾽ ἀντιστροφῆς τῇ χείρονι ἕπεται τὸ συμπέρασμα. |

p. 31b37 Ὅταν δὲ τὸ καταφατικὸν ἀναγκαῖον τεθῇ, ἢ καθόλου ὂν f. 233r ἢ ἐν μέρει, ἢ τὸ στερητικὸν κατὰ μέρος, οὐκ ἔστι τὸ συμπέρασμα ἀναγκαῖον. τρεῖς ἅμα συζυγίαι, φησίν, ὑπάρχον ⟨συνάγου⟩σιν, ἡ λοιπὴ τοῦ ἕκτου καὶ αἱ δύο τοῦ πέμπτου· καταφατικὸν γὰρ καθόλου ἔχει ἀναγκαῖον εἷς τοῦ πέμπτου, μερικὸν δὲ καταφατικὸν ἀναγκαῖον ὁ λοιπὸς τοῦ ἕκτου, στερητικὸν δὲ κατὰ μέρος ἀναγκαῖον ὁ λοιπὸς τοῦ πέμπτου.

p. 32a6 Φανερὸν οὖν ὅτι. Τοῦτο οἰκεῖόν ἐστιν οὔτε πᾶσι τοῖς σχήμασι οὔτε μόνῳ τῷ τρίτῳ ἀλλὰ μόνῳ τῷ πρώτῳ τρόπῳ τοῦ τρίτου σχήματος· οὗτος γὰρ ὑπάρχον μοναχῶς συνάγει· μόνον γάρ, ὅταν ἄμφω ὑπάρχουσαι ὦσιν· ἀναγκαῖον δὲ διχῶς· καὶ γὰρ ἀμφοτέρων ἀναγκαίων οὐσῶν καὶ τῆς μὲν οὔσης ἀναγκαίας τῆς δ᾽ ὑπαρχούσης, ὡς δέδεικται. ἔμπαλιν δὲ ὁ τέταρτος τοῦ δευτέρου καὶ ὁ πέμπτος τοῦ τρίτου ἀναγκαῖον μὲν μοναχῶς συνάγουσιν· ἀμφοτέρων γὰρ ἀναγκαίων οὐσῶν· ὑπάρχον δὲ διχῶς· καὶ γὰρ ἄμφω ὑπαρχουσῶν ⟨οὐσῶν⟩ καὶ τῆς μὲν οὔσης ἀναγκαίας τῆς δ᾽ ὑπαρχούσης· ἐν γὰρ τοῖς τρόποις τούτοις τῇ χείρονι ἕπεται τὸ συμπέρασμα.

p. 32a8 Ἐν ἀμφοτέροις δέ. ὅτι ὁ τρόπος τοῦ συμπεράσματος πάντως ἐν ταῖς προτάσεσι προείληπται, ὡς καὶ τὸ καταφατικὸν ἢ ἀποφατικόν, οὐ μὴν καὶ τὸ καθόλου ἢ μερικόν· ἐν τρίτῳ γὰρ σχήματι καὶ ἐξ ἀμφοτέρων καθόλου μερικὰ συνάγεται. ἐν ἀμφοτέροις δέ, φησίν, τοῖς ἁπλοῖς καὶ τοῖς μικτοῖς, καὶ ἁπλοῖς διχῶς, ἢ ἐξ ὑπαρχουσῶν ἢ ἐξ ἀναγκαίων.

ΠΕΡΙ ΤΟΥ ΕΝΔΕΧΟΜΕΝΟΥ.

p. 32a16 Περὶ δὲ τοῦ ἐνδεχομένου. Μετὰ τοὺς ὑπάρχοντας συλλογισμοὺς καὶ τοὺς ἀναγκαίους καὶ τὴν μῖξιν τοῦ ὑπάρχοντος καὶ τοῦ ἀναγκαίου μέτει|σι f. 233v καὶ ἐπὶ τὸ ἐνδεχόμενον. καὶ πρῶτον διδάσκει τοὺς ἐξ ἀμφοτέρων ἐνδεχομένων ἐν

3 οὐδενὶ scripsi: οὐδὲν P 4 διορθοῦται scripsi: διορθοῦνται P 5 ἀναγκαίως scripsi: ἀναγκαίωι P 17 ἀναγκαίαν scripsi: ἀναγκαῖον P 19 δὲ scripsi: μὲν P 21 ἔσται Arist. 22 ὑπάρχον συνάγουσιν scripsi: ὑπάρχονσιν (sic) P 30 ὑπάρχον] ο ex ω corr. P 31 οὐσῶν addidi 35 μερικὰ] α ex ον corr. P1

πρώτῳ σχήματι, εἶτα τὴν μῖξιν ἐνδεχομένου καὶ ὑπάρχοντος ἐν πρώτῳ σχήματι καὶ τέλος τὴν μῖξιν ἐνδεχομένου καὶ ἀναγκαίου ἐν πρώτῳ σχήματι· εἶτα τοὺς ἐξ ἀμφοτέρων ἐνδεχομένων ἐν δευτέρῳ σχήματι καὶ τὰς δύο μίξεις ἐν τῷ αὐτῷ σχήματι· εἶτα τὰ αὐτὰ τρία ἐν τρίτῳ σχήματι. καὶ πρό γε τούτων πάντων προλαμβάνει τί τὸ ἐνδεχόμενον, τὰς ἐνδεχομένας ἀντιστροφάς, ποσαχῶς τὸ ἐνδεχόμενον. ἐνδεχόμενον τοίνυν ἐστὶν οὗ μὴ ὄντος, τεθέντος δ' ὑπάρχειν οὐδὲν ἀδύνατον συμβαίνει. ἐπεὶ γὰρ τὸ ἐνδεχόμενον οὔπω μὲν πάρεστιν, δύναται δὲ παρεῖναι καὶ μετὰ τὸ παρεῖναι ἀπεῖναι, διότι μὲν οὔπω πάρεστιν, οὐκ ἔστιν ὑπάρχον· διότι δὲ δύναται παρεῖναι, οὐκ ἔστιν ἀδύνατον· διότι δὲ μετὰ τὸ παρεῖναι δύναται ἀπεῖναι, οὐκ ἔστιν ἀναγκαῖον. διὰ τοῦτο ταῖς ἀποφάσεσι τοῦ ὑπάρχοντος καὶ ἀναγκαίου καὶ ἀδυνάτου ὁρίζεται· οὗ μὲν γὰρ μὴ ὄντος, ἐπειδὴ οὐκ ἔστιν ἀναγκαῖον· τεθέντος δὲ ὑπάρχειν, ἐπειδὴ οὐκ ἔστιν ὑπάρχον· εἰ γὰρ ἦν ὑπάρχον, οὐκ ἐδεόμεθα τοῦ ὑποθέσθαι αὐτὸ ὑπάρχον· διότι δὲ οὐδὲν ἀδύνατον συμβαίνει, οὐκ ἔστιν ἀδύνατον. καὶ καλῶς εἴρηται οὐδὲν ἀδύνατον συμβαίνει, οὐχὶ δὲ οὐδὲν ψεῦδος· ἕπεται γὰρ ψεῦδος, ἐπειδὴ καὶ τὸ ἐνδεχόμενον ὑποθέσθαι ὑπάρχον ψεῦδός ἐστιν, εἰ καὶ μὴ ἀδύνατον. καὶ ὅτι τοῦτό ἐστιν τὸ ἐνδεχόμενον, δηλοῦσιν αἱ εἰς ἀδύνατον ἀπαγωγαί· εἰπόντες γάρ ‹εἰ γὰρ δυνατόν, ἔστω τὸ ἀντικείμενον› τῷ ἀδύνατον ἐπακολουθεῖν λέγομεν μὴ ἐνδέχεσθαι τὸ ἀντικείμενον [καὶ] διὰ τὸν ὅρον τοῦ ἐνδεχομένου, καὶ ταύτῃ ἀναγκαῖον ποιοῦμεν τὸ προκείμενον. τὸν δὲ ὅρον τοῦ ἐνδεχομένου κατασκευάζει ὁ Ἀριστοτέλης ἑφεξῆς μὲν ἀπὸ τοῦ δυνατοῖς δυνατὰ ἕπεσθαι καὶ ἀδυνάτοις ἀδύνατα, νῦν δὲ οὕτως· εἰ γὰρ οὐκ ἐνδέχεται εἶναι, ἀνάγκη μὴ εἶναι καὶ ἀδύνατον εἶναι· καὶ τὰ ἀντικείμενα ἄρα, ὃ ἐνδέχεται εἶναι, τοῦτο οὐκ ἀνάγκη μὴ εἶναι καὶ οὐκ ἀδύνατον εἶναι. καὶ διὰ τοῦτο τὸ ἐνδεχόμενον τῇ ἀποφάσει τοῦ f.234r ἀναγκαίου καὶ ἀδυνάτου ὥρισται· καθόλου γὰρ ὧν ἀντιφάσεων θάτερα μόρια συναληθεύει, τούτων καὶ τὰ λοιπὰ συναληθεύει. ἔστωσαν γὰρ δύο ἀντιφάσεις αἱ ΑΒ, ΓΔ, καὶ τὰ ΑΓ συναληθευέτωσαν· λέγω ὅτι καὶ τὰ ΒΔ συναληθεύει· εἰ γὰρ δυνατόν, ἐπὶ τοῦ Ε τὸ Β ἀληθευέτω, τὸ Δ δὲ μή· ἐπεὶ οὖν κατὰ παντὸς ἢ φάναι ἢ ἀποφάναι, τὸ δὲ Δ οὐχ ὑπάρχει τῷ Ε, τὸ Γ ἄρα ὑπάρχει τῷ Ε· ὥστε καὶ τὸ Α· ἀλλὰ καὶ τὸ Β διὰ τὴν ὑπόθεσιν· ὅπερ ἀδύνατον.

οὐκ ἐνδέχεται εἶναι	ἐνδέχεται εἶναι
ἀνάγκη μὴ εἶναι	οὐκ ἀνάγκη μὴ εἶναι
ἀδύνατον εἶναι	οὐκ ἀδύνατον εἶναι.

β. Ἦσαν αἱ ἀντιστροφαὶ τοῦ ἐνδεχομένου οὐχ αἱ ἁπλαῖ (ταύτας γὰρ παραδώσει μετὰ τὸ πρῶτον σχῆμα, ὅπου καὶ δέεται αὐτῶν· τὰ γὰρ ἄλλα σχήματα δι' ἁπλῆς ἀντιστροφῆς εἰς τὸ πρῶτον σχῆμα ἀνάγεται) ἀλλ' αἱ ἐνδεχόμεναι αἱ τὸ ποιὸν μόνον ἀμείβουσαι τὴν δὲ τάξιν τῶν ὅρων φυλάττουσαι. κατὰ ταύτην τοίνυν τὴν ἐνδεχόμενην ἀντιστροφὴν αἵ τε καθόλου πρὸς ἀλλήλας ἀντιστρέφουσιν καὶ ⟨αἱ⟩ μερικαὶ πρὸς ἀλλήλας· διὰ τὸν ὅρον τοῦ ἐνδεχομένου ὃ ἐνδέχεται ⟨οὐδενί, ἐνδέχεται⟩ καὶ παντί, καὶ ἔμπαλιν· καὶ ὃ ἐνδέχεται οὐ παντί, καὶ τινί, καὶ ἔμπαλιν· καὶ ἔτι αἱ καθόλου πρὸς τὰς διαγωνίους μερικὰς ἀντιστρέφουσιν· ὃ γὰρ ἐνδέχεται παντί, καὶ οὐ παντὶ διὰ μέσης τῆς οὐδενί· καὶ ὃ ἐνδέχεται οὐδενί, καὶ τινὶ διὰ μέσης τῆς παντί. οὐκέτι δὲ καὶ ταῖς μερικαῖς αἱ καθόλου ἕπονται· οὐ πᾶν μὲν γὰρ ζῷον ἐνδέχεται βαδίζειν· οὐ μὴν καὶ πᾶν ζῷον ἐνδέχεται βαδίζειν διὰ τὰ ἑρπετά. καὶ ταῦτα μὲν ὁ Ἀριστοτέλης. οἱ δ' ἑταῖροι αὐτοῦ, Θεόφραστος καὶ Εὔδημος, καὶ ἔτι οἱ Πλατωνικοὶ οὐ βούλονται ἐνδεχομένην ἀπόφασιν ἀντιστρέφειν πρὸς ἐνδεχομένην κατάφασιν, ἐπειδὴ οὐ μένει τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον, περὶ οὗ ὁ λόγος. οἱ γὰρ συλλογισμοὶ ὑπὸ τεχνῶν προβάλλονται, αἵ περὶ τὸ ὡς ἐπὶ τὸ

---

12 ἐδεώμεθα P ὑπάρχον tert.] o in ras. ex ει corr. P 17 ἀντικήμενον P ἀδύνατον scripsi: ἀδυνάτωι P καὶ delevi 18 τὸν ὅρον scripsi: τῶν ὅρων P 36 αἵ τε scripsi: ἄν τε P αἱ addidi 37 οὐδενί, ἐνδέχεται addidi 39 post ὃ prius eras. 1 litt. P

πολὺ ἐνδεχόμενον ἔχουσιν· εἰ γὰρ ἐνδέχεται μηδένα ἄνθρωπον ἑξαδάκτυλον εἶναι | ὡς f. 234v
ἐπὶ τὸ πολύ, ἐνδέχεται πάντα ἄνθρωπον καὶ τινὰ ἄνθρωπον ἑξαδάκτυλον εἶναι ἐπ' ἔλαττον.

γ̄. Ὅτι τὸ ἐνδεχόμενον φέρεται κατὰ πάσης ὑπάρξεως, ἀναγκαίας, ὑπαρχούσης, μελλούσης· ἀλλ' ἀναγκαίας μὲν καὶ ὑπαρχούσης δέει τῆς ἀποφάσεως· ὃ γὰρ δὴ οὐκ ἐνδέχεται· μελλούσης δὲ κυρίως. καὶ τὸ κυρίως ἐνδεχόμενον διττόν· ἢ γὰρ ὡρισμένον, ὡς τὸ ὡς ἐπὶ τὸ πολύ· τοῦτο γὰρ ὥρισται, ἐπειδὴ μᾶλλον ἔστιν ἢ οὐκ ἔστιν· ἢ ἀόριστον, ὡς τὸ ἐπ' ἴσης καὶ ἐπ' ἔλαττον. ἀλλὰ πῇ τὸ ἐπ' ἔλαττον ἀόριστον; ὥρισται γὰρ καὶ τοῦτο μᾶλλον οὐκ ὂν ἢ ὄν. ἢ ὡς πρὸς ὕπαρξιν ἀόριστον τὸ ἐπ' ἔλαττον, ὥσπερ πρὸς ἀνυπαρξίαν τὸ ὡς ἐπὶ τὸ πολὺ ἀόριστον.

p. 32a17 Διὰ τίνων; ὅτι διὰ δύο τοὐλάχιστον προτάσεων. πῶς; ὅτι τοῦ μέσου ἢ κατηγορουμένου μόνως ἢ ὑποκειμένου ἢ ἀμφότερα. πότε; ὅτι τῶν ἰδίων σωζομένων καθ' ἕκαστον σχῆμα, ὡς καὶ ἐπὶ τοῦ ἁπλῶς συλλογισμοῦ ἐλέγετο. διὰ τί οὖν καὶ νῦν πρόσκειται ταῦτα; διότι τινὲς ἀσυλλόγιστοι ἐπὶ ὑπάρχοντος καὶ ἀναγκαίου συλλογιστικοὶ γίνονται ἐπὶ ἐνδεχομένου. λέγω δ' ἐνδέχεσθαι καὶ τὸ ἐνδεχόμενον σπερματικῶς. προέλαβεν τὰ σημαινόμενα τοῦ ἐνδεχομένου· ὕστερον δὲ ἐξαπλοῖ αὐτά· ἔδει γὰρ τὸ τί σημαίνει τοὔνομα τοῦ τί ἔστιν προηγήσασθαι καὶ μὴ πάντῃ ὑπερτεθῆναι.

p. 32a20 Τὸ γὰρ ἀναγκαῖον ὁμωνύμως ἐνδέχεσθαι λέγομεν. τί βούλεται ὁ 'γάρ' σύνδεσμος; ἢ ὅτι ἀπέφησε τὸ ἀναγκαῖον τοῦ ἐνδεχομένου καὶ τοῦ ἀναγκαίου ἐνδεχομένου ὄντος.

p. 32a26 Ἤτοι τὰ αὐτά ἐστιν ἢ ἀκολουθεῖ ἀλλήλοις. τὰ αὐτά ἐστιν τῷ σημαινομένῳ· ἀκολουθεῖ δὲ ἀλλήλοις τῇ προφορᾷ μὴ ὄντα τὰ αὐτά.

p. 32a27 Κατὰ παντὸς γὰρ ἢ φάσις ἢ ἀπόφασις. αἰνίττεται τὸ λῆμμα τὸ λέγον ὅτι, ἐὰν δύο ἀντιφάσεων θάτερον μόριον ἀντιστρέφῃ, καὶ τὸ λοιπὸν ἀντιστρέψει.

p. 32a29 Συμβαίνει δέ. τὸ δεύτερον κεφάλαιον, αἱ ἐνδεχόμεναι ἀντιστροφαί· τὰς γὰρ ἁπλᾶς ἀντιστροφὰς οὐ παραδίδωσι νῦν τῶν ἐνδεχομένων προτάσεων, ἐπεὶ μηδὲ δεῖται αὐτῶν ἐν τῷ πρώτῳ σχήματι. πῶς πᾶσαι ἀντιστρέφουσιν; ἐπειδὴ αἱ καθόλου καὶ ἀλλήλαις καὶ ταῖς μερικαῖς ἀντιστρέφουσιν. | ὅτι οὐ δι' ἀντιστροφῆς τὸ παντὶ f. 235r
τῷ τινὶ ἰσοδυναμεῖ ἢ τὸ οὐδενὶ τῷ οὐ παντί· τὸ γὰρ ποιὸν ἔμεινεν. ὅτι αἱ νῦν ἀποφάσεις φωνῇ μόνον εἰσὶν ἀποφάσεις· ὁ γὰρ τρόπος ἀκέραιος ἔμεινεν.

p. 32a33 Οἷον τὸ ἐνδέχεται ὑπάρχειν. ὅτι ἡ ἀπροσδιόριστος κατάφασις τῇ ἀπροσδιορίστῳ ἀποφάσει ἀντιστρέφει, καὶ τὸ παντὶ τῷ οὐδενὶ καὶ οὐ παντί, καὶ τὸ οὐδενὶ τῷ παντὶ καὶ τινί, τὸ δὲ τινὶ μόνῳ τῷ οὐ παντί.

p. 32a35 Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. ὡς γὰρ τὸ παντὶ ἀντιστρέφει τῷ οὐδενὶ καὶ οὐ παντί, οὕτως καὶ τὸ οὐδενὶ καὶ παντὶ καὶ τινί. ὅτι δείκνυσιν τὰς καθόλου ἀντιστρεφούσας ἀλλήλαις καὶ τὰς μερικὰς ἀλλήλαις οὐ διὰ τοῦ ὅρου τοῦ ἐνδεχομένου· οὕτος γὰρ τὸ ἐνδεχόμενον ὑπάρχον ποιεῖ. ἀλλὰ τῷ τὸ ἐνδεχόμενον εἶναι ἐνδέχεσθαι καὶ μὴ εἶναι, ὡς τὸ εἶναι μὲν ἐπὶ τῶν ἀπροσδιορίστων καὶ ἄνευ τρόπου προτάσεων κατάφασιν ποιεῖ, οὕτως καὶ τὸ ἐνδεχόμενον. τοῦτο δὲ τὸ κῶλον καὶ ἐν τοῖς τρισὶ σχήμασιν εἴρηται.

p. 32b4 Πάλιν λέγωμεν· ᾐνίξατο γὰρ ἤδη τὰ σημαινόμενα τοῦ ἐνδεχομένου. ἢ πάλαι μὲν εἶπε τὰ σημαινόμενα τοῦ ἁπλῶς ἐνδεχομένου, νῦν δὲ τοῦ κυρίως. τὸ δὲ πάλιν, διότι τοῦ ὡς ἐπὶ τὸ πολὺ καὶ τῶν ἀντιδιῃρημένων καὶ ἐν τοῖς τρισὶ σχήμασιν ἐμνημόνευσεν.

Ὅτι τὸ ὡς ἐπὶ τὸ πολὺ σχεδὸν ἀναγκαῖόν ἐστιν καὶ διαλεῖπον ἀναγκαῖον· τὸ δὲ ἐπ' ἔλαττον σχεδὸν ἀδύνατον καὶ διαλεῖπον ἀδύνατον· διὰ γὰρ τὸ ἐπ' ἔλαττον οὐκ ἀναγκαῖον τὸ ὡς ἐπὶ τὸ πολύ· διὰ δὲ τὸ ὡς ἐπὶ τὸ πολὺ οὐκ ἀδύνατον τὸ ἐπ' ἔλαττον.

---

4 an ὑπαρχούσης ⟨οὔσης⟩? 7 ἐφίσης P πῇ scripsi: δὴ P 11 κατηγορουμένου] ου alt. ex ως corr. P 16 τοῦ τί ἔστιν scripsi: τουτέστιν P 17 ἀναγκαίως P pr., corr. P¹ 29 φονῆι P 34 fort. τῷ παντὶ καὶ

p. 32ᵇ9 Διὰ τὸ μὴ ἀεὶ εἶναι ἄνθρωπον. δύο αἴτια τοῦ τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον μὴ ἐκβαίνειν, ἢ τὸ ὑποκείμενον μὴ ὂν ἢ τὸ κατηγορούμενον μὴ ὄν· πέφυκε γὰρ ἄνθρωπος ὡς ἐπὶ τὸ πολὺ ἐν γήρᾳ πολιοῦσθαι καὶ ἀκμάζειν καὶ παρακμάζειν· ἀλλὰ καὶ μειράκιον ὂν ἀπόλλυται, ἢ καὶ εἰς γῆρας ἐλθὼν οὐ πολιοῦται διά τινα ἰδιότητα κατὰ γένος.

p. 32ᵇ9 Ἢ ἐξ ἀνάγκης. πῶς ἐξ ἀνάγκης; ἢ ἐπὶ τῇ προσεχεστάτῃ ὕλῃ ἐξ ἀνάγκης τὸ εἶδος ἐπιγίνεται.

p. 32ᵇ10 Ἄλλον δὲ τὸ ἀόριστον. πρόσθες ἐν ὑπάρξει· τὸ γὰρ ὡς ἐπὶ τὸ πολὺ ἐν ἀνυπαρξίᾳ ἀόριστόν ἐστιν. | ὅτι δὲ τὸ ἀόριστον κατὰ τοῦ ἐπ᾽ ἴσης καὶ τοῦ **f.235ᵛ** ἐπ᾽ ἔλαττον φέρει, δηλοῖ τὰ παραδείγματα· τὸ μὲν γὰρ βαδίζειν τοῦ ἐπ᾽ ἴσης ἐστίν, ὁ δὲ σεισμὸς τοῦ ἐπ᾽ ἔλαττον.

p. 32ᵇ11 Ὃ καὶ οὕτω καὶ μὴ οὕτω δυνατόν. τοῦτο ἁρμόζει καὶ τῷ ἐπ᾽ ἔλαττον, ἀλλὰ καὶ τῷ ὡς ἐπὶ τὸ πολύ.

p. 32ᵇ13 Οὐδὲν γὰρ μᾶλλον οὕτως πέφυκεν ἢ ἐναντίως. τοῦτο διὰ το μᾶλλον μόνῳ τῷ ἐπ᾽ ἴσης ἁρμόζει.

Ὅτι τὸ ὡς ἐπὶ τὸ πολὺ πεφυκὸς καλεῖ διὰ τὸ περὶ αὐτὸ καταγίνεσθαι τὴν φύσιν καὶ τὴν αὐτὴν μιμουμένην τέχνην.

p. 32ᵇ14 Ἀντιστρέφει μὲν οὖν. αἱ ἐνδεχόμεναι, φησίν, ἀντιστροφαὶ ἐπὶ τῶν δύο ἐνδεχομένων προβαίνουσιν· καθόλου γὰρ τὸ ἐνδεχόμενον καὶ εἶναι δύναται καὶ μὴ εἶναι. τὸ δὲ διάφορον, ὅτι ἐπὶ μὲν τοῦ ὡς ἐπὶ τὸ πολὺ μᾶλλον ἡ κατάφασις ἀληθεύει, ἐπὶ δὲ τοῦ ἀορίστου ἢ ἐξ ἴσου ἢ μᾶλλον ἡ ἀπόφασις. πλήν, φησίν, αἱ σκέψεις τὸ ὡς ἐπὶ τὸ πολὺ ζητοῦσιν. ἔδει οὖν διὰ τοῦτο, Ἀριστότελες, μὴ παραλαβεῖν τὰς ἐνδεχομένας ἀντιστροφάς. τὸ πεφυκὸς εἶναι δύναται καὶ μὴ εἶναι διὰ μόνον τὸ μὴ ἐξ ἀνάγκης εἶναι· πολλὴν γὰρ ἔχει πρόσκλισιν πρὸς τὸ εἶναι· τὸ δὲ ἐπ᾽ ἴσης ὡς κέντρον ὂν ὑπάρξεως καὶ ἀνυπαρξίας· ἴσον γὰρ ἑκατέρας ἀπέχει. τὸ δ᾽ ἐπ᾽ ἔλαττον παρῆκεν διὰ τὸ ἄτακτον εἶναι τὸ μέσον· οὐδὲν γὰρ μᾶλλον τὸ μέσον τῷ μείζονι ὑπόκειται ἢ οὐχ ὑπόκειται, καὶ οὐδὲν μᾶλλον τοῦ ἐλάττονος κατηγορεῖται ἢ οὐ κατηγορεῖται· καὶ ἐπ᾽ ἔλαττον αἱ τέχναι τυγχάνουσι τοῦ τέλους, μᾶλλον ἀτεχνίαι εἰσὶν ἢ τέχναι.

p. 32ᵇ22 Οὐ μὴν εἴωθέ γε ζητεῖσθαι. δικαίως ἄρα οἱ Πλατωνικοὶ οὐ προσίενται τὰς ἐνδεχομένας ἀντιστροφάς· ζητοῦμεν γὰρ αὐτὰς διὰ τοὺς συλλογισμούς· οἱ δὲ συλλογισμοὶ ὑπὸ τεχνῶν ἢ ἐπιστημῶν προβάλλονται.

p. 32ᵇ23 Ταῦτα μὲν οὖν. ἐν γὰρ τῷ δευτέρῳ τῆς Φυσικῆς σαφέστερον διελεῖ τὸ ἐνδεχόμενον εἰς τὸ ὡς ἐπὶ τὸ πολὺ καὶ ἐπ᾽ ἴσης καὶ ἐπ᾽ ἔλαττον, καὶ διακρινεῖ τὰ περὶ αὐτὰ καταγινόμενα, ὅτι ὅπου μὲν φύσις καὶ τέχνη, ὅπου δὲ προαίρεσις, ὅπου δὲ τύχη καὶ αὐτόματον.

p. 32ᵇ24 Καὶ τίς. κατὰ τὸν τρόπον τοῦ συμπεράσματος.

p. 32ᵇ25 Ἐπεὶ δὲ τὸ ἐνδέχεσθαι | τόδε τῷδε ὑπάρχειν. ὅτι τὸ ἐνδέ- **f.236ʳ** χεσθαι παντὶ δύο σημαίνει· πάντως μὲν γὰρ ὑπάρχει τὸ Α τοῖς ὑπὸ τὸ Β διὰ τὸν ὅρον τοῦ κατὰ παντός, ἀλλ᾽ ἢ ἐνδεχομένοις μέρεσιν οὖσιν τοῦ Β ἢ ὑπάρχουσιν. καὶ τὸ μὲν πρῶτον εἰλήφθω νῦν, ἐπειδὴ περὶ τῶν ἐξ ἀμφοτέρων ἐνδεχομένων διαλεγόμεθα· τὸ δὲ δεύτερον περιμενέτω τὴν μῖξιν ἐνδεχομένου καὶ ὑπάρχοντος. ἵνα δὲ μῖξις ᾖ καὶ ἐνδεχομένου καὶ ἀναγκαίου, τὸ ἐνδεχόμενον παντὶ τρία σημαινέτω, ὅτι τὸ Α τοῖς ὑπὸ τὸ Β ὑπάρχει ἢ ἀναγκαίοις αὐτοῦ μέρεσιν οὖσιν ἢ ἐνδεχομένοις ἢ ὑπάρχουσιν· ἰσοδυ-

---

4 καὶ, quod post πολιοῦται in fine versus habet P, post ἀλλὰ transposui, quod et ipsum in fine versus est 9 et 10 ἐφίσης P 10 τοῦ scripsi: τὸ P 12 et 13 τῷ scripsi: τὸ P 21 ἢ ἐξ᾽ ἴσου scripsi: ἡ ἐξῆς (ῆς in ras.) οὔ P ἢ alt.] καὶ in mrg. P: fort. ἢ καὶ σκέψεις] ει in ras. P 22 παραλαβεῖν] ει in ras. P 24 πρόσκλησιν P 30 προσίενται scripsi cf. p. 51,34: προίενται P 32 ἐν γὰρ τῷ δευτέρῳ τῆς Φυσικῆς] c. 5. 6 33 διακρίνει P

ναμεῖ γάρ, φησίν, ἡ τὸ Α τῷ Β παντὶ κατηγορικὴ τῇ κατὰ πρόσληψιν καθ' οὗ τὸ Β. τὸ Α· τὸ δὲ Β μέρη ἔχει διάφορα, ὑπάρχοντα, ἀναγκαῖα, ἐνδεχόμενα. τὰ δὲ αὐτὰ καὶ ἐπὶ τῆς ὑπάρχει παντὶ καὶ ἐξ ἀνάγκης παντὶ ἁρμόσει.

p. 32ᵇ27 Τὸ γὰρ καθ' οὗ τὸ Β, τὸ Α ἐνδέχεσθαι ἀντὶ τοῦ ὑπάρχοντος ἀποστέον.

p. 32ᵇ34 Οὕτω γάρ. ἴσμεν τὸ συμπέρασμα, ὅτι ὁμοιοσχήμονες αἱ τοῦ αὐτοῦ τρόπου.

Α ΣΧΗΜΑ ΕΞ ΑΜΦΟΤΕΡΩΝ ΕΝΔΕΧΟΜΕΝΩΝ.

p. 32ᵇ38 Ὅταν οὖν τὸ Α καὶ τὰ λοιπὰ τοῦ πρώτου σχήματος. [Εἰπὼν ποσαχῶς ἐνδεχόμενόν ἐστιν καὶ ὁρισάμενος τὸ κυρίως ἐνδεχόμενον καὶ παραδοὺς τὰς ἐνδεχομένας ἀντιστροφάς, ὅτι αἱ καθόλου πρὸς ἀλλήλας καὶ τὰς διαγωνίους μερικάς, αἱ δὲ μερικαὶ πρὸς ἀλλήλας μόνον,] παραδοὺς τὰ σημαινόμενα τοῦ κυρίως ἐνδεχομένου, ὧν ἑκάστῳ βούλεται καὶ τὸν ὁρισμὸν τοῦ ἐνδεχομένου ἀντιστρέφειν, καὶ τὰς ἐνδεχομένας ἀντιστροφὰς καὶ τὴν νῦν τάξιν ὑφηγησάμενος, ὅτι μετὰ τὰς ἐνδεχομένας ἐν πρώτῳ σχήματι οὐ παραδίδωσι τὰς ἐνδεχομένας ἐν δευτέρῳ σχήματι ἀλλὰ πρῶτον τὴν μῖξιν ὑπάρχοντος καὶ ἐνδεχομένου ἐν πρώτῳ σχήματι, περὶ τῶν ἐξ ἀμφοτέρων ἐνδεχομένων συλλογισμῶν διαλέγεται. τούτοις δὲ ξένα τινὰ συμβέβηκεν· οὐ γὰρ ἔτι πάντες οἱ ἐν πρώτῳ σχήματι τέλειοι, ἀλλ' οἱ μὲν τέλειοι οἱ δ' ἀτελεῖς, καὶ ἐκ δύο ἀποφάσεων γίνεται, καὶ οὐκέτι τέσσαρες οἱ συλλογιστικοὶ τρόποι τοῦ πρώτου σχήματος ἀλλ' ὀκτώ· οἷον οὐκέτι δύο ἴδια τοῦ πρώτου σχήματος, τὸ τὴν μείζονα καθόλου εἶναι τὴν δ' ἐλάττονα | καταφατικήν, ἀλλ' ἓν μόνον, τὸ τὴν μείζονα καθόλου εἶναι. τῆς δ' αἰτίας f. 236ᵛ τούτων ἀπὸ τοῦ πρώτου ἀρξόμεθα διὰ τὴν συνέχειαν τοῦ λόγου τὸ πέρας τοῦ ὅτι ἀρχὴν τοῦ διότι ποιούμενοι. ἐπεὶ τοίνυν δέδεικται ὅτι ἐπὶ τοῦ ἐνδεχομένου κατὰ τὰς ἐνδεχομένας ἀντιστροφὰς αἱ μερικαὶ πρὸς ἑαυτὰς μόνας ἀντιστρέφουσιν, οὐκέτι δὲ πάντως καὶ πρὸς τὰς καθόλου, διὰ τοῦτο ἡ μὲν ἐλάττων, κἂν ἀπόφασις ᾖ, εἰς κατάφασιν μεταβάλλει καὶ συλλογιστικὴ γίνεται· ἡ δὲ μείζων ἐὰν ᾖ μερική, οὐ μεταβάλλει εἰς καθόλου, καὶ διὰ τοῦτο οὐ γίνεται συλλογισμός. καὶ τέλειοι μέν εἰσιν οἱ τὴν ἐλάττονα καταφατικὴν ἔχοντες ὡς διὰ μόνου τοῦ κατὰ παντὸς καὶ κατὰ μηδενὸς δεικνύμενοι· ἀτελεῖς δὲ οἱ τὴν ἐλάττονα ἀποφατικὴν ἔχοντες ὡς ἐνδεχομένης ἀντιστροφῆς δεόμενοι. ὀκτὼ δέ εἰσι συλλογισμοὶ τοῦ πρώτου σχήματος, ἐπειδὴ τῆς μείζονος καθόλου οὔσης ἡ ἐλάττων ἢ καθόλου ἐστὶν ἢ μερική, καὶ ἑκατέρως τετραχῶς παρὰ τὸ ποιόν. καὶ ταῦτα μὲν περὶ τῶν συλλογιστικῶν τρόπων.

Ἀσυλλόγιστοι δὲ πάντες οἱ τὴν μείζονα μερικὴν ἔχοντες· ἐπεὶ γὰρ ὑπερέχεται τὸ Α ὑπὸ τοῦ Β (τὸ γὰρ Α τινὶ τῷ Β ὑπάρχει), ὑπερεχέσθω τὸ Α ὑπὸ τοῦ Β τῷ Γ· τὸ δὴ Α τῷ Γ οὐδενὶ ἐξ ἀνάγκης ὑπάρχει· οἷον λευκόν, κινούμενον, κόραξ. εἰ δὲ τὸ Α οὐδενὶ τῷ Γ ἐξ ἀνάγκης, οὐδὲν ἐνδεχόμενον συνάγεται, οὐ τὸ παντί, οὐ τὸ οὐδενί, οὐ τὸ τινί, οὐ τὸ οὐ παντί, καὶ διὰ τοῦτο ἀσυλλόγιστος ἡ συζυγία· εἰ γὰρ ἦν συλλογιστική, ἐξ ἀμφοτέρων ἐνδεχομένων οὖσα ἐνδεχόμενον συνῆγεν, ὥσπερ ἐξ ἀμφοτέρων ὑπαρχουσῶν ὑπάρχον καὶ ἐξ ἀμφοτέρων ἀναγκαίων | ἀναγκαῖον. καὶ τί λέγω τὴν τοιαύτην f. 237ʳ συζυγίαν μηδὲν συνάγειν ἐνδεχόμενον; καθόλου γὰρ οὐδὲν συνάγει, οὐ τὸ ἐνδεχόμενον, οὐ τὸ ὑπάρχον, οὐ τὸ ἀναγκαῖον, ἐπειδὴ συνάγει τὸ μὲν ἐξ ἀνάγκης παντὶ

---

2 τῶ A (sic) P 4 τῶι A P 6 οὕτω Arist.: οὐ P 12 ante παραδοὺς eras. 1 litt. P 20 fort. καὶ οὐκέτι 23 διότι scripsi: δ' ὅτι P 32 συλλογιστικῶν scripsi cf. vs. 19: συλλογισμῶν P 34 ὑπερεχέσθω scripsi: ὑπαρχέσθω P

οὕτως· λευκόν, περιπατοῦν, κύκνος· τὸ δὲ ἐξ ἀνάγκης οὐδενὶ λευκόν, περιπατοῦν, κόραξ· καὶ ᾗ μὲν τὸ ἐξ ἀνάγκης παντὶ συνάγει, οὐδεμία ἀπόφασις συνάγεται, οὐκ ἐνδεχομένη, οὐκ ἀναγκαία, οὐχ ὑπάρχουσα· ᾗ δὲ τὸ ἐξ ἀνάγκης οὐδενί, οὐδεμία τῶν αὐτῶν καταφάσεων. ἐπεὶ οὖν, εἰ συνῆγεν, ἢ κατάφασιν συνῆγεν ἢ ἀπόφασιν, καὶ καθ᾽ ἑκάτερον τούτων ἢ ἐνδεχομένως ἢ ὑπαρχόντως ἢ ἀναγκαίως, δέδεικται δὲ μηδὲν τούτων συνάγουσα, ἀσυλλόγιστος ἄρα ἐστίν. ζητητέον δὲ μὴ ὅσον ἐπὶ τοῖς ἐκτεθεῖσιν ὅροις οὐ γίνεται συλλογισμὸς οὐδεὶς ἐξ ἀμφοτέρων ἐνδεχομένων ἐν πρώτῳ σχήματι. εἰ δ᾽ αἱ ἐνδεχόμεναι ἀντιστροφαὶ οὐ παραδεκτέαι εἰσὶν ὡς μὴ φυλάττουσαι τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον, δῆλον ὡς οὐδὲ τὰς περὶ τοῦ πρώτου σχήματος ἐννοίας μετακινήσουσι Θεόφραστος καὶ Εὔδημος καὶ οἱ ἀπὸ Πλάτωνος· διὰ γὰρ τὰς ἐνδεχομένας ἀντιστροφὰς καὶ ἀτελεῖς ἦσαν ἐν πρώτῳ σχήματι καὶ συλλογιστικοὶ τὴν ἐλάττονα ἀποφατικὴν ἔχοντες καὶ ὀκτὼ τὸν ἀριθμόν.

p. 32ᵇ40 Ἐκ τοῦ ὁρισμοῦ τοῦ κατὰ παντός, οὐ τοῦ ἐνδεχομένου, ἐκ τοῦ ὁρισμοῦ τοῦ ἐνδέχεσθαι παντί.

p. 33ᵃ29 Τῇ δὲ θέσει ὁμοίως ἔχωσιν, ἵνα πάλιν ἡ μὲν μείζων καθόλου, ἡ δὲ ἐλάττων μερικὴ ᾗ. ὅτι τῶν ὀκτὼ τρόπων παρῆκε τὸν ἔχοντα τὴν μείζονα καθόλου ἀποφατικὴν τὴν δ᾽ ἐλάττονα μερικὴν ἀποφατικήν.

p. 33ᵃ40 Τούτῳ γὰρ οὔτε παντί. πᾶν γὰρ ἐνδεχόμενον, καθόλου, μερικόν, καταφατικόν, ἀποφατικόν, ἀναιρεῖται διὰ τοῦ ἐξ ἀνάγκης μηδενί.

p. 33ᵇ3 Ἔτι δὲ καὶ ἐκ τῶν ὅρων φανερόν. δεύτερον ἐπιχείρημα τοῦ πρώτου καθολικώτερον τοῦ ἀσυλλογίστους εἶναι τοὺς ἔχοντας τὴν μείζονα μερικήν.

p. 33ᵇ18 Φανερὸν δ᾽ ὅτι ἐν πρώτῳ σχήματι αἱ ἐξ ἀμφοτέρων ἐνδεχομένων αἱ ἐξ ἀμφοτέρων καθόλου πᾶσαι συλλογιστικαί εἰσιν.

p. 33ᵇ21 Δεῖ δὲ τὸ ἐνδέχεσθαι. οὐ ῥητέον τὸ λευκὸν ἐνδέχεσθαι παντὶ ζῴῳ, ἐπειδὴ τὸ λευκὸν τινὶ | ζῴῳ ἐξ ἀνάγκης ὑπάρχει, οἷον κύκνῳ, καὶ τινὶ ζῴῳ ἐξ f. 237ᵛ ἀνάγκης οὐχ ὑπάρχει, οἷον κόρακι· εἰ μὴ μόνον αἱ ἀποφάσεις ταῖς καταφάσεσιν ἀντιστρέφουσι κατὰ τὴν ἐνδεχομένην ἀντιστροφὴν ἀλλὰ καὶ ἀνάπαλιν, οὐδὲν μᾶλλον αἱ ἀσυλλόγιστοι συλλογιστικαί εἰσιν ἢ ἔμπαλιν. ἢ ἀπόφασιν εἰς κατάφασιν χρὴ μεταβαλεῖν, ἐπειδὴ πᾶσαι ἔργῳ καταφάσεις εἰσὶν τοῦ τρόπου μείναντος ἀκεραίου.

ΜΙΞΙΣ ΕΝΔΕΧΟΜΕΝΟΥ ΚΑΙ ΥΠΑΡΧΟΝΤΟΣ ΕΝ Α ΣΧΗΜΑΤΙ.

p. 33ᵇ25 Ἐὰν δ᾽ ἡ μὲν ὑπάρχειν ἡ δ᾽ ἐνδέχεσθαι λαμβάνηται. Μίξεως γινομένης ἐνδεχομένου καὶ ὑπάρχοντος ἐν πρώτῳ σχήματι δόγματα τοῦ Ἀριστοτέλους ταῦτα· τελείους εἶναι τοὺς ἔχοντας τὴν μείζονα ἐνδεχομένην, ἀτελεῖς δὲ τοὺς ἔχοντας τὴν ἐλάττονα ἐνδεχομένην· οὗτοι γάρ, εἰ μὲν ἡ ἐλάττων ἐνδεχομένη ἀπόφασις ᾗ, ἐνδεχομένης ἀντιστροφῆς δέονται· εἰ δὲ καταφατική, διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς δείκνυνται. δεύτερον δόγμα· εἰ μὲν ἡ μείζων ἐνδεχομένη ᾗ ἢ ὑπάρχουσα καταφατική, ἐνδεχόμενον συνάγεται τὸ ὁρισμοῦ ἠξιωμένον· εἰ δὲ ἡ μείζων τύχῃ ὑπάρχουσα ἀποφατική, οὐκέτι τὸ ὁρισθὲν ἐνδεχόμενον συνάγεται ἀλλὰ τὸ ἐξ ἡμισείας ἀναγκαῖον. τί

---

4 ἢ κατάφασιν — ἢ ἀπόφασιν scripsi: ἡ κατάφασις — ἡ ἀπόφασις P 6 ὅσον scripsi cf. p. 54,42: ὃς P 20 φανερόν] ό ex ω corr. P¹ 25 τὸ scripsi: τῶι P 28 χρὴ in ras. P¹ 35. 36 δείκνυνται] ν alt. superscr. P¹ 37 ὁρισμοῦ] υ parum liquet P

δ᾽ ἐστὶν τοῦτο, ἔκεισε μαθησόμεθα. ἀλλ᾽ ἐπεὶ ἐν ταῖς εἰς ἀδύνατον ἀπαγωγαῖς ὑποθέμενος τὸ ἀντικείμενον τοῦ δεικνυμένου προσπλέκει τούτῳ ἄλλην ψευδῆ πρότασιν, ἢ τὸ ἐνδεχόμενον εἰς ὑπάρχον μεταλαμβάνων ἢ ἔμπαλιν, καὶ ἄδηλον τίνι ἠκολούθησε τὸ ψεῦδος συμπέρασμα, εἰ τῷ ἀντικειμένῳ τοῦ προκειμένου ἢ τῇ μεταλήψει τοῦ ἐνδεχομένου καὶ ὑπάρχοντος, δείκνυσι διὰ τοῦτο ὅτι δυνατῷ δυνατὸν ἕπεται καὶ οὐδέποτε ἀδύνατον, ἵνα διὰ τοῦτο μὴ ἐπιγράψωμεν τὴν αἰτίαν τοῦ ἀδυνάτου τῇ μεταλήψει τοῦ ἐνδεχομένου καὶ τοῦ ὑπάρχοντος (δυνατὴ γὰρ αὕτη· τὸ δὲ συναχθὲν ἀδύνατον· δυνατῷ δ᾽ ἀδύνατον οὐκ ἀκολουθεῖ), ἀλλὰ τῷ ἀντικειμένῳ τοῦ προκειμένου. καὶ πρὸς πᾶσαν δ᾽ εἰς ἀδύνατον ἀπαγωγὴν συμβάλλεται τὸ λῆμμα τοῦτο | καὶ πρὸς τὴν κατασκευὴν f. 238ᵃ τοῦ ὁρισμοῦ τοῦ ἐνδεχομένου. τοῦ Α τοίνυν ὄντος ἔστω πάντως τὸ Β· καὶ ἔστω τὸ Α δυνατόν· λέγω ὅτι καὶ τὸ Β δυνατόν ἐστιν· εἰ γὰρ δυνατόν, ἔστω ἀδύνατον· ἐπεὶ οὖν τὸ Α δυνατόν, ὑποκείσθω ἐκβεβηκός· καὶ ἐπεὶ τοῦ Α ὄντος τὸ Β ἐστίν, τότε ἄρα καὶ τὸ Β ἐστίν· ἀλλὰ καὶ οὐκ ἔστιν ὡς ἀδύνατον καθ᾽ ἑαυτό· ὅπερ ἀδύνατον. πρὸς τὴν δεῖξιν ταύτην ἀντειπεῖν οἱ Στωικοὶ μὴ δυνάμενοι διὰ παραδειγμάτων ἀποροῦσιν οὕτως· εἰ τέθνηκε Δίων, ⟨τέθνηκεν οὗτος⟩· καὶ τὸ μὲν τεθνάναι Δίωνα δυνατόν· τὸ δὲ τεθνάναι τοῦτον δεικνύμενον ὡς ζῶντα ἀδύνατον. ὅμοιον τούτῳ καὶ ʽεἰ νύξ ἐστιν, αὕτη ἡμέρα οὐκ ἔστιν· καὶ τὸ μὲν πρῶτον δυνατόν· τὸ δὲ δεύτερον ἀδύνατον᾽. ἢ ἐπὶ πλέον τὸ ἡγούμενον τοῦ ἑπομένου· τὸ μὲν γὰρ τεθνάναι Δίωνα ἀληθὲς καὶ ἐπὶ παρόντος Δίωνος καὶ ἐπὶ ἀπόντος· τὸ δὲ τεθνάναι τοῦτον ἐπὶ μόνου παρόντος. λέγε οὖν ʽεἰ τέθνηκεν οὗτος, τέθνηκε Δίων᾽, καὶ ἀδυνάτῳ δυνατὸν ἕπεται, ὡς καὶ ἐξ ἀδυνάτων προτάσεων ἀναγκαῖον συνάγεται, καὶ τῷ ἵππον εἶναι Σωκράτη ἕπεται τὸ καὶ ζῷον εἶναι.

Ἐὰν δ᾽ ἡ μὲν ὑπάρχειν ἡ ὑπάρχειν ἢ δ᾽ ἐνδέχεσθαι. οἱ τὴν μείζονα ἐνδεχομένην ἔχοντες συλλογισμοὶ τέλειοί εἰσιν, οἱ δὲ τὴν μείζονα ὑπάρχουσαν ἀτελεῖς· ἢ γὰρ δι᾽ ἀντιστροφῆς δείκνυνται, ὅτε ἡ ἐλάττων ἐνδεχομένη ἀποφατική ἐστιν, ἢ δι᾽ ἀδυνάτου, ὅτε ἡ ἐλάττων ἐνδεχομένη καταφατική ἐστιν. καὶ οἱ στερητικοὶ τῶν συλλογισμῶν, τουτέστιν οἱ τὴν μείζονα ὑπάρχουσαν ἀποφατικὴν ἔχοντες, τὸ ἐξ ἡμισείας ἀναγκαῖον συνάγουσιν. εἰ δ᾽ ἡ μείζων ἐνδεχομένη ἢ ὑπάρχουσα καταφατική, τὸ ὁρισθὲν ἐνδεχόμενον συνάγεται.

p. 34ᵃ12 Δεῖ δὲ λαμβάνειν ἐν τῇ γενέσει δυνατὸν τὸ κυρίως ἐνδεχόμενον, ἐν δὲ τῷ ἀληθεύεσθαι τὸ ἀναγκαῖον, ἐν δὲ τῷ ὑπάρχειν τὸ ὑπάρχον.

p. 34ᵃ14 Ὁσαχῶς ἄλλως λέγεται. διὰ τὸ ὡς ἐπὶ τὸ πολὺ καὶ ἐπ᾽ ἴσης καὶ ἐπ᾽ ἔλαττον. καθόλου οὖν παντὶ δυνατῷ, ἐνδεχομένῳ, ὑπάρχοντι, ἀναγκαίῳ, δυνατὸν ἕπεται.

p. 34ᵃ16 Ἔτι τὸ ὄντος τοῦ Α τὸ Β εἶναι. ἐπειδὴ δεικνὺς ὅτι δυνατῷ δυνατὸν ἕπεται ὑπέθετο τῷ Α τὸ Β ἕπεσθαι, | νῦν, φησίν, δεῖ ἄμφω τὰς προτάσεις Α νοεῖν, Β f. 238ᵇ δὲ τὸ συμπέρασμα· ἐκ δυνατῶν γὰρ δυνατόν. ἀλλ᾽ εἰ δυνατῷ δυνατὸν ἕπεται, πῶς ἐξ ἐνδεχομένων ἀναγκαῖον συνάγεται; ἢ τότε οὐκ ἔστιν ὁ μέσος ὅρος αἴτιος τοῦ συμπεράσματος ἀλλ᾽ ἡ φύσις τῶν ἄκρων.

p. 34ᵃ17 Οὐ γάρ ἐστιν οὐδὲν ἐξ ἀνάγκης ἑνός τινος ὄντος. διὰ κατηγορικοῦ συλλογισμοῦ προσυπάκουσον, ἐπεὶ ἡλίου ὑπὲρ γῆν ὄντος ἡμέρα ἐστὶν πάντως.

p. 30ᵃ25 Τούτου δὲ δειχθέντος. τὴν εἰρημένην ἐν τῇ θεωρίᾳ χρείαν τοῦ λήμματος διδάσκει.

p. 34ᵃ34 Διωρισμένων δὲ τούτων. μετὰ τοὺς τελείους, τουτέστιν τοὺς ἔχοντας τὴν μείζονα ἐνδεχομένην, τοὺς ἀτελεῖς διδάσκει, τουτέστιν τοὺς ἔχοντας τὴν ἐλάττονα ἐνδεχομένην, καὶ πρῶτον τοὺς δι᾽ ἀδυνάτου δεικνυμένους, τουτέστιν τοὺς ἔχοντας τὴν ἐλάττονα ἐνδεχομένην καταφατικήν. ὑπαρχέτω γὰρ τὸ Α παντὶ τῷ Β· τὸ δὲ Β παντὶ τῷ Γ ἐνδεχέσθω· λέγω ὅτι τὸ Α παντὶ τῷ Γ ἐνδέχεται. εἰ γὰρ μή, ἐξ ἀνάγκης οὐ

---

3 τίνι scripsi: τί P 4 εἰ τῷ scripsi: ἢ τὸ P 15 τέθνηκεν οὗτος addidi cf. Alex. p. 177,28 sq. 22 οἵ ante ras. P 35 τῷ Α τὸ scripsi cf. vs. 10: τὸ Α τῶι P νοεῖν scripsi: νοσεῖν P supra Β alt. scriptum ζτ P

παντί· καὶ ἐπεὶ τὸ Β τῷ Γ ἐνδέχεται παντί, καὶ ὑπαρχέτω παντί· ἐπεὶ οὖν τὸ Α τῷ Γ ἐξ ἀνάγκης οὐ παντί, τὸ δὲ Β τῷ Γ ὑπάρχει παντί, γίνεται ὁ πέμπτος τρόπος τοῦ τρίτου σχήματος ἐκ τῆς μίξεως τοῦ ὑπάρχοντος καὶ τοῦ ἀναγκαίου, ἐν ᾧ τρόπῳ τῇ χείρονι ἕπεται τὸ συμπέρασμα· τὸ Α ἄρα τῷ Β οὐ παντὶ ὑπάρχει· ὑπόκειται δὲ καὶ παντὶ ὑπάρχειν· ὅπερ ἀδύνατον. ἐπεὶ οὖν ψεῦδος ἅμα καὶ ἀδύνατον συνῆκται, οὐ δήπου τὴν αἰτίαν αὐτοῦ ἐπιγράψομεν τῇ ΒΓ (αὕτη γὰρ ψευδὴς καὶ δυνατή) ἀλλὰ τῇ ΑΓ. οὐκοῦν εἰ ἀδύνατον τὸ Α τῷ Γ ἐξ ἀνάγκης οὐ παντί, τὸ Α ἄρα τῷ Γ ἐνδέχεται παντί· ὅπερ ἔδει δεῖξαι. ἀλλ᾽ οὐκ ἀδύνατον, φασί, τὸ Α τῷ Β ὑπάρχειν παντὶ καὶ μὴ παντὶ ὑπάρχειν· τοιοῦτον γὰρ τὸ ὑπάρχον· ἀλλὰ ψεῦδος μόνον, ὥσπερ εἶχε καὶ ἡ ΒΓ. ἢ ἐπὶ μὲν τῆς ΒΓ τὸν χρόνον μεταβάλλομεν, ἐπὶ δὲ τῆς ΑΒ οὔ· ἀδύνατον δ᾽ ἐν τῷ αὐτῷ χρόνῳ τὸ αὐτὸ τῷ αὐτῷ καὶ παντὶ καὶ οὐ παντί ὑπάρχειν. δείκνυσι δὲ τὸν τρόπον τοῦτον καὶ ἄμφω τὰς προτάσεις | μεταβαλών, τὴν μὲν ΒΓ ἐνδεχομένην εἰς f. 239ᶜ
ὑπάρχουσαν, τὴν δὲ ΑΒ ὑπάρχουσαν εἰς ἐνδεχομένην· δέδεικται γὰρ νῦν, ὅτε ἡ μείζων ἐνδεχομένη ᾖ, ἐνδεχόμενον τὸ συμπέρασμα. ἀλλ᾽ ὅσον ἐπὶ τῇ ἀγωγῇ ταύτῃ, καὶ ὅτε ἡ μείζων ὑπάρχουσα ἀποφατική ἐστιν, ἐνδεχόμενον συνάγεται. τί δὲ κωλύει καὶ νῦν τῷ κατὰ παντὸς χρήσασθαι καὶ τέλειον ποιεῖν τὸν συλλογισμόν; εἰ γὰρ ὅτι οὔπω γέγονεν μέρος τὸ Γ τοῦ Β, ἀλλὰ καὶ πάλαι οὔπω μέρος ἦν τὸ Β τοῦ Α.

p. 34ᵇ3 Ποιῆσαι τὸ ἀδύνατον. οὐκ ἔστιν αὕτη κυρίως εἰς ἀδύνατον ἀπαγωγή· οὐ γὰρ μέρος γέγονε τοῦ συλλογισμοῦ ἡ ὑπόθεσις τοῦ ἀντικειμένου· καὶ οὕτως ἔστιν πᾶσαν ἐπ᾽ εὐθείας δεῖξιν εἰς ἀδύνατον λέγειν.

p. 34ᵇ7 Δεῖ δὲ λαμβάνειν. οὐ δεῖ τὴν ὑπάρχουσαν πρότασιν, φησίν, ἐξ ὑπο-| θέσεως ἀληθεύειν, οἷον ἄνθρωπος παντὶ κινουμένῳ ὑπαρχόντως (τοῦτο γὰρ ἀληθές, f. 239ᵛ
ἔστ᾽ ἂν μόνοι ἄνθρωποι κινῶνται), ἐπεὶ οὐκ ἔστι συλλογισμός· συνάγεται γὰρ καὶ τὸ οὐδενὶ ἐξ ἀνάγκης καὶ τὸ παντὶ ἐξ ἀνάγκης, ὡς διὰ τῶν ὅρων ἀπέδειξεν. οὐ προσιέμεθα δὲ τὴν ἐξήγησιν ταύτην· οἶδε γὰρ ὁ Ἀριστοτέλης διαφορὰν ὑπαρχόντος καὶ ἀναγκαίου. ἕτεροι τὸ αὐτὸ ἐξηγοῦνται οὕτως· οὐ δεῖ τὸ ἀληθὲς τῆς ὑπαρχούσης τῷ χρόνῳ ὁρίζεσθαι τῆς ἐνδεχομένης καὶ ἀληθεύειν τὴν ὑπάρχουσαν, ἔστ᾽ ἂν ἡ ἐνδεχομένη μὴ γένηται ὑπάρχουσα, ὥσπερ νῦν· ἄνθρωπος γὰρ παντὶ κινουμένῳ ὑπάρχει, ἔστ᾽ ἂν ἐνδέχηται κινούμενον παντὶ ἵππῳ· εἰ δὲ καὶ κινούμενον παντὶ ἵππῳ ὑπάρχει, οὐκέτι ἄνθρωπος παντὶ κινουμένῳ. οὐ δεῖ δὲ τὸ ἀληθὲς τῆς ὑπαρχούσης τῷ χρόνῳ τῆς ἐνδεχομένης κρίνεσθαι, ἐπεὶ οὐκ ἔστι συλλογισμός· καὶ γὰρ τὸ οὐδενὶ καὶ τὸ παντὶ ἐξ ἀνάγκης συνάγεται. καὶ διὰ τοῦτο καὶ προσεχῶς ἔλεγεν ὁ Ἀριστοτέλης ὅτι ἄτοπον τὸ αὐτὸ τῷ αὐτῷ καὶ παντὶ ὑπάρχειν πρὸ τῆς ἐκβάσεως τοῦ ἐνδεχομένου καὶ οὐ παντὶ μετὰ τὴν ἔκβασιν ἐνδεχομένου. οὐδὲ ταύτην προσιέμεθα τὴν ἐξήγησιν· οἱ γὰρ ἐν τῇ λέξει δεύτεροι ὅροι οὐ συνᾴδουσιν αὐτῇ· οὐδὲ γὰρ ἐν αὐτοῖς τὸ ἀληθὲς τῆς ὑπαρχούσης τῷ χρόνῳ τῆς ἐνδεχομένης κρίνεται. μήποτε οὖν τὸ λεγόμενόν ἐστιν, ὅτι δεῖ ἐν τῇ ὑπαρχούσῃ προτάσει τὸ κατηγορούμενον πεφυκέναι ὅλῳ τῷ ὑποκειμένῳ ὑπάρχειν, οἷον περιπατοῦν παντὶ ἀνθρώπῳ, ἵνα πρὸς μόνον τὸ ἐκβεβηκέναι ὑποθέσεως δεώμεθα, οὐχὶ δὲ καὶ πρὸς τὸ ὑπάρχειν, ὡς ἐπὶ τοῦ ἄνθρωπος παντὶ κινουμένῳ ἢ ζῷον παντὶ κινουμένῳ. τούτων προσληφθέντων τὸ Α οὐδενὶ τῷ Β ὑπαρχόντως, τὸ Β παντὶ τῷ Γ ἐνδεχομένως· λέγω ὅτι τὸ Α οὐδενὶ τῷ Γ ἐνδεχομένως. εἰ γὰρ τοῦτο ψεῦδος, τὸ Α τῷ Γ ἀνάγκη τινί· καὶ ἐπεὶ τὸ Β τῷ Γ ἐνδεχομένως παντί, μὴ μενέτω ἐνδεχομένη ἡ ΒΓ πρότασις (οὔπω

---

1 ὑπαρχέτω scripsi: ὑπάρχει P 6 ἐπιγράψωμεν P ad 10 in mrg. ascr. τὸ ἐνδεχόμενον εἰ (l. ἢ) μήπω ὄν εἰς ὑπάρχον μεταβάλλοντες P 14 fort. ἦν ὅσον scripsi: ὅσαι P 15 ἀποφατική] τ ex στ corr. P 17 τοῦ prius ex τῶν corr. in ras. P 20 ἐπευθεῖαν P 23 inter μόνοι et ἄνθρ. ras. P κινοῦνται P fort. ἔσται ut p. 34ᵇ10; sed cf. vs. 31 27 ἡ scripsi: ἦι P 28 ἐνδέχεται P 29 ἄνθρωπος scripsi: ἄνθρωπον P 34 ⟨τοῦ⟩ ἐνδ. conicio προσιέμεθα scripsi cf. vs. 24. 25: προϊέμεθα P 39 τὸ scripsi: τῶι P ἄνθρωπος scripsi: ἀνθρώπου P 40 an προληφθέντων? ἐνδεχομένως scripsi: ἐνδεχομένωι P itemque vs. 41

γὰρ ἴσμεν τὴν μῖξιν ἀναγκαίου καὶ ἐνδεχομένου), | ἀλλὰ γινέσθω ὑπάρχουσα διὰ f. 240r
τὸν ὁρισμὸν τοῦ ἐνδεχομένου· ἐπεὶ οὖν τὸ Α τῷ Γ ἀνάγκῃ τινί, τὸ δὲ Β τῷ Γ ὑπάρχει παντί, ἐν τρίτῳ ἄρα σχήματι, ἐν ᾧ τῇ μὴ ἀντιστρεφομένῃ ἕπεται τὸ συμπέρασμα δι' ἀντιστροφῆς τῆς ἀποδείξεως γινομένης, τὸ Α τῷ Β ὑπάρχει τινί· ἀλλὰ καὶ οὐδενί· ὅπερ ἀδύνατον· οὐκ ἄρα τὸ Α τῷ Γ ἀνάγκῃ τινί· ἐνδέχεται ἄρα οὐδενί· ὅπερ προέκειτο δεῖξαι. πλήν, φησίν, οὐ τὸ διορισθὲν ἐνδεχόμενον συνάγεται ἀλλὰ τὸ ἐξ ἡμισείας ἐνδεχόμενον καὶ τὸ ἐξ ἡμισείας ἀναγκαῖον, ὅπερ καλεῖ οὐδενὶ ἐξ ἀνάγκης διὰ τὸ ἀληθεύεσθαι καὶ κατὰ τοῦ ἐξ ἀνάγκης οὐδενὶ καὶ κατὰ τοῦ ἐνδέχεσθαι μηδενί. ἡ γὰρ ἐνδέχεται οὐδενί, φησίν, συναληθεύει τῇ ἐνδέχεται παντί· καὶ τῇ μὲν ἐνδέχεται οὐδενὶ ἀντίκειται ἡ ἐξ ἀνάγκης τινί, τῇ δ' ἐνδέχεται παντὶ ἡ ἐξ ἀνάγκης οὐ παντί· ὥστε καὶ τῇ ἐνδέχεται οὐδενὶ ἄμφω ἅμα ἀντιφατικῶς μάχονται, δι' αὐτὴν μὲν τὴν ἐνδέχεται οὐδενὶ ἡ ἐξ ἀνάγκης τινί, διὰ δὲ τὴν ἐνδέχεται παντὶ ἡ ἐξ ἀνάγκης οὐ παντί· καὶ γὰρ οὐκ ἀληθὲς ἢ ἐνδέχεται οὐδενὶ ἢ ἐξ ἀνάγκης τινί, ἐπειδὴ ψευδῆ ἀμφότερα κατὰ τοῦ πάντα ἄνθρωπον πτερωτὸν εἶναι. δεῖ οὖν τὸν μέλλοντα εἰσαγαγεῖν τὸ ἐνδέχεται μηδενὶ ἄμφω τὰ ἀντικείμενα ἀνελεῖν, τὸ ἐξ ἀνάγκης τινὶ καὶ τὸ ἐξ ἀνάγκης οὐ παντί. νῦν δὲ τῷ ἐξ ἀνάγκης οὐ παντὶ οὐδὲν ἕπεται ἄτοπον· καὶ γὰρ ὁ πέμπτος τρόπος τοῦ τρίτου σχήματος, ἐν ᾧ τῇ χείρονι ἕπεται τὸ συμπέρασμα· καὶ διὰ τοῦτο τὸ Α τῷ Β ὑπάρχει οὐ παντί· ἦν δὲ καὶ οὐδενὶ ὑπάρχον· καὶ οὐδὲν ἄτοπον, ἀλλὰ καὶ ἀναγκαῖον. ἐπεὶ οὖν μόνον τὸ ἀνάγκῃ τινὶ ἀνῄρηται, οὐχὶ δὲ καὶ τὸ ἀνάγκῃ οὐ παντί, ἅπερ ἄμφω ἀντίκεινται τῷ ἐνδέχεται μηδενί, ἐξ ἡμισείας τὸ ἐνδεχόμενον ἀνῄρηται καὶ τὸ ἀναγκαῖον· καὶ διὰ τοῦτο ⟨τὸ⟩ συναγόμενον ἐξ ἡμισείας ἐστὶν ἐνδεχόμενον καὶ ἀναγκαῖον, ὅπερ καλεῖ οὐδενὶ ἐξ ἀνάγκης ὡς τοῦ τινὶ ἀνῃρημένου καὶ ὡς τοῦ οὐδενὶ ἐξ ἀνάγκης φερομένου καὶ κατὰ τοῦ ἐξ ἀνάγκης οὐδενὶ καὶ κατὰ τοῦ ἐνδέχεται μηδενί. οὐκ ἄρα | καλῶς λαμβά- f. 240v
νονται αἱ ἀντιφάσεις ἐν τῇ πραγματείᾳ ταύτῃ ἀντιτιθέντων ἡμῶν τρόπον τρόπῳ, ποσὸν ποσῷ, ποιὸν ποιῷ· τῇ γὰρ ἐνδέχεται οὐδενὶ οὐ μόνη ἀντιφάσκει ἡ ἀνάγκη τινὶ ἀλλὰ μετὰ τῆς ἀνάγκη οὐ παντί· καὶ αἱ δύο ἅμα ὡς μία, ἡ ἐνδέχεται παντὶ καὶ ἡ ἐνδέχεται οὐδενί, ταῖς δύο ἅμα ὡς μιᾷ ἀντιφάσκουσι, τῇ ἀνάγκη τινὶ καὶ τῇ ἀνάγκη οὐ παντί. οὐ γὰρ πᾶν ἢ ἐνδέχεται οὐδενὶ ἢ ἀνάγκη τινί· ἐπὶ γὰρ τοῦ πᾶς ἄνθρωπος πτερωτὸς ψεῦδος καὶ τὸ ἐνδέχεται οὐδενί (ἀναγκαίως γὰρ ὁ ἄνθρωπος οὐ πτερωτός) καὶ τὸ ἀνάγκη τινί. ὁμοίως οὐ πᾶν ἢ ἐνδέχεται παντὶ ἢ ἀνάγκη οὐ παντί· ἄμφω γὰρ ψευδῆ ἐπὶ τοῦ πᾶς ἄνθρωπος ζῷον.



p. 34ᵇ28 Αὕτη γὰρ ἡ ἀντίφασις. ἀντιφάσκει γὰρ τῷ ἐξ ἀνάγκης τινὶ τὸ οὐδενὶ ἐξ ἀνάγκης· οὐ γὰρ δι' ἀδυνάτου εἰσάγει τὸ ἀντικείμενον τῷ ἀναιρουμένῳ.

p. 34ᵇ32 Ἔστω γὰρ τὸ μὲν Α. οὐ καλῶς εἰλημμένοι εἰσὶν οἱ ὅροι· ἀναγκαίως γὰρ ὁ κόραξ, οὐχὶ δὲ ὑπαρχόντως οὐδενὶ διανοουμένῳ ὑπάρχει· καὶ ἡ ἐπιστήμη ἀναγκαίως οὐκ ἔστιν κινούμενον, εἰ μὴ ἄρα τὴν ἐπιστήμην ὡς ἐπιστήμονα λάβωμεν. καὶ μάλιστα διὰ τὸ πρῶτον ἔγκλημα ἐπάγει ληπτέον δὲ βέλτιον τοὺς ὅρους· οἷον λευκὸν παντὶ κύκνῳ ἐξ ἀνάγκης διὰ μέσου τοῦ κινουμένου, καὶ λευκὸν οὐδενὶ κόρακι ἐξ ἀνάγκης διὰ μέσου τοῦ αὐτοῦ.

p. 35ᵃ19 Ὅπερ ἐστὶν ἀληθές. καίτοι ψεῦδός ἐστιν, εἰ καὶ δυνατόν, τὸ ἐνδέχεται ὑπάρχον ὑποθέσθαι. ὅπερ οὖν ἀληθές ἐστιν δυνάμει, εἰ καὶ μὴ ἐνεργείᾳ.

---

2 B scripsi: A P 9 ἐνδέχεται alt.] τ in ras. P 13 ἡ—ἡ P 15 τῷ scripsi: τὸ P 16 fort. γίνεται γὰρ τρίτου scripsi: Ε P 21 τὸ addidi ἀναγκαῖον scripsi: ἀνάγκη P 22 τοῦ—τοῦ scripsi: τὸ—τὸ P 30 ὁμοίως scripsi: ὁμοίων P 38 εἰλημμένον P ἀναγκαῖος P

p. 35a23 Ὅροι δὲ κοινοί. καὶ νῦν ληπτέον βέλτιον τοὺς ὅρους· ἀναγκαίως γὰρ ζῷον χιόνι καὶ πίττῃ οὐχ ὑπάρχει. ληπτέον μέσον ὅρον ἐν ἀμφοτέραις ταῖς συζυγίαις τὸ κινούμενον.

p. 35a25 Ὅτι ἐπὶ τῶν ἐξ ἀμφοτέρων καθόλου τῆς ἐλάττονος ἐνδεχομένης οὔσης ἀεὶ γίνεται συλλογισμός. |

p. 35a28 Πλὴν ὁτὲ μὲν ἐξ αὐτῶν. καίτοι πάντες ἀτελεῖς εἰσιν οἱ ἔχοντες 241r τὴν ἐλάττονα ἐνδεχομένην. ἐξ αὐτῶν οὖν οὐχ ὡς τέλειοι ἀλλ' ὡς δεόμενοι τῆς κατὰ τὸ ποιὸν μεταβάσεως· εἰ μὲν ἡ ἐλάττων καταφατική, δι' ἀδυνάτου, εἰ δὲ ἀποφατική, πρότερον δι' ἀντιστροφῆς (πέφυκε γὰρ τὸ ἐνδεχόμενον καὶ ὑπάρχειν καὶ μὴ ὑπάρχειν), εἶτα δι' ἀδυνάτου, ἐπειδὴ καὶ ὁ καταφατικὸς συλλογισμός, ᾧ χρώμεθα.

p. 35a30 Ἐὰν δὲ τὸ μὲν καθόλου τὸ δ' ἐν μέρει. οἱ ἔχοντες τὴν μείζονα καθόλου ἐνδεχομένην τὴν δ' ἐλάττονα μερικὴν ὑπάρχουσαν καταφατικὴν τέλειοί εἰσιν· διὰ γὰρ τοῦ κατὰ παντὸς καὶ κατὰ μηδενὸς δείκνυνται· καὶ τὸ κυρίως ἐνδεχόμενον συνάγουσι.

p. 35a35 Ἐὰν δὲ καθόλου μέν. οἱ ἔχοντες τὴν μείζονα καθόλου ὑπάρχουσαν τὴν δ' ἐλάττονα μερικὴν ἐνδεχομένην ἀτελεῖς εἰσιν· εἰ μὲν γὰρ ἡ ἐλάττων καταφατικὴ ᾖ, δι' ἀδυνάτου δείκνυνται· εἰ δὲ ἀποφατική, πρῶτον δέονται τῆς ἀντιστροφῆς, εἶτα δι' ἀδυνάτου· τὸ γὰρ οἱ δὲ δι' ἀντιστροφῆς ἴσον τῷ ‹οἱ δὲ καὶ δι' ἀντιστροφῆς› καὶ ὡς ἐπὶ τοῦ καθόλου. καὶ εἰ ἡ μείζων ὑπάρχουσα ἀποφατικὴ ᾖ, τὸ ἐξ ἡμισείας ἀναγκαῖον καὶ ἐνδεχόμενον συνάγεται καὶ νῦν, ‹εἰ› δὲ ὑπάρχουσα καταφατική, τὸ κυρίως ἐνδεχόμενον.

p. 35b2 Ἔσται δὲ συλλογισμὸς δι' ἀντιστροφῆς. εἰ μὲν ἡ ἐλάττων ἐνδεχομένη μερικὴ ἀποφατικὴ ᾖ, ἔσται συλλογισμός· δύναται γὰρ μεταβάλλειν εἰς κατάφασιν· εἰ δὲ ὑπάρχουσα μερικὴ ἀποφατικὴ ᾖ, οὐκ ἔστι συλλογισμός· τὸ γὰρ οὐ παντὶ ἀληθεύει καὶ ἐπὶ τοῦ οὐδενί· τῆς δ' ἐλάττονος ὑπαρχούσης καθόλου ἀποφατικῆς οὔσης δέδεικται ὅτι οὐ γίνεται συλλογισμός.

p. 35b9 Ὅροι τοῦ μέν. ληπτέον καὶ νῦν βέλτιον τοὺς ὅρους· λευκὸν γὰρ τινὶ ζῴῳ ἐξ ἀνάγκης καὶ ἐξ ἀνάγκης οὐ παντὶ ζῴῳ· καὶ ζῷον ἐξ ἀνάγκης οὐδεμιᾷ κινήσει ἢ πίττῃ. εἰσὶν οὖν οἱ ὑγιεῖς ὅροι τοῦ παντὶ ἐξ ἀνάγκης κινούμενον, λευκόν, βαδίζον, τοῦ μηδενὶ ἐξ ἀνάγκης κινούμενον, λευκόν, ἑστός.

p. 35b15 Εἴτε ἐνδέχεσθαι λαμβάνουσαι | εἴτε ὑπάρχειν εἴτε ἐν- f. 241v αλλάξ. μόνον τὸ τρίτον οἰκεῖον τοῖς παροῦσι λόγοις, ἀλλ' ὡς φιλοκαθόλου καὶ τὰ πρῶτα δύο παρελάβομεν.

p. 35b20 Φανερὸν ὅτι τοῦ μὲν πρὸς τὸ μεῖζον ἄκρον καθόλου τεθέντος ἀεὶ γίνεται συλλογισμός τί οὖν, κἂν ἡ ἐλάττων ὑπάρχουσα ἀποφατικὴ ᾖ; ἢ τῆς ἐλάττονος καταφατικῆς οὔσης, τῆς δὲ μείζονος καταφατικῆς ‹ἢ ἀποφατικῆς› οὔσης, τῆς δὲ μείζονος καθόλου, ἀεὶ γίνεται συλλογισμός, ὡς ἂν ἔχῃ τὸ ὑπάρχον καὶ ἐνδεχόμενον ἐν τῇ τάξει.

ΜΙΞΙΣ ΕΝΔΕΧΟΜΕΝΟΥ ΚΑΙ ΑΝΑΓΚΑΙΟΥ.

p. 35b23 Ἐὰν δ' ἡ μὲν ἐξ ἀνάγκης ὑπάρχειν ἢ μὴ ὑπάρχειν, ἡ δ' ἐνδέχεσθαι. Ὀκτὼ γινομένων συζυγιῶν ἐξ ἀμφοτέρων καθόλου δύο μέν εἰσιν ἀσυλλόγιστοι, αἱ τὴν ἐλάττονα ἀναγκαίαν ἀποφατικὴν ἔχουσαι· ἀνίατον γὰρ τὸ ἁμάρτημα· ἐξ

---

1 ἀναγκαίως scripsi cf. p. 52, 21 n.: ἀνάγκη P 7 an δεόμενοι ‹μόνον›? 8 ἡ superscr. P 9 ἐνδέχεται P 18 τῷ scripsi: τὸ P 18. 19 fortasse ὡς καὶ ἐπὶ τῶν 20 εἰ addidi 24 ἔσται Arist. 34 οὖν ὅτι Arist. 35 τί scripsi cf. p. 63,20 71,8: τὸ P 36 ἢ ἀποφατικῆς addidi 40 ὑπάρχηι — ὑπάρχηι P

δὲ αἱ λοιπαὶ συλλογιστικαί. καὶ τούτων δύο μὲν τέλειοι, αἱ τὴν ἐλάττονα ἀναγκαίαν καταφατικὴν ἔχουσαι· τέσσαρες δὲ ἀτελεῖς, αἱ τὴν ἐλάττονα ἐνδεχομένην ἔχουσαι. καὶ τούτων δύο μὲν δι᾽ ἀδυνάτου δείκνυνται, αἱ τὴν ἐλάττονα ἐδεχομένην καταφατικὴν ἔχουσαι· δύο δὲ πρὸ τῆς εἰς ἀδύνατον δείξεως ἀντιστροφῆς δέονται, αἱ τὴν ἐλάττονα ἐνδεχομένην ἀποφατικὴν ἔχουσαι. καὶ τῶν συλλογιστικῶν δύο τὸ ἐξ ἡμισείας ἐνδεχόμενον καὶ ἀναγκαῖον συνάγουσι, τουτέστιν τὸ ὑπάρχον, οἱ ἔχοντες τὴν ἀναγκαίαν ἀποφατικὴν καὶ μείζονα πάντως· τέσσαρες δὲ τὸ κυρίως ἐνδεχόμενον, οἱ ἔχοντες τὴν ἀναγκαίαν καταφατικήν· ἢ γὰρ ἐξ ὁμοιοσχημόνων ἢ ἐξ ἀνομοιοσχημόνων, καὶ τούτων ἑκάτερον διχῶς παρὰ τὴν τάξιν τῶν τρόπων. καὶ ἁπλῶς ὅσα ἐποίει τὸ ὑπάρχον ἐν τῇ μίξει ἐνδεχομένου καὶ ὑπάρχοντος, τοσαῦτα ποιεῖ καὶ τὸ ἀναγκαῖον ἐν τῇ μίξει ἐνδεχομένου καὶ ἀναγκαίου. καὶ οἱ αὐτοί εἰσιν τρόποι κατὰ τὸ ἀναγκαῖον καὶ ἐνδεχόμενον καὶ ἐπὶ τῶν ἐξ ἀμφοτέρων καθόλου καὶ ἐπὶ τῶν ἐκ τῆς ἑτέρας καθόλου τέλειοί τε καὶ ἀτελεῖς καὶ τὸ κυρίως ἐνδεχόμενον ἢ τὸ ἐξ ἡμισείας συνάγοντες· διάφορον δὲ μόνον, ὅτι νῦν τὸ ἐξ ἡμισείας ἐνδεχόμενον ὑπάρχον ἐστίν. οἱ τὴν | ἐλάττονα ἐνδεχομένην ἔχοντες f. 242r ἀτελεῖς εἰσιν· ἀδιάφορον τὸ ἴδιον τῆς ἐλάττονος, ὅτε ἐνδεχομένη ἐστιν, εἰ δὲ ὑπάρχουσα, οὐκ ἀδιάφορον.

Δύο ἀσυλλόγιστοι, ⟨οἱ⟩ τὴν ἐλάττονα ἀναγκαίαν ἀποφατικὴν ἔχοντες καὶ ἓξ συλλογιστικοί, οἱ μὴ ἔχοντες τὴν ἐλάττονα ἀναγκαίαν ἀποφατικήν. καὶ τούτων ō ἀτελεῖς, οἱ ἔχοντες τὴν ἐλάττονα ἐνδεχομένην, πρῶτος, τρίτος, πέμπτος, ἕκτος, δι᾽ ἀδυνάτου πρῶτος, τρίτος, δι᾽ ἀντιστροφῆς πέμπτος, ἕκτος· δύο τέλειοι, οἱ ἔχοντες τὴν ἐλάττονα ἀναγκαίαν καταφατικήν, δεύτερος, τέταρτος. δύο τὸ ἐξ ἡμισείας ἀναγκαῖον συνάγουσιν, οἱ ἔχοντες τὴν ἀναγκαίαν ἀποφατικήν, τρίτος, ἕκτος· ō τὸ κυρίως ἐνδεχόμενον, οἱ ἔχοντες τὴν ἀναγκαίαν καταφατικήν, ὁ πρῶτος, δεύτερος, τέταρτος, πέμπτος.

Πρῶτος τρόπος. Τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης, τὸ Β παντὶ τῷ Γ ἐνδέχεται· ἀτελὴς ὁ συλλογισμὸς καὶ δι᾽ ἀδυνάτου, καὶ τὸ κυρίως ἐνδεχόμενον συνάγει. λέγω οὖν ὅτι τὸ Α παντὶ τῷ Γ ἐνδέχεται· εἰ γὰρ μὴ τοῦτο, ἀνάγκη τινὶ ἢ ἀνάγκη οὐ παντί· ἄμφω δὲ ἀδύνατον. ἔστω γὰρ πρῶτον τὸ Α τῷ Γ ἀνάγκη οὐ παντί· καὶ ἐπεὶ τὸ Β τῷ Γ ἐνδέχεται παντί, τὸ Β ἄρα τῷ Γ ὑπάρχει παντί· ἐπεὶ οὖν τὸ μὲν Α τῷ Γ ἀνάγκη οὐ παντί, τὸ δὲ Β τῷ Γ ὑπάρχει παντί, γίνεται ὁ πέμπτος τρόπος τοῦ τρίτου σχήματος, ἐν ᾧ τῇ χείρονι ἕπεται τὸ συμπέρασμα· τὸ Α ἄρα τῷ Β ὑπάρχει οὐ παντί· ἀλλὰ καὶ ἐξ ἀνάγκης παντί· ὅπερ ἀδύνατον. ἀλλὰ δὴ ὑποκείσθω τὸ Α τῷ Γ ἀνάγκη τινί· ἐπειδὴ τὸ Α τῷ Γ ἀνάγκη τινί, τὸ δὲ Β τῷ Γ ὑπάρχει παντί, ἐν τρίτῳ σχήματι τῇ μὴ ἀντιστρεφούσῃ ἕπεται τὸ συμπέρασμα, καὶ τὸ | Α τῷ Β ὑπάρχει τινί· ἀλλὰ f. 242v καὶ ἀνάγκη παντί· ὅπερ ἀδύνατον.

Δεύτερος τρόπος. τὸ Α παντὶ τῷ Β ἐνδέχεται, τὸ Β παντὶ τῷ Γ ἀνάγκη· τέλειος τὸ κυρίως ἐνδεχόμενον συνάγων διὰ τοῦ κατὰ παντός. οὐκ ἐχρησάμεθα δὲ τῷ κατὰ παντὸς καὶ πάλαι, ἐπειδὴ οὔπω ἦν γενόμενον μέρος τοῦ Β τὸ Γ ὥσπερ νῦν.

Τρίτος τρόπος. τὸ Α οὐδενὶ τῷ Β ἐξ ἀνάγκης, τὸ Β παντὶ τῷ Γ ἐνδέχεται· ἀτελὴς δι᾽ ἀδυνάτου τὸ ὑπάρχον συνάγων. εἰ γὰρ ψεῦδος τὸ ὑπάρχειν τὸ Α τῷ Γ οὐδενί, τὸ Α τῷ Γ ὑπάρχει τινί· ἀλλὰ καὶ τὸ Β τῷ Γ παντὶ ὑπάρχει· ἐν τρίτῳ σχήματι ἐξ ἀμφοτέρων ὑπαρχουσῶν τὸ Α τινὶ τῷ Β ὑπάρχει· ἀλλὰ καὶ ἐξ ἀνάγκης οὐδενί· ὅπερ ἀδύνατον. ἀλλ᾽ οὐχ᾽ ὑγιῶς ἐλήφθη ἡ ἀντίφασις· ἔμεινε γὰρ ὁ τρόπος, καὶ ὅσον ἐπὶ τῇ ἀγωγῇ ταύτῃ καὶ ἀνάγκη οὐδενὶ συνάγεται· εἰ γὰρ μὴ τὸ Α τῷ Γ ἀνάγκη οὐδενί, τὸ Α τῷ Γ ἀνάγκη τινί· ἀλλὰ τὸ Α καὶ τῷ Β ἀνάγκη οὐδενί· τὸ Β ἄρα τῷ Γ ἀνάγκη οὐ παντί· ἀλλὰ καὶ ἐνδέχεται παντί· ὅπερ ἄτοπον. τὸ οὖν ἄτοπον οὐ

---

1 λυπαὶ P 17 οἱ addidi 18 ō ἀτελεῖς scripsi: δε τατελεῖς P ad 42 in mrg. inf. aser. ἢ καὶ ὡς ἡ λέξις, ὑποκείσθω τὸ Α τῷ Γ τινὶ ὑπάρχειν· τὸ δὲ Α ὑπέκειτο ἐξ ἀνάγκης οὐδενὶ τὸ Α (l. τῷ Β)· ἐπεὶ οὖν ἀντιστρέφει τὸ στερητικόν, οὐδὲ τὸ Β τῷ Α οὐδενὶ ἐξ ἀνάγκης· τὸ δὲ Α τῷ Γ τινὶ κεῖται ὑπάρχειν· ὥστε οὐ παντὶ τῷ Γ τὸ Β ἐξ ἀνάγκης ὑπάρχει· ὑπέκειτο δὲ παντί ἐνδέχεσθαι P ὅσον scripsi: ὃς P cf. p. 55,23

διὰ τὸν τρόπον ἐπηκολούθησεν, ἀλλ᾽ ὅτι τὸ οὐδενὶ ὑπετέθη τινί. καὶ ἐνταῦθα οὖν τῇ χείρονι ἕπεται τὸ συμπέρασμα, καὶ ἐνδεχόμενον συνάγεται, οὐχὶ δὲ ὑπάρχον.

Τέταρτος τρόπος. τὸ Α ἐνδέχεται οὐδενὶ τῷ Β, τὸ Β παντὶ τῷ Γ ἀνάγκη· τέλειος τὸ κυρίως ἐνδεχόμενον συνάγων διὰ τοῦ κατὰ παντός. οὐ γὰρ ἔστιν ἐλέγξαι τὸ ἐνδεχόμενον μηδενί· ποίαν γὰρ προσλαμβάνῃς; εἰ μὲν τὴν ΑΒ, αἱ δύο ἀποφατικαί· εἰ δὲ τὴν ΒΓ, οὐκ ἔχομεν μῖξιν ἐνδεχομένου καὶ ἀναγκαίου ἐν τρίτῳ σχήματι.

Πέμπτος τρόπος. τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης, τὸ Β οὐδενὶ τῷ Γ ἐνδέχεται· ἀτελὴς ὁ συλλογισμὸς δι᾽ ἀντιστροφῆς ἐνδεχομένης καὶ δι᾽ ἀδυνάτου τὸ κυρίως ἐνδεχόμενον συνάγων, ὡς ὁ πρῶτος τρόπος.

Ἕκτος τρόπος. τὸ Α οὐδενὶ τῷ Β ἐξ ἀνάγκης, τὸ Β οὐδενὶ | τῷ Γ ἐνδέ- f. 243ʳ
χεται· ἀτελὴς δι᾽ ἀντιστροφῆς ἐνδεχομένης καὶ δι᾽ ἀδυνάτου τὸ ὑπάρχον συνάγων, ὡς ὁ τρίτος τρόπος.

p. 36ᵃ32 Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἐν μέρει συλλογισμῶν. ἐπὶ τούτων πρώτας τὰς ἀνομοιοσχήμονας ὑποτίθεται ὡς ποικίλας· τῶν γὰρ ἀνομοιοσχημόνων αἱ μὲν ἐνδεχόμενον συνάγουσιν, αἱ δὲ ὑπάρχον· πᾶσαι δ᾽ αἱ ὁμοιοσχήμονες ἐνδεχόμενον συνάγουσιν. καὶ διὰ τοῦτο τὸν τέταρτον τρόπον τοῦ τρίτου προτάττει. | f. 243ᵛ

Τὸ Α τῷ Β ἐξ ἀνάγκης οὐδενί, τὸ Β τῷ Γ ἐνδέχεται τινί· λέγω ὅτι τὸ Α τῷ Γ ὑπάρχει οὐ παντί. * * * τὸ δὲ Β τῷ Α ἐξ ἀνάγκης οὐδενὶ διὰ τὴν ἀντιστροφὴν τοῦ καθόλου στερητικοῦ· τὸ Β ἄρα τῷ Γ ἐξ ἀνάγκης οὐδενί· μῖξις γὰρ γέγονεν ἐν πρώτῳ σχήματι ἀναγκαίου καὶ ὑπάρχοντος, καὶ ἡ μείζων ἀναγκαία, ὥστε τῇ μείζονι ἕπεται τὸ συμπέρασμα· ὑπόκειται δὲ τὸ Β τῷ Γ ἐνδέχεται τινί· ὅπερ ἀδύνατον. ἀλλά, φασὶν οἱ Πλατωνικοί, οὕτως συγχωρητέον τῷ ἐν πρώτῳ σχήματι τῇ μείζονι ἕπεσθαι τὸ συμπέρασμα ἐπὶ τῆς μίξεως ἀναγκαίου καὶ ὑπάρχοντος. καὶ ὅσον ἐπὶ τῇ ἀγωγῇ ταύτῃ ἡ προτεθεῖσα συζυγία καὶ ἀνάγκη οὐ παντὶ συνάγει· εἰ γὰρ τοῦτο ψεῦδος, τὸ Α τῷ Γ ἀνάγκη παντί· τὸ δὲ Β τῷ Α ἀνάγκη οὐδενί· ἐν πρώτῳ ἄρα σχήματι ἐκ δύο ἀναγκαίων τὸ Β τῷ Γ ἀνάγκη οὐδενί· ἀλλὰ καὶ ἐνδέχεται τινί. διότι οὖν κατὰ ἀλήθειαν οὐ παντὶ συνάγεται καὶ ὑπετέθη παντί, τὸ ἀδύνατον οὐ διὰ τὸ ὑπάρχον ἢ τὸ ἀναγκαῖον ὡς ἐπὶ τῶν ἐξ ἀμφοτέρων καθόλου. βουλόμενοι δ᾽ οἱ Πλατωνικοὶ ἀεὶ τῇ χείρονι ἕπεσθαι τὸ συμπέρασμα ἀντιλέγουσι ταῖς μίξεσι ταύταις μόναις ταῖς ὑπάρχον συναγούσαις.

Β. Τὸ Α τῷ Β ἐνδέχεται μηδενί, τὸ Β τῷ Γ ἀνάγκη τινί· τέλειος ὁ συλλογισμὸς καὶ τοῦ ἐνδεχομένου· ἡ γὰρ ἀπόδειξις διὰ τοῦ κατὰ μηδενός.

---

2 ἐνδέχομ, ομ in ras. P 5 προσλαμβάνῃ scripsi: προσλαμβάνει P post δύο eras. 1 litt. P 8 ἐνδεχομένης scripsi cf. vs. 11: ἐνδεχόμενον P 17 τὸ Β scripsi: τὸ Α P 18 lac. signavi; supple velut εἰ γὰρ μή, δῆλον ὅτι τὸ Α τῷ Γ ὑπάρχει παντί ad vs. 21 signum appictum est, cui f. 243ʳ respondent haec: οὕτως μὲν αὐτὸς ἔδειξεν ὑπάρχον τὸ συμπέρασμα· ὡσαύ | αυτως (sic) δοκεῖ διὰ τῆς ἐξ ἀναγκαίας (αι in ras. ex ης corr. P¹) ὑπαρ συναγουσῶν τὸ ἀδύνατον. φέρε δὲ ἡμεῖς ἀποδείξομεν ὅτι ἐνδέχεται συνάγεσθαι (l. ἐνδεχόμενον συνάγεται) μερικὸν ἀποφατικόν. τὸ Α τῷ Β ἐξ ἀνάγκης οὐδενί· τὸ Β τῷ Γ τινὶ ἐνδέχεται· λέγω ὅτι τὸ Α τῷ Γ ἐνδέχεται μὴ παντί. εἰ γὰρ μή, δῆλον ὅτι τὸ Α τῷ Γ ἐξ ἀνάγκης παντί· κεῖται δὲ καὶ τὸ (τῶ P) Α τῷ Β ἐξ ἀνάγκης οὐδενί· συνάγεται οὖν τὸ Β σχῆμα (l. ἐν Β σχήματι) τὸ Β τῷ Γ ἐξ ἀνάγκης οὐδενί· ὅπερ ἀδύνατον· κεῖται γὰρ τὸ Β τῷ Γ τινὶ ἐνδέχεσθαι. ἀλλὰ καὶ ἀναγκαῖον συνάγεται· λέγω γὰρ ὅτι τὸ Α τῷ Γ ἐξ ἀνάγκης τινὶ οὔ· εἰ γὰρ μή, τὸ Α τῷ Γ ἐνδέχεται παντί· ἀλλὰ καὶ τὸ (ο in ras. ex ω corr.) Β τῷ Γ τινὶ ἐνδέχεται· συνάγεται οὖν ἐν Γ σχήματι τὸ Α τῷ Β ἐνδέχεται τινί· ὅπερ ἀδύνατον· κεῖται γὰρ ἐξ ἀνάγκης οὐδενί. ἀλλὰ καὶ ὑπάρχον δείκνυται P 22 οὕτως scripsi: ὥστε P σχήματι] η in ras. P¹ 23 ὅσον scripsi: ὃς P cf. p. 74,15 27 διὰ τὸ scripsi: διὰ τοῦ P

Γ. Τὸ Α τῷ Β ἐξ ἀνάγκης παντί, τὸ Β τῷ Γ ἐνδέχεται τινί· ὁ συλλογισμὸς τοῦ ἐνδεχομένου· εἰ γὰρ ψεῦδος τὸ Α τῷ Γ ἐνδέχεται τινί, τὸ Α τῷ Γ ἐξ ἀνάγκης οὐδενί· ἀλλὰ καὶ τὸ Α τῷ Β ἐξ ἀνάγκης παντί· ἐκ δύο ἀναγκαίων ἐν δευτέρῳ σχήματι τὸ Β τῷ Γ ἐξ ἀνάγκης οὐδενί· ἀλλὰ καὶ ἐνδέχεται τινί· ὅπερ ἀδύνατον. δυνατὸν δὲ καὶ ἐνταῦθα λέγειν ὅτι τὸ ἥμισυ τοῦ ἐνδεχομένου συνάγεται· τῷ γὰρ ἐνδέχεται τινὶ δύο ἀντίκειται, τὸ ἐξ ἀνάγκης οὐδενί, ὅπερ ἀνῄρηται, καὶ τὸ ἐξ ἀνάγκης παντί, ᾧ οὐδὲν ἕπεται ἄτοπον.

p. 36b3 Ἐὰν δὲ τὸ μὲν καθόλου τεθῇ πρὸς τὸ ἔλαττον ἄκρον. ἀσυλλόγιστοί εἰσιν πᾶσαι αἱ τὴν μείζονα μερικὴν ἔχουσαι. τετραπλαῖ δ' αὗται, ὡς ὑπογέγραπται, | καὶ παραδίδωσιν αὐτὰς ἡ λέξις κατὰ τοὺς ὑποκειμένους ἀριθμούς. **f.244r**

p. 36b4 Ἢ καταφατικὸν ἢ στερητικὸν ἢ ἐνδεχόμενον, τουτέστιν 'καὶ ἐνδεχόμενον'· οὐ γὰρ ἀντίκειται τὸ ἐνδεχόμενον καταφάσει καὶ ἀποφάσει.

p. 36b15 Καὶ γὰρ τὸ ζῷον τινὶ λευκῷ, τουτέστιν οἱ αὐτοὶ ὅροι καὶ ἐξ ἀνάγκης τινὶ ποιοῦσι καὶ ἐξ ἀνάγκης οὐ παντὶ καὶ ἐνδέχεται τινὶ καὶ ἐνδέχεται οὐ παντί· ζῷον γὰρ τινὶ λευκῷ ἐξ ἀνάγκης διὰ κύκνον, καὶ ἐξ ἀνάγκης οὐ παντὶ διὰ κόρακα, καὶ ἐνδέχεται τινὶ καὶ ἐνδέχεται οὐ παντὶ διὰ τοὺς παρὰ τοὺς Αἰθίοπας ἢ Γαλάτας ἀνθρώπους. τὰ δὲ τέσσαρά ἐστιν καὶ ἐπὶ λευκοῦ καὶ ἀψύχου διὰ ψιμίθιον, ἔβενον καὶ τὰ οἷς ἐνδέχεται ὑπάρχειν.

p. 36b19 Φανερὸν οὖν ἐκ τῶν εἰρημένων, ὅτι ἀσυλλόγιστοι οἱ τὴν μείζονα μερικὴν ἔχοντες καὶ ἐπὶ τῶν ἐξ ἀμφοτέρων ὁμοίων καὶ ἐπὶ τῶν ἀναμίξ. ὑπὸ δὲ τούτους τελοῦσι καὶ οἱ τὴν ἐλάττονα ἀναγκαίαν ἀποφατικὴν ἔχοντες.

Πλὴν ὅτι ἐνδεχομένου μὲν καὶ ὑπάρχοντος μιγνυμένων οἱ τὴν μείζονα ὑπάρχουσαν ἀποφατικὴν ἔχοντες τὸ ἐξ ἡμισείας ἐνδεχόμενον καὶ ἐξ ἡμισείας ἀναγκαῖον συνῆγον (τὸ γὰρ οὐδενὶ ἐξ ἀνάγκης φέρεται καὶ κατὰ τοῦ ἐξ ἀνάγκης οὐδενὶ καὶ κατὰ τοῦ ἐνδέχεται οὐδενί· | καὶ διὰ τοῦτο ἢ ἀναγκαῖον συνήγετο ἢ ἐνδεχόμενον), μίξεως **f.244v** δ' οὔσης ἐνδεχομένου καὶ ἀναγκαίου, ὅτε ἡ μείζων ἀναγκαία ἀποφατικὴ καθόλου ἐστίν, τὸ ὑπάρχον συνάγεται, ὅπερ ἐστὶν ἕτερον παρὰ τὸ ἀναγκαῖον καὶ ἐνδεχόμενον.

p. 36b24 Δῆλον δ' ὅτι καὶ πάντες ἀτελεῖς οἱ συλλογισμοί. ἀλλ' οὐ πάντες ἀτελεῖς· οὐ γὰρ δὴ καὶ οἱ τὴν ἐλάττονα ἀναγκαίαν ἔχοντες, ἀλλὰ μόνοι οἱ τὴν ἐλάττονα ἐνδεχομένην ἔχοντες. ἢ τὸ λεγόμενόν ἐστιν· πάντες οἱ τὴν ἐλάττονα ἐνδεχομένην ἔχοντες ἀτελεῖς εἰσιν, διότι κἂν καταφατικὴ ᾖ, ἀτελεῖς εἰσιν.

p. 36b25 Καὶ ὅτι τελειοῦνται διὰ τῶν προειρημένων σχημάτων. τελειοῦνται μὲν διὰ μόνου τοῦ πρώτου σχήματος· πληθυντικῶς δ' εἶπεν, ἐπειδὴ ἡ εἰς ἀδύνατον ἀπαγωγὴ πρῶτον ἐποίει σχῆμα ἢ ἄμικτον ἐξ ἀμφοτέρων ἀναγκαίων ἢ μικτὸν ἐξ ἀναγκαίου καὶ ὑπάρχοντος. τὸ δ' ἐξ ἡμισείας ἐνδεχόμενον 'καὶ ὑπάρχον καὶ ἐνδεχόμενον' καλεῖ ἡ λέξις. |

---

4 ἐνδέχεται in ras. P¹ 5 ad ἐνταῦθα initio sequentis paginae ascr. πάλιν καὶ ἐπὶ ταύτης δυνατόν τις παντὶ (l. δυνατὸν τινὶ ὑπάρχον) συναγ· λέγω γὰρ ὅτι τὸ Α τινὶ τῷ Γ ὑπάρχει· εἰ γὰρ μή, δῆλον ὅτι οὐδενὶ τῷ Γ ὑπάρχει τὸ Α· τὸ δὲ Β τινὶ τῷ Γ· ὑπὸ (l. τῷ Γ ὑπάρχει·) τοῦτο γὰρ ψεῦδος μὲν οὐ δυνατὸν γίνεται· (l. ⟨οὐκ⟩ ἀδύνατον ⟨δέ⟩· γίνεται) ἐν τρίτῳ σχήματι ἐκ δύο ὑπαρχουσῶν τὸ Α τινὶ τῷ Β οὐχ ὑπάρχει· ὅπερ ἀδύνατον· κεῖται γὰρ τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης. λέγω δὲ ὅτι καὶ ἐξ ἀνάγκης τὸ Α τινὶ τῷ Γ· εἰ γὰρ μή, δῆλον ὅτι ἐνδέχεται μηδενὶ τὸ Α τῷ Γ· τὸ δὲ Β ἐνδέχεται τινὶ τῷ Γ· συνάγεται οὖν τὸ Α τῷ Β ἐνδέχεται τινὶ μή· ὅπερ ἀδύνατον· κεῖται γὰρ τὸ Α παντὶ τῷ Β ἐξ ἀνάγκης P 9 ὡς] ς ex ὑ corr. P¹ 14 ποιοῦσαι P 17 ψιμίνθιον P 18 ἐβενόν P 32 ὅτι Arist.: ου P

Β ΣΧΗΜΑ ΕΞ ΑΜΦΟΤΕΡΩΝ ΕΝΔΕΧΟΜΕΝΩΝ. f. 245ʳ

p. 36ᵇ26 Ἐν δὲ τῷ δευτέρῳ σχήματι. Πάλαι μὲν ὁ Ἀριστοτέλης ἐν τοῖς τρισὶ σχήμασι τοὺς τρόπους εἰς τὰ σχήματα διῄρει, οἷον τὰς ἐξ ἀμφοτέρων ὑπαρχουσῶν εἰς πρῶτον σχῆμα καὶ δεύτερον καὶ τρίτον καὶ τὰς ἐξ ἀμφοτέρων ἀναγκαίων καὶ τὰς μίξεις τούτων. νῦν δ᾽ ἐν ταῖς μίξεσι τὰ σχήματα εἰς τοὺς τρόπους διαιρεῖ, οἷον τὸ πρῶτον σχῆμα εἰς τὰς ἐξ ἀμφοτέρων ἐνδεχομένων καὶ τὰς μίξεις ἐνδεχομένου καὶ ὑπάρχοντος, ἐνδεχομένου καὶ ἀναγκαίου. εἰ γὰρ ἐχρήσατο τῇ πάλαι τάξει, προέταξεν ἂν τὰς ἐξ ἀμφοτέρων ἐνδεχομένων ἐν δευτέρῳ σχήματι τῶν μίξεων τῶν ἐν πρώτῳ σχήματι ὑπάρχοντος | καὶ ἐνδεχομένου, ὑπάρχοντος καὶ ἀναγκαίου, ἐνδεχομένου καὶ ἀναγκαίου· f. 245ᵛ ὅπερ ἄτοπον· οἱ μὲν γὰρ ἐξ ἀμφοτέρων ἐνδεχομένων ἐν δευτέρῳ σχήματι ἀσυλλόγιστοι· αἱ δὲ τρεῖς μίξεις αἱ ἐν πρώτῳ σχήματι διαιροῦνται εἰς τὸ συλλογιστικὸν καὶ ἀσυλλόγιστον. ἀλλ᾽ ἐπεὶ οἱ ἐν δευτέρῳ σχήματι δείκνυνται ἀναγόμενοι εἰς τὸ πρῶτον σχῆμα ἢ δι᾽ ἀντιστροφῆς ἢ δι᾽ ἀδυνάτου, περὶ ἀντιστροφῆς ἁπλῆς ἐνδεχομένων προτάσεων διαλέγεται· καὶ ἐπεί, ὅτε δι᾽ ἀντιστροφῆς δείκνυται τὸ δεύτερον σχῆμα, πάντως ἡ καθόλου ἀπόφασις ἀντιστρέφεται, περὶ μόνης τῆς ἀντιστροφῆς τῆς ἐνδεχομένης καθόλου ἀποφάσεως διαλέγεται, καὶ δείκνυσιν ὅτι ἡ ἐνδεχομένη καθόλου ἀπόφασις οὐκ ἀντιστρέφει πρὸς ἑαυτήν. καὶ τοῦτο ἡμῖν ἐν τοῖς τρισὶ σχήμασιν ἔλεγεν, ὅτι αἱ μὲν τοῦ ἐνδεχομένου καταφάσεις ὁμοίως τῷ ὑπάρχοντι καὶ ἀναγκαίῳ πρὸς τὴν μερικὴν κατάφασιν ἀντιστρέφουσιν, ἡ δ᾽ ἐνδεχομένη καθόλου ἀπόφασις οὐχ ὁμοίως· ἐπὶ γὰρ ὑπάρχοντος καὶ ἀναγκαίου πρὸς ἑαυτὴν ἀντιστρέφει, ἐπὶ δὲ τοῦ ἐνδεχομένου οὐ πρὸς ἑαυτὴν ἀντιστρέφει· "τοῦτο δ᾽ ἔσται δῆλον", ἔφασκεν, "ὅταν περὶ τοῦ ἐνδεχομένου λέγωμεν". ὅτι τοίνυν ἡ καθόλου ἐνδεχομένη ἀπόφασις οὐ πρὸς ἑαυτὴν ἀντιστρέφει, νῦν δείκνυσι καὶ προάγει τὴν ἀπόδειξιν τριχῶς. καὶ πρῶτον οὕτως· εἰ τὸ Α τῷ Β ἐνδέχεται μηδενί, οὐκ ἀνάγκη καὶ τὸ Β τῷ Α ἐνδέχεσθαι μηδενί· εἰ γὰρ τοῦτο, καὶ ἡ καθόλου κατάφασις ἀντιστρέφει πρὸς ἑαυτήν, ὡς δείξω· τοῦτο δ᾽ ἀδύνατον· λευκὸν μὲν γὰρ παντὶ ζῴῳ ὑπάρχειν ἐνδέχεται, οὐκέτι δὲ καὶ ζῷον παντὶ λευκῷ ὑπάρχειν ἐνδέχεται· τινὶ γὰρ λευκῷ, τῷ ψιμυθίῳ, ἐξ ἀνάγκης οὐχ ὑπάρχει. τὸ δὲ συνημμένον οὕτως δεικτέον· εἰ τὸ Α οὐδενὶ τῷ Β ἐνδέχεται ὑπάρχειν, καὶ τὸ Β οὐδενὶ τῷ Α ἐνδέχεται ὑπάρχειν· ἐπεὶ δή, ὃ ἐνδέχεται οὐδενί, καὶ παντὶ ἐνδέχεται κατὰ τὴν ἐνδεχομένην ἀντιστροφήν, καὶ τὸ Α παντὶ τῷ Β ἐνδέχεται, καὶ τὸ Β παντὶ τῷ Α ἐνδέχεται. εἴποιεν δ᾽ ἂν οἱ Πλατωνικοὶ πρὸς τοῦτο· οὐκ εἰ τὸ Α ἐνδέχεται μηδενὶ τῷ Β, ἤδη καὶ παντὶ ἐνδέχεται κατὰ τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον, ἀλλ᾽ εἰ ἄρα, κατὰ μόνον τὸ ἐπ᾽ ἴσης. εἴποι | ὁ Ἀριστοτέλης· ἀλλ᾽ ἔμεινεν τὸ ἐνδεχόμενον τῷ εἴδει. f. 246ʳ δεύτερον ἐπιχείρημα διὰ τῶν ὅρων τῶν αὐτῶν δι᾽ ὧν ἤλεγξε τὴν καθόλου ἀπόφασιν μὴ ἀντιστρέφουσαν πρὸς ἑαυτήν· λευκὸν μὲν γὰρ ἐνδέχεται μηδενὶ ἀνθρώπῳ ὑπάρχειν· οὐ μὴν ἄνθρωπος ἐνδέχεται μηδενὶ λευκῷ ὑπάρχειν· τῷ γὰρ κύκνῳ καὶ ψιμυθίῳ ἀναγκαίως οὐχ ὑπάρχει. εἴποιεν δ᾽ ἂν οἱ Πλατωνικοὶ πρὸς τοὺς ὅρους· ποῖον λευκὸν λαμβάνεις; εἰ μὲν τὸ ἁπλῶς, οὐδ᾽ ἡ ἐξ ἀρχῆς ἀπόφασις ἐνδεχομένη ἐστὶν ἡ λευκὸν ἐνδέχεται μηδενὶ ἀνθρώπῳ ὑπάρχειν· τὸ γὰρ ἐν κύκνῳ λευκὸν ἀναγκαίως τῷ ἀνθρώπῳ οὐχ ὑπάρχει· εἰ δὲ τὸ ἐν ἀνθρώπῳ λευκόν, ἐνδέχεται καὶ λευκὸν μηδενὶ ἀνθρώπῳ

---

9 ἀναγκαίου alt. scripsi: ὑπάρχοντος P 17 ἔλεγεν] c. 3 p. 25ᵃ37 sq. 18 τῷ corr. e τὸ P¹ 21 φανερόν Arist. ἔφασκεν] c. 3 p. 25ᵇ18 24 ἐνδέχεσθαι scripsi: ἐνδέχεται P 28 εἰ scripsi: ἡ P ὑπάρχειν scripsi: ὑπαρχόντως P itemque vs. 29 31 εἴποιε P 34 τὸν ὅρων (sic) P ἀπόφασιν scripsi: κατάφασιν P 36 ἄνθρωπος scripsi: ἀνθρώπωι P τῷ scripsi: τὸ P 37 εἴποιε P 38 ad ἁπλῶς in mrg. ascr. καθόλου P¹ 39 ἀνθρώπωι prius in mrg. P¹

ὑπάρχειν καὶ ἄνθρωπον μηδενὶ λευκῷ. φαῖεν δ᾽ ἂν οἱ Περιπατητικοὶ μὴ δικαίως ἐρωτᾶσθαι διὰ τὸ μὴ τῷ κατηγορουμένῳ συντάττεσθαι τοὺς προσδιορισμοὺς ἀλλὰ τῷ ὑποκειμένῳ, καὶ ὅτι ὅσον ἐπὶ τούτῳ καὶ ἡ ἀναγκαία καθόλου κατάφασις πρὸς ἑαυτὴν ἀντιστρέφει. φαῖεν δ᾽ ἂν οἱ Πλατωνικοὶ μηδὲ τοὺς ὅρους ὑγιῶς εἰλῆφθαι· ἐπ᾽ ἴσης γὰρ
5 εἰσὶν καὶ οὐκ ἐπὶ τὸ πολύ· εἰ δὲ λάβωμεν ἐπὶ τὸ πολύ, ἀντιστρέφει ἡ ἐνδεχομένη καθόλου ἀπόφασις πρὸς ἑαυτήν· ἐνδέχεται γὰρ μηδένα ἄνθρωπον ἑξαδάκτυλον καὶ ἐνδέχεται μηδὲν ἑξαδάκτυλον ἄνθρωπον εἶναι. τρίτον ἐπιχείρημα τῆς λέξεως ὅτι οὐκ ἀντιστρέφει ἡ ἐνδεχομένη καθόλου ἀπόφασις πρὸς ἑαυτήν. εἰ γάρ τις εἴποι οὕτως ‘εἰ τὸ Α τῷ Β ἐνδέχεται μηδενί, καὶ τὸ Β τῷ Α ἐνδέχεται μηδενί· εἰ γὰρ μή, ἀνάγκη
10 τινί· ὥστε καὶ τὸ Α τῷ Β ἀντιστρέφει· ἦν δὲ καὶ ἐνδέχεται μηδενί· ὅπερ ἀδύνατον’, παραλογίζεται ὁ ταῦτα λέγων· τῷ γὰρ ἐνδέχεται μηδενὶ οὐ μόνον τὸ ἀνάγκη τινὶ ἀλλὰ καὶ τὸ ἀνάγκη οὐ παντὶ ἀντίκειται· οὗ ὑποτεθέντος οὐδὲν ἀδύνατον πρόεισιν· οὐ γὰρ ἀντιστρέφει ἡ μερικὴ ἀπόφασις. φαῖεν δ᾽ ἂν οἱ Πλατωνικοί· καὶ πῶς αὐτὸς ὁ Ἀριστοτέλης ἐν τοῖς τρισὶ σχήμασιν ἔδειξεν ἄμφω τὰς ἐνδεχομένας καταφάσεις πρὸς τὴν μερι-
15 κὴν κατάφασιν ἀντιστρέφειν; ἔλεγεν γὰρ ‘εἰ τὸ Α τῷ Β ἐνδέχεται παντὶ ἢ τινί, | καὶ f. 246ᵛ
τὸ Β τῷ Α ἐνδέχεται τινί· εἰ γὰρ τοῦτο ψεῦδος, ἀνάγκη οὐδενί’· ἐροῦμεν γὰρ καὶ ἡμεῖς πρὸς σὲ ὅτι τῇ ἐνδέχεται τινὶ οὐ μόνον ἡ ἀνάγκη οὐδενὶ ἀντίκειται ἀλλὰ καὶ ἡ ἀνάγκη παντί· ἧς ὑποτεθείσης οὐδὲν ἀδύνατον ἕπεται, ἐπεὶ τὸ Α τῷ Β ἐνδέχεται παντί, εἰ καὶ ὅτι μάλιστα ἀδύνατον ἐπακολουθεῖ, εἰ τὸ Α τῷ Β ἐνδέχεται τινί. φαῖεν δ᾽ ἂν
20 οἱ Πλατωνικοὶ μηδὲ τῇ διαβαλλομένῃ δείξει ὑπὸ Ἀριστοτέλους κεχρῆσθαι ἀλλ᾽ ἑτέρᾳ τοιαύτῃ· εἰ τὸ Α τοῦ Β ἐνδεχομένως κεχώρισται, καὶ τὸ Β τοῦ Α ἐνδεχομένως κεχώρισται, καὶ διὰ τοῦτο ἀντιστρέφει ἡ καθόλου ἀπόφασις πρὸς ἑαυτὴν καὶ ἐπὶ τοῦ ἐνδεχομένου.

Διὰ τί ἐν δευτέρῳ σχήματι ἐξ ἀμφοτέρων ἐνδεχομένων οὐδεὶς γίνεται συλλογισμός;
25 οὐ μόνον γὰρ αἱ ἀνομοιοσχήμονες δύνανται γενέσθαι ὁμοιοσχήμονες, ἀλλὰ καὶ αἱ ὁμοιοσχήμονες ἀνομοιοσχήμονες. ἢ ὅτι πρὸς μὲν τὸ ἀσυλλόγιστον ἀρκεῖ τὸ ποτὲ μὴ συνάγειν, πρὸς δὲ τὸ συλλογιστικὸν οὐκ ἀρκεῖ τὸ ποτὲ συνάγειν ἀλλὰ μόνον τὸ ἀεί.

Διὰ τί ἐν δευτέρῳ σχήματι ἐπὶ τῆς μίξεως ἐνδεχομένου καὶ ὑπάρχοντος συλλογιστικοὶ οἱ τὴν ὑπάρχουσαν ἀποφατικὴν ἔχοντες, ἀσυλλόγιστοι δ᾽ οἱ τὴν ὑπάρχουσαν
30 καταφατικὴν ἔχοντες; εἰ γάρ, ὅτι δυνατὸν ποιῆσαι αὐτὰς ὁμοιοσχήμονας, κἂν ἀνομοιοσχήμονες ὦσιν, ἀλλὰ καὶ ἀνομοιοσχήμονας δυνατὸν ποιῆσαι αὐτάς. ἢ ὅτι ἡ μὲν ἀπόφασις οὐκ ἔστιν κυρίως ἀπόφασις ἀλλὰ κατάφασις ἀσαφὴς καὶ ἐναργεστέρα γίνεται κατάφασις λαμβανομένη εἰς κατάφασιν, ἡ δὲ κατάφασις οὐδαμῶς ἐστιν ἡ ἀντιφατικὴ ἀπόφασις καὶ διὰ τοῦτο οὐ μεταβάλλεται εἰς αὐτήν.

35 p. 36ᵇ33 Δεῖ δὲ καὶ ἐν τούτοις λαμβάνειν. τουτέστιν ὥσπερ ἐν πρώτῳ σχήματι οὕτως καὶ ἐν δευτέρῳ αἱ αὐταὶ συζυγίαι ἢ τὸ κυρίως ἐνδεχόμενον συνάγουσιν ἢ οὔ, ἀλλ᾽ ἢ τὸ ἐξ ἡμισείας ἢ τὸ ὑπάρχον.

p. 36ᵇ39 Καὶ αἱ ἐναντίαι καὶ αἱ ἀντικείμεναι. ἐναντίαι πᾶς, οὐδεὶς καὶ αἱ ὑπ᾽ αὐτάς, τίς, οὐ πᾶς· ἀντικείμεναι δ᾽ αἱ ἀντιφατικαὶ αἱ διαγώνιοι· καὶ αὗται γὰρ
40 ἀντιστρέφουσιν· εἰ γὰρ πᾶς, | καὶ τὶς καὶ οὐ πᾶς· ὥστε εἰ πᾶς, καὶ οὐ πᾶς. οὐ f. 247ʳ
μὴν τελείως ἀντιστρέφουσιν· οὐ γὰρ δὴ καὶ εἰ οὐ πᾶς, ἤδη καὶ πᾶς. τὰ αὐτὰ καὶ ἐπὶ τοῦ οὐδεὶς καὶ τίς.

p. 37ᵃ12 Φάσις γὰρ καὶ ἀπόφασις, τουτέστιν ἀντίφασις γὰρ κατ᾽ αὐτοὺς ἐνδέχεται οὐδενί, ἀνάγκῃ τινί.

45 p. 37ᵃ14 οὐ γὰρ εἰ μὴ ἐνδέχεται. σαφῶς ἐνταῦθά φησιν ὅτι πάσῃ ἐνδεχομένῃ προτάσει δύο ἅμα λαμβανόμεναι τοῦ ἀναγκαίου προτάσεις ἀντιφάσκουσιν.

ε

2 τῷ κατηγορουμένῳ scripsi: τὸ κατηγορούμ P 11 τῷ scripsi: τὸ P 15 ἔλεγεν] c. 3 p. 25ᵃ40 sq. memoriter citat 31 ἢ ὅτι κτλ.] cf. p. 60,34 33 ἡ prius scripsi: εἰ P ἀντιφατικὴ scripsi: ἀντίφασις P 41 εἰ scripsi: ἡ P 46 λαμβανόμεναι scripsi: λαμβανομένου P

p. 37ᵃ17 Τὸ γὰρ ἐξ ἀνάγκης τινὶ τῶν Α μὴ ὑπάρχον οὐκ ἀληθὲς εἰπεῖν ὡς παντὶ ἐνδέχεται μὴ ὑπάρχειν· ἐπειδὴ ὃ ἐνδέχεται μηδενί, ἐνδέχεται καὶ παντί, τούτῳ, τῷ ἐνδέχεται μηδενί, ἀντίκειται καὶ τὸ ἐξ ἀνάγκης οὐ παντὶ καὶ τὸ ἐξ ἀνάγκης τινί· εἰ γὰρ ἐνδέχεται μηδενί, ψεῦδος καὶ τὸ ἐξ ἀνάγκης οὐ παντὶ καὶ τὸ ἐξ
5 ἀνάγκης τινί. ὃ γὰρ ἐνδέχεται μηδενί, ἐνδέχεται καὶ παντί· καὶ δι᾽ ἑαυτὸ μὲν τὸ ἐνδέχεται μηδενὶ ἀντίκειται τῷ ἐξ ἀνάγκης τινί, διὰ δὲ τὸ ἐνδέχεται παντὶ ἀντίκειται τῷ ἐξ ἀνάγκης οὐ παντί. οὕτως καὶ τὸ ἐνδέχεται παντὶ διὰ τὸ ἐνδέχεται οὐδενὶ ἀντίκειται τῷ ἐξ ἀνάγκης τινί, ὥσπερ τῷ ἐξ ἀνάγκης οὐ παντὶ δι᾽ ἑαυτὸ τὸ ἐνδέχεται παντί. μόνα δὲ τὰ παράδοξά φησιν, ὅτι ἀντίκειται τῷ ἐνδέχεται μηδενὶ
10 τὸ ἐξ ἀνάγκης οὐ παντί, ἀμφοῖν ἀποφάσεων οὐσῶν, καὶ τῷ ἐνδέχεται παντὶ τὸ ἐξ ἀνάγκης τινί, τουτέστιν ἀντίκειται τῷ ἐνδέχεται οὐδενί, ὅπερ ἐκάλεσεν ἐνδέχεται παντὶ μὴ ὑπάρχειν, τὸ ἐξ ἀνάγκης οὐ παντί, καίπερ ἄμφω ἀποφατικῶν ὄντων, καὶ τῷ ἐνδέχεται παντὶ τὸ ἐξ ἀνάγκης τινί, καίπερ ἄμφω καταφατικῶν ὄντων· τοῖς γὰρ ἀνομοίοις κατὰ τὸ ποιὸν ἀναγκαίοις προφανῶς ἀντίκειται.

15 p. 37ᵃ20 Εἰ οὖν τις ἀξιοῖ. ὑποκείσθω τὸ Γ τῷ Δ παντὶ ὑπάρχειν, ἀλλὰ τινὶ μὲν ἐξ ἀνάγκης, τοῖς δ᾽ ἄλλοις ἐνδεχομένως, οἷον ἡ κίνησις τῷ μὲν οὐρανῷ ἐξ ἀνάγκης, τοῖς δ᾽ ἄλλοις ἐνδεχομένως· ψεῦδος οὖν τὸ Γ τῷ Δ παντὶ ἐνδεχόμενος, οὐχ ὅτι οὐχ ὑπάρχει παντί, ἀλλ᾽ ὅτι ἐνίοις οὐκ ἐνδεχομένως ὑπάρχει· εἰ δὲ ψεῦδος τὸ ἐνδέχεται παντί, ἀληθὲς τὸ οὐκ ἐνδέχεται παντί· τοῦ δ᾽ οὐκ ἐνδέχεται παντὶ ἀληθοῦς
20 ὄντος οὐ μόνον τὸ ἐξ ἀνάγκης τινὶ ἀληθές (τοῦτο γὰρ ψεῦδος), ἀλλὰ καὶ τὸ ἐξ ἀνάγκης οὐ παντί. | ψεῦδος ἀνλαμβάνοι· τῷ γὰρ ἐνδέχεται παντὶ οὐ μόνον τὸ ἐξ ἀνάγκης **f. 247ᵛ** τινὶ ἀντίκειται ἀλλὰ καὶ τὸ ἐξ ἀνάγκης οὐ παντί.

p. 37ᵃ22 Παντὶ γὰρ ὑπάρχει, ἀλλ᾽ ὅτι ἐνίοις ἐξ ἀνάγκης ὑπάρχει, διὰ τοῦτό φαμεν οὐ παντὶ ἐνδέχεσθαι. τὴν αἰτίαν λέγει δι᾽ ἣν ψεῦδος τὸ Γ
25 τῷ Δ παντὶ ἐνδέχεται καίπερ παντὶ ὑπάρχον· διότι γὰρ λέγομεν παντὶ ἐνδέχεσθαι τὸ τισὶν ἀναγκαίως ἀλλ᾽ οὐκ ἐνδεχομένως ὑπάρχον.

p. 37ᵃ26 Δῆλον οὖν ὅτι τῷ ἐνδέχεται, οὗ τὸν ὁρισμὸν ἀποδεδώκαμεν, τουτέστιν τῷ κυρίως, ἀντίκειται.

p. 37ᵃ30 Ὥστε οὐ γίνεται συλλογισμός, τουτέστιν συμπέρασμα ἀδύνατον οὐ
30 γίνεται. εἴ τις οὖν ἀξιώσειε μόνα τὰ προφανῆ ἀντικεῖσθαι, τῷ ἐνδέχεται οὐδενὶ τὸ ἐξ ἀνάγκης τινὶ καὶ τῷ ἐνδέχεται παντὶ τὸ ἐξ ἀνάγκης οὐ παντὶ καὶ ἁπλῶς τὰ ἀνομοιοσχήμονα, ψευδῶς λαμβάνει· ἀντίκειται γὰρ καὶ τὰ ὁμοιοσχήμονα, ὡς εἴρηται προσεχῶς.

p. 37ᵃ32 Τούτου δὲ δειχθέντος. ἀσυλλογίστους βούλεται ὁ Ἀριστοτέλης πάσας τὰς ἐν δευτέρῳ σχήματι συζυγίας ἐξ ἀμφοτέρων ἐνδεχομένων, οὐχ ὅτι ἴδιον τοῦ δευ-
35 τέρου σχήματος τὸ ἀνομοιοσχήμονας εἶναι τὰς προτάσεις (δύνανται γὰρ αἱ τοῦ δευτέρου σχήματος ἐνδεχόμεναι προτάσεις, κἂν ὁμοιοσχήμονες ὦσιν, ἀνομοιοσχήμονες γενέσθαι· τοῦτο γὰρ ἐν ταῖς μίξεσι μόναις αἰτιάσεται), οὐδ᾽ ὅτι τὸ ἐνδεχόμενον ἢ ἐπ᾽ ἴσης ἐστὶν ἢ ἐπὶ πολὺ ἢ ἐπ᾽ ἔλαττον, οὐδαμῶς δὲ καθόλου, ἐκ δύο δὲ μερικῶν οὐ γίνεται συλλογισμός (ὅσον γὰρ ἐπὶ τούτῳ ἔδει μηδ᾽ ἐν πρώτῳ σχήματι ἐξ ἀμφοτέρων ἐνδεχομένων
40 γενέσθαι συλλογισμόν, οὐδὲ μῖξις ἔστι συλλογιστικὴ ἐν πρώτῳ σχήματι τὴν μείζονα ἐνδεχομένην ἔχουσα)· Ἀριστοτέλης οὖν οὐ ταῦτα αἰτιᾶται τοῦ μὴ γενέσθαι συλλογισμὸν ἐν δευτέρῳ σχήματι ἐξ ἀμφοτέρων ἐνδεχομένων, ἀλλ᾽ ὅτι αἱ ἐν δευτέρῳ σχήματι συλλογιστικαὶ συζυγίαι ἢ δι᾽ ἀντιστροφῆς ἐδείκνυντο, ὡς πρώτη, δευτέρα, τρίτη, ἢ δι᾽ ἀδυνάτου, ὡς ἡ τετάρτη, οὔτε δὲ τῇ ἀντιστροφῇ ἔστιν χρήσασθαι νῦν [οὔτε τῇ εἰς ἀδύνατον ἀπα-
45 γωγῇ], (ἐν γὰρ τῇ ἀντιστροφῇ ἡ καθόλου ἀποφατικὴ μόνη ἀντέστρεφεν· δέδεικται δὲ νῦν ἡ

5 ἑαυτοῦ P pr. 8 τῷ — τῶ scripsi: τὸ — τὸ P 9 τῷ scripsi: τὸ P 13 τὸ scripsi: τῶ P 27 τῷ scripsi: τὸ P 30. 31 τὸ — τῷ scripsi: τῶι — τὸ P 31 ἀνάγκης alt.] η in ras. P 32 ψεῦδῶς (sic), ῶς in ras. P 35 γὰρ scripsi: δὲ P 36 ὁμοιοσχήμονες scripsi: ἀνομοιοσχήμονες P 39 ὅσον scripsi: ὅσω P 44. 45 οὔτε — ἀπαγωγῇ delevi

καθόλου ἐνδεχομένη ἀπόφασις μὴ ἀντιστρέφουσα πρὸς ἑαυτὴν κατὰ τὴν ἁπλῆν ἀντιστροφήν), | οὔτε τῇ εἰς ἀδύνατον ἀπαγωγῇ ἔστιν χρήσασθαι. οἷον τὸ Α τῷ Β ἐνδέ- f. 248r
χεται μηδενί, τὸ Α τῷ Γ ἐνδέχεται παντί· ἐπὶ τοῦ πρώτου τρόπου ποιεῖται πάλιν τὸν λόγον, ἐπειδὴ ἡ δι᾽ ἀδυνάτου δεῖξις κοινὴ ἦν πάντων, εἰ καὶ μόνῳ τῷ τετάρτῳ τρόπῳ
5 ἐφήρμοζεν. εἰ οὖν συνήγετό τι ἐν δευτέρῳ σχήματι, τὸ ἐνδέχεται οὐδενὶ συνήγετο τὸ Β τῷ Γ· εἰ δὲ τοῦτο ψεῦδος, τὸ Β τῷ Γ ἀνάγκη τινί· τὸ δὲ Α τῷ Β ἐνδέχεται οὐδενί· γίνεται το πρῶτον σχῆμα τὴν μείζονα ἐνδεχομένην ἔχον καὶ διὰ τοῦτο ἐνδεχόμενον συνάγον, τὸ Α τῷ Γ ἐνδέχεται οὐ παντί· ἀλλὰ καὶ ἐνδέχεται παντί· καὶ οὐδὲν ἄτοπον. ἀλλ᾽ οὐδ᾽ ἐν τῷ τετάρτῳ τρόπῳ ἄτοπόν τι ἕπεται. οὐ μόνον δὲ ταύτῃ δείκνυσιν
10 ἀσυλλογίστους ἀλλὰ καὶ τῷ δίκην τῶν ἀσυλλογίστων διὰ τῶν ὅρων ἐλέγχεσθαι· ἔστιν γὰρ εὐπορῆσαι ὅρων τὸ ἐξ ἀνάγκης οὐδενὶ συναγόντων· λευκόν, ἄνθρωπος, ἵππος· εἰ δὲ τὸ οὐδενὶ ἐξ ἀνάγκης συνάγεται, οὐδὲν ἐνδεχόμενον συνάγεται, οὐ καταφατικόν, οὐκ ἀποφατικόν, καὶ διὰ τοῦτο οὐκ ἔστιν ἐνδεχομένου συλλογισμός. ὁ γὰρ Ἀριστοτέλης ἀσυλλογίστους δείκνυσι τὰς ἐνδεχομένας συζυγίας οὐ τῷ ἔθει, τῷ συνάγειν ἐξ ἀνάγκης
15 παντὶ καὶ ἐξ ἀνάγκης οὐδενί, ἀλλ᾽ ἀρκεῖται καὶ θατέρῳ μόνον διὰ τὸν εἰρημένον λογισμόν. ὁ δὲ Ἀλέξανδρος ἐκτίθεται ὅρους καὶ τὸ ἐξ ἀνάγκης παντὶ συνάγοντας· λευκόν, ζῷον, ἄνθρωπος. ἀλλὰ μήποτε, ἔστ᾽ ἂν λευκὸν μηδενὶ ζῴῳ ἐνδέχηται, οὐκ ἐνδέχεται λευκὸν παντὶ ἀνθρώπῳ, ὡς καὶ Ἀλέξανδρος μετὰ πολλὰ ἐφιστάνει. οἱ δὲ Πλατωνικοὶ βουλόμενοι καὶ ἐξ ἀμφοτέρων ἐνδεχομένων ἐν δευτέρῳ σχήματι γίνεσθαι συλλο-
20 γισμούς, καὶ τοσούτους ὅσους καὶ ἐπὶ τῶν ἄλλων τρόπων, ἀντιλέγουσι τοῖς τρισὶ τούτοις ἐπιχειρήμασι. τῷ μὲν πρώτῳ λέγοντες ὅτι καὶ ἡ ἐνδεχομένη καθόλου ἀπόφασις ἀντιστρέφει πρὸς ἑαυτήν· εἰ γὰρ τὸ Α τοῦ Β κεχώρισται, καὶ τὸ Β τοῦ Α κεχώρισται. ὁ μὲν γὰρ Ἀριστοτέλης ἐπὶ τοῦ ἐνδεχομένου τὰς μὲν ἐνδεχομένας ἀντιστροφὰς προσίεται, τὰς δ᾽ ἁπλᾶς οὐ προσίεται· οἱ δὲ Πλατωνικοὶ ἔμπαλιν. καὶ μᾶλλον οἱ Πλατωνικοὶ
25 κατορθοῦσι· περὶ γὰρ τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον οἱ συλλογισμοὶ | γίνονται, f. 248v
καὶ ἐπὶ τούτου αἱ μὲν ἐνδεχόμεναι ἀντιστροφαὶ οὐ συνίστανται, εἰ καὶ ἐπὶ τοῦ ἐπ᾽ ἴσης, αἱ δ᾽ ἁπλαῖ συνίστανται, εἰ καὶ ἐπὶ τοῦ ἐπ᾽ ἴσης μὴ συνίστανται. πρὸς δὲ τὸ δεύτερον ὅτι ἀδύνατον τὸ αὐτὸ τῷ αὐτῷ καὶ παντὶ ἐνδέχεσθαι καὶ μὴ παντὶ κατὰ τὸ ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενον. πρὸς δὲ τὸ τρίτον ὅτι οἱ ὅροι οὐκ εἰσὶν τοῦ ὡς ἐπὶ τὸ
30 πολὺ ἐνδεχομένου ἀλλὰ τοῦ ἐπ᾽ ἴσης.

Β ΣΧΗΜΑ. ΜΙΞΙΣ ΕΝΔΕΧΟΜΕΝΟΥ ΚΑΙ ΥΠΑΡΧΟΝΤΟΣ.

p. 37ᵇ19 Εἰ δ᾽ ἡ μὲν ὑπάρχειν ἡ δ᾽ ἐνδέχεσθαι. Διά τί ὁ Ἀριστοτέλης ἐπὶ τῆς μίξεως ταύτης τὴν μὲν ἐνδεχομένην ἀπόφασιν εἰς κατάφασιν μεταβάλλει, οὐχὶ δὲ καὶ ἀνάπαλιν; ἐπειδή, φησὶν ὁ Ἀλέξανδρος, αἱ νῦν ἀποφάσεις καταφάσεις εἰσὶν τῷ ἔργῳ
35 καὶ εἰς σαφεστέρας καταφάσεις μεταλαμβάνονται· αἱ δὲ καταφάσεις εἰς τὰς κυρίως ἀποφάσεις οὐ δύνανται μεταληφθῆναι τοῦ τρόπου ἀκεραίου φυλαττομένου.

Ὅτι ἐπὶ τῆς μίξεως ταύτης καὶ τοῦ παρόντος σχήματος συλλογιστικοί εἰσιν ὅσοι τῶν ἰδίων τοῦ δευτέρου σχήματος σωζομένων ἔχουσι καθόλου ἀπόφασιν ὑπάρχουσαν, εἴτε ἐξ ἀμφοτέρων καθόλου εἶεν εἴτε ἀναμίξ, ἀσυλλόγιστοι δ᾽ ὅσοι μὴ ἔχουσι πρότασιν τοιαύτην,
40 καθόλου ἀποφατικὴν ὑπάρχουσαν, εἴτε σώζεται τὰ ἴδια τοῦ σχήματος εἴτε μή. καὶ

---

3 πάλιν scripsi: πάλαι P 5 ἐφήρμοζεν] ήρ in ras. P¹ 8 Γ scripsi: Β P 11 γὰρ superscr. P¹ εὐπορῆσαι] ῆ in ras. P 15 μόνον] ο alt. ex ω corr. P¹ 16 Ἀλέξανδρος] p. 230,13 sq., sed λευκόν, ἄνθρωπος, γραμματικός et κινούμενον, ζῷον, ἄνθρωπος habet τὸ scripsi: τὰ P 18 μετὰ πολλὰ] p. 232,19 sq. 26 τούτου scripsi: τούτων P 27 ad συνίστανται prius in mrg. sup. aser. διὰ τὸ ἰσοδυναμεῖν τὴν ἀπόφασιν τῇ καταφάσει, ἵνα μὴ τῆς ἀποφάσεως ἀντιστρεφούσης καὶ ἡ κατάφασις πρὸς ἑαυτὴν ἀντιστρέφῃ P¹ 28 αὐτὸ] ὀ ex ῶ corr. P 34 ὁ Ἀλέξανδρος] p. 218,24—26

ὅτι διὰ τοῦτο ἀσυλλόγιστος ὁ τέταρτος τρόπος· μὴ γὰρ ἔχων οὗτος καθόλου ἀπόφασιν οὐδὲ τοιάνδ᾽ ἕξει καθόλου ἀπόφασιν. καὶ ὅτι οἱ ἔχοντες καθόλου ἀπόφασιν ὑπάρχουσαν τὸ ἐξ ἡμισείας ἐνδεχόμενον συνάγουσι· μείζων γὰρ γίνεται ἐν πρώτῳ σχήματι ἡ καθόλου ἀπόφασις ὑπάρχουσα· ἐδέδεικτο δ᾽ ὅτι ἐπὶ τῆς μίξεως ἐνδεχομένου καὶ ὑπάρχοντος τῆς μείζονος ἀποφατικῆς καθόλου ὑπαρχούσης ὑποκειμένης τὸ ἐξ ἡμισείας ἐνδεχόμενον συνάγεται. αἱ τὴν καταφατικὴν ὑπάρχουσαν ἔχουσαι τὴν δ᾽ ἀποφατικὴν ἐνδεχομένην, εἴτε ἄμφω καθόλου εἴτε ἀναμίξ, ἀσυλλόγιστοι· δύνανται γὰρ ὁμοιοσχήμονες γενέσθαι· καὶ διὰ τὸν καθόλου λόγον, ἐπειδὴ οὐκ ἔχουσι | καθόλου ἀποφατικὴν f.249r ὑπάρχουσαν.

p. 37b22 Ἀπόδειξις δ᾽ ἡ αὐτή, ὅτι δύνανται ὁμοιοσχήμονες γενέσθαι.

p. 37b23 Εἰ δ᾽ ἡ μὲν κατάφασις ἐνδεχομένη, συλλογιστικὴ αὕτη, ἐπειδὴ ἔχει καθόλου ἀποφατικὴν ὑπάρχουσαν, ὁμοίως δὲ συλλογιστική, κἂν ἡ καθόλου ἀπόφασις ὑπάρχουσα ἐλάττων ᾖ· πλὴν τότε δύο ἀντιστροφῶν δεόμεθα, καὶ ἀντιστρέφει τὸ συμπέρασμα· οὐ γάρ ἐστιν ἐνδεχομένη καθόλου ἀπόφασις ἀλλ᾽ ὑπάρχουσα καθόλου ἀπόφασις· τὸ γὰρ ἐξ ἡμισείας ἐνδεχόμενον ἦν τὸ συναγόμενον.

p. 37b34 Καθάπερ ἐν τοῖς πρότερον, τουτέστιν τὸ ἐξ ἡμισείας ἐνδεχόμενον.

Β ΣΧΗΜΑ. ΜΙΞΙΣ ΕΝΔΕΧΟΜΕΝΟΥ ΚΑΙ ΑΝΑΓΚΑΙΟΥ.

Ἐν δευτέρῳ σχήματι μίξεως γινομένης ἐνδεχομένου καὶ ἀναγκαίου συλλογιστικαί εἰσιν αἱ ἔχουσαι ἀναγκαίαν καθόλου ἀπόφασιν, εἴτε ἄμφω καθόλου εἶεν, εἴτε ἡ μὲν καθόλου ἡ δὲ μερική· πλὴν ὅτι ἐπὶ τῶν ἀναμίξ καὶ ἄλλου προσδιορισμοῦ χρεία· δεῖ γὰρ τὴν καθόλου ἀναγκαίαν ἀπόφασιν μείζονα εἶναι. καὶ πάντες τὸ ἐξ ἡμισείας ἐνδεχόμενον καὶ ἀναγκαῖον συνάγουσι καὶ ἀτελεῖς εἰσιν ὡς δι᾽ ἀδυνάτου δεικνύμενοι. καὶ ἁπλῶς, ἃ ἐποίει ἐν τῇ προλαβούσῃ μίξει ἡ ὑπάρχουσα καθόλου ἀπόφασις, ταῦτα νῦν ἡ καθόλου ἀναγκαία ἀπόφασις. καὶ ὁ μὲν πρῶτος τρόπος μιᾶς ἀντιστροφῆς δεῖται· ὁ δὲ δεύτερος δύο. ὁ δὲ ἐξ ἀμφοτέρων καθόλου ἀποφατικῶν καὶ τὴν μείζονα ἐνδεχομένην ἔχων τριῶν ἀντιστροφῶν, μιᾶς ἐνδεχομένης καὶ δύο ἁπλῶν. καὶ ὁ τέταρτος τοῦ δευτέρου σχήματος ἀσυλλόγιστός ἐστιν· εἰ γὰρ μὴ ἔχει ὅλως καθόλου ἀποφατικήν, οὐδὲ τοιάνδ᾽ ἀπόφασιν ἕξει.

p. 38a15 Οὐ μόνον ὅτι ἐνδέχεται μὴ ὑπάρχειν, | ἀλλὰ καὶ ὅτι οὐχ f.249v ὑπάρχει. τὸ ἐξ ἡμισείας ἐνδεχόμενον καὶ ἀναγκαῖον ὑπάρχον καλεῖ· καὶ γὰρ τὸ ὑπάρχον τὸ μὲν ἔχει τοῦ ἀναγκαίου ὡς ἐκβηβηκός, τὸ δὲ τοῦ ἐνδεχομένου ὡς μεταπῖπτον, ὅπερ καὶ ὑπάρχον καὶ ἐνδεχόμενον καλεῖ δέει τῆς ἀποφάσεως. καὶ ὅτι τὸ ἐξ ἡμισείας ἀναγκαῖον καὶ ἐνδεχόμενον συνάγεται, δείκνυσιν οὕτως· εἰ γὰρ ψεῦδος τὸ ὑπάρχον οὐδενί, ἀληθὲς τὸ ἀνάγκῃ τινὶ τὸ Β τῷ Γ, ὅπερ πάλιν ὑπάρχει τινί καλεῖ· τὸ δὲ Α τῷ Β ἀνάγκῃ οὐδενί· τὸ Α ἄρα τῷ Γ ἀνάγκῃ οὐ παντί· ἀλλὰ καὶ ἐνδέχεται παντί· ὅπερ ἀδύνατον· οὐκ ἄρα τὸ Β τῷ Γ ἀνάγκῃ τινί. καὶ ἐπειδὴ οὐδὲν ἕπεται ἄτοπον καὶ τῷ ἀνάγκῃ οὐ παντί, τὸ οὐδενὶ ἐξ ἀνάγκης συνάγεται, ὅπερ καὶ κατὰ τοῦ ἐξ ἀνάγκης οὐδενὶ φέρεται καὶ κατὰ τοῦ ἐνδέχεται μηδενί· καὶ διὰ τὸ ποτὲ μὲν κατὰ τοῦ ἀναγκαίου φέρεσθαι ποτὲ δὲ κατὰ τοῦ ἐνδεχομένου ἐξ ἡμισείας ἐστὶν ἀναγκαῖον καὶ ἐνδεχόμενον.

---

1 ante καθόλου eras. 2 litt. P 3 post γὰρ eras. 2—3 litt. P 12 ἡ scripsi: ἦι P 23 ἐν scripsi: εἰς P 27 ὅλως scripsi: ὅλη P 35 τὸ δὲ collocavi: inv. ord. P 36 τῶι] ι, ut videtur, in ras. P¹ 38 τὸ ex τοῦ, ut videtur, corr. P¹

p. 38a21 Ἅμα δὲ δῆλον ὅτι οὐ συνάγεται τὸ κατὰ τὸν διορισμὸν ἐνδεχόμενον ἀλλὰ τὸ ἐξ ἡμισείας· εἰ γὰρ ψεῦδος τὸ ὑπάρχον οὐδενί, ἀληθὲς τὸ ὑπάρχει τινί· ὑπάρχει γὰρ τινὶ τὸ ἀναγκαῖον τινί.

p. 38a27 Καὶ τὸ Α τῷ μὲν Β ἐνδεχέσθω μηδενί, τῷ δὲ Γ παντὶ ὑπαρχέτω ἐξ ἀνάγκης. ἀσυλλόγιστος ἡ ἀγωγὴ αὕτη ὡς μὴ ἔχουσα καθόλου ἀναγκαίαν ἀποφατικήν, καὶ ἀσυλλόγιστος καὶ τοῦ ἐνδεχομένου καὶ παντὸς συμπεράσματος, τοῦ μὲν ἐνδεχομένου ὡς τὸ ἐξ ἀνάγκης οὐδενὶ συνάγουσα· τὸ γὰρ ἀναγκαῖον παντὸς ἐνδεχομένου ἐστὶν ἀναιρετικόν· ἀλλ᾽ οὐδὲ τοῦ ἀναγκαίου συλλογιστική ἐστιν, ἵνα μὴ νομίσῃ τις διὰ τοὺς ὅρους τοῦ ἐξ ἀνάγκης οὐδενὶ ἀεὶ τὸ ἐξ ἀνάγκης οὐδενὶ συνάγειν αὐτήν. ἀσυλλόγιστος οὖν ἐστιν τοῦ ἀναγκαίου, ἐπειδὴ οἱ ἀναγκαῖον συνάγοντες ἢ ἄμφω ἀναγκαίας εἶχον ἢ τὴν καθόλου ἀναγκαίαν ἀπόφασιν, ἵνα καὶ τὸ ἐξ ἡμισείας ἀναγκαῖον [ἀναγκαῖον] εἴπωμεν ἀναγκαῖον· νῦν δ᾽ οὐδέτερόν ἐστιν. καὶ εἰσὶν ὅροι τὸ ἀνάγκη παντὶ συνάγοντες· καὶ διὰ μὲν τὸ οὐδενὶ οὐδὲν καταφατικὸν συνάγει, διὰ δὲ τὸ ἀνάγκη παντὶ οὐδὲν ἀποφατικόν.

Ὅτι κίνησις πάσῃ ἐγρηγόρσει ἐξ ἀνάγκης· | ἡ γὰρ ἐγρήγορσις ὡς ἔγερσις κίνησίς f. 250r ἐστιν. ἀλλ᾽ ἔστ᾽ ἄν, φασί, κίνησις ἐνδέχηται παντὶ ζῴῳ, οὐκ ἔστιν ἐγρηγορός τι, ἵνα καὶ κινῆται. ὥστε οὐ καλῶς ἔχουσιν οἱ ὅροι.

p. 38b3 Οὐδὲ τῶν ἀντικειμένων καταφάσεων. καλῶς τὸ πληθυντικόν· τὸ γὰρ ἀνάγκη οὐδενὶ πᾶσαν κατάφασιν ἀναιρεῖ, ἀναγκαίαν, ὑπάρχουσαν, ἐνδεχομένην.

p. 38b8. 12 Εἰλήφθω γὰρ τὸ Α τῷ Β ἐξ ἀνάγκης μὴ ὑπάρχειν. κἂν εἰ πρὸς τῷ Γ τεθείη τὸ στερητικόν, ὡσαύτως. οὗτός ἐστιν ὁ τριῶν ἀντιστροφῶν δεόμενος· αἱ τε γὰρ προτάσεις ἀντιστρέφουσι καὶ τὸ συμπέρασμα.

p. 39a1 Δῆλον δὲ ὅτι καὶ πάντες ἀτελεῖς. κοινὸν συμπέρασμα τῶν ἐν δευτέρῳ σχήματι δύο μίξεων ἐνδεχομένου καὶ ὑπάρχοντος, ἐνδεχομένου καὶ ἀναγκαίου, ὅτι πάντες ἀτελεῖς (οὐδεὶς γὰρ ἐδείχθη διὰ τοῦ κατὰ παντὸς καὶ κατὰ μηδενός, ἀλλὰ δι᾽ ἀδυνάτου πάντες) καὶ τὸ ἐξ ἡμισείας ἐνδεχόμενον συνάγουσι.

p. 39a2 Καὶ τελειοῦνται διὰ τῶν πρώτων σχημάτων. πληθυντικῶς γὰρ εἶπεν, ἐπειδὴ πολλαχῶς τὸ πρῶτον σχῆμα· ὁ μὲν γὰρ ἐξ ἐνδεχομένου καὶ ὑπάρχοντος ἐν δευτέρῳ σχήματι τελειοῦται διὰ τοῦ ἐν πρώτῳ σχήματι ἐξ ἐνδεχομένου καὶ ὑπάρχοντος, ὁ δὲ ἐξ ἐνδεχομένου καὶ ἀναγκαίου ἐν δευτέρῳ σχήματι διὰ τοῦ ἐξ ἐνδεχομένου καὶ ἀναγκαίου ἐν πρώτῳ σχήματι.

Γ ΣΧΗΜΑ ΕΞ ΑΜΦΟΤΕΡΩΝ ΕΝΔΕΧΟΜΕΝΩΝ.

p. 39a4 Ἐν δὲ τῷ τελευταίῳ σχήματι. Ἴδιον τοῦ τρίτου σχήματος ἐπὶ τῶν ἐξ ἀμφοτέρων ἐνδεχομένων τὴν μίαν πρότασιν καθόλου εἶναι· ἐκ δύο γὰρ μερικῶν οὐδεὶς γίνεται συλλογισμός. δώδεκα δὲ νῦν εἰσι συλλογισμοί· ἢ γὰρ ἄμφω καθόλου, ἢ ἡ μὲν καθόλου ἡ δὲ ἐν μέρει, καὶ τοῦτο διχῶς παρὰ τὴν μείζονα καὶ ἐλάττονα πρότασιν, καὶ ἕκαστον τῶν τριῶν τετραχῶς παρὰ τὸ ποιόν. καὶ ἕκαστον τὸ κυρίως ἐνδεχόμενον συνάγει.

p. 39a7 Καὶ ὅταν ἡ μὲν ἐνδέχεσθαι ἡ δ᾽ ὑπάρχειν. καίτοι τότε οὐκ ἀεὶ τὸ κυρίως ἐνδεχόμενον συνάγεται· ὅταν γὰρ ἡ ὑπάρχουσα καθόλου ἀπόφασις ᾖ, τὸ

---

4 ἐνδεχέσθω] ω in ras. P¹ 10. 11 ἀναγκαίας scripsi: ἀναγκαῖον P 12 ἀναγκαῖον prius delevi τὸ scripsi: τοῦ P 16 ἐνδέχεται P 23 συμπερασμάτων ἐν P 29 τελειοῦται scripsi: τελειοῦνται P 39 τότε] τό in ras. P¹

ὑπάρχον συνάγεται, ὥσπερ καὶ ὅταν ἡ ἀναγκαία καθόλου ἀπόφασις ᾖ, τὸ ἐξ ἡμισείας ἐνδεχόμενον καὶ ἀναγκαῖον συνάγεται. ἢ ἐπειδὴ τὸ ὑπάρχον ἐνδεχόμενόν ἐστιν τῷ μὴ ἀεὶ εἶναι, ὡς ἐπὶ τῆς μίξεως ἐνδεχομένου | καὶ ὑπάρχοντος ἀεὶ ἐνδεχόμενον ἔφη f. 250v συνάγεσθαι.

p. 39a9 Οὔτ᾽ ἀναγκαῖον οὔτε ὑπάρχον ἀλλὰ τὸ κυρίως ἐνδεχόμενον. ἐφεξῆς δὲ τὸ ἐξ ἡμισείας ἀναγκαῖον καὶ ἐξ ἡμισείας ἐνδεχόμενον ὑπάρχον καλεῖ· καὶ γὰρ τὸ ὑπάρχον τοῦ μέν, τοῦ ἀναγκαίου, ἔχει τὸ ἐκβεβηκέναι, τοῦ δέ, τοῦ ἐνδεχομένου, τὸ μὴ δύνασθαι ἔτι εἶναι.

p. 39a11 Ληπτέον δὲ καὶ ἐν τούτοις. ὅτε ἡ ἀναγκαία καθόλου ἀπόφασίς ἐστιν, ληπτέον ἐνδεχόμενον καὶ νῦν τὸ ἐξ ἡμισείας.

p. 39a24 Ἀντιστραφεισῶν δὲ τῶν προτάσεων. καίτοι μία ἀντιστρέφεται, ἡ ἐλάττων. ἢ ⟨ἡ⟩ αὐτὴ οὐδενὶ οὖσα πρῶτον γίνεται παντὶ κατὰ τὴν ἐνδεχομένην ἀντιστροφήν, εἶτα τινὶ κατὰ τὴν ἁπλῆν ἀντιστροφήν· δύο οὖν αἱ ἀντιστρεφόμεναι προτάσεις, ἡ οὐδενὶ καὶ ἡ παντί, εἰ καὶ περὶ τοὺς ⟨αὐτοὺς⟩ ὅρους ἀμφότεραι.

p. 39a29 Τὸν αὐτὸν τρόπον ἐχόντων ⟨τῶν⟩ ὅρων ὅνπερ ἐπὶ τοῦ ὑπάρχειν. πῶς οὐ ψεῦδος τοῦτο, εἰ ἐπὶ μὲν τῶν ἐνδεχομένων δύναται ἡ μὲν ἐλάττων ἀποφατικὴ εἶναι, ἐπὶ δὲ τοῦ ὑπάρχοντος οὐ δύναται; ἢ οὐδ᾽ ἐπὶ τῶν ἐνδεχομένων ὡς ἀποφατικὴ ἡ ἐλάττων συλλογισμὸν ποιεῖ, ἀλλ᾽ ὡς δυναμένη μεταλαμβάνεσθαι εἰς κατάφασιν.

p. 39a31 Καὶ οὐκ ἔστι συλλογισμός. πῶς οὐκ ἔστι συλλογισμὸς ἐπὶ τῶν ἐξ ἀμφοτέρων ἐνδεχομένων; ἢ τῆς ἐλάττονος ἀποφατικῆς μενούσης ἢ μὴ οὔσης καθόλου προτάσεως.

Γ ΣΧΗΜΑ. ΜΙΞΙΣ ΕΝΔΕΧΟΜΕΝΟΥ ΚΑΙ ΥΠΑΡΧΟΝΤΟΣ.

p. 39b7 Ἐὰν δ᾽ ἡ μὲν ὑπάχειν ἡ δ᾽ ἐνδέχεσθαι. Οκτωκαίδεκα γίνονται συλλογισμοί· οἱ γὰρ ἓξ διπλασιάζονται παρὰ τὴν τάξιν τῶν τρόπων καὶ προστίθενται ἕτεροι ἓξ τὴν ἐλάττονα ἐνδεχομένην ἀποφατικὴν ἔχοντες. διὰ τὰ αὐτὰ δὲ καὶ τῆς ἑξῆς μίξεως τοσοῦτοί εἰσι συλλογισμοί. ἴδιον δὲ τῶν δύο τούτων μίξεων τὸ μίαν καθόλου εἶναι | καὶ τὴν ἐλάττονα καταφατικήν, ἐὰν μὴ ἐνδεχομένη ᾖ ἀλλ᾽ ὑπάρ- f. 251r χουσα ἢ ἀναγκαία.

p. 39b9 Καὶ οὐχ ὅτι ὑπάρχει. καίτοι ὑπάρχον συνάγεται τῆς ὑπαρχούσης καθόλου ἀποφατικῆς οὔσης. ἢ οὐκ ἀεὶ συνάγεται ὑπάρχον, ἀεὶ δ᾽ ἐνδεχόμενον· τὸ γὰρ κοινόν.

p. 39b9 Συλλογισμὸς δ᾽ ἐστὶ τὸν αὐτὸν τρόπον ἐχόντων τῶν ὅρων ὃν καὶ ἐν τοῖς πρότερον· ὡς γὰρ ἐν πρώτῳ καὶ δευτέρῳ σχήματι, οὕτως καὶ νῦν ἐπὶ τῶν μίξεων ἐνδεχομένου καὶ ὑπάρχοντος κυρίως ἐνδεχόμενον συνάγεται, εἰ μὴ τύχῃ ἡ ὑπάρχουσα καθόλου ἀπόφασις οὖσα.

p. 39b14 Ὅτε γὰρ ἡ ἑτέρα τῶν προτάσεων. ἔδει μὲν εἰπεῖν ὅτι τὸ κυρίως ἐνδεχόμενον συνάγεται, ἐπειδὴ ἀνῆκται εἰς τρόπον τοῦ πρώτου σχήματος μὴ ἔχοντα

---

2 τῶ ex τὸ corr. P1 3 εἶναι superscr. P1 7 τοῦ primum ex τὸ corr. P1 τοῦ tert. scripsi: τὸ P 8 immo τὸ δύνασθαι μηκέτι 11 μία] ι in ras. ex η corr. P 12 ἡ alt. addidi 14 αὐτοὺς addidi 15 τῶν ex Arist. addidi 21 μὲν οὔσης ἢ P 27 ἴδιον scripsi: ἰδίως P τούτων scripsi: τῶ τῶν P

καθόλου ἀπόφασιν ὑπάρχουσαν· ὁ δὲ ἀντὶ τούτου φησὶν νῦν, καὶ ἑξῆς δὲ τὸ αὐτὸ ἐρεῖ, ὅτι ἐνδεχόμενον συνάγεται, ἐπειδὴ δέδεικται ἐν πρώτῳ σχήματι τῇ χείρονι ἑπόμενον τὸ συμπέρασμα ἐπὶ τῆς μίξεως ἐνδεχομένου καὶ ὑπάρχοντος.

p. 39ᵇ31 Εἰ δ᾽ ἡ μὲν κατάφασις καθόλου ἡ δ᾽ ἐν μέρει στερητική. τὸν πέμπτον τρόπον, ὅς ἐστιν ἐκ τοῦ παντὶ καὶ οὐ παντί, τὸν ἔχοντα τὴν καθόλου ὑπάρχουσαν τὴν δὲ μερικὴν ἐνδεχομένην δι᾽ ἀδυνάτου δείκνυσιν οὕτως· τὸ Α οὐ παντὶ τῷ Γ ἐνδεχομένως· τὸ Β παντὶ τῷ Γ ὑπαρχόντως· λέγω ὅτι τὸ Α τῷ Β οὐ παντὶ ἐνδέχεται· εἰ γὰρ μή, τὸ Α τῷ Β παντὶ ἐξ ἀνάγκης, τὸ δὲ Β παντὶ τῷ Γ ὑπαρχόντως· τὸ Α ἄρα παντὶ τῷ Γ ἐξ ἀνάγκης· τῇ γὰρ μείζονι ἕπεται τὸ συμπέρασμα ἐν πρώτῳ σχήματι ἐπὶ τῆς μίξεως ὑπάρχοντος καὶ ἀναγκαίου· ἀλλὰ καὶ ἐνδέχεται μὴ παντὶ τὸ Α τῷ Γ· ὅπερ ἀδύνατον. ἀλλὰ [καὶ] διὰ τί τὸν τρόπον τοῦτον οὐκ ἔδειξε δι᾽ ἀντιστροφῆς; ἢ ὅτι πολλῶν ἀντιστροφῶν ἐδέετο· τεσσάρων γάρ· ἔδει γὰρ τὴν μείζονα πρότασιν τὴν οὐ παντὶ ποιῆσαι τινί, εἶτα τὴν τινὶ πρὸς ἑαυτὴν ἀντιστρέψαι κατὰ τὴν ἁπλῆν, εἶτα τὸ συμπέρασμα τὸ τινὶ πρὸς ἑαυτὸ ἀντιστρέψαι, εἶτα μεταλαβεῖν αὐτὸ εἰς τὸ οὐ παντί, ἵνα μὴ κατάφασις συναγθῇ ἐκ καταφάσεως καὶ ἀποφάσεως.

p. 40ᵃ2 Ἡ ἐν τοῖς καθόλου καὶ διὰ τῶν | αὐτῶν ὅρων. ἀλλ᾽ οὐκ **f. 251ᵛ** εἶπεν ὅρους ἐπὶ τῶν ἐξ ἀμφοτέρων καθόλου ἐνδεχομένων ἀλλ᾽ ἐπὶ τῶν ἐξ ἀμφοτέρων μερικῶν ἐνδεχομένων. ἢ τὰς ἐξ ἀμφοτέρων μερικῶν ἐνδεχομένων καθόλου καλεῖ νῦν ὡς δι᾽ ὅλου τὸ ἐνδεχόμενον ἐχούσας.

ΣΧΗΜΑ Γ ΜΙΞΕΩΣ ΕΝΔΕΧΟΜΕΝΟΥ ΚΑΙ ΑΝΑΓΚΑΙΟΥ.

p. 40ᵃ4 Εἰ δ᾽ ἐστὶν ἡ μὲν ἀναγκαία τῶν προτάσεων ἡ δ᾽ ἐνδεχομένη. Ὅτι τῆς ἀναγκαίας καθόλου ἀποφάσεως οὔσης καὶ ἐνδεχόμενον μηδενὶ καὶ ὑπάρχον μηδενί φησι συνάγεσθαι, οὐ μὴν τὸ ἐξ ἀνάγκης οὐδενί· ἄλλο γὰρ τὸ οὐδενὶ ἐξ ἀνάγκης τὸ ἀναιροῦν τὸν τρόπον, ὃ καὶ συνάγεται παρὰ τὸ ἐξ ἀνάγκης οὐδενί.

p. 40ᵃ15 Οὕτω γὰρ συνέπιπτεν ἐπὶ τοῦ πρώτου σχήματος. τὸ κυρίως ἐνδεχόμενον ἐν τῷ πρώτῳ σχήματι συνήγετο, ὅτε οὐκ ἦν ἡ ἀναγκαία καθόλου ἀπόφασις.

p. 40ᵃ21 Ἔσται δὴ πάλιν τὸ πρῶτον σχῆμα. ὑπάκουσον τὸ κυρίως ἐνδεχόμενον συνάγον· τούτου γὰρ τὴν αἰτίαν ἐπάγει.

p. 40ᵃ36 Ὅροι. νῦν τὸν μέσον τῇ προφορᾷ καὶ οὐ τὸν τελευταῖον μέσον λαμβάνει τοῦ σχήματος, τὸν ἵππον.



p. 40ᵇ12. Φανερὸν οὖν καὶ ἐν τούτῳ τῷ σχήματι πότε. ὅτε μία καθόλου ἐστὶν καὶ ἡ ἐλάττων καταφατική, εἴτε ὑπάρχουσά ἐστιν ἢ ἀναγκαία. πῶς. τῆς ἀποφατικῆς ἐνδεχομένης εἰς κατάφασιν μεταβαλλομένης καὶ ἢ δι᾽ ἀντιστροφῆς ἢ

---

4 μέρει] ει in ras. P¹ 5 ὅς scripsi: ὥς P 7 οὐ scripsi: ὁ P
11 Γ scripsi: Β P καὶ ut e vs. 10 illatum delevi 21 ἐνδέχεται P
26 ὅτε scripsi: οὔτε P 30 supra τῇ προφωρᾶι (sic) scriptum τῇ φωνῇ P 35 εἴτε scripsi: οὔτε P

δι᾽ ἀδυνάτου. | καὶ πότε τοῦ ἐνδέχεσθαι καὶ πότε τοῦ ὑπάρχειν. τὸ f. 252r κυρίως, φησίν, ἐνδεχόμενον συνάγουσιν οἱ μὴ ἔχοντες τὴν ἀναγκαίαν καθόλου ἀποφατικήν.

ΣΥΝΟΨΙΣ ΤΩΝ ΜΙΞΕΩΝ.

Τριῶν ὄντων τρόπων, ὑπάρχοντος, ἀναγκαίου, ἐνδεχομένου, τριῶν δὲ καὶ σχημάτων ἐννέα εἰσὶν αἱ πᾶσαι μίξεις. καὶ ἐπὶ μὲν τῆς μίξεως ὑπάρχοντος καὶ ἀναγκαίου ἐν μὲν πρώτῳ σχήματι τῇ μείζονι βούλεται ἕπεσθαι τὸ συμπέρασμα, ἐν δὲ δευτέρῳ τῇ ἀντιστρεφομένῃ ἐν τῇ εἰς τὸ πρῶτον σχῆμα ἀναγωγῇ, ἐν δὲ τρίτῳ τῇ μὴ ἀντιστρεφομένῃ, ὅταν δηλαδὴ δι᾽ ἀντιστροφῆς γένηται ἡ ἀπόδειξις, εἰ δὲ δι᾽ ἀδυνάτου μόνον, ὡς ἐν τῷ τετάρτῳ τοῦ δευτέρου καὶ τῷ πέμπτῳ τοῦ τρίτου, τῇ χείρονι. ἐπὶ δὲ τῶν λοιπῶν ἓξ μίξεων τὸ κυρίως ἐνδεχόμενον συνάγεσθαι, εἰ μὴ τύχῃ ἡ συμπλεκομένη τῇ ἐνδεχομένῃ προτάσει καθόλου ἀποφατικὴ ὑπάρχουσα πάντως ἢ ἀναγκαία· τότε γὰρ ἐπὶ μὲν ἐνδεχομένου καὶ ὑπάρχοντος τὸ ὑπάρχον συνάγεσθαι, ἐπὶ δὲ ἐνδεχομένου καὶ ἀναγκαίου τὸ ἐξ ἡμισείας ἐνδεχόμενον καὶ ἀναγκαῖον. οἱ δ᾽ ἑταῖροι αὐτοῦ καὶ οἱ Πλατωνικοὶ ἀεὶ τῇ χείρονι ἕπεσθαι τὸ συμπέρασμα βούλονται ἐπὶ τῶν ἐννέα μίξεων.

ΕΙΣ ΤΑΣ ΜΙΞΕΙΣ.

p. 40b17 Ὅτι μὲν οὖν οἱ ἐν τούτοις τοῖς σχήμασι. Διδάξας ὁ Ἀριστοτέλης πάντας τοὺς κατηγορικοὺς συλλογισμούς, ἁπλοῦς, μικτούς, ἀνάγει νῦν πάντας τοὺς συλλογισμούς, κατηγορικούς, ὑποθετικούς, ἐπ᾽ εὐθείας, δι᾽ ἀδυνάτου, ἁπλοῦς, συνθέτους, εἰς τὰ τρία σχήματα. καὶ τέως τοὺς ἁπλοῦς κατηγορικούς, οἳ καὶ πάντως ἐπ᾽ εὐθείας εἰσίν, τὸν τρόπον τοῦτον· εἰ δέοι δεῖξαι τὴν AB πρότασιν, ἢ οὐ ληψόμεθά τι ἢ ληψόμεθα πρὸς κατασκευὴν αὐτῆς· ἀλλ᾽ εἰ μὲν τὸ πρῶτον, τὸ ἐν ἀρχῇ αἰτησόμεθα· εἰ δὲ τὸ δεύτερον, ἢ ἓν ἢ πολλά· ἀλλ᾽ εἰ μὲν ἕν, οὐ γίνεται συλλογισμός· τεθέντων γὰρ τινῶν, ἀλλ᾽ οὐ τεθέντος τινὸς οὕτος γίνεται· εἰ δὲ πολλά, ἢ δύο ἢ πλείονα· καὶ εἰ δύο, ἀμφοτέρων τῶν AB ὅρων ἤρτηται· ὁ μὲν γὰρ ἁπλῶς συλλογισμὸς ἐκ τῶν ἁπλῶς προτάσεων, ὁ δὲ τοῦδε ἐκ ⟨τῶν⟩ τοῦδε, καὶ ὁ πρὸς τόδε ἐκ τῶν πρὸς τόδε, ὁ δὲ τοῦδε πρὸς τόδε ἐκ τῶν τοῦδε πρὸς τόδε. ἕξουσιν οὖν | αἱ δύο προτάσεις κοινὸν f. 252v ὅρον· καὶ οὗτος ἢ ἐν ἀμφοτέροις κατηγορεῖται ἢ ἐν ἀμφοτέροις ὑπόκειται ἢ ἀναμίξ· καὶ γίνονται τὰ τρία σχήματα. ὁμοίως δὲ καὶ ὁ σύνθετος κατηγορικὸς συλλογισμὸς ὑπὸ τὰ τρία σχήματα ἀνάγεται· δύο γάρ εἰσιν αἱ κύριαι αὐτοῦ προτάσεις· αἱ δ᾽ ἄλλαι προσυλλογισμοὺς ποιοῦσιν, ὡς ἑξῆς δείκνυσιν. καὶ οἱ δι᾽ ἀδυνάτου δὲ συλλογισμοὶ σύνθετοι ὑποθετικοὶ ὄντες ὑπὸ τὰ τρία σχήματα τελοῦσι· καὶ οἱ ἁπλοῖ δὲ ὑποθετικοί· οἱ μὲν δι᾽ ἀδυνάτου, ἐπειδὴ δεόνται κατηγορικοῦ συλλογισμοῦ τοῦ τὸ ἀδύνατον δεικνύντος, οἷον τοῦ γεωμετρικοῦ θεωρήματος τοῦ δεικνύντος διὰ κατηγορικοῦ συλλογισμοῦ πῶς, εἰ ἡ διάμετρος τῇ πλευρᾷ σύμμετρος, ὁ αὐτὸς ἀριθμὸς καὶ ἄρτιος καὶ περιττός· οἱ δ᾽ ἁπλοῖ ὑποθετικοί, ἤτοι οἱ ἐπ᾽ εὐθείας, ἐπειδὴ δέονται κατηγορικοῦ συλλογισμοῦ τοῦ τὴν πρόσληψιν δεικνύντος· δεῖ γάρ, φησὶν Ἀριστοτέλης, ἐν τοῖς ὑποθετικοῖς συλλογισμοῖς τὸ μὲν συνημμένον ὡμολογῆσθαι πάντως, τὴν δὲ πρόσληψιν ἀμφιβάλλεσθαι. καὶ εὖ γε ἀμφότερα· εἰ γὰρ ἀμφιβάλλοιτο τὸ συνημμένον, ἀμφιβάλλεται καὶ τὸ ὑποθετικοὺς

---

7 ante πρώτῳ et δευτέρῳ add. τῷ f. 196vP (= Pb) 8 δε τ Γ (sic) P 9 δηλαδὴ Pb: δῆλον P 10 post τετάρτῳ add. τρόπῳ Pb post χείρονι add. τῶν προτάσεων Pb 26 τῶν prius addidi 37 et 38 πρόσληψιν scripsi: πρόληψιν P

αὐτοὺς εἶναι, καὶ ὁ κατασκευάζων τὸ συνημμένον ἅμα κατασκευάζει καὶ ὅτι ὑποθετικοί εἰσιν· καὶ εἰ ὡμολόγηται καὶ ἡ πρόσληψις, οὐδ᾽ ὑποθετικοῦ συλλογισμοῦ χρεία. καὶ ἄλλως δὲ καθόλου πᾶς ὑποθετικός, ἐπ᾽ εὐθείας καὶ δι᾽ ἀδυνάτου, κατηγορικοῦ συλλογισμοῦ δεῖται· εἰ γὰρ ἀεὶ ὑποθέσεις δι᾽ ὑποθέσεως κατασκευάσομεν, οὐδέποτε στησόμεθα. εἰ οὖν πᾶς ὑποθετικὸς συλλογισμὸς κατηγορικοῦ δεῖται, πᾶς δὲ κατηγορικὸς διὰ τῶν τριῶν σχημάτων γίνεται, καὶ πᾶς ἄρα ὑποθετικὸς καὶ πᾶς συλλογισμὸς τῶν τριῶν σχημάτων δεῖται. καὶ διὰ τοῦτο ἅπασα πίστις εἰς τὸ πρῶτον ἀνάγεται σχῆμα καὶ τοῦ πρώτου σχήματος εἰς τοὺς καθόλου συλλογισμούς.

p. 40 b 17 Ὅτι μὲν οὖν. ἐπειδὴ δέδεικται ὅτι οἱ ἐν τοῖς τρισὶ σχήμασι συλλογισμοὶ ὑπὸ τὸ πρῶτον σχῆμα ἀνάγονται καὶ τοὺς τοῦ πρώτου καθόλου δύο συλλογισμούς, δείξομεν νῦν ὅτι καὶ πᾶς [κατηγορικὸς] συλλο|γισμὸς οὕτως ἔχει, εἰ πρότερον f. 253 δείξωμεν ὅτι πᾶς κατηγορικὸς συλλογισμὸς ὑπὸ τὰ τρία σχήματα ἀνάγεται, οὐ μόνον δὲ πᾶς κατηγορικὸς συλλογισμὸς οὕτως ἔχει ἀλλὰ καὶ πᾶς ὑποθετικός, οὗ μέρος ὁ δι᾽ ἀδυνάτου· πᾶς μὲν γὰρ δι᾽ ἀδυνάτου ὑποθετικός, οὐ πᾶς δὲ ὑποθετικὸς δι᾽ ἀδυνάτου, ὥσπερ καὶ πᾶς μὲν κατηγορικὸς ἐπ᾽ εὐθείας, οὐ πᾶς δ᾽ ἐπ᾽ εὐθείας κατηγορικός· ἐπ᾽ εὐθείας γὰρ ἀλλ᾽ οὐ κατηγορικὸς ὅδε· ἀριθμὸς ἢ ἄρτιος ἢ περιττός ἐστιν· ἀλλὰ μὴν οὐκ ἄρτιος· περιττὸς ἄρα.

p. 40 b 33 Τὸ δὲ Γ κατὰ μηδενός. ἵνα ᾖ τὸ πρῶτον σχῆμα· τὸ Α κατὰ τοῦ Γ, τὸ Γ κατὰ τοῦ Δ.

p. 40 b 34 Μηδ᾽ ἄλλο κατ᾽ ἐκείνου. ἵνα ᾖ τὸ τρίτον σχῆμα· τὸ Α καὶ Δ κατὰ τοῦ Γ. τὸ δὲ δεύτερον παρῆκεν ὡς διὰ τῶν ἄκρων εἰσφερόμενον.

p. 40 b 34 Μηδὲ κατὰ τοῦ Α ἕτερον. πάλιν τὸ πρῶτον σχῆμα· τὸ Δ κατὰ τοῦ Α, τὸ Α κατὰ τοῦ Γ.

p. 40 b 37 Ἐὰν μὲν οὖν ληφθῇ τὸ Α κατ᾽ ἄλλου ἢ ἄλλο κατὰ τοῦ Α. ὅτι οὐ δεῖ πρὸς μόνον τὸν μείζονα ὅρον συνῆφθαι τὰς προτάσεις.

p. 40 b 38 Ἢ κατὰ τοῦ Γ ἕτερον. ἵνα ᾖ τὸ τρίτον σχῆμα· τὸ Α ⟨καὶ Δ⟩ κατὰ τοῦ Γ. πάλιν δὲ μόνῳ τῷ μείζονι συνημμέναι εἰσὶν αἱ προτάσεις.

p. 40 b 40 Οὐδ᾽ ὅταν. ὅτι [οὐ] δεῖ ἀμφοτέρων τῶν ἄκρων τοῦ συμπεράσματος ἀπηρτῆσθαι τὰς προτάσεις.

p. 41 a 18 Ὁ γὰρ αὐτὸς λόγος. ὅτι πᾶς σύνθετος κατηγορικὸς ὑφ᾽ ἓν τῶν τριῶν σχημάτων ἀνάγεται· δύο γὰρ αὐτοῦ αἱ κύριαι προτάσεις· αἱ δ᾽ ἄλλαι προσυλλογισμὸν ποιοῦσιν.

p. 41 a 21 ⟨Ὅτι μὲν οὖν οἱ δεικτικοί.⟩ ὅτι τοὺς ἐπ᾽ εὐθείας δεικτικοὺς καλεῖ, τοὺς δὲ δι᾽ ἀδυνάτου κύκλῳ, ἐπειδὴ οἱ μὲν ἐπ᾽ εὐθείας σύντομοι ὡς αὐτόθεν τὸ προκείμενον δεικνύντες (καὶ γὰρ ἡ εὐθεῖα ἐλαχίστη πασῶν τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν, ὅθεν καὶ τὸ εὐθέως ἀπὸ τῆς εὐθείας εἴρηται), οἱ δὲ δι᾽ ἀδυνάτου πολλὴν ὁδὸν βαδίζουσι τὰ ἀντικείμενα ἀναιροῦντες, ἵνα τὰ προκείμενα εἰσαγάγωσιν, ὅθεν καὶ κύκλον ἐν τῇ συνηθείᾳ φαμὲν ἐπὶ τῶν μακρᾶς ὑποθέσεως δεομένων.

p. 41 a 24 Τὸ μὲν ψεῦδος περαίνοντες συλλογίζονται. ὅτι ὁ Ἀριστοτέλης τὸν μὲν κατηγορικὸν καὶ συλλογισμὸν ἁπλῶς καλεῖ, τὸν δ᾽ ὑποθετικὸν συλλογισμὸν τὸ

---

2 πρόσληψις scripsi: πρόληψις P 10 τοὺς τοῦ scripsi: τοῦ σ P 11 κατηγορικὸς, supra quod, non inter lineas sed in versu antecedenti ante καθόλου, scripsit ὑποθετικὸς P (cf. ad p. 70,21), ut e vs. 12 illatum delevi 22 ad ἕτερον in mrg. ascr. BA P 26 τρίτον scripsi: B P καὶ Δ addidi cf. vs. 20 28 οὐ ut e vs. 25 illatum delevi 31 ἀνάγεται scripsi: ἀνάγονται P κύριαι scripsi cf. p. 65,30: καίριαι P 31. 32 an προσυλλογισμοὺς? cf. p. 65,30. 31 33 lemma addidi 35 δεικνύντες] ὑ ex ὁ corr. P

συναμφότερον μόνον, οὐδέποτε δὲ ἁπλῶς συλλογισμόν. | ὡς οὐδὲ τὸν νεκρὸν ἄν- f. 253v
θρωπον μόνον. τὸ ἀδύνατον οὖν, φησίν, τὸ ἐν τῷ ὑποθετικῷ συλλογισμῷ κατηγορικὸς συλλογισμὸς δείκνυσιν, οἷον ὁ αὐτὸς ἀριθμὸς ἄρτιος ἄρα καὶ περιττός, εἰ ἡ διάμετρος τῇ πλευρᾷ σύμμετρος. τὸ δὲ προκείμενον ὁ ὑποθετικὸς συλλογισμὸς δείκνυσιν· ἐπεὶ γὰρ
5 ἡ διάμετρος τῇ πλευρᾷ σύμμετρος ἢ ἀσύμμετρος καὶ οὐκ ἔστιν σύμμετρος διά τι λῆμμα κατηγορικόν, ἀσύμμετρον ἄρα. διὸ καὶ ὑποθετικὸς λέγεται ὁ δι' ἀδυνάτου καίπερ καὶ κατηγορικῷ συλλογισμῷ χρώμενος, ἐπειδὴ λῆμμά ἐστιν ὁ κατηγορικός, τὸ δὲ προκείμενον ὁ ὑποθετικὸς δείκνυσιν.

p. 41a30 Ὅτι ἀντίφασιν καλεῖ τὸ ἀντικείμενον μόριον τῷ προκειμένῳ εἰς
10 ἀπόδειξιν.

p. 41a37 Ὡσαύτως δέ. ὅτι οὐ μόνοι τῶν ὑποθετικῶν οἱ δι' ἀδυνάτου εἰς τὰ τρία σχήματα ἀνάγονται ἀλλὰ καὶ καθόλου πάντες οἱ ὑποθετικοί· καὶ γὰρ οἱ ἐπ' εὐθείας ὑποθετικοί· τὰ γὰρ ἀμφιβαλλόμενα ἐν τοῖς ὑποθετικοῖς διὰ κατηγορικοῦ συλλογισμοῦ δεικνύουσιν, ἵνα μὴ ἐπ' ἄπειρον προέλθωσιν δι' ὑποθέσεως ἀεὶ δεικνύντες τὰς
15 προπαραλαμβανομένας ὑποθέσεις.

p. 41a39 Ὅτι τὸ παρὰ τοῖς Στωικοῖς λεγόμενον πρόσληψιν ὁ Ἀριστοτέλης μετάληψιν καλεῖ νῦν διὰ τὸ μεταλαμβάνεσθαι ἀπὸ ἀμφιβόλου εἰς ὁμολογούμενον· οὐκέτι γὰρ μετὰ τοῦ 'εἰ' λέγεται ἀλλὰ μετὰ τοῦ 'ἀλλά'. κατὰ πρόσληψιν δὲ καλεῖ ὁ Ἀριστοτέλης τὴν πρότασιν τὴν ἰσοδυναμοῦσαν συλλογισμῷ τὴν δύο ὅρους ἐνεργείᾳ ἔχουσαν καὶ ἕνα
20 [δὲ] δυνάμει· καθ' οὗ ὁ ἄνθρωπος, κατὰ τούτου ζῷον.

Ὅτι δόγματα Ἀριστοτέλους τὸ ἐν τοῖς ὑποθετικοῖς τὸ συνημμένον ὁμολογεῖσθαι καὶ τὸ τὴν πρόσληψιν πάντως κατασκευάζεσθαι, καὶ ἄμφω ταῦτα ἐδείξαμεν ἀληθῆ ἐν τῇ θεωρίᾳ.

p. 41a40 Ὅτι οὐ μόνον οἱ ὑποθετικοὶ οἱ μικτοὶ ἐκ κατηγορικοῦ συλλογισμοῦ καὶ
25 ὑποθετικοῦ εἰς τὰ τρία σχήματα ἀνάγονται διὰ μέσου τοῦ κατηγορικοῦ ἀλλὰ καὶ οἱ δι' ὅλου ὑποθετικοί· εἰ ἄνθρωπος, καὶ ζῷον· εἰ ζῷον, ἔμψυχον· εἰ ἄνθρωπος ἄρα, ἔμψυχον. καὶ οἱ κατὰ πρόσληψιν δὲ συλλογισμοὶ | εἰς τὰ τρία σχήματα ἀνάγονται· καθ' οὗ τὸ f. 254r
A, καὶ τὸ B· τρίτον γάρ ἐστιν σχῆμα. καὶ οὐδὲ διὰ μέσου ἄλλου εἰς τὰ τρία σχήματα τελοῦσιν οἱ δ' ὅλου ὑποθετικοὶ καὶ οἱ κατὰ πρόσληψιν, καθάπερ πάντες οἱ μικτοὶ ὑπο-
30 θετικοί, ἀλλὰ διὰ τὴν πλοκὴν τὴν οἰκείαν. πᾶσα ἄρα κατασκευὴ ὑπὸ τὰ τρία σχήματα ἀνάγεται· τοῦτο δὲ ἦν τὸ προκείμενον.

ΠΕΡΙ ΥΠΟΘΕΤΙΚΩΝ ΣΥΛΛΟΓΙΣΜΩΝ ΕΚ ΤΟΥ ΜΟΝΟΒΙΒΛΟΥ ΑΜΜΩΝΙΟΥ.

Ἐπειδὴ τοὺς μὲν κατηγορικοὺς συλλογισμοὺς ἀνελλειπῶς ὁ Ἀριστοτέλης ἐλεπτούργησε, τοὺς ἁπλοῦς πάντας, τοὺς μικτοὺς πάντας, τὰ σχήματα πάντα, τοὺς τρόπους
35 πάντας, τῆς δὲ τῶν ὑποθετικῶν τεχνολογίας οὐ πάνυ φαίνεται φροντίσας (μόνον γάρ φησιν περὶ αὐτῶν ὅτι οἱ δι' ἀδυνάτου μέρος τῶν ἐξ ὑποθέσεως καὶ ὅτι καὶ οἱ δι' ἀδυνάτου καὶ οἱ ἐπ' εὐθείας ὑποθετικοὶ εἰς τὰ τρία σχήματα ἀνάγονται τῷ δεῖσθαι κατηγορικοῦ συλλογισμοῦ ἢ τὸ ψεῦδος κατασκευάζοντος ἢ τὴν πρόσληψιν) καὶ ἡμῖν παρακελεύεται ἐν τῷ πέρατι τοῦ δευτέρου τμήματος τοῦ βιβλίου τούτου διελεῖν τοὺς
40 ὑποθετικοὺς λέγων "δεῖ δ' ἐπισκέψασθαι καὶ διελεῖν ποσαχῶς οἱ ἐξ ὑποθέσεως", φέρε τὸ προσταχθὲν ποιήσωμεν, καὶ ὀκτὼ ταῦτα περὶ τῶν ὑποθετικῶν ζητήσωμεν. α. διὰ

---

2 τὸ alt. scripsi: τῶι P 14 δεικνύουσιν scripsi: δείκνυσιν P ὑποθέσεως scripsi: ὑποθετικῶς P 15 προπαραλαμβανομένας] post προ eras. 2 litt. P 20 δὲ delevi 19 τούτου scripsi: τοῦτο P 21 Ἀριστοτέλους scripsi: ἀριστοτέλης P 35 τῆς scripsi: τοὺς P γάρ] ἀρ in ras. P 40 λέγων] c. 29 p. 45b20 41 ποιήσωμεν scripsi: ποιήσομεν P

τί μὴ ἐπλάτυνεν ὁ Ἀριστοτέλης καὶ τὸν περὶ τῶν ὑποθετικῶν λόγον; ἢ ὡς τῶν Στωικῶν ἀκριβωσάντων αὐτούς. ἢ ὅτι οὐδὲ συλλογισμοί εἰσιν ἁπλῶς οὗτοι, ἀλλὰ τὸ ὅλον τοῦτο ἐξ ὑποθέσεως συλλογισμοί. ἢ ὅτι ἠρκέσθη τοῖς κατηγορικοῖς· διὰ τούτων γὰρ καὶ οἱ ὑποθετικοί. β. τίνα τὰ ὀνόματα οἷς οἱ Στωικοὶ κέχρηνται; οὗτοι τοίνυν τὰ πράγματα τυγχάνοντα καλοῦσι· τέλος γὰρ τὸ τυχεῖν τούτων. τὰ νοήματα ἐκφορικά· ταῦτα γὰρ ἐκφέρομεν διὰ τῶν φωνῶν. τὰς φωνὰς λεκτά. τὸ συνημμένον ἢ διεζευγμένον τροπικὸν διὰ τὸ τρόπον ποιεῖσθαι ἀπ᾽ ἄλλης προτάσεως εἰς ἄλλην. τὸ ἡγούμενον ὁμοίως ἡμῖν ἡγούμενον· τὸ ἑπόμενον λῆγον· τὴν πρόσληψιν ὁμοίως ἡμῖν πρόσληψιν. ὁ δὲ Ἀριστοτέλης | μετάληψιν αὐτὴν καλεῖ διὰ τὸ μεταλαμβάνεσθαι ἀπὸ ἀμφιβολίας εἰς f. 254v ἐνέργειαν· οὐκέτι γὰρ μετὰ ἐνδοιαστικοῦ συνδέσμου λέγεται. καὶ ἄμεινον ὁ Ἀριστοτέλης· οὐ γὰρ ἄλλη παρὰ τὰ προκείμενα προστίθεται, ὥσπερ ἐφεξῆς αὐτὸς καλεῖ κατὰ πρόσληψιν πρότασιν ‘καθ᾽ οὗ ὁ ἄνθρωπος, κατὰ τούτου καὶ ζῷον’· προστίθεται γὰρ ‘ἄνθρωπος δὲ κατὰ Σωκράτους’. ὃ δ᾽ ἡμεῖς λέγομεν συμπέρασμα, ἐκεῖνοι ἐπιφορὰν καλοῦσι. τοὺς δ᾽ ὑποθετικοὺς συλλογισμοὺς ἀναποδείκτους καλοῦσι καὶ θέματα. γ̄. τὴν ὁμοιότητα καὶ τὴν ἀνομοιότητα τῶν κατηγορικῶν συλλογισμῶν καὶ τῶν ὑποθετικῶν. ὃ τοίνυν ἐν τοῖς κατηγορικοῖς αἱ δύο προτάσεις, τοῦτο ἐν τοῖς ὑποθετικοῖς τὸ συνημμένον ἢ διεζευγμένον καὶ ἡ πρόσληψις· ὃ δ᾽ ἐκεῖ ἡ ἐλάττων, τοῦτο νῦν τὸ ἡγούμενον· καὶ ὃ ἡ μείζων, τοῦτο τὸ ἑπόμενον καὶ ἡ πρόσληψις· καὶ ὃ ἐν τοῖς κατηγορικοῖς ὁ μέσος ὅρος, τοῦτο νῦν ὁ σύνδεσμος ὁ ‘εἰ’ τυχὸν ἢ ὁ ‘ἤ’ καὶ ἁπλῶς ἡ σχέσις· ποτὲ γὰρ καὶ μετοχὴ συνδεῖ, οἷον ἡλίου ὑπὲρ γῆν ὄντος ἡμέρα ἐστίν. διαφέρουσι δέ, ὅτι ἐν μὲν τοῖς κατηγορικοῖς ἄμφω αἱ προτάσεις ὁμολογούμεναι ἦσαν, καὶ ὅτι τρίτον παρὰ ταύτας τὸ συμπέρασμα κατασκευάζεται, νῦν δὲ μία μόνον σαφής, καὶ ἡ ἑτέρα δι᾽ αὐτῆς κατασκευάζεται. δ̄. πόσα τὰ εἴδη τῶν ὑποθετικῶν συλλογισμῶν; εἰσὶ τοίνυν οὗτοι οἱ ὑπογεγραμμένοι. πρῶτος ὁ ἐξ ἀκολουθίας τῇ θέσει τοῦ ἡγουμένου τὸ ἑπόμενον τιθείς· εἰ ἄνθρωπος, καὶ ζῷον· τὸ δὲ πρῶτον· καὶ τὸ δεύτερον. δεύτερος ὁ ἐξ ἀκολουθίας τῇ ἀναιρέσει τοῦ ἑπομένου τὸ ἡγούμενον ἀναιρῶν· εἰ ἄνθρωπος, καὶ ζῷον· ἀλλὰ μὴν οὐ ζῷον· οὐδὲ ἄνθρωπος. εἰ μὴ ζῷον, οὐδὲ ἄνθρωπος· ἀλλὰ μὴν ἄνθρωπος· ζῷον ἄρα. οὗτος δὲ καὶ σὺν ἀντιθέσει ἀντιστροφὴ λέγεται. τρίτος ὁ ἐκ διαστάσεως καὶ ἀποφατικῆς συμπλοκῆς τῇ θέσει ἀναιρῶν· οὐχὶ καὶ ἄνθρωπος καὶ ἵππος τὸ αὐτό· ἀλλὰ μὴν ἄνθρωπος· οὐκ ἄρα ἵππος. τέταρτος ὁ ἐκ διαστάσεως τῇ θέσει ἀναιρῶν· ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ· ἀλλὰ μὴν ἡμέρα ἐστίν· οὐκ ἄρα νύξ. | πέμπτος ὁ ἐκ διαστάσεως f. 255r τῇ ἀναιρέσει τιθείς· ἤτοι ἡμέρα ἐστὶν ἢ νύξ· ἀλλὰ μὴν ἡμέρα οὐκ ἔστιν· νὺξ ἄρα ἐστίν. πέντε δὲ μόνοι εἰσὶν δι᾽ αἰτίαν τοιαύτην, ὅτι δύο μὲν ὕλαι ἕνα συλλογισμὸν ποιοῦσιν· εἴτε γὰρ μὴ ἀντίκεινται αἱ προτάσεις, εἴτε ἐμμέσως ἀντίκεινται, ὁ τρίτος συλλογισμὸς γίνεται· μία δὲ ὕλη, τὰ ἄμεσα ἀντικείμενα, δύο ποιεῖ συλλογισμούς, τὸν τέταρτον καὶ τὸν πέμπτον.



7 ποιῆσθαι P 10 ἐνδοαστικοῦ P pr.; corr., ut videtur, P² 15 ὁμοιότηταν P 17 νῦν fol. 198v P (= Pb): τοίνυν P 18. 19 τῷ κατηγορικῷ Pb 19 ὁ alt. ex ἡ corr. P¹ 20 οἷον Pb: om. P 22 παρὰ ταύτας Pb: παρ᾽ αὐτὴν P 22. 23 κατασκευάζεται δι᾽ αὐτήν Pb 25 δεύτερος scripsi: δεύτερον P 28 διαστάσεως scripsi: διαστάσεων P

ε̄. ἡ αἰτία τῆς τάξεως τῶν ὑποθετικῶν συλλογισμῶν. ἐπειδὴ ἀμείνων ἡ κοινωνία τῆς διαφορᾶς, προηγοῦνται οἱ κατὰ συνέχειαν τῶν κατὰ διάστασιν. καὶ ἐπεὶ ἄμεινον τὸ εἶναι τοῦ μὴ εἶναι, ἐν τοῖς κατὰ συνέχειαν προηγοῦνται οἱ κατασκευαστικοὶ τῶν ἀνασκευαστικῶν. καὶ ἐπεὶ ἄμεινον τὸ καθόλου τοῦ μερικοῦ, ἐν τοῖς κατὰ διάστασιν πρότερος ὁ ἐπὶ τῶν τριῶν ὑλῶν προϊὼν τοῦ ἐπὶ δύο μόνον, καὶ οὗτος τοῦ ἐπὶ μιᾶς μόνον· ἔστιν γὰρ εἰπεῖν 'οὐχὶ καὶ ἄνθρωπος καὶ ἵππος τὸ αὐτό', ἅπερ οὐκ ἀντίκειται, καὶ 'οὐχὶ λευκὸν καὶ μέλαν τὸ αὐτό', ἅπερ ἐμμέσως ἀντίκειται, καὶ 'οὐχὶ ἄρτιος καὶ περιττὸς ὁ αὐτός', ἅπερ ἀμέσως ἀντίκειται. καὶ πῶς ἐν τῇ διαιρέσει ἐπὶ δύο ὑλῶν τὸν τρίτον ἐλαμβάνομεν; ἢ ὅτι ἐὰν ἀμέσως ἀντίκειται, ἔστι καὶ μὴ χρήσασθαι τῷ τρίτῳ τρόπῳ, ἀλλ' ἢ τῷ τετάρτῳ ἢ τῷ πέμπτῳ· εἰ δὲ τὰ ἄλλα δύο τμήματα, οὐκ ἔστιν ἄλλως ἢ διὰ τοῦ τρίτου κατασκευάσαι. εἰς τὰ ἀναγκαῖα οὖν ἡ διαίρεσις, οὐκ εἰς τὰ ἐνδεχόμενα καὶ παρέλκοντα. ϛ̄. τίς ἡ εἰς τὸ ἀδύνατον ἀπαγωγή; σύγκειται ἐκ τριῶν συλλογισμῶν, δύο ὑποθετικῶν καὶ ἑνὸς κατηγορικοῦ, καὶ ὑποθετικῶν τοῦ πέμπτου καὶ τοῦ δευτέρου· καὶ ὁ μὲν πέμπτος τὸ προκείμενον δείκνυσιν, ὁ δὲ δεύτερος τὴν πρόσληψιν τοῦ πέμπτου, ὁ δὲ κατηγορικὸς τὸ συνημμένον τοῦ δευτέρου· | διὸ καὶ ὑποθετικὸς λέγεται καίπερ καὶ κατηγορικὸν f. 255v συλλογισμὸν ἔχων μέρος, ὡς τοῦ προκειμένου διὰ τοῦ πέμπτου τρόπου τῶν ὑποθετικῶν δεικνυμένου, τοῦ δὲ κατηγορικοῦ λήμματος ὄντος. οἷον ἡ διάμετρος τοῦ τετραγώνου τῇ πλευρᾷ ἢ σύμμετρος ἢ ἀσύμμετρος· ἀλλὰ μὴν οὐ σύμμετρος, ὡς δείξω· διὰ τὸν πέμπτον ἄρα τῶν ὑποθετικῶν ἀσύμμετρός ἐστιν, ὅπερ προέκειτο δεῖξαι. οὐ σύμμετρος δὲ ἡ διάμετρος τῇ πλευρᾷ διὰ ταῦτα· εἰ σύμμετρος ἡ διάμετρος τῇ πλευρᾷ, ὁ αὐτὸς ἀριθμὸς καὶ ἄρτιος καὶ περιττός, ὡς δείξω· τὸ δὲ δεύτερον οὐκ ἔστιν· διὰ τὸν δεύτερον ἄρα τῶν ὑποθετικῶν οὐδὲ τὸ πρῶτόν ἐστιν. ὅτι δέ, εἰ σύμμετρος ἡ διάμετρος τῇ πλευρᾷ, ὁ αὐτὸς ἄρτιος γίνεται καὶ περιττός, τὸ γεωμετρικὸν θεώρημα δείκνυσι διὰ κατηγορικοῦ συλλογισμοῦ. μέρος ἄρα οἱ δι' ἀδυνάτου τῶν ἐξ ὑποθέσεως, εἰ πᾶς μὲν δι' ἀδυνάτου ὑποθετικός, οὐ πᾶς δ' ὑποθετικὸς δι' ἀδυνάτου· οὐ γὰρ δὴ καὶ οἱ πέντε τρόποι ἐπ' εὐθείας ὄντες. λέγεται δ' ὁ δι' ἀδυνάτου καὶ κύκλῳ ὡς μὴ τὸ προκείμενον αὐτόθεν δεικνύς· ὁ γὰρ τοῦ προκειμένου συλλογισμὸς ἐπ' εὐθείας λέγεται, ἐπειδὴ καὶ ἡ εὐθεῖα ἐλαχίστη τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΠΡΟΣΛΗΨΙΝ ΣΥΛΛΟΓΙΣΜΩΝ.

Οὗτοι τοίνυν τῶν μὲν κατηγορικῶν ἔχουσι τὸ ἐν πᾶσι τοῖς σχήμασιν εἶναι· ἐν μὲν τῷ πρώτῳ ὃ τῷ Γ παντί, τούτῳ τὸ Α παντί· ἐν δὲ τῷ δευτέρῳ ὃ κατὰ τοῦ Β παντός, τοῦτο καὶ κατὰ τοῦ Γ παντός· ἐν δὲ τῷ τρίτῳ καθ' οὗ τὸ Α παντός, κατὰ τούτου καὶ τὸ Β· ἀλλὰ συνάγεται νῦν καὶ ἐν δευτέρῳ καταφατικὸν καὶ ἐν τρίτῳ καθόλου, καὶ ἐκ δύο ἀποφατικῶν ἐν πᾶσι, καὶ τῷ ὑπάρχειν ἡ ἀνυπαρξία συνάγεται. τῶν δὲ ὑποθετικῶν ἔχουσι τὸ συνῆφθαι τὰς προτάσεις καὶ τὸ τὴν ἑτέραν διὰ τῆς ἑτέρας κατασκευάζεσθαι· ἀλλ' οὔτε δι' ὅλου ὑποθετικοί εἰσιν, οὔτε ὑπὸ τοὺς πέντε τρόπους ἀνάγονται.

Οἱ κατὰ πρόσληψιν κατηγορικοί εἰσιν ὡς γινόμενοι κατὰ τὰ τρία σχήματα. οὐκ εἰσὶν κατηγορικοὶ ὡς μὴ σώζοντες τὰ ἴδια | τῶν σχημάτων. ὑποθετικοὶ δέ εἰσιν f. 256r διὰ τὸ συνῆφθαι τὰς δύο προτάσεις καὶ τὴν ἑτέραν διὰ τῆς ἑτέρας κατασκευάζεσθαι. οὐκ εἰσὶν ὑποθετικοί· οὔτε γὰρ δι' ὅλου οὔτε μὴ δι' ὅλου· τὸ δὲ δεύτερον, ἐπειδὴ μὴ τελοῦσιν ὑπὸ τοὺς πέντε τρόπους.

---

2 ἄμεινον] α in ras. P 15. 16 καίπερ κατηγορικοῦ συλλογισμοῦ f. 197vP (= Pb) 18 ἢ prius Pb: om. P 18. 19 τὸν ε̄ Pb cf. vs. 21: τοῦ ε̄ P 20 ἡ διάμετρος alt. om. Pb 21 post ἄρτιος add. ἐστιν Pb 23 post τὸ add. ἐν τῶι ῑ τῶν στοιχείων βιβλίον (sic) Pb 24 ὁ Pb 34 καθόλου Pb: καθοῦ P ὑπάρχειν Pb: ὑπάρχει P 42 post τρόπους add. τοὺς μὴ δι' ὅλου Pb

p. 41ᵇ6 Ἔτι δὲ ἐν παντὶ δεῖ. θεωρήματα κοινὰ παραδίδωσι τῶν τριῶν σχημάτων. πρῶτον οὐ γίνεται συλλογισμὸς ἄνευ καθόλου προτάσεως· ὁ γὰρ ἐκ δύο μερικῶν οὐ συλλογίζεται· καὶ ἢ οὐ τὸ προκείμενον, ἢ τὸ ἐν ἀρχῇ αἰτεῖται. εἰ γὰρ δεῖ δεῖξαι τὴν μουσικὴν ἡδονὴν σπουδαίαν, ⟨ἂν⟩ οὕτως εἴπῃ 'ἡ μουσικὴ ἡδονὴ [ἡ] ἡδονή ἐστιν· ἡ ἡδονὴ σπουδαία· ἡ μουσικὴ ἄρα ἡδονὴ σπουδαία ἐστίν', οὐ συλλογίζεται· δέδεικται γὰρ ὅτι ἐκ δύο μερικῶν οὐδὲν ἀναγκαῖον συνάγεται. ἔπειτα δέ, ὅταν λέγῃ 'ἡ ἡδονὴ σπουδαία ἐστιν', εἰ μὲν πρὸς τὴν γεωμετρικὴν ἡδονὴν ἀποβλέψας φησίν, οὐ τὸ προκείμενον συνάγεται· εἰ δὲ πρὸς τὴν μουσικὴν ἡδονήν, τὸ ἐν ἀρχῇ αἰτήσεται. ἄμεινον δὲ μὴ τρία τμήματα ποιεῖν ἀλλὰ δύο· πάντως γὰρ οὐ συλλογίζεται· ἢ δὲ ⟨οὐδέν,⟩ οὐδὲ τὸ προκείμενον· ἢ τὸ προκείμενον μέν, μετὰ δὲ τοῦ[το] τὸ ἐν ἀρχῇ αἰτεῖσθαι. μὴ οὖν λεγέτωσαν οἱ γεωμέτραι 'ἐπειδὴ τὸ Α τῷ Β ἴσον, τὸ δὲ Β τῷ Γ ἴσον, καὶ τὸ Α ἄρα τῷ Γ ἴσον'· ἀληθῆ γὰρ συλλογίζονται οὐ διὰ τὴν πλοκὴν ἀλλὰ διὰ τὴν ὕλην· διὸ καὶ οἱ Στωικοὶ ἀμεθόδως περαίνοντάς | φασιν αὐτούς· ἀλλὰ τὰς δύο μερικὰς **f. 256ᵛ** μίαν μερικὴν ποιείτωσαν καὶ προστιθέτωσαν τὴν καθόλου· οἷον τὰ ΑΒ τῷ αὐτῷ ἴσα· πάντα τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα· τὰ ΑΒ ἄρα ἴσα ἀλλήλοις. ἢ ὡς ἡ λέξις, μὴ λεγέτωσαν 'ἐπειδὴ αἵδε αἱ τῶν ἡμικυκλίων ἴσαι, ὧν αἵδε αἱ τοῦ τμήματος ἴσαι, λοιπαὶ ἄρα αἵδε αἱ πρὸς τῇ βάσει τοῦ ἰσοσκελοῦς τριγώνου ἴσαι'· οὕτω δὲ μᾶλλον· 'αἵδε αἱ τοῦ ἰσοσκελοῦς καταλείπονται ἀπὸ ἴσων ἴσων ἀφῃρημένων· πάντα τὰ καταλειπόμενα μετὰ ἀφαίρεσιν ἴσων ἀπὸ ἴσων ἴσα ἐστίν· αἵδε ἄρα τοῦ ἰσοσκελοῦς τριγώνου ἴσαι εἰσίν'. μερικὸν δὲ τὸ τόδε τῷδε ἴσον οὐ διὰ τὸ δεικτικόν (ἐπὶ γὰρ τῶν καθόλου ποιοῦνται τὸν λόγον πανταχοῦ οἱ γεωμέτραι), ἀλλ' ὅτι τὸ ἀπροσδιόριστον ἰσοδυναμεῖ τῷ μερικῷ.

Δεύτερον κοινὸν τῶν τριῶν σχημάτων. τὸ συμπέρασμα οὐ πάντως ἔοικε μιᾷ τῶν προτάσεων, οὐδὲ κατὰ ποσὸν οὐδὲ κατὰ ποιόν· κατὰ μὲν τὸ ποσόν, ἐπειδὴ ἐν τρίτῳ σχήματι ἐξ ἀμφοτέρων καθόλου μερικὸν συνάγεται· κατὰ δὲ τὸ ποιόν, ἐπειδή, εἰ καὶ κατὰ τὸ καταφατικὸν καὶ ἀποφατικὸν καὶ ὑπάρχον καὶ ἀναγκαῖον καὶ ἐνδεχόμενον ἢ ἀμφοτέραις ταῖς προτάσεσιν ἔοικεν ἢ μιᾷ πάντως, οὐ δήπου καὶ κατὰ τὸ ψεῦδος καὶ ἀληθές, ἅπερ καὶ αὐτὰ ποιά εἰσιν καὶ τρόποι· ἀληθὲς γὰρ καὶ ἐξ ἀμφοτέρων ψευδῶν συνάγεται.

Ὅτι εἰπὼν ἐκ δύο ἀποφάσεων ἢ μερικῶν μὴ γίνεσθαι συλλογισμὸν μόνον τὸ δεύτερον ἐπεξεργάζεται. κείσθω γάρ, τουτέστιν προκείσθω εἰς ζήτησιν, εἰ ἡ μουσικὴ ἡδονὴ σπουδαία ἐστίν.

ΑΓ, ΒΔ καλεῖ τὰς τῶν ἡμικυκλίων γωνίας, ΓΔ τὰς τοῦ τμήματος, ΕΖ τὰς τοῦ τριγώνου· καὶ τὰ στοιχεῖα γὰρ τῶν γωνιῶν τῶν ἡμικυκλίων διαιρεῖ εἰς τὰ στοιχεῖα τῶν γωνιῶν τοῦ τμήματος καὶ τοῦ τριγώνου· τὰς δὲ πλευρὰς τοῦ τριγώνου ΑΒ καλεῖ. τρεῖς εἰσι συλλογισμοί· αἱ ΑΓ, ΒΔ γωνίαι ἡμικυκλίων ἴσων εἰσὶν γωνίαι· πᾶσαι αἱ τῶν ἴσων ἡμικυκλίων | γωνίαι ἴσαι· αἱ ΑΓ, ΒΔ ἄρα γωνίαι ἴσαι. πάλιν αἱ ΓΔ τοῦ **f. 257ʳ** αὐτοῦ τμήματός εἰσιν γωνίαι· πᾶσαι αἱ τοῦ αὐτοῦ τμήματός εἰσι γωνίαι ἴσαι διὰ τὴν [ε'] ἐφαρμογήν· [πάλιν] αἱ ΓΔ ἄρα γωνίαι ἴσαι. πάλιν αἱ ΕΖ τοῦ τριγώνου γωνίαι καταλείπονται μετὰ ἀφαίρεσιν ἴσων ἀπὸ ἴσων· πάντα τὰ καταλειπόμενα κατὰ ἀφαίρεσιν

---

2 δ] ὁ (sic) P 3 ἢ alt. scripsi: ἤι P 4 ἂν addidi ἡ alt. delevi 9 τμήμα in fine versus P οὐδέν addidi 10 τοῦ scripsi: τοῦτο P 12 ἀληθῆ P 15 ἴσαι (post ἀλλ.) P 19 ἀφαίρεσιν] ι alt. ex ει corr. P 21 πανταχοῦ e versu antecedenti, ubi post ἴσον supra τὸν λόγον positum est, huc transposui οἱ scripsi: οἷον P 24 οὕτε—οὐ f. 199ᵛ P (= Pᵇ) 25 καὶ Pᵇ: om. P 28 εἰσιν om. Pᵇ 38 πᾶσαι—γωνίαι in mrg. sup. repetit P 39 ε' delevi πάλιν prius ut e vs. 37 translatum delevi ΕΖ scripsi: ΑΒ P itemque p. 71,1 40 an etiam alt. loco μετὰ? cf. vs. 19

ἴσων ἀπὸ ἴσων ἴσα ἐστίν· καὶ αἱ ΕΖ ἄρα τοῦ τριγώνου γωνίαι ἴσαι εἰσίν· ὅπερ * * * δὲ οὕτω λέγειν φασί τινες ἐπειδὴ αἱ ΑΓ, ΒΔ ἴσαι, ὧν αἱ ΓΔ ἴσαι, λοιπαὶ ἄρα αἱ ΕΖ γωνίαι τοῦ ἰσοσκελοῦς τριγώνου ἴσαι εἰσίν· διχῶς ἁμαρτάνοντες· καὶ γὰρ ἅμφω μερικαί, ἐπειδὴ ἀπροσδιόριστοι· καὶ ὅτι τὴν μείζονα παρῆκαν τὴν τὸ κῦρος ἔχουσαν ἐν τοῖς συλλογισμοῖς καὶ ἀξιώματος λόγον ἐπέχουσαν, τὴν δὲ ἐλάττονα διεῖλον εἰς δύο. καὶ ἐντεῦθεν τὸ ἐν ἀρχῇ αἰτοῦνται· ὃ γὰρ μὴ ἔδειξαν, οἴονται δεδειχέναι.

p. 41b30 Ἀλλὰ καὶ τῷ ἀναγκαίαν ἢ ὑπάρχουσαν ἢ ἐνδεχομένην. πῶς οὖν ἐν δευτέρῳ σχήματι καὶ τρίτῳ ἐπὶ τῆς μίξεως ἐνδεχομένου καὶ ἀναγκαίου τῆς ἀναγκαίας καθόλου ἀποφατικῆς οὔσης τὸ ἐξ ἡμισείας ἐνδεχόμενον καὶ ἀναγκαῖον συνάγεται; ἢ καὶ τότε ἔοικεν· τὸ γὰρ οὐδενὶ ἐξ ἀνάγκης συνάγεται, ὃ φέρεται καὶ κατὰ τοῦ ἐξ ἀνάγκης οὐδενὶ καὶ κατὰ τοῦ ἐνδέχεται οὐδενί· ἀμφοτέραις οὖν ἔοικεν.

p. 41b31 Ἐπισκέψασθαι δὲ καὶ τὰς ἄλλας κατηγορίας. οἶδεν ἄρα καὶ αὐτὸς ὅτι οὐκ ἀεὶ ἕπεται τὸ συμπέρασμα μιᾷ τῶν προτάσεων κατὰ τὸ ποιόν, εἴ γε ἀληθὲς ἐκ ψευδῶν συνάγεται. τοὺς δὲ τρόπους κατηγορίας ἐκάλεσεν, ἐπεί, ⟨εἰ⟩ δοκεῖ τὸ ὑποκεῖσθαι ὕλης, τὸ κατηγορεῖσθαι εἴδους ἂν εἴη, ταὐτὸν δ' εἰπεῖν ποιοῦ ἢ τρόπου.

p. 41b33 Ὅτι δυνατὸν καλεῖ τὸν ἀτελῆ ὡς δυνάμει τέλειον.

p. 41b36 Δῆλον δὲ καὶ ὅτι πᾶσα ἀπόδειξις. δείξας ὅτι πᾶς κατηγορικὸς ἁπλοῦς συλλογισμὸς δι' ἑνὸς τῶν τριῶν σχημάτων γίνεται καὶ ὅτι καὶ πᾶς ὑποθετικός, δι' ἀδυνάτου καὶ ἐπ' εὐθείας, ταὐτὸν δ' εἰπεῖν σύνθετός τε καὶ ἁπλοῦς, ὑπὸ τὰ τρία σχήματα ἀνάγεται διὰ μέσου ἁπλοῦ | κατηγορικοῦ τοῦ κατασκευάζοντος ἢ τὸ f. 257v συνημμένον, ὡς ἐν τοῖς δι' ἀδυνάτου, ἢ τὴν πρόσληψιν, ὡς ἐν τοῖς ἐπ' εὐθείας, τὸ λοιπὸν δείκνυσι νῦν, ὅτι πᾶς σύνθετος κατηγορικὸς συλλογισμὸς ὑπὸ τὰ τρία σχήματα ἀνάγεται διὰ μέσου τοῦ προσεχῶς δεικνύντος, ὃς πάντως ἐκ τριῶν ὅρων ἐστίν. καὶ πρότερον τῷ ἀντικειμένῳ συνηγορεῖ, ὅτι ὁ κατηγορικὸς συλλογισμὸς ὁ προσεχῶς δεικνὺς δύναται ἐκ πλειόνων ὅρων εἶναι ἢ τριῶν· καὶ γὰρ καὶ τῇ σχέσει δύναται ἐκ πλειόνων εἶναι ἢ τριῶν καὶ τῷ ὑποκειμένῳ· τῇ μὲν σχέσει, ἐπειδὴ ἐνδέχεται δεῖξαι οὐ πάντα ἄνθρωπον λευκὸν διὰ τοῦ αὐτοῦ μέσου, τοῦ Αἰθίοπος, ἐν τοῖς τρισὶ σχήμασιν, ὡς ὑπογέγραπται· διὰ γὰρ τοῦτο μερικὸν ἀποφατικὸν εἴληπται τὸ πρόβλημα ὡς μόνον τῶν προβλημάτων ἐν τοῖς τρισὶ σχήμασι δεικνύμενον. οἱ τρεῖς οὖν ὅροι τῷ ὑποκειμένῳ τῇ σχέσει ἐννέα γεγόνασι. καὶ λύει λέγων ὅτι πολλοί εἰσιν οἱ συλλογισμοί (τρεῖς γάρ), προέκειτο δὲ δεῖξαι οὐ τὸ πολλοὺς συλλογισμοὺς ἐκ τριῶν ὅρων, ἀλλὰ τὸ ἕνα συλλογισμὸν ἐκ τριῶν ὅρων πάντως. δευτέρα συνηγορία. καὶ τῷ ὑποκειμένῳ δυνατὸν πλείονας τῶν τριῶν εἶναι τοὺς ὅρους τοῦ συλλογισμοῦ, εἴ γ' ἐνδέχεται τὸ αὐτὸ πρόβλημα ἄλλοτε δι' ἄλλου μέσου δεικνύναι, ὡς ὁ Πλάτων τὴν ἀθανασίαν τῆς ψυχῆς ἐν μὲν τῷ Φαίδωνι διὰ μέσου τοῦ ζωὴν ἐπάγειν τῷ σώματι· οὐδὲν γὰρ ἐπιδέχεται τὸ ἐναντίον οὗ ἐπάγει [ὅπου τὸ αὐτοκίνητον ἀθάνατον]· ἐν δὲ τῷ δεκάτῳ τῆς Πολιτείας εἰπών· ἡ ψυχὴ ὑπὸ τῆς ἰδίας κακίας οὐ φθείρεται· τοὐναντίον γὰρ δοκοῦσιν οἱ κακοὶ καὶ ζωτικώτεροι εἶναι καὶ μόνοι ζῆν διὰ τὰς πλεονεξίας καὶ τὴν τρυφήν· τὸ μὴ φθειρόμενον ὑπὸ τῆς ἰδίας κακίας ἄφθαρτόν ἐστιν, ἐπειδὴ πᾶν τὸ φθειρόμενον ὑπὸ τῆς ἰδίας κακίας φθείρεται, ὡς ὁ σίδηρος καὶ ὁ χαλκὸς ὑπὸ τοῦ ἰοῦ, ὁ σῖτος ὑπὸ |

---

1 supple ἔδει δεῖξαι ἀντὶ et post 2 δὲ adde τοῦ 2 ΒΔ scripsi: ΒΓ P 12 δὲ δεῖ Arist. (sed om. δεῖ n) 14 εἰ addidi 19 συλλογισμὸς scripsi: συλλογισμῶν P 23 λειπὸν P 26 ἐκ prius superscr. P 27 τῷ ὑποκειμένῳ scripsi: τὸ ὑποκείμεν P 30 ἐν scripsi: μὲν P 32 τὸ prius scripsi: τοὺς P 33 δυνατὸν] o, ut videtur, ex α corr. P 36 φαίδονι P; c. 54 p. 105 C. D 37 ὅπου—ἀθάνατον delevi ἐν δὲ τῷ δεκάτῳ τῆς Πολιτείας] c. 9. 10 p. 608 D—611 A

τῆς ἐρυσίβης. ἀλλὰ νῦν πάλιν πολλοὶ οἱ συλλογισμοί, ὅσῳ καὶ αἱ προτάσεις τῶν f. 258ʳ
συλλογισμῶν μᾶλλον διεστήκασιν ἀλλήλων, καὶ ὅσα τὰ μέσα, τοσοῦτοι καὶ οἱ συλλογισμοί. καὶ τὸ αὐτὸ μὲν πρόβλημα διὰ πλειόνων ὅρων ἢ τριῶν, οὐ μὴν ὁ εἷς συλλογισμὸς περὶ οὗ ὁ λόγος. τρίτη συνηγορία. ἐνδέχεται κατηγορικὸν συλλογισμὸν διὰ πλειόνων ἢ τριῶν ὅρων προβαίνειν, ὡς ὁ Πλάτων ἐν Φαίδρῳ τὴν ψυχὴν ἀθάνατον ἀπέδειξε διὰ μέσου τοῦ αὐτοκινήτου καὶ ἀεικινήτου. ἀλλὰ πάλιν δύο εἰσὶ συλλογισμοί, ὅτι ἡ ψυχὴ ἀεικίνητον διὰ μέσου τοῦ αὐτοκινήτου, καὶ ὅτι ἀθάνατος διὰ μέσου τοῦ ἀεικινήτου.

Ὅτι δὲ πᾶς συλλογισμὸς ἐκ δύο προτάσεων προσεχῶν, οὕτως δείκνυσιν· εἰ γὰρ δυνατόν, συναγέσθω τὸ Ε ἐκ τεττάρων προτάσεων προσεχῶν τῶν ΑΒ ΓΔ· αἱ ΑΒ προτάσεις τοίνυν ἢ συνάγουσί τι ἢ οὐ συνάγουσι· ἀλλ᾽ εἰ μὲν μὴ συνάγουσί τι, μάτην εἰλημμέναι εἰσίν· εἰ δὲ συνάγουσί τι, ἢ τὸ Ε συνάγουσιν ἢ μίαν τῶν ΓΔ λοιπῶν προτάσεων ἢ ἄλλο τι παρὰ ταῦτα· ἀλλ᾽ εἰ μὲν τὸ Ε, ἔχομεν τὸ ζητούμενον, ὅτι ἐκ δύο προτάσεων συλλογισμός· εἰ δὲ ἓν τῶν ΓΔ, οὐκέτι προσεχής ἐστιν ὁ συλλογισμὸς οὐδ᾽ ἁπλοῦς ἀλλὰ σύνθετος ἐκ προσυλλογισμοῦ· εἰ δὲ ἄλλο παρὰ τὸ Ε καὶ τὰ ΓΔ συνάγει τὰ ΑΒ, νῦν οὐ μόνον πολλοί εἰσιν οἱ συλλογισμοί, καθάπερ καὶ ἐπὶ τῆς δευτέρας ὑποθέσεως, ἀλλὰ καὶ ἀσύναπτοι πρὸς ἀλλήλους. ἃ δὲ ἐπὶ τῶν ΑΒ εἴρηται, ἁρμόσει καὶ ἐπὶ τῶν ΓΔ· πάλιν γὰρ τὰ ΓΔ ἢ συνάγει τι ἢ οὐ συνάγει· καὶ εἰ μὲν μὴ συνάγει, μάτην εἴληπται· εἰ δὲ συνάγει, εἰ μὲν τὸ Ε, παρέλκουσιν αἱ ΑΒ προτάσεις, καὶ ἐκ δύο προτάσεων προσεχῶν πᾶς συλλογισμός· εἰ δὲ ἓν τῶν ΑΒ, πολλοὶ ἔσονται οἱ συλλογισμοί, ὁ μὲν προσυλλογισμός, ὁ δὲ τοῦ προκειμένου· εἰ δὲ ἄλλο παρὰ τὰ ΑΒ, ἐναργῶς πολλοί εἰσιν οἱ συλλογισμοί· καὶ γὰρ ἀσύναπτοι πρὸς ἀλλήλους οἱ συλλογισμοί, καὶ οὐκ ἐκκρούει ἓν φαντάζουσα ἡ συνέχεια τῶν προτάσεων.

Καὶ ὅτι πᾶσα ἀπόδειξις. πᾶσαν κατασκευὴν | ἀπόδειξιν ἐκάλεσεν. f. 258ᵛ

p. 41ᵇ37 Ἐὰν μὴ δι᾽ ἄλλων καὶ ἄλλων. ἢ τῇ σχέσει, ὡς ἐν τῇ πρώτῃ συνηγορίᾳ, ἢ τῷ ὑποκειμένῳ, ὡς ἐν τῇ δευτέρᾳ.

p. 41ᵇ38 Οἷον τὸ Ε διά τε τῶν ΑΒ καὶ τῶν ΓΔ. τοῦτο παράδειγμα τῆς δευτέρας συνηγορίας τῆς τὸ αὐτό, τὸ Ε τυχόν, συναγούσης δι᾽ ἄλλων καὶ ἄλλων ὅρων τῷ ὑποκειμένῳ, οἷον τῶν ΑΒ καὶ ΓΔ· καὶ γὰρ τὰ ΑΒ τῶν ΓΔ τῷ ὑποκειμένῳ διαφέρει.

p. 41ᵇ39 Ἢ διὰ τῶν ΑΒ καὶ ΒΓ καὶ ΑΓ. τοῦτο παράδειγμα τῆς πρώτης συνηγορίας, ὅπου τὸ αὐτὸ συνάγεται, οἷον τὸ Ε, δι᾽ ἄλλων καὶ ἄλλων τῇ σχέσει μόνον· διὸ καὶ ἕνα κοινὸν ὅρον ἔχουσι καὶ ἕνα διάφορον τὰ ΑΒ καὶ ΒΓ καὶ ΑΓ· καὶ γὰρ τὸ δεύτερον πρῶτον γίνεται τῆς μείζονος ἀντιστραφείσης, τὸ δὲ τρίτον τῆς ἐλάττονος. ΑΒ οὖν τὸ πρῶτον σχῆμα, καὶ Α μὲν ἡ μείζων πρότασις, Β δὲ ἡ ἐλάττων· καὶ ἐν μὲν τῷ δευτέρῳ σχήματι τῷ ΒΓ ἡ ἐλάττων τοῦ ΑΒ ἔμεινε, τὸ Β· ἐν δὲ τῷ τρίτῳ σχήματι τῷ ΑΓ ἡ μείζων ἔμεινε τοῦ ΑΒ, τὸ Α.

p. 41ᵇ40 Τούτων δ᾽ ὄντων οὐχ εἷς ἀλλὰ πολλοί εἰσιν οἱ συλλογισμοί. ἡ λύσις τῶν δύο συνηγοριῶν, ὅτι οὐκ ἔμεινεν εἷς ὁ συλλογισμός, εἰ καὶ τὸ πρόβλημα.

p. 42ᵃ1 Ἢ πάλιν ὅταν ἑκάτερον. ἡ τρίτη συνηγορία ἡ καὶ πιθανωτέρα, διὸ καὶ ἰδικῆς λύσεως αὐτὴν ἀξιοῖ, ἡ ἑνὸς συλλογισμοῦ ἐμμέσους τὰς προτάσεις λαμβάνουσα. καὶ λύει τοῦτο λέγων τρεῖς εἶναι τοὺς συλλογισμούς, ἐπειδὴ καὶ τρία τὰ συμπεράσματα, αἱ δύο προτάσεις καὶ τὸ συπέρασμα· αἱ μὲν γὰρ τῶν προσυλλογισμῶν εἰσι συμπεράσματα, τὸ δὲ τοῦ συλλογισμοῦ.

---

1 ἐρισύβης P πάλιν scripsi: πλέον P 5 ἐν Φαίδρῳ] c. 24 p. 245 C sq.
14 προσεχής] η in ras. P 39 συνηγοριῶν scripsi: συνηγόρων P
44 δύ P

p. 42a3 Ἢ τὸ μὲν ἐπαγωγῇ τὸ δὲ συλλογισμῷ. οἷον εἰ πρόβλημα εἴη ὅτι ἡ ἰατρικὴ χρήσιμος τῷ βίῳ καὶ εἴπωμεν· ἡ ἰατρικὴ τέχνη ἐστίν, πᾶσα τέχνη χρήσιμος τῷ βίῳ, καὶ ἡ ἰατρικὴ ἄρα· καὶ τὴν μὲν ἐλάττονα κατασευάσομεν διὰ συλλογισμοῦ· ἡ ἰατρικὴ μέθοδος ὁδοποιητική, πᾶσα μέθοδος ὁδοποιητικὴ τέχνη, καὶ ἡ ἰατρικὴ ἄρα τέχνη· τὴν δὲ μείζονα, ὅτι πᾶσα τέχνη χρήσιμος τῷ βίῳ, δι᾽ ἐπαγωγῆς· καὶ γὰρ γεωργία καὶ ὑφαντική. ἢ ὡς ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ· τοῦ γὰρ Θρασυμάχου εἰπόντος τὴν δικαιοσύνην κακοβουλίαν αὐτὸς κατασκευ|άζει τὸν δίκαιον φρόνιμον εἰπὼν οὕτως· f. 259r

δίκαιος τοῦ μὲν ὁμοίου ⟨οὐκ⟩ ἐθέλει πλέον ἔχειν φρόνιμος
τοῦ δ᾽ ἀνομοίου ἐθέλει πλέον ἔχειν.

καὶ τῶν προτάσεων τούτων τὴν μὲν ἐλάττονα κατασκευάζει μέσον λαβὼν τὸ ἀπονεμητικὸν τοῦ κατ᾽ ἀξίαν, τὴν δὲ δευτέραν δι᾽ ἐπαγωγῆς τοῦ ἰατροῦ, τοῦ μάντεως, τοῦ γεωμέτρου.

p. 42a6 Εἰ οὖν οὐ πλείους ἀλλ᾽ εἷς. εἴ τις, φησίν, τὸν διὰ πέντε ὅρων συλλογισμὸν ἢ ὁποσωνοῦν ἕνα λέγοι ἀποβλέπων πρὸς τὴν συνέχειαν τῶν προτάσεων, οὐ φθονήσομεν αὐτῷ τοῦ ὀνόματος, πλὴν εἷς ἐστιν πόρρω, οὐχ εἷς προσεχής· τοῦτο γὰρ δηλοῖ τὸ οὕτω μὲν ἐνδέχεται καὶ τὸ ὡς δὲ τὸ Γ διὰ τῶν ΑΒ, ἀδύνατον. καὶ ὅτι μή ἐστιν εἷς προσεχής, ἐπάγει τὴν ἀπόδειξιν. τῶν ΑΒ ΓΔ τεσσάρων προτάσεων τὸ Ε συναγουσῶν αἱ ΑΒ, φησίν, ἢ συλλογιστικῶς συμπεπλεγμέναι εἰσὶν ὡς εἶναι τὴν μὲν μείζονα τὴν δ᾽ ἐλάττονα, ἀνθ᾽ ὧν αὐτὸς εἶπεν ὅλην καὶ μέρος, ἢ ἀσυλλογίστως. καὶ εἰ τὸ πρῶτον, ἢ τὸ Ε συνάγουσιν ἢ θάτερον τῶν ΓΔ ἢ ἄλλο παρὰ ταῦτα. καὶ μόνον τὸ πρῶτον ἀναιρεῖ λέγων ὅτι καὶ πῶς ὑπόκειται τὸ Ε ἐκ τῶν ΑΒ ΓΔ ἐκ μόνων τῶν ΑΒ συναγόμενον; καὶ πρὶν τὰς λοιπὰς ὑποθέσεις τῶν ΑΒ ἀνελεῖν μέτεισι καὶ ἐπὶ τὰ ΓΔ· καὶ ταῦτα γὰρ ἢ συνάγει τι ἢ οὔ. καὶ εἰ συνάγει, ἢ τὸ Ε ἢ θάτερον τῶν ΑΒ ἢ ἄλλο παρὰ ταῦτα. καὶ εἰ μὲν τῶν ΑΒ θάτερον, πλείους ἔσονται οἱ συλλογισμοί, ἐπειδὴ καὶ τὰ συμπεράσματα, καὶ προσυλλογισμὸς ὁ ΓΔ τοῦ ΑΒ ΓΔ. εἰ δὲ τὸ Ε, εἰ μέν εἰσιν οἱ συλλογισμοὶ ὁ ΑΒ ΓΔ καὶ ὁ ΓΔ, ὡς ἐνδέχεται ἕνα εἶναι, τῷ ταὐτὸ συνάγειν, οὐ μὴν κατ᾽ ἀλήθειαν εἷς εἰσιν· ἐνδείκνυται δὲ τοὺς ἐπὶ τοῦ Αἰθίοπος ἐν τοῖς τρισὶ σχήμασι συλλογισμοὺς διὰ τῶν αὐτῶν ὅρων. εἰ δὲ τὰ ΓΔ μηδὲ θάτερον τῶν ΑΒ ἀλλ᾽ ἄλλο τι παρὰ ταῦτα, οὐ μόνον πολλοὶ ἔσονται οἱ συλλογισμοί, ὁ ΑΒ ΓΔ καὶ ὁ ΓΔ, ἀλλὰ καὶ ἀσύναπτοι ἀλλήλοις. εἰ δὲ τὰ ΓΔ οὐδὲν συνάγει, μάτην εἴληπται ἐν συλλογισμῷ, εἰ μὴ ἄρα ἐπαγωγῆς | χά- f. 259v
ριν ἢ κρύψεως ἢ δι᾽ ἄλλο τι τοιοῦτον παρείληπται. εἶτα ἄνεισι πάλιν ἐπὶ τὰς λοιπὰς ὑποθέσεις τῶν ΑΒ. καὶ ἐπαγωγῆς μέν, ὡς πᾶσαν τέχνην χρήσιμον ἐδείξαμεν τῷ βίῳ διὰ γεωργίας καὶ ὑφαντικῆς. κρύψεως δὲ χάριν, ὅτι οὐ δεῖ συνεχεῖς τὰς δύο προτάσεις ἐρωτᾶν, ἐπεὶ συναισθόμενος ὁ ἐρωτώμενος ἐνστατικώτερος γίνεται, ἀλλὰ χρὴ ἐν μέσῳ τινὰ παρεμβαλεῖν οἰκείαν τῇ ἐρωτηθείσῃ προτάσει, εἶτα τὴν ἄλλην ἐπαγαγεῖν. οἷον εἰ πρόβλημα εἴη ὅτι ἡδονὴ ἀγαθόν, καὶ λάβωμεν ὅτι ἡ ἡδονὴ ἐφετόν, μὴ εὐθὺς εἴπωμεν ‘τί οὖν; πᾶν ἐφετὸν ἀγαθόν;’, ἀλλὰ ἐφετοῦ κατατείνωμεν λόγον, ὅτι καὶ τὸ καλὸν ἐφ᾽ ἑαυτὸ καλεῖ καὶ ἀγαθόν ἐστιν ἐφ᾽ ὃ πάντα ἄγαν θεῖ. καὶ εἴ τις βουλόμενος δεῖξαι τὴν ὑγείαν ἀγαθὸν εἴπῃ ‘ἡ ὑγίεια τῷ ἀγαθῷ ἀνδρὶ ἀγαθόν’, μὴ εὐθὺς ἐπαγέτω ‘τὸ δὲ τῷ τοιούτῳ ἀγαθὸν καὶ ὄντως ἀγαθόν ἐστιν’, ἀλλ᾽ ἐν μέσῳ λεγέτω πῶς γίνεται ἡ ὑγίεια, ὅτι τοῦ ἰατροῦ τοῖς στοιχείοις καὶ τοῖς χυμοῖς δικάζοντος. ποτὲ δὲ καὶ δι᾽ οἰκονομίαν· οἷον αἱ ἀρεταὶ δι᾽ αὐτὰς αἱρεταί, κἂν μὴ ἐπικάρπιαι ὦσι.

---

1 τῶι μὲν P 4 ὁδῶ ποιητικὴ utrobique P 6 ἐν τῇ Πολιτείᾳ] I 20 p. 349 B sq. 9 οὐκ addidi 20 ὅλον Arist. 20. 21 ἀσυλλογίστως scripsi: ἀσυλλογίστους P 21 εἰ scripsi: ἡ P 28 τῷ ταὐτὸ scripsi: τῶι αὐτὸ (ο in ras. ex ω corr.) P 33 ἄνισι P 34 τῶν scripsi cf. vs. 23: τοῦ P 35 οὐ δεῖ scripsi: οὐδεῖς P 37 ἐπαγαγεῖν scripsi: ἐπαγωγὴν P 38 fort. ⟨ἡ⟩ ἡδονὴ 39 κατατείνωμεν] α alt. in ras. P 42 ἐπαγέτω scripsi: ἐπάγειν P 43 τοῖς τοιχείοις P

ποτὲ καὶ διὰ τὸ ξηρὸν τοῦ διαλεκτικοῦ λόγου τοῦ καλλωπισμοῦ χάριν τοῦ λόγου ἐπεντίθεται. ποτὲ δὲ καὶ διὰ σαφήνειαν, ὡς ἐν ταῖς παραβολαῖς, ὅτι ὡς μία αἴσθησις τῶν ἐναντίων, οὕτω καὶ ἐπιστήμη. ποτὲ καὶ διὰ τὸ πρὸς ἐπίδειξιν ὁρᾶν τὸν λόγον ὀγκοῦμεν αὐτὸν ταῖς παρεμβολαῖς.

p. 42a24 Εἰ δὲ ἐκ τῶν AB μὴ τὸ E ἀλλ' ἄλλο τι γίνεται συμπέρασμα, ἐκ δὲ τῶν ΓΔ ἢ τούτων θάτερον ἢ ἄλλο παρὰ ταῦτα. ἄνεισι πάλιν ἐπὶ τὰ AB καὶ τὰς λοιπὰς ὑποθέσεις διελέγχει· μίαν γὰρ μόνην ἤλεγξε τὴν συνάγουσαν τὸ E. ἐὰν γάρ, φησίν, τὰ AB μὴ τὸ E συνάγῃ ἀλλ' ἄλλο τι, ἐκ δὲ τῶν ΓΔ τοῦτο τὸ ἄλλο ἢ θάτερον τύχῃ ὂν ἢ ἀλλαχοῦ καὶ παρὰ ταῦτα, εἰ μὲν ἓν τῶν ΓΔ, προσυλλογισμός ἐστι τοῦ συλλογισμοῦ, καὶ διὰ τοῦτο οὐχ εἷς ὁ συλλογισμὸς ἀλλὰ πολλοί· εἰ δὲ ἄλλο παρὰ τὰ ΓΔ, καὶ μάτην ἐστὶν εἰλημμένα τὰ AB, εἰ διὰ τὸ E εἴληπται, | μήτε **f. 260r** δὲ τοῦτο συνάγει μήτε ἄλλο συνάγον αὐτό.

p. 42a28 Εἰ δὲ μηδὲν γίνεται ἐκ τῶν ΓΔ. γραφικόν ἐστιν ἐξ ἀρχῆς τὸ ἁμάρτημα· ἔδει γὰρ εἰπεῖν ἐκ τῶν AB· εἴρηται γὰρ ἤδη περὶ τῶν ΓΔ, τί ἕπεται, εἰ μηδὲν συνάγουσιν· ἐπὶ δὲ τῶν AB οὐκ εἴρηται. καὶ ἔστιν ὅσον ἐπὶ τῇ φερομένῃ γραφῇ καὶ ἀδολεσχῶν ὁ Ἀριστοτέλης καὶ παραλιμπάνων, τὸ μὲν δὶς λέγων, τὸ δὲ μηδὲ ἅπαξ.

p. 42a34 Εἰ μὴ προσλαμβάνοιτο, τουτέστιν εἰ μὴ πάλιν κρύψεως ἢ ἐπαγωγῆς ἢ καλλωπισμοῦ χάριν τοῦ λόγου λαμβάνοιτο.

p. 42a35 Ὃς οὖν συλλογισμὸς μὴ δύο προτάσεις ἔχει, ἤτοι τρεῖς ὅρους μόνον τοὺς τὸ κύριον συμπέρασμα συνάγοντας (εἰσὶν γὰρ καὶ ἄκυρα συμπεράσματα, ὡς τὰ τῶν προσυλλογισμῶν), οὗτος ὁ λόγος ἢ οὐ συλλελόγισται, ὡς εἴ τις πολλὰς καθ' ἕκαστα προτάσεις λαμβάνοι μηδὲν κοινὸν ἐχούσας, ἢ περιττὰ τῶν ἀναγκαίων ἠρώτησεν, ὡς εἴ τις βουλόμενος δεῖξαι ὅτι ὁ ἄνθρωπος ζῷον εἴπῃ 'ὁ ἄνθρωπος γελαστικόν, τὸ γελαστικὸν ζῷον, τὸ ζῷον ἔμψυχον, ὁ ἄνθρωπος ἄρα ζῷον'· περιττὴ γὰρ ἡ λέγουσα τὸ ζῷον ἔμψυχον.

p. 42b1 Κατὰ μὲν οὖν τὰς κυρίας προτάσεις. δείξας ὅτι πᾶς συλλογισμὸς κατηγορικὸς ἁπλοῦς ἐκ τριῶν, δύο τούτῳ ἑπόμενα παραδίδωσιν, ὅτι τοῦ κατηγορικοῦ τοῦ προσεχοῦς συλλογισμοῦ ἄρτιαι μὲν αἱ προτάσεις, περιττοὶ δὲ οἱ ὅροι· τὸν γὰρ πρῶτον ἄρτιον καὶ τὸν πρῶτον περιττὸν κυρίῳ ὀνόματι ἄρτιον ἁπλῶς καλεῖ καὶ περιττὸν ἁπλῶς. τὸ δὲ συμπέρασμα τῶν μὲν προτάσεων ἥμισυ, τῶν δὲ ὅρων τριττόν· τὰ δὲ διαστήματα ἑνὶ λείπει τῶν ὅρων. συνθέτου δὲ ὄντος τοῦ συλλογισμοῦ ἓν μόνον σώζεται τῶν εἰρημένων, τὸ τὰ διαστήματα ἑνὶ λείπειν τῶν ὅρων· τοῦτο γὰρ ἀληθές, εἴτε καταπυκνοῖτο ὁ προστιθέμενος εἴτε ἔξωθεν ἐμβάλλοιτο· οὐκέτι δὲ πάντως αἱ μὲν προτάσεις ἄρτιαι, οἱ δ' ὅροι περιττοί, ἀλλὰ δυνατὸν καὶ ἐναλλάξ. οὐδέποτε μέντοι ἄμφω ἄρτια, καὶ αἱ προτάσεις καὶ οἱ ὅροι, ἀλλ' ἀναμίξ, διότι κατ' ἀρχὰς τῷ ἀρτίῳ καὶ περιττῷ διέφερον ἀλλήλων καὶ μονὰς ἑκατέρῳ πρόσκειται, ἐξαλλάττεται δὲ τὸ εἶδος τοῦ ἀρτίου καὶ τοῦ περιττοῦ | μονάδος προστεθείσης· μονὰς δὲ πρόσκειται **f. 260v** ἑκατέρῳ, ἐπειδὴ ὅρου προστεθέντος, εἴτε κατὰ πύκνωσιν εἴτε ἔξωθεν, μία πρότασις προστίθεται. τὰ δὲ συμπεράσματα οὐκέτι τῶν προτάσεων ἥμισύ εἰσι, τῶν δ' ὅρων τριττόν, ἀλλὰ ποτὲ ὑπερβάλλει τῷ πλήθει καὶ τὰς προτάσεις καὶ τοὺς ὅρους· προτάσεις δὲ λέγω τὰς μόνως προτάσεις. πέντε γὰρ ὄντων ὅρων ὁ μὲν γίνονται

---

1. 2 ἐπεντίθεται scripsi: εἶπεν τίθεται P 2 ὅτι ὡς scripsi: ὡς (superscr. P¹) ὅτι P
3. 4 ὄγκου μὲν P 6 ἄνισι P 8 συνάγει P 13 τῶν αβ corr. n
15 ὅσον scripsi cf. p. 55,23: ὃς P 19 καλλοπισμοῦ P χάριν post 18 κρύψεως coll. P pr. 20 ἔχηι P 21 εἰσὶν] post εἰ ras. P ἄκερα P
28 δύω P 31 τριττόν scripsi: τρίτον (ο in ras.) P 33 λίπειν P 34 καταπυκνοῖντο P 37 διέφερον (sic), ε prius ex α corr. P¹ 41 τριττόν scripsi cf. vs. 31: τρίτον P ὑπαρβάλλει (sic) P 42 μόνως scripsi cf. Philop. f. LXVI r 18: μόνων P

προτάσεις, συμπεράσματα δὲ ἕξ· καθόλου γὰρ καθ' ἑκάστην ὅρου προσθήκην, εἴτ' ἔξωθεν προστίθοιτο εἴτε παρεμβάλλοιτο, προστίθενται συμπεράσματα ἑνὶ ἐλάττονα τῶν προκειμένων ὅρων. τὸ δ' αἴτιον, ὅτι πρὸς τὸν ἐφεξῆς μόνον ὁ προστεθεὶς οὐ ποιεῖ συμπέρασμα.

ΠΕΡΙ ΚΑΤΑΣΚΕΥΗΣ ΚΑΙ ΑΝΑΣΚΕΥΗΣ ΠΡΟΒΛΗΜΑΤΩΝ.

p. 42b37 Ἐπεὶ δ' ἔχομεν περὶ ὧν οἱ συλλογισμοὶ ἕως τέλους τοῦ πρώτου τμήματος τοῦ περὶ γενέσεως συλλογισμῶν. δείκνυσι διὰ τούτων ὁ Ἀριστοτέλης ὅτι τὰ καθόλου τῶν μερικῶν ἑτοιμότερα πρὸς ἀνασκευὴν ἤπερ πρὸς κατασκευήν, τὰ δὲ μερικὰ τοὐναντίον ἑτοιμότερα πρὸς κατασκευὴν ἤπερ πρὸς ἀνασκευήν. προλαμβάνει γὰρ ὅτι τὸ μὲν παντὶ μοναχῶς δείκνυται, τὸ δὲ οὐδενὶ τριχῶς, ἐν πρώτῳ μοναχῶς, ἐν δευτέρῳ διχῶς, τὸ τινὶ τετραχῶς, ἐν πρώτῳ μοναχῶς, ἐν τρίτῳ τριχῶς, τὸ οὐ παντὶ ἑξαχῶς, ἐν πρώτῳ μοναχῶς, ἐν δευτέρῳ διχῶς, ἐν τρίτῳ τριχῶς. τούτων προληφθέντων ἕκαστον τῶν τεττάρων προβλημάτων κατασκευάζεται καὶ ἀνασκευάζεται τοσαυταχῶς·

ΚΑΤΑΣΚΕΥΑΖΕΤΑΙ		ΑΝΑΣΚΕΥΑΖΕΤΑΙ
παντί	μοναχῶς	ἑξαχῶς διὰ τὸ οὐ παντί
οὐδενί	τριχῶς	τετραχῶς διὰ τὸ τινί
τινί	τετραχῶς	τριχῶς διὰ τὸ οὐδενί
οὐ παντί	ἑξαχῶς	μοναχῶς διὰ τὸ παντί.

ἐπεὶ οὖν τὰ μὲν καθόλου μοναχῶς ἢ τριχῶς κατασκευάζεται, τὰ δ' ἐν μέρει τετραχῶς ἢ ἑξαχῶς, εὐεπιχειρητότερα τὰ μερικὰ τῶν καθόλου πρὸς κατασκευήν. καὶ ἐπεὶ δὴ τὰ μὲν καθόλου ἀνασκευάζεται ἢ ἑξαχῶς ἢ τετραχῶς, τὰ δ' ἐν μέρει τριχῶς ἢ μοναχῶς, εὐεπιχειρητότερα ἄρα τὰ καθόλου τῶν μερικῶν πρὸς ἀνασκευήν. f. 261r

Δεύτερον ἐπιχείρημα. εἰ τὸ καθόλου ἀναιρεῖται καὶ διὰ τοῦ ἐναντίου καὶ διὰ τοῦ ἀντιφατικοῦ, τὸ δὲ μερικὸν διὰ μόνου τοῦ ἀντιφατικοῦ, τὸ καθόλου ἄρα τοῦ μερικοῦ ἑτοιμότερον ἀναιρεῖται. ὅτι δὲ τὸ καθόλου τοῦ μερικοῦ καὶ δυσκολώτερον κατασκευάζεται, δείκνυσι διχῶς ἡ λέξις· τῶν γὰρ μερικῶν τὸ μὲν οὐ παντὶ ἐν πλείοσι σχήμασιν ἤπερ τὰ καθόλου, τὸ δὲ τινὶ διὰ πλειόνων τρόπων ἤπερ τὰ καθόλου. ἀλλ' ἐπεὶ τοῦτο τοῦ πρώτου ἐστὶν ἐπιχειρήματος, ἐπάγει νεωτέραν κατασκευὴν τοιαύτην· ἑτοιμότερον κατασκευάζεται τὰ μερικὰ τῶν καθόλου, ἐπειδὴ τὰ μὲν καθόλου δι' ἑαυτῶν δείκνυται μόνων, τὰ δὲ μερικὰ καὶ δι' ἑαυτῶν καὶ διὰ τῶν καθόλου· εἰ γὰρ παντί, καὶ τινί, καὶ εἰ οὐδενί, καὶ οὐ παντί.

p. 42b27 Περὶ ὧν οἱ συλλογισμοί, τουτέστιν τῶν προβλημάτων· ἐπάγει γὰρ καὶ ποῖον χαλεπὸν καὶ ποῖον εὐεπιχειρητότερον ἢ πρὸς κατασκευὴν ἢ πρὸς ἀνασκευήν.

p. 43a1 Φανερὸν οὖν ὅτι τὸ μὲν καθόλου κατηγορικόν. κατασκευάζεται μὲν γὰρ μοναχῶς, ἀνασκευάζεται δ' ἑξαχῶς. τὰ δὲ ὅμοια καὶ ἐπὶ τῶν λοιπῶν. τὸ δὲ δεύτερον ἐπιχείρημα διαιρεῖ τὰ $\overline{\delta}$ εἰς δύο, εἰς καθόλου καὶ μερικά, διὰ τοῦ ὅλως δ' ἐστὶν ἀναιροῦντι μὲν τὰ καθόλου τῶν ἐν μέρει ῥάω.

---

3 προστεθεὶς scripsi: προστιθεὶς P 8 ἀνασκευὴν] η in ras. ex ει corr. P
11 διχῶς scripsi: τριχῶς P 12 προληφθέντων scripsi cf. vs. 9 et p. 51,40 n.
κατασκευάζεται] υ superscr. P1 23 καὶ prius superscr. P 25 ἑτοιμώτερον (ω in ras., ut videtur) P 27 ἤπερ prius scripsi: εἴπερ P 28. 29 ἑτοιμώτερον P
30 μόνων scripsi: μόνον P 38 ἀναιροῦντι Arist.: ἀναιροῦντα P

p. 43a6 Καὶ ἐπὶ τῶν στερητικῶν. τὸ γὰρ οὐδενὶ ἀναιρεῖται καὶ διὰ τοῦ παντὶ καὶ διὰ τοῦ τινί, ὃ [οὐδενὶ ἢ τινὶ] ἐν δύο σχήμασι δείκνυται.

p. 43a9 Κατασκευάζοντι δὲ ῥᾴω. τὸ λοιπὸν μέρος τοῦ δευτέρου ἐπιχειρήματος, ὃ καὶ διχῶς δείκνυται· πρῶτον ἐκ τοῦ πλεοναχῶς δείκνυσθαι τὰ μερικὰ ἤπερ τὰ καθόλου ἢ κατὰ σχήματα ἢ κατὰ τοὺς τρόπους.

p. 43a10 Ὅλως τε οὐ δεῖ. οὐχ ὥσπερ, φησίν, τὰ καθόλου διὰ τῶν μερικῶν ἀναιρεῖται καὶ τὰ μερικὰ διὰ τῶν καθόλου, οὕτω καὶ τὰ μερικὰ διὰ τῶν καθόλου κατασκευάζεται καὶ τὰ καθόλου διὰ τῶν μερικῶν· ἀλλὰ τὰ | μὲν μερικὰ διὰ τῶν **f. 261v** καθόλου εἰσφέρεται, οὐκέτι δὲ καὶ τὰ καθόλου διὰ τῶν μερικῶν, ἀλλὰ δι᾽ ἑαυτῶν μόνον· εἰ μὲν γὰρ παντί, καὶ τινί· οὐ μὴν εἰ τινί, καὶ παντί. καὶ ἐπεὶ τὰ μὲν μερικὰ διχῶς κατασκευάζεται, καὶ δι᾽ ἑαυτῶν καὶ διὰ τῶν περιεχόντων καθόλου, τὰ δὲ καθόλου μοναχῶς (δι᾽ ἑαυτῶν γὰρ μόνον), ἑτοιμότερα τὰ μερικὰ τῶν καθόλου πρὸς κατασκευήν· ἀλλὰ μὴν δέδεικται τὰ καθόλου τῶν μερικῶν εὐεπιχειρητότερα εἰς ἀνασκευήν· συνελόντι ἄρα τὰ καθόλου τῶν μερικῶν (τοῦτο γὰρ δεῖ προσυπακοῦσαι) ῥᾷον ἀνασκευάζειν ἢ κατασκευάζειν.

p. 43a16 Ὅπως μὲν οὖν γίνεται ἅπας συλλογισμός, ὅ τ᾽ ἐπ᾽ εὐθείας καὶ ὁ δι᾽ ἀδυνάτου. κυρίως δὲ τὸ γίνεται περὶ γενέσεως συλλογισμῶν τοῦ τμήματος ὄντος. ἢ πῶς γίνεται ὁ κατηγορικὸς καὶ ὁ ὑποθετικός· ἄμφω γὰρ ἀνάγονται εἰς τὰ τρία σχήματα, οἱ μὲν κατηγορικοὶ καθ᾽ ὅλους ἑαυτούς, οἱ δ᾽ ὑποθετικοὶ διὰ τὰς κατασκευὰς ἢ τοῦ ἀδυνάτου ἢ τῆς προσλήψεως.

p. 43a16 Καὶ διὰ πόσων ὅρων. ὅτι τριῶν τῶν προσεχῶν.

p. 43a17 Καὶ πῶς ἐχουσῶν. ἢ κατὰ τὸ ἁπλοῦν καὶ σύνθετον τοῦ κατηγορικοῦ συλλογισμοῦ ἢ κατὰ τὸ κατηγορικὸν καὶ ὑποθετικὸν τοῦ ἁπλῶς συλλογισμοῦ.

p. 43a18 Καὶ διὰ τοὺς ἀριθμοὺς τὰ ἐν μέρει τῶν καθόλου πρὸς κατασκευὴν εὐεπιχειρητότερα, πρὸς δὲ ἀνασκευὴν δυσεπιχειρητότερα, καὶ ὅτι, ὡς ἐν τῷ δευτέρῳ ἐπιχείρηματι, τὰ μὲν μερικὰ διχῶς κατασκευάζεται, τὰ δὲ καθόλου μοναχῶς, ἀνασκευάζεται δὲ τὰ μὲν μερικὰ μοναχῶς, τὰ δὲ καθόλου διχῶς.

---

2 ὃ parum liquet (1 litt. evanuisse videtur) P οὐδενὶ ἢ τινὶ delevi ἐν δύο σχήμασι ex Arist. scripsi: ἐν B σχήματι P 3 ῥάιων P 5 fort. κατὰ ⟨τὰ⟩ 10 εἰ τινί scripsi: εστιν (sic) P 12 ἑτοιμώτερα P 27 εἰς τὸ A τμῆμα τοῦ πρώτου τῶν προτέρων ἀναλυτικῶν τὸ περὶ γενέσεως συλλογισμῶν maiusculis subscr. P

INDICES

I INDEX VERBORUM

Verba asterisco notata desiderantur in lexicis

Ἀγαθός. ἀγαθόν ἐστιν ἐφ᾽ ὃ πάντα ἄγαν θεῖ 73,40
ἀγωγή 62,5 ὅσον ἐπὶ τῇ ἀγωγῇ ταύτῃ 51, 14 54,43 55,23
ἀδιάφορος 54,15. 16 ἀδιαφόρως περαίνοντες (συλλογισμοί) Stoicorum 27,36 28,5 sq. 32,13. 14 expl. 28,5 sq. διεξέρχεσθαι 28,8
ἀδίστακτος. ἀδιστάκτως (coni. τελείως) ἀποφαίνεσθαι 17,20
ἀδολεσχεῖν 74,16
ἀδύνατος. εἰς ἄτοπόν τι καὶ ἀδύνατον καταντᾷ 35,2 ἡ εἰς ἀδύνατον ἀπαγωγή 31,7 (expl.) 34,35 sq. 51,18. 19 al. δι᾽ ἀδυνάτου δεικνύναι, πίστις 37,8 sq. 39,10 41,30. 40 al. opp. ἐπ᾽ εὐθείας 42,32 al. συλλογισμός 65,19 sq. 66,3 71,20 76,17 ὁ δι᾽ ἀδυνάτου μέρος τοῦ ὑποθετικοῦ 66, 13 sq. 69,24. 25 λέγεται δ᾽ ὁ δι᾽ ἀδυνάτου καὶ κύκλῳ ὡς μὴ τὸ προκείμενον αὐτόθεν δεικνύς ibid. 26. 27 cf. 66,34 sq.
ἀεικίνητος 3,5 6,1 sq. 11,10 14,26 29,10. 24 30,13. 18 sq.
ἄθροισμα (λόγων) 26,4. 6
αἰνίττεσθαί τι 46,22. 40
αἱρεῖν τὸ συμβαῖνον 33,14
αἱρετός. αἱ μὴ αἱ. (coni. μηδὲ ἀναγκαῖαι) ἡδοναί 18,38
αἴσθησις 25,22. 26
αἰσθητικός. οὐσία ἔμψυχος αἰ. 4,4
αἰσθητός opp. νοητός 5,23. 25 25,12 sq. οὔτε μὴν ἐπὶ τῶν αἰ. συλλογιζόμεθα 25,21. 33
αἰτία. ὡς ἀνάγουσαν . . αἰτίαν 10,24 μετ᾽ αἰτίας γιγνώσκειν 2,34 ἀπὸ τῶν αἰ. τὰ αἰτιατὰ δεικνύναι 8,8 25,16. 17
αἰτιᾶσθαι 59,37. 41
αἰτιατική (πτῶσις) 12,9
αἰτιατός cf. αἰτία, αἴτιος
αἴτιος. ἀπὸ τῶν αἰτιατῶν ἐπὶ τὰ αἴ. μεταβαίνει 8,9
ἀκάθαρτος. αἱ ἀ. (coni. ἀκόλαστοι) ἡδοναί 18,35
ἀκέραιος τρόπος 46,29 49,29 60,36
ἀκμάζειν 47,3
ἄκμων 10,1
ἀκόλαστος. αἱ ἀ. (coni. ἀκάθαρτοι) ἡδοναί 18,35
ἀκολουθεῖν log. i. q. συμβαίνειν 29,33 30,31
ἀκολουθία. τὸ δὲ (ἀναγκαῖον) κατὰ τὴν ἀ. τῆς λέξεως opp. κατὰ τὴν ὕπαρξιν τῶν πραγμάτων 29,21. 22 30,28 sq. 32,16 ὁ ἐξ ἀ. (sc. ὑποθετικὸς συλλογισμός) 68, 24 sq.
ἀκόλουθος 1,20 2,5 (coni. εὔτακτος) 7,20 ἀκολούθως 1,18 sq. 24,27 τοῖς προειρημένοις 22,12 32,25 33,23
ἀκούειν τινὸς μεθυπερβατῶς 16,33 τὶ ἀντί τινος 17,29 48,5 τὶ κατὰ κοινοῦ 33,1
ἀκριβοῦν τι 68,2
ἀκροατής 31,16. 17. 22
ἄκρος (ὅρος) 66,21. 28 ἡ φύσις τῶν ἄ. 50,38
ἄκυρος (συμπεράσματα) 74,21
ἀλήθεια. τῇ ἀ. 14,33 33,27 κατ᾽ ἀλήθειαν 39,23 55,26 73,28
ἀληθεύειν 18,33. 37 ἐπί τινος 45,26 47, 20 53,25 med. κατά τινος 52,8
ἀληθής. τῷ ἀληθεῖ 10,34 κατὰ Πλάτωνα

καὶ τὸν ἀληθῆ λόγον ibid. 36 τὸ ἀληθέστερον λέγειν 13,25 ἀληθὲς γὰρ καὶ ἐξ ἀμφοτέρων ψευδῶν συνάγεται 70,28 71, 13. 14 cf. ἀντικεῖσθαι, ψεῦδος
ἀλλά. εἰ καὶ . . ἀλλ' οὖν 27,11
ἀλλαχόθεν 26,21
ἀλλαχοῦ 22,1 74,9
ἀλλήλων. ἡ δι' ἀ. δεῖξις 30,1
ἄλλος ἄλλῳ sim. 8,2. 18 25,2 71,35 ἄλλος . . ἄλλος 12,14. 15 44,11 sq. ἄλλος . . καὶ ἄλλος 4,2. 3 11,27 72,28
ἄλυτος 43,34
ἀμέθοδος. ἀμεθόδως περαίνοντες (συλλογισμοί) Stoic. 70,13
ἀμείβειν τὸ ποιόν 45,34
ἄμεσος. ἄμεσα ἀντικείμενα 68,35 ἀμέσως ἀντικεῖσθαι 69,7
ἄμετρος opp. ἔμμετρος 11,37. 38
ἄμικτος (σχῆμα) 56,34
ἀμφιβάλλειν *dubitare* pass. 65, 38. 39 67,13
ἀμφιβολία. μεταλαμβάνειν ἀπὸ ἀ. εἰς ἐνέργειαν 68,9
ἀμφίβολος. μεταλαμβάνειν ἀπὸ ἀμφιβόλου εἰς ὁμολογούμενον 67,17
ἄν omisso optat. potent. ἄλλ' εἴποι τις 6,30 sim. 9,17 12,19 57,33 ἄν irreali omisso imperfect. 45,12 48,38 49,4 60,5 ὡς ἄν c. partic. 6,27 ὡς ἂν εἰ 17,27
ἀνάγειν τὰς ψυχάς 10,23 log. εἰς τὸ πρῶτον σχῆμα 31,3. 4 sq. 66,7 al. ὑπό τι 5,4 6,3 7,11 sq. 8,15
ἀναγινώσκειν 20,20
ἀναγκαῖος. αἱ μὴ αἱρεταὶ μηδὲ ἀ. (ἡδοναί) 18,38 διττὸν τὸ ἀ. ἐν τοῖς συλλογισμοῖς, τὸ μὲν κατὰ τὴν ὕπαρξιν τῶν πραγμάτων τὸ δὲ κατὰ τὴν ἀκολουθίαν τῆς λέξεως 29,20 sq. 30,28 τὸ ἐξ ὑποθέσεως, τὸ μετὰ διορισμοῦ ἀ. 39,29. 31 τὸ κατὰ τὸν ὁρισμὸν ἀ. 43,16. 17 τὸ ἐξ ἡμισείας ἀναγκαῖον, ἀναγκαῖον καὶ ἐνδεχόμενον 49,38 50,26. 27 52,7. 20. 21 53,19. 20 54,21 56,23 al.
ἀναιρεῖν log. 8,28 sq. 10,11
ἀναιρετικός 62,8
ἀνακεφαλαιοῦν med. 21,33
ἀνακεφαλαίωσις. ἐν ἀ. λέγειν 12,25
ἀναλογεῖν τινι 4,10. 14 sq.
ἀναλογία 25,15 κατὰ τὴν αὐτὴν ἀ. 34,11
ἀνάλογός τινι 4,9 16,27 ἀνάλογον (i. e. ἀνὰ λόγον) 15,19
ἀναλύειν (opp. συντιθέναι) ἐπί (?), εἰς 5,13 6,4 sq. geom. 5,27 sq. ὁ γὰρ εἰδὼς ἐπιστημονικῶς ἀναλῦσαι καὶ συνθεῖναι οἶδεν, οὐ πάντως δὲ ὁ εἰδὼς συνθεῖναι καὶ ἀναλῦσαι 6,33 sq.
ἀνάλυσις (opp. σύνθεσις) ἐν τοῖς συλλογισμοῖς, παρὰ τοῖς γραμματικοῖς, παρὰ τοῖς φυσιολόγοις, παρὰ τοῖς φιλοσόφοις, ἐρωτική, γεωμετρική, παρὰ τοῖς ἀστρονόμοις 5,10 sq. ἀπὸ τῶν συνθέτων ἐπὶ τὰ ἁπλᾶ (ἔρχεται) 6,24 καὶ ἄλλοις τισίν (ἀντίκειται) 7,26 sq. cf. διδασκαλία
ἀναλυτική opp. διαιρετική, ὁριστική, ἀποδεικτική 7,29 sq. ἀπὸ τῶν συνθέτων ἐπὶ τὰ ἁπλᾶ ἀνατρέχει ibid. 34
ἀναμίξ 56,20 60,39 61,7. 20 65,28 74,36
ἀνάπαλιν. τὸ ἀ. 4,24 6,23. 24 15,23 33,13 36,3. 15
ἀναπόδεικτος 20,38 21,2 τοὺς δ' ὑποθετικοὺς συλλογισμοὺς ἀναποδείκτους καλοῦσι (sc. οἱ Στωικοί) καὶ θέματα 68,14
ἀνάρμοστος opp. εὐάρμοστος 18,32
ἀνατρέπειν λόγους 10,7
ἀνατρέχειν log. ἀπό τινος ἐπί τι 5,23. 25 7,34
ἀναφαίνειν pass. 26,16 sq.
Anaphora 5,10 35,36. 37
ἀναφωνεῖν 12,4. 24
ἀνελλειπής 32,22 ἀνελλειπῶς 67,33
ἀνεμπόδιστος. ἀνεμποδίστως 12,23
ἀνθρώπινος βίος 9,23 ἀ. (opp. θεῖα) πράγματα 9,30 sq. τὰ ἀ. 9,23 14,30
ἄνθρωπος. οἱ ὁ χυμοὶ ἀφ' ὧν ἄνθρωποι 5,17. 18 exempl. 4,12 sq. 15,5 sq. 30,36 sq. 33,10. 11. 33 sq. 34,15 sq. 35,4 sq. 39,32. 33 40,15 sq.
ἀνίατος 53,42
ἄνισος. πίστις ἐξ ἀνίσων 29,12 sq. cf. πίστις
ἀνομοιοσχήμων 54,8 55,14 58,25 sq. 59,31 sq.
ἀντιδιαιρεῖν pass. 46,42
ἀντιδιαστολή. πρὸς ἀντιδιαστολήν 32,10. 11
ἀντίθεος 35,24
ἀντίθεσις (τῶν ἐναντίων) 18,30 23,22. 23 σὺν ἀ. ἀντιστροφή 68,28
ἀντικεῖσθαι ὑπεναντίως 18,13 κατὰ τὸ ἀναγκαῖον καὶ ἀδύνατον opp. κατὰ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος 41,37 ἐμμέσως, ἀμέσως 68,34 69,7. 19 ἄμεσα ἀντικείμενα 68,35 ἀντικείμενος (opp. ἐναντίος) expl. 58,39
ἀντιλέγειν 28,28 πρός τι 50,14 τινί 55,29 60,20

ἀντιστρέφειν τελείως 58,41
ἀντιστροφή 31,6 sq. 33,5 sq. 34,27 sq. ἔστιν καὶ ὅρων ἀ. καὶ προτάσεων καὶ συλλογισμῶν 35,10 sq. expl. (opp. καταστροφή, i. q. ἰσοστροφή) ibid. 21 sq. αἱ ἀ. τοῦ ἐνδεχομένου οὐχ αἱ ἁπλαῖ . . ἀλλ' αἱ ἐνδεχόμεναι αἱ τὸ ποιὸν μόνον ἀμείβουσαι τὴν δὲ τάξιν τῶν ὅρων φυλάττουσαι 45, 32 sq. cf. 55,11 57,13.30 60,1. 2. 26. 27 61,26 63,12. 13 64,14 σὺν ἀντιθέσει 68,28
ἀντιτιθέναι 37,11 38,2 41,5 52,24
ἀντίφασις expl. 67,9
ἀντιφάσκειν τινί 52,25. 27. 36 58,46
ἀντιφατικός opp. ἐναντίος 58,39 75,24 ἡ ἀ. ἀπόφασις 58,33 αἱ ἀ. αἱ διαγώνιαι ibid. 39 ἀντιφατικῶς μάχεσθαι 52,11
ἀνυμνεῖν 8,10 10,22
ἀνυπαρξία 47,25 69,34 πρὸς ἀνυπαρξίαν, ἐν ἀ. ἀόριστος 46,9 47,9
ἄνω. ὡς καὶ ἄ. εἶπεν sim. 21,11 22,14 24,28 33,17. 25 34,20. 23
ἄνωθέν ποθεν 21,5
ἀξίωμα Stoicorum 26,36 Aristotelis 27,4 τὰ παρὰ τοῖς γεωμέτραις ἀ. ibid. 2 ἀξιώματος λόγον ἐπέχειν 71,5
ἀόριστος 46,6 sq. 48,9
ἀπαγορεύειν (coni. ἀποφάσκειν, ἀποχωρίζειν) 17,4
ἀπαγωγὴ εἰς ἀδύνατον 31,7 (expl.) 34,28 sq. 51,18. 19 al. εἰς ἄτοπον 42,29
ἀπαθής 6,35
ἀπαρτᾶν. ἀπηρτῆσθαι τῶν ἄκρων 66,29
ἀπατᾶν sophist. 2,24 sq.
ἀπάτη τῶν σοφιστῶν 12,22
ἄπειρος. ἐπ' ἄπειρον προελθεῖν 67,14
ἀπεργάζεσθαι 10,32
ἀπέριττος 32,21
ἁπλοῦς. ἀπὸ τῶν ἁ. ἐπὶ τὰ σύνθετα, ἀπὸ τῶν συνθέτων ἐπὶ τὰ ἁ. ἔρχεσθαι 5,16 sq. ἀπὸ τῶν ἁπλουστέρων ἄρχεσθαι 14,7 ἁ. προτάσεις opp. ἐκ μεταθέσεως 23,14 24,22 ἁ. φωναί 1,12 sq. (v. φωνή) ἁπλοῦς συλλογισμός (κατηγορικός, ὑποθετικός) opp. μικτός, σύνθετος 65,18. 19 sq. οἱ δ' ἁπλοῖ ὑποθετικοί, ἤτοι οἱ ἐπ' εὐθείας ibid. 35. 36. ἁπλούστερον ἐξηγεῖται 22,35
ἀποβλέπειν εἰς 31,26 πρός 70,7
ἀπογεννᾶν 9,1
ἀποδεικνύναι ἐπιστημονικῶς 9,28. 29 συλλογισμούς 13,1 ὁ ἀποδεικνύων οὐκ ἐρωτᾷ τὸν προσδιαλεγόμενον 19,19
ἀποδεικτικός opp. διαλεκτικός, σοφιστικός 11,36 συλλογισμός 2,11 def. ibid. 12—14 3,2. 3. 22 sq. 11,22. 23 12,18 sq. ἀ. πραγματεία opp. διαλεκτική 4,28 ἀ. μέθοδοι 9,27 13,3 ἀ. ἐπιστήμη dist. ἀπόδειξις 12,31 sq. def. ibid. 35 sq. ἀ. πρότασις (opp. διαλεκτική) 19,6 sq. 21,2 ἀποδεικτικῶς (coni. συλλογιστικῶς) εὑρίσκειν καὶ γιγνώσκειν, ἐπίστασθαι 25,7.10 ἡ ἀποδεικτική 7,29 sq. 12,33 13,4 ὁ ἀποδεικτικός (opp. ὁ διαλεκτικός) 19,27 20,36 21,1 sq.
ἀπόδειξις 10,26.27 13,15 plur. 2,13 (ἀληθής) 3,3 dist. ἐπιστήμη ἀποδεικτική 12,30 sq.
ἀποδιδόναι 12,8. 9 ὅρον 17,10 19,11 sq.
ἀποκλείειν logice (ἀπό τινος) 7,32. (τινός) 38 22,23
ἀποκλήρωσις. τίς ἡ ἀ. 6,32 40,2. 3
ἀποτελεῖν 7,38 9,36. 37 10,13
ἀποτέλεσμα τέχνης opp. ὄργανον 10, 12 sq.
ἀποφαίνειν med. 27,8. 9
ἀπόφανσις dist. λόγος, πρότασις 15,16 sq.
ἀποφαντικὸς λόγος 13,20 sq. 15,31 16,7 sq. dist. πρότασις 13,29 sq.
ἀποφάσκειν 23,6. 7 τὶ ἀπό τινος, τινός 17,3. 4 18,11. 17
ἀποφατικός. ἀποφατικῶς κείμενον 23,7
ἀποχωρίζειν τινός τι (coni. ἀπαγορεύειν) 17,4. 5.
ἀπροσδιόριστος πρότασις 14,37 17,10 (coni. ἄνευ τρόπου) 46,37 κατάφασις, ἀπόφασις ibid. 30. 31 τὸ ἀ. ἰσοδυναμεῖ τῷ μερικῷ 70,21 71,4
ἀπταιστος. ἀπταίστως 2,34
ἀπωτέρω τέλος, σκοπός 12,15 sq.
ἄρα in apodosi 37,19. 26 42,8 50,12 51,7 52,3 54,28 al. εἰ μὴ ἄρα 43,13 52,40 73,32 ἀλλ' εἰ ἄρα 57,32
ἀρέσκειν τινά 19,21 ἀρέσκεσθαί τινι 22,26
ἀρετή. προσεχὲς τέλος ἐστὶν τοῦ σπουδαίου ἡ ἀ. (opp. ἡ εὐδαιμονία) 12,15 αἱ ἐπὶ ὅρου ἀρετή 32,21
ταῖς ἀρεταῖς coni. καθαραί (ἡδοναί) 18,36
ἀρκεῖν 32,34. 35 pass. τινί 34,4 60,15 68,3 c. inf. 7,5
ἁρμόζειν τινί 26,15. 20. 23 47,12. 15 κατά τινος 19,11 ἐπί τινος 48,3 72,17
ἀρτᾶν. ἠρτῆσθαι τῶν ὅρων 65,25
ἄρτιος (ἀριθμός) 65,35 66,16 67,3 69,7. 21 ἄρτιος πρῶτος opp. ἁπλῶς 74,30
ἀρχαῖος. τὰ ἀ. βιβλία, ἡ ἀ. γραφή 17,14 τὰ ἀρχαίως γεγραμμένα βιβλία 20,25

ἀρχή (coni. ὑπόθεσις) 20,35. 39 ἑκάστης τέχνης καὶ ἑκάστης ἐπιστήμης ἀρχαὶ ἀναπόδεικτοί εἰσιν 21,1 τὸ ἐν ἀ. αἰτεῖσθαι 65,22 70,3. 8. 10 71,6 κατ' ἀρχάς 74,36
ἄσημος 1,3 sq. v. φωνή
ἀστρονόμος. ἔστιν δὲ καὶ παρὰ τοῖς ἀστρονόμοις σύνθεσις καὶ ἀνάλυσις 5,31
ἀσυλλόγιστος 11,34 42,23 46,13 48,33. 37 τινός 62,6. 10 ἀ. λόγοι 27,5 32,10 τὸ ἀ. 57,11. 12 58,26 τοῦ ἀ. τὸ μὲν ἔμμετρον τὸ δὲ ἄμετρον ibid. 37 ἀσυλλογίστως συμπλέκειν 73,20. 21
ἀσύμμετρος τῇ πλευρᾷ 67,5. 6 69,18. 19
ἀσύναπτος 72,17. 22 73,31
ἀτελής 5,3 coni. κολοβός 8,33 ἀ. συλλογισμός expl. 14,29 27,17 δυνατὸν καλεῖ ὡς δυνάμει τέλειον 71,17 μήποτε οὐδείς ἐστιν ἀτελής 14,32 30,33 sq.
ἀτεχνία plur. 47,28
ἄτοπος. εἰς ἄτοπόν τι καὶ ἀδύνατον καταντᾷ 35,1. 2 v. ἀπαγωγή
αὐτάρκης (συλλογισμός) 14,28. 30
αὐτόθεν 3,31 20,37. 38 23,12. 16 24,5 25, 22 34,36 35,13 69,26
αὐτοκίνητος 3,4. 5 5,35 sq. 11,10 13,33. 35 14,26 sq. 20,7. 8 29,9. 24 30,12 sq.
αὐτός. ταὐτὸν δ' εἰπεῖν 71,15. 20
ἀφαιρεῖν 24,2 25,29
ἀφαίρεσις 70,19. 40 opp. πρόσθεσις 23, 21 sq. ἐξ ἀ. geometr. 25,27
ἀφανίζειν pass. 8,31
ἀφιστάναι med. τοῦ προκειμένου 19,3
ἀφορᾶν τὰ παρὰ Ἀριστοτέλει 11,4
ἄχρι c. genet. 10,23
ἀχώριστος log. 39,8

Βαθύς. βαθύτερον (coni. ἀκριβέστερον) ἐξηγούμενος 23,10
βιβλίον. γνήσια τὰ β. 5,2 τὰ νεώτερα, τὰ ἀρχαῖα 17,11. 14 τὰ ἀρχαίως γεγραμμένα 20,26
βλάστημα. οἱονεὶ βλαστήματα αὐτῆς (sc. τῆς διαλεκτικῆς) 7,28. 29
βλίτυρι 1,7 3,21
βοήθεια log. 31,3. 31 32,1 33,3. 4 τρεῖς β. (ἀντιστροφή, ἔκθεσις, ἡ εἰς ἀδύνατον ἀπαγωγή) 31,5 sq. 34,26 sq.
βοηθεῖν log. βοηθοῦνται 34,31

Γέλοιος 30,1
γένεσις 5,15 συλλογισμοῦ 6,14. 16 76,17 τὰ ἐν γενέσει καὶ φθορᾷ 3,22
γενική (πτῶσις) 12,10
γένος 16,25 sq. 25,20 26,28 sq. v. ὅρος
γένυς. τὴν κάτω, τὴν ἄνω γ. κινεῖν 28, 33. 36
γεωμέτρης 13,6 20,35 25,27. 29 27,2 70, 11 ἐπὶ τῶν καθόλου ποιοῦνται πανταχοῦ τὸν λόγον οἱ γ. 70,20. 21
γεωμετρικός (ἀνάλυσις) 5,26 (θεώρημα) 65,34 69,23 (ἡδονή) 70,7
γεωργία 73,6. 35
γιγνώσκειν (γιν.) τὸ γιγνῶσκον, τὸ γιγνωσκόμενον opp. ἡ μεταξὺ τούτων γνῶσις 2,30 ἡ διαφορὰ τῶν συλλογισμῶν ἀπὸ τοῦ γιγνώσκοντος, ἀπὸ τοῦ γινωσκομένου 3,15. 19 ἐπιστημονικῶς, ἀπταίστως μετ' αἰτίας, ὀρθῶς, οὐκ ὀρθῶς 2,34. 35 διὰ συλλογισμῶν opp. ἁπλαῖς ἐπιβολαῖς 3,16. 18
γνήσιος (τὰ βιβλία) 5,2
γνῶσις 5,1 10,24 al. λάμβανε δὲ καὶ ἀπὸ τῆς γνώσεως (sc. τὰς διαφορὰς τῶν συλλογισμῶν) 3,26 v. γιγνώσκειν
γνωστικός. τριῶν οὐσῶν τῆς ψυχῆς γν. δυνάμεων 24,32 cf. 3,1
γόμφος 24,8
γραμματικός. ὥσπερ καὶ παρὰ τοῖς γρ. ἔστιν σύνθεσις καὶ ἀνάλυσις 5,11 sq.
γραμμή 26,9. 14. 17 sq. 27,29. 30
γραμμικός (θεώρημα) 35,2
γράφειν βιβλίον περί τινος 4,8
γραφή 17,12. (ἀρχαία) 14 (φερομένη) 74,16
γραφικός. γραφικόν ἐστιν ἐξ ἀρχῆς τὸ ἁμάρτημα 74,13
γυμνάζειν dial. pass. ἐν 3,35 12,20. 21
γυμνασία dial. 2,15 12,20

Δεικνύναι. διὰ τῶν ὅρων opp. διὰ μόνου τοῦ καθόλου λόγου 40,6 sq.
δεικτικός 70,20 i. q. ἐπ' εὐθείας (συλλογισμός) 66,33
δεῖξις. ἡ δι' ἀλλήλων δ. 30,1 διάλληλος 39,15 εἰς ἀδύνατον 54,4 δι' ἀδυνάτου 60,4
δεῖνα. ὁ δ. 3,7. 10 27,22
δεῖ. δέει τῆς ἀποφάσεως 46,4 61,32 δέεται 13,8 29,37 31,8 45,33 ἐδέετο 64,12

δηλαδή 65,9
διαβάλλειν δεῖξιν pass. 58,20
διαβιβάζειν pass. ἐπί τι 3,36
διαγώνιος. πρὸς τὰς διαγωνίους μερικάς 45,38 αἱ ἀντιφατικαὶ αἱ διαγώνιοι 58,39
διαζευγνύναι. τὸ διεζευγμένον opp. τὸ συνημμένον 68,6. 17 cf. τροπικός
διαιρεῖν log. εἰς 7,32. 36 11,29. 35 (διελεῖ) 47, 32 57,3. 5. 11 al. τὶ ἀπό τινος 23,2 24,13
διαίρεσις log. 11, 29. 34 29, 11 36, 8. 9 τελεία 35,35 ἀπὸ τοῦ πλείονος 4,19. 22 opp. σύνθεσις 23, 21 sq. τοῦ μὴ εἶναι 24,11. 12 τῆς ὑπάρξεως ibid. 17
διαιρετική (opp. ἀναλυτική) 7,29 sq.
διαιτᾶν τινι 31,20
διαλαμβάνειν περί τινος 1,7. 8. 17. 19. 21 sq. 4,18. 23 sq. 5,9 al.
διαλέγεσθαι opp. πράττειν 7,8 περί τινος 1,3 9,31 34,29 47,40 48,17 57,14. 16 ὁ διαλεγόμενος 19,28
διαλεκτικός opp. ἀποδεικτικός, σοφιστικός 11,36 συλλογισμός 2,11 def. ibid. 14. 15 3,6. 25 sq. 11,22. 24 12,20 ὁ. πρότασις opp. ἀποδεικτική 19,7 sq. ὁ. πραγματεία 4,29 ἡ διαλεκτική 10,22 τῆς ὁ. ὃ εἰσὶν μέθοδοι δυνάμεις οὖσαι καὶ οἱονεὶ βλαστήματά αὐτῆς 7,28 ὁ διαλεκτικός 9,19 opp. ὁ ἀποδεικτικός 19,26
διάλληλος δεῖξις 39,15 cf. 30,1
διαλύειν εἰς log. 24,23
διάμετρος (τῇ πλευρᾷ σύμμετρος, ἀσύμμετρος) 65,35 67,3. 5 69,17 sq.
διανοεῖσθαι καθ' αὐτὸ τὸ καθόλου εἶδος τοῦ τριγώνου 25,30
διανοητικός. ὁ. δύναμις dist. νοερά, δοξαστική 24,32 τὸ ὁ. dist. τὸ δοξαστικόν, τὸ φανταστικόν, τὸ νοερόν 2, 33 sq. 25,31
διανοητός. περὶ τῶν μέσων, ἃ καλεῖται διανοητά, ἐπειδὴ διανυστικῶς καὶ διεξοδικῶς αὐτὰ γιγνώσκομεν 25,24. 33
διάνοια καλεῖται παρὰ τὸ διανύειν καὶ διεξιέναι· αὕτη ἐστὶν ἡ δύναμις ἡ συλλογιζομένη [ἡ] ἐν ἡμῖν κτλ. 25,3 sq. τὸ σταθερὸν τῆς διανοίας 2,36
διανύειν 25,3
διανυστικός. διανυστικῶς (coni. διεξοδικῶς) γιγνώσκειν 25,24
διαρθροῦν 32,31. 32
διαρρήδην τίθεσθαι 27,8. 11
διάστασις. ἐκ διαστάσεως 68,28 sq. κατὰ διάστασιν 69,2. 4
διαστέλλειν τελείως 4,20 τὶ ἀπό τινος 30,24
διάστημα i. q. πρότασις 74,32. 33
διαστολή. πρὸς διαστολήν 27,13 28,14 sq. 32,13. 14. 17 33,16
διαφορὰ πρός τι 20,30 τὴν διαφορὰν λαμβάνειν ἀπό τινος 3,15. 19. 26 19,44 20,29 cf. ὅρος
διάφορος. τὸ ὁ. 8,11 47,20 54,13 διαφόρως ibid. 18
διδασκαλία. τῷ κατὰ ἀνάλυσιν τρόπῳ διδασκαλίας 14,20
διδάσκειν περί τινος (τινά) 1,11 7,22
διδόναι dial. 19,28 sq.
διεξέρχεσθαι ἀδιαφόρως 28,7
διεξιέναι coni. διανύειν 25,3 τὰ καθέκαστα 28,34
διεξοδικός. διεξοδικῶς γιγνώσκειν 25,2. (coni. διανυστικῶς) 24
διιστάναι τὰ συναφθέντα 8,4
δικάζειν. τοῦ ἰατροῦ τοῖς στοιχείοις καὶ τοῖς χυμοῖς δικάζοντος 73,43
δικαιολογεῖσθαι 40,2
δικαστής 27,18. 20
δίκη. δίκην τῶν ἀσυλλογίστων 60,10
διορθοῦν med. 44,4
διορίζειν 16,23 39,35 τὶ ἀπό τινος 27,5. 14. 31 28,9 29,18 al.
διορισμός. οἱ καθόλου ὁ. 15,2
διότι opp. ὅτι 48,23
διπλασιάζειν 63,25
δίπους 33,36 sq.
διφορεῖν. διφορούμενοι συλλογισμοί Stoicorum 27,36 sq. 32,13
διχόθεν 33,29
δόγμα 8,19. 20. 37 49,32 sq. 67,21
δογματίζειν 15,32
δόξα καλεῖται παρὰ τὸ δέχεσθαι 25,1 sq. οὐκ ἔχουσα τὸ σταθερὸν τῆς διανοίας ἀλλὰ καὶ πλησιάζουσα τῇ φαντασίᾳ ποτὲ καὶ πταίει 2,36 ταύτης ἐγένοντο τῆς δόξης 8,22 31,11. 18 δόξαν διδόναι ἑαυτοῦ ὡς seq. partic. 27,21
δοξάζειν περί τινος 8,17. 18 37,14. 19 ἄνευ ἀποδείξεων 25,9
δοξαστικός 3,6 τὸ ὁ. dist. τὸ διανοητικόν, τὸ φανταστικόν 2,33 sq. ὁ. δύναμις dist. νοερά, διανοητική 24,32 cf. 25,31
δριμύς 9,5
δύναμις pl. τῆς ψυχῆς 3,16 γνωστικαί ibid. 1

(ἡ νοερά, ἡ διανοητική, ἡ δοξαστική) 24, 32 cf. 3, 17 εὑρετική 6, 19 τῆς διαλεκτικῆς ὃ εἰσὶν μέθοδοι δυνάμεις οὖσαι .. ἴδωμεν δὲ ἑκάστης τὴν δ. 7,28—30 δυνάμει opp. ἐνεργείᾳ 52,45 67,20
δυνατὸς συλλογισμός expl. i. q. ἀτελής 71,17
δυσεπιχείρητος πρὸς ἀνασκευήν 76,25
δύσκολος. δυσκολώτερον κατασκευάζεται 75,25

Ἐάν κέχρηται 9, 6 (cf. ἵνα) ἀντίκειται 69,8
ἐᾶν. τοὺς μὲν πολλοὺς ἐατέον 9,4 ἐάσας ἡμῖν τὰ ἄλλα ἐννοῆσαι 34,4
ἔβενος 56,18
ἔγερσις 62,15 cf. ἐγρήγορσις
ἔγκλημα 52,41
ἐγρήγορσις ὡς ἔγερσις κίνησίς ἐστιν 62,15
ἔθος. τῷ ἔ. 60,14
εἰ c. coni. 39,32 41,28 42,30 43,38 49,34. 36. 37 53,16. 19. 22. 24 58,5 al. εἴη .. εἴπωμεν 73,1. 2. 38. 39
εἰδέναι. ἰστέον δὲ ὅτι 17,10 31,11
εἶδος opp. ὕλη 4,9 sq. τιμιώτερον τῆς ὕλης ibid. 25 εἶδει (ἀναλογεῖ) τὰ σχήματα ibid. 10. 11 εἶδος ἁπλοῦν, σύνθετον 5,20. 21 τὰ ἐν τοῖς αἰσθητοῖς εἴ. opp. τὰ ἐν τοῖς νοητοῖς ibid. 23 αὐτὸ καθ' αὑτὸ τὸ καθόλου εἴ. τοῦ τριγώνου ἢ τετραγώνου 25,29 opp. γένος 26,29 opp. ὕλη 47,7 i. q. ποιόν, τρόπος 71,15 cf. κατηγορεῖν
εἰκός v. ἐοικέναι
εἶναι περί τι 3,23 τὸ ἔστιν παντὶ τρόπῳ ἀεὶ συνέζευκται καὶ οὐ ποιεῖ μῖξιν ἀεί 38, 10. 11. 29
εἰσάγειν 23,23 52,14. 37
εἰσφέρειν pass. διά τινος 66,21 76,9
εἴτε. πεῖραν λαμβάνειν εἴτε .. εἴτε 2,25 c. coni. 42,21 44,7 εἴτε .. ἤ 64,35
ἑκάτερος. ἐν ἑκατέρῳ καθ' ἑκάτερον 15, 3. 4 ἑκατέρως 48,31
ἑκατέρωθεν 15,2
ἐκβαίνειν log. ἐκβὰν ἐνδεχόμενον 37,29 38, 3. 25 cf. 47, 2 50, 12 51, 38 61, 31 63,7
ἐκβάλλειν δόξαν 28,19 αὐτοὺς (sc. τοὺς ἐν δευτέρῳ καὶ τρίτῳ σχήματι) τῆς τῶν συλλογισμῶν ἑστίας 31,29
ἔκβασις τοῦ ἐνδεχομένου 38,7 51,33. 34
ἐκδέχεσθαί τι ἀντί τινος 22,37
ἐκεῖ i. q. ἐκεῖσε 14,31
ἐκεῖσε i. q. ἐκεῖ 38,27 50,1
ἔκθεσις log. 31,6 33,6. 7 34,27 sq. i. q. παράδειγμα 35,6 δι' ἐκθέσεως δεικνύναι, πίστις 37,8 sq. cf. βοήθεια
ἐκκρούειν 72,23
ἐκπεριτρέχειν τὰ κατὰ μέρος 28,31
ἐκτιθέναι med. 25,34 26,7 log. 35,4. 5 ὅρους 60,16
